www.libtool.com.cn

www.libtool.com.cn

LELAND·STANFORD·JVNIOR·VNIVERSITY

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

COMMENTARIA IN ARISTOTELEM GRAECA

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMEN XVI

PHILOPONI IN PHYSICORUM LIBROS TRES PRIORES

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXVII

www.libtool.com.cn

IOANNIS PHILOPONI
IN ARISTOTELIS PHYSICORUM
LIBROS TRES PRIORES
COMMENTARIA

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

HIERONYMUS VITELLI

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXVII

www.libtool.com.cn

www.libtool.com.cn

PRAEFATIO

Ioannis Philoponi commentaria in Physicorum libros quattuor priores graece primus edidit Venetiis anno MDXXXV Victor Trincavelli (t), in libris I—III et in Corollario de inani (cf. ad p. 675,12) codice usus Veneto M, in ceteris alio quodam libro manuscripto mihi ignoto, quem codicis G fuisse similem, immo vero ex eo derivatum, ex adnotatione nostra critica et ex eis quae mox dicturi sumus satis clare, ut opinor, apparebit[1]. praeter GM innotuerunt mihi KLNP. horum extremus libros III—IV complexus ita consentit cum M, ut si quis hoc uti possit, illum nusquam desideret: paucis igitur locis exceptis exsulare eum ex adnotatione critica iussi, ne inutili eam farragine onerarem. KN immanibus scatent librariorum erroribus, sunt tamen quantivis pretii, quippe qui complures reliquorum librorum expleant lacunas, semper vel fere semper interpolationibus careant. sed cum gemelli prorsus sint codices, satis esse putavi si K ad omnes quattuor libros adhiberem, N autem (ex quo specimina tantum collationis praesto fuerunt) neglegerem. codicis L denique non eadem est in omnibus libris auctoritas. in libris enim I—III et eandem fere praebet recensionem quam K, et scripturae monstris caret quae illum deformant, in IV autem libro totus pendet ex omnium antiquissimo G, unde et descriptum eum esse suspicor. idcirco

---

[1] Commentariorum inscriptionem Ἰωάννου Ἀλεξανδρέως τοῦ Φιλοπόνου εἰς τὸ περὶ φυσικῆς ἀκροάσεως τοῦ Ἀριστοτέλους ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν τοῦ Ἀμμωνίου τοῦ Ἑρμείου μετά τινων ἰδίων ἐπιστάσεων videtur maximam partem ex ingenio dedisse Trincavellius; certe oblitterata est (supersunt -κροάσεως ἀριστ-) in M, προλεγόμενα τῶν φυσικῶν (ἀποσημειώσεις Ἰωάννου Ἀλεξανδρέως τοῦ Φιλοπόνου addit L²) habet L, om. K. cf. ad p. 194,1. 339,1. 496,1. equidem praeposui titulum a me fictum, quo si quis aptiorem fingi posse censuerit, non repugnabo. σχολαστικός vel γραμματικός vel utrumque audit Philoponus in aliis aliorum commentariorum codicibus. praeterea cf. Simplic. Phys. f. 260v34. 265v41. 266v26. 268v42 etc.

www.libtool.com.cn
integram scripturae varietatem ad tres libros priores apposui, penitus abieci in quarto, ubi antiquiore teste eiusdem recensionis uti licuit.

His igitur codicibus, quorum specimina docte et sollerter conquisiverat vir egregius immatura morte abreptus Adolfus Torstrik, in conformandis Philoponi verbis ita sum usus, ut KL in libris I—III, KM in IV, si consentirent, nunquam nisi certis rationibus desererem, sin minus, eum sequerer qui et sententiae et orationi Philoponeae melius consulere videretur. At sunt loci bene multi in quibus ad deterioris notae codices (ad M scilicet passim in libris I—III, vel frequentius ad G in libro IV) confugiendum duxi: ea est enim horum codicum conditio, ut nullum sine periculo constanter sequaris, nullum sine damno constanter spernas. exempla adferam planissima. deterioris notae est M in prioribus libris, at prooemium operis servavit omissum in ceteris omnibus. congruunt inter se fere semper KM in libro IV, at rectam temporis designationem p. 703,17 Διοκλητιανοῦ ἔτος σλγ′ solus M, genuinum φοραί p. 725,6 solus K praestitit, consentientibus[1] scilicet KG et GM in corruptelis τλγ′ et σφαῖραι.

Mirari sane subit antiquiorem neque ab indoctissimo homine scriptum codicem G tam frequenter in libro IV, quem solum nunc continet, corrupta atque interpolata praebere, genuina suppeditare multo recentiores pessimeque scriptos KM; res tamen certa est. dubitari enim nequit, quin codex unde G originem duxit interpolatricem docti cuiusdam hominis manum sit expertus, velut p. 678,9 τοῦτο δὲ παρὰ τὴν ἐνάργειαν· ἐναργῶς γὰρ τὰ ἄνισα κτλ. corruptum tralaticia compendiorum confusione γὰρ in γίνεται patienter tulerunt KM, inepte ἐνάργειαν ἐναργῶς γίνεται· ⟨φανερῶς γὰρ⟩ τὰ ἄνισα G codicis auctor interpolavit.

Sed cum praeterea frequens sit in manifestis erroribus codicum omnium consensio, recte videor mihi contendere, libros quos novimus omnes ab uno eodemque archetypo manasse uncialibus quas dicunt litteris ante IX saeculum exarato,[2] lacunas quidem saepe passo,[3] rarius

---

[1] τλγ′ scriptum esse in K et ex mea collatione collegeram et diserte confirmavit vir doctissimus C. Castellani bibliothecae Marcianae praefectus, qui me, quotiescunque eum per litteras adii, humanissime adiuvit.

[2] Cf. ex. gr. p. 498,22 ὅΠου KM: ὅτι οὐ G; 503,1 στέγηN GM: στέγη, ἢ K; 587,25 ἀλλήλαlC αἱ M: ἄλληλα καὶ G; 617,6 ἀλλ' ἄτοΠον KM: ἀλλὰ τὸ τί ὄν G; 650,28 sq. κατασκευάζονTl ὡς KM: κατασκευάζων πῶς G; 676,18 MHδὲν G: δαηδὲν K: μὴ ὂν M etc. accedit quod excerpta Parisiensia ineunte saeculo X scripta, de quibus mox sermo erit, eandem videntur referre recensionem quam integrorum commentariorum codices.

[3] At rarius hiat oratio in libro IV, in quo antiquiore et accurate scripto codice G utimur; prudenter igitur non omnes priorum librorum lacunas ex archetypo repetes.

www.libtool.com.cn

interpolationes. cum enim loquax Graeculus omnia fere bis terve redundanti verborum copia repetat, non mirum est raro quemquam verbis eum ditasse; saepius contra aberrantibus propter similium verborum frequentiam librariis nimiae eum loquacitatis poenas dedisse non magnopere dolemus.

Praeter hos, qui integros Philoponi libros vel quattuor vel duo vel unum complectuntur, supersunt excerptorum codices non pauci A B C D E F O R S T V,[1] quorum ACDR excerpta Philoponea ex quattuor tantum prioribus libris continere videntur eaque fere inutilia (nam si quae in eis emendatius scripta inveni, facultatem non superant byzantini hominis mediocriter docti,[2] qui huiusmodi scholia corrasit), BEFOTV etiam ex libris posterioribus, quos integros aetatem non tulisse dolendum est. ex his rursus nullum praebuerunt usum OTV; quae enim scholia Philoponea in Arist. Θ 6 p. 259ᵃ13—8 p. 262ᵃ2 exhibent, descripta sunt procul dubio ex F, ut ex appendice critica patebit quam alteri volumini adiciam. horum nonnulla ex V divulgaverat Brandis; nos vero omnia ex ipso F edidimus servata mira inscriptione τοῦ Φιλοπόνου Ἰωάννου εἰς τὸ ἐπίλοιπον τῆς φυσικῆς ἀκροάσεως, quam tetigit Diels (praef. Simpl. Phys. p. XIII sq.). praeterea publici iuris fecerat Brandis aliquot scholia in libros V—VIII ex nobilissimo codice Parisiensi E deprompta, neque tamen Philoponum in his agnovisse videtur[3]; ego vero cum animadvertissem excerptum non dubie Philoponeum ap. Brandis. Scholl. p. 440ᵇ16 concinere omnino cum scholio Parisiensi quod ei ipse Brandisius subiecerat, deinde per virum doctissimum P. Corssenum certior factus essem alia quoque legi in E scholia Philoponeis codicis F prorsus similia, operae pretium me facturum putavi, si librum curiosius perscrutarer. nec me spes fefellit; nam cum antiquus scholiasta, qui pigmento utitur subrufo, unum excerpat Philoponum in libris I—IV, et in libro VIII complura exhibeat quae Philoponea esse aliunde novimus, certa, ut mihi quidem videtur, coniectura statuere licuit cetera quoque scholia in libros V—VIII ex eodem Philopono fluxisse, eaque omnia edenda curavi p. 796—851, nonnullis etiam interpositis quae in B vel diserte sibi vindicaret Philoponus, vel

---

[1] Fortasse et alii mihi non satis noti, velut Vatic. 256, 307, 1025 etc. codicis Vatic. 256 scholia ex Simplicio excerpta dubitanter dixerat Brandis (*Abhandl. der Berl. Akad.* 1831 p. 63 nr. 80), Simpliciana nulla esse prooemio excepto docuit nos Diels (praef. Simpl. Phys. p. XVI). de codice S v. infra conspectum librorum.

[2] Huc refero emendationem p. 26,5 μέλανος R (at μέλαν A!).

[3] Certe eum non fugerat excerpi ab scholiasta Parisiensi Philoponum in prioribus libris; cf. Scholl. p. 355ᵇ3 sqq.

www.libtool.com.cn

probabili ratione ei tribuenda censerem. sed cum prelo haec essent mandata, adfertur Florentiam transmissus codex Venetus F, quocum fragmentum εἰς τὸ ἐπίλοιπον et Simplicii Physica ante aliquot annos contuleram nulla prorsus scholiorum marginibus appictorum ratione habita. inveni fere eadem quae ex E descripseram, interdum auctiora, saepius Simplicianis inmixta, utilius omnia una cum excerptis Parisiensibus edenda, ne scholia ad eosdem Aristotelis locos bis in eodem volumine quaerenda essent. sed, ut de ceteris sileam quae me deliquisse scio, ne in hoc quidem licuit de lectoribus benemereri.

Haec praemonenda erant de fide et auctoritate librorum manuscriptorum, quorum conspectum absoluto praefandi munere subiciam. his si paulo hebetius usus sum, veniam me facile impetraturum esse spero, cum vel doctiores saepe in talibus peccaverint; id contra maxime dolebo, si cui non iniuria videar indiligenter scripturae varietatem enotasse. ex LG omnia fere quae enotata habui in adnotationem criticam transtuli, codicum K per omnes quattuor libros et M inde ab extremo libro III *itacismos* aliaque id genus librariorum σφάλματα ad Philoponi explicationes pertinentia plerumque securus abieci, fideliter et fortasse superstitiose adscripsi si ad Aristotelis verba spectarent, in quibus minutas etiam librorum omnium scripturae discrepantias neglegere non sum ausus.[1] liceat tamen excusare reverentiam, quae summo philosopho debetur: tenendum est enim lemmata ad codicum LKM fidem (nam G rarissima habet, t ex edito Aristotele interpolat) restituta accurate plerumque referre quae in suo Aristotele legit Philoponus, quo fit ut subsidium adipiscamur ad recensenda philosophi verba minime spernendum.[2]

Ceterum non is ego sum confidentior adolescentulus, qui credam me

---

[1] Ceterum in his Dielesii rationes et ipse tenui, ideoque σῴζειν, ἀποθνῄσκειν, ζῷον (ζῶιον comparet in antiquissimo codice E, in reliquis excidit ι littera) et quae sunt similia invitis libris scripsi, σσ ττ ad codicum fidem dedi (nisi quod piguit constanter putideque adnotare, si qui δ' pro τέσσαρες haberent), litterarum denique paragogicarum iis tantum praeter lemmata locis mentionem inieci, ubi ex. gr. οὕτω pro οὕτως scripsit t libris omnibus adversantibus, vel contra οὕτω dederunt libri manuscripti quamvis vocalis sequeretur.

[2] Dolendum sane est tam atrociter decurtata esse lemmata in K, ut saepe sola codicis M auctoritate utamur in libro IV. — in Aristotele utor apparatu Bekkeriano Torstrikii curis emendato et nova collatione Aristoteleorum codicum EG (F passim inspexi) a me confecta. praeterea fructus me percepisse uberrimos ex egregia Dielesii dissertatione *Zur Textgeschichte der Aristotelischen Physik* (*Abhandl. der Berl. Akad.* 1882), non est quod moneam. ex eiusdem Dielesii editione Simplicii libros I—IV laudo, reliquos ex Aldina, Themistium ex Spengeliana.

www.libtool.com.cn
omnia recte in codicibus legisse, nihil omisisse, cuncta recte administrasse, hoc unum certo scio Hermanni Dielesii doctrinae et humanitati deberi, si minus frequenter peccavi: roganti enim mihi nunquam defuit, saepe etiam, ut est mos amicorum, αὐτεπάγγελτος opem tulit utilissimam. in indagandis praeterea Aristotelis locis propensa qua est in me voluntate adiuvit me interdum collega optimus Felix Tocco, philosophorum nostratium φιλολογώτατος. his igitur amicis benemerentissimis, itemque clarissimis viris bibliothecis Laurentianae, Marcianae, Neapolitanae, Vaticanae, Parisiensi praefectis, qui libros manuscriptos vel transmiserunt liberaliter vel summa humanitate inspiciendos curaverunt, gratias ago quam maximas.

Scr. Florentiae m. Maio a. MDCCCLXXXVII.

H. Vitelli.

www.libtool.com.cn

CONSPECTUS LIBRORUM MANU SCRIPTORUM ET IMPRESSORUM.

A Coislinianus 166 [Montfaucon p. 223 sq.], chartaceus s. XV, foliis constans 492 cm. 29 altis 21 latis. primo loco continet Aristotelis Physica cum scholiis et in marginibus et inter lineas scriptis partim Philoponeis partim Simplicianis, audacter contractis vel interpolatis. insunt excerpta ex Philoponi prooemio, quod integrum in solo codice M servari diximus. in libris V—VIII Philoponea nulla esse puto; certe Simplicii sunt (f. 190r34 Ald.) quae vir summus Montfaucon (p. 224) aliud agens Philopono deberi coniecit. codicem examinavit H. Diels. addam collationem excerptorum ex prooemio, alia quaedam daturus ubi de codice R sermo erit.

p. 1,3 κατὰ Ἀριστοτέλην, τοῦ τε om. || 4 τε καὶ || 4. 5 περὶ τὸ θεωρητικὸν μᾶλλον ὁ Ἀρ. ἐσπούδασε || 6 διαιρουμένου || 6. 7 τὸ μαθηματικὸν τὸ θεολογικὸν (om. καὶ) περὶ τὸ φυσικὸν μᾶλλον κατεγένετο || 8 τῇ ἡμετέρᾳ φύσει || 9 ἦν (om. καὶ πρὸ Ἀρ.) προεξειργασμένον, τὸ δὲ φυσικὸν || 10 ὁ om. || 11. **p. 2,**13 καὶ συνδιεῖλε — πραγματεία om. || **p. 2,**13 βιβλίον διδάσκει (om. ὡς εἴρηται) περὶ || 14 ἀκολουθούντων || 15 πραγματείαν αὐτὴν et mox εἰσι || 16. **p. 3,**1 καὶ ἐν μὲν — τοσαῦτα om. || **p. 3,**1 ἐν μὲν οὖν τῷ || καὶ om. || 2 παλαιῶν || περὶ — ἀρχῶν om. || 3. 7 τῆς ὕλης καὶ τοῦ εἴδους, μᾶλλον δὲ περὶ τῆς ὕλης, ἐν δὲ τῷ δευτέρῳ περὶ τοῦ εἴδους καὶ τῆς ὕλης, μᾶλλον δὲ περὶ τοῦ εἴδους, ἐν τῷ τρίτῳ περὶ κινήσεως καὶ ἀπείρου, ἐν τῷ τετάρτῳ || 8 τέσσαρσι || πάντων καὶ om. || 9. 10 αὐτῇ. ὅθεν καὶ τὴν ὅλην πραγματείαν περὶ κινήσεως ὀνομάζει εἴρηται λέγων ἡμῖν ἐν τοῖς περὶ κινήσεως.

B Neapolitanus III E 1 [Cyrilli Catal. II 431], chartaceus s. XIV, foliis constans 277 (non 276 vel 287, nam qui singula folia imo margine numeris distinxit, bis scripsit 130, qui autem summo margine, calami lapsu 222 pro 212 dedit). continet Aristotelis Physicorum libros octo omnes scholiis creberrimis instructos, quorum ultimum spectat ad Arist. Θ 7 p. 261b22. ad libros I—VII Simpliciana pleraque adscripsit scholiastes sua quaedam inmiscens, nisi quod adnotat f. 59r (ad Arist. p. 197a1. Philop. p. 275,13 sqq.) ὁ μὲν Φιλόπονος ἀνάγει ὑπὸ μὲν τὰ κατὰ διάνοιαν πραττόμενα τὴν τύχην, ὑπὸ δὲ τὰ κατὰ φύσιν τὸ αὐτόματον, et f. 160r quaedam exhibet ex Philop. p. 778,22 sqq. desumpta. ceterum excutienti mihi hunc

www.libtool.com.cn
librum ignota erant excerpta codicum EF, ideoque latuerint me et alia Philoponea: certe Simplicio debentur omnia quae foliis 160ᵛ—191 adscripta sunt. in scholiis vero ad librum VIII pertinentibus multa repperi Philoponea: horum quae cum scholiis Venetis εἰς τὸ ἐπίλοιπον κτλ. consentirent in adnotatione critica iis subiecta commemoravi, reliqua duplicibus uncis inclusa excerptis Parisiensibus (inde ab p. 825) interieci.

Neapolitanus III D 7 [Cyrilli Catal. II 380], chartaceus s. XIV, non continet ut videtur quidquam Philoponei commentarii, quod Cyrillus falso ex titulo conclusit. incipit enim binis columnis sic: C

col. I	col. II
ἰωάννου φιλοπόνου τοῦ Ἀλεξανδρέως τὸ ἐπίκλην σχολαστικοῦ ἐξήγησις εἰς τὴν φυσικὴν ἀκρόασιν ἀριστοτέλους	ἐξήγησις σιμπλικίου εἰς τὴν φυσικὴν ἀκρόασιν ἀριστοτέλους

sed sub col. I non Philoponi, verum Simplicii extat commentarium, sub col. II excerpta sunt qualia in Paris. R, sed nulla Philoponi.

Laurentianus LXXXVII, 10 [Bandini III 389], chartaceus s. XIV, foliis constans 185 cm. 25 altis 17 latis. hisce demum diebus mihi innotuit. continet f. 1ᵛ—2ᵛ excerpta quaedam ex Philop. p. 6,9 sqq. 7,25 sqq. 31,3 sqq. etc.; f. 7ᵛ autem nonnulla ex Philoponi prooemio desumpta, scilicet p. 1,3—22, p. 2,13—3,8 (usque ad περὶ κινήσεως), quibus subicit τὸ πρὸ τῶν πολλῶν γ θεολόγου, τὸ ἐπὶ τοῖς πολλοῖς διαλεκτικοῦ δ καὶ ὑστερογενὴ (sic) καθο· ἀφαιρεματικὸν καὶ ἐννοηματικὸν νοούμενον· τὸ δὲ ἐν τοῖς πολλοῖς φυσικοῦ. cf. Philop. p. 11,29 sqq. 192,25. 229,24. D

p. 1,3 κατὰ Ἀρ. om. || 4 καὶ τοῦ || περὶ τὸ || πᾶσαν om. || καταβάλεται (sic; primitus scripserat ἔχει) || 5 Ἀρ. om. || 6 διαιρουμένου || 6. 7 τὸ μαθημ. τὸ θεολ. (om. καὶ) || 7 μάλιστα om. || 9 Ἀριστοτέλην (sic!) || φυσικὸν || 13. 16 διαίρεσιν (quam Dielesii emendationem nescio quo inani scrupulo non recepi) ποιήσασθαι· τῶν γὰρ παρακολουθούντων τοῖς φυσικοῖς πράγμασι τὰ μὲν || 17 ἀιδίοις συνυπάρχει (om. ἰδίᾳ) || 18 καὶ τῶν ὑπαρχόντων τοῖς ἐν γεν. κ. φθ. τὰ μὲν κοινῶς ἅπασιν ὑπάρχει, τὰ δὲ ἰδία τισί· καὶ τῶν ἰδία τισὶν ὑπαρχόντων || 19 (τῶν τοῖς ἐν = t) || 20 ὑπάρχουσι ||

p. 2,16 προτέροις τέσσαρσι || 17 τέσσαρσι || ἐστιν om. || 18 καὶ πολλὰ – παρακολουθήματα om. || 20 τὴν ὅλην || 21 δέ τινας (om. τῶν φυσικῶν) || 22 et 23 τε om. || πάντα om. || 24 πάλιν om. || εἶναι ἔλεγεν ἐν ἑκα || 25 καὶ Δημ. τὰς ἀπείρους ἀτόμους || 26 οὐδαμῶς || 26. 27 ἐν τῶδε (sic) τῆς παρούσης πραγμ. (om. ὁ Ἀρ.) || 29 κατὰ τὰ μέρη || καθ' ὅλου || 30 λέγω || 31 (ἡμεραν = t) || (ὅλην) || 33 εἰπεῖν om. || οὕτω δὴ καὶ || 34 εἶναι recte || 36 αὕτη || 38. **p. 3,**1 περὶ—τοσαῦτα om. || **p. 3,**1 καὶ om. || 3 τῆς ὕλης καὶ τοῦ εἴδους || 6 μᾶλλον περὶ τοῦ εἴδους ἢ τῆς ὕλης || 7 καὶ κενοῦ || 8 τέσσαρσι ||

Parisiensis 1853 [Catal. Bibl. Reg. II 410], olim Mediceus, membraneus, forma maxima, exeunte s. IX vel ineunte X non ab uno eodemque librario scriptus. codicem in Aristotele suo eadem littera E designat Bekkerus. primum obtinent locum Physica (ff. 3—67; de foliis 1—2 cf. Torstrik, praef. in Arist. de An. p. IX sq.), scholiis instructa E

www.libtool.com.cn

partim ab aequali vel paene equali librario subrufo pigmento exaratis, partim ab recentioribus. novicia haec, quae non ultra librum IV progrediuntur, inspexi tantummodo, et fere semper Simpliciana nullius pretii inveni, frusto excepto non prorsus spernendo quod edidi in adnotatione critica ad p. 495,7 (cf. Diels, *Ueber das dritte Buch der Arist. Rhetor.* p. 34, in *Abhandl. der Berl. Akad.* 1886). contra scholia antiqua aequabiliter per omnes libros (praeter IV et VII, qui paucissima habent) distributa ex Philoponi commentariis manasse omnia putavi, iis motus rationibus quas in praefatione exposui. scriptura est non inelegans, creberrimis referta tachygraphorum compendiis vocum ἐστί, εἰσί, εἶναι, ἔσται, γίνεται, γίνεσθαι, χρόνος, ἡμέρα, διά, παρά, πρός, ἄρα, ὥσπερ (cf. ad p. 787,6) etc., saepe etiam signis, alioquin in mathematicorum praesertim codicibus obviis, vocum ἔστω, ἴσος, ἐλάττων, μείζων, κέντρον, τρίγωνον, τετράγωνον, κύκλος etc. excerptorum ad libros V—VIII spectantium nonnulla ediderat Brandis (scil. ad Arist. p. 227ᵃ27. 233ᵃ21. 239ᵇ5. 250ᵇ19. 258ᵃ20. 260ᵇ7), ipse omnia descripsi Parisiis a. MDCCCLXXXIII, eaque nunc eduntur p. 787—851, nisi quod casu excidit in editione mea scholium ad Arist. p. 254ᵃ15 sq.: Τουτέστι πρὸς τοὺς ἐλέγχους τῶν ἄλλων ὑποθέσεων ἀναλαβόντες αὐτοὺς συγγράψομεν περὶ τῆς τετάρτης. ut vero de natura excerptorum constet, addam scholiorum specimina in priores libros:

Arist. B 1 p. 192ᵇ8 οὐχ' ἁπλῶς πάντων (om. τῶν ὄντων), ἀλλ' ἤτοι κτλ. usque ad νοῦν. Philop. p. 202, 17. 21 (19 τε om., 20 καὶ τὰ ἀπὸ, 21 εἶπεν οἷον om.).

p. 192ᵇ16 γένος φησιν αὐτῶν τὴν οὐσίαν — κατηγορούμενον. Philop. p. 203,15. 16.

8 p. 198ᵇ31 ὁ Ἐμπεδοκλῆς ἐν τῷ σφαίρῳ πάντα λέγων εἶναι (sic) τὰ εἴδη μεμίχθαι ἐν τῇ α διακρίσει τοῦ σφαίρου ἐν τῇι ἀρχ τῆς κοσμοποιίας πρὶν τελείως τὰ εἴδη διακριθῆναι ἀπ' ἀλλήλων ὑπο τοῦ νείκους γι (= γίνεσθαι) τινα ἔλεγεν σύμμικτα ζῶια οἷα καὶ οἱ μῦθοι τοὺς κενταύρους ὑποτίθενται τὰ μὲν ὀπίσω ἵππου ἔχοντα τὰ δὲ πρὸς τῇι κεφαλῇι ἀνδρ. ὡς δὴ μὴ μόνων τῶν στοιχείων μεμιγμένων ἐν ⟨τῷ⟩ σφαίρω, ἀλλὰ καὶ τῶν μορίων ⟨τῶν⟩ ζώιων. ἀνδρόπρωρα φησι τὰ ἔχοντα τὰ ἔμπροσθεν ἀνου· πρώ⟨ρα⟩ γὰρ τὰ ἔμπροσθεν. quae uncis ⟨⟩ inclusi abscisa sunt. cf. Philop. p. 314,7 sqq.

p. 199ᵇ18 τὸ δὲ οὗ ἕνεκα καὶ ἐν τῇι τύχηι ἐστὶ τὸ κατὰ συμβεβηκός· ἐλθὼν γάρ τις ἀπὸ ξένης ἐλούσατο· ἀλλ' οὐ τούτου ἕνεκεν ἦλθεν, ἐγένετο μέντοι ὁ πλοῦς ὡς ἕνεκεν τούτου ὅπερ καὶ πεποίηκεν. γράφεται δὲ καὶ λυσάμενος ὅ ἐστι λυτρωσάμενος· ἐλθὼν γάρ τις ἀπὸ ξένης εὑρών τινα τῶν φίλων ἐν δεσμοῖς ἐλυτρώσατο, ἀλλ' οὐ τοῦ λυτρώσασθαι ἕνεκεν ἦλθεν. cf. Philop. p. 324,10—23. Brandis Scholl. p. 355ᵇ3. 4.

Γ 7 p. 207ᵇ13 habet lemma ἀλλ' οὐ χωριστὸς οὗτος ὁ ἀριθμός, tum Philoponea p. 489,15—23 Ἐπειδὴ—ἔχει, in quibus, praeter varietatem in apparatu critico enotatam, v. 19 οὕτω καὶ αὐξανομένου habet, v. 21 et 22 γὰρ et δὴ om.

F Marcianus 227 [Zanetti p. 118, Diels praef. Simpl. Phys. p. XIII], chartaceus s. XIV vel certe XIII exeuntis, foliis constans 436 cm. 26 altis 17 latis. Aristotelis Physica cum Simplicii commentariis in libros I—VI tenent f. 1—378ʳ (378ʳ τέλος τῆς ἀριστο τλ' φυσικῆς ἀκροάσεως: ~Γ ε' ϋ' Κ). sequuntur f. 378ᵛ scholia in Arist. p. 262ᵃ19 sqq. ὃ λέγει συντόμως τοῦτό ἐστι κτλ. (horum priora ex Philopono excerpta sunt; comparent enim inter scholia

www.libtool.com.cn
Parisiensia p. 842,30 sqq.) numeris instructa α′—μθ′. ad hos numeros pertinet recentioris manus adnotatio f. 374ᵛ summo margine (scil. ad Arist. p. 262ᵃ19) τὰ σχόλια τὰ μετὰ τελευτὴν τοῦ κειμένου γεγραμμένα ἐντεῦθεν ἅρμοσον ὥσπερ ἡ τάξις τῶν ἀριθμῶν ἀπαιτεῖ ἑκάστῳ τῶν ἐνταῦθα χωρίων, οἷον τὸ πρῶτον τῷ πρώτῳ, τὸ δεύτερον τῷ δευτέρῳ καὶ τὰ ἐφεξῆς τοῖς ἐφεξῆς, ἕως τῆς τελευτῆς καὶ τοῦ κειμένου καὶ τῶν σχολίων. sed de his scholiis fusius dicet Diels in altero Simplicii Physicorum volumine. — postremo f. 382ʳ sqq. Simplicii habet commentaria in libros VII—VIII usque ad f. 431ʳ, ubi Simpliciana deficiunt in verbis ἀρχὴ τῆς ἄλλης (sic) κινήσεως (f. 292ʳ40 Ald.), quibus novus incipit versus, eodemque versu sequuntur Τοῦ φιλοπόνου ἰῶ εἰς τὸ ἐπίλοιπον κτλ., scilicet excerpta Philoponea in Arist. Θ 6 p. 259ᵃ13—8 p. 262ᵃ2, quae suo loco ex hoc ipso codice post scholia Parisiensia edidi. ad haec rursus scholia pertinent novicii librarii adnotatiunculae f. 372ʳ (Arist. p. 259ᵃ13) ἕως ὧδε ἔχει τὰ ἐκ τῆς Σιμπλικίου ἐξηγήσεως, et f. 374ʳ (Arist. 261ᵇ31) ἕως ὧδε τὰ τοῦ Φιλοπόνου. — codicem scripsit Georgius quidam (calami lapsu Gregorium μετωνόμασε Diels p. VII), qui saepe de se mentionem fecit adiectis summo plerumque margine precibus, velut ὑπεραγία δέσποινα θκε (θεοτόκε) βοήθει μοι τῷ ἀθλίῳ (vel μοι τῷ σῷ δούλῳ γεωρ) πρεσβείαις βασιλέως τοῦ μεγάλου etc. scholia in librorum I—VI marginibus ipse Georgius scripsisse videtur praeter pauca quaedam ad libros V—VI, quae recentiori librario debentur scholia in posteriores libros exaranti. putaveram Georgium Philoponum solum excerpsisse, recentiorem vero librarium Simpliciana admiscuisse, sed vidi postea in prioribus etiam scholiis Simpliciana inesse: idcirco inutile duxi manus distinguere. neglexi, ut par erat, excerpta ex Simplicio, sed, cum non semper ipsa interpretis verba repeterentur, recepi fortasse quaedam utilius abicienda. — Simplicium et Philoponi fragmentum εἰς τὸ ἐπίλοιπον contuli abhinc annos prope decem, reliqua scholia descripsi ineunte vere a. MDCCCLXXXVII. ex his adscribam aliquot ad priores libros pertinentia:

Arist. A 2 p. 184ᵇ15 εἴ τις ζητοίη τί δήποτε τὴν μὲν μίαν (sic) ἀρχὴν εἰς τὸ κινούμενον καὶ ἀκίνητον διείλομεν κτλ. καὶ ἄπειρον. Philopon. p. 21,14—21.

2 p. 185ᵃ7 ὁ ἡράκλειτος ἔλεγεν εἰς ταὐτὰ συνιέναι τόξου δίκην καὶ λύρας τὸ ἀγαθὸν καὶ κακόν, ὃ καὶ θέσιν ἔδωκεν (sic) ὁ φιλόσοφος. ἐνεδείκνυτο δὲ τὴν ἐν τῇ γενέσει τῶν ἐναντίων μίξιν ἐναρμόνιον, ὡς καὶ ὁ πλάτων ἐμνημόνευσεν ἰᾷδες λέγων καὶ σικελικαί τινες ὕστερον μοῦσαι ξυνενόησαν ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφοτέρω. Simplic. p. 50,10 sqq.

Δ 14 p. 223ᵇ16 πῶς ἀντιμετροῦσιν — κίνησις. ex Philop. p. 782,28 - 783,5, omissis verbis καὶ τοῦ χρόνου p. 783,2.

ib. 19 διὰ (sic) δύο αἰτίας φησὶν εἶναι — καὶ τὸ γνώριμον ταύτῃ μάλιστα. Philopon. p. 783,13—19 (15 γνωριμώτερον, 16 ἐλάχιστα πασῶν καὶ γνωριμω, 17 ἡμερόνυκτον).

ib. 26 διὰ τοῦτο — νομίζεται. Philopon. p. 784,7—14 (7 ὅτι pro διότι, 10. 11 χρόνος κύκλος τις — ὁ δὲ χρόνος om.).

Laurentianus LXXXVII, 6 [Bandini III 386], membraneus s. XII G (non XI), foliis constans 327 (non 326) cm. 26 altis 20 latis, optime

www.libtool.com.cn

servatus si priora tria folia excipias madore et tineis male habita. continet Aristotelis Physicorum librum IV in brevia capita rubris distincta numeris dispertitum, quibus plerumque sine lemmatis (cf. ad p. 496,1) subiciuntur Philoponi commentariorum particulae. Aristotelea diductis litteris scripta sunt. interdum loci etiam Aristotelei intra explicationis ambitum ab Philopono citati iisdem characteribus scripta sunt et seriem capitum Aristoteleorum continuant. hos neglexi, sed, ne lector deciperetur, ad singulos locos adnotavi omitti Aristotelis verba, velut p. 591,16. 734,17 etc. monendum est praeterea ante f. 1 excidisse quaterniones XXII, nam inde ab f. 129ʳ comparent quaternionum notae λθ' μ' μα' etc., in priore quidem codicis parte ab eo qui paginas coagmentavit abscisae. hinc certa supputatione colligas integrum olim codicem libros III—IV complexum esse. qui supersunt quaterniones XLII octo sunt foliorum praeter extremum (ξδ') qui tres, ν' et νη' qui sex folia continent. codicem (cuius specimen photographicum in *Collezione Fiorentina di Facsimili* propediem dabo) eadem littera G designat in Aristotele Bekkerus: ipse nota G² indicavi recentem correctorem, qui pauca quaedam eaque non magni momenti emendavit vel supplevit. praeter hunc antiquior etiam librarius scripsit scholium ad p. 640,4 sqq., rursus alius omnium recentissimus (olim putavi eundem hunc esse atque codicis emptorem Christophorum de Bondelmontibus; cf. Bandini) appinxit f. 327ᵛ:

στάχος ἄσαρ ξυλοβάλσαμ^{ον} βαλσαμόκοκκ^{α} κιννάμωμον μαστι$^{χ'}$ κρόκ^{ος} ἀνὰ ἑξα$^{γ'}$ ᾱ' ῡ' ἀλο$^{η'}$ ἰσόσταθμος τῶν τοιούτων εἰδῶν ἤτοι ἑξα$^{γ'}$ η' ποιοῦσι κοκκία εὐστόμαχα.

partem codicis Torstrik, totum ipse contuli.

K Marcianus 220 [Zanetti p. 117], chartaceus s. XV, foliorum 540, ab uno librario eoque imperitissimo scriptus. priora folia (1—232) continent Arist. Physicorum libros I—IV cum Philoponi commentariis; sequuntur f. 233ʳ Aristotelis libri V—VIII et 289ʳ Simplicii in hosce libros commentaria (desinunt in verbis ὑφ' ἑνὸς τοῦ πρώτως συνεχῶς κινοῦντος γίνεται), quibus post folium scriptura vacuum subicitur f. 425ʳ πρόκλου διαδόχου λυκίου στοιχείωσις φυσική, itemque post alia duo folia scriptura vacua f. 440—540 Somnii Scipionis Metaphrasis Planudea. Philoponi commentaria usqe ad f. 40 in margine scripta sunt, inde ab f. 41 commentariorum particulae ponuntur post singula capita Aristotelea; idcirco exciderunt in priore parte lemmata fere omnia (at cf. p. 25,12. 29,10 etc.), in altera omissum est constanter primum cuiusque capitis lemma, mire decurtata sunt reliqua. magna lacuna absorbuit praeterea f. 173ᵛ Philoponi verba p. 579,24—597,4 τριχῇ—εἰπὼν δὲ, fortasse quia integer quaternio exciderat in exemplo unde liber manavit. codex est bonae notae, quippe qui et lacunas expleat reliquorum non paucas et interpolationibus vacet. contuli Florentiae.

www.libtool.com.cn

Vaticanus 1028 [Brandis *Abhandl. der Berl. Akad.* 1831 p. 67 nr. 103], L
chartaceus. continet f. 1 Arist. Phys. l. I—VII, f. 38 Platonis Menexenum, f. 45 excerpta Simpliciana in Physica, f. 93 Philoponi commentaria in Phys. l. I—IV, f. 371 ἀλεξάνδρου ἀφροδισέως εἰς τὸ περὶ αἰσθήσεως καὶ αἰσθητῶν, f. 411 Iamblichi Protrepticum. scriptus est a compluribus aequalibus vel prope aequalibus librariis, quorum primus exaravit f. 1—44, alter f. 45—92, tertius (primo similis) f. 93—181 (Philop. l. I. II), quartus f. 182—242 (Philop. l. III inde ab p. 349,7 editionis nostrae), quintus (similis ei quem tertium diximus) f. 243—370, sextus septimus et octavus reliqua. codicem accurate contulit et descripsit Augustus Mau vir doctissimus, qui eum saeculo XIII scriptum putat. Torstrikius contra saeculo XV tribuerat. equidem inspexi eum festinanter ante aliquot annos et saeculi XIV esse putavi, quamvis antiquiorem compendiosae et intricatae scripturae speciem referat; neque iniquius de eo iudicaverim, nam certe descriptus est Iamblichi Protrepticus ex codice saeculi XIV (Laurentiano LXXXVI, 3), ut propediem firmissimis demonstrabit argumentis Pistellius in *Museo ital. di ant. class.* vol. III. in libris I—II magna est codicis auctoritas, aliquanto minor in libro III neglegentius scripto, nulla in libro IV. descriptus est enim liber IV ex codice G, ex quo perperam lecto miri saepe errores orti sunt, velut p. 719,22 ὡς pro ἡ visus est sibi legere L; 622,22 τὰ . . . . . μένα G, τα . . . . . μία ἐν L; 496,14 κέχρηται Torstrikio teste L, nimirum quia in G littera ν foro partim exhausta est. ad hos accedunt et alii errores permulti, quos librarius ultro admisit, ita ut minime mirum sit consentire eum aliquando in talibus cum KM, velut p. 643,17 in omissione vocis ἔσται. nota L² indicat recentiorem correctorem.

Marcianus 230 [Zanetti p. 118], chartaceus saec. XIV (XV Zanetti), M
foliorum 357, a compluribus librariis scriptus. foliis 1—170 continet Philoponi commentaria in Physicorum libros I—IV satis accurate scripta usque ad quaternionem ιγ' (cuius extrema verba δρώντων συμβαίνει ἀκλεγουντοι p. 423,8 editionis nostrae), neglegentissime in reliquis. ex hoc codice pendere dixi editionem Trincavellianam in libris I—III (et fortasse ipsi Veneto editori correctiones debentur, quas nota M² indicavi), idque ex ipsa adnotatione nostra critica colligere licet; cf. ad p. 4,19. 12,22. 14,26. 35,29. 425,28. 427,20. 432,17. 24. 433,3 etc. certum est praeterea typothetas Trincavellii ipsum codicem, non apographon, in manibus habuisse: comparent enim in eo signa plumbeo stilo exarata, quibus ἐκθέσεις et extrema cuiusque impressae paginae designantur. cf. R. Schoell in Hermae vol. V (1870) p. 126 sq. sed inde ab quaternione ιδ' errorum copia deterritus, ut opinor, editor alium sibi comparavit codicem, cuius ope Philoponi verba restitueret; in libro IV autem M penitus deseruit, alium adscivit. qui vero factum sit, ut in Corollario de inani (p. 675,12—695,8) rursus uteretur codice M (idque rursus typothetarum

www.libtool.com.cn
plumbea signa indicant), equidem ignoro. codicem Florentiam transmissum ipse contuli.

N VATICANUS 250 [Brandis *Abhandl. der Berl. Akad.* 1831 p. 67 nr. 100], chartaceus s. XV, foliis constans 342 ab uno librario imperitissime scriptis. primum obtinent locum (f. 1—93) Arist. Phys. l. I—IV cum Philoponi commentariis, quae inde ab f 32 non amplius in margine, sed post singula capita Aristotelea scripta sunt; sequuntur f. 194—238 Aristotelis l. V—VIII, et f. 239 sqq. Simplicii in hosce libros commentaria in fine mutila, ut in codice K. specimina misit Augustus Mau, ex quibus collegi consentire eum constanter cum K et sine damno neglegi posse. nolim tamen conicere alterum ex altero descriptum esse. omittit enim K p. 8,3 καὶ τῆς τελικῆς et τε, 17 prius αὐτοῦ, 24 τε, 14,26 ὅδε, 15,1 sq. γνῶναι — πράγματα, non omittit N; contra p. 7,22 pro γίνεται dedit γὰρ N, omisit K; 22,24—25 οὐ περὶ—ὄντων itemque 490,18 et 20 ἐνεργείᾳ et δυνάμει habet K, omittit N; 491,19 detritum est ς' (= ἕκτῳ) in N, omissum in K; 786,2 γὰρ K, μὲν γὰρ N etc.

O LAURENTIANUS LXXXV, 1 [Bandini III 236. Diels praef. Simpl. Phys. p. XII]. post Simplic. Phys. f. 292ʳ40 Ald. habet (f. 648ᵛ sqq.) Philoponi excerpta εἰς τὸ ἐπίλοιπον κτλ. ex codice F desumpta, in quibus non pauca evanuerunt lectuque sunt hodie difficiliora. fragmenti Philoponei partem descripsit Christianus Belgerus vir doctissimus, totum ipse contuli.

P PARISIENSIS 2057 [Catal. Bibl. Reg. II 437], chartaceus saec. XV, forma minori, foliorum 235. continet Philoponi commentariorum libros III—IV initio mutilos, nam incipit ab p. 339,17 ἀναγκαῖος ἄρα κτλ. in imo margine f. 1ʳ adnotavit m. rec. λείπεται ἐξ ἀρχῆς τετράδια ἑπτά. ἐξήγησις τοῦ τρίτου τῶν φυσικῶν. item f. 233ᵛ τετράδια τῆς βίβλου ταύτης τεσσαρακαίδεκα ὑπολείπονται, ἑπτὰ δὲ ἐξ ἀρχῆς ἀπόλωντο (sic)· φύλλα δὲ τῶν σωζομένων τετραδίων σύμπαντα (εἰσὶ deletum) τὰ γεγραμμένα εἰσὶ πέντε καὶ τριάκοντα πρὸς τοῖς διακοσίοις, et infra αὐτὸν (sic) τὸ βιβλίον ὑπάρχει τῆς τῶν κασούλων ἁγιωτάτης μονῆς. similia iterantur f. 235ᵛ. codex descriptus videtur ex M, quocum plane consentit, velut p. 467,2 παρελελυθὸς; 585,2 et 15 παρ'; 586,15 sq. ἀκίνητ corr. in ἀκίνητ; 644,6 ὠθεῖσαι. praeterea p. 468,22 omittit in lacuna τὸ, quod oblitteratum in M esse vidimus; similiter p. 469,4 omittit ἐπὶ nulla tamen indicata lacuna. contra nihil valent discrepantiae velut p. 526,2 οὗ pro οὐ, 4 ὕδατος pro εἴδους sim., vel emendati interdum codicis M itacismi errores. codicem Florentiam transmissum ipse examinavi.

p. 869, 5 ἐπιλάβοι || 8 ἔτι pro ἔστι || 9 καὶ ἀδύνατον αὐτὴν ἄλλην || 12 Λ (= ἔστι) κίνησις ex ἐκίνησις corr. || ὅτι ἔστιν om. || 18 εἰδός τε || 31 ἐνερ || 32 ἑτέρα ἐστὶ αὕτη π

www.libtool.com.cn

τὴν || **370,1** ἐν ἑαυτῷ τὸ εὖ ἔχουσα || 5 κινεῖσθαι || ἐν pro οὐ || 7 ἔθεν μὲν || 8 μὲν ἐν τῷ || 11 εἰ pro εἰς || 12 μηδέποτε || 13 γὰρ τοῦ ποιητικοῦ ἡ ||

p. 493,16 δ' pro δεῖ || 18 ἀποσκέψασθαι || 22 ἀλη || 23 δοκεῖ || 26 γένησις || 28 ἢ (sic) pro εἴη || **494,**4 ἡ || 5 μὲν pro δὲ || δὲ pro γὰρ || 7 περαίνοιτο μὲν γὰρ || 8 ἅπτεσθαι || 10 τόδε pro τὸ μὴ || 13 τοῦ τυχόντος utrobique primitus || 17. 18 ἐπιφάνεια — ἅπτεται om. (eadem om. M, de quo in adnotatione falsa rettuli) || 19 γὰρ pro δὲ || ὑμέτερον || 20 σημαίνει || 21 καινῶ primitus || δὲ om. || 22 πεπέρασται || **495,**4 αὐτὸν ἀνάγκη || 11 ἀθρόως || 13 τῇ ἀπειρία || 18 διαιρε δὲ || post 21 τέλος τῆς ἐξηγήσεως τοῦ τρίτου βιβλίου ||

Parisiensis 2063 [Catal. Bibl. Reg. II 438], chartaceus s. XIV, et R
alia continet et (f. 56—317) Aristotelis Physica ab uno, ut videtur, librario conscripta scholiisque permultis instructa usque ad f. 258ᵛ (Arist. Δ 10 p. 218ᵇ3 περιφορά); cetera alii debentur librario, qui nulla adscripsit scholia praeter pauca quaedam f. 316ᵛ sq. rursus alius librarius, qui pigmento utitur subviridi, scholia scripsit partim Simpliciana partim Philoponea in margine vel inter versus foliorum 56—58 priora tria capita Aristotelea continentium usque ad p. 186ᵇ7. haec enim tria folia extra quaternionum ordinem addita sunt, quo fit ut f. 59ʳ rursus habeas excerpta Simpliciana et Philoponea ad initium Physicorum spectantia, et f. 60ʳ rursus incipiant Aristotelis verba inde ab initio primi capitis. post Physica habet codex libros de Caelo usque ad p. 269ᵇ33 (οὐκ ἔστιν), in quibus imo margine folii 316ʳ legitur possessoris nomen *Fr. Mariano.* ceterum in adnotatione critica ad p. 1,1 falso dixi exstare in hoc codice excerpta ex Philoponi prooemio. specimina miserat Diels (cf. praef. Simplic. Phys. p. XIX), sed codicem ipse denuo examinavi Florentiae. adscribam exempli gratia aliquot scholia, dataque occasione testes etiam adhibebo codices ABC: nota Rᵃ scholia pigmento subviridi scripta indicabo.

Arist. A 1 p. 184ᵃ10 καθολικώτερον τὸ εἰδέναι τοῦ ἐπίστασθαι — μέθοδός ἐστιν ἕξις ὁδοποιητικὴ μετὰ λόγου — ἀρχὰς δὲ καὶ αἴτια ἤτοι ἐκ παραλλήλου τὸ αὐτὸ λέγει κτλ. (cf. Philop. p. 6,9 sqq.) Rᵃ.

2 p. 185ᵃ24 τοῦτο παράδειγμα τοῦ ἓν ὡς ἐν εἶδει εἶναι τὰ πάντα· τοῦτο δὲ ἀπαρέσκει τῷ Φιλοπόνῳ (p. 36,9)· φησὶ δὲ μᾶλλον οὗτος εἶναι παράδειγμα τοῦ ἓν εἶναι τὰ πάντα τῷ ἀριθμῷ. Rᵃ.

Cf. Philop. p. 5,7 sqq. τετραχῶς ἡ (ἡ habet C: om. R) ἀρχὴ κατὰ Ἀριστοτέλην· ἢ γὰρ τὸ ἐξ οὗ ὡς ἡ ὕλη, ἢ τὸ καθ' ὃ ὡς τὸ εἶδος, ἢ τὸ ὑφ' οὗ ὡς τὸ ποιοῦν, ἢ τὸ δι' ὃ ὡς τὸ τέλος. κατὰ δὲ Πλάτωνα καὶ τὸ πρὸς ὃ ὡς τὸ παράδειγμα, καὶ τὸ δι' οὗ ὡς τὸ ὀργανικόν: – ἐπιστῆσαι δὲ ἄξιον ὅτι τοῖς προκειμένοις οἰκεῖον τὸ τοῦ ὅλου καὶ συνθέτου (sic C: συνθε R), ἀλλ' οὐχὶ τὸ τοῦ καθόλου παράδειγμα· οὐ γὰρ ὡς ἐκ στοιχείων τῶν καθ' ἕκαστα (sic C: ἕκαστον R) σύγκειται τὸ καθόλου ὥσπερ τὸ ὅλον καὶ τὸ σύνθετον κτλ. CR.

Οἱ περὶ Θαλῆν καὶ Ἀναξιμένην καὶ Ἀναξίμανδρον μίαν καὶ κινουμένην ἔλεγον τὴν πρώτην τῶν ὄντων ἀρχήν, Θαλῆς μὲν (μὲν ABR: δὲ C) ὕδωρ, ἐκ τούτου δὲ καὶ κατὰ μεταβολὴν τὰ ἄλλα, ἀέρα φημὶ καὶ πῦρ καὶ γῆν, ἐκ δὲ τούτων τὰ σύνθετα, Ἀναξιμένης δὲ καὶ Ἀναξίμανδρος καὶ Διογένης κτλ. ABCR.

www.libtool.com.cn

Δημόκριτος δὲ καὶ Λεύκιππος τὰς ἀτόμους καὶ τὸ κενὸν ὑπέθετο (sic A: ὑπετίθετο BR), τό τε κενὸν ἄπειρον εἶναι καὶ τὰς ἐν αὐτῷ ἀτόμους. ἀτόμους δὲ ἔλεγε διὰ σμικρότητα (haec duo verba deleta in A: om. R: ex B inde ab hoc loco nihil adnotavi) σώματά τινα διὰ σμικρότητα ἀφανῆ καὶ ἀδιαίρετα διὰ σκληρότητα οἷά ἐστι (εἰσι R) τὰ διὰ τῶν θυρίδων ἐν ταῖς ἀκτῖσι κονιορτώδη φαινόμενα ψήγματα κτλ. ABR.

S Parisiensis 1859 nomine tenus mihi notus. adnotavit Torstrikius inesse excerpta Philoponea, ex iis scilicet quae ad Arist. Θ 6 p. 259ᵃ13—8 p. 262ᵃ2 pertinentia ex codice F edenda curavimus.

T Marcianus 219 [Zanetti p. 117], membraneus s. XV, foliorum 357. continet f. 340 sqq. Philoponi fragmentum εἰς τὸ ἐπιλοίπον κτλ. ex F descriptum, ut ex ipsa inscriptione patet: inscribit enim T ἀρχὴ τῆς ἄλλης κινήσεως (sic! cf. F)· τοῦ φιλοπόνου ἰωάννου κτλ. contuli ipse.

V Ottobonianus 32 [Brandis *Abhandl. der Berl. Akad.* 1831 p. 68 nr. 115]. f. 17—29 continet idem fragmentum ex O descriptum; quae enim evanuerunt in O plerumque vel omisit V vel perperam supplevit. fragmenti partem ex hoc codice descripsit Christianus Belgerus, totum accuratissime contulit Gustavus Heylbut amicus.

t ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑ|ΤΙΚΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑ ΠΕΡΙ ΦΥΣΙΚΗΣ ΤΕΣΣΑ|ΡΑ ΠΡΩΤΑ ΒΙΒΛΙΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. | *IOANNIS GRAMMA|TICI IN PRIMOS QVATVOR ARISTOTELIS DE NATV|RALI AVSCVLTATIONE LIBROS COMENTARIA. priuilegio Senatus Veneti cautum est, nequis hosce libros per decennium impune, aut imprimat, aut alibi impressos in hac ciuitate, vel aliis ueneto imperio subditis uendat.* | *MDXXXV.* et in calce libri: *Venetiis in aedibus Bartholomaei Zanetti Casterzagensis, aere uero, et* | *diligentia Ioannis Francisci Trincaueli. anno a partu uirginis* | *MDXXXV. Mense Septembri.* sed in inscriptione epistolae ad Casparem Contarenum, quae praefationis obtinet locum, audit editor *VICTOR TRINCAVELVS.* integram scripturae discrepantiam editionis Venetae in adnotationem criticam recepi, neglectis lemmatum partibus ex edito Aristotele suppletis. plerumque vel typothetae errores exscripsi, non paucos tamen silentio pressi: frequenter enim quae perperam scripta sunt in nonnullis exemplis, emendata sunt in aliis. ex. gr. scriptum est in exemplo quo utor p. 514,10 recte ἔμπροσθεν et p. 542,7 perperam πέφηκεν, in alio perperam ἔμπρωσθεν et recte πέφυκεν. cf. ad p. 116,20 etc. libros I—III ex codice M descriptos esse supra monui: in libro IV usus est Trincavellius apographo codicis G, quocum eius editio fere in omnibus consentit: cf. ad p. 496,6. 497,5. 511,16 etc.

Versionum latinarum vidi tria exempla, quorum primum (α) Venetiis apud Octavianum Scottum D. Amadei a. MDLIIII impressum Guilelmi Dorothei Veneti theologi interpretis nomen prae se fert; alterum (β) Ve-

www.libtool.com.cn
netiis a. MDLVIII apud Hieronymum Scotum editum continet Dorothei versionem ab Ioanne Baptista Rasario medico Novariensi in prioribus tantum, ut videtur, paginis correctam; tertium (γ) denique editum Venetiis a. MDLXIX apud Vincentium Valgrisium refert novam Rasarii interpretationem. plura dabit Hoffmannus in Lexico bibliographico: sed neque Hoffmannus neque alii explicant, quo tandem pacto in praefatione ad γ, scripta illa quidem "Venetiis Kal. Quinctil. MDLXIX", ne verbo quidem commemoret Rasarius editionem anni MDLVIII. scribit enim: *huius* (sc. Philoponi) *ego in quatuor priores libros explanationem cum ab hinc decennium in latinam linguam conuertissem, huc usque me sustinui, ne in apertum proferrem, quod amicus quidam meus magna me spe impleverat, fore, ut reliquos quatuor, qui non extant, ad me mitteret. uerum cum uideam id longius fieri, quam ut quicquam sit praeterea expectandum, coactus sum, multis efflagitantibus, hanc partem in lucem edere* etc. conicias exemplo β Rasarii nomen falso ab impressore praefixum esse; at inest ipsius Rasarii epistula ("Venetiis, Pridie Calend. Septemb. MDLVII") ad Franciscum Badoarium senatorem, ubi et alia complura in Dorotheum convicia et haec leguntur: *his mensibus in quibus a munere publico, interim dum se calor frangat, vacare nobis licet, institui eos libros Aristotelis legere ..... cum enim permulti iam ad me pertulissent, eos commentarios, quos Ioannes grammaticus in quatuor primos libros conscripserat, ita esse versos, ut pauca a studiosis intelligi posse videantur, putaui mihi suscipiendum laborem, utilem mea quidem sententia graecae linguae ignaris, mihi quidem ipsi non necessarium, ut eos cum graecis coniungerem, et quoad eius fieri a me posset, emendarem, id quod ego quidem sedulo feci* etc. videant igitur alii quomodo haec explicanda sint; equidem addam specimina trium exemplorum, ex quibus patebit quam impudenter in exemplo β restituti dicantur Philoponi commentarii "ad graecorum codicum fidem" (Dorotheus ingenue dixerat se "e vulgatis tantum exemplaribus" vertisse), sublatique errores innumeri in singulis paginis, "ut plane alia nunc interpretatio videatur."

Philop. p. 1,3 sqq.

α	β
Cum duae sint apud Aristotelem Philosophiae partes, una spectatiua contemplatiuaque, altera actiua, contemplatiuae summum studium Aristoteles praesertim adhibuit. hac enim rerum naturam, qua constant cognoscimus. rursus cum contemplatiua in tres partes secetur, in naturalem disciplinam scilicet et rerum diuinarum scientiam, ac mathematicem, circa naturalem disciplinam, tum quia animo naturaeque nostrae cognatior est, tum etiam quod multi ante Aristotelem in theologiam, idest diuinarum rerum cognitionem, mathematicemque summopere laborarunt, qui non ita scientiae de natura inuigilarunt, Aristoteles maxime uersatus est.	*Cum duae sint ex Aristotelis sententia, Philosophiae partes, una contemplatiua, altera actiua, contemplatiuae summum studium Arist. potissimum adhibuit. hac enim eorum, quae sunt naturam, quia sint, cognoscimus. cum autem contemplatiua in tres partes secetur, in naturalem disciplinam et rerum diuinarum scientiam, ac mathematicam, circa naturalem disciplinam, tum quia naturae nostrae cognatior est, tum etiam quod multi ante Aristo. in diuinarum rerum cognitione, mathematicaque summopere laborarunt, qui non ita scientiae de natura inuigilarunt, Aristoteles maxime uersatus est.*

www.libtool.com.cn

γ

Cum duae partes Philosophiae sint ex Aristo. sententia, quarum altera in contemplatione rerum, in actione altera uersatur: Aristoteles in ea parte, quae contemplationis est, omne suum studium, omnemque operam praecipue posuit: siquidem ea facit, ut rerum naturam, quia sint cognoscamus. cumque philosophia, quae in contemplatione est posita, sit diuisa in partes tres, ut una sit naturalis, altera diuina, tertia mathematica, ipse in naturali potissimum uersatus est, tum quia nostrae sit naturae cognatior: tum uero quia diuinam et mathematicam plerique etiam ante Aristotelem diligenter tractauerunt.

Philop. p. 187,19 sqq.

αβ

Quomodo priuatio sit maleficium his probat. nam cum sit quoddam diuinum, loquitur autem de forma materiali. et ne quis suspicari possit ipsum de primo bono diuino ac appetibile dixisse adiecit huic, alterum contrarium ipsi est. primo autem nihil est contrarium. diuinum igitur appellat formam materialem, diuinum inquam quoniam ab ipso deo procedit, bonum quoque quoniam esse unicuique bonum est. priuationem autem diximus contrarium formae esse, quoniam ipsa est causa cur aliquid non sit, sed si bono aduersatur priuatio, ergo ipsa mala est. materia autem formae non est contraria, quoniam appetit ipsam ut turpe pulchrum, et foemina marem. nam sicut ipsa turpitudine participat dico ·s· ipsa priuatione, ita appetit bonum, quoniam ab ipso ornatur et decoratur.

γ

Probat his uerbis, quomodo malum afferat priuatio. nam cum sit inquit, diuinum quiddam, quod ipse formam in materia uocat, ne quis suspicaretur ipsum de primo loqui, ideo dixit, diuinum quoddam, et bonum, et expetendum: cui sane contrarium ait esse: primo autem nihil est contrarium. divinam ergo hoc loco formam in materia uocat. ac diuinam quidem, quia a deo procedit, quia essentia cuiusque bona est. priuationem autem formae contrariam esse dicimus: quia ipsa causa sit cur res non sit. quod si priuatio est bono contraria, ergo mala priuatio est. at materia non est formae contraria, siquidem materia formam ita desiderat, ut res turpis pulchritudinem, et matrem (sic) *foemina. materia enim tanquam turpitudinis particeps, hoc est priuationis, ita pulchritudinem expetit, quoniam ab ipsa ornatur.*

www.libtool.com.cn

IOANNIS PHILOPONI
IN ARISTOTELIS PHYSICORUM
LIBROS TRES PRIORES
COMMENTARIA

www.libtool.com.cn

www.libtool.com.cn

ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ ΕΙΣ ΤΟ Ᾱ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ. a 1r

Δύο μερῶν ὄντων τῆς φιλοσοφίας κατὰ Ἀριστοτέλην, τοῦ τε θεωρητικοῦ καὶ πρακτικοῦ, πρὸς τὸ θεωρητικὸν μάλιστα τὴν πᾶσαν σπουδὴν κατε-
5 βάλετο Ἀριστοτέλης· τούτῳ γὰρ τὴν τῶν ὄντων φύσιν ᾗ ὄντα γινώσκομεν. τοῦ δὲ θεωρητικοῦ εἰς τρία μέρη διῃρημένου, τὸ φυσιολογικὸν τὸ θεολογικὸν καὶ τὸ μαθηματικόν, περὶ τὸ φυσιολογικὸν μάλιστα κατεγένετο ὡς σύστοιχον μᾶλλον τῇ φύσει τῇ ἡμετέρᾳ, καὶ ὅτι τὸ μὲν θεολογικὸν καὶ μαθηματικὸν παρὰ πολλοῖς ἦν καὶ πρὸ Ἀριστοτέλους ἐξειργασμένα, τὸ δὲ φυσιολογικὸν
10 οὐχ οὕτως. ὅθεν καὶ πλείστας ὁ Ἀριστοτέλης φυσικὰς πραγματείας συνέγραψε, καὶ συνδιεῖλε τοῖς φυσικοῖς πᾶσιν ὡς εἰπεῖν πράγμασιν τὸ τῶν ἑαυτοῦ συγγραμμάτων πλῆθος. ἵνα δὲ τοῦτο δείξωμεν, εὔλογον ἂν εἴη τῶν παρακολουθούντων τοῖς φυσικοῖς πράγμασιν αἵρεσιν ποιήσασθαι· μαθησόμεθα γὰρ οὕτως ὅτι καὶ αἱ τοῦ Ἀριστοτέλους πραγματεῖαι ἀκολούθως
15 τοῖς φυσικοῖς συνδιῃρέθησαν πράγμασι.

Τὰ μὲν κοινῶς ἅπασι παρακολουθεῖ, τὰ δὲ ἰδίᾳ τισί· καὶ τῶν ἰδίᾳ τισὶ παρακολουθούντων τὰ μὲν τοῖς ἀιδίοις ἰδίᾳ ὑπάρχει, τὰ δὲ τοῖς ἐν γενέσει καὶ φθορᾷ· καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ ὑπαρχόντων τὰ μὲν τοῖς ὑπὲρ τὴν γῆν ἰδίᾳ ὑπάρχει, τὰ δὲ τοῖς ἐν τῇ γῇ· καὶ τῶν τοῖς ἐν τῇ γῇ
20 ὑπαρχόντων τὰ μὲν ἰδίᾳ τοῖς ἀψύχοις ὑπάρχει, τὰ δὲ τοῖς ἐμψύχοις· καὶ τῶν τοῖς ἐμψύχοις ὑπαρχόντων τὰ μὲν τοῖς αἰσθητοῖς ἰδίᾳ ὑπάρχει, τὰ δὲ τοῖς ἀναισθήτοις. γέγραπται οὖν αὐτῷ περὶ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς ὑπαρχόντων, ἥτις ἐστὶν ἡ προκειμένη πραγματεία, καὶ περὶ τῶν ἰδίᾳ τοῖς ἀιδίοις ὑπαρχόντων ἐν τοῖς Περὶ οὐρανοῦ, καὶ περὶ τῶν κοινῇ
25 πᾶσι τοῖς ἐν γενέσει καὶ φθορᾷ παρακολουθούντων ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς, ἐν δὲ τοῖς Μετεώροις περὶ τῶν ἰδίᾳ τούτοις ὑπαρχόντων γέ-

---

1 De titulo vide praefationem. prooemium, ex quo pauca quaedam excerpta extant in codd. Paris. 2063 et Coisl. gr. 166, integrum solus servasse videtur codex M quo de cf. praefatio 4 πρὸς M: περὶ t 6 θεολογιτικὸν primitus M 9 ἦν M: λίαν t 13 αἵρεσιν] litterae αἵ foro exhaustae M: διαίρεσιν emendavit Diels 19 τῶν τοῖς ἐν t: τῶν ἐν τοῖς ἐν M 21 scribe αἰσθητικοῖς

www.libtool.com.cn

γράπται αὐτῷ καὶ Περὶ μετάλλων (τοιοῦτο δέ ἐστι καὶ ὁ τῶν Μετεώρων a 1r
τέταρτος), ἐν οἷς περὶ τῶν τοῖς ἀψύχοις παρεπομένων ἐδίδαξεν. αἱ δὲ περὶ
ζῴων καὶ φυτῶν πᾶσαι πραγματεῖαι αἱ μέν εἰσι περὶ τῶν ὡς ἐμψύχοις καὶ
ἀναισθήτοις παρακολουθούντων, ὡς αἱ περὶ φυτῶν, αἱ δὲ περὶ τῶν ὡς ἐμ- 30
5 ψύχοις καὶ αἰσθητικοῖς, ὡς αἱ περὶ τῶν ζῴων πᾶσαι πραγματεῖαι καὶ
ἱστορίαι. τούτοις δὲ αὐτοῖς τοῖς ζῴοις τὰ μὲν ὡς ὅλοις παρακολουθεῖ, τὰ
δὲ τοῖς μέρεσιν αὐτῶν. περὶ μὲν οὖν τῶν ὡς ὅλοις ζῴοις παρακολουθούν-
των ἐν τῇ Περὶ ζῴων διείλεκται, περὶ δὲ τῶν τοῖς μέρεσιν αὐτῶν παρακο-
λουθούντων ἔν τε τοῖς Περὶ μορίων ζῴων καὶ ἐν τοῖς Περὶ κινήσεως ζῴων.
10 καὶ τὰ Περὶ ὕπνου δὲ καὶ ἐγρηγόρσεως, Περὶ ζωῆς τε καὶ θανάτου καὶ τὰ
παραπλήσια τούτοις εἰς τὴν περὶ ζῴων συντείνει θεωρίαν, καὶ προσέτι τὰ
Περὶ ψυχῆς. τοιαύτη μὲν οὖν ἡ πᾶσα περὶ φύσεως τοῦ Ἀριστοτέλους 35
πραγματεία. τὸ δὲ προκείμενον βιβλίον ἐστίν, ὡς εἴρηται, περὶ τῶν κοινῇ
πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων, διὸ καὶ ἰδίως Φυσικὴν τὴν
15 πραγματείαν ὠνόμασε. ταῦτα δέ ἐστι πέντε· ὕλη εἶδος τόπος χρόνος κί-
νησις. καὶ ἐν μὲν τοῖς πρώτοις τέτρασι βιβλίοις διδάσκει περὶ τῶν τεσσάρων,
ἐν δὲ τοῖς τελευταίοις τέτρασι περὶ κινήσεως· ποικίλος γάρ ἐστιν ὁ περὶ
κινήσεως λόγος, καὶ πολλὰ τούτῳ ἐστὶ τὰ παρακολουθήματα. ὅθεν καὶ τὴν
ὅλην πολλάκις πραγματείαν Περὶ κινήσεως ὀνομάζει, "εἴρηται" λέγων "ἡμῖν 40
20 ἐν τοῖς Περὶ κινήσεως", τουτέστιν ἐν τῇ Φυσικῇ, ἐκ τοῦ μέρους ὅλην πραγ-
ματείαν ὀνομάζων. κατά τινας δὲ τῶν φυσικῶν καὶ τὸ κενὸν καὶ τὸ ἄπειρον πᾶσι παρακολουθεῖ τοῖς φυσικοῖς πράγμασι. Δημόκριτός τε γὰρ πάντα τὰ φυσικὰ πράγματα συνεστάναι ἔλεγε ἐκ τῶν ἀτόμων τε καὶ τοῦ κενοῦ, καὶ Ἀναξαγόρας πάλιν ἀπείρους ἐν ἑκάστῳ ἔλεγεν εἶναι τὰς ὁμοιομερείας.
25 ἀλλὰ καὶ τὰς ἀτόμους ὁ Δημόκριτος ἀπείρους εἶναι ὑπετίθετο· ἀλλ' ὅτι
μὲν οὐδαμοῦ δύναται εἶναι τὸ κενὸν δείκνυσιν ἐν τῷ τετάρτῳ τῆς προκει- 45
μένης πραγματείας ὁ Ἀριστοτέλης, τὸ δὲ ἄπειρον ὅτι μὲν κατ' ἐνέργειαν
εἶναι οὐ δύναται οὐδ' ὅλον ἅμα ὁμοίως δείκνυσι, δυνάμει δὲ μόνον καὶ
κατὰ μέ|ρη συνεστάναι. εἰσὶ γὰρ τοιαῦτά τινα ἐν τῷ παντί, ἃ καθόλου μὲν a 1v
30 συστῆναι οὐ δύναται, κατὰ μέρη δὲ ὑφέστηκεν. ὥσπερ λέγομεν ὑφεστάναι
τὴν ἡμέραν οὐ τῷ ὅλην ἅμα εἶναι, ἀλλὰ τῷ κατὰ μέρη· ὁμοίως δὲ καὶ
τὸν ἀγῶνα ὑφεστηκέναι λέγομεν οὐ τῷ ὅλον ἅμα συνεστάναι, ἀλλὰ τῷ
κατὰ μέρος, πυγμὴν φέρε εἰπεῖν ἢ πάλην ἢ τῶν ἄλλων τι. οὕτως δὲ καὶ
τὸ ἄπειρον δείκνυσι πῇ μὲν ὄν, πῇ δὲ οὐκ ὄν· καθόλου μὲν γὰρ οὐκ ἔστι 5
35 δείκνυσι, κατὰ μέρη δὲ τῷ γίνεσθαι ἀεὶ τὰ πράγματα καὶ ἐπ' ἄπειρον. ἡ
δὲ στέρησις παρακολουθεῖ μὲν καὶ αὐτὴ τοῖς φυσικοῖς, οὐ πᾶσι δέ, ἀλλὰ
τοῖς ἐν γενέσει καὶ φθορᾷ μόνοις· ταῦτα γὰρ πέφυκε παρὰ μέρος πῇ μὲν
τοῦ εἴδους, πῇ δὲ τῆς στερήσεως μετέχειν. περὶ μὲν οὖν τῶν παρακολου-

---

1 τοιοῦτο t: τοιοῦτ** M: fort. τοιοῦτος 2 τῶν ἐν τοῖς M 5 πραγματείαι (sic) M et, ut solet, t 16 et 17 τέτρασι] ita Mt hic et p. 3,8 cf. 1 6 v 37 19 λέγων] cf. Bonitzii Index Arist. p. 102 b 15. Simplic. p. 4,15 Diels 26 τετάρτῳ c. 6 sqq. 29 fort. καθ' ὅλα et v. 34 καθ' ὅλον 31 ἡμέραν M: ἡμετέραν t. contrario errore ἡμέρα pro ἡμετέρα dabit r 2 r 7 codex K ὅλην scripsi: ὅλη Mt 34 ἔστι Mt: immo εἶναι

www.libtool.com.cn

θούντων τοῖς φυσικοῖς τοσαῦτα. ἐν δὲ τῷ πρώτῳ βιβλίῳ ἀνασκευάζει καὶ a 1v
τὰς τῶν παλαιοτέρων περὶ τῶν φυσικῶν ἀρχῶν δόξας καὶ διδάσκει περὶ
τοῦ εἴδους καὶ τῆς ὕλης, ἐν δὲ τῷ δευτέρῳ περὶ τοῦ εἴδους (διαλέγεται δὲ
καὶ περὶ τῆς ὕλης, ὥσπερ καὶ ἐν τῷ πρώτῳ περὶ τοῦ εἴδους· ἀλλὰ μᾶλλον
ἐν τῷ πρώτῳ περὶ τῆς ὕλης ἤπερ τοῦ εἴδους, ὡς καὶ ἐν τῷ δευτέρῳ
περὶ τοῦ εἴδους μᾶλλον ἤπερ τῆς ὕλης), ἐν δὲ τῷ τρίτῳ διδάσκει περὶ κι-
νήσεως καὶ ἀπείρου, ἐν δὲ τῷ τετάρτῳ περὶ τόπου χρόνου κενοῦ, ἐν δὲ
τοῖς λοιποῖς τέτρασι περὶ κινήσεως καὶ πάντων [καὶ] τῶν παρακολουθούντων
αὐτῇ. ἀμέλει καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὁπηνίκα βούλεται ταῦτα τὰ βιβλία
σημᾶναι οὕτω φησίν, ὅτι "εἴρηται ἡμῖν ἐν τοῖς Περὶ κινήσεως".

p. 184a10 Ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα, ἐκ τοῦ ταῦτα γινώσκειν.

Ἔθος τῷ Ἀριστοτέλει ἀπό τινων κοινῶν ἀξιωμάτων ἄρχεσθαι τῶν
πραγματειῶν. οὕτω γοῦν καὶ ἐν τῇ Μετὰ τὰ φυσικὰ ἀπό τινος κοινοῦ ὁμο-
λογήματος ἤρξατο· "πάντες" γάρ φησιν "ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται
φύσει. σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις"· καὶ ἐν τῇ Ἀποδεικτικῇ·
"πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως"·
καὶ ἐν τοῖς Ἠθικοῖς· "πᾶσα τέχνη καὶ μέθοδος, ὁμοίως δὲ πρᾶξις καὶ προ-
αίρεσις, ἀγαθοῦ τινος ἐφίεσθαι δοκεῖ". οὕτως οὖν καὶ ἐνταῦθα ἀπὸ κοινοῦ
τινος ἀξιώματος τὴν ἀρχὴν ποιεῖται. ἔστι δὲ τὸ ἀξίωμα τοιοῦτον· πᾶσα
ἐπιστήμη ἔχουσα ἀρχὰς ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται γνωσθεισῶν τῶν
ἀρχῶν καὶ αἰτίων καὶ στοιχείων. ἐπεὶ οὖν, φησί, καὶ τῶν φυσικῶν πραγ-
μάτων εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, τότε γνωσόμεθα αὐτὰ ὅταν τὰς
ἀρχὰς αὐτῶν καὶ τὰ αἴτια καὶ τὰ στοιχεῖα γνῶμεν. ἔστι δὲ ὁ ὅλος συλ-
λογισμὸς τοιοῦτος· τῆς περὶ φύσεως ἐπιστήμης εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ
στοιχεῖα· πᾶσα ἐπιστήμη ἥσπερ εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται
τῶν ἀρχῶν καὶ αἰτίων καὶ στοιχείων ἐγνωσμένων· καὶ ἡ περὶ φύσεως
ἄρα ἐπιστήμη γνωσθήσεται ἐγνωσμένων τῶν ἀρχῶν καὶ αἰτίων καὶ στοι-
χείων. ὁ μὲν οὖν πᾶς συλλογισμὸς τοιοῦτος, αὐτὸς δὲ διὰ συντομίαν
τὴν μείζονα μόνον θεὶς πρότασιν, τὴν λέγουσαν ὅτι πᾶσα μέθοδος ἥσπερ

---

5 ὡς t: ὥσπερ M 5 et 6 ἤπερ] fort. ἢ περὶ cl. e 7v 9 sq. 8 alterum καὶ delevi 10 ἡμῖν scripsi: ὑμῖν Mt 11 hinc ad M accedit L 13 γινώσκειν L: γνωρίζειν Mt Aristoteles et infra p. 7,5 14 ἀπὸ κοινῶν τινῶν Mt 15 τῇ L: τῷ Mt Μετὰ τὰ φυσικά A 1 p. 980a21 17 Ἀποδεικτικῇ] Anal. Poster. A 1 p. 71a1 18 μάθησις διανοητικὴ Aristoteles 19 τοῖς om. Mt Ἠθικοῖς Nicom. A 1 p. 1094a1 καὶ πᾶσα μέθοδος et mox πρᾶξίς τε καὶ Mt Aristoteles 20 post δοκεῖ addit διὸ καλῶς ἀπεφήνατο (sic) τἀγαθὸν οὗ πάντ' ἐφίεται ex Aristotele L 22. 23 τῶν ἀρχῶν γνωσθεισῶν traiciunt Mt 23 φησί om. Mt 27 ἥσπερ L: ἤπερ Mt 28 καὶ τῶν στοιχείων L 30 ὁ μὲν οὖν L: καὶ μένει Mt ὁ συλλογισμὸς Mt 31 μόνον om. Mt

www.libtool.com.cn

εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται ἐγνωσμένων τῶν ἀρχῶν καὶ a 1v
αἰτίων καὶ στοιχείων, τὴν ἐλάττονα παραλιμπάνει ὅτι τῆς φυσιολογίας εἰσὶν
ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. παραλιμπάνει δὲ καὶ τὸ συμπέρασμα, τίθησι
δὲ μόνον τὸ ἀκόλουθον τῷ συμπεράσματι· τὸ μὲν γὰρ συμπέρασμα ἦν 'καὶ
5 ἡ φυσιολογία ἄρα γνωσθήσεται τῶν ἀρχῶν γνωσθεισῶν'. τὸ τούτου οὖν
ἀκόλουθον τίθησι. τοῦτο δέ ἐστιν ὅτι, ἐπειδὴ ἡ φυσιολογία γινώσκεται τῶν
ἀρχῶν γνωσθεισῶν, ὅπερ ἐκ τοῦ συλλογισμοῦ συνεπεράνθη, πειρατέον διο- 35
ρίσαι τὰς ἀρχὰς τῆς φυσιολογίας. ὁ μὲν οὖν Ἀριστοτέλης οὕτως, Θεόφραστος
δὲ καὶ ὅλον τὸν συλλογισμὸν ἔθηκεν ἐν τῇ ἰδίᾳ Περὶ φύσεως πραγματείᾳ,
10 παραμυθίας τινὸς ἀξιώσας καὶ τὴν ἐλάττονα πρότασιν τὴν ὅτιπερ τῆς φυσιο-
λογίας εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. τοῦτο γὰρ οὐ πρόδηλον. κατα-
σκευάζει οὖν αὐτὴν τοῦτον τὸν τρόπον· τὰ φυσικά, φησί, πράγματα ἢ σώ-
ματά ἐστιν ἢ ἐν σώματι τὸ εἶναι ἔχει, οἷον αἱ ῥοπαὶ καὶ αἱ δυνάμεις καὶ
τὰ ὅμοια· πάντα δὲ τὰ σώματα καὶ τὰ ἐν σώματι τὸ εἶναι ἔχοντα σύνθετά 40
15 ἐστι (καὶ ὅτι μὲν τὰ σώματα σύνθετα πρόδηλον. συνθέτους δέ φησι καὶ
τὰς δυνάμεις τὰς ἐν ὑποκειμένοις τοῖς σώμασι τὸ εἶναι ἐχούσας καὶ ἁπλῶς
πάντα τὰ ἐν ὑποκειμένῳ εἴδη, πρῶτον μὲν τῷ ἐκ γενῶν εἶναι καὶ διαφο-
ρῶν, ἔπειτα εἰ καὶ κατὰ τὸν ὁριστικὸν λόγον θεωρούμενα ἁπλᾶ ἐστιν, ἀλλ'
ὁ ὁριστικὸς λόγος οὐκ ἐν ὑπάρξει, ἀλλ' ἐν μόνῃ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει.
20 ὡς μέντοι ἐνυπόστατα ὄντα μετὰ τοῦ ὑποκειμένου θεωρεῖται· ἡ γὰρ ἐνερ-
γείᾳ οὖσα ὄψις οὐκ ἔστιν αὐτὴ ἡ δύναμις μόνον, ἀλλὰ μετὰ τοῦ ὀπτικοῦ
πνεύματος. ἄλλως τε οἱ φυσικοὶ ὡς φυσικὰ καὶ ἐν ὑπάρξει πράγματα αὐτὰ 45
θεωροῦντες μετὰ τοῦ ὑποκειμένου αὐτὰ θεωροῦσιν. ὁ γὰρ ὁριστικὸς αὐτῶν,
ὡς εἶπον, λόγος ἐν μόνῃ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει· ταύτῃ δὲ οὐδὲ ἰδέας
25 αὐτῶν εἶναι βούλεται ὁ Ἀριστοτέλης τῷ τὰ φυσικὰ εἴδη μὴ ὑφίστασθαι
ἐξῃρημένα σωμάτων, ἀλλ' ἐν ψιλῇ μόνον εἶναι ἐπινοίᾳ. ἄλλως τε οὐδὲν
διοίσει ταῦτα τοῦ εἴδους τοῦ σώματος. ὥσπερ οὖν καὶ τοῦτο κατὰ μὲν τὸν
ἴδιον λόγον ἁπλοῦν ἐστι, τὸ τριχῇ λέγω διαστατόν, πρὸς μέντοι τὴν ὕπαρξιν
αὐτοῦ χρεία καὶ τῆς ὕλης, καὶ οὕτω λοιπὸν τὸ ἐν ὑπάρξει σῶμα οὐκ
30 ἔστιν ἁπλοῦν, ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ εἴδους, οὕτω κἀπὶ τούτων ἔχει· 50
κατὰ μὲν γὰρ τὸν ἴδιον αὐτῶν λόγον θεωρούμενα ἁπλᾶ ἐστιν, ὅταν μέν-
τοι ὡς ὑπάρχοντα καὶ ἐνεργείᾳ αὐτὰ ὄντα θεωρήσωμεν, μετὰ τοῦ ὑποκει-
μένου σώματος αὐτὰ θεωροῦμεν. καὶ οὕτως οὐχ ἁπλᾶ ἐστιν, ἀλλὰ σύν-
θετα), εἰ τοίνυν τὰ φυσικὰ πράγματα ἢ σώματά ἐστιν ἢ ἐν σώματι τὸ εἶναι
35 ἔχει, ταῦτα δὲ σύνθετα, τὰ φυσικὰ ἄρα πράγματα σύνθετά ἐστι. πάντα

---

2 ὅτι (ante τῆς) Mt: ὅπερ L: malim ὅτιπερ cl. v. 10 et p. 16,3 et 6, e 3r26, 5v49, i 3v13, k 2v26, m 7r3 et 15, 8v51, 9r6 al. 4 ἀκολουθοῦν Mt at cf. p. 9,1 5 τὸ τούτου L: τούτῳ Mt 6 γινώσκεται om. L 8 οὖν om. L cf. p. 7,13 Θεόφραστος] cf. Simplic. p. 9,7 9 πραγμάτων primitus L 13 οἷον L: οἷαι Mt 17 εἴδει et mox τὸ ἐκ L 19 ὁ om. L ἐν ὑπάρξει L: ἐν ὑπάρ•ει (oblitter.) M: ἐνυπάρχει t 22 τε L: τε καὶ Mt 24 δὲ (ante οὐδὲ) om. Mt 25 εἶναι (post αὐτῶν) om. L 29 καὶ τῆς ὕλης om. Mt 33 θεοροῦμεν operarum errore t 35 τὰ (post σύνθετα) om. L ἄρα πάντα πράγματα Mt

www.libtool.com.cn

δὲ τὰ σύνθετα στοιχεῖα καὶ αἴτια καὶ ἀρχὰς ἔχει· τὰ γὰρ ἁπλᾶ τοῦ συν- a 1v
θέτου ἐστὶ στοιχεῖα· τὰ φυσικὰ ἄρα πράγματα ἀρχὰς καὶ αἴτια καὶ στοιχεῖα
ἔχει. οὕτω μὲν οὖν τὴν ἐλάττονα κατε|σκεύασε πρότασιν· ᾗ προσθεὶς τὴν a 2r
μείζονα, ὅτι πᾶν ὃ ἔχει ἀρχὰς ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται τούτων
5 ἐγνωσμένων, οὕτω συνάγει ὅτι τὰ φυσικὰ ἄρα πράγματα γινώσκεται τῶν
ἀρχῶν ἐγνωσμένων.

Ἀρχὰς δὲ τῶν πραγμάτων πάντων Πλάτων μὲν ἕξ φησιν εἶναι, ὕλην,
εἶδος, ποιητικὸν αἴτιον, παραδειγματικόν, ὀργανικόν, τελικόν· καὶ καλεῖ τὴν
μὲν ὕλην ἐν ᾧ (μητέρα γὰρ αὐτὴν καλεῖ καὶ δεξαμενὴν καὶ τιθηνήν), τὸ
10 δὲ εἶδος ὅ (τοῦτο γάρ ἐστι τὸ ἑκάστου τῶν πραγμάτων χαρακτηριστικόν, 5
οὐχ ἡ ὕλη μία καὶ ἡ αὐτὴ οὖσα πάντων), τὸ δὲ ποιητικὸν ὑφ' οὗ, τὸ
ὀργανικὸν δι' οὗ, τὸ παραδειγματικὸν πρὸς ὅ, τὸ τελικὸν δι' ὅ. τούτων δὲ
τῶν ἓξ τὰ μὲν τρία συναίτια καλεῖ, τὰ δὲ τρία αἴτια· τὸ μὲν γὰρ ποιη-
τικὸν καὶ τὸ τελικὸν καὶ τὸ παραδειγματικὸν αἴτια καλεῖ ὡς ἐξῃρημένα
15 καὶ κύρια ὄντα τῆς ἑαυτῶν ἐνεργείας, τὴν δὲ ὕλην καὶ τὸ εἶδος καὶ τὸ
ὄργανον συναίτια, διότι μὴ ἔστι κύρια τῆς ἑαυτῶν ἐνεργείας. ὁ μὲν οὖν
Πλάτων, ὡς εἶπον, ἕξ φησιν εἶναι τὰς τῶν ὄντων ἀρχάς, ὁ δὲ Ἀριστοτέλης 10
τέσσαρας, ὕλην, εἶδος, ποιητικὸν αἴτιον, τελικόν· τὸ γὰρ ὀργανικὸν καὶ παρα-
δειγματικὸν ὡς φυσιολόγος παρῆκεν (οὐ γὰρ πρὸς παράδειγμα ἡ φύσις ποιεῖ·
20 ζωὴ γάρ τις οὖσα οὕτω ποιεῖ, οὐχὶ δὲ γνῶσίς τις ὡς ὁ νοῦς). ὡς οὖν φυ-
σικὸς τοῦ παραδειγματικοῦ καὶ τοῦ ὀργανικοῦ αἰτίου οὐ μεμνήσεται· ἔστι γὰρ
καὶ φυσιολογεῖν θεολογικῶς, ὡς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ περὶ τῶν ἐξῃρη-
μένων αἰτίων τῶν φυσικῶν πραγμάτων διαλεγόμενος, καὶ θεολογεῖν φυσικῶς,
ὥσπερ ὁ Ἀριστοτέλης ἐν τῇ Μετὰ τὰ φυσικὰ ἐκ τῶν φυσικῶν πραγμάτων
25 τὴν διδασκαλίαν τῶν θείων ποιούμενος. ὁ οὖν τοιοῦτος φυσιολόγος, λέγω 15
δὴ ὁ περὶ τῶν συντεταγμένων αἰτίων τοῖς φυσικοῖς πράγμασι διαλεγόμενος,
οὔτε τοῦ παραδειγματικοῦ αἰτίου δεήσεται διὰ τὴν εἰρημένην αἰτίαν, οὔτε
τοῦ ὀργανικοῦ διὰ τὸ κοινῶς περὶ πάντων τῶν φυσικῶν αἰτίων καὶ τῶν
πρωτίστων ποιεῖσθαι τὸν λόγον. εἰ μὲν γὰρ περί τινος φυσικοῦ ἦν αὐτῷ
30 ὁ λόγος, ὥσπερ τυχὸν τοῖς ἰατροῖς περὶ τῶν ἀνθρωπίνων σωμάτων, ἠδύ-
νατο λέγειν ὄργανον εἶναι τῆς φύσεως τὰς κράσεις τυχὸν ἢ τὸ ἔμφυτον

---

1. 3 τὰ γὰρ ἁπλᾶ—στοιχεῖα ἔχει L: om. Mt 4 ἀρχὰς L: ἀρχὴν Mt 7 ἀρχὰς δὲ] hinc ad LM accedit K qui δὲ om. πλάτων μὲν LMt: ὁ μὲν πλάτων K Πλάτων] cf. infra g 1r18 sqq. Simplic. p. 3,18. Porphyrius ap. Simplic. p. 10,32. 9 μητέρα γὰρ κτλ. cf. Tim. p. 49A, 50D, 51A, 52D, 53A etc. γὰρ (post μητέρα) LMt: δὲ K καλεῖ post τιθηνήν ponit K δεξαμένην L· τιθηνήν libri hic et e 5r3,32: τιθήνην Plato cf. h 6v42, 8r14, n 5r11 14 τὸ (ante τελικὸν) om. K 16 ὄργανον libri: immo ὀργανικὸν. idem error in plerisque Simplicii libris p. 318,20 διότι μὴ ἔστι LMt: διὰ τὸ μὴ εἶναι K cf. ad p. 12,11, at de μὴ vocis usu cf. a 5v19 διότι—μὴ ἔλεγεν, b 3v24 διότι μὴ ἔχει etc. 17 Ἀριστοτέλης] cf. Metaph. A 3 p. 983ª26, Phys. B 3 p. 194ᵇ23 18. 19 παραδειγματικὸν] τὸ ραδειγματικὸν (sic) L 20 ὡς οὖν K: ὁ οὖν τοιοῦτος (ex v. 25) LMt 21 μεμνήσεται LMt: μέμνηται K 21. 22 γὰρ καὶ] καὶ γὰρ K 23 αἰτιῶν K qui paulo post πραγμάτων om. 24 τῇ] τοῖς K τὰ iterat M: om. L 30 σωμάτων] πραγμάτων K. σῶμα et πρᾶγμα haud raro confunduntur velut f 4v22, 5r41 al.

www.libtool.com.cn

θερμὸν ἤ τι τοιοῦτον· δι' αὐτῶν γὰρ ποιεῖ ἡ φύσις τὰ ἴδια ἔργα· ἐπειδὴ a 2r
δὲ καὶ αὐτῶν τῶν κράσεων καὶ τῶν πρωτίστων στοιχείων, λέγω δὴ τῶν
τεσσάρων, τὰ αἴτια ζητεῖ, εἰκότως οὐ παραλήψεται ὀργανικὸν αἴτιον· οὐ γὰρ 21
διά τινος ὀργάνου ἡ φύσις συνίστησι τὰ πρῶτα στοιχεῖα, ἀλλ' ἀμέσως ἐκ
5 τῆς ὕλης καὶ τοῦ εἴδους αὐτὰ δημιουργεῖ. καλεῖ δὲ ὁ Ἀριστοτέλης τὴν
μὲν ὕλην ἐξ οὗ, τὸ δὲ εἶδος καθ' ὅ (κατ' αὐτὸ γὰρ καὶ χαρακτηρίζονται
τὰ πράγματα καὶ λέγονται), τὸ δὲ ποιητικὸν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸ
δὲ τελικὸν ὁμοίως τῷ Πλάτωνι δι' ὅ.

Ἀρχὰς δὲ καὶ αἴτια ἤτοι ἐκ παραλλήλου τὸ αὐτὸ λέγει, ἵνα ἀρχὰς 25
10 μὲν καὶ αἴτια τὸ ποιητικὸν εἴπῃ καὶ τὸ τελικόν, στοιχεῖα δὲ τὰ λοιπὰ δύο,
τὸ ὑλικὸν καὶ τὸ εἰδικόν, ἢ τὴν μὲν ἀρχὴν κοινῶς κατὰ πάντων κατηγορεῖ
(φαίνεται γοῦν ἕκαστον αὐτῶν ἀρχὴν καλῶν πανταχοῦ. "ἀνάγκη δέ", φησίν,
"ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους", περὶ τῶν φυσικῶν ἀρχῶν λέγων.
καὶ πάλιν "ὅτι μὲν οὖν ἐναντίας γε δεῖ εἶναι τὰς ἀρχάς, δῆλον", περὶ ὕλης
15 καὶ εἴδους λέγων. καὶ πάλιν περὶ τῶν αὐτῶν "μία μὲν οὖν ἀρχή", αὐτὴν
τὴν ὕλην λέγων, "ἑτέρα δὲ ἡ ὁ λόγος", τὸ εἶδος), αἴτια δὲ ἐπὶ τοῦ ποιητι- 30
κοῦ καὶ τελικοῦ, στοιχεῖα δὲ ἐπὶ τῶν λοιπῶν δύο, τῆς ὕλης καὶ τοῦ εἴδους.
τὸ δὲ ὧν εἰσὶν ἀρχαὶ προσέθηκε, διότι οὐ πᾶσα ἐπιστήμη ἢ μέθοδος οἰ-
κείαις ἀρχαῖς χρῆται, ἀλλ' εἰσί τινες ταῖς τῶν ἑτέρων ἐπιστημῶν ἀρχαῖς
20 χρώμεναι, οἷα ἐστὶν ἡ διαλεκτική, ἥτις πάσας ὑποδύεται τὰς ἐπιστήμας·
πειρᾶται γὰρ καὶ ἰατρικὰ ἀποδεικνύναι θεωρήματα ταῖς ἰατρικαῖς ἀρχαῖς
χρωμένη καὶ μαθηματικὰ ταῖς μαθηματικαῖς, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.
αὕτη οὖν ἡ μέθοδος ἡ διαλεκτικὴ οὐκ οἰκείας ἀρχὰς ἔχουσα, ἀλλὰ ταῖς
ἀλλοτρίαις χρωμένη, οὕτως ἐνεργεῖ περὶ τὰ ὑποκείμενα. τοιαύτη ἐστὶ καὶ 35
25 ἡ ῥητορικὴ ἀεὶ ταῖς τῶν ἄλλων ἐπιστημῶν ἀρχαῖς χρωμένη καὶ οὕτω κατα-
σκευάζουσα τὸ προκείμενον· διὸ καὶ ἀντίστροφος εἶναι λέγεται τῇ διαλεκτικῇ,
διότι ὁμοίως περὶ τὰ αὐτὰ στρέφονται ἀμφότεραι. μέθοδος δέ ἐστιν ἕξις
ὁδοποιητικὴ μετὰ λόγου.

Ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας
30 τὰς μεθόδους. εἴπομεν ὡς ὅτι τοῦ συλλογισμοῦ τὴν μείζονα θεὶς πρό-

---

1 ἤ τι] ὅτι (ex ἔτι) corr. L 4 πρώτιστα Mt ἀλλὰ μέσως L 5 ἐνεργεῖ L
6 κατ' αὐτὸ L: καθ' αὐτὸ KMt καὶ (post γάρ) om. K 9 ἤτοι om. K 10 τὸ
(post καὶ) om. L 11 ἰδικόν K κατηγορεῖν K, qui mox γοῦν om. 12 πανταχοῦ
καλῶν K φησίν Phys. A 2 p. 184b15 13 ἤτοι om. L τὴν ἀρχὴν εἶναι Mt
14 ὅτι μὲν οὖν κτλ. c. 5 p. 189a9 εἶναι δεῖ traicit L ἐναντίας δεῖ (om. γε) τὰς
ἀρχὰς εἶναι, φανερόν (sed δῆλον loco simillimo p. 188a26) Aristoteles 15 περὶ τὴν
αὐτὴν K μία κτλ. c. 7 p. 191a12 μίαν et ἀρχήν K 15. 16 scribe ἀρχὴ αὕτη, τὴν
ex Arist. 16 λέγω L ἑτέραν K: μία Arist. ἡ ὁ λόγος (cf. e 2r6. Simplic. p. 233,3)
M: ἡ ὁ λογος L: in lac. om. K: ἧς ὁ λόγος t 16. 17 δὲ ἐπὶ τοῦ ποιητικοῦ καὶ τελικοῦ
LK: δέ ἐστι τὸ ποιητικὸν καὶ (τὸ addit t) τελικόν Mt 18 προέθηκε L 20 οἷα K
21 ὑποδεικνύναι L 24 οὕτω Mt τοιαύτη δὲ καὶ (om. ἐστὶ) cod. Parisin. 2063
26 ὑποκείμενον K λέγεται εἶναι K 27 ἀμφότεραι στρέφονται περὶ τὰ αὐτά Mt
δέ om. K ἕξις] ἑξῆς K 29. 30 ἐπειδὴ—ὡς om. K 30 ὡς ὅτι (ὡσότι M)
nulla interposita enuntiatione legitur etiam b 3r37. cf. Bonitzii Index Ar. p. 872a5. Vi-
gerus ed. Herm. IV. p. 562. 850 μείζω L

www.libtool.com.cn

τασιν παρῆκε τὴν ἐλάττονα καὶ τὸ συμπέρασμα. κεῖται οὖν εὐθὺς ἐν προ- a 2r
οιμίοις ἡ μείζων πρότασις· διόπερ, ἵνα σαφέστερον ἐπιστήσωμεν τῷ λεγο- 40
μένῳ, δεῖ τὸν ἐπειδή σύνδεσμον ἀφελεῖν καὶ οὕτως τὸ ῥητὸν ἀναγνῶναι·
τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους,
5 ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα, ἐκ τοῦ ταῦτα γνωρίζειν. οὕτω
γὰρ σαφεστέρα ἡ καθόλου πρότασις. ἢ οὕτως· 'περὶ πάσας τὰς μεθόδους, ὧν
εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα, τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει ἐκ
τοῦ ταῦτα γνωρίζειν'. εἶτα λαβόντας τὸν ἐπειδή σύνδεσμον προσθεῖναι
ἔξωθεν τῇ ἐλάττονι προτάσει· 'ἐπειδὴ οὖν καὶ τῶν φυσικῶν πραγμάτων
10 εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, καὶ τὰ φυσικὰ ἄρα γνωσόμεθα ἐγνωκότες 45
τὰς ἀρχὰς αὐτῶν καὶ τὰ αἴτια καὶ τὰ στοιχεῖα'. εἶτα λοιπὸν τὸ ἀκολου-
θοῦν τῷ συμπεράσματι ἀναγνῶναι, τὸ δῆλον οὖν ὅτι καὶ τῆς περὶ φύ-
σεως ἐπιστήμης καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὖν περὶ τῆς τοῦ ῥητοῦ συν-
τάξεως. τὸ μέντοι εἰδέναι καὶ τὸ ἐπίστασθαι τινὲς οὐκ ἐκλαμβάνουσιν
15 ὡς ταὐτὸν δηλοῦν, ἀλλὰ τὸ μὲν εἰδέναι ἐπὶ τῆς ἁπλῆς γνώσεως τῆς ἄνευ
ἀποδείξεως, τὸ δὲ ἐπίστασθαι ἐπὶ τῆς μετὰ ἀποδείξεως. οἱ δὲ ἐκ παραλ-
λήλου ἄμφω λαμβάνουσιν ὡς ταὐτὸν σημαίνοντα. καὶ ὁ Πλάτων δὲ τὸ εἰ- 50
δέναι κατὰ τῆς ἀκριβεστάτης καὶ ἐπιστημονικῆς γνώσεως ἄγει· ἐν γὰρ
τῷ Φαίδωνί φησι· "τὸ γὰρ εἰδέναι τοῦτό ἐστι λαβόντα του ἐπιστήμην
20 ἔχειν καὶ μὴ ἀποβεβληκέναι". ὧν εἰσὶν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα.
εἰ μὲν τὸν ἤ σύνδεσμον διαζευκτικὸν λάβωμεν, καθολικωτέρα καὶ ἐπὶ
πλειόνων γίνεται ἡ πρότασις· τὰ γὰρ μὴ φυσικὰ ἀλλὰ λογικὰ καὶ νοερὰ
ἀρχὰς μὲν ἔχει καὶ αἴτια, στοιχεῖα δὲ οὐκ ἔχει· ἐὰν δὲ παραδιαζευκτικὸν
λάβωμεν τὸν ἤ ἀντὶ τοῦ καί, ἐπὶ τῶν φυσικῶν μόνων χωρήσει ὁ λόγος,
25 ὧν εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. στοι|χεῖα γὰρ μόνων εἰσὶ τῶν συν- a 2v
θέτων πραγμάτων, ταὐτὸν δὲ εἰπεῖν τῶν φυσικῶν. στοιχεῖον γάρ ἐστι τὸ
συγκατατεταγμένον τῷ πράγματι ὃ καὶ μέρος τοῦ συνθέτου γίνεται, μέρος
δὲ οὐχ οἷά εἰσι τὰ κυρίως μέρη ὁμοιομερῆ τε καὶ ὀργανικά· ταῦτα μὲν
γὰρ ἰδίαν ἔχει περιγραφήν τε καὶ ἐνέργειαν, καὶ ἕκαστον αὐτῶν μέρος τι
30 τοῦ συνθέτου ἀπείληφε, τὰ δὲ στοιχεῖα ὅλα δι' ὅλων αὐτῶν καὶ διὰ τοῦ
συνθέτου κεχώρηκεν, ὡς μηδὲν αὐτοῦ εἶναι σημεῖον ὃ μὴ τῶν στοιχείων 5
μετείληφεν. ἔστι δὲ τὸ μὲν τῆς ἀρχῆς ὄνομα καθολικώτερον (φέρεται γὰρ
καὶ ἐπὶ τοῦ εἴδους καὶ ἐπὶ τῆς ὕλης καὶ ἐπὶ τοῦ ποιητικοῦ καὶ τελικοῦ

---

1 κεῖται οὖν K: ἔστι γοῦν L: ἔστιν οὖν Mt 3 ἐπειδή] ἐπεὶ K καὶ (ante οὕτως) iterat initio versus K 5. 6 οὕτω γὰρ—πρότασις in erasis M 6 καθόλου] καθὰ K γίνεται πρότασις L 8 λαβόντα K 9 καὶ (ante τῶν) om. L 12 οὖν om. Arist. (cf. p. 8,27) 13 οὖν om. L 15 ἁπλανῆς (sic) M 15. 16 ἄνευ ἀποδείξεων L 17 λαμβάνουσι (om. ὡς) t 19 Φαίδωνι p. 75 D λαβόντα K: λαμβάνοντα LMt του Plato: τοῦ LK: τὸ Mt 20 ἀποβεβηκέναι K: ἀπολωλεκέναι Plato 21 διαζευκτικὸν om. K 22 γίνεται om. K 23 παραδειγματικὸν L 24 τὸν ἤ σύνδεσμον (ut v. 21) L μο χωρι K 25 αἱ ἀρχαὶ Mt μο K 26 ἐστι om. K 28 εἰσι] ἐστι K 29 τε (post περιγραφήν) om. L 30 ἀπήληφεν K 31 σημεῖον om. L 31. 32 μὴ τὸ στοιχεῖον μετήληφεν K

www.libtool.com.cn

καὶ τῶν λοιπῶν), τὸ δὲ αἴτιον καὶ τὸ στοιχεῖον μερικώτερά ἐστι, τὸ μὲν a 2v
αἴτιον ἐπὶ τῶν κεχωρισμένων τοῦ ἀποτελέσματος ἀρχῶν τῆς τε ποιητικῆς
καὶ τῆς τελικῆς καὶ ἐπὶ τῆς παραδειγματικῆς τε καὶ ὀργανικῆς, τὸ δὲ
στοιχεῖον ἐπὶ τῶν συγκατατεταγμένων φέρεται ἀρχῶν, τοῦ εἴδους λέγω
5 καὶ τῆς ὕλης, ἃ καὶ μέρος τοῦ ἀποτελέσματος γίνεται. οὐχ οὕτω δὲ μέ- 10
ρος ὡς τὰ ἀνομοιομερῆ λεγόμενα ἢ τὰ ὁμοιομερῆ, ἀλλ' ὡς συμπληρωτικὸν
τῆς οὐσίας τοῦ πράγματος. τίνι δὲ διαφέρει μέρος στοιχείου εἴπομεν.

p. 184 a 12 Τότε γὰρ οἰόμεθα γινώσκειν ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς πρώτας καὶ μέχρι τῶν
10 στοιχείων.

Ἀρχὰς πρώτας φησὶ καὶ αἴτια ἤτοι ἵνα ἀπὸ τῶν πρωτίστων ἀρχῶν
ἀρξώμεθα, καὶ οὕτω μέχρι τῶν προσεχεστάτων κατέλθωμεν (τῷ γὰρ ὄντι 15
τότε ἀκριβῶς ἕκαστον γνωσόμεθα, ὅταν καὶ τὰς πρωτίστας ἀρχὰς αὐτοῦ
γνῶμεν καὶ τὰς μέσας καὶ τὰς προσεχεῖς καὶ συγκατατεταγμένας, ὅπερ
15 ἐδήλωσε διὰ τοῦ εἰπεῖν καὶ μέχρι τῶν στοιχείων. καὶ γὰρ τὸ προ-
σεχὲς ποιητικὸν αἴτιον τῶν φυσικῶν πραγμάτων, αὐτὴ λέγω ἡ φύσις, συγ-
κατατέτακται τῷ πράγματι καὶ στοιχεῖον αὐτοῦ ἐστι δι' ὅλου αὐτοῦ διήκουσα),
ἢ ἀρχὰς πρώτας τὰς ἑκάστου πρώτας ἀκουστέον· τοῦτο γὰρ καὶ αὐτὸς
ἐδήλωσεν εἰπών· τότε γὰρ γνωσόμεθα ἕκαστον. γνωσόμεθα γὰρ τὰ ἐν
20 μετεώροις συνιστάμενα, ὅταν τὰς αὐτῶν πρωτίστας ἀρχὰς ὡς μετεώρων γνῶ- 20
μεν, ὅτι ὕλην μὲν ἔχει τήνδε, εἶδος δὲ τόδε, ποιητικὸν δὲ αἴτιον τόδε, καὶ
τελικὸν ὁμοίως· τὸ γὰρ τὴν πρωτίστην ὕλην γνῶναι οὐκ ἔστιν ἁπλῶς ὡς
μετεώρων ἀρχὰς γνῶναι, ἀλλ' ἁπλῶς ὡς σωμάτων. ὅταν οὖν τὰς ἑκάστου
ἰδιαζούσας ἀρχὰς γνῶμεν ποιητικάς τε καὶ τελικάς, ἀφικώμεθα δὲ καὶ μέχρι
25 τῆς τῶν στοιχείων αὐτῶν γνώσεως, τῆς τε ἰδίας αὐτῶν φημι ὕλης καὶ τοῦ
εἴδους, τότε τῷ ὄντι τὴν ἀκριβῆ ἑκάστου γνῶσιν ἕξομεν.

p. 184 a 14 Δηλονότι καὶ τῆς περὶ φύσεως ἐπιστήμης πειρατέον διορίσαι. 25

Εἴπομεν ὅτι ὁ Ἀριστοτέλης τὸ συμπέρασμα τοῦ συλλογισμοῦ παρεί,
30 ὅπερ ἦν 'τὰ φυσικὰ ἄρα πράγματα γινώσκεται ἐγνωσμένων τῶν ἀρχῶν', τὸ

---

1 τὸ (ante στοιχεῖον) om. L μὲν γὰρ fortasse recte L 2 ἐπιτελέσματος K
3 καὶ τῆς τελικῆς om. K τε (post παραδειγματικῆς) om. K 5 ἃ om. superscr. L
6 ὡς τὰ ὁμοιομερῆ ἢ τὰ ἀνομοιομερῆ (om. λεγόμενα) L 7 τίνι—εἴπομεν om. K
8 lemma om. K 11 ἀρχὰς τὰς πρώτας (ex lemmate) L πρωτίστων] τίστων (sic) K 12 κατέλθομεν K 13 αὐτοῦ ἀρχὰς Mt 17 αὐτοῦ (ante ἐστι) om. K
18 ἢ ἀρχὰς πρώτας om K τὰς] τοῦ L 20 αὐτῶν] οὐτ (sic) M 23 ὅτε οὖν K
24 τε (ante καὶ) om. K qui mox ἀφικόμεθα 26 γνώμην L 27 lemma om. K
28 διορίσασθαι (cf. p. 9,2) ex Aristotele t, qui ex eodem addit πρῶτον τὰ περὶ τὰς ἀρχὰς. hunc editionis Trincav. morem pleniora semper lemmata ex edito tum Aristotele exhibendi semel notasse satis erit

www.libtool.com.cn

ἀκόλουθον τῷ συμπεράσματι τίθησι. τοῦτο δέ ἐστιν ὅτι εἰ τὰ φυσικὰ γι- a 2v
νώσκεται τῶν ἀρχῶν ἐγνωσμένων, πειρατέον δηλονότι διορίσασθαι περὶ τῶν
φυσικῶν ἀρχῶν τοῖς γε ταῦτα γνῶναι βουλομένοις.

p. 184a16 Πέφυκε δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς καὶ σα- 30
5 φεστέρων ἐπὶ τὰ σαφέστερα τῇ φύσει καὶ γνωριμώτερα.

Εἰρηκὼς ἐν τῷ προτέρῳ προοιμίῳ, ὅτι τὴν περὶ φύσεως ἐπιστήμην οὐκ
ἄλλως ἕξομεν ἢ τὰς ἀρχὰς αὐτῆς ἐγνωκότες (τὰ γὰρ φυσικά, φησί, πράγ- 35
ματα ἔχουσιν ἀρχὰς ἢ αἴτια ἢ στοιχεῖα· πᾶσα δὲ μέθοδος ἀρχὰς ἔχουσα
ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται τῶν ἀρχῶν ἐγνωσμένων· τὰ φυσικὰ ἄρα
10 πράγματα γινώσκεται τῶν ἀρχῶν ἐγνωσμένων), νῦν βούλεται εἰπεῖν τίς ἐστιν
ὁ τρόπος τῆς τῶν ἀρχῶν γνώσεως. ἰστέον οὖν ὅτι αὐτὸς εἶπεν ἐν τῇ
Ἀποδεικτικῇ, ὅτι δύο τρόποι εἰσὶ τῆς ἐπιστημονικῆς γνώσεως, πρῶτος μὲν
ὁ ἀποδεικτικός, δεύτερος δὲ ὁ διδασκαλικός, οὗτοι δὲ ἀντιπεπονθότως ἔχουσι
πρὸς ἀλλήλους. ὁ μὲν γὰρ ἀποδεικτικὸς ἐκ τῶν πρώτων τῇ φύσει καὶ
15 ἀρχικωτέρων ἀποδείκνυσι τὰ δεύτερα, ὁ δὲ διδασκαλικός, ἀποδεικτικός τις 40
ὢν καὶ αὐτός, κατὰ δεύτερα μέτρα ἀποδείξεως ἐκ τῶν ὑστέρων τῇ φύσει
τὰ πρότερα ἀποδείκνυσιν, ὃν καὶ τεκμηριώδη καλεῖ. οἷον εἴ τις ἰδὼν κα-
πνὸν εἴποι πῦρ εἶναι ἐνταῦθα· ἐκ γὰρ τοῦ τῇ φύσει ὑστέρου τὸ πρότερον
κατεσκεύασε. κεχρήμεθα δὲ τούτῳ τῆς διδασκαλίας τῷ τρόπῳ ἐπί τινων
20 τῷ μὴ δύνασθαι τῷ προτέρῳ τε καὶ ἀποδεικτικωτέρῳ χρήσασθαι διὰ τὸ
τὴν φύσιν τῶν πραγμάτων πολλάκις οὕτως ἔχειν, ἢ διὰ τὸ μὴ ἔχειν ἀρχι-
κώτερα, ἢ διὰ τὸ ἔχειν μέν, ἀσαφέστερα δὲ ἡμῖν εἶναι καὶ ἀγνωστότερα. 45
οὕτω γοῦν καὶ αὐτὸς ἐν τῇ Περὶ οὐρανοῦ βουλόμενος ἀποδεῖξαι ὁποῖόν
τί ἐστι τὸ τῆς σελήνης σχῆμα, ἐκ τῶν φωτισμῶν αὐτῆς κατεσκεύασεν ὅτι
25 σφαιρικόν. φαίνεται γὰρ γινομένη δὶς μηνοειδής, δὶς διχότομος, δὶς ἀμφί-
κυρτος, ἅπαξ πανσέληνος· τούτους δὲ τοὺς φωτισμοὺς ἀδύνατον ἄλλῳ τινὶ
σχήματι ἢ τῷ σφαιρικῷ ὑπάρξαι. ἐνταῦθα οὖν τεκμηριωδῶς ἐκ τῶν ὑστέ-
ρων τῇ φύσει, τῶν φωτισμῶν λέγω, τὸ τῇ φύσει πρότερον τὸ σχῆμα ἀπέ-
δειξε, δέον ἐκ τοῦ δεῖξαι ὅτι ἐκ τῆς πέμπτης ἐστὶν οὐσίας διὰ τοῦτο ἀνάγκη
30 σφαιρικὴν εἶναι (ἀδύνατον γὰρ ἀΐδιόν τι σῶμα εἶναι μὴ σφαιρικὸν ὄν), 50
εἶτα ἐκ τοῦ σφαιρικὸν τὸ σῶμα εἶναι τῆς σελήνης διὰ τούτου δεῖξαι, ὅτι

---

3 γνῶναι om. L 4 lemma om. K 7 ἐγνωκο (hoc de librarii more ἐγνωκότα est) K 8 πᾶσα (om. δὲ) μέθοδος ἀρχὴν L 9. 10 τὰ φυσικὰ ἄρα — ἐγνωσμένων om. Mt 11 αὐτὸν K 12 Ἀποδεικτικῇ] cf. Anal. Post. A 1. Simplic. p. 15, 15 sqq. 15 ἐνδείκνυσι L: δείκνυσι K τις om. L 16 κατὰ τὰ L δευτέρα err. typ. t 17 δείκνυσιν K 18 ὅτι πῦρ ἐστὶν K 20 ἀποδεικτικωτέρῳ τὲ καὶ προτέρῳ Mt 21 οὕτω Mt 22 εἶναι] ἐστὶ K 23 Περὶ οὐρανοῦ B 11 p. 291b18 sqq. 24 τί] τέ L 25 γινμένη err. typ. t μονοειδὴς L δὶς (ante διχότομος) om. superscr. L² 26 ἀδύνατον K 27 τῷ] τὸ K 28 τὸ (post πρότερον) om. K 30 εἶναι (ante μὴ) om. K 31 τὸ σῶμα L: σῶμα (om. τὸ) KMt

www.libtool.com.cn

ἀνάγκη πᾶσα οὕτω φωτίζεσθαι. τοῦτο γὰρ ἦν ἀκολουθότερον τῷ ἐκ τῶν ἀρχι- a 2v
κωτέρων κατασκευάζειν τὰ ὕστερα. ἀλλ' ἐπειδὴ γνωριμώτεροι ἡμῖν εἰσιν
οἱ τῆς σελήνης φωτισμοὶ τοῦ σχήματος αὐτῆς, καὶ τοῦτο τῆς οὐσίας, εἰκό-
τως ἐκ σαφεστέρων τὰ ἀσαφέστερα κατασκευάζει. ἀλλὰ καὶ ὅταν περὶ τῶν
5 καθολικωτέρων γενῶν διδάσκων ἐκ τῶν ὑστέρων τῇ φύσει διδάσκῃ περὶ
αὐτῶν, ὑπογραφὰς καὶ οὐχ ὁρισμοὺς αὐτῶν ἀπο|διδούς, ἢ ὅταν περὶ τῆς a 3r
ὕλης κατὰ ἀφαίρεσιν διδάσκῃ, διὰ τὸ μὴ ἔχειν ἀρχοειδέστερα αὐτῶν ἀνάγκη
ἐκ τῶν ὑστέρων τῇ φύσει τὴν περὶ αὐτῶν ποιεῖσθαι διδασκαλίαν. ἐπεὶ
οὖν καὶ νῦν πρόκειται τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων γνῶναι, ἀνάγκη
10 θατέρῳ τούτων τῶν τρόπων γνῶναι. τῷ μὲν οὖν προτέρῳ ἀδύνατον· εἰ
γὰρ βουληθείημεν ἐξ ἀρχῶν ἀεὶ τὰς ἀρχὰς κατασκευάζειν, ἐπ' ἄπειρον
οὕτως ἥξομεν ἀεὶ τῶν ληφθεισῶν ἀρχῶν ἑτέρας ζητοῦντες. λείπεται οὖν 5
τῷ δευτέρῳ τρόπῳ εἰς τὴν τῶν ἀρχῶν διδασκαλίαν χρήσασθαι, καὶ ἐκ τῶν
δευτέρων τῇ φύσει ἐπὶ τὴν τούτων γνῶσιν ἀνελθεῖν. καὶ γὰρ ἀεί, φησί,
15 τὰ μὲν τῇ φύσει πρότερα καὶ σαφέστερα ἡμῖν ὕστερά ἐστι καὶ ἀσαφέστερα,
καὶ τὰ ἡμῖν πρότερά τε καὶ σαφέστερα τῇ φύσει ὕστερά ἐστι καὶ ἀσα-
φέστερα. διὰ τοῦτο οὖν δεῖ ἡμᾶς ἐκ τῶν σαφεστέρων καὶ προτέρων ἡμῖν,
τῇ φύσει δὲ ὑστέρων καὶ ἀσαφεστέρων, ἄρξασθαι τῆς διδασκαλίας. ταῦτα
δέ ἐστι, φησί, τὰ συγκεχυμένα· ταῦτα γὰρ ἡμῖν ἐστι γνωριμώτερα καὶ
20 σαφέστερα, τῇ φύσει δὲ ἀγνωστότερα. συγκεχυμένα δέ ἐστι τὰ καθόλου· 10
ὥστε ἐκ τῶν καθόλου ἀρκτέον τῆς διδασκαλίας. ταῦτα μὲν οὖν ὁ Ἀρι-
στοτέλης.

Ζητοῦσι δὲ ἐνταῦθα, πῶς φησι τὰ καθόλου ὕστερα εἶναι τῇ φύσει καὶ
ἀσαφέστερα, ἡμῖν δὲ πρότερα καὶ γνωριμώτερα (καίτοι ἀλλαχοῦ τὸ ἐναν-
25 τίον δείκνυται, ὅτι τῶν καθόλου ἡ γνῶσις ἀσαφεστέρα τέ ἐστιν ἡμῖν καὶ
ὑστέρα παραγίνεσθαι πέφυκεν· ἐπιστήμης γὰρ μόνης τὸ καθόλου ἑλεῖν, ἡ
δὲ ἐπιστήμη ὑστέρα ἡμῖν παραγίνεται), καὶ τίνα λέγει καθόλου ἐνταῦθα.
λέγομεν οὖν ὅτι καθόλου ἐνταῦθά φησιν ἤτοι τὸ μερικόν, ὅπερ τοῦ καθ' 15
ἕκαστα διενήνοχεν, ὡς αὐτὸς ἐν τῷ Περὶ ἑρμηνείας φησί, τῷ τὸ μὲν καθ'
30 ἕκαστον ὡρισμένον εἶναι, αὐτὸ δὲ ἀόριστον. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ
μερικὸν ἢ καθ' ἕκαστα ἀόριστον δυνάμενον πλείοσιν ἐφαρμόζειν. τοῦτο οὖν,
δι' αὐτὸ τοῦτο τὸ ἀόριστον εἶναι, καὶ συγκεχυμένον εἰκότως ἐκάλεσε καὶ

---

1 ἀκολουθώτερον K τῷ scripsi: τὸ libri 1. 2 ἀρχικωτέρων L: ἀρκτικωτέρων KMt 2 εἰσὶν ἡμῖν L 3 τοῦτο L: τοῦ$^{\tau}$ M: om. Kt 4 ἐκ τῶν σαφεστέρων fortasse recte K 5 καθολικωτάτων K διδάσκων KMt: διδάσκει L διδάσκῃ (post φύσει) K: διδάσκει LMt 7 ἀφαίρεσιν διδάσκει K 8 περὶ αὐτῶ L 10 τούτων τῶν τρόπων L: τῶν τρόπων τούτων Mt: τούτων om. K γνῶναι scripsi: τὰς ἀρχὰς γνῶναι L: τοῦτο γνῶναι K: αὐτὰς γνῶναι Mt 12 ζητούντων K 18. 19 ταῦτα δέ ἐστι, φησί, τὰ συγκεχυμένα om. et in marg. adscribit compendiose ζήτει K 21 οὖν om. K 24 ἀλλαχοῦ] cf. ad a 4r41 25 ἐστιν om. K 26 μόνος primitus L
28 ὅτι ἐνταῦθα $\overset{\beta}{\text{καθόλου}}$ $\overset{\alpha}{\text{καθόλου}}$ L 29 ἕκαστα] ἕκαστον K Περὶ ἑρμηνείας] cf. c. 7
30 ἕκαστον] ἕκαστα K τὸ ἀόριστον L ἕτερόν om. Mt 32 δι' αὐτὸ τοῦτο τὸ K (item Paris. 2063. Coisl. gr. 166): διὰ τὸ οὕτω L: διὰ τὸ Mt συγκεχυμένων compend. K. at eodem syllabae ων compendio scribit v. 21 ἀρκτέον, p. 8, 18 ἀκουστέον etc.

www.libtool.com.cn

καθόλου. καθόλου μὲν διὰ τὸ δύνασθαι πλείοσιν ἐφαρμόζειν, τοῦ καθ' a 3r
ἕκαστα ἑνὶ μόνῳ ἐφαρμόζοντος, συγκεχυμένον δὲ διότι ἀορίστως καὶ ἀδιαρθρώτως ἐφαρμόζει οἷς ἂν ἐφαρμόζῃ. τὰ γὰρ καθ' ἕκαστα κατὰ τὸ καθόλου μὲν γινώσκοντες σαφῆ καὶ διηρθρωμένην αὐτῶν ἔχομεν τὴν γνῶσιν· ὅταν 20
γὰρ εἴπω, ὅτι ὁ Σωκράτης ζῷόν ἐστιν ἢ ἄνθρωπός ἐστιν, ὡρισμένην ἔχω καὶ διηρθρωμένην τὴν τοῦ ἀνθρώπου καὶ τὴν τοῦ ζῴου φύσιν· κατὰ τὸ μερικὸν δὲ γινώσκοντες τὰ καθ' ἕκαστα, ὡς ὅταν λέγωμεν ὅτι τὶ ζῷόν ἐστι καὶ τὶς ἄνθρωπός ἐστιν, οἷον ὅτι τὸ προσιόν τι ζῷόν ἐστιν ἤ τις ἄνθρωπός ἐστιν, ἀδιαρθρώτως καὶ συγκεχυμένως αὐτὸ γινώσκομεν. τὸ γὰρ τὶ ζῷον δύναται
εἶναι καὶ ἄνθρωπος καὶ ἵππος καὶ τῶν λοιπῶν ἕκαστον· ὁμοίως καὶ ὁ τὶς ἄνθρωπος Πλάτων εἶναι ἢ Ἀλκιβιάδης ἢ ἕτερός τις. πρώτη οὖν ἡ τῶν συγκεχυμένων ἡμῖν γίνεται γνῶσις. τὸν γὰρ Σωκράτην ἰδὼν πόρρωθεν, πρότερον 25
γινώσκω ὅτι ἔστι τι ζῷον, καὶ ταύτῃ συγκεχυμένη αὐτοῦ ὡς ζῴου ἐστὶν ἡ γνῶσις· δύναται γὰρ τὸ τὶ ζῷον τῶν ἄλλων ὁτιοῦν εἶναι· εἶτα καί τις ἄνθρωπος,
καὶ ταύτῃ πάλιν, εἰ καὶ τῶν ἄλλων ζῴων διακέκριται, συγκεχυμένην καὶ οὕτως οὐδὲν ἧττον ἔχομεν αὐτοῦ τὴν γνῶσιν· δύναται γὰρ εἶναι τῶν ἄλλων ἀνθρώπων ὁστισοῦν. τῇ δὲ συγκεχυμένῃ ταύτῃ γνώσει προσθεὶς τὰς ἰδίας τοῦ Σωκράτους ἰδιότητας, οὕτως ἀκριβεστάτην αὐτοῦ ποιοῦμαι τὴν γνῶσιν. οὕτω γοῦν, φησί, καὶ τὰ παιδία τὸ μὲν πρῶτον συγκεχυμένην τὴν τῶν πα- 30
τέρων γνῶσιν ἔχοντα, οὐχ ὡς πατέρας ἀλλ' ὡς ἀνθρώπους γινώσκουσι· διὸ καὶ πάντας ἀνθρώπους πατέρας νομίζει· ὕστερον δέ, ὅταν λοιπὸν δυνηθῶσι ταῖς ἰδιότησι τοῦ πατρὸς ἐπιστῆσαι, τότε διηρθρωμένην αὐτοῦ τὴν γνῶσιν ἔχοντα τῶν ἄλλων ἀφορίζει ἀνθρώπων.

Καὶ ἑτέραν δὲ ἐξήγησιν τούτων τινὲς φέρουσιν. ἵνα γάρ, φασί, κυρίως
τὴν τοῦ καθόλου ἔννοιαν σώσωμεν, ῥητέον καθόλου λέγειν αὐτὸν τὸ ἐν τοῖς πολλοῖς· τό τε γὰρ πρὸ τῶν πολλῶν σαφὲς ἡμῖν ἀλλ' ὀψέ ποτε γινωσκόμενον, τό τε ἐπὶ τοῖς πολλοῖς καὶ ὑστέροις μετὰ τὴν τελείωσιν τοῦ λόγου παραγίνεται, ὅταν λοιπὸν οἷοί τε ὦμεν ἐκ τῶν κατὰ μέρος τὴν κοινῶς 35
ὑπάρχουσαν αὐτοῖς φύσιν ἀπομάξασθαι. ἄλλως τε τὸ μὲν περὶ τοῦ πρὸ τῶν
πολλῶν διαλέγεσθαι θεολόγου μᾶλλον, τὸ δὲ περὶ τοῦ ὑστερογενοῦς διαλεκτικοῦ· φυσιολόγῳ δὲ προσῆκον περὶ τοῦ ἐν τοῖς πολλοῖς διαλέγεσθαι. τοῦτο οὖν, φασί, πρότερον ἡμῖν εἶναι λέγεται καὶ σαφέστερον καὶ συγκεχυμένον. ὅταν γὰρ προσιόντα τινὰ ἴδωμεν, κατὰ τὰ καθόλου καὶ συγκεχυμένα πρῶτον αὐτὸν γινώσκομεν· πρότερον γὰρ ἁπλῶς ὅτι σῶμά ἐστι νοοῦμεν,

---

2. 3 ἀδιορθώτως L: ἀναρθρώτως K 3 οἷς] ὦ L ἐφαρμόζῃ] ἐφαρμόζει K κατὰ LK: καὶ Mt 4 διωρθωμένην ante corr. L 5 γὰρ om. L εἴπωμεν Mt ἐστιν (post ζῷόν) om. K ὁρισμένην K 6 τὴν (post καὶ) om. K 7 τὰ καθέκαστον L τὶ om. K 8 ἐστιν (ante οἷον) om. Mt 12 πρότερον om. K 14 καί (post εἶτα) K: ὁ LMt: fort. καὶ ὅτι 15 πάλιν ταύτῃ L συγκεχυμένη L 18 ἀκριβεστάτη K 19. 20 πατέρων] ἀνῶν (h. e. ἀνθρώπων) L 20 γνῶσιν ἔχοντα L: ἔχοντα γνῶσιν Mt: τὴν γνῶσιν τῶν πρῶν ἔχοντϊ (sic) traicit K 23 ἔχοντι K 24 φησι K 26 ποτε om. Mt 27 καὶ ὕστερον καὶ μετὰ L 28 λοιπὸν] γὰρ K 29 περὶ τῶν πρὸ τῶν K 30 δεῖ λέγεσθαι K ὑστερογενοῦς LK: ὑστέρου γένους Mt 31 φυσιολόγου L 32 φασὶν K: φησι LMt 33 γάρ τινα προσιόντα K προιόντα primitus L

www.libtool.com.cn

εἶτα ὅτι ζῷον, εἶτα ὅτι ἄνθρωπος· ποῖον μέντοι σῶμα ἢ ποῖον ζῷον ἢ ποῖος a 3r
ἄνθρωπος, οὐκέτι. φημὶ δὲ ἐγὼ τὴν δευτέραν ἐξήγησιν οὔτε τῇ Ἀριστοτελικῇ
διδασκαλίᾳ συνᾴδειν, οὔτε τῇ φύσει αὐτῇ τῶν πραγμάτων. πρῶτον μὲν γὰρ 41
τὰ παραδείγματα ἃ προφέρουσιν οὐ τοῦ γένους ἐστὶ τοῦ ἐν τοῖς πολλοῖς, ἀλλὰ
5 τοῦ μερικοῦ καὶ ἀορίστου. τί γὰρ ἐστιν ἄλλο τὸ ἐν τοῖς πολλοῖς γένος, εἰ
μὴ ἡ ἄθροισις πάντων τῶν κατὰ μέρος, ἤγουν τὸ κοινῶς πάντων τῶν κατὰ
μέρος κατηγορούμενον; ὅταν δὲ τὸ προσιὸν εἴπω ζῷον εἶναι ἢ ἄνθρωπον
εἶναι, οὐ τοῦτο νομίζω ὅτι ὁ προσιὼν τὸ ἄθροισμά ἐστι τῶν ζῴων, ἢ τὸ
ζῷόν ἐστι τὸ πάντων τῶν κατὰ μέρος κατηγορούμενον, ἀλλὰ τὸ καθ' ἕκαστον 45
10 ζῷον ὑπολαμβάνω τὸ προσεχῶς ὑπὸ τὸ εἶδος τεταγμένον. ἀόριστον δὲ τοῦ-
τό ἐστι, διότι μὴ ἔχω ἐρεῖσαι τὴν διάνοιαν ποῖόν τί ἐστι τῶν καθ' ἕκαστα
τῶν ὑπὸ τὸ εἶδος τεταγμένων. διὰ τοῦτο καὶ μερικόν φημι τὸ τὶ ζῷον καὶ
οὐ καθ' ἕκαστα, [διότι ἀόριστον ὂν δύναται ἐπὶ πλειόνων καθ' ἕκαστα ἐφαρ-
μόζειν καὶ ταύτῃ καθολικώτερον αὐτῶν εἶναι] τῷ τὸ μὲν καθ' ἕκαστα ὡρι-
15 σμένον ὂν μηδαμῶς ἄλλῳ τινὶ ἐφαρμόζειν δύνασθαι, τοῦτο δὲ διὰ τὸ ἀό-
ριστον εἶναι δύνασθαι πλείοσιν ἐφαρμόζειν. πρῶτον μὲν οὖν, ὅπερ εἶπον,
οὐδὲ τὰ παραδείγματα τὸ ἐν τοῖς πολλοῖς γένος σημαίνει, ἔπειτα τὸ ἐν 50
τοῖς πολλοῖς γένος, εἰ καὶ τῷ ὄντι τῇ μερικῇ φύσει καὶ ὕστερόν ἐστι καὶ
ἀσαφέστερον (τοῦτο γὰρ οἶδεν ἡ φύσις ὃ καὶ ποιεῖ, ποιεῖ δὲ τῶν καθόλου
20 οὐδέν, ἀλλὰ μόνως τὰ καθ' ἕκαστα, εἶτα ὕστερον ἐκ τοῦ ἀθροίσματος τούτων
τὰ καθόλου συνίσταται), ἀλλ' οὐδὲν ἧττον καὶ ἡμῖν ὕστερόν ἐστι κατὰ τὴν
γνῶσιν, διὸ καὶ ἀσαφέστερον. πρώτως γὰρ τὸ καθ' ἕκαστα γινώσκομεν· τού-
του γὰρ καὶ ἡ αἴσθησις ἀντιλαμβάνεται· πρώτως δὲ τῇ αἰσθήσει ἐνεργοῦμεν,
εἶτα ὕστερον λόγῳ· ⟨ὃς⟩ συλλέξας τὰ | κατὰ μέρος τῇ αἰσθήσει ἐγνωσμένα a 3v
25 τὸ πάντων ἄθροισμα, ἢ ἁπλῶς τὸ ἐν πᾶσι κοινόν, γένος ἐκάλεσεν. ὥστε
καὶ ἡμῖν ὕστερα ἡ τοῦ γένους τοῦ ἐν τοῖς πολλοῖς γνῶσις, καὶ διὰ τοῦτο
ἀσαφεστέρα· προχειρότερον γὰρ τοῖς καθ' ἕκαστα ἐπιβάλλομεν ἢ τοῖς καθό-
λου. ἄλλως τε οὐδὲ τοῖς Ἀριστοτελικοῖς ἡ ἐξήγησις αὕτη συνᾴδει παρα-
δείγμασιν. ὁ γὰρ παῖς εἰ καὶ πάντα ἄνθρωπον ὡς πατέρα γινώσκει, ἀλλ' οὖν
30 τοῦ καθόλου ἔννοιαν οὐκ ἔχει, ἀλλὰ τοῦ μερικοῦ, τοῦ ἀορίστου· μὴ ἔχων γὰρ 5
διηρθρωμένους τοῦ καθ' ἕκαστα τοὺς τύπους, οὓς ἐξ ἀρχῆς ἔσχε τοῦ ἀνθρώπου

1 ἢ ποῖον ζῷον om. L 2 δὲ] δεῖν K 4 οὐ τοῦ] οὔτε t 6 ἡ om. K
6. 7 ἤγουν — μέρος om. K 8 εἶναι (post ἄνθρωπον) om. K 8. 9 ἐστι — ἐστι] εἶναι — εἶναι K 9 πάντων τῶν κατὰ μέρος Mt: κατὰ μέρος πάντων LK (nisi quod post πάντων addit τῶν κατὰ μέρος K) καθέκαστα K 10 προσεχὲς primitus L 11 διὰ τὸ μὴ ἔχειν ἐρίσαι (sic) τὴν διάνοιαν τὸν σκοποῦντα ποῖόν K at cf. ad p. 5,16 13. 14 διότι — αὐτῶν εἶναι delevi 14 τῷ τὸ μὲν K: τὸ μὲν γὰρ LMt 15 οὐδαμῶς Mt
15. 16 δύνασθαι — δύνασθαι K: δύνασθαι — δύναται L: δύναται — δύναται Mt 19 σαφέστερον K 20. 21 τούτων τὰ Mt: τούτου τὸ L: τὰ K qui mox ἱσταται (sic) τούτων 21 καὶ ἡμῖν ὕστερον om. L ὕστερον scripsi: ὕστερα KMt: ὕστερον post γνῶσιν ex correctione ('quid scripserit manus prima non liquet') L² ἐστι] εἶναι K 22 ἀσαφέστερον L²: ἀσαφέστερα LKMt τὸ LK: τ* (littera foro exhausta) M: τὰ t 23 τῇ αἰσθήσει L: κατὰ τὴν αἴσθησιν KMt 24 λόγῳ· ὃς scripsi: λόγω L: ὁ λόγος KMt 27 γὰρ τοῖς] γὰρ τὰ K 29 ὡς] καὶ L 30 ἔχων] ἔχον K 31 τοῦ καθέκαστα τοὺς KMt: τοὺς καθέκαστα L: fuit fortasse τοὺς τοῦ καθ' ἕκαστα

www.libtool.com.cn

τύπους πᾶσιν ἐφαρμόζει. καὶ ἡμεῖς δέ, ὡς ἔφθην εἰπών, ὅταν τὸ προσιὸν a 3v
ὡς ζῷον γινώσκωμεν, οὐχ ὡς γένος αὐτὸ γινώσκομεν (ἴσμεν γὰρ ὅτι ἕν τί
ἐστιν), ἀλλ' ὡς ἀόριστον καθ' ἕκαστα· τοῦτο δέ ἐστι τὸ μερικόν. παντελῶς
ἄρα ἀνάρμοστος ἡ δευτέρα ἐξήγησις. καθόλου οὖν ἀκούσομεν κατὰ τὴν
5 προτέραν ἐξήγησιν τὸ μερικόν, ὅπερ τῷ ἀόριστον εἶναι καὶ συγκεχυμένον
ἐστὶ καὶ καθόλου. τὸ γὰρ γένος οὐκ ἔστι συγκεχυμένον· ὅταν γὰρ εἴπω
ζῷον, ὥρισα τὴν οὐσίαν, κἂν ἐπὶ μυρίων ἢ ἑνὸς λέγηται, οὐδὲν μᾶλλον ἢ 10
ἧττον γνωσθήσεται ἡ τοῦ ζῴου οὐσία· ὅταν δὲ εἴπω τὶ ζῷον, ἐπειδὴ δί-
δωσι μὲν ἡ ἔννοια μὴ μόνον τὸ ζῷον νομίζειν ἀλλὰ καί τινα διαφορὰν ὑπάρ-
10 ξασαν αὐτῷ καὶ χωρίζουσαν αὐτὸ τῶν ἄλλων, οὐκέτι μέντοι τίς ἡ διαφορὰ
προστίθησι (τοῦτο γὰρ τοῦ καθ' ἕκαστα ἴδιον), διὰ τοῦτο συγκεχυμένον ἐστὶ
καὶ ἀδιάρθρωτον. ἔστι δέ, ὡς εἶπον, καὶ ὕστερον τῇ φύσει· ἐκ τῶν γὰρ
καθ' ἕκαστα τοῦτο τὸ ἀόριστον συνῆκται· κοινή γάρ τίς ἐστι φωνὴ δυνα-
μένη ἐπὶ πάντων τῶν καθ' ἕκαστα ἰδίᾳ καθ' ἕκαστον ἐφαρμόζειν. ἐπεὶ οὖν τὰ 15
15 οὕτως καθόλου καὶ συγκεχυμένα σαφέστερα ἡμῖν καὶ πρότερα, ἀναγκαῖον
δὲ * * * καὶ ἐν τῷ περὶ τῶν ἀρχῶν λόγῳ ἐκ τῶν συγκεχυμένων τε καὶ
κοινοτέρων, ἡμῖν δὲ σαφεστέρων, ἄρξασθαι. εἰ δέ τις εἴποι ὅτι οὐ μόνον
ἡμῖν τὰ κοινότερα καὶ συγκεχυμένα πρότερά ἐστι καὶ σαφέστερα, ἀλλὰ καὶ
τῇ φύσει (ἀεὶ γὰρ καὶ αὐτὴ τῆς δημιουργίας ἐκ τῶν κοινοτέρων καὶ ἀδιαρ-
20 θρώτων ἄρχεται· οἷον βουλομένη ποιῆσαι τὸν Σωκράτην πρότερον σώ-
ματος ἁπλῶς καταβάλλεται λόγους, ὅπερ ἐστὶ κοινόν τι οὐ μόνον ἐπὶ ἐμ-
ψύχων ἐφαρμόζον ἀλλὰ καὶ ἐπὶ ἀψύχων, καὶ διὰ τοῦτο συγκεχυμένον· ὅσον 20
γὰρ ἐπὶ τῇ τοῦ σώματος δημιουργίᾳ ἄδηλον ποῖόν τι σῶμα τὸ προβληθέν·
εἶτα προϊοῦσα διαρθροῖ μᾶλλον τοῦτο καὶ ποιεῖ ζῷον, ἀλλ' ἔτι μέντοι
25 καὶ τοῦτο ἀόριστον καὶ κοινότερον· ὁμοίως κατὰ τὸν αὐτὸν λόγον ἐκ τούτου
ἄνθρωπον· εἶτα τέλος τὰς ἰδικωτάτας ἐπιθεῖσα διαφορὰς ποιεῖ τὰ καθ'
ἕκαστα, οἷον Σωκράτην, Ἀλκιβιάδην. καὶ τῇ φύσει ἄρα πρότερά ἐστι τὰ
κοινότερα καὶ συγκεχυμένα, καὶ διὰ τοῦτο σαφέστερα αὐτῇ ταῦτα ὡς προ-
σεχέστερα καὶ ἐγγύτερα· καὶ οὐκ εὔλογον πρὸς τοῦτο ἀπολογουμένους λέγειν, 25
30 ὅτι σκοπὸν ἔχει ἡ φύσις τὸ καθ' ἕκαστα ποιεῖν καὶ ὡς πρὸς τοῦτο πρῶτον

---

2 γινώσκωμεν scripsi: γινώσκομεν libri, sed huius modi barbaries librariis hic et alibi tribuenda videtur. cf. i 8r34. 44, l 5r54, m 6r18 etc. καὶ post αὐτὸ addit K
3 καθέκαστον K 4 ἀκούσωμεν K τὴν om. L 5 τὸ — εἶναι καὶ in erasis L ὅπερ Mt: ὅπως K: ὃ πρὸς L 6 καὶ (ante καθόλου) om. add. L²
7 οὐδενὶ K 9. 10 ὑπάρξουσαν Mt: fort. ὑπάρχουσαν (p. 11,29 pro ὑπάρχουσαν exhibent ὑπάρξασαν excerpta Paris. cod. Coisl. gr. 166) 10 αὐτὸ] αὐτῷ K
12 τῶν γὰρ LK: γὰρ τῶν Mt cf. a 4v44 14 καθέκαστα utrobique L 16 δὲ (post ἀναγκαῖον) K et cod. Vatic. 250: omiserunt LMt scilicet ut lacunam tegerent quam indicavi ita fere explendam εἰς τὴν τῶν ἀρχῶν γνῶσιν ἐκ τῶν προτέρων ἡμῖν καὶ σαφεστέρων ἄρξασθαι, ἀναγκαῖον τὴν ἀρχὴν K qui v. 17 ἡμῖν τε 19 αὐτὴ LM: αὐτῇ K: αὕτη t 20. 21 σώματι (omisso in proximis λόγους) L 21. 22 οὐ μόνον ἐπὶ ἀψύχων ἀλλὰ καὶ ἐμψύχων ἐφαρμόζων (sic) K 23 σῶμα ἐστὶ τὸ K 26 ἄνον (h. e. ἄνθρωπον) LK: ἄνος Mt εἰδικωτέρας Mt 30 τὸ] τὰ K τοῦτο τὸ πρῶτον L

www.libtool.com.cn

τοὺς τῶν κοινοτέρων προβάλλεται λόγους· καὶ γὰρ καὶ ἡ ἡμετέρα γνῶσις σκοπὸν a 3v
ἔχει τὸ καθ' ἕκαστα γνῶναι, καὶ ὡς πρὸς τοῦτο ὁδῷ τινι κέχρηται τῇ
ἐκ τῶν κοινοτέρων ἀρχῇ), φαμὲν οὖν ἡμεῖς τὴν ἀπορίαν ταύτην ἐπι-
λυόμενοι, ὅτι οὐδέποτε ἡ φύσις τὰ κοινὰ καὶ συγκεχυμένα ποιεῖ, ἀλλ' ἀεὶ
5 τὰ καθ' ἕκαστα καὶ διῃρθρωμένα. οὐ γάρ, ὥσπερ ἡμεῖς τὸ προσιὸν ἀπο-
φαινόμενοί τι σῶμα εἶναι δυνάμεθα τὸ τὶ σῶμα τοῦτο φέρειν καὶ κατὰ ἀψύ-
χου καὶ ἐμψύχου καὶ ἱππείου καὶ ἀνθρωπείου, τῆς φαντασίας τοῦ τινὸς 30
σώματος οὐδαμῶς κωλυομένης ἐπί τι τούτων φέρεσθαι, οὕτω καὶ ἡ φύσις,
ὅταν ποιοῦσα τὸν Σωκράτην πρῶτον προβάλληται σῶμα, τοιοῦτον προβάλ-
10 λεται, ὡς δύνασθαι τὸ αὐτὸ καὶ λίθῳ ἐφαρμόζειν ἢ ἵππῳ. οὐδαμῶς· ἀλλ'
οὐδὲ τῷ τυχόντι ἀνθρώπῳ, ἀλλὰ μόνως Σωκράτους δυνάμενον εἶναι σῶμα οὕτω
προβάλλεται. ὁμοίως καὶ τὸ Σωκράτους ζῷον ποιεῖ καὶ τὸν ἄνθρωπον. ὥστε
μόνως τὰ μερικὰ ἡ φύσις ποιεῖ. εἰ γὰρ καὶ πρῶτα προβάλλεται τὰ ὅλης
λόγον ἐπέχοντα πρὸς τὰ μετὰ ταῦτα, καὶ κατὰ τοῦτο αὐτῇ κοινωνοῦμεν
15 καθὸ ἀπὸ τῶν ὑλικωτέρων ἀρχόμεθα, ἀλλὰ διαφέρομεν καθὸ ἡ μὲν ἀπὸ 35
τῶν μερικῶν ἄρχεται, εἶτα ἐκ τῆς τῶν καθ' ἕκαστον συναγωγῆς ποιεῖ
τὰ καθόλου, ἡμεῖς δὲ ἀπὸ τῶν καθολικωτέρων ἀρχόμενοι ἐπὶ τὰ μερικώ-
τερα προβαίνομεν· καὶ ἡ μὲν ἀεὶ τὰ διῃρθρωμένα ποιεῖ, ὕστερον δὲ ἐκ τού-
των τὰ συγκεχυμένα γίνεται κατὰ τὸν εἰρημένον τρόπον, ἡμεῖς δὲ ἐκ τού-
20 των ἀρξάμενοι ἐπὶ τὰ διῃρθρωμένα προβαίνομεν.

Ἀλλὰ γὰρ ἄνωθεν τὸν σκοπὸν τῶν προκειμένων εἴπωμεν καὶ τοῦ ὅλου
λόγου τὴν ἀγωγήν. πρόκειται, φησίν, ἡμῖν τὰ φυσικὰ πράγματα γνῶναι. 40
φυσικὰ δὲ δηλονότι τὰ ἐν ὑπάρξει ὄντα καὶ ὑφεστηκότα, ταῦτα δέ ἐστι τὰ
καθ' ἕκαστα· οὐδὲν γὰρ τῶν κοινοτέρων τε καὶ καθόλου ὑφέστηκε καθ' αὑτό.
25 οὐδὲ γὰρ ἔστιν ἁπλῶς σῶμα ὃ μὴ πάντως ἢ ὅδε ὁ λίθος ἐστὶν ἢ τόδε τὸ
ξύλον, οὐδὲ ἁπλῶς ζῷον ὃ μὴ ὅδε ὁ ἵππος ἐστίν, οἷον Ξάνθος ἢ Βαλίος,
ἢ ὅδε ὁ ἄνθρωπος. οὐδὲ γὰρ γίνεται ὅλως τὸ καθόλου οὐδὲ γινώσκει αὐτὸ ἡ
φύσις· ὃ γὰρ οἷδε τοῦτο καὶ δημιουργεῖ, καὶ ὃ δημιουργεῖ τοῦτο καὶ γι-
νώσκει, δημιουργεῖ δὲ μόνον τὸ μερικόν· τοῦτο ἄρα καὶ γινώσκει μόνον·
30 εἰ γὰρ ᾔδει τὸ καθόλου, καὶ ἐποίησεν ἂν αὐτὸ δηλονότι. ἐπεὶ οὖν πρό- 45

---

1 τοὺς τῶν KMt: τοὺς L κοινωτέρων (item p. 15,14) K καὶ (post γὰρ) om. K
3 οὖν καὶ ἡμεῖς L 6. 7 ἀψύχου καὶ ἐμψύχου Mt: ἀψύχων καὶ ἐμψύχων L: ἐμψύχου καὶ ἀψύχου K 8 καλυομένης err. typogr. t 10 τῷ αὐτῷ L 11 μόνως KMt: μόν L εἶναι K: ἐστι LMt 12 ὁμοίως] οὕτως K 14 αὐτοῦ L 15 ἀρχόμ/α (quod generatim est ἀρχόμενα: at similiter ὑπεθέμ/α, pro ὑπεθέμεθα in codice M infra q 8v45) K 16 μερικωτέρων Mt τῆς τῶν Mt: τῶν τῆς K: τῶν om. L καθέκαστα Mt 17. 18 μερικωτέρα err. typ. t 18 ἡ LK superscr. M²: εἰ Mt 19 γίνονται L 25 οὐδὲν γὰρ L ἢ (post πάντως) L: ἤ. K: om. Mt ὁ (ante λίθος) et 27 (ante ἄνθρωπος) om. K 26 μὴ ὅδε ὁ Mt: μὴ δὲ L: μὴ ὁ K Βαλίος (cf. Lehrsii Aristarch. p. 271²) scripsi: βαλίας L: βάλλιος K: βάλιος M, ubi βέλιος sibi legere visus hoc ipsum dedit t 30 ἂν K: om. LMt. saepe in talibus excidit ἄν librariorum culpa, saepius fortasse ipsius Philoponi

www.libtool.com.cn

κειται ἡμῖν τὰ ἐν ὑποστάσει φυσικὰ πράγματα γνῶναι, γινώσκεται δὲ πᾶν a 3v
ἐγνωσμένων τῶν ἀρχῶν, καὶ τὰ ἐν ὑποστάσει ἄρα φυσικὰ πράγματα γνω-
σόμεθα τὰς ἰδίας ἑκάστου αὐτῶν ἀρχὰς ἐγνωκότες. ἀλλ' ἐπεὶ μὴ ἔστιν
ἑκάστου τῶν πρώτων ἀρχῶν ἀρχὰς ἑτέρας εὑρεῖν, δεῖ, φησίν, ἐκ τῶν δευ-
5 τέρων τῇ φύσει, ἡμῖν δὲ προτέρων καὶ σαφεστέρων, ἀναδραμεῖν ἐπὶ τὴν
τῶν ἀρχῶν γνῶσιν. δεύτερα δέ ἐστι τῇ φύσει, ἡμῖν δὲ πρότερα καὶ σα-
φέστερα, τὰ κοινότερα μὲν καὶ πλείοσιν ἐφαρμόζοντα, συγκεχυμένα δέ, τῶν 50
ἰδικωτέρων τε καὶ διηρθρωμένων ἑκάστου ἀρχῶν. πρῶται γὰρ ἀεὶ παρα-
γίνονται ἡμῖν αἱ κοινότεραί τε καὶ ἀδιάρθρωτοι φαντασίαι, ὕστερον δὲ ἐκ
10 τούτων ἐπὶ τὰς ἰδικωτέρας τε καὶ διηρθρωμένας ὁδεύομεν (ὡς δηλοῖ ἥ τε
κατὰ τοὺς παῖδας γνῶσις καὶ ὅταν τινὰ πόρρωθεν προσιόντα ὁρῶμεν), μᾶλ-
λον δὲ παντὸς πράγματος ἡ γνῶσις κατὰ τὴν πρώτην προσβολὴν ἐκ τῶν
κοινοτέρων πέφυκε γίνεσθαι. διὰ τοῦτο οὖν καὶ ἡμᾶς, φησί, δεῖ ἐκ τῶν
κοινοτέρων τε καὶ συγκεχυμένων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιήσασθαι.
15 ἄρχεται γοῦν ἐντεῦθεν κοινῶς περὶ | τῶν ἀρχῶν ζητεῖν πότερον μία ἢ πλείους, a 4r
αὕτη δὲ ἡ διδασκαλία τῶν κοινοτέρων ἐστὶ καὶ συγκεχυμένων· τὸ γὰρ ζη-
τεῖν εἰ μία ἢ πλείους τῶν φυσικῶν αἱ ἀρχαὶ οὐδέν ἐστι περὶ τῆς ἰδιότητος
ἑκάστης φυσικῆς ἀρχῆς εἰπεῖν, ἀλλὰ κοινότερον διδάξαι πόσαι εἰσὶν αἱ
φυσικαὶ ἑκάστου ἀρχαί, ὅπερ καὶ ὕστερόν ἐστι τῇ φύσει συνειλεγμένον ἐκ
20 τῶν κατὰ μέρος καὶ συγκεχυμένον. ἐπεὶ γὰρ ἡ φύσις ἕκαστον τῶν κατὰ
μέρος ποιοῦσα (οὐδὲν γὰρ τῶν καθόλου ποιεῖ, ὥσπερ εἴπομεν) παρέλαβε 5
τοσάσδε τινὰς ἀρχὰς εἰς τὴν ἑκάστου γένεσιν, καὶ ἐπὶ πάντων τὰς αὐτὰς
ἀρχὰς ὁμοίως παρέλαβε, τὸ κοινὸν δηλονότι τοῦτο καὶ καθόλου ὕστερόν
ἐστι καὶ ἐκ τῆς τῶν κατὰ μέρος πραγμάτων γενέσεως ὑπέστη, καὶ συγ-
25 κεχυμένον δὲ διὰ τὸ μὴ διαρθροῦν τίς ποτέ ἐστιν ἡ ἰδιότης ἑκάστης ἀρ-
χῆς. εἶτα ἐφεξῆς ἐπί τι μὲν διηρθρωμένον μᾶλλον προβαίνει ὁ λόγος, ἔτι
μέντοι ὡς πρὸς τὰς ἰδικὰς ἑκάστου ἀρχὰς ἀδιάρθρωτόν τε καὶ συγκεχυ-
μένον. ὅταν γὰρ μάθωμεν ὅτι ἡ μέν τίς ἐστι τῶν ἀρχῶν ὕλη, ἡ δὲ 10
εἶδος, ἡ δὲ στέρησις, κοινόν τινα λόγον καὶ συγκεχυμένον ἐμάθομεν. ἄλλη
30 γὰρ ἡ τοῖς οὐρανίοις καὶ ἀιδίοις ὑποκειμένη ὕλη καὶ ἄλλη ⟨ἡ⟩ τοῖς ἐν γενέσει·
καὶ ἐν τούτοις ἄλλη μὲν ἡ τοῖς μετεώροις, ἄλλη δὲ ἡ τοῖς ἐν γῇ· καὶ
ἄλλη μὲν φυτῶν, ἄλλη δὲ ζῴων. ὥστε κἂν περὶ τῆς ὕλης διδάσκῃ ἡμᾶς
ἐν τούτοις, ἀλλὰ περὶ τῆς κοινότερον καλουμένης ὕλης, ἥτις ἐπὶ πάσης

---

1. 2 γνῶναι — πράγματα om. K 4 ἑτέρας εὑρεῖν ἀρχὰς Mt 7 ἐφαρμόζοντϊ K
8 εἰδικωτέρων Mt 11 προσιόντα, πόρρωθεν traiciunt Mt 13 οὖν] γοῦν L ἡμεῖς Mt
δεῖν L 15 ζητεῖ L 16 αὐτὴ K 18 ἑκάστης L: ἑκάστου KMt φυσικῆς
ἀρχῆς L: τῶν φυσικῶν ἀρχῶν K: τῆς φυσικῆς ἀρχῆς Mt 18. 19 ἑκάστου αἱ φυσικαὶ
ἀρχαί K 19 ὑσύστερον (εἰσύστερον?) L συνειλημμένον K 20 συγκεχυμένον Kt:
συγκεχυμένων LM 22 τοσάσδε om. K 24 ἐστιν Mt καὶ (ante ἐκ) om. M
πραγμάτων Mt: πάντων LK 25 διαρθροῦντές ποτε L 26 διηρθρωμένων compend. K
cf. ad p. 10,32 28 ὅταν μὲν μὲν γὰρ (sic) K 29 εἶδος LKt: ὕλη M
καὶ συγκεχυμένον λόγον Mt 30 ἀιδίοις] θείοις K alterum ἡ addidi τοῖς ἐν
γενέσι (sic) K: τ.....γ..εσι L 31 ἐν τῇ γῇ Mt 32 διδάσκ ἡμᾶς L: διδάσκειν
ἡμῖν K: ἡμᾶς διδάσκῃ Mt

www.libtool.com.cn

ὕλης κατηγορεῖσθαι δύναται. οὐ μία δὲ ἡ τῆς ὕλης φύσις οὐδὲ τῆς πρώτης· a 4r
ἄλλη μὲν γὰρ ἡ τῶν οὐρανίων, ἄλλη δὲ ἡ τῶν ἐν γενέσει. ῥᾴδιον δὲ
ἐπιβλέψειεν ἄν τις, ὅτιπερ ἐν τοῖς πράγμασιν ἄλλο μέν τί ἐστι τὸ ὑποκεί-
μενον καὶ ὥσπερ ὕλη ὑπεστρωμένον, ἄλλο δὲ τὸ εἶδος καὶ ἡ μορφὴ ἡ
ἐγγινομένη ἐν αὐτῇ (ὥσπερ ἐπὶ τῶν ξυλίνων τε καὶ κηρίνων σκευῶν καὶ
πάντων τῶν τοιούτων ἔχει), καὶ ὅτι ἡ αὐτή ἐστιν ἐπὶ πάντων ἀναλογία, εἰ
τῇ ἰδίᾳ ἑκάστου ἀρχῇ τις ἐπιστήσειεν, ὅτι τοῖς μὲν μετεώροις ἡ ξηρὰ
καὶ ὑγρὰ ἀναθυμίασις ὑπόκειται, τοῖς δὲ οὐρανίοις πέμπτη τις οὐσία· τῷ
γὰρ ὄντι πολλῆς ἐπιβλέψεως χρεία εἰς τὸ τὰς ἰδικὰς ἑλεῖν ἀρχὰς τῶν πραγ-
μάτων. ἴσως δὲ ἀπορήσειέ τις ὅτι, εἰ περὶ τῆς ἀνειδέου καὶ πρώτης ὕλης
ἐνταῦθά ἐστιν αὐτῷ ὁ λόγος, πῶς φαμεν ὡς ἐκ τῶν ὑστέρων τῇ φύσει
ποιεῖται τὴν διδασκαλίαν; πρώτη γὰρ πάντων ἀρχὴ αὐτή. φημὶ δὲ ἐγὼ
ὅτι πρῶτον μὲν ἡ πρωτίστη ὕλη ὡς μὲν σωμάτων τῷ ὄντι ἐστὶ πρώτη
ἀρχή, ὡς μέντοι ζῴων ἢ φυτῶν ἢ μετάλλων ἢ τῶν ἐν τοῖς μετεώροις
συνισταμένων ἢ τῶν οὐρανίων ἄλλη τίς ἐστιν ἰδικωτέρα ἀρχή. ὅταν οὖν
ὡς μετεώρων πρώτην ἀρχὴν ζητῶμεν, οὐ δυνάμεθα λέγειν τὴν ἀνείδεον
ὕλην· αὕτη γὰρ οὐδὲν μᾶλλον ἐστι τῶν μετεώρων ἀρχὴ ἢ πάντων ἁπλῶς
τῶν σωμάτων· ἀλλὰ δεῖ ζητεῖν τὴν ἰδίως αὐτοῖς ὑποκειμένην καὶ ὡς με-
τεώρων πρωτίστην ἀρχήν. ἄλλως τε κἂν διδάσκῃ περὶ τῆς ἀνειδέου ὕλης,
οὐδὲν ἧττον κοινοτέρα ἐστὶ καὶ συγκεχυμένη ἡ διδασκαλία· συγκεχυμένη
μέν, διότι οὐδὲν ἧττον ἡ τῶν οὐρανίων ἀνείδεός ἐστιν ἢ ἡ τῶν ἐν γενέσει,
καὶ ταύτῃ οὐδὲν ἴδιον περὶ τῆς ἰδίας ἢ τούτων ἢ ἐκείνων ὕλης εἴρηκεν,
ἀλλὰ κοινόν τινα λόγον ἀποδέδωκε περὶ αὐτῶν· τὸ δὲ κοινὸν τοῦτο δηλο-
νότι ὕστερόν ἐστι τῇ φύσει, ἐπειδὴ ἡ φύσις, ὡς εἴπομεν, οὐδὲν τῶν κοινῶν
ποιεῖ, ἀλλὰ τὰ καθ' ἕκαστα ἐξ ὧν συλλέγεται τὸ κοινόν. ἀλλ' οὐδὲ ὅλως
τὴν πρώτην ὕλην ἡ φύσις ποιεῖ. γίνεται μὲν γάρ, ὡς πολλάκις εἶπον, τὰ
καθ' ἕκαστα, τούτων δὲ προσεχὴς ἑκάστου ἡ ὕλη ἣν ἡ δημιουργὸς ἑκάστου
φύσις ποιεῖ. τὴν οὖν πρώτην ὕλην οὐδεμία φύσις ποιεῖ· ἐκ τοῦ πρώτου
γὰρ παρῆκται, οὐχ ὑπὸ φύσεως. εἰ οὖν ἔγνωσται τῇ φύσει τὰ πρῶτα λε-
γόμενα ἃ ποιεῖ, τὴν δὲ ἀνείδεον ὕλην ἡ φύσις οὐ ποιεῖ, οὐκ ἄρα περὶ τῆς

---

1 οὐδὲ τῆς πρώτης] τὸ δὲ τῆς πρωτίστης K 2 ῥᾴδιον δὲ] ῥάδιον ἂν K 3 ὅτιπερ L: ὅτι KMt τί] τοι K 4 ἐπεστρωμένον Mt 5 γινομένη L ὥσπερ Mt: ὡς K: ὥσπερ καὶ L 6 καὶ ὅτι KMt: καὶ ὅπερ L: scribe καὶ ὅτιπερ 8 καὶ ἡ ὑγρὰ K 10 scribendum ἀπορήσειεν ἄν τις. nusquam enim, nisi fallor, deest ἄν in hac formula praeter l 8r26, ubi omissum in libris addidit t. valet tamen fortasse idem vocula ἴσως hic addita ὅτι (ante εἰ) om. L πρωτίστης K 11 ἐνταῦθά ἐστιν αὐτῷ L: ἐστὶν αὐτῷ ἐνταῦθα K: ἐνταῦθα αὐτῷ ἐστιν Mt ὡς L: om. K: ὅτι Mt 12 πρωτίστη K ἡ ἀρχὴ L αὕτη rectius K 13 ὅτι (post ἐγὼ) KMt: ὡς L μὲν (ante ἡ) om. L πρωτίστη] πρώτη primitus K 15 συνισταμένων K ὅτι οὖν et mox ζητοῦμεν K 18 αὐτῆς K 19 πρωτίστων L 20 ἧττόν ἐστι κοινοτέρα Mt

21 ἢ ἡ Mt: ἢ K: ἢ L 22 εἴρικεν K. scatet hic codex huiusmodi erroribus quos omnes adnotare nefas 24 τῶν κοινῶν οὐδὲν Mt 26 μὲν om. L 27 τούτου L προσεχὴς ἑκάστου ἡ K: προσεχὴς ἡ ἑκάστου L: ἑκάστου προσεχὴς ἡ Mt 28 τὴν μὲν οὖν K 29 ἐγνῶσθαι K τὰ om. K 30 ἃ ποιεῖ scripsi: πρῶτα (h. e. α) ποιεῖ LK: om. Mt ἡ φύσις οὐ ποιεῖ expuncta L ἄρα] ἄρει (sic) K

www.libtool.com.cn

ἀνειδέου διδάσκων ὕλης περὶ τῶν τῇ φύσει πρώτων διδάσκει καὶ γνωρι- a 4r
μωτέρων, εἰ μὴ ἁπλῶς τῇ καθόλου καὶ περιεκτικῇ τῶν ὅλων φύσει λέγοι 36
τις γνωριμωτέραν εἶναι τὴν ἀνείδεον ὕλην.

Ἐπιστάσεως δὲ ἄξιον, πῶς οὐκ ἐναντία ἐστὶ τὰ ἐνταῦθα λεγόμενα τοῖς
5 ἐν τῷ πρώτῳ τῆς Ἀποδεικτικῆς. ἐνταῦθα μὲν γὰρ εἰπὼν ὅτι πέφυκε
δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς καὶ σαφεστέρων ἐπὶ τὰ
σαφέστερα τῇ φύσει καὶ γνωριμώτερα, τὰ καθόλου φησὶν ἡμῖν εἶναι
γνωριμώτερα, τὰ δὲ καθ' ἕκαστα ἀσαφέστερα μὲν ἡμῖν, τῇ δὲ φύσει γνω-
ριμώτερα (διό, φησίν, ἐκ τῶν καθόλου ἐπὶ τὰ καθ' ἕκαστα δεῖ 40
10 προϊέναι· τὸ γὰρ ὅλον, φησί, κατὰ τὴν αἴσθησιν γνωριμώτερον,
τὸ δὲ καθόλου ὅλον τί ἐστι)· ταῦτα οὖν εἰπὼν ἐνταῦθα, τἀναντία λέγει
ἐν τῷ πρώτῳ τῆς Ἀποδεικτικῆς. τὴν γὰρ τῶν καθόλου γνῶσιν ὑστέραν
ἡμῖν φησι παραγίνεσθαι· "λέγω" γάρ φησι "πρὸς ἡμᾶς πρότερα καὶ γνωρι-
μώτερα τὰ ἐγγυτέρω τῆς αἰσθήσεως· ἔστι δὲ πορρωτάτω μὲν τὰ καθόλου
15 μάλιστα, ἐγγύτατα δὲ τὰ καθ' ἕκαστα." τὰ οὖν ζητούμενά ἐστι δύο, πῶς
ἐνταῦθα μὲν τὰ καθόλου φησὶ γνωριμώτερα τῇ αἰσθήσει, καὶ διὰ τοῦτο δεῖν
ἐκ τῶν καθόλου ἀρξαμένους ἐπὶ τὰ καθ' ἕκαστα προϊέναι, ἐν δὲ τῇ Ἀπο- 45
δεικτικῇ ἐγγυτέρω φησὶ τῆς αἰσθήσεως εἶναι τὰ καθ' ἕκαστα, πορρωτέρω
δὲ τὰ καθόλου· καὶ πῶς ἐν μὲν τῇ Ἀποδεικτικῇ πρῶτά φησιν εἶναι τῇ
20 φύσει τὰ καθόλου, ἐνταῦθα δὲ τὰ καθ' ἕκαστα τῇ φύσει πρῶτα. εἰ γὰρ
καὶ μὴ ἐπὶ λέξεως οὕτως κεῖται, ἀλλ' οὖν ἕπεται ἐξ ἀνάγκης· εἰ γὰρ σα-
φέστερα τῇ φύσει τὰ καθ' ἕκαστα, καὶ πρῶτα δηλονότι. καὶ ἡμεῖς δὲ ἀρ-
τίως ἐλέγομεν ὅτι ὃ ποιεῖ ἡ φύσις, τοῦτο καὶ γινώσκει μάλιστα, ποιεῖ δὲ
τὰ καθ' ἕκαστα. τὸ μὲν οὖν πρῶτον τῶν ἠπορημένων ἤδη σχεδὸν διελυσά- 50
25 μεθα, ὅτι καθόλου ἐνταῦθα λέγει οὐ τὸ κυρίως καθόλου, ἀλλὰ τὸ μερικὸν
καὶ συγκεχυμένον διὰ τὸ πλείοσιν ἐφαρμόζειν· οὐκ ἐναντία οὖν ταῦτα ἐκεί-
νοις. ἀληθὲς μὲν γὰρ ὅτι τὸ καθ' ἕκαστα τῇ αἰσθήσει γνωριμώτερον (ὅλως
γὰρ τοῦ καθόλου ἡ αἴσθησις οὐκ ἀντιλαμβάνεται), ἀλλ' ἐπειδὴ πᾶσα φύσις
ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισι, διὰ τοῦτο πρότερον συγκεχυμένως
30 καὶ ἀδιαρθρώτως ἐπιβάλλει τῷ καθ' ἕκαστα ἡ αἴσθησις, διακρίνειν εὐθὺς τοὺς

---

1 διδασκάλων L 2 λε γ K 4 ἐπιστάσεον (sic) K 6 δὲ ἡμῖν ἡ ὁδὸς ἐκ τῶν γνωριμωτέρων καὶ K 7 γνωριμωτέρα (sic) t 7. 8 εἶναι γνωριμώτερα om. K 8 ἀσαφέστερα L: εἰ σαφέστερα K: σαφέστερα Mt φύσει (ex φθίσει) corr. L 11 τὸ καθόλου δὲ transponit L at cf. p. 19,14 λέγει om L 12 Ἀποδεικτικῆς] memoriter citat Anal. Post. A 2 p. 72a1 λέγω δὲ πρὸς ἡμᾶς μὲν πρότερα καὶ γνωριμώτερα τὰ ἐγγύτερον τῆς αἰσθήσεως, ἁπλῶς δὲ πρότερα καὶ γρωριμώτερα τὰ πορρώτερον. ἔστι δὲ πορρωτάτω μὲν τὰ καθόλου μάλιστα, ἐγγυτάτω δὲ τὰ καθ' ἕκαστα. cf. ad p. 10,24 13 ὑμῖν L παραγίνεσθαι K: περιγίνεσθαι LMt 16 γνωριμώτερά φησι transponunt Mt 19 μὲν om. L 19. 20 τῇ φύσει τὰ καθόλου KMt: τὰ καθόλου τῇ φύσει L 20 δὲ om. K qui mox ἡ γὰρ (sic) 21 κεῖται om. L 23 ἐλέγομεν p. 14,27 sqq. 24 εἰρημένων Mt ἤδη om. K 25 ἐνταῦτα (sic) t τὸ καθόλου κυρίως Mt 26 *φαρμόζειν (* = littera oblitter.) M: φαρμόζειν t 27 καθέσταστα (sic) t 28 οὐ καταλαμβάνεται K φύσις (cf. p. 18,23) L: δύναμις φυσικὴ K: φυσικὴ (γνῶσις marg. M²) M: φυσικὴ γνῶσις t 29 τέλειον] τε κ K

www.libtool.com.cn

ὅλκοὺς τοῦ καθ' ἕκαστα γαρακτῆρας ἀπὸ τῶν λοιπῶν οὐκ ἐξεγράψασα· a 4
ὅθεν δὲ αὐτὸ τοῦτο τοῦ καθόλου τὴν ταύτην τῆς αἰσθήσεως γνῶσιν προσηγόρευσεν. ἐν δὲ τῇ Ἀποδεικτικῇ τὸ κυρίως καθόλου λαμβάνει. ὥστε σύμφωνα καὶ οὐκ ἐναντία ταῦτα.

Ἀλλὰ πῶς τὰ καθ' ἕκαστα καὶ διῃρθρωμένα πρῶτα εἶναι τῇ φύσει ἐνταῦθα λέγεται, ἐκεῖ δὲ τὰ καθόλου; φημὶ τοίνυν ὅτι ὥσπερ ἐπὶ τῶν καθ' ἕκαστα ζῴων οὐ μόνον ἐν ἑκάστῳ τοῦ ζῴου μέρει φυσική τις ἔστι δύναμις 5
ἡ τὴν τούτου διάκησιν ἐμπιστευθεῖσα, ἀλλ' ἔστι τις καὶ ἡ τὸ ὅλον ἐπιτροπεύουσα καὶ μίαν ζωὴν καὶ ἁρμονίαν ἐκ πάντων τῶν μερῶν ἀποτε-
λοῦσα, εἴπερ ὅλης ἔχει πρὸς τὸ ὅλον τὰ μέρη λόγον, οὕτως ἀνάγκη καὶ ἐν τῷ παντί, ὥσπερ ἐστὶν ἡ ἐν ἑκάστῳ μερικὴ φύσις ἡ δημιουργικὴ τούτου καὶ σωστική, οὕτως ἐξ ἀνάγκης καὶ τὴν εἰς μίαν ὁλότητα τὰ καθ' ἕκαστον ἁρμόζουσαν εἶναι δεῖ. ἐπεὶ πόθεν αἱ ἐν τοῖς γένεσί τε καὶ τοῖς εἴδεσι κοινότητες, εἰ μὴ ἦν τι τὸ τῆς κοινωνίας ταύτης αἴτιον; οὐ γὰρ ἐκ 10
ταὐτομάτου, οὐδὲ κατὰ συμβεβηκός ἡ κοινωνία. οὐκοῦν τίς καὶ ἡ τούτου φυσικὴ αἰτία, εἰ καὶ μὴ καθ' αὑτό τι τῶν τοιούτων ὑφέστηκεν, ἀλλ' ἐν τῇ τῶν καθ' ἕκαστα συνυφίσταται γενέσει, ὡς καὶ ἡ ἐπὶ ἑκάστου ἀτόμου ὁλότης οὐκ οὖσα τῶν μερῶν χωρὶς τῇ τούτων ἅμα πάντων συνυφίσταται γενέσει. ὥστε κἂν λέγωμεν μηδὲν τῶν ὅλων ἁπλῶς γίνεσθαι, ἀληθές· οὐδὲ γὰρ ὡς ὅλον ἁπλῶς αὐτὸ καθ' αὑτὸ γίνεται, ἀλλὰ τῇ γενέσει τῶν μερῶν συναναφαίνεται. οὕτως οὖν οὔτε γίνεται καθ' αὑτὸ τῶν καθόλου τι, καὶ τοῖς ὧν ἐστι καθόλου γινομένοις συναναφαίνεται. ἐπεὶ οὖν ἑκάστη φύσις τοῦτο γινώσκει πρῶτον οὗπερ καί ἐστιν αἰτία, οὐκοῦν, ὥσπερ ἡ τὸ καθ' ἕκαστα δημιουργοῦσα τοῦτο καὶ οἶδε πρῶτον κἀκ τοῦδε ὑστέρως ἐπὶ τὰ καθόλου πρόεισιν, οὕτως ἐκ τοῦ ἐναντίου ἡ τῶν καθόλου αἰτία ταῦτά τε γινώσκει πρῶτα καὶ σαφέστερα αὐτῇ ταῦτα τυγχάνει. ἐν μὲν οὖν τῇ Φυσικῇ πραγματείᾳ, ἐπειδὴ σκοπὸς μὴ μόνον ὡς φυσικὰ ἁπλῶς εἰδέναι, ἀλλὰ καὶ ὡς τοιάδε φυσικὰ ζῷα καὶ τοιάδε ζῷα καὶ ὡς τοιάδε μέταλλα, κἀν τοῖς Μετεώροις ὡς βροντὴν ὡς ἀστραπήν, καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως, εἰκότως ὑστέραν ἡμῖν τὴν τῶν καθ' ἕκαστα γίνεσθαί φησι γνῶσιν, πρώτην δὲ τὴν τῶν καθολικωτέρων καὶ συγκεχυμένων, καθ' ὃν ἤδη τρόπον ἔφθημεν εἰπόντες· ἐν δὲ τῇ Ἀποδεικτικῇ, ἐπειδὴ περὶ ἐπιστήμης ὁ λόγος ἥτις τῶν καθόλου ἐστὶ γνῶσις, πρῶτα εἶναι τῇ φύσει λέγει τὰ καθόλου

7 ἐστι (ante δύναμις) om. L 8 τούτου LK: τοιαύτην Mt διήκησιν K 10 ἔχει τὸ ὅλον πρὸς τὰ K 12 τὴν om. L 12. 13 καθέκαστα Mt 13 alterum τοῖς om. K 14 οὐ LK: οὐδὲ Mt 15 οὐκοῦν ἐστί τίς K 16 καὶ (post εἰ) om. L 17 ἡ om. superscr. L 18 χωρὶς δὲ K 19 τῶν ὅλων (sed ὄντων K) ἁπλῶς KMt: ἁπλῶς τῶν ὅλων L 20 malim οὐδὲν γὰρ γενέσι K 23 ἂν post οὗπερ addit K et de ἄν barbare inculcato v. ad g 5r8, h 6r46, l 3r48, 8v6, o 6r43, r 4v50 al. οὐκοῦν Mt: οὔκουν K: om. L 24 πρῶτον καὶ οἶδε Mt 26 τε om. L πρῶτα L: πρότερον K: πρῶτον Mt σαφέστερον K 27 φύσι (sic) πραγματία K μὴ μόνον σκοπὸς Mt 28 καὶ τοιάδε ζῷα om. K 29 ἡ ἀστραπὴν L τῶν ἄλλον (sic; om. πάντων) K 30 φησι γίνεσθαι Mt 31 πρῶτον L 32 ἔφημεν L 33 λέγει εἶναι τῇ φύσει Mt

www.libtool.com.cn

καὶ γνωριμώτερα, καὶ ὕστερα ἡμῖν ταῦτα παραγίνεσθαι, τὴν αἰτίαν δηλονότι a 4v
τῶν καθόλου φύσιν ἐκεῖσε λέγων. ὥστε σύμφωνα ταῦτα, οὐκ ἐναντία.

Πέφυκε δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς καὶ σαφεστέ- 25
ρων ἐπὶ τὰ σαφέστερα τῇ φύσει καὶ γνωριμώτερα. ἐκ τῶν ἡμῖν
5 ⟨μὲν⟩ σαφεστέρων ἀρξάμενοι, φησί, τῇ δὲ φύσει ἀσαφεστέρων, τελευτῶμεν ἐπὶ
τὰ ἡμῖν μὲν ἀσαφῆ, τῇ δὲ φύσει σαφῆ. ἐπεὶ οὖν, φησίν, ἡ ὁδὸς ἡ ἐπὶ γνῶσιν 30
τῶν πραγμάτων καθόλου οὕτως πέφυκεν, ἀνάγκη καὶ νῦν ἡμᾶς τὴν τῶν
φυσικῶν γνῶσιν ἑλεῖν βουλομένους τούτῳ τῷ τρόπῳ τῆς διδασκαλίας χρή-
σασθαι.

10 p. 184a22 Ὕστερον δὲ ἐκ τούτων γίνεται γνώριμα τὰ στοιχεῖα
καὶ αἱ ἀρχαὶ διαιροῦσι ταῦτα.

Τὰ γὰρ κοινότερα καὶ συγκεχυμένα διαιροῦντες καταντῶμεν εἰς τὰ 35
ἰδικώτερά τε καὶ διηρθρωμένα. τὸ γὰρ ὅλον κατὰ τὴν αἴσθησιν γνω-
ριμώτερον, τὸ δὲ καθόλου ὅλον τί ἐστι· πολλὰ γὰρ περιλαμ-
15 βάνει ὡς μέρη. ὥσπερ γὰρ ἐν τοῖς αἰσθητοῖς, εἰ προσίοι τι ζῷον, θᾶττον ἡ
ὄψις ὅλου τοῦ σώματος ἀντιλαμβάνεται ἢ κεφαλῆς τε καὶ χειρός (ὅθεν τάχιον
ἂν εἴποι ὅτι ζῷον τὸ προσιὸν ἢ ὅτι ἄνθρωπος), οὕτως ἐν τοῖς ὑπὸ λόγου
θεωρουμένοις τὰ καθόλου τε καὶ κοινὰ σαφέστερα ἡμῖν ἐστι τῶν προσεχῶν
τε καὶ κοινῶν. καὶ γὰρ ἔχει τινὰ ἀναλογίαν τὸ καθόλου πρὸς τὸ ὅλον· 40
20 ὅνπερ γὰρ τρόπον τὸ ὅλον περιεκτικὸν τῶν οἰκείων ὑπάρχει μερῶν, τὸν αὐ-
τὸν τρόπον καὶ τὸ καθόλου περιεκτικόν ἐστι τῶν μεριχῶν. διεννηνόχασι δὲ
ἀλλήλων ὅτι τὸ μὲν καθόλου μεταδίδωσι τοῦ οἰκείου ὀνόματος τοῖς ὑφ'
ἑαυτὸ τεταγμένοις, τὸ μεντοι ὅλον οὐ πάντως· οὐ γὰρ ὁ δάκτυλος χεὶρ
καλεῖται, οὐδὲ ὁ ὄνυξ δάκτυλος. ἐπεὶ οὖν ὡς τὸ ὅλον τῇ αἰσθήσει γνω-
25 ριμώτερον οὕτω τὸ καθόλου τῷ λόγῳ, ἐκ τῶν δὲ σαφεστέρων ἄρχεσθαι
δεῖ καὶ γνωριμωτέρων, ἐκ τούτων κἀνταῦθα τῆς διδασκαλίας ἀρκτέον. οὕτω 45
γοῦν οἱ ῥήτορες ποιοῦσι περὶ τῶν κοινῶν κεφαλαίων πρῶτον, εἶθ' οὕτως
περὶ τῶν ἰδίων εἴδους ἑκάστου διδάσκοντες. οὕτω καὶ αὐτὸς ἐν τοῖς Ἀνα-
λυτικοῖς τὸν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ προτάττει λόγον τοῦ διαλεκτικοῦ
30 καὶ ἀποδεικτικοῦ καὶ σοφιστικοῦ· ῥᾷον γὰρ ἀπὸ τῶν κοινῶν τὰ ἴδια κατο-
πτεύομεν.

---

2 ἐκεῖσε LK: ἐκεῖ ὁ M: ἐκεῖ t 3. 4 Πέφυκε — γνωριμώτερα om. K 3 τῶν ἡμῖν γρωριμωτέρων (om. ἡ ὁδὸς) M 5 μὲν addidi 6 μὲν K: om. LMt ἐπὶ τὴν γνῶσιν K 10 lemma om. K γνωριμώτερα M 10. 11 δὲ γνώριμα ἐκ τούτων γίνονται αἱ ἀρχαὶ, καὶ τὰ στοιχεῖα transponit t 12. 15 Τὰ γὰρ κοινότερα — ὡς μέρη om. K 15 ὡς μέρη τὸ καθόλου Aristoteles 16 ὅλον K χειρὸς ita scriptum in M ut proclivi errore legas χεῖρος quod dedit t 17 fort. εἴποις vel εἴποι τις ὅτι (post ἢ) om. K τοῖς ὑπὸ] τύπω (sic) K 18 ἐστι] ἐπὶ K 19 ἔχει] in M visus est sibi legere ἀεί t 20 ὑπάρχει τῶν οἰκείων K 20. 21 καὶ τὸν αὐτὸν K ubi mox ἐστι ex ἐπὶ corr. 24 ὄνιξ t 25 ἐκ τῶν δὲ L: ἐκ δὲ τῶν KMt at cf. p. 13,12 27 οἱ L: καὶ K: om. Mt: καὶ οἱ (sed δὲ pro γοῦν) Themist. p. 106,28 quem paucis immutatis describit Philoponus 29 συλλογισμὸν L

www.libtool.com.cn

p. 184a26 Πέπονθε δὲ ταὐτὸ τοῦτο τρόπον τινὰ καὶ τὰ ὀνόματα πρὸς τὸν λόγον· ὅλον γάρ τι ἀδιορίστως σημαίνει. a 4 v

Τὸ μὲν γὰρ ὄνομα ὁλοσχερῶς καὶ συγκεχυμένως τὴν οὐσίαν σημαίνει 52
τοῦ πράγματος, οἷον τὸ ἄνθρωπος τὸ ζῷον τὸ κύκλος· ὁ μέντοι λόγος,
5 τουτέστιν ὁ ὁρισμός, ἀνειλιγμένως ἕκαστον τῶν ὑπαρχόντων τῷ πράγματι
σημαίνει, καὶ οἷον διαιρεῖ αὐτὸ εἰς τὰ οἰκεῖα μέρη. ὅταν γὰρ εἴπω 'ἄνθρω-
πος', ὁλικήν τινα καὶ συγκεχυμένην εἴρηκα φω|νὴν πολλὰ ἐν αὐτῇ περι- a 5 r
λαμβάνουσαν πράγματα, ὁ μέντοι ὁρισμὸς ἐοικὼς τῇ εἰς τὰ μόρια διαιρέσει·
ζῷον γάρ, φησί, λογικὸν θνητὸν τὴν ὑποκειμένην ἡμῖν οὐσίαν ἀσυγχύτως
10 ἐσήμανε. καλῶς δὲ τὸ τρόπον τινὰ προσέθηκε, διότι οὐχ ὥσπερ τὸ
ὅλον αὐτὸ διαιρεῖται εἰς τὰ μέρη, οὕτω δὴ καὶ τὸ ὄνομά ἐστι τὸ ὑπὸ τοῦ
ὁρισμοῦ διαιρούμενον, ἀλλὰ τὸ ὑπὸ τοῦ ὀνόματος σημαινόμενον διαιρεῖ ὁ
ὁρισμός, καὶ οὐχ οἷόν περ τρόπον τὸ καθ' ἕκαστα μέρος τυγχάνει τοῦ 5
καθόλου, τὸν αὐτὸν τρόπον καὶ ἕκαστον τῶν δηλουμένων ὑπὸ τοῦ ὁρισμοῦ
15 μέρος τυγχάνει τοῦ ὀνόματος. οὐ γὰρ ἡ ἀν μὲν εἰ τύχοι συλλαβὴ τοῦ ἀν-
θρώπου δηλοῖ τὸ ζῷον, ἄλλη δὲ τὸ λογικόν, εἰ μὴ ἄρα κατὰ τὸ σημαινό-
μενον· τοῦ γὰρ σημαινομένου ὑπὸ τοῦ ὀνόματος μέρη ἐστὶ τὰ μέρη τοῦ
ὁρισμοῦ, νῦν δὲ περὶ τῆς φωνῆς αὐτῆς ὁ λόγος, τοῦ μέντοι καθόλου, οἷον
τοῦ ζῴου, τὰ καθ' ἕκαστον ζῷα μέρη ἐστίν.

20 p. 184b15 Ἀνάγκη δ' ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους. 9

Ἐντεῦθεν εἰσβάλλει εἰς τὸν περὶ τῶν ἀρχῶν λόγον. ὅπερ δὲ εἴωθε
ποιεῖν ἀεί, τοῦτο καὶ νῦν ποιεῖ· πρότερον τὰς τῶν παλαιοτέρων ψευδεῖς
διελέγχει δόξας. λαμβάνει δὲ τὰς τῶν παλαιοτέρων δόξας ἐκ διαιρέσεως 15
ἐπιστημονικῆς τε ἅμα καὶ ἐναργοῦς, ἐπιστημονικῆς μὲν ὅτι κατ' ἀντίφασιν
25 (αἱ γὰρ ἐπιστημονικαὶ διαιρέσεις κατ' ἀντίφασίν εἰσιν, ἐπιστημονικαὶ δὲ
διότι ἄφυκτοι· οὐδὲν γὰρ ἐκπέφευγε τὴν ἀντίφασιν), ἐναργοῦς δὲ διότι ἐκ

---

1 lemma om. K ταὐτὸ τοῦτο om. L 2 ἀδιορίστως LM: καὶ ἀδιόριστον t: vel hoc vel καὶ ἀδιορίστως Aristotelis libri 3 γὰρ om. K at cf. Themist. p. 107.14 4 τὸ ἄνον τὸ ζῶον ὁ κύκλος L 5 ἀνειλιγμένως t: ἀνειλεγμένως M: ἀνειλιγμένος L: ἀνειλεγμένος K 7 αὐτῇ scripsi: αὐτῆ LK: ἑαυτῇ Mt 8 ἔοικεν Themistius 10 τινὰ] τινεὶ K. huiusmodi errores (cf. ad p. 16,30. 17,8) raro hinc adnotabo 11 τὸ (post ἐστι) oblitteratum M: καὶ t 12 σημαινόμενον KMt: δηλούμενον L 13 οἷόν περ L: ὅνπερ KMt 14. 15 τὸν αὐτὸν — τυγχάνει τοῦ K: om. LMt 15 post ὀνόματος interpolat μέρη ἐστὶ τὰ μέρη τοῦ ὁρισμοῦ t ἡ (post γὰρ) corr. ex ὁ, ut videtur, L ἀν μὲν K: ἀν L: α μὲν Mt τύχῃ L 17 τοῦ γὰρ σημαινομένου LK: τοῦτο γὰρ σημαινομένως (compend.) M: τοῦτο γὰρ σημαίνεται t 17. 18 μέρη ἐστὶ — ὁρισμοῦ om. hic t cf. ad v. 15 17 ἐστὶ KM: εἰσὶ L 18. 19 οἷον τοῦ om. Mt 20 lemma om. K 21 εἴωθεν t 22 ψευδεῖς L: ψευδεῖς περὶ τῶν ἀρχῶν K: περὶ τῶν ἀρχῶν ψευδεῖς Mt 23 δὲ τὰς] δὲ τα (sic) K 26 οὐδὰν γὰρ, ut videtur, K

www.libtool.com.cn

τῶν πᾶσι γνωρίμων· γνώριμον γὰρ πᾶσι τὸ ἓν καὶ τὸ πλῆθος. ἀνάγκη a 5 r
γάρ, φησίν, τὰς ἀρχὰς ἢ μίαν εἶναι ἢ πλείους· εἰ δὲ καὶ μὴ αὐτόθεν ἀντί-
φασίς ἐστι τὸ τοιοῦτον, ἀλλ' οὐν ἰσοδυναμεῖ τῇ ἀντιφάσει· τὸ γὰρ οὐχ
ἓν ἐξ ἀνάγκης πλείονά ἐστιν. ἀνάγκη οὖν, φησί, τὴν ἀρχὴν ἢ μίαν εἶναι
5 ἢ πλείους· καὶ εἰ μίαν ἢ ἀκίνητον ἢ κινουμένην, εἰ δὲ πλείους 20
ἢ πεπερασμένας ἢ ἀπείρους. καὶ αὐτὸς μὲν μέχρι τῶν ἐνταῦθα προή-
γαγε τὴν διαίρεσιν, ἐπειδὴ δὲ φαίνεται ἐν τοῖς ἑξῆς καὶ ἕτερα μόρια προσ-
τιθεὶς τῇ διαιρέσει, εὔλογον ἡμᾶς ἐξ ἀρχῆς τελείαν τὴν διαίρεσιν παρα-
δοῦναι. ἀνάγκη οὖν τὰς ἀρχὰς ἢ μίαν εἶναι ἢ πλείους, καὶ εἰ μίαν ἢ
10 ἀκίνητον ἢ κινουμένην, καὶ εἰ κινουμένην ἢ πεπερασμένην ἢ ἄπειρον, καὶ
αὖ εἰ ἀκίνητον ἢ πεπερασμένην ἢ ἄπειρον, καὶ εἰ πλείους ἢ πεπερασμέ-
νας ἢ ἀπείρους, καὶ εἰ πεπερασμένας ἢ κινουμένας ἢ ἀκινήτους, καὶ εἰ
ἀπείρους ἢ κινουμένας ἢ ἀκινήτους. καὶ ἡ μὲν διαίρεσις τῶν ἀρχῶν αὕτη, 25
εἰ δέ τις ζητοίη τί δήποτε τὴν μίαν μὲν ἀρχὴν εὐθὺς εἰς τὸ ἀκίνητον καὶ
15 κινούμενον διείλομεν, εἶτα εἰς τὸ πεπερασμένον καὶ ἄπειρον, τὰς δὲ πλείους
πρῶτον εἰς τὸ ἄπειρον καὶ πεπερασμένον, εἶτα εἰς τὸ κινούμενον καὶ ἀκί-
νητον, ἐροῦμεν ὅτι δυνατὸν μὲν ἦν καὶ τῷ αὐτῷ τρόπῳ τῆς διαιρέσεως
ἀμφότερα τὰ μόρια διελεῖν, πλὴν ἐπειδὴ τῷ μὲν ἑνὶ οἰκειοτέρα μᾶλλον
ἡ κίνησις ἢ τὸ ἄπειρον, τῷ δὲ πλήθει τὸ ἄπειρον μᾶλλον ἤπερ ἡ κίνησις,
20 διὰ τοῦτο τὴν μὲν μίαν ἀρχὴν εὐθὺς εἰς τὸ κινούμενον καὶ ἀκίνητον διεί- 30
λομεν, τὰς δὲ πλείους εἰς τὸ πεπερασμένον καὶ ἄπειρον.

Μίαν μὲν οὖν ἀρχὴν εἶναι καὶ ἀκίνητον καὶ πεπερασμένην ἐδόξασε
Παρμενίδης καὶ Ξενοφάνης. δῆλον δέ που πάντως ὅτι οὐ περὶ τῶν φυσικῶν
πραγμάτων ἦν τούτοις ὁ λόγος· ὡς γὰρ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς
25 Μετὰ τὰ φυσικὰ εἶπεν, οὐχ οὕτω καὶ τῶν μαινομένων χειρόνως διέκειντο
οἱ ἄνδρες οὗτοι, ὡς νομίζειν τὸ πῦρ καὶ τὸ ὕδωρ μὴ εἶναι διάφορον· καὶ
ἐξ αὐτῆς δὲ τῆς Ἀριστοτελικῆς ῥήσεως πρόδηλον ὡς οὐ φυσικοὶ οἱ ἄνδρες 35
οὗτοι. εἰπὼν γὰρ καὶ εἰ μίαν, ἢ ἀκίνητον, ὥσπερ φησὶ Παρμενίδης
καὶ Μέλισσος, ἐπήγαγεν ἢ κινουμένην, ὥσπερ οἱ φυσικοί, ὡς δὴ
30 μὴ φυσικῶν ὄντων τῶν περὶ Παρμενίδην. ἔτι δὲ δῆλον ὅτι οὐ περὶ τῶν

---

1. 2 ἀνάγκη — πλείους om. K 2 ἢ (ante μίαν) om. L 4 ἐστιν] εἶναι L οὖν] γὰρ K qui paulo post τὰς ἀρχὰς (ut v. 2 et 9) ἢ (post ἀρχὴν) om. L 5 ἢ ἀκίνητον κτλ.] cf. Aristoteles 6 πεπερασμένους K 7 τὴν διαίρεσιν LMt: τὸν λόγον K ἐν LK: καὶ ἐν Mt ἑξοῖς K 8 τῇ διαιρέσει om. L 9 καὶ (ante εἰ μίαν) om. L 9. 10 post ἢ ἀκίνητον addit εἶναι L 10 καὶ εἰ κινουμένην ἢ πεπερασμένην ἢ ἄπειρον om. M: καὶ εἰ ἀκίνητον ἢ πεπ. ἢ ἄπειρον M^2 (marg.) et t 11 αὖ εἰ ἀκίνητον K: εἰ ἀκινητον (ex ἀεικίνητον) corr. L^2: εἰ κινουμένην Mt 12 ἀπείρους] ἀπείρας t ἀκινήτους LK: ἀεικινήτους Mt 12. 13 καὶ εἰ ἀπείρους ἢ κινουμένας ἢ ἀκινήτους om. K 14 ζητεῖ K τὴν om. add. L^2 μὲν K: om. LMt 14. 15 τὸ κινούμενον καὶ ἀκίνητον (ut v. 16 et 20) K 15 δὲ om. add. L^2 18 μᾶλλον (post οἰκειοτέρα) om. Mt 22 πεπειραμένην L 24 τούτοις] αὐτοῖς K 25 Μετὰ τὰ φυσικὰ] immo Περὶ γενέσεως καὶ φθορᾶς A 8 p. 325a18 . . . ἐπὶ δὲ τῶν πραγμάτων μανίᾳ παραπλήσιον εἶναι τὸ δοξάζειν οὕτως· οὐδένα γὰρ τῶν μαινομένων ἐξεστάναι τοσοῦτον ὥστε τὸ πῦρ ἓν εἶναι δοκεῖν καὶ τὸν χρύσταλλον κτλ. 26 διάφορα K 28 ἤτοι ἀκίνητον ὥς φησι Aristoteles 30 μὴ om. addit post φυσικῶν L^2

www.libtool.com.cn

φυσικῶν ἔλεγον ἐξ ὧν καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ γενέσεως φησι a 5 r
καὶ οἱ αὐτοῦ ὑπομνηματισταί, ὅτι ὁ Παρμενίδης ἐν τοῖς πρὸς δόξαν πῦρ
καὶ γῆν ἔλεγεν εἶναι τὴν ἀρχὴν τῶν πάντων, ἐν δὲ τοῖς πρὸς ἀλήθειαν ἓν
εἶναι τὸ πᾶν καὶ πεπερασμένον καὶ ἀκίνητον. οὐ νομιστέον δὲ ὅτι ἐν τοῖς 40
πρὸς δόξαν οὐ τὰ αὐτῷ δοκοῦντα ἔλεγεν, ἀλλὰ τὰ τοῖς πολλοῖς, ἐν δὲ τοῖς
πρὸς ἀλήθειαν τὰ αὐτῷ δοκοῦντα (καὶ γὰρ καὶ ἐν τοῖς πρὸς δόξαν τὰ
αὐτῷ δοκοῦντα ἔγραφεν), ἀλλ' ἐπειδὴ περὶ τῶν νοητῶν ἦν αὐτῷ ἐν τοῖς
πρὸς ἀλήθειαν ὁ λόγος, ταῦτα δὲ ὄντως ὄντα ἔλεγε καὶ ἀληθῶς ὄντα, διὰ
τοῦτο οὕτως ἐπέγραψε τὸ βιβλίον. ἐν δὲ τοῖς πρὸς δόξαν περὶ τῶν αἰσθητῶν
ὁ λόγος, ἅπερ καὶ ὁ Τίμαιος δοξαστὰ προσηγόρευσε· τὰ μὲν γὰρ ἀεὶ ὄντα
νοήσει φησὶ μετὰ λόγου περιληπτά, τὰ δὲ αἰσθητά, ἅπερ γινόμενα καὶ
ἀπολλύμενα καλεῖ, δόξῃ φησὶ μετ' αἰσθήσεως ἀλόγου δοξαστά. ὥστε περὶ 45
τῶν νοητῶν ἔλεγε τὸ ἓν εἶναι αὐτὰ καὶ ἀκίνητα καὶ πεπερασμένα· ἐπειδὴ
γὰρ τὰ νοητὰ πρὸς τῷ ἑνὶ μᾶλλόν εἰσιν ὡς ἐγγυτέρω ὄντα τῆς μιᾶς τῶν
πάντων ἀρχῆς, διὰ τοῦτο ἓν ἐκείνας ἐκάλεσε. μίαν μὲν οὖν καὶ πεπερα-
σμένην καὶ ἀκίνητον Παρμενίδης ἔλεγε καὶ Ξενοφάνης, μίαν δὲ καὶ ἀκίνη-
τον καὶ [ἄπειρον] ὁ Μέλισσος περὶ τῶν αὐτῶν καὶ αὐτός, ὡς ἤδη εἶπον, δια-
λεγόμενος· πλὴν ὅτι οὗτος μὲν ἄπειρον ἔλεγε τὸ ἕν, οἱ δὲ περὶ Παρμενίδην
πεπερασμένον, τοῦτο δὲ διὰ τὸ ἐκείνους μὲν εἰς τὴν ὁριστικὴν καὶ εἰδο- 50
ποιὸν τῶν νοητῶν δύναμιν ἀπιδεῖν, τοῦτον δὲ εἰς τὴν ἀπειρίαν τῆς δυνά-
μεως. καλῶς δὲ ὅσοι ἓν τὸ ὂν εἰρήκασιν εὐθὺς καὶ ἀκίνητον ἐδόξασαν·
εἰ γὰρ ἐκινεῖτο, οὐκέτι ἓν ἂν ἦν· ἦν γὰρ καὶ αὐτὴ ἡ κίνησις καὶ τόπος
τις ἢ χρόνος ἤ τι τοιοῦτον, ἐν ᾧ ἡ κίνησις. ἰστέον δὲ ὅτι ἓν τὸ πᾶν λέ-
γοντες οὗτοι οὐ περὶ τῶν ἀρχῶν ἐποιοῦντο τὸν λόγον· εἰ γὰρ μίαν ἔλεγον
εἶναι τὴν ἀρχὴν τῶν ὄντων, οὐκέτι ἠδύναντο λέγειν ἓν τὸ ὂν εἶναι· οὔσης
γὰρ τῆς ἀρχῆς ἀνάγκη εἶναι καὶ τὸ ἀπὸ τῆς ἀρχῆς. ταῦτα γὰρ τῶν πρός
τί εἰσιν· ἡ γὰρ ἀρχὴ τινῶν ἐστιν ἀρχή. ὥστε οὐ περὶ | τῶν ἀρχῶν τού- a 5 v
τοις ὁ λόγος, ἀλλὰ περὶ τῶν ὄντων ἁπλῶς. ἀλλ' εἰ μὴ περὶ τῶν ἀρχῶν
τούτοις ὁ λόγος, τί δήποτε ὁ Ἀριστοτέλης ἐλέγχει τοὺς ἄνδρας τούτους
ὡς κακῶς μίαν τὴν ἀρχὴν ὑποτιθεμένους; λέγω οὖν ὅτι, εἰ καὶ μὴ περὶ
τῶν ἀρχῶν ἔλεγον, ἀλλ' οὖν ὁ Ἀριστοτέλης ὡς εἰ καί τις ὑπετίθετο μίαν
εἶναι τὴν τῶν φυσικῶν πραγμάτων ἀρχήν, οὕτως ἐλέγχει τὸν λόγον ἀνα-
σκευάσαι τὸ τοιοῦτον δόγμα βουλόμενος. 5

---

1 καὶ αὐτὸς K: ὡς καὶ αὐτὸς LMt ὁ om. LK τῷ LK: τῇ Mt Περὶ γενέσεως l. c. p. 325 a 2 sqq. 2 αὐτοῦ ὑ . . . . τιστικοι L Παρμενίδης] cf. Zeller I⁴ p. 520 n. 1. 2, 531 sqq. ἐν τοῖς] ἐν τῷ L 5 αὐτῷ (ex αὐτὰ) corr. L: fort. αὐτῷ hic et bis in proxime sequentibus τὰ (post ἀλλὰ) K: om. LMt 6 καὶ (post γὰρ) om. K 8. 9 δὲ ὄντως ὄντα — οὕτως K: δεόντως LMt 10 Τίμαιος Platonis p. 28 A 11 καὶ γινόμενα καὶ K 12 ἀπολλύμενα LK: ἀπολελυμένα Mt 14 ἐγγύτερα K 15 ἐκείνας ἐκάλεσε KM: ἐκεῖνα συνεκάλεσε L: ἐκεῖνα ἐκάλεσε t 15. 16 πεπειρωμένην primitus L 17 ἄπειρον induxi 18 μὲν om. L 19. 20 αἰδοποιητικὴν (sic) δύναμιν (om. τῶν νοητῶν) K qui paulo post τούτους δὲ 21 ὅσοι] ὡσεὶ et mox εἰρηκότες K 22 αὕτη L 25 λύειν sibi legere visus in M dedit t 26 τὰ ἀπὸ K 28 μὴ (ex μὲν) corr. L

30 λέ γ K 31 μίαν ὑπετίθετο K 32 τὴν om. L

www.libtool.com.cn

Μίαν μὲν τὴν ἀρχὴν ἔλεγον καὶ ἀκίνητον οἱ εἰρημένοι, τῶν δὲ μίαν καὶ κινουμένην λεγόντων οἱ μὲν πεπερασμένην ἔλεγον, οἱ δὲ ἄπειρον. μίαν μὲν καὶ κινουμένην καὶ πεπερασμένην ἔλεγεν Ἵππασος Ἡράκλειτος Θαλῆς Ἵππων ὁ ἐπικληθεὶς ἄθεος. Ἡράκλειτος μὲν καὶ Ἵππασος τὸ πῦρ ἔλεγον ἀρχὴν τῶν ὄντων εἶναι διὰ τὸ λεπτομερέστερον αὐτὸ εἶναι τῶν ἄλλων καὶ εὔπλαστον (οὐ γὰρ δὴ νομιστέον διὰ τὸ εἶδος λόγον αὐτὸ ἔχειν πρὸς τὰ ἄλλα ὡς περιεκτικὸν τῶν ἄλλων· νῦν γὰρ περὶ τῆς ὑλικῆς ἀρχῆς ὁ λόγος), Θαλῆς δὲ καὶ Ἵππων τὸ ὕδωρ διὰ τὸ γόνιμον, καὶ ὅτι τὴν γονὴν ὑγρὰν ἑώρων, καὶ τὰ σπέρματα δὲ εἰ καὶ ξηρά εἰσιν, ἀλλ' οὖν οὐ φύει μὴ ὑγρανθέντα τε καὶ ἤδη λοιπὸν διαρρέοντα. μίαν δὲ καὶ κινουμένην καὶ ἄπειρον ὑπετίθεντο οἵ τε τὸν ἀέρα ὑποτιθέμενοι καὶ οἱ τὸ μεταξὺ ἢ ἀέρος καὶ ὕδατος, ἢ πυρὸς καὶ ἀέρος. Διογένης μὲν οὖν ὁ Ἀπολλωνιάτης καὶ Ἀναξιμένης τὸν ἀέρα ὑπέθεντο ἀρχὴν εἶναι διά τε τὸ εὔπλαστον καὶ ὡς ἐν σώμασιν ἀσώματον καὶ ἀνεπαίσθητον μᾶλλον. Ἀναξίμανδρος δὲ τὸ μεταξὺ ἢ ἀέρος καὶ ὕδατος, ἢ πυρὸς καὶ ἀέρος· ἐπεὶ γὰρ ἐν τῇ μεταβολῇ τῇ ἐξ ὕδατος εἰς ἀέρα οὐκ ἀμέσως γίνεται ἡ μετάβασις, ἀλλ' οἷον ἐξατμίζεται πρότερον τὸ ὕδωρ, εἶτα ἡ ἀτμὶς ἔτι λεπτυνθεῖσα ἐξαεροῦται, ὁμοίως καὶ ἐπὶ τῆς τοῦ ἀέρος εἰς τὸ πῦρ μεταβολῆς, τὸ μεταξὺ τοῦτο ἔλεγεν εἶναι τὴν ἀρχήν, ὅπερ ἀέρος μὲν εἶναι πυκνότερον, ὕδατος δὲ μανότερον, ἢ πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ μανότερον. οὗτος δὲ τῶν μὲν ἄλλων μᾶλλον κατώρθου, διότι μὴ ἕν τι τῶν στοιχείων τὴν ὕλην ἔλεγεν, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα· ἔπταιε δέ, διότι εἰδοποιηθέν ὑπετίθετο ἀέρος μὲν λέγων πυκνότερον, ὕδατος δὲ μανότερον. οὗτοι δὲ καὶ ἄπειρον ἔλεγον εἶναι τὸν ἀέρα ἢ τὸ μεταξύ, ἐπειδὴ ὑπενόησαν ὡς εἰ γίνοιτο μὲν ἀεὶ ἐξ αὐτῶν τὰ γινόμενα, μὴ εἴη δὲ ἄπειρα, ἐπιλιπεῖν τὴν γένεσιν ἀνάγκη· οὐ προσέσχον γὰρ τῇ ἀνταποδόσει καὶ τῇ εἰς ἄλληλα τῶν πραγμάτων μεταβολῇ. οἱ μὲν οὖν μίαν τὴν ἀρχὴν ὑποθέμενοι οὗτοι καὶ τοσοῦτοί εἰσιν, οὐδεὶς δὲ τῶν μίαν ὑποθεμένων μόνην τὴν γῆν ὑπέθετο εἶναι ἀρχήν, διὰ τὸ δυσκίνητον αὐτῆς καὶ δυσμετάβλητον.

Τῶν δὲ πολλὰς ὑποθεμένων τὰς ἀρχὰς οἱ μὲν ἀπείρους ὑπέθεντο, οἱ δὲ πεπερασμένας, καὶ τούτων ἀμφοτέρων οἱ μὲν ἀκινήτους, οἱ δὲ κινουμένας· πλείους μὲν καὶ πεπερασμένας καὶ ἀκινήτους ὁ Τίμαιος ὑπετίθετο, θεὸν

---

1 fort. μὲν οὖν καὶ (post μίαν) om. L 3 Ἵππασος κτλ.] cf. Theophrast. Phys. Opin. fr. 1 Diels (Doxogr. p. 475) ap. Simplic. p. 23,21 sqq. 3 et 7 θαλῆς (sic) L: θαλλὴ (θαλλὴς v. 7) M: θάλης K: θαλὴς t 5 αὐτὸ L et (αὐ scriptum) M: αὐτὴν K: αὐτὸν t 6 λόγον αὐτὸ (αὐτ K) LK: αὐτὸ λόγον Mt 7 ἀρχῆς K: om. LMt 9 εἰσιν] ἐστὶ K φύῃ primitus K qui mox ὑγραθέντα 12 ante Διογένης iterat (ex v. 15) ἐπεὶ γὰρ ἐν τῇ μεταβολῇ L ὑπετίθετο L 17 malim ὁμοίως δὲ καὶ τῆς om. LK 18 μὲν εἶναι LK: μέν ἐστι Mt 19. 20 et 22 μανώτερον ter LK 20 post ἄλλων addit πάντων L κατόρθου K 21 ὕλην] ὅλην L 22 πυκνότερον λέγων Mt 23 δὲ (post οὗτοι) om. K εἶναι ἔλεγον et mox ὑπεννόησαν K 26 οἱ] εἰ K 28 αὐτοῦ L 29 ὑπετίθεντο L 30 πεπειρασμένας L 31 πλείους μὲν οὖν καὶ K 31. p. 24,1 ὁ Τίμαιος — κινουμένας om. K Τίμαιος Platonis p. 26 E sqq. cf. Alexander ap. Simplic. p. 26,13. Diels Doxograph. p. 287 sq. 31. p. 24,4 θεὸν — ὑπετίθετο om. L

www.libtool.com.cn

ἰδέαν καὶ ὕλην, πλείους δὲ καὶ πεπερασμένας καὶ κινουμένας ὅ τε Ἐμπε- a 5v
δοκλῆς τὰ τέσσαρα στοιχεῖα καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, καὶ ὁ Ἱπο-
κράτης ὁ ἰατρὸς ὁμοίως τὰ τέσσαρα στοιχεῖα. ὁ δὲ Ἐμπεδοκλῆς δύο τοὺς
κόσμους εἶναι ὑπετίθετο, τόν τε ἐκ τεσσάρων στοιχείων τὸν αἰσθητὸν καὶ
5 τὸν σφαῖρον, τουτέστι τὸν νοητόν (ὃν σφαῖρον ἐκάλει διὰ τὸ πρὸς ἑαυτὸν 30
ἐπεστράφθαι καὶ πρὸς τῷ ἑνὶ εἶναι μᾶλλον), οὓς καὶ μεταβάλλειν ἔλεγεν
εἰς ἀλλήλους· ἐπικρατούσης μὲν γὰρ τῆς φιλίας μεταβάλλειν τὰ στοιχεῖα
εἰς τὸν σφαῖρον, ἐπικρατοῦντος δὲ τοῦ νείκους τὸν σφαῖρον εἰς τὰ στοι-
χεῖα μεταβάλλειν· οὐ τοῦτο λέγων ὅτι οἱ κόσμοι εἰς ἀλλήλους μεταβάλ-
10 λουσιν, ἀλλὰ τὴν τῆς ψυχῆς τῆς ἡμετέρας εἰς τοὺς κόσμους τούτους ση-
μαίνων μεταβολήν. ἐπειδὴ γὰρ ἔστιν ἐν τῇ ἡμετέρᾳ ψυχῇ καὶ ἑτεροποιὸς
καὶ ταὐτοποιὸς δύναμις, ὅταν μὲν κατὰ τὴν ταὐτοποιὸν δύναμιν ἐνεργήσῃ, 35
ὃν "ταὐτοῦ κύκλον" ὁ Πλάτων ἐκάλεσε, πρὸς τοῖς νοητοῖς γίνεται μᾶλλον
(ταύτην δὲ τὴν δύναμιν φιλίαν ὁ Ἐμπεδοκλῆς ἐκάλεσεν, ὅτι ἡ φιλία ἑνοποιός
15 ἐστιν), ὅταν δὲ κατὰ τὴν ἑτεροποιὸν δύναμιν ἐνεργήσῃ, ἣν Πλάτων μὲν "θα-
τέρου κύκλον" ἐκάλεσεν, Ἐμπεδοκλῆς δὲ νεῖκος, πρὸς τοῖς αἰσθητοῖς γί-
νεται. τὴν οὖν μεταβολὴν τῆς ψυχῆς κατὰ τὸν αἰσθητόν τε καὶ νοητὸν
κόσμον μεταβολὴν τῶν κόσμων ὁ Ἐμπεδοκλῆς ἐκάλεσεν, ὅθεν καὶ τὸ πο-
λυθρύλητον ἐκεῖνο περὶ ψυχῆς ἔφη· 40

20 ὡς καὶ ἐγὼ δεῦρ' εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης
νείκεϊ μαινομένῳ πίσυνος,

τουτέστι πεπεισμένος τῇ ἑτεροποιῷ τῆς ψυχῆς δυνάμει.

Πλείους δὲ καὶ ἀπείρους καὶ κινουμένας ἔλεγον Ἀναξαγόρας Δημόκριτος Ἐπίκουρος Λεύκιππος. Ἀναξαγόρας μὲν τὰς ὁμοιομερείας ἀρχὰς τῶν ὄντων
25 ὑπετίθετο, ὁμοιομέρεια δέ ἐστιν ἧς τὸ μέρος τῷ ὅλῳ ὅμοιον. ὑπάρχειν οὖν ἐν ἀλλήλαις τὰς ὁμοιομερείας, οἷον ἐν τῷ ξύλῳ ὁμοιομερεῖ ὄντι ὑπάρχειν καὶ σάρκα καὶ ὀστοῦν καὶ ὕδωρ καὶ πῦρ καὶ χρυσὸν καὶ πάντα ἁπλῶς, καὶ ἐν ἑκάστῳ 45
καὶ τῷ τυχόντι ἀπείρους ἐνυπάρχειν ὁμοιομερείας. τοῦτο δὲ ὑπετίθετο, διότι ἑώρα πάντα ἐξ ἀλλήλων γινόμενα, εἰ καὶ μὴ κατὰ πρώτην γένεσιν, ἀλλ'
30 οὖν διὰ πλειόνων μέσων. περιφανταζόμενος οὖν τὴν ὕλην τὴν εἰς πάντα ἐπιτηδείαν μεταβληθῆναι, μὴ ἐξισχύων δὲ αὐτὴν τελείως θεωρῆσαι, ὑπέθετο

---

2 ἡ φιλία M 4 ὑπετίθετο K: ὑπέθετο Mt τῶν (sic) αἰσθητὸν K 5 τὸ νοητὸν K
5. 7 διὰ — ἀλλήλους iterat L 6 τῷ ἑνὶ Mt: τοῦ ἑνὸς LK 7 μεταβάλλει τὰ στοιχεῖα K
8 εἰς τὸ σφαῖρον L 11 ἔστιν om. K 13. 15 ὃν — ἐνεργήσῃ om. L at vide ad v. 18
13 ὃν] fort. ἣν cl. v. 15 Πλάτων Tim. p. 37C τοῖς νοητοῖς γίνεται] τὴν νοητὴν γὰρ K ubi saepissime confunduntur compendia vocum γάρ, γίνεται, γράφεται sim.
14 ἑνωποιός K 15 Πλάτων l. c. p. 37B 15. 16 μὲν θατέρου LK: θατέρου μὲν Mt
16. 17 πρὸς τὴν αἰσθητὴν γὰρ K cf. ad v. 13 17 οὖν (cf. iterata in L ad v. 18) K: μὲν οὖν LMt 18 post κόσμον iterat (14. 18) ἐμπεδοκλῆς ἐκάλεσεν ὅτι ἡ φιλία — ὅταν (om. δὲ) κατὰ — μὲν θάτερον (sic) — τὴν οὖν — νοητὸν κόσμον, quorum partem suo loco omiserat, L τῶν om. L 18. 19 πολυθρύλητον K: πολυθρύλητον LMt 19 ἔφη vv. 7—8 K. 381—2 St. 20 ὡς ἐγὼ δεῦρο (om. καὶ) L ἀλείτης K 21 νείκεϊ K: νείκει LMt
25 ὁμοιομέρεια M: ὁμοιομερεία K 27 παν (sic) primitus L 28 καὶ (ante τῷ) om. K 29 ἑώρα om. L εἰ μὴ καὶ K τὴν πρώτην L 30 παραφανταζόμενος K at cf. p 7v52 31 ἐπιτηδείαν KMt: ἰδίαν L ἐπέθετο L²

www.libtool.com.cn

'ὁμοῦ πάντα εἶναι χρήματα", καὶ οὕτω τὴν ἐξ ἀλλήλων γένεσιν κατ' a 5v
ἔκκρισιν γίνεσθαι καὶ οὐ κατὰ μεταβολὴν τῆς οὐσίας. καλῶς δὲ καὶ τὰς
ὁμοιομερείας μὲν ἐν ἀλλήλαις εἶναι ὑπέθετο, οὐκέτι δὲ καὶ τὰς ἀνομοιο- 50
μερείας· οὐδεὶς γὰρ ἂν ὑπολάβοι ἐν προσώπῳ χεῖρα εἶναι ἢ ἐν χειρὶ πόδα.
5 Δημόκριτος δὲ καὶ Λεύκιππος καὶ Ἐπίκουρος τὰς ἀτόμους καὶ τὸ κενὸν
ὑπετίθεντο, τό τε κενὸν ἄπειρον εἶναι καὶ τὰς ἀτόμους τὰς ἐν αὐτῷ. ἀτό-
μους δὲ ἔλεγε σώματά τινα διὰ σμικρότητα ἀφανῆ καὶ ἀδιαίρετα διὰ σκλη-
ρότητα, οἷά εἰσι τὰ διὰ τῶν θυρίδων ἐν ταῖς ἀκτῖσι κονιορτώδη φαινό-
μενα ψήγματα, ἅπερ ἀφανῆ γίνεται μὴ ἐπιλαμπούσης ἀκτῖνος οὐ διὰ | τὸ a 6r
10 μὴ εἶναι, ἀλλὰ διὰ τὴν σμικρότητα.

Πολλὰς δὲ τὰς ἀρχὰς καὶ ἀπείρους καὶ ἀκινήτους οὐδεὶς ὑπέθετο.

p. 184b20 Καὶ εἰ ἀπείρους, ἢ οὕτως ὥσπερ Δημόκριτος, τὸ γένος ἕν, σχήματι ἢ εἴδει διαφερούσας.

Γένος φησὶ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν τῶν ἀτόμων· ἔλεγε γὰρ
15 μιᾶς μὲν οὐσίας εἶναι πάσας τὰς ἀτόμους, διαφέρειν δὲ ἀλλήλων τοῖς σχή-
μασι, τῷ τὰς μὲν εἶναι σφαιρικάς, τὰς δὲ κυβικάς ἢ πυραμοειδεῖς, ἢ ἕτερόν
τι τῶν σχημάτων ἔχειν. οὕτω δὲ πολλάκις καὶ ἐν τοῖς Ἀποδεικτικοῖς τὸ 5
ὑποκείμενον γένος ὠνόμασε. σχήματι δὲ ἢ εἴδει· ἐκ παραλλήλου τὸ
αὐτό φησιν· εἴδους γὰρ λόγον ἐν ταῖς ἀτόμοις τὸ σχῆμα ἔχειν ἔλεγεν ὁ
20 Δημόκριτος. ἢ καὶ ἐναντίας· ἤτοι τοῦτό φησιν ὅτι ὁ Δημόκριτος ἓν
τὸ γένος ὑπετίθετο τῶν ἀτόμων, διαφέρειν δὲ αὐτὰς κατὰ τὰ σχήματα, οὐ
μόνον δὲ διαφέρειν, ἀλλὰ καὶ ἐναντίας εἶναι (ἐπειδὴ γὰρ θερμότητα καὶ
ψῦξιν καὶ λευκότητα καὶ μελανίαν οὐκ ἔλεγεν εἶναι ἐν ταῖς ἀτόμοις ὁ Δη- 10
μόκριτος, ἀλλ' ἐκ τῶν σχημάτων ἀπεγέννα τὰ πάθη καὶ τῆς πρὸς ἡμᾶς
25 τῶν ἀτόμων σχέσεως· τὰς μὲν γὰρ σφαιρικάς, ὡς εὐκινήτους, θερμότητος
καὶ τοῦ πυρὸς εἶναι αἰτίας· ὡς γὰρ εὐκίνητοι, διαιροῦσι θᾶττον καὶ διεισ-
δύνουσι, τοῦτο δὲ ἴδιον πυρὸς τὸ τμητικὸν καὶ εὐκίνητον· τὰς κυβικὰς δὲ
φέρε εἰπεῖν, ὡς ὠθούσας μᾶλλον καὶ πιλούσας, ψῦξιν ἐργάζεσθαι· πιλητι-

---

1 ὁμοῦ κτλ.] cf. Anaxag. fr. 1 Mull. 2 ἔκρισιν et mox μεταβολῆς (sic) K
3 ἀλλήλαις K: ἀλλήλοις t et, si silentio fides, LM ὑπετίθετο L 3. 4 ἀνομοιομερεῖς K 4 οὐδεὶ γὰρ M 5 λεύκιπος K ἐπίκουρος καὶ λεύκιππος traic. (cf. p. 24,23 sq.) L 6 τό τε καινὸν L 7 ἔλεγε LK: ἔλεγεν vel ἔλεγον compendio incerto M: ἔλεγον fortasse recte t σώματος L 8 οἷα ἐστὶ K 8. 9 ἀκτῖσι et ἀκτῖνος libri (praeter K qui ἀκτῖνος) 10 τὴν om. K 13 σχήματι δὲ ἢ t et Aristoteles (praeter F) at cf. v. 18 et p. 26,12 15. 17 διαφέρειν — ἔχειν iterat L
16 τὰς (ante μὲν) om. L 17 Ἀποδεικτικοῖς] nescio ubi. cf. Bonitz Index Ar. p. 152a6. Simplic. p. 193,6, infra d 2r43, f 1r31 18 ἢ om. K 19 ταῖς] τοῖς K
19. 20 ἔχειν ἔλεγεν ὁ δημόκριτος L: ἔλεγεν ὁ δημόκριτος ἔχειν K: ἔλεγεν ἔχειν ὁ δημόκριτος Mt 20 ἤτοι τοῦτο K: ἢ τοιοῦτό (τοιοῦτόν L) LMt 21 κατὰ σχῆμα K
23 ψῦξιν sim. constanter libri praeter K ταῖς Mt: τοῖς LK 26 αἰτίους L
28 ψῦξιν iterat L qui mox πηλιτικὸν

www.libtool.com.cn

κὸν γὰρ τὸ ψυχρόν. ὁμοίως καὶ ἐπὶ τῶν χρωμάτων γίνεσθαι ἔλεγεν· ὅταν a 6r
μὲν τῶν πυραμίδων φέρε εἰπεῖν αἱ κορυφαὶ προσβάλλωσι τῇ ὄψει, τοιάνδε
ποιεῖν χρώματος φαντασίαν, οἷον λευκοῦ· διακριτικὸν γὰρ τῆς ὄψεως τὸ 15
λευκόν, διαιρετικὸν δὲ καὶ τὸ ὀξύ, οἷα ἐστὶ καὶ ἡ κορυφὴ τῆς πυραμίδος·
5 ὅταν δὲ αἱ βάσεις, μέλανος· συγκριτικὸν γὰρ τὸ μέλαν, τοιοῦτον δὲ τὸ ἀμβλύ-
πιλεῖ γὰρ καὶ εἰς ταὐτὸν τῇ πιλήσει συνωθεῖ τὰ διεστῶτα. ἐπεὶ οὖν τοῖς
διαφόροις σχήμασι τῶν ἐναντίων παθῶν ποιητικαί εἰσιν αἱ ἄτομοι, οὐ μό-
νον διαφέρειν αὐτὰς τοῖς σχήμασιν εἶπεν, ἀλλὰ καὶ ἐναντίας εἶναι), ἢ μᾶλλον
πρὸς τὸν Ἀναξαγόραν αὐτῷ τείνει ὁ λόγος, ὃς καὶ ἐναντίας εἶναι ὁμοιο-
10 μερείας ἔλεγεν, οἷον πυρὸς καὶ ὕδατος. καὶ μᾶλλον τοῦτο ἀληθές, ἵνα καὶ 20
ἡ ἀντιδιαίρεσις σωθῇ. εἰπὼν γὰρ καὶ εἰ ἀπείρους, ἢ οὕτως ὥσπερ
Δημόκριτος, τὸ γένος ἕν, σχήματι ἢ εἴδει διαφερούσας, ἀνταπέ-
δωκε τὸ ἕτερον τῆς διαιρέσεως μόριον εἰπὼν ἢ ἐναντίας, ὡσανεὶ ἔλεγεν
'ἢ ὡς Ἀναξαγόρας λέγει ἐναντίας'.

15 p. 184b22 Ὁμοίως δὲ ζητοῦσι καὶ οἱ τὰ ὄντα ζητοῦντες πόσα. 22

Ἐκθέμενος τὴν διαίρεσιν νῦν βούλεται δεῖξαι, ὅτι οὐ περιέργως οὐδὲ
καινοτέρως αὐτὸς ταύτῃ τῇ περὶ τῶν ἀρχῶν διαιρέσει ἐχρήσατο, ἀλλὰ
πάντες οἱ πρὸ αὐτοῦ φυσικοὶ τῇ αὐτῇ διαιρέσει ἐν τῷ περὶ τῶν ἀρχῶν
λόγῳ ἐχρήσαντο, ζητοῦντες πότερον ἕν τί ἐστι τὸ στοιχεῖον ἐξ οὗ τὰ πάντα 30
20 ἢ πλείονα, καὶ πότερον κινούμενα ἢ ἀκίνητα.

p. 184b25 Τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν οὐ περὶ φύσεώς ἐστι σκοπεῖν.

Ἐκθέμενος ἐκ διαιρέσεως τὰς περὶ τῶν ἀρχῶν τῶν φυσικῶν δόξας καὶ
εἰπὼν ποίου μορίου τῆς διαιρέσεως τίς τῶν ἀρχαιοτέρων προέστη, νῦν ἐπι-
25 σκέπτεται πρὸς ποίας μὲν τῶν δοξῶν φυσιολόγου ἐστὶ διαλεχθῆναι, πρὸς
ποίας δ' οὔ. καὶ γὰρ ἐπιστήμονος ἔργον ἐστὶ τὴν φύσιν τῶν ὑποβεβλη-
μένων αὐτῷ πραγμάτων ἐπισκέπτεσθαι καὶ διακρίνειν τίνα μὲν αὐτῷ προσή-
κει, τίνα δὲ μή· ὥσπερ ἀμέλει καὶ τέκτων ξύλων πολλῶν ὑποκειμένων τὰ 35
μὲν ἐκλέξεται ὡς ἐπιτήδεια τῇ αὐτοῦ τέχνῃ, τὰ δὲ ἀπορρίψει. διὰ τοῦτο

1 ἔλεγε γίνεσθαι L 2 προσβάλλουσι K 4 διαιρετικὸν libri: immo διακριτικὸν cf. ad p. 27,1 et f 4v 4 5 μέλανος cod. Paris. 2063: μέλανες LKMt γὰρ K: om. LMt δὲ καὶ τὸ recte L ἀμφλύ primitus K 6 τῇ πιλήσει συνωθεῖ om. L 8 εἶναι] ἐστίν L 10 ἀλήθεια L 12 τὸ γένος om. L ἕν] ἐν LK

15 lemma om. K 17 κοινοτέρως t αὐ L τῶν om. K ἐχρήσατο] ἐχρήσαντο L 18. 19 ἐν τῷ—λόγῳ om. L 19 πάντα L: πράγματα KMt
21 lemma om. K τὸ ὂν σκοπεῖν L Aristot.: σκοπεῖν τὸ ὂν Mt 24 νῦν LK: καὶ Mt 26 δ' οὔ] δὲ ἰδοῦ K ἐστὶ om. K 28 ὑποκειμένων πολλῶν Mt
29 τῇ αὐτοῦ correxi: τῇ αὐτοῦ LMt: αὐτοῦ τῇ K ἀπορρέψει K

www.libtool.com.cn

καὶ νῦν ὁ Ἀριστοτέλης ἕν τι τῆς διαιρέσεως μόριον ἀποκρίνας, τὸ λέγον μίαν a 6r
εἶναι τὴν ἀρχὴν καὶ ἀκίνητον, οὗ προίσταντο οἱ περὶ τὸν Παρμενίδην καὶ
Μέλισσον, φησὶν ὅτι οὐκ ἔστι φυσικοῦ τὸ πρὸς τούτους διαλέγεσθαι ἀναι-
ροῦντας τὰς φυσικὰς ἀρχάς. οὐδεμιᾶς γάρ ἐστι τῶν κατὰ μέρος ἐπιστημῶν
5 πρὸς τὸν ἀναιροῦντα τὰς οἰκείας ἀρχὰς αὐτῆς διαλέγεσθαι, διότι οὐδὲ τὸ
ἀποδεικνύναι τὰς οἰκείας ἀρχὰς τῶν κατὰ μέρος ἐπιστημῶν, ἀλλὰ μόνης 40
τῆς πρώτης καὶ ἀνυποθέτου φιλοσοφίας· αὕτη γὰρ τὰς πασῶν ἀρχὰς ἀπο-
δείκνυσιν, αἱ δὲ κατὰ μέρος ἐπιστῆμαι ἐξ ὑποθέσεως τὰς οἰκείας ἀρχὰς
λαμβάνουσι. διὰ τοῦτο οὖν πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχὰς ἡστινοσοῦν
10 ἐπιστήμης οὐκ ἔστιν αὐτῆς ἐκείνης διαλέγεσθαι, ἀλλ' ἢ τῆς προσεχῶς ὑπὲρ
αὐτὴν τεταγμένης ἐπιστήμης, ἢ τῆς πασῶν κοινῆς. (κοινὴν δὲ πασῶν ἐπι-
στήμην λέγει ἢ τὴν πρώτην καὶ ἀνυπόθετον φιλοσοφίαν, ἢ τὴν διαλεκτικήν.
καὶ γὰρ αὕτη τὰς πάντων ἀρχὰς ἀποδείκνυσιν· οὕτω γὰρ αὐτὴν ἐν τοῖς 45
Τόποις ὡρίσατο· "ὁ μὲν σκοπός", φησί, "τῆς πραγματείας μέθοδον εὑρεῖν
15 δι' ἧς δυνησόμεθα συλλογίζεσθαι περὶ παντὸς οὗ προτεθέντος ἐξ ἐνδόξων".
ταύτῃ οὖν ἡ διαλεκτικὴ διαφέρει τῆς πρώτης φιλοσοφίας, ὅτι ἡ μὲν ἐξ
ἀρχῶν αὐτοπίστων καὶ κοινῶν ἐννοιῶν ποιεῖται τὰς ἀποδείξεις, ἡ δὲ δια-
λεκτικὴ ἐξ ἐνδόξων.) πρὸς γοῦν τὸν ἀναιροῦντα ὅτι τὸ σημεῖον ἀμερές ἐστιν,
ἢ ἡ γραμμὴ μῆκος ἀπλατές, οὐ διαλέξεται ὁ γεωμέτρης, ἀλλὰ παραπέμψει
20 τῷ πρώτῳ φιλοσόφῳ ταῦτα ἀποδεικνύναι. ὁμοίως ὁ ἰατρός, ὅτι ἐκ τῶν
τεσσάρων στοιχείων τὸ σῶμα καὶ περὶ αὐτῶν τῶν στοιχείων τῷ φυσικῷ
παραπέμψει ἀποδεικνύναι· προτέτακται γὰρ φυσικῶς τοῦ ἰατροῦ ὁ φυσικός. 50
πάλιν τῆς ὀπτικῆς τὰς ἀρχὰς γεωμετρία ἀποδείξει, καὶ γραμματικῆς μὲν
μουσική, ταύτης δὲ ἀριθμητική. λαμβάνει μὲν γὰρ ὁ γραμματικὸς τάδε
25 μὲν τὰ στοιχεῖα μακρά, τάδε δὲ βραχέα, καὶ τὰ αὐτὰ νῦν μὲν βραχέα,
ἄλλοτε δὲ μακρά· τὴν αἰτίαν δὲ αὐτὸς μὲν ἀγνοεῖ, ὁ μουσικὸς δὲ ἀπο-
δείκνυσι. πάλιν ὁ μουσικὸς λαμβάνει ὅτι ἥδε πρὸς τήνδε ἡ χορδὴ τὸν
ἡμιόλιον ἢ τὸν διπλασίονα ἢ τὸν ἐπίτριτον ἔχει λόγον, τὴν ἐν χορδαῖς
μόνον τῶν ἀριθμῶν σχέσιν λαμβάνων· ὁ μέντοι ἀριθμητικὸς | καθόλου τίς a 6v
30 ἐστιν ὁ τοῦ διπλασίου λόγος ἐξετάζει καὶ τῶν λοιπῶν, εἴτε ἐν χορδαῖς εἴη,
εἴτε ὁπουδήποτε. καὶ αὐτῆς δὲ τῆς γεωμετρίας, δῆλον δὲ ὅτι πάσης τῆς

---

1 διακρίσεως K 2 προίστανται L τὸν om. Mt 3 φησὶν οὖν ὅτι K
οὐκ ἔστι LKM: οὐκέτι t 3. 4 ἀναιροῦντες Mt 4 ἐστι om. K 5 αὐτῆς] αὐτοὺς L 7 καὶ καὶ (alterum καὶ compend.) K 8 κατὰ τὸ μέρος t (at κα μέρος M) 10 ὑπὲρ] πρὸς K 13 malim καὶ γὰρ καὶ αὕτη 14 Τόποις] Topic. A 1 init. ὁ μὲν σκοπός] ἡ μὲν πρόθεσις Aristoteles 15 δι' ἧς LK: ἀφ' ἧς Mt Aristot. τοῦ om. K προτεθέντος προβλήματος Aristot. 18 γοῦν K: γὰρ LMt 18. 19 τὸ et ἡ K: om. LMt 20. 22 ὁμοίως — ἀποδεικνύναι K: om. LMt 22 φυσικῶς om. fort. recte Mt φυσικός LK: ἰατρός Mt 23 τὰς ἀρχὰς τῆς ὀπτικῆς Mt ὁ γεωμετρία ἀποδείξαι (sic) K 24 μουσική] μουσική· ταύτης δὲ μουσική L 26 δὲ (post ἄλλοτε) om. Mt 28 ἢ τὸν διπλασίονα] λαμβάνει L 30 διπλασίονος L 31 αὐτῆς] αὐτῶ L πάσης LM: καὶ πάσης fortasse recte Kt

www.libtool.com.cn

μαθηματικῆς ἐπιστήμης, φασὶ προηγεῖσθαι τὴν ἀριθμητικήν· λαμβάνει γὰρ a 6v
καὶ ὁ γεωμέτρης πλευρὰν πλευρᾷ διπλασίονα ἢ ἐπίτριτον, καὶ τοσοῦτον
μὲν τὸ ἐν μεγέθει διπλάσιον ἢ ὁπωσοῦν λαμβάνει, ὁ μέντοι ἀριθμητικὸς
καθόλου ταῦτα λαμβάνει καὶ ἀποδείκνυσι τίς ἐστιν ὁ τοῦ διπλάσιου λόγος
5 καὶ τῶν ἄλλων. τὰς δὲ πάντων ἀρχὰς ὁ πρῶτος φιλόσοφος ἀποδείκνυσι.
διὰ ταῦτα οὐκ ἔστι φυσικοῦ ἀνδρὸς πρὸς Παρμενίδην καὶ Μέλισσον διαλέ-
γεσθαι ἀναιροῦντας τὰς φυσικὰς ἀρχάς· λέγοντες γὰρ ἓν τὸ ὂν εἶναι καὶ
ἀκίνητον, τῷ μὲν ὑποτίθεσθαι ἓν τὸ ὂν τὰς ἀρχὰς ἀναιροῦσι, τῷ δὲ ἀκί-
νητον καὶ ὡς φυσικὰς ἀρχάς. ἓν γὰρ λέγοντες εἶναι τὸ ὂν [ἀνάγκη πᾶσα]
10 ἢ ἀρχὴν αὐτὸ ὑποτίθενται ἢ ἀπὸ τῆς ἀρχῆς. ἀλλ' εἰ μὲν ἀρχὴν αὐτὸ
ὑπόθοιντο, ἀνάγκη πᾶσα εἶναι καὶ τὰ ἀπὸ τῆς ἀρχῆς· ταῦτα γὰρ τῶν
πρός τί εἰσιν· ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν ἐστιν ἀρχή, ὡς αὐτὸς εἶπεν. 10
ὥστε οὐχ ἓν τὸ ὄν, ἀλλὰ πολλά, ἥ τε ἀρχὴ καὶ τὰ ἀπ' αὐτῆς· οὐκ ἄρα
ἀρχὴν δύναιντο λέγειν τὸ ἕν. πάλιν δ' αὖ ἀπὸ τῆς ἀρχῆς ὑποτιθεμένοις
15 αὐτὸ εἶναι ἀνάγκη πᾶσα καὶ τὴν ἀρχὴν αὐτοῦ ὑποτίθεσθαι· ὥστε πάλιν
οὐκέτι ἓν τὸ ὄν· νῦν δὲ ἓν ὑποτίθενται. ἀναιροῦσιν ἄρα ἑκατέρωθεν τὴν
ἀρχήν· ἀρχῆς γὰρ οὔσης ἀδύνατον ἓν εἶναι τὸ ὄν. ταύτῃ μὲν οὖν τὴν
ἀρχὴν ἀναιροῦσιν. ὡς φυσικὴν δὲ ἀρχὴν ἀναιροῦσι τῷ ἀκίνητον αὐτὸ
ὑποτίθεσθαι. κίνησις γὰρ ἐναργῶς τοῖς φυσικοῖς ὑπάρχει πράγμασι· γένεσις 15
20 γὰρ καὶ φθορὰ αὔξησις μείωσις ἀλλοίωσις καὶ ἡ κατὰ τόπον μεταβολὴ
τοῖς φυσικοῖς ὑπάρχει πράγμασι· καὶ αὐτὸς δὲ ὁριζόμενος τὴν φύσιν ἀρχὴν
εἶναι κινήσεώς φησι καὶ ἠρεμίας. ὥστε ὁ τὴν κίνησιν ἀναιρῶν τὰς φυσικὰς
ἀρχὰς ἀναιρεῖ. διὰ τοῦτο οὖν φησιν οὐ φυσικοῦ τὸ πρὸς τούτους διαλέγεσθαι, ὡς φυσικοὶ δὲ ταύτην μετερχόμεθα τὴν πραγματείαν. ὅμως δέ,
25 φησίν, ἐπειδὴ ἔχει τινὰ φιλοσοφίαν ἡ σκέψις (περὶ τῶν ὄντων γὰρ ζητοῦσιν,
εἰ καὶ μὴ ὡς φυσικοί, ἀλλ' οὖν ὡς φιλόσοφοι), πρὸς αὐτοὺς ἀπαντήσωμεν.
ἄλλως τε, ἐπειδὴ δοκοῦσί τινας φυσικὰς ἀπορίας λέγειν, εὔλογος ἡμῖν καὶ 20
οὕτως ἡ πρὸς αὐτοὺς ἀπάντησις. τῷ γὰρ ἀναιρεῖν τὴν φύσιν ἓν εἶναι τὸ
ὂν καὶ ἀκίνητον ὑποτιθέμενοι περὶ φύσεως ἀπορεῖν ἄν· οὐ γὰρ ἔτι

---

1 ἐπιστήμης t: ἐπιστήμης καὶ τῆς γεωμετρίας δηλονότι ἡ ἀστρονομίας L: ἐπιστήμης ὑπὸ γοῦν τὴν γεωμετρίαν δηλονότι ἡ ἀστρονομία K: ἐπιστήμης [lac. 8 litter.] δῆλον ὅτι ἡ ἀστρονομία M 2 πλευρᾷ libri: immo πλευρᾶς 3 μὲν τὸ] μὲν τὸν K διπλάσιον (διπλ$^{\alpha}$ cum signo compend. M) LKM: διπλασίονα t ὁποσοῦν K: ὁποσονοῦν Diels λαμβάνει ante ἢ ὁπωσοῦν ponunt Mt 3. 4 ὁ μέντοι — λαμβάνει om. K 4 ταῦτα L: τοῦτο Mt 6 φυσικοῦ] φυσι (sic) K 7 ἀναιροῦντες M 8 ὂν εἶναι (ut v. 7) Mt 8. 9 δὲ ἀκινήτω L 9 εἶναι λέγοντες K ἀνάγκη πᾶσα ex proxime sequentibus huc delata delevi 10 ὑποτίθενται LK: ὑποτιθέναι Mt ἀλλ' εἰ μὲν] εἰ μὲν οὖν K 11 ὑπόθειντο K 12 ἢ καὶ τινῶν L ἢ τινῶν post ἐστιν ἀρχή ponunt Mt 14 δύναιντο] deest ἂν ὑποτιθεμένοις K: ὑποτιθέμενος LM: ὑποτιθεμένους t 16 οὐκέτι] οὐκ ἔστιν K 17 ταύτῃ] οὕτως K 18 δὲ] δὲ ἄρα L 22 φησι et 23 φησιν om. L 22 φησι] cf. Phys. B 1 p. 192b20 24 φυσικοὶ KMt: φυσικὴν L 25 παρὰ (superscr. περὶ) L 26 ἀπαντήσωμεν LK: ἀπαντήσομεν Mt 27 φυσικὰς om. L 27. 28 ἡμῖν καὶ οὕτως LK: οὕτως ἡμῖν Mt 29 ἀπορεῖεν K

www.libtool.com.cn

ἀρχή ἐστιν εἰ ἓν μόνον καὶ οὕτως ἕν ἐστιν· ἡ γὰρ ἀρχὴ τινὸς a 6v
ἢ τινῶν. ὅτι δὲ οἱ τὸ ὂν ἓν ὑποτιθέμενοι ἀναιροῦσι τὰς ἀρχάς, κατα-
σκευάζει ἐν δευτέρῳ σχήματι οὕτως· εἰ ἓν τὸ ὄν, οὐκ ἔστι πλῆθος· εἰ
ἀρχή ἐστι, πλῆθός ἐστιν· εἰ ἓν ἄρα τὸ ὄν, οὐκ ἔστιν ἀρχή. ἀρχῆς γὰρ
5 οὔσης, ἀνάγκη καὶ τὰ ἀπὸ τῆς ἀρχῆς εἶναι, τούτου δὲ ὄντος πλῆθος εἶναι
ἀνάγκη. τὸ δὲ εἰ οὕτως ἓν ἀντὶ τοῦ ἀκίνητον. ἀκινήτου γὰρ ὄντος 25
οὔτε ἐξ αὐτοῦ τι ἔσται, οὔτε αὐτὸ ἐξ ἄλλου, ἀρχῆς δὲ οὔσης κίνησιν
ἀνάγκη εἶναι· εἰ γὰρ πάντῃ εἴη ἀμετάβλητος καὶ ἀκίνητος, οὐδ' ἄν τι ἐξ
αὐτῆς γένοιτο.

10 p. 185a5 Ὅμοιον δὴ τὸ σκοπεῖν εἰ οὕτως ἓν καὶ πρὸς ἄλλην
θέσιν ὁποιανοῦν διαλέγεσθαι τῶν λόγου ἕνεκα λεγομένων.

"Θέσις ἐστίν," ὡς αὐτὸς ἐν τοῖς Τόποις εἴρηκε, "παράδοξος ὑπόληψις
τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν". οἷον ὁ Ἡράκλειτος ταὐτὸν εἶναι 30
ἔλεγε τὰ ἐναντία, ὁμοίως δὲ οὗτοι ἓν τὸ πᾶν λέγοντες καὶ ἀκίνητον, ἢ
15 ὡς Ζήνων ἔλεγε μὴ εἶναι κίνησιν, ἢ ὡς Ἀναξαγόρας πάντα κινεῖσθαι. τὸ
οὖν σκοπεῖν, φησίν, εἰ τὸ ὂν ἕν ἐστι καὶ ἀκίνητον, ὅμοιόν ἐστι τῷ πρὸς
ἄλλην ὁποιανοῦν διαλέγεσθαι θέσιν, οἷον τὴν Ἡρακλείτου, ὃς ἔλεγε τὰ
ἐναντία τὰ αὐτὰ εἶναι. ὡς γὰρ πρὸς ταύτην τὴν θέσιν ἀντιλέγειν μάταιον
τῆς ἐναργείας κρείττονος οὔσης πάσης ἀποδείξεως, ἢ πρὸς τὸν λέγοντα ὅτι
20 τὸ πᾶν εἷς ἄτομός ἐστιν ἄνθρωπος, οὕτω καὶ πρὸς τὸν Παρμενίδου καὶ 35
Μελίσσου λόγον. λόγου δὲ ἕνεκα λέγει ἀντὶ τοῦ ἕνεκα τοῦ λέγειν τι
ἁπλῶς ἀποφαινομένους καὶ οὐδὲ συλλογιστικῶς, ὡς εἴ τις λέγοι 'ὁ ἄνθρωπος
τρίπους ἐστίν'. ἢ λύειν λόγον ἐριστικόν. κατὰ κοινοῦ τὸ ὅμοιον δὴ
τὸ σκοπεῖν καὶ τὰ ἑξῆς, ἢ λύειν λόγον ἐριστικόν. διαφέρει δὲ ὁ
25 ἐριστικὸς λόγος τοῦ σοφιστικοῦ ταύτῃ, ὅτι ὁ μὲν σοφιστικὸς ὕλῃ μὲν ἀληθεῖ
κέχρηται, τὸ δὲ σχῆμα ἀσυλλόγιστον ἔχει, ὁ δ' ἐριστικὸς κατ' ἀμφότερα 40
ἔπταισται καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ σχῆμα. ὅπερ ἀμφότεροι μὲν
ἔχουσιν οἱ λόγοι καὶ ὁ Μελίσσου καὶ ὁ Παρμενίδου. καὶ ὁ Παρ-
μενίδου, φησί, λόγος καὶ ὁ Μελίσσου ἐριστικός ἐστιν· ἑκάτερος γὰρ αὐτῶν καὶ
30 ψευδέσι κέχρηται προτάσεσι καὶ ἀσυλλογίστως προέρχεται. τίνας δὲ προτά- 45
σεις ψευδεῖς λαμβάνουσι καὶ ὅπως ταύτας ἀσυλλογίστως συμπλέκουσιν,

---

2 ὅτι δὲ εἰ τὸ K 2. 3 ἓν ὑποτιθέμενοι — ἓν τὸ ὄν om. K 5. 6 εἶναι ἀνάγκη L: ἐστὶν ἀνάγκη K: ἀνάγκη εἶναι Mt 6 εἰ delendum 7 ἔσται] ἐστὶν K 8 ἀμετάβλητος εἴη Mt 12 ἐν τοῖς Τόποις] Topic. A 11 p. 104b19 ubi ὑπόληψις παράδοξος παράδοξως sic K 16 τῷ LM: τὸ K: τοῦ t. nimirum in M τῷ ita exaratum ut proclivi errore legas τοῦ 19 ἐνεργείας K 21 λέγει] τοῦ λέγειν M ἀντὶ τοῦ ἕνεκά του M 21. 22 λέγειν τι ἁπλῶς LK: τί ἁπλῶς λέγειν Mt 22 ἀποφαινομε L τις] τοι K λέγοι K: λέγει LMt 23 ἢ om. K 24 τὸ om. Mt ἢ — ἐριστικόν om. K λύειν τὸ λόγον t 25 ἐρεστικὸς K 27 ἔπταισται M: ἔπαισται t: ἔπταισθαι K: ἔπεσθαι L τὸ om. K ὅπερ (3 rubr.) K 29 ἑκάτερος γὰρ αὐτῶν om. L 30. 31 ψευδεῖς προτάσεις inverso ordine K 31 ταύτας Mt: ταῦτα LK

www.libtool.com.cn

ἐπιόντες αὐτοὺς τοὺς λόγους δείξομεν. ἀλλ' εἰ καὶ ἀμφότεροι, φησίν, ἐρι- a 6r
στικοὶ οἱ λόγοι, ἀλλὰ μᾶλλον ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν.
ὁ μὲν γὰρ Παρμενίδου εἰ καὶ ψευδῆ λαμβάνει καὶ ἀσυλλόγιστός ἐστιν, ἀλλ'
οὖν ἔχει τι δυσφώρατον καὶ δριμύ, ὁ δὲ Μελίσσου ἐπιπόλαιος ὢν φορτικός
5 ἐστι καὶ οὐδεμίαν κινῶν τοῖς ἀκροωμένοις ἀπορίαν. ἀλλ' ἑνὸς ἀτόπου
δοθέντος οὕτω τὰ ἐφεξῆς συμπεραίνει. τοῦτο δέ, φησίν, οὐδὲν χαλεπόν, 50
τουτέστιν ἢ τὸ συγχωρήσαντα ἑνὶ ἀτόπῳ τὰ ἑπόμενα κατασκευάσαι (δεδο-
μένου γὰρ τοῦ ὅτι ἡ γῆ ἵπταται, συμβήσεται μετεώρους ἡμᾶς εἶναι, τὰ βάρη
ἐκτὸς τοῦ μέσου ἵστασθαι καὶ ἄλλα μυρία), ἢ οὐδὲν χαλεπὸν ἐπιλύειν καὶ
10 ἐλέγχειν τὰ οὕτως ἐπιπολῆς εἰρημένα.

p. 185a12 Ἡμῖν δὲ ὑποκείσθω· τὰ φύσει ἢ πάντα ἢ ἔνια κινούμενά ἐστι.

Λάβωμεν, φησί, τοῦτο ἐξ ὑποθέσεως. οὐδὲ γὰρ φυσικοῦ ἐστι τὸ περὶ τῶν ἀρχῶν ἀποδεικνύναι, ὅτι τὰ φυσικὰ πράγματα ἢ πάντα κινοῦνται
15 ἢ ἔνια· ἄλλως τε καὶ | ἐξ αἰσθήσεως τὴν πίστιν ἔχομεν τοῦ ἢ πάντα a 7r
κινεῖσθαι ἢ ἔνια. προσέθηκε δὲ τὸ ἔνια διὰ τὰς δυνάμεις τὰς ἐν ὑποκειμένῳ καὶ τὰς ἀλόγους ψυχάς, ἅτινα φυσικὰ μέν ἐστιν, ἀκίνητα δέ· οὔτε γὰρ ἀλλοιοῦται, οὔτε αὔξει, οὔτε κατὰ τόπον κινεῖται.

p. 185a14 Ἅμα δὲ οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἢ ὅσα ἐκ
20 τῶν ἀρχῶν τις ἐπιδεικνὺς ψεύδεται.

Ἐπειδὴ πρὶν ἐλέγξαι τὰ παρ' ἐκείνων ὑπέθετο κινεῖσθαι τὰ φυσικὰ πράγματα, ὑπὲρ τούτου ἀπολογούμενος προσέθηκε τὸ ὅτι οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἐκεῖνα ὅσα, τῶν ἀρχῶν σῳζομένων, ἐξ αὐτῶν ψευδῆ τις κατασκευάζει. πρὸς δὲ τὸν ἀναιροῦντα τὰς ἀρχὰς καὶ πρὸς αὐτὰς
25 φέροντα ἀπορίας ἀνασκευαστικὰς αὐτῶν οὐ χρὴ διαλέγεσθαι, οὐδὲ τὰ παρὰ τούτου φερόμενα ἄπορα ἐπιλύεσθαι. τὸ δὲ ἅμα δὲ οὐδὲ λύειν ἀντὶ τοῦ οὐδὲ γὰρ λύειν.

---

1 αὐτῶν L 1. 2 οἱ λόγοι ἐριστικοί L 3 ψευδῆ LK: ψευδεῖς Mt 4 ἔχει τι K: ἔχει Mt: om. L δυσφωρω K 5 ἀπορίαν] ἀπόκρισιν 6 οὐδὲ Mt 7 τὸ] τὸν K 10 ἐπιπολῆς Mt: ἐπὶ πολλῆς L: ἐπὶ πολλοῖς K 11 ὑποκείσθω φησὶ K 12 ἐστι LK: εἶναι Mt Aristoteles: sed vel in libris unde M manavit ἐστι non εἶναι fuisse arguunt omissa verba insequentia λάβωμεν — ἐστι 13 λάβωμεν — ἐστι om. Mt τοῦτο K: τὸ L φυσικοῦ L: τοῦ φυσικοῦ (cf. p. 32,19) K at cf. p. 26,25. 27,3. 28,6. 23. 32,21 al. 16 δὲ καὶ τὸ L 19 lemma om. K 21. 22 τὰ φυσικὰ πράγματα om. L 22 ὅτι malim abesse 25 αὐτῶν] αὐτὸν K 26 φερόμενα om. L δὲ (post ἅμα) om. L

www.libtool.com.cn

p. 185ª16 Οἷον τὸν τετραγωνισμὸν τοῦ κύκλου τὸν μὲν διὰ τῶν τμημάτων γεωμετρικοῦ διαλῦσαι, τὸν δὲ Ἀντιφῶντος οὔ. a 7r 11

Ἱπποκράτης Χῖός τις ὢν ἔμπορος, λῃστρικῇ νηὶ περιπεσὼν καὶ πάντα ἀπολέσας, ἦλθεν Ἀθήναζε γραψόμενος τοὺς λῃστάς, καὶ πολὺν παραμένων ἐν Ἀθήναις διὰ τὴν γραφὴν χρόνον, ἐφοίτησεν εἰς φιλοσόφους, καὶ εἰς τοσοῦτον ἕξεως γεωμετρικῆς ἦλθεν, ὡς ἐπιχειρῆσαι εὑρεῖν τὸν κύκλου τετραγωνισμόν. καὶ αὐτὸν μὲν οὐχ εὗρε, τετραγωνίσας δὲ τὸν μηνίσκον ᾠήθη ψευδῶς ἐκ τούτου καὶ τὸν κύκλον τετραγωνίζειν· ἐκ γὰρ τοῦ τετραγωνισμοῦ τοῦ μηνίσκου καὶ τὸν τοῦ κύκλου τετραγωνισμὸν ᾠήθη συλλογίζεσθαι. ὁ δὲ Ἀντιφῶν καὶ αὐτὸς ἐπεχείρησε τετραγωνίσαι τὸν κύκλον, ἀλλ' οὐ σῴζων τὰς γεωμετρικὰς ἀρχάς. ἐπεχείρησε δὲ οὕτως. ἐάν, φησί, ποιήσω κύκλον καὶ γράψω ἐντὸς τετράγωνον, τέμω δὲ τὰ τμήματα τοῦ κύκλου τὰ γενόμενα ἐκ τοῦ τετραγώνου δίχα, εἶτα ἀγάγω εὐθείας ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἐπὶ τὰ πέρατα τοῦ τμήματος, ποιῶ ὀκτάγωνον σχῆμα. ἐὰν δὲ πάλιν τὰ περιέχοντα τὰς γωνίας τμήματα τέμωμεν δίχα, καὶ πάλιν ἀγάγωμεν ἀπὸ τῶν τομῶν εὐθείας ἑκατέρωθεν ἐπὶ τὰ πέρατα τῶν τμημάτων, ποιοῦμεν πολύγωνον σχῆμα. ἐὰν οὖν ἐπὶ πολὺ τοῦτο ποιῶμεν, γίνεται πολυγωνότατον σχῆμα μικρὰς πάνυ ἔχον τὰς γωνίας, ἃς αἱ περιέχουσαι εὐθεῖαι διὰ τὸ σμικρὰς πάνυ εἶναι ἐφαρμόσουσι τῷ κύκλῳ. ἐπεὶ οὖν δέδοται πᾶν τὸ δοθὲν εὐθύγραμμον σχῆμα τετραγωνίσαι, ἐὰν τετραγωνίσω τὸ πολύγωνον τοῦτο, ἐπειδὴ ἐφαρμόζει τῷ κύκλῳ, τετραγωνίσας ἔσομαι καὶ τὸν κύκλον. οὗτος οὖν ἀναιρεῖ τὰς γεωμετρικὰς ἀρχάς· ἀρχὴ γάρ ἐστι γεωμετρικὴ μηδέποτε ἐφαρμόζειν εὐθεῖαν περιφερείᾳ, οὗτος δὲ δίδωσι, διὰ σμικρότητα, τινὰ εὐθεῖαν ἐφαρμόζειν τινὶ περιφερείᾳ. ὁ μὲν οὖν Ἱπποκράτης, ἐκ γεωμετρικῶν ἀρχῶν ὁρμηθεὶς καὶ τετραγωνίσας μηνοειδές τι τοῦ κύκλου τμῆμα, κακῶς τὸ ἑξῆς συνεπέρανεν, ἐκ τούτου καὶ τὸν τοῦ κύκλου τετραγωνισμὸν συλλογίσασθαι βουληθείς· ὁ μέντοι Ἀντιφῶν ἀνελὼν τὰς γεωμετρικὰς ἀρχάς, τὸ μηδέποτε περιφερείᾳ εὐθεῖαν ἐφαρμόζειν, οὕτω τὸ ἑξῆς συνεπέρανεν. φησὶν οὖν ὅτι τὸν τετραγωνισμὸν τοῦ κύκλου ἐλέγξαι ψευδῆ ὄντα τὸν μὲν

---

1 lemma om. K τοῦ κύκλου om. Aristoteles (excepto cod. I) 2 γεωμετρικῶν L οὔ M: om. L: οὐ γεωμετρικοῦ ex Aristot. t 3 Ἱπποκράτης] κτ πτ (prima littera rubro addenda) K τις ὢν χῖος K ληστρικὶ ναῖ K λῃστρικῇ] ληστικῇ compend. M 4 post λῃστὰς irrepserunt Aristotelis verba p. 185ª20 σκέψις. ἀρχὴ δ' οἰκειοτάτη (sic) πασῶν K 5 num φιλοσόφων? 6 τὸν τοῦ κύκλου K 8 τετραγωνίζειν] τετραγωνιστεὶν (sic) K 10 τὸν] τὴν t 12 τετράγωνον] τρίγωνον ἰσόπλευρον Themist. p. 109,23 at cf. Simplic. p. 54,20 sqq. 14 τὰ πέρατα τοῦ τμήματος K: τὰ τοῦ τμήματος πέρατα Mt: τὰ ˆ τμήματα (marg. ˆ πέρατα τοῦ) L 15 τέμω L 17 ποιῶμεν τοῦτο L 18 ἔχοντα L 20. 21 ἐὰν — τετραγωνίσας om. add. marg. K 23 εὐθεῖαν (εὐθεῖα K) περιφερείᾳ LK: εὐθείᾳ περιφέρειαν Mt 23. 24 οὗτος δὲ — περιφερείᾳ om. Mt 24 τινὶ περιφερείᾳ L: περιφερείᾳ τινὶ K 25 μονοειδὲς L τμῆμα τοῦ κύκλου K 26. 28 συνεπέρανεν, ἐκ τούτου — οὕτω τὸ ἑξῆς συνεπέρανεν K: συνεπέρανε (ceteris omissis) LMt 27 βουληθείς K: οἰηθεὶς cod. Paris. 2063 29 οὖν Mt: δὲ K: om. L

www.libtool.com.cn

Ἱπποκράτους γεωμετρικοῦ ἐστι διαλῦσαι, ὡς φυλάττοντος τοῦ Ἱπποκράτους a 7r
τὰς γεωμετρικὰς ἀρχάς, τὸν δὲ Ἀντιφῶντος οὐκέτι διαλύσει ὁ γεωμέτρης, 30
ἐπεὶ ἀνῃρημένων τῶν γεωμετρικῶν ἀρχῶν οὕτω συνῆκται.

p. 185a17 Οὐ μὴν ἀλλ' ἐπεὶ περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ
5 ἀπορίας συμβαίνει λέγειν αὐτούς.

Εἰ καὶ περὶ φύσεως μὲν μηδὲν λέγουσιν οὗτοι οἱ ἄνδρες (οὐδὲ γὰρ κεχρημένοι ταῖς φυσικαῖς ἀρχαῖς, οὕτω συνελογίσαντο τὸ ὂν ἓν εἶναι καὶ ἀκίνητον), ἀλλ' οὖν ἐπεὶ συμβαίνει φυσικὰς ἀπορίας αὐτοὺς λέγειν (τῷ γὰρ ἓν εἶναι τὸ ὂν ὑποτίθεσθαι καὶ ἀκίνητον ἀναιροῦσι τὴν φύσιν, τῷ δὲ ἀναι-
10 ρεῖν τὴν φύσιν συμβαίνει φυσικὰς αὐτοὺς ἀπορίας λέγειν). ἀναγκαῖον, φησίν, ἐπὶ μικρὸν πρὸς αὐτοὺς διαλεχθῆναι, οὐχ ὡς τοῦ δόγματος δεομένου τινὸς λόγου καὶ ἀγῶνος, ἀλλὰ διὰ τὸ τῶν προσώπων ὑπειλημμένον· πολλάκις γὰρ διὰ τὴν ἀξιοπιστίαν τῶν προσώπων καὶ τὰ πάνυ σαφῆ ἀμφίβολα δοκεῖ τοῖς πολλοῖς. ἔχει δὲ καὶ ἄλλως αὐτὴ καθ' αὑτὴν ἡ περὶ τούτων σκέψις 35
15 τινὰ φιλοσοφίαν, τουτέστι καὶ αὐτὸ καθ' αὑτὸ ζητῆσαι περὶ τῶν ὄντων, πότερον ἕν ἐστιν ἢ πολλά, ἁρμόζοι ἂν τῇ πρώτῃ καὶ ἀνυποθέτῳ φιλοσοφίᾳ.

p. 185a20 Ἀρχὴ δὲ οἰκειοτάτη πασῶν.

Διαστειλάμενος ἐν τοῖς προλαβοῦσι πρὸς τίνας ἐστὶ τοῦ φυσικοῦ δια-
20 λεχθῆναι, πρὸς τίνας δ' οὔ, καὶ εἰπὼν ὅτι πρὸς τοὺς περὶ Παρμενίδην καὶ 40
Μέλισσον οὐκ ἔστι φυσικοῦ τὸ διαλέγεσθαι, διότι ἀναιροῦσιν οὗτοι τὰς φυσικὰς ἀρχὰς λέγοντες ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον· εἶτα εἰπὼν ὅτι εἰ καὶ μὴ φυσικοῦ τὸ πρὸς τούτους διαλέγεσθαι, ἀλλ' οὖν * ἔχει τινὰ φιλοσοφίαν ἡ σκέψις, οὐ χεῖρον ἐπὶ σμικρὸν διαλεχθῆναι πρὸς αὐτούς, καὶ
25 ἄλλως διότι κἂν μὴ περὶ φύσεώς τι λέγωσιν, ἀλλ' οὖν [ἐπειδὴ] φυσικὰς

---

1 ἱπποκράτους (priore loco) t: ἱππ κτ' K: ἱπποκράτην LM ἐστι] εἶναι K φυλάσσοντος L 3 οὗτος cod. Paris. 2063 4 lemma om. K ἐπειδὴ Aristoteles 5 αὐτοῖς Aristoteles (praeter cod. I) 6. 8 Εἰ καὶ — ἀπορίας αὐτοὺς λέγειν om. Mt 6 Εἰ] οἱ (ο rubrica) K οὗτοι L: αὐτοὶ K 7 συνελογίζοντο K 8 αὐτοὺς ἀπορίας ad v. 10 aberrans K 8. 10 τῷ γὰρ — λέγειν LMt: ἂν (ita in fine versus) γὰρ αἱ ἀπορίαι τὸ ὑποκείμενον ἀναιρεῖν ἐπιχειροῦσι καὶ ἐλέγχειν K 11 σμικρὸν (ut v. 24) K 12 προσώπων (marg. τῶν προβλημάτων) L: προσόπων t 12. 13 ὑπειλημμένον — προσώπων K: om. LMt de voce ὑπειλημμένον cf. q 7 v 3 14. 16 ἔχει — φιλοσοφίᾳ om. K 14. 15 ἔχει — τινὰ φιλοσοφίαν tamquam lemma t 14 καὶ om. superscr. L 15 καθ' αὑτὸ τὰ L: fort. καθ' αὑτὸ τὸ 16 ἁρμόζοι ἂν L: ἁρμόζει Mt 18 lemma om. K 19 ὡς πρὸς L. quod si verum est, utrobique (19 et 20) legas πρός τινας. at cf. p. 26, 25 20 τοὺς περὶ LMt: τὸν K 21 διαλέγεσθαι] διαλεχθῆναι L 22 ὅτι om. K 23 post ἀλλ' οὖν lacunam indicavi: ὅτι inserit L: equidem ἐπειδὴ praefero quod post alterum ἀλλ' οὖν (v. 25) perperam delatum uncis inclusi 23. 24 ἀπορίαν καὶ φιλοσοφίαν Mt 24 μικρὸν Mt 25 ἄλλως] ἁπλῶς L διότι om. Mt φύσεως λέγουσιν (om. τι) K

www.libtool.com.cn

ἀπορίας κινοῦσι τῷ ἀναιρεῖν τὰς φυσικὰς ἀρχάς· ταῦτα οὖν καὶ ἐν ἐκείνοις a 7r
εἰπών, ἐμβάλλει λοιπὸν ἐντεῦθεν εἰς τοὺς λόγους τοὺς πρὸς αὐτούς. πρὶν 45
δὲ πρὸς τὰ παρὰ τούτων λεγόμενα ἀπαντήσει, κοινῶς αὐτὸ καθ' αὑτὸ τὸ
πρόβλημα γυμνάζει. ἴδιον μὲν γάρ ἐστι τῆς πρὸς αὐτοὺς ἀντιλογίας πρὸς
5 αὐτοὺς τοὺς παρ' ἐκείνων λόγους ἀπαντῆσαι, δι' ὧν ἐκεῖνοι τὸ δόγμα κατα-
σκευάζειν ἐπιχειροῦσι, κοινῆς δέ ἐστι περὶ τοῦ προβλήματος σκέψεως τὸ
κοινῶς αὐτὸ καθ' αὑτὸ γυμνάσαι καὶ δεῖξαι εἴτε δυνατὸν οὕτως ἔχειν ἢ οὔ.
εἶτα δείξας τοῦτο, ἰδίως καὶ πρὸς τοὺς αὐτῶν ἀπαντήσεται λόγους· δεῖ
γὰρ τὰ προβλήματα καὶ αὐτὰ καθ' αὑτὰ γυμνάζειν, καὶ τὰς ἀπορίας τὰς 50
10 πρὸς αὐτὰ φερομένας ἐλέγχειν, ἵνα μὴ μένουσαι ταράττωσι τοὺς ἁπλουστέ-
ρους. διαιρέσει δὲ κέχρηται λέγων ποσαχῶς τὸ ἓν λέγεται, εἶτα δείκνυσιν
ὅτι κατ' οὐδὲν σημαινόμενον τοῦ ἑνὸς δυνατὸν λέγειν ἓν τὸ ὄν. τὸ οὖν ἕν,
φησίν, ἤτοι ὀνόματί ἐστιν ἓν ἢ πράγματι. λέγω δὲ ὀνόματι ἕν, ὥσπερ
ἂν εἴ τις τὸν ἀληθινὸν καὶ τὸν γεγραμμένον ἄνθρωπον ἓν λέγοι εἶναι, διότι
15 ἓν ἔχουσι τὸ τοῦ ἀνθρώπου ὄνομα, ἢ καὶ πάσας τὰς κατηγορίας ἕν, διότι
κοινὸν τὸ τοῦ ὄντος ἔχουσιν ὄνομα. τὸ οὖν ἓν ἤτοι ὀνόματί ἐστιν ἓν ἢ
πράγματι· καὶ εἰ πράγματι, ἢ τῷ καθόλου ἢ τῷ μερικῷ· καὶ εἰ τῷ καθόλου, a 7v
ἢ γένει ἢ εἴδει· γένει μέν, ὥσπερ ἂν ⟨εἰ⟩ εἴποι τις πάσας τὰς κατὰ μέρος
οὐσίας ἓν εἶναι, διότι κοινὸν ἔχουσι γένος τὴν οὐσίαν, εἴδει δέ, ὡς εἴ τις
20 τὴν λεύκανσιν καὶ τὴν μέλανσιν ἓν λέγοι, διότι κοινὸν ἔχουσι τὸ τῆς ἀλλοιώ-
σεως ὄνομα, μᾶλλον δὲ τὴν ἐν ψιμυθίῳ λεύκανσιν καὶ τὴν ἐν ἱματίῳ,
διότι κοινὸν ἔχουσιν εἶδος τὴν ἁπλῶς λεύκανσιν, ἢ τὰ λογικὰ πάντα ἓν
εἶναι λέγοι, διότι εἶδος τοῦ ζῴου ἐστὶ τὸ λογικόν. εἰ δὲ τῷ μερικῷ πράγματι 5
ἓν εἴη, ἤτοι ὡς συνεχὲς ἓν ἔσται, ὡς λέγομεν τὸ ξύλον ἓν εἶναι, ἢ ὡς ἀδιαί-
25 ρετον, ὡς τὸ σημεῖον καὶ ἡ μονάς, ἢ ὡς τῷ λόγῳ ἕν, ὡς τὰ πολυώνυμα,
οἷον λώπιον καὶ ἱμάτιον, καὶ ἄορ καὶ ξίφος· ταῦτα γὰρ τῷ λόγῳ ἕν ἐστι.
λαμβάνει οὖν τὸ ἕτερον μόριον τῆς διαιρέσεως τὸ τῷ πράγματι ἓν καὶ τούτῳ
ὡς καθόλου, καί φησιν ὅτι ταῦτα ἃ τῷ καθόλου λέγεται ἓν εἶναι ἤτοι οὐσία
ἐστὶ δηλονότι ἤ τι τῶν συμβεβηκότων ἢ ποσὸν ἢ ποιὸν ἢ ἄλλο τι. εἶτα
30 τὴν μὲν οὐσίαν ὑπερτίθεται ἐν τοῖς ἑξῆς (δείξει γὰρ ὅτι οὐδὲ ὡς οὐσία ἕν 10
τί ἐστι τὸ ὄν· οὕτω γὰρ τὴν τῶν συμβεβηκότων ἀναιρήσομεν φύσιν), νῦν
δὲ γυμνάζει μήποτε ὡς καθόλου τι τῶν συμβεβηκότων τὸ ὂν ἕν τί ἐστιν,

---

3 ὑπαντήσει Mt 7 εἴτε] ὅτι K ἢ οὔ LK: εἴτε καὶ μή Mt cf. b 3r 52, 3v 4 etc. 8 post τοῦτο (non post ἰδίως) distinguit t ἀπαντήσεται (compend.) K: ἀπαντῆσαι LM: ἀπαντήσει t 10 πρὸς αὐτὰ Mt: πρὸς αὐτὰς L: αὐτὰς K μενουσιταραττουσι (sic) K 11 δὲ LK: γὰρ Mt δείκνυσι (omisso ὅτι) K 12 λέγειν] λέγειγε visus sibi legere in M dedit λέγειν γε t ὄν] ὄν ἐστι K 14 τις] τῆς L λέγοι correxi: λέγει libri 15 τὸ τοῦ K: τοῦ LMt πάσας τὰς] πάσης L 15. 16 κατηγορίας — τὸ τοῦ ὄν- in ras. K 16 ἐστιν om. K 18 εἰ addidi εἴπη L 19 γένος τὴν οὐσίαν KMt: τὸ τῆς οὐσίας ὄνομα L 20. 21 ἀλοιώσεως K 21 ψιμμιθίω L: ψιμινθίω K 22 fort. ἢ εἰ 24 ἔσται] ἐστιν K 24. 25 ὡς τὸ ἀδιαίρετον K 25 τῷ] τὸ K 26 ἄωρ K ταῦτα — ἐστι recte om. L ἐστι] εἶναι K 27 οὖν καὶ τὸ K τὸ (ante τῷ) om. L 28. 29 ἤτοι — δηλονότι om. L 29 ἤ τι] ἤτοι L 30 δείξας L οὐδὲ ὡς LK: ὡς οὐδὲ Mt

www.libtool.com.cn

οἷον ποσόν· τῷ γὰρ ποσὰ εἶναι πάντα, οὕτω κατὰ τὸ καθόλου ἕν τι εἶναι a 7v
ποσὸν λέγεται τὸ ὄν. πρὶν δὲ τοῦτο ἐλέγξει, ἐν μέσῳ παρεμβάλλει ὅτι οὐδ'
ὀνόματι δυνατὸν ἓν εἶναι λέγειν τὸ ὄν· οἷον πολλὰ μὲν εἶναι οὐσίαν τε καὶ
συμβεβηκότα, τῷ δὲ πάντα ὄντα λέγεσθαι οὕτως ἓν λέγεσθαι εἶναι τὸ ὄν.
5 ἀλλ' εἰ τοῦτο, φησίν, ἐναργῶς πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν· οὐδὲ γὰρ ἄν,
φησίν, εἴποι τις τὰ τῷ πράγματι πολλὰ διὰ τὸ ὀνόματος κοινοῦ μετέχειν 15
ἓν εἶναι. τοῦτο οὖν ζητεῖ, εἰ δυνατὸν ποσὰ εἶναι πάντα, καὶ οὕτω διὰ τὸ
γένος ἓν λέγεσθαι πάντα. τούτῳ γάρ, φησί, τῷ ποσῷ ἤτοι συνυφέστηκεν
ἡ οὐσία ἢ οὔ· καὶ εἰ μὲν οὐ συνυφέστηκεν, ἔσται αὐθυπόστατον τὸ ποσόν,
10 ὅπερ ἀδύνατον (ἐν γὰρ τῇ οὐσίᾳ τὰ συμβεβηκότα τὸ εἶναι ἔχουσιν), εἰ δὲ
συνυφέστηκεν, ἤτοι τῆς αὐτῆς οὔσης ἐννοίας τοῦ ποσοῦ καὶ τῆς οὐσίας καὶ
ἕν τι πρᾶγμα σημαινόντων διαφόροις ὀνόμασιν, ἢ ἑτέρας μὲν οὔσης τῆς
οὐσίας, ἑτέρας δὲ τοῦ ποσοῦ. εἰ μὲν οὖν ἡ αὐτὴ οὐσία ποσοῦ καὶ οὐσίας, 20
τὰ ἀσύγκλωστα συγκλώσουσιν εἰς ταὐτὸν ἄγοντες τῷ συμβεβηκότι τὴν οὐσίαν,
15 εἰ δὲ ἕτερον ἡ οὐσία παρὰ τὸ ποσόν, πάλιν πολλὰ τὰ ὄντα. ταῦτα εἰπών,
ἐφεξῆς δείκνυσιν ὅτι οὐ μάτην ὑπέθετο αὐτοὺς ποσόν τι λέγειν τὸ ὄν. ὁ
γάρ τοι Μέλισσος, φησί, τὸ ὂν τοῦτο καὶ ἄπειρον εἶναί φησι, τὸ δὲ ἄπειρον
τοῦ ποσοῦ ἐστιν ἢ εἶδος ἢ μέρος, ἢ ὅπερ καὶ μᾶλλον πάθος τῶν καθ'
αὐτό. δύναται μὲν γάρ τις ὡς εἰδός τι τοῦ ποσοῦ αὐτὸ εἰπεῖν, λέγων 'τοῦ
20 ποσοῦ τὸ μέν ἐστιν ἄπειρον, τὸ δὲ πεπερασμένον', πάθος δ' ἂν εἴη μᾶλλον
τῶν καθ' αὑτό· οὐ γάρ ἐστιν ἁπλῶς τὸ ἄπειρον ποσόν, ἀλλὰ τῷ ποσῷ 25
ὑπάρχει. τὸ δὲ καθ' αὑτὸ διττόν, ὡς αὐτὸς ἐν τοῖς Ἀποδεικτικοῖς φησιν,
ἢ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται, ὥσπερ ἐν τῷ ὅρῳ τῆς
σιμότητος ἡ ῥίς· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί, καί ἐστι πάθος καθ'
25 αὐτὸ τῆς ῥινὸς ἡ σιμότης. ὁμοίως δὲ καὶ ἐν τῷ ὅρῳ τοῦ ἀρτίου ἢ τοῦ
περιττοῦ παραλαμβάνομεν τὸ ὑποκείμενον· λέγομεν γὰρ ὅτι ἄρτιόν ἐστιν
ἀριθμὸς δίχα τεμνόμενος. πάλιν τὸ χρεμετιστικὸν καθ' αὑτὸ τῷ ἵππῳ ὑπάρ-
χει· παραλαμβάνεται γὰρ ἐν τῷ τοῦ ὑποκειμένου ὅρῳ· ἵππος γάρ ἐστι, 30
φαμέν, ζῷον ἄλογον χρεμετιστικόν. καὶ τοῦ κύκλου πάθος τὸ ἴσας εἶναι
30 τὰς ἀπὸ τοῦ κέντρου, εἴπερ ἐν τῷ ὅρῳ τοῦ κύκλου παραλαμβάνεται· σχῆμα
γάρ ἐστιν ἐπίπεδον τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς
σημείου τῶν ἐντὸς πᾶσαι αἱ προσπίπτουσαι ἴσαι ἀλλήλαις εἰσί. καὶ τὸ

---

3 δυνατὸν om. et mox λέγειν K (εἰ) 5 τὰ] τὲ L 6 εἴπη L (οι) 7 πόσα K

8 ἓν εἶναι λέγεσθαι K 9 ἡ] ἢ M ἀνθυπόστατον L 11 αὐτῆς Mt: αὐ K (το): αὐτοῦ L τοῦ] καὶ τοῦ K 13 οὐσία libri: immo ἔννοια ποιοῦ L
15 εἰ] ἡ K 16 δείκρυσιν (sic) K 16. 17 ὁ γὰρ κτλ.] cf. Aristot. p. 185a32
17 φησι (post εἶναί) om. L 18 ἐστιν] εἶναι K ὅτιπερ K 19 αὐτό Mt: αὐτόν L: ωαὐτὸ (immo ἑαυτό) K 20 ἐστιν ἄπειρον L: εἶναι ἄπειρον K: ἄπειρόν ἐστι Mt 21 τῶν] τοῦ K τῷ] τὸ ante correctionem K 22 δὲ] δ' αὖ K Ἀποδεικτικοῖς] Anal. Post. A 22 p. 84a12 23 ante ἡ οὗ excidisse puto ἢ ὃ ἐν τῷ τοῦ ὑποκειμένου ὁρισμῷ παραλαμβάνεται 24. 25 καθ' αὐτὸ πάθος Mt
27 χρεμετιστικῶ K 27. 28 καθ' — παραλαμβάνεται in ras. L 28 ἐν τῶ ὑποκειμένω K 28 et 31 γὰρ εἶναι K 32 τῶν ἐντὸς] τοῦ ἑνὸς L προσπίπτουσαι εὐθεῖαι ἴσαι Mt

www.libtool.com.cn

ἄπειρον οὖν καθ' αὑτὸ τῷ ποσῷ ὑπάρχει, διότι ἐν τῷ ὅρῳ αὐτοῦ τὸ ὑπο- a 7v
κείμενον παραλαμβάνεται, λέγω δὴ τὸ ποσόν· φαμὲν γὰρ ἄπειρον εἶναι ποσὸν
ἀδιεξίτητον. εἰ τοίνυν τὸ ὂν ἄπειρον εἶναι ἔλεγεν ὁ Μέλισσος, τὸ δὲ ἄπειρον 35
τοῦ ποσοῦ ἐστι καθ' αὑτό, τὸ ὂν ἄρα ποσόν τι ἔλεγε. κἂν γὰρ λέγηται
5 ἄλλο τι εἶναι ἄπειρον, κατὰ συμβεβηκὸς λέγεται εἶναι τῷ μετέχειν τοῦ
ποσοῦ· ὥσπερ κἂν τὸ λευκὸν ἢ τὸ μέλαν λέγηται πολύ, οὐ καθ' αὑτὸ λέ-
γεται, ἀλλὰ κατὰ συμβεβηκὸς τῷ πολλὴν εἶναι τὴν ἐπιφάνειαν ἐν ᾗ ἐστι
τὸ χρῶμα. ὡς αὐτὸς ἐν Κατηγορίαις εἶπεν. οὕτως οὖν κἂν οὐσία λέγηται
ἄπειρος, οὐ καθ' αὑτήν ἐστιν ἄπειρος· οὐδενὶ γὰρ τῶν τοῦ καθ' αὑτὸ ὅρων
10 ὑποπίπτει. οὔτε γὰρ ἐν τῷ ὁρισμῷ τοῦ ἀπείρου ἡ οὐσία παραλαμβάνεται, 40
οὔτε ἐν τῷ αὐτῆς ὁρισμῷ τὸ ἄπειρον παραλαμβάνει. ὥστε οὐ καθ' αὑτὸ
ἄπειρος ἡ οὐσία, ἀλλὰ κατὰ συμβεβηκὸς τῷ μετέχειν ποσοῦ, ᾧ καθ' αὑτὸ
τὸ ἄπειρον ὑπάρχει. εἰ τοίνυν ἔλεγεν ὁ Μέλισσος τὸ ὂν ἄπειρον εἶναι,
ἄπειρον δὲ καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός (οὕτω γὰρ οὐχ ἓν ἔτι τὸ ὄν,
15 εἰ συμβέβηκέ τινι), δῆλον ὅτι ποσὸν αὐτὸ ὑπετίθετο εἶναι. ὥστε οὐ μάτην
ὑπεθέμεθα ποσὸν αὐτοὺς λέγειν τὸ ὄν.

Ἀρχὴ δὲ οἰκειοτάτη πασῶν, ἐπεὶ πολλαχῶς λέγεται τὸ
ὄν, πῶς λέγουσιν οἱ λέγοντες ἓν εἶναι τὰ πάντα. ἐπειδὴ τὸ ὄν,
φησί, πολλαχῶς λέγεται, οἰκειοτάτη ἂν εἴη ἀρχὴ ἐκθέσθαι τε τὰ σημαι- 45
20 νόμενα τοῦ ὄντος καὶ ἔρεσθαι αὐτούς· ποῖον τῶν σημαινομένων τοῦ ὄντος
φατέ; πάλιν δέ, ἐπεὶ τὸ ἓν πολλαχῶς λέγεται, πῶς φασι τὸ ὂν τοῦτο ἓν
εἶναι. τῷ γὰρ ὄντι οἰκειοτάτη ἀρχὴ ἐπὶ παντὸς οὑτινοσοῦν προβλήματος
τὰς χυρίας εὑρίσκειν τῶν λεγομένων σημασίας, καὶ διαστέλλειν τὸ προκεί-
μενον ἀπὸ τῶν ὁμωνύμως αὐτῷ λεγομένων· αἰτία γὰρ πλείστης πλάνης
25 τοῖς ἀνθρώποις ἡ ὁμωνυμία γίνεται. συνέπλεξε δὲ ὁ Ἀριστοτέλης ἀμφο-
τέρας τὰς διαιρέσεις τήν τε τοῦ ἑνὸς καὶ τὴν τοῦ ὄντος· διαιρῶν γὰρ
εἰς τὴν οὐσίαν καὶ τὰ συμβεβηκότα τὸ ὄν, εὐθὺς διαιρεῖ καὶ εἰς τὰ 50
γένη καὶ τὰ εἴδη καὶ τὰ ἄτομα. τὸ δὲ ἐφεξῆς, τὸ "ἔτι ἐπεὶ καὶ αὐτὸ
τὸ ἓν πολλαχῶς λέγεται", οὐκ ἔστιν ἁπλῶς τοῦ ἑνὸς καθόλου διαίρεσις,

---

1 τῷ ποσῷ καθ' αὑτὸ L 2 παραλλαμβάνεται M 3 τὸ ὂν K: καὶ τὸ ὂν LMt: fort. τὸ ὂν καὶ εἶναι ἔλεγεν LK: ἔλεγεν (primitus ἓν . . . M) εἶναι Mt 4 καθ' αὑτό ἐστι τοῦ ποσοῦ Mt 5 ἄλλο τι ἐστὶν K τῷ] τὸ L 8 Κατηγορίαις c. 6 p. 5b1 ubi πολὺ τὸ λευκὸν λέγεται τῷ τὴν ἐπιφάνειαν πολλὴν εἶναι οὐσίᾳ t 11 αὐτῆς scripsi: αὐτῆς libri 12. 13 ἀλλὰ — ὑπάρχει iterat L 15 ὑποτίθετε K 17 ἀρχὴ — πασῶν om. K 17. 18 ἐπεὶ — πάντα (quae unum versum efficiunt in M) om. t qui verba ἐπειδὴ — ὄν, πῶς — ἓν εἶναι τὰ πάντα lemmati addiderat p. 32,18 17 ἐπεὶ LKM: ἐπειδὴ Aristoteles (praeter pr. E) 18 ὄν] ἓν (sic) K ὄν, ἰδεῖν πῶς Aristotelis cod. E (ubi πῶς ex ὡς), at cf. Simplic. p. 122,6 ἓν εἶναι τὰ πάντα LM: τὰ πάντα ἓν εἶναι K: cf. Aristot. 19 τε om. L 21 φατέ K: φα M: φασί t: φησὶ L φασι] compend. φα M: fort. φατε 22 ἐπὶ LK: ἐστι Mt 23 κυρίας] κακίας K λεγομένων LK: σημαινομένων Mt δημοσίας K 26 τὴν (post καὶ) om. LK 26. 27 διαιρῶν — συμβεβηκότα om. L 27 καὶ εἰς τὰ συμβεβηκότα K 28 γένη καὶ (καὶ εἰς L) τὰ εἴδη LK: εἴδη καὶ τὰ γένη Mt ἐφεξῆς p. 185b5 29 τοῦ ἑνὸς] τοῦ ἓν dedit t hoc ipsum sibi in M legere visus

www.libtool.com.cn

ἀλλὰ τοῦ μάλιστα κυρίως ἑνός, τουτέστι τοῦ ἀτόμου· καὶ τοῦτο γὰρ διαιρεῖ a 7v
εἰς τὸ συνεχὲς καὶ τὸ ἀδιαίρετον καὶ τὸ τῷ λόγῳ ἕν.

p. 185a22 Πότερον ὡς οὐσίαν ἅπαντα ἢ ποσὰ ταῦτα ἢ ποιά. |

Τινὲς ὑπέλαβον διὰ τούτων τὸ καθόλου μόριον τῆς διαιρέσεως αὐτὸν a 8r
5 ἐκτίθεσθαι, καὶ διὰ μὲν τοῦ εἰπεῖν πότερον ὡς οὐσίαν ἅπαντα ἢ ποσὰ ἄττα ἢ ποιά, τὸ κατὰ γένος ἓν λέγειν, διὰ δὲ τοῦ καὶ πάλιν πότερον οὐσίαν, μίαν δὲ πάντα, οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα, τὸ κατὰ τὸ εἶδος ἕν· τὸ γὰρ μερικὸν μετ' ὀλίγα ἐκτίθεσθαι ἔνθα λέγει· "λέγεται δὲ ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ οὗ ὁ λόγος ὁ αὐτός". ἡμεῖς δέ φαμεν
10 ὅτι, ἐπειδὴ ὅταν ἀκούσωμεν ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα εὐθὺς ἡ διάνοια 5
ἡμῶν εἰς τὸ μερικὸν ἀναφέρεται, διὰ τοῦτό φαμεν ὅτι διὰ μὲν τοῦ πότερον ὡς οὐσίαν πάντα ἢ ποσὰ ἄττα ἢ ποιὰ τὸ καθόλου αὐτὸν ἐκτίθεσθαι κοινῶς, τό τε κατὰ τὸ γένος καὶ τὸ κατὰ τὸ εἶδος, διὰ δὲ τοῦ οἷον ἄνθρωπον ἕνα ἢ ἵππον ἕνα τὸ μερικόν· ἐφεξῆς δέ, ὥσπερ ἤδη εἶπον, αὐτὸ
15 τὸ μερικὸν διαιρεῖ.

p. 185a26 Ταῦτα γὰρ πάντα διαφέρει τε πολὺ καὶ ἀδύνατα λέγειν.

Τὰ ἀπηριθμημένα, φησί, ἥ τε οὐσία, φημί, καὶ τὸ συμβεβηκός, καὶ τῆς 12
οὐσίας ἥ τε καθόλου καὶ ἡ μερική, ὁμοίως δὲ τὸ ποσὸν καὶ ποιὸν καὶ τὰ λοιπὰ συμβεβηκότα, πλεῖστόν τε διαφέρουσιν ἀλλήλων καὶ ἕκαστον αὐτῶν λέγειν
20 ὑποτιθεμένων τῶν περὶ Παρμενίδην, ἀδύνατα πάντως ἕψεται τῇ ὑποθέσει.

p. 185a27 Εἰ μὲν γὰρ ἔσται καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν.

Ἐντεῦθεν, ὅπερ ἤδη εἶπον, μεταξὺ παρεμβάλλει τὴν ὑπόθεσιν ὀνόματι 15
ἓν εἶναι τὸ ὄν, ὥσπερ αἱ δέκα κατηγορίαι καθ' αὑτὸ τὸ ὂν ἓν εἰσιν, ὀνόματι μόνῳ τὸ ἓν ἔχουσαι. φησὶν οὖν ὅτι εἰ τὸ ὄν, ὅπερ καὶ ἓν ὑποτίθεν-
25 ται, λέγουσιν αὐτὸ καὶ οὐσίαν καὶ ποσὸν εἶναι καὶ τὰς ἄλλας κατηγορίας,

1 τοῦ L διαιρεῖται K 3 ὡς om. t et Aristotelis cod. E οὐσία M ἅπαντα (at cf. v. 12) LKM et Aristotelis cod. E: τὰ πάντα t et ceteri Aristot. libri ταῦτα om. t Aristoteles: fort. ἄττα ut infra v. 6 et 12 4 ὑπέλαβον διὰ τῶν τοῦ καθόλου μορίων τοῦτο τὸ μόριον K αὐτὸ LK 5 πότερον om. L 6 ἄττα primitus M: ἄττα cett. 7 δὲ πάντα libri (et Aristotelis cod. E): τὰ πάντα vel δὲ τὰ πάντα ceteri Aristot. libri 8 λέγει p. 185b7 9 τὸ διαδιαίρετον K οὗ] ὧν Aristoteles 10. 11 διάνοια μὲν ἡμῶν K 12 ἄττα libri αὐτῶν K ἐκτίθεσθαι] de infinitivo post ὅτι cf. exempli causa c 1 r 5, 6 r 23 al. 13 τὸ (post utrumque κατὰ) om. K τοῦ K: τοῦτο LMt 14 ἤδη om. K 15 ὑποδιαιρεῖ K 16 ταῦτα τὰ γὰρ M καὶ ἀδύνατα λέγειν om. K 17 ἥ τε οὐσία, φημί om. Mt 18 ἡ (post καὶ) om. L καὶ τὸ ποιὸν K 19. 20 λέγειν ὑποτιθεμένων τῶν Mt: ὑποτιθεμένων (ὑποτιθεμένων L) λέγειν τοὺς LK: num καὶ εἰ ἕκαστον αὐτῶν ὑποτιθεμεθα λέγειν τοὺς? 21 οὐσίας compend. K ποσὸν καὶ ποιὸν Aristotelis libri (praeter E), at cf. p. 38.3 et Diels s. Parmenid. p. 13 22 εἶπον p. 34.2 τὴν ὑπόθεσιν τὴν λεγομένην Mt 24 ἄλλας (omisso τὰ) K

www.libtool.com.cn

εἴτε ἀπολελυμένα ταῦτα καὶ χωριστὰ εἶναι ἀλλήλων ὑποτίθενται, εἴτε ἐν a 8r
ἀλλήλοις εἶναι (ὥσπερ οὖν καὶ τὸ ἀληθὲς ἔχει τὰς ἄλλας ἐν τῇ οὐσίᾳ τὸ
εἶναι ἔχειν), ἀμφοτέρως συμβαίνει πολλὰ εἶναι φύσει τὰ ὄντα, μόνου δὲ τοῦ
ὀνόματος κοινωνεῖν ἀλλήλοις καθὸ πάντα ὄντα λέγονται. ὥστε ὀνόματι μόνον
5 τὸ ἕν, οὐ πράγματι. εἰ δὲ ἅπαντα ποιὸν ἢ ποσόν. ἀνατρέχει ἐπὶ τὸ
ἕτερον τῆς διαιρέσεως μόριον τὸ ὑποτιθέμενον τῷ πράγματι ἕν, τῷ πράγματι
δὲ ἢ ὡς συμβεβηκὸς ἓν ἢ ὡς οὐσίαν· ἀλλὰ νῦν, ὡς εἶπον, τὸν μὲν τῆς
οὐσίας ὑπερτίθεται λόγον, τὸν δὲ τοῦ συμβεβηκότος γυμνάζει. εἰ οὖν ἕν τι
εἴη τῶν συμβεβηκότων, φησί, τὸ ὂν τοῦτο, οἷον ποσόν, κἂν τε ὑποθῶνται
10 συνυφεστάναι αὐτῷ τὴν οὐσίαν κἂν τε μή, ἄτοπος ὁ λόγος. εἰ μὲν γὰρ
συνυφέστηκεν, οὐκέτι ἓν τὸ ὄν, ἀλλὰ πολλά· εἰ δὲ μὴ συνυφέστηκεν, ἀλλὰ
καθ' αὑτὸ ὑπάρχει τὸ ποσόν, ἔσται χωριστὸν τῆς οὐσίας τὸ συμβεβηκός,
ὅπερ οὐ μόνον ἄτοπόν ἐστιν ἀλλὰ καὶ ἀδύνατον. διὸ καὶ αὐτὸς εἰπὼν
ἄτοπον, ἐπήγαγεν εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον [ἐπίτασίς ἐστι
15 τοῦ ἀτόπου τὸ ἀδύνατον]. τῷ μὲν γὰρ ἀτόπῳ τὸ εὔλογον ἀντίκειται· ἄτοπον
γάρ ἐστιν ὃ μὴ ἄν τις τοπάσειε διὰ τὸ μὴ ἔχεσθαι λόγου καὶ ἀκολουθίας
τινός· τῷ οὖν ἀτόπῳ τὸ εὔλογον ἀντίκειται, τῷ δὲ ἀδυνάτῳ τὸ ἀναγκαῖον.
ἐπίτασις δέ ἐστι τοῦ ἀτόπου τὸ ἀδύνατον· τὸ μὲν γὰρ ἄτοπον ἴσως ἄν
ποτε καὶ γένοιτο (οἷον οὐδεὶς ὑπονοήσειε πάντας ἀνθρώπους λούεσθαι· τὸ
20 οὖν τοῦτο ὑπονοεῖν ἔστι μὲν ψεῦδος, οὐκ ἀδύνατον δέ), τὸ δὲ ἀδύνατον
καὶ ψεῦδός ἐστι καὶ ἀδύνατον, οἷον εἴ τις εἴποι τὸν ἄνθρωπον πτερωτὸν
εἶναι· τοῦτο γὰρ ἐπιτεταμένον ἐστὶ ψεῦδος, διότι πρὸς τῷ ψεύδει καὶ τὸ
ἀδύνατον ἔχει.

p. 185a31 Οὐδὲν γὰρ τῶν ἄλλων χωριστόν ἐστι παρὰ τὴν οὐσίαν.

25 Τοῦτο τὸ ἄτοπον ὡς τῇ ὑστέρᾳ ὑποθέσει ἀκολουθοῦν ἐπήγαγε τῇ ὑπο-
τιθεμένῃ εἶναι τὸ ποσὸν μὴ οὔσης οὐσίας, τὸ δὲ τῇ ἄλλῃ ὑποθέσει ἀκο-

---

1 εἶτα (priore loco) K ὑποτίθοιντο L εἴτε καὶ ἐν Mt 2 οὖν om. K de verbi ἔχειν usu cf. c 4r45 3 ἀμφο$^{\tau\rho}$ L: ἀμφοτέρων K τῇ φύσει Mt μόνον L δὲ om. K 4 κοινωνεῖν K: κοινωνῶν L: κοινωνεῖ Mt λέγεται K ὥστε καὶ Mt 4. 5 μόνον — ποσόν om. K 5 ἅπαντα L: πάντα Mt et Aristotelis cod. E ante corr. 5. 6 τὸ ἕτερον om. K 6 ἕν Mt: ἐν LK 6. 7 τῷ πράγματι δὲ om. Mt 7 ὡς εἶπον p. 33,30 7. 8 τὸ μὲν τῆς οὐσίας ὑποτίθεται εἶναι, τὸ δὲ τοῦ συμβεβηκότος (om. γυμνάζει) K 9 φασὶ L ὑπόθωνται Mt 10 συνυφαστάναι K αὐ$^{\tau o}$ L 13 ὃ in fine et ὅπερ in principio insequentis versus K ἐστιν] εἶναι K 13. 14 εἰπὼν ἄτοπον om. K 14 sqq. cf. Simplic. p. 75,10 sqq. 14. 15 ἐπίτασίς — ἀδύνατον delevi 14 ἐπίτασίς K: ἐπίτασις δέ L: ἐπίτασις γάρ Mt 15. 17 ἄτοπον γάρ — εὔλογον ἀντίκειται om. et post τὸ ἀναγκαῖον ponit καὶ ἄτοπον μὲν ὃ μὴ ἄν τις τοπάσιεν (sic) διὰ τὸ μὴ ἔχεσθαι λόγον (sic) καὶ ἀκολουθείας τινός concinnius K ubi mox τὸ δὲ ἀδύνατον ἐπίτασις ἐστὶ τοῦ ἀτόπου K 19 ὑπονοήσειε LK: ὑπονοήσει$^{\sigma}$ M: maluit ὑπονοήσει scribere quam ἂν addere t 21 εἴ τις εἴπη (εἴποι K) KMt: εἰ εἴποι τις L 21. 22 εἶναι πτερωτόν L 22 ἐπιτεταγμένον L: ἐπὶ τεταμένον t 24 χωριστόν — οὐσίαν om. K 26 εἶναι LK: εἶναι ἓν Mt

www.libtool.com.cn

λουθοῦν οὐκέτι προσέθηκε, λέγω δὴ τῇ ὑποτιθεμένῃ συνυπάρχειν τῷ ποσῷ a 8r
τὴν οὐσίαν. λέξει μὲν οὖν καὶ ἐφεξῆς, ἤδη δὲ καὶ ἔφθη αὐτὸ εἰρηκὼς
προσεχῶς· "εἰ μὲν γὰρ ἔσται" φησί "καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν, καὶ
ταῦτα εἴτε ἀπολελυμένα ἀλλήλων εἴτη μή, πολλὰ τὰ ὄντα". κἀνταῦθα γάρ,
5 εἰ συνυπάρχει τῷ ποσῷ ἡ οὐσία, πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν, καὶ τὰς
ἑαυτῶν ἀναιροῦσιν ὑποθέσεις. πάντα γὰρ καθ' ὑποκειμένου λέγεται
τῆς οὐσίας. τὸ καθ' ὑποκειμένου ὃ νῦν εἶπεν ἀντὶ τοῦ ἐν ὑποκειμένῳ
εἴρηκεν.

p. 185a32 Ὁ Μέλισσος δὲ τὸ ὂν ἄπειρόν φησιν εἶναι· ποσὸν 40
10 ἄρα τὸ ὄν· τὸ γὰρ ἄπειρον ἐν τῷ ποσῷ.

Ἐπειδὴ ὑπέθετο μήποτε πάντα οὐσίαν μὲν οὐ λέγουσιν εἶναι, ποιὸν δὲ
ἴσως ἢ ποσόν, βούλεται δεῖξαι διὰ τούτων, ὅτι οὐ μάτην ὑπέθετο αὐτοὺς 45
ἢ ποιὸν ἢ ποσὸν λέγοντας τὸ ὄν. ἐκ γὰρ τῶν Μελίσσου, φησί, λόγων ἔστι
δεῖξαι ὅτι τὸ ὂν ὅπερ ἔλεγε ποσὸν αὐτὸ ὑπετίθετο· ἄπειρον γὰρ αὐτὸ
15 ἔλεγε. τὸ δὲ ἄπειρον τῷ ποσῷ καθ' αὑτὸ ὑπάρχει. οὐσίαν δέ, φησίν, ἢ
ποιότητα ἢ ἄλλο τι ἄπειρον εἶναι καθ' αὑτὸ ἀδύνατον, εἰ μὴ κατὰ συμ-
βεβηκὸς τῷ μετέχειν τοῦ ποσοῦ, ὥσπερ καὶ τὸ λευκὸν πολὺ λέγομεν οὐ
καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς τῷ ἐν πολλῇ ἐπιφανείᾳ εἶναι.

Ζητητέον δὲ πῶς φησιν μὴ ὑπάρχειν ἐν τῇ οὐσίᾳ τὸ ἄπειρον, εἰ μὴ κατὰ
20 συμβεβηκὸς τῷ μετέχειν τοῦ ποσοῦ, οὐ πάθος ἐστὶ καθ' αὑτὸ τὸ ἄπειρον.
εἰ γὰρ τὸ σῶμα οὐσία ἐστίν, ὅρος δὲ τούτου τὸ τριχῇ διαστατόν, μέγεθός 50
τι ἄρα καὶ ποσὸν τὸ σῶμα· εἰ δὲ τοῦτο, καὶ τὸ ἄπειρον ἄρα καὶ τὸ πεπερα-
σμένον καθ' αὑτὸ αὐτῷ ὑπάρξει. καὶ ἄλλως εἰ τρία εἴδη τοῦ μεγέθους τὸ
μοναχῇ τὸ διχῇ τὸ τριχῇ διαστατόν, τουτέστι γραμμὴ ἐπιφάνεια σῶμα, τὸ δὲ
25 σῶμα οὐσία ἐστίν, ἔστιν ἄρα τὸ μέγεθος οὐσία. ὥσπερ ἐπὶ τῶν ποιοτήτων
εἰσὶ μέν τινες οὐσιώδεις, ὁποῖαί εἰσιν ἐν τοῖς στοιχείοις, εἰσὶ δὲ καὶ ἐπου-
σιώδεις καὶ κατὰ συμβεβηκὸς ὑπάρχουσαι, οἷαί εἰσιν ἐν τοῖς ἡμετέροις a 8v

---

1 προσέθηκε LK: ἐπιφέρει Mt 2 λέγει Mt δὲ om. K 3 καὶ ποσὸν καὶ ποιὸν (cf. ad p. 36.21) Mt 4 ἐπ' ἀλλήλων Aristoteles εἴτε μή LK Aristot.: εἴτε καὶ μή Mt 4. 5 γαρ εἰσιν· ὑπαρχει K 5 ἡ οὐσια τῷ ποσῷ Mt 6. 7 τῆς οὐσίας λέγεται Arist. cod. E 7. 8 τὸ — εἰρηκεν om. K 7 τοῦ] τῷ t 9 0 om. t cum Aristotele (praeter cod. P) 9. 10 τὸ ὂν — ποσῷ om. K 9 φησιν εἶναι (cf. o 5v40) L: εἶναι φησιν (cf. p. 34.17) Mt et Aristot. cod. E 10 ἄρα] ἄρα τι ex Aristot. t et ipse Philoponus o 5v41 12 διὰ τουτων δεῖξαι Mt 12. 14 ὅτι οὐ — δεῖξαι om. Mt 13. 14 ἔστι δεῖξαι scripsi: ἐπιδεῖξαι L: ἔσται δεῖξαι K 14 ἔλεγε (post ὅπερ) L: ἔλεγεν K et, ut videtur, M: ἔλεγον t ὑπετίθετο K: ὑπετίθεντο L: ὑπετίθεντο Mt 15 ἔλεγε L: ἔλεγεν K: ἔλεγον Mt αὐ (ante ὑπαρχει) M: αὐτὸν t 16 καθ' αὑτὸ (post εἶναι) malim abesse 17 ὥσπερ κτλ.] cf. p. 35.7 sq. 19 ὑπαρχει L 21 τουτου] τοπου L 22 τὸ (ante πεπερασμενον) om. Mt 23 αὐτῷ] αὐτὸ K ἔλλος K 25 ἄρα ἐστι τὸ L ὥσπερ] fort. ὡς γὰρ vel ὥσπερ γὰρ 26 ποιοτα t ante ἐν addunt τι Mt et corr. L: τι K 26. 27 ἐπι σοιωδεις (sic) L 27 οἷαί εἰσιν αἱ ἐν K

www.libtool.com.cn

σώμασι λευκότητες μελανίαι θερμότητες αἱ ἐπιγινόμεναι ἔξωθεν καὶ ψύξεις, a 8v
οὕτως ἔστι τι καὶ οὐσιῶδες ποσόν, ὅπερ πρώτως εἰδοποιεῖ τὴν ὕλην, ὅπερ
ἐστὶ καὶ τοῦ σώματος χαρακτηριστικόν. ἰδίας μὲν οὖν ἐστι θεωρίας τὸ περὶ
τούτων ἀκριβέστερον διεξιέναι, εἴτε τῷ ὄντι οὐσιῶδές ἐστι τὸ τριχῇ τοῦ
5 σώματος διαστατὸν καὶ αὐτὸ οὐσία τίς ἐστιν ἐν διαστάσει καὶ μεγέθει χα-
ρακτηριζομένη, εἴτε μή· ἐπιλυόμενοι δ' ὅμως τὴν ἀπορίαν φαμὲν ὅτι πρῶτον 5
μέν, εἰ κατὰ Ἀριστοτέλην μὴ ἁπλοῦν τί ἐστι τὸ σῶμα, ἀλλὰ καὶ αὐτὸ ἐξ
ὕλης τῆς πρώτης καὶ τοῦ ποσοῦ, τουτέστι τοῦ τριχῇ διαστατοῦ, συνέστηκε,
δῆλον ὅτι οὐκ ἔστιν ἁπλῶς ποσὸν τὸ σῶμα. καὶ ἄλλως ἡ οὐσία οὐκ ἔστι
10 φωνὴ ὁμώνυμος (γένος γάρ ἐστιν), ἀλλ' ὥσπερ τὸ ζῷον σημαίνει κοινήν
τινα φύσιν ἑκάστῳ τῶν μερικῶν ὑπάρχουσαν ζῴων (λέγω δὴ τὸ ἔμψυχον
αἰσθητικόν), οὕτω καὶ ἡ οὐσία δηλοῖ τὸ αὐθυπόστατον· αὐθυπόστατοι γὰρ
αἱ σωματικαὶ οὐσίαι καὶ αἱ ἀσώματοι. οὐκοῦν εἰ ἡ οὐσία ἐστὶ τὸ αὐθυ-
πόστατον, τὸ δὲ αὐθυπόστατον οὐ ποσόν, τὸ δὲ ἄπειρον τοῦ ποσοῦ, τὸ ἄρα 10
15 αὐθυπόστατον, τουτέστιν ἡ οὐσία, οὐκ ἄπειρον. κἂν ἐπὶ τῆς σωματικῆς δὲ
μόνης οὐσίας γυμνάζηται ὁ λόγος, ᾗ τινι ὡς διαφορά τις τὸ τριχῇ διαστα-
τὸν ἐπιγίνεται, οὐδ' οὕτως καθ' αὑτὸ τῇ σωματικῇ οὐσίᾳ ὑπάρξει ἢ τὸ
ἄπειρον ἢ τὸ πεπερασμένον. τὸ γὰρ πεπεράνθαι ἢ ἄπειρα εἶναι τὰ συνεχῆ
κατὰ τὴν ἔκτασιν λέγεται, οὐ κατὰ τὸ τριχῇ διεστάναι, τὸ δὲ κατὰ τὴν
20 ἔκτασιν ποσὸν συμβέβηκε τοῖς σώμασι καὶ οὐ συμπληρωτικόν ἐστι τῆς τῶν
σωμάτων οὐσίας. οὐδὲ γὰρ τὸ εἶναι τὸ ξύλον τρίπηχυ ἢ δακτυλιαῖον ἢ 15
χιλίων πήχεων, τοῦτο ποιεῖ αὐτὸ εἶναι ξύλον· εἰ γὰρ ὡρισμένον οἷον φέρε
τὸ πηχυαῖον εἰς τὸ εἶναι τὴν τοῦ ξύλου οὐσίαν συνετέλει, ἀδύνατον ἦν εἶναι
ξύλον τὸ τὴν πηχυαίαν διάστασιν ὑπερβαῖνον ἢ ἐλλεῖπον. οὐκοῦν καὶ εἴ τις
25 ἐπινοήσειε τὴν ἔκτασιν τοῦ ξύλου ἐπ' ἄπειρον γινομένην, τὸ ποσὸν τοῦτο
οὐ καθ' αὑτὸ ὄν, ἀλλὰ κατὰ συμβεβηκὸς ὑπῆρχε τῷ ξύλῳ. ὥστε εἰ τὸ μὲν
πεπερασμένον καὶ ἄπειρον ἐν τοῖς συνεχέσι τῷ ποσῷ τῷ κατὰ τὴν ἔκτασιν
ὑπάρχει, τοῦτο δὲ συμβέβηκε τοῖς σώμασι, τὸ ἄρα πεπερασμένον καὶ τὸ 20
ἄπειρον κατὰ συμβεβηκὸς ὑπάρχει τοῖς σώμασιν.

30 p. 185b3 Εἰ μὲν τοίνυν καὶ οὐσία ἐστὶ καὶ ποσόν, δύο καὶ οὐχ ἓν τὸ ὄν.

Τὸ τῇ λοιπῇ ὑποθέσει ἑπόμενον νῦν ἐπήγαγε τῇ λεγούσῃ συνυπάρχειν τῷ

---

1 σώμασιν αἱ λευκότητες et αἱ ἐπιγιγνόμεναι K 2 τι καὶ] καί τι K 3 χαρακτιστικόν (sic) K 4 ἀκριβῶς L 5 ἐν] οὐ t 6. 7 πρῶτον μὲν post Ἀριστοτέλην colloc. Mt 8 συνέστη· ἢ K 11 ζώων ex ζῶον corr. L 12. 14 αὐθυπόστατοι γὰρ — ἐστὶ τὸ αὐθυπόστατον om. K 13 ἐστὶ Mt: ἐπὶ L 17 οὐδ' οὕτω τῇ σωματικῇ οὐσίᾳ καθ' αὐτὸ Mt 18 εἶναι] ἐστὶ K 21 τὸ (ante ξύλον) om. K τρίπηχυν L 22 χιλέων πηχέων K 23 συντελεῖ K ἦν om. Mt 24 οὔκουν K 25 γιγνομένην τὸ σὸν τοῦτο K 26 ὄν libri: immo ἄν 27 τῷ (ante κατὰ) om. t 28 τοῖς] τοῦ t (nihil enotatum ex LKM) 30. p. 40,1 Εἰ μὲν — τὰ ὄντα om. K 30 οὐσία καὶ ποσόν ἐστι M 32. p. 40,1 Τὸ τῇ — τὰ ὄντα om. t 32 νῦν L: om. M

www.libtool.com.cn

ποσῷ τὴν οὐσίαν· οὕτω γάρ, φησί, πολλὰ καὶ οὐχ ἓν τὰ ὄντα. εἰ δὲ οὐσία a 8v
μόνον, οὐκ ἄπειρον τὸ ὄν, οὐδὲ μέγεθος ἕξει οὐθέν· ποσὸν γάρ
τι ἔσται. ὑποθέμενος τὸ ποσὸν τὸ καθόλου μεταβαίνει ἐπὶ τὴν οὐσίαν,
καὶ κοινότερον ἁπλῶς ὡς οὐσίαν ὑποτιθέμενος, οὕτως ἐξετάζει τὸν λόγον.
5 εἰ οὖν τὸ ἓν τοῦτο, φησίν, οὐσίαν ὑπόθοιντο, οὐκέτι δυνηθήσονται ἄπειρον
αὐτὸ ἢ πεπερασμένον ὑποτίθεσθαι· ταῦτα γὰρ τοῦ ποσοῦ, οὐσίας δὲ μόνον 25
οὔσης ποσὸν οὐκ ἔσται. ὥστε εἰ πεπερασμένον Παρμενίδης ὑπετίθετο τὸ
ὄν εἶναι, Μέλισσος δὲ ἄπειρον, οὐκ ἂν οὐσίαν αὐτὸ ὑποτίθεσθαι δύνανται.

p. 185b5 Ἔτι ἐπεὶ καὶ αὐτὸ τὸ ἓν πολλαχῶς λέγεται ὥσπερ
10 καὶ τὸ ὄν.

Προθέμενος ἀντειπεῖν τοῖς περὶ τὸν Παρμενίδην καὶ Μέλισσον, ἀναγκαῖον
ἐνόμισε πρότερον πρὸς αὐτὸ τὸ πρόβλημα ἐνστῆναι, εἶτα διαιρέσει χρησά- 30
μενος τοῦ ἑνός (τὸ γὰρ ἕν, φησίν, ἢ ὀνόματί ἐστιν ἢ πράγματι, καὶ εἰ τῷ
πράγματι, ἢ τῷ καθόλου ἢ τῷ μεριχῷ), πρότερον ἔδειξεν ὅτι οὐ δύναται
15 τῷ ὀνόματι ἓν εἶναι τὸ ὄν· εἶτα μετελθὼν ἐπὶ τὸ τῷ πράγματι ἓν καὶ
τοῦτο τῷ καθόλου, ἔδειξεν ὅτι οὔτε ὡς συμβεβηκὸς δύναται ἓν εἶναι τὸ
ὄν. εἶτα ἐφεξῆς ἔδειξεν ὅτι, ἐξ ὧν ἔλεγον οἱ περὶ τὸν Παρμενίδην καὶ
Μέλισσον, ποσόν τι ὑπετίθεντο τὸ ὄν· ἔλεγον γὰρ αὐτὸ Παρμενίδης
μὲν πεπερασμένον, Μέλισσος δὲ ἄπειρον. ὥστε οὐ μάτην ὑπεθέμεθα 35
20 ποσὸν αὐτοὺς λέγειν τὸ ὄν. εἶτα τελευταῖον ὅτι οὐδὲ οὐσίαν δυνατὸν
αὐτοὺς ὑποτίθεσθαι ἔδειξε. λείπεται οὖν τὸ μεριχὸν ἐξετάσαι, τοῦτο δὲ
τριχῇ διαιρεῖ. τὸ γὰρ μεριχὸν ἢ συνεχές ἐστιν ἢ ἀδιαίρετον ἢ τῷ λόγῳ
ἕν, ὡς τὰ πολυώνυμα· ταῦτα γὰρ τῷ μὲν λόγῳ τῆς οὐσίας τὰ αὐτά ἐστιν,
ὀνόματι δὲ μόνον διαφέρουσιν. εἰ μὲν οὖν ὡς συνεχὲς ἓν εἴη τὸ ὄν, ἐπειδὴ
25 συνεχές ἐστιν, ὡς αὐτὸς ἐν τῷ πέμπτῳ τῆς προκειμένης πραγματείας ὁρί-
ζεται, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, δῆλον ὅτι πλείονα μόρια
ἔχει τὸ συνεχές· ὥστε εἰ καὶ ἕν ἐστιν ἐνεργείᾳ, ἀλλὰ πολλὰ δυνάμει. εἰ 40
τοίνυν δυνάμει πολλά ἐστι τὸ συνεχές, οὐχ ἓν τὸ ὄν, ἀλλὰ πολλά. παντε-
λῶς δὲ ἀνῄρουν ἐκεῖνοι τὸ πλῆθος, οὐδαμῇ οὐδαμῶς πλῆθος εἶναι λέγον-
30 τες. εἰ δὲ τοῦτο, οὐ δύνανται λέγειν συνεχὲς τὸ ὄν εἶναι· τὸ γὰρ συνεχὲς

---

1 εἰ δὲ] εἰ δ' t 2 μόνον, οὐκ ἄπειρον om. M τὸ ὄν om. t et Arist. libri (praeter I): τὸ (omissis 2. 3 ὄν, οὐδὲ — τι ἔσται) K οὐθέν L: οὐδέν Mt 3 ποθέμενος (sic) K 4 κοινώτερον K ὑποτιθέμενος t: ὑποτιθεμένοις LM: ὑποτιθέμενοι K ἐξετάζειν K 6 μόνης Mt 8 οὐκ ἂν] οὐ καὶ Diels, οὐκ ἄρ' ego conieci τὴν οὐσίαν αὐ L δύναται K 9 lemma om. K 13 φασιν L 13. 14 καὶ εἰ τῷ πράγματι om. L 14 τῷ καθόλου] τὸ θα (sic) K 15 ἐπὶ τ τῶ K 16 τῷ] τὸ K οὔτε libri: immo οὐδὲ 18 γὰρ superscr. L 19 ὑποθέμε K: ὑποθέμενος L 23 τὸ πολυώνυμον L 25 αὐ L πέμπτῳ] cf. E 3 p. 227a 10 sqq. Simplic. p. 81,17 27. 28 ὥστε — συνεχές om. L 30 δύνανται Kt: δύναται LM εἶναι τὸ ὄν Mt

www.libtool.com.cn

δύναμει πολλά ἐστιν. εἰ δὲ ἀδιαίρετον, οἷον ὡς τὸ σημεῖον ἢ ἡ μονὰς ἢ a 8r
τὸ νῦν ἢ τὸ κίνημα (ταῦτα γὰρ ἐν τοῖς φυσικοῖς ἀδιαίρετα), πῶς τοῦτο ἢ
πεπερασμένον ἔσται, ὥς φησι Παρμενίδης, ἢ ἄπειρον, ὥς φησι Μέλισσος;
τὸ γὰρ ἀμερὲς πέρας μὲν εἶναι δύναται, ὡς τὸ νῦν ἢ τὸ σημεῖον, πεπε- 45
ρασμένον δὲ ἢ ἄπειρον οὐδαμῶς· ταῦτα γὰρ ποσὰ ἄττα ἐστίν. αὐτόθεν
οὖν τὸ οὕτως λέγειν ἓν τὰς ὑποθέσεις ἀμφοτέρων ἀναιρήσει. ἔπειτα εἰ
ἀμερὲς εἴη τὸ ὄν, ἀναιρεθήσεται καὶ τὸ ποσὸν καὶ τὸ ποιόν. καὶ ὅτι μὲν
τὸ ποσὸν ἀναιρεθήσεται, πρόδηλον (μεριστὸν γὰρ τὸ ποσόν· δύο γὰρ εἴδη
τοῦ ποσοῦ τὸ συνεχὲς καὶ τὸ διωρισμένον, ἀμφότερα δὲ μεριστά)· ἀλλὰ δὴ
καὶ τὸ ποιὸν ἀναιρήσουσι, πρῶτον μὲν ὅτι ἐν μεγέθει τὸ εἶναι ἔχει τὸ
ποιόν, ἔπειτα τὸ σχῆμα καὶ ἡ μορφὴ τοῦ ποιοῦ εἶδός ἐστι, τοῦτο δὲ
μεριστόν· ὥστε καὶ τὸ ποιὸν ἀναιρεθήσεται, εἰ ἀμερὲς τὸ ὄν. εἰ δὲ τῷ 50
λόγῳ ἕν, ὥσπερ μέροψ καὶ βροτός (τῷ γὰρ τῆς οὐσίας λόγῳ ἓν ταῦτα,
ὀνόματι δὲ μόνῳ ἡ διαφορὰ τοῦ ὑποκειμένου τοῦ αὐτοῦ ὄντος), τὸν
Ἡρακλείτου, φησί, λόγον συμβαίνει λέγειν αὐτούς. ἔλεγε γὰρ ὁ
Ἡράκλειτος τὰ ἐναντία τὰ αὐτὰ εἶναι, τὸ λευκὸν καὶ τὸ μέλαν, τὸ ἀγαθὸν
καὶ τὸ κακόν, τὸ γλυκὺ καὶ τὸ πικρόν. εἰ τοίνυν καὶ οὗτοι οὕτως ἔλεγον
ἓν τὸ ὄν, τῷ ἕνα καὶ τὸν αὐτὸν λόγον ἔχειν, κἂν πλείοσιν ὀνόμασι καλεῖ-
ται, δῆλον ὅτι εἰς ταὐτὸν οἴσουσι τὰ ἐναντία, θερμὸν ἢ καὶ | ψυχρόν, b 1r
ξηρὸν καὶ ὑγρόν, ἀγαθὸν καὶ κακὸν ταὐτὰ ἔσται ὀνόματι μόνον διαφέροντα.
ἀπολογούμενοι δέ τινες ὑπὲρ Ἡρακλείτου φασὶν ὅτι τὰ ἐναντία λέγων ταὐτὰ
εἶναι, οὐ τοῦτο ἔλεγεν ὡς οὐδὲν διαφέρει τὸ ἀγαθὸν τοῦ κακοῦ, ἢ τὸ λευκὸν
τοῦ μέλανος, ἀλλὰ πρῶτον μὲν ὅτι ἕν εἰσι τῷ ὑποκειμένῳ καὶ τῷ γένει,
ἔπειτα ὅτι τὰ ἐναντία ἐνταῦθα ὄντα οὐκ εἰσὶν εἰλικρινῆ, ἀλλὰ συμμέμικταί
πως πρὸς τὰ ἐναντία. οἷον οὐκ ἔστιν εἰλικρινῶς ἀγαθὸν εὑρεῖν ἢ εἰλικρινῶς
κακόν· αὗται μὲν γὰρ αἱ τῶν ἐναντίων ἰδέαι μὴ γενόμεναι ἐν ὕλῃ εἰλικρι- 5
νεῖς εἰσι καὶ καθαραὶ ὅπερ εἰσίν, ἐν ὕλῃ δὲ γενόμεναι, διὰ τὸ τὴν ὕλην
δεκτικὴν εἶναι τῶν ἐναντίων, μίγνυνταί πως πρὸς ἀλλήλας καὶ εἰλικρινεῖς
οὐκέτι μένουσιν. οὐ μόνον δὲ τὰ ἐναντία εἰς ταὐτὸν ἄξουσιν, ἀλλὰ καὶ τὴν
ἀντίφασιν. ἐπεὶ γάρ ἐστί τι τὸ οὐ λευκόν, ὅπερ ἀναιρεῖ μὲν τὸ λευκόν,
σημαίνει δέ τι ἕτερον, εἰ λέγουσι πάντα τὰ ὄντα τῇ οὐσίᾳ ἓν εἶναι, τῷ
ὀνόματι δὲ μόνον διαφέρειν, ἀνάγκη καὶ τὸ λευκὸν καὶ τὸ οὐ λευκὸν τὸ
αὐτὸ εἶναι. ὥστε συναληθεύσει ἡ ἀντίφασις, καὶ τὸ αὐτὸ ἔσται λευκὸν καὶ
οὐ λευκόν, καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, καὶ ὁ λόγος αὐτοῖς, φησί, 10
γενήσεται οὐ περὶ τοῦ ἓν εἶναι τὰ πάντα, ἀλλὰ περὶ τοῦ μηδὲν εἶναι ὅλως.

---

1 ἢ ἡ K: ἢ LMt 2 κίνημα] cf. Ar. Phys. Z 10 p. 141a4 4 πέρας μὲν εἶναι] πεπερασμένον εἶναι οὐ L 5 πόσα K ἄττα libri 6 ἓν LK: τὸ ἓν Mt τῶν ἀμφοτέρων K 9 δὲ] γὰρ K 11 τὸ σχῆμα τοῦ ποιοῦ καὶ ἡ μορφὴ L 14 μόνον L 15 αὐτούς LK: αὐτοῖς Mt Aristoteles γὰρ ὁ K: ὁ L: γὰρ Mt 17 τὸ (ante κακόν, γλυκὺ et πικρόν) L: om. KMt 19 ἢ] scribe τε (Diels) vel δὲ καὶ (post ἢ) om. L 20 ξυρὸν K ταὐτὰ ἔσται scripsi: ταῦτα ἔσται LMt: ταυτά ἐστιν K 24 ἐνταῦθα ὄντα τὰ ἐναντία Mt εἰσὶν] ἔστιν K 28 δεκτικὸν t μίγνυταί K 29 δὲ] δὴ t καὶ ab eadem manu additum K 32 τὸ (ante οὐ) L: om. KMt 33 ὥστε καὶ Mt ἔσται] εἶναι K 34 φησί om. L 35 περὶ τὸ ἓν K

www.libtool.com.cn

εἰ γὰρ τὸ λευκὸν ταὐτόν ἐστι τῷ οὐ λευκῷ, οὐ μᾶλλον ἔσται τὸ λευκὸν διὰ b 1r
τὴν κατάφασιν, ἢ οὐκ ἔσται διὰ τὴν ἀπόφασιν. καὶ πρὸς τούτοις εἰς ταὐτὸν
ἄξουσιν οὐσίαν ποιὸν ποσὸν καὶ τὰς δέκα κατηγορίας· ὀνόματι γὰρ μόνον
διοίσουσιν αὗται, οὐ πράγματι. ταῦτα εἰπὼν ἐφεξῆς ἐπάγει· ὅτι, φησί,
5 καλῶς ἐμεμψάμεθα αὐτοῖς εἰς ἄτοπον ἀπαγαγόντες ὡς τὰ ἐναντία εἰς ταὐτὸν
ἄγουσι, δῆλον ἐξ ὧν καὶ οἱ πρὸ ἡμῶν εἰς αὐτὴν ταύτην τὴν ἀπορίαν ἐθορυ-
βήθησαν ἐπὶ τοῦ συνεχοῦς μήποτε δόξῃ τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι, ὡς 15
ἐκ κοινῆς ἐννοίας ἔχοντες ὡμολογημένον ὅτι τὰ ἐναντία ἅμα εἶναι οὐ δύ-
ναται. Ζήνων γὰρ ὁ Ἐλεάτης πρὸς τοὺς διακωμῳδοῦντας τὴν Παρμενίδου
10 τοῦ διδασκάλου αὐτοῦ δόξαν λέγουσαν ἓν τὸ ὂν εἶναι ἐνιστάμενος καὶ συνη-
γορῶν τῇ τοῦ διδασκάλου δόξῃ, ἐπεχείρει δεικνύναι ὅτι ἀδύνατον πλῆθος
εἶναι ἐν τοῖς οὖσιν. εἰ γάρ, φησίν, ἐστὶ πλῆθος, ἐπειδὴ τὸ πλῆθος ἐκ
πλειόνων ἑνάδων σύγκειται, ἀνάγκη εἶναι ἑνάδας πλείους ἐξ ὧν τὸ πλῆθος
συνέστηκεν. εἰ τοίνυν δείξομεν ὅτι ἀδύνατον εἶναι πλείονας ἑνάδας, δῆλον
15 ὅτι ἀδύνατον εἶναι πλῆθος· τὸ γὰρ πλῆθος ἐξ ἑνάδων. εἰ δὲ ἀδύνατον
εἶναι πλῆθος, ἀνάγκη δὲ ἢ τὸ ἓν εἶναι ἢ τὸ πλῆθος, πλῆθος δὲ εἶναι οὐ 20
δύναται, λείπεται τὸ ἓν εἶναι. πῶς οὖν ἐδείκνυεν ὅτι οὐ δυνατὸν εἶναι
ἑνάδας πλείους; ἐπειδὴ οἱ τὸ πλῆθος εἰσάγοντες ἐκ τῆς ἐναργείας τοῦτο
ἐπιστοῦντο (ἔστι γὰρ ἵππος καὶ ἄνθρωπος καὶ ἕκαστον τῶν κατὰ μέρος, ὧν
20 ἡ ἄθροισις τὸ πλῆθος ἀποτελεῖ), τὴν ἐνάργειαν οὖν σοφιστικῶς ἀνασκευάσαι
βουλόμενος ὁ Ζήνων ἔλεγεν ὅτι, εἰ ἐκ τούτων τὸ πλῆθος, τὸ δὲ πλῆθος
ἐξ ἑνάδων, ταῦτα ἄρα ἑνάδες. ἐὰν οὖν δείξωμεν ὅτι οὐ δυνατὸν εἶναι ταῦτα
ἑνάδας, δῆλον ὅτι οὐδὲ ἔσται τὸ ἐξ αὐτῶν πλῆθος, εἴ γε τὸ πλῆθος ἐξ
ἑνάδων. δείκνυσιν οὖν τοῦτο οὕτως· ὁ Σωκράτης, φησίν, ὃν λέγετε ἑνάδα 25
25 εἶναι συντελοῦσαν εἰς τὴν τοῦ πλήθους σύστασιν, οὐ μόνον Σωκράτης ἐστίν,
ἀλλὰ καὶ λευκὸς καὶ φιλόσοφος καὶ προγάστωρ καὶ σιμός· ὥστε ὁ αὐτὸς
ἓν καὶ πολλὰ ἔσται. ἀλλὰ μὴν τὸν αὐτὸν ἕνα εἶναι καὶ πολλὰ ἀδύνατον, οὐκ
ἄρα ἔσται ἓν ὁ Σωκράτης. ὁμοίως οὐδὲ τὰ λοιπὰ ἐξ ὧν τὸ πλῆθος εἶναί
φατε. εἰ δὲ μὴ δυνατὸν εἶναι πλείους ἑνάδας, δῆλον ὅτι οὐδὲ τὸ πλῆθος
30 ἔσται· εἰ δὲ ἀνάγκη μὲν εἶναι τὸ ὂν ἢ ἓν ἢ πολλά, δέδεικται δὲ ὅτι πολλὰ
οὐκ ἔστι τῷ μὴ εἶναι πλείους ἑνάδας, ἀνάγκη ἄρα ἓν εἶναι. τὸ αὐτὸ δὲ τοῦτο

---

3 ἄξουσι ποσὸν, ποιὸν (om. οὐσίαν) Mt κατηγορίας] κ/ K μόνω K 4 αὗται L: αὐτοῖς K: om. Mt 6 de formula δῆλον ἐξ ὧν cf. e 8r 7, k 3v 38 etc. εἰς ταύτην αὐτὴν Mt 7 τὸ αὐτὸ Kt: αὐτὸ M: αὐτὴ (sic) L εἶναι ante καὶ πολλὰ ponit K 8 ὁμολογούμενον (ex p. 43,8) t 8. 9 εἶναι οὐ δύναται L: εἶναι ἀδύνατον K: οὐ δύνανται (om. εἶναι) Mt 9 Ζήνων κτλ.] cf. Plat. Parm. p. 128 διακωμοδοῦντας K 10. 11 δημηγορῶν L 11 ἐπιχειρεῖ K 12 φησι πλῆθός ἐστιν Mt 12. 13 ἐκπλειόνων (sic) K 13 ἑνάδας εἶναι Mt 14 ὅτι ἀδύνατόν ἐστι πλείονας ἑνάδας εἶναι K 15 ἐξ om. L 16 ἀνάγκη δὲ iterat K 17 οὐ δυνατὸν] ἀδύνατον K 18 ἐνεργείας et 20 ἐνέργειαν L 22 ἑνάδες] ἑνάδας K 23 τὸ (ante ἐξ) om. Mt 24 ὁ σωκράτης ὃν ἐλέγεται (sic) φῆ K 27 ἓν καὶ L: καὶ (om. ἓν) KMt ἕνα libri: fort. ἓν 28 ἄρα ἓν ἔσται Mt 29 εἰ δὲ μὴ ἀδύνατον εἶναι K 30 ἢ (ante ἓν) om. K δὲ (post δέδεικται) om. L

www.libtool.com.cn

καὶ ἐκ τοῦ συνεχοῦς δείκνυσι. τὸ γὰρ συνεχὲς εἴ ἐστιν ἕν, ἐπειδὴ τὸ b 1r
συνεχὲς ἀεὶ διαιρετόν, ἔστιν ἀεὶ τὸ διαιρεθὲν εἰς μόρια διελεῖν πλείονα· εἰ
δὴ τοῦτο, πολλὰ ἄρα τὸ συνεχές. τὸ αὐτὸ ἄρα ἓν ἔσται καὶ πολλά, ὅπερ 31
ἀδύνατον. ὥστε οὐκ ἔσται ἕν. εἰ δὲ μηδὲν τῶν συνεχῶν ἕν, ἀνάγκη δὲ
5 εἴπερ ἔσται τὸ πλῆθος ἐξ ἑνάδων συγκεῖσθαι, ἐπεὶ * * * οὐδ' ἄρα τὸ
πλῆθος ἔσται. λείπεται ἄρα ἓν εἶναι τὸ ὄν. πρὸς ταύτην οὖν τὴν ἀπορίαν,
φησίν, οἱ παλαιοὶ ἐθορυβοῦντο, μήποτε τὸ αὐτὸ καὶ ἓν ἔσται καὶ πολλά·
ἐκ κοινῆς γὰρ ἐννοίας ὁμολογούμενον ἐλάμβανον μὴ δύνασθαι ἅμα τὰ ἐναντία
εἶναι ἐν ταὐτῷ. καὶ οἱ μέν, φησί, τὸ εἶναι ἀφεῖλον ἐπιλυόμενοι τὴν ἀπο- 35
10 ρίαν, ὥσπερ Λυκόφρων ὁ σοφιστής (ἔλεγε γὰρ οὗτος ὅτι οὐ δεῖ λέγειν ὅτι
Σωκράτης λευκός ἐστιν, ἀλλ' ὅτι Σωκράτης λευκός· τὸ γὰρ ἔστι, φησί, προστιθέμενον ὕπαρξιν δίδωσι τῷ λευκῷ), οἱ δέ, φησί, τὴν λέξιν μετερρύθμιζον λέγοντες ὅτι οὐ δεῖ λέγειν ὅτι Σωκράτης λευκός ἐστιν, ἀλλὰ λελεύκωται, ἵνα ῥῆμα ᾖ τὸ κατηγορούμενον καὶ μὴ ὄνομα, ὅπερ ἐστὶ γελοῖον. εἰ
15 γὰρ μὴ προσκέηται τὸ ἔστιν ἐν τῷ Σωκράτης λευκός, εἰ μὲν μηδὲ προσυπακούεται ἔξωθεν, ἀδιανόητος γίνεται ὁ λόγος καὶ ἀτελής (ἄνευ γὰρ συμπλοκῆς ὁριστικοῦ ῥήματος οὐκ ἀπαρτίζεται λόγος ἀποφαντικός· τὸ γὰρ Σωκράτης λευκὸς ἄδηλον πότερόν ἐστιν ἢ οὐκ ἔστιν), εἰ δὲ προσυπακούεται, 40
τὴν αὐτὴν πάλιν δύναμιν σχήσει κἂν εἰ ἐξ ἀρχῆς τῇ ὕλῃ προτάσει συνε-
20 πλάκη. καὶ τὸ λέγειν δὲ Σωκράτης λελεύκωται ἢ Σωκράτης περιπατεῖ ταὐτόν ἐστι τῷ εἰπεῖν Σωκράτης λελευκωμένος ἐστὶν ἢ περιπατῶν ἐστι· πᾶν γὰρ ῥῆμα ὁριστικὸν ἀναλύεται εἰς μετοχὴν καὶ τὸ ἔστι ῥῆμα. ταῦτα μὲν οὖν πρὸς τὰς ἀπορίας τοῦ Ζήνωνος οἱ ἀρχαιότεροι. ὁ δὲ Ἀριστοτέλης φησὶν ὅτι ταῦτα ἔπασχον ἐκεῖνοι καὶ ἐθορυβοῦντο μήποτε τὸ αὐτὸ καὶ ἓν
25 καὶ πολλὰ ἔσται, δι' ἀπειρίαν λογικῆς ἐφόδου καὶ τῆς τῶν ὁμωνύμων φωνῶν σημασίας. τὸ γὰρ ἕν, φησίν, ὁμώνυμόν ἐστιν· ἢ γὰρ τῷ ὑποκειμένῳ ἐστὶν 45
ἢ τῷ λόγῳ, καὶ πάλιν ἢ δυνάμει ἐστὶν ἢ ἐνεργείᾳ· καὶ τὰ πολλὰ ὡσαύτως. γίνονται οὖν αἱ πᾶσαι συζυγίαι ἕξ. τὸ γὰρ ἓν καὶ πολλὰ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ συμπλεκόμενα ποιεῖ συζυγίας δ'· ἢ γὰρ καὶ τῷ
30 ὑποκειμένῳ πολλὰ καὶ τῷ λόγῳ, ἢ οὐδὲ τῷ ὑποκειμένῳ οὐδὲ τῷ λόγῳ, ἢ τῷ μὲν ὑποκειμένῳ πολλά, τῷ δὲ λόγῳ ἕν, ἢ ἔμπαλιν τῷ μὲν ὑποκειμένῳ

---

1 ἐκ superscr. K 1. 2 ἐπειδὴ τὸ συνεχὲς (om. ἀεὶ) διαιρετὸν ἐστι, δεῖ τὸ διαιρεθὲν K 2 ἀδιαίρετόν (pro ἀεὶ διαρετόν) ἐστιν M ἀεὶ τὸ] αὐτὸ ante correctionem L ἐστὶ διελεῖν L 3 δὴ LKM: δὲ fort. recte t 4 οὐκ ἔσται] οὐκ ἔστιν K 5 lacunam post ἐπεὶ statuit Diels: conicio ⟨οὐ δυνατὸν εἶναι πλείους ἑνάδας, ἐξ ὧν τὸ πλῆθος ἔσται⟩ ἄρα τὸ L: ἄρα KM: ἑνάδων coniecit t 7 φησίν post παλαιοί collocat K καὶ (ante ἓν) om. K 9 ἐν τῶ αὐτῶ K τὸ ἔστιν Aristoteles 10 οὕτως L 11 ὁ σωκράτης priore loco L τὸ γὰρ εἶναι K 11. 12 συντεθέμενον ὕπαξιν K 12. 13 μετερίθμιζον K 13 ὅτι ὁ σωκράτης Mt 14 ἢ LK: εἴη Mt καὶ μὴ LK: ἀλλὰ μὴ Mt 15 γὰρ καὶ μὴ Mt προσκαίηται K ἐν τῷ σωκράτης λευκὸς τὸ ἔστιν Mt μηδὲ (μὴ δὲ) L: μηδὲν KMt 16 γίνεται] γὰρ K 18 πότερόν] πρῶτον K 19 δύναμιν πάλιν K κἂν] καὶ K 21 τῷ] τὸ K εἰπεῖν LK: λέγειν Mt 23 τοῦ] τὰς L 25 ἀπορίαν M τῶν om. L 27 ἢ ἐναργεία (sic) K: ἓν ἢ ἐνεργεία L: ἢ ἐνεργείᾳ ἕν Mt 30 πολλὰ καὶ τὸ λόγω K

www.libtool.com.cn

ἕν, τῷ δὲ λόγῳ πολλά. οἷον τῷ μὲν ὑποκειμένῳ ἓν καὶ τῷ λόγῳ πολλὰ b 1r
τὸ λευκὸν καὶ τὸ θερμόν· ταῦτα γὰρ τῷ μὲν ὑποκειμένῳ ἓν καὶ ταὐτόν
εἰσιν (ἐν τῷ αὐτῷ γὰρ σώματι ἅμφω, οἷον τῷ Σωκράτει), τῷ λόγῳ δὲ 50
ἕτερα (ἕτερος γὰρ ὁ τοῦ θερμοῦ λόγος καὶ ἕτερος ὁ τοῦ λευκοῦ). ἀνάπαλιν
5 δὲ τῷ μὲν λόγῳ ἕν, τῷ δὲ ὑποκειμένῳ πολλά, ὡς τὸ λευκὸν τὸ ἐν ψιμ-
μυθίῳ καὶ τὸ ἐν χιόνι· εἷς γὰρ ἀμφοῖν ὁ ὅρος, χρῶμα διακριτικὸν ὄψεως,
πολλὰ δὲ τῷ ὑποκειμένῳ χιόνι καὶ ψιμμυθίῳ. τῷ λόγῳ δὲ ἅμα καὶ τῷ
ὑποκειμένῳ ἓν τὸ λώπιον καὶ τὸ ἱμάτιον, ὁμοίως χθὼν καὶ γῆ. τῷ ὑπο-
κειμένῳ δὲ καὶ τῷ λόγῳ πολλά, ὡς ὑγρότης καὶ ξηρότης· οὐ δύναται γὰρ
10 ἐν τῷ αὐτῷ ἅμα εἶναι ὑποκειμένῳ· καὶ ἐπιστήμη καὶ θερμότης, ἡ μὲν ἐν
ψυχῇ, ἡ δὲ ἐν σώματι. τοσοῦτας μὲν οὖν ποιεῖ συζυγίας τὸ ἓν καὶ τὰ 55
πολλὰ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ συμπλεκόμενα, εἰ μέντοι τῷ δυνάμει
καὶ τῷ ἐνεργείᾳ συμπλακείη, δύο | μόνας ποιεῖ συμπλοκάς. ἢ γὰρ δυνάμει b 1v
ἕν, ἐνεργείᾳ δὲ πολλά, ὡς τὰ πυρὰ τὰ ἐν πλείοσι λύχνοις ἢ τὰ ὑδάτια τὰ
15 ἐν τοῖς πλείοσιν ἀμφορεῦσιν (ταῦτα γὰρ δυνάμει ἐστὶν ἕν, διότι δύνανται
συνελθόντα ἑνωθῆναι, ἐνεργείᾳ δὲ πολλά· διῄρηνται γὰρ ἀπ' ἀλλήλων), ἢ
ἐνεργείᾳ μὲν ἕν, δυνάμει δὲ πολλά, ὡς τὸ συνεχές. τὰ δὲ λοιπὰ πάντα
μόρια ἀσύστατα· τὸ αὐτὸ γὰρ ἅμα δυνάμει ἓν εἶναι καὶ ἐνεργείᾳ ἀδύνατον,
ὁμοίως καὶ πολλά. πολλῷ οὖν ἀδυνατώτερον ἅμα καὶ ἓν καὶ πολλὰ δυνά- 5
20 μει τε καὶ ἐνεργείᾳ εἶναι. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τὸ αὐτὸ μὲν κατὰ
τὸ αὐτὸ ἓν εἶναι καὶ πολλὰ τῷ ὄντι τῶν ἀδυνάτων ἐστίν. ἅμα γὰρ καὶ
τῷ αὐτῷ τὰ ἐναντία εἶναι ἀδύνατον, ἢ ἁπλῶς τὰ ἀντικείμενα, οἷον τὸ
αὐτὸ τῷ ὑποκειμένῳ καὶ ἓν εἶναι καὶ πολλὰ ἀδύνατον ἢ τῷ λόγῳ, ἢ τὸ
αὐτὸ δυνάμει καὶ ἓν εἶναι καὶ πολλὰ ἢ ἐνεργείᾳ καὶ ἓν καὶ πολλά· ταῦτα
25 γὰρ ἐναντία ἐστί, διὸ οὐδὲ συνυφέστηκε. κατ' ἄλλο μέντοι εἶναι πολλά,
κατ' ἄλλο δὲ ἕν, οὐδὲν κωλύει, οἷον κατὰ μὲν τὸ ὑποκείμενον ἕν, κατὰ
δὲ τὸν λόγον πολλά, ὡς τὸ γλυκὺ καὶ τὸ ξανθὸν ἐν τῷ μέλιτι, ἢ τὸ 10
ἐρυθρὸν καὶ ἡ στύψις ἐν τῷ οἴνῳ. πάλιν ἐνεργείᾳ μὲν εἶναι ἕν, δύναμει
δὲ πολλά, οὐδὲν ἄτοπον, ὡς τὸ συνεχές. ἢ ἔμπαλιν ἐνεργείᾳ μὲν πολλά,
30 δυνάμει δὲ ἕν, ὡς ἐπὶ τῶν πλειόνων ὑδατίων. ἐπεὶ οὖν τὸ ἓν πολλαχῶς
λέγεται, ἐπιλυσόμεθα τὴν μὲν προτέραν τοῦ Ζήνωνος ἀπορίαν διὰ τῆς
προτέρας τοῦ ἑνὸς διαιρέσεως τῆς λεγούσης ἢ τῷ ὑποκειμένῳ ἓν εἶναι ἢ
τῷ λόγῳ (τὸ γὰρ λευκὸν τὸ ἐν Σωκράτει καὶ φαλακρὸν καὶ τὰ λοιπὰ τῷ

---

1 καὶ τῶ LK: τῷ δὲ rectius Mt 2 ταῦτα μὲν τῶ μὲν K 3 οἷον τοῦ σω κτ. K
5 λευκὸν τῶ ἐν K 5. 6 et 7 ψιμμιθίω L: ψιμυνθίω K 6 ὁ om. K
χρώμα t 9 ὡς ξηρότης καὶ ὑγρασία K 10 εἶναι ἅμα L 12 συμπλεκόμενον
ἡ μέντοι L 13 καὶ τὸ ἐνεργεία K 14 ἕν om. K 15 δύναται K
15. 16 συνελθόντα ἑνωθῆναι δύνανται Mt 17 δυνάμει δὲ πολλά LK: πολλὰ δὲ δυνά-
μει Mt ὡς] καὶ L 21 ἓν εἶναι LK: εἶναι ἓν Mt τῶν ἀδυνάτων] ἀδύνατον K
22 τῶ αὐτῶ K: τὸ αὐτὸ L: κατὰ τὸ αὐτὸ fort. recte Mt 22. 23 οἷον τῶ αὐτῶ τῶ K
23. 24 ἢ τὸ αὐτὸ] ἢ τῶ αὐτῶ L 24 δυνάμει καὶ (καὶ om. K) ἓν εἶναι καὶ πολλά
LK: καὶ ἓν καὶ πολλὰ εἶναι δυνάμει Mt 25 συνεφέστηκε L εἶναι om. K 27 τῷ
om. K 28 ἡ K: om. LMt εἶναι om. K 31 μὲν om. L ἀπορίαν τοῦ
ζήνωνος Mt

www.libtool.com.cn

μὲν ὑποκειμένῳ ἓν ἐστι καὶ ταὐτόν, λέγω δὴ τῷ Σωκράτει, τῷ δὲ ὁρι- b 1v
στικῷ λόγῳ πλείονα), τὴν δὲ δευτέραν ἀπορίαν τὴν ἐπὶ τοῦ συνεχοῦς διὰ 15
τῆς δευτέρας, λέγω δὴ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. τὸ γὰρ συνεχὲς ἓν
ἐστι καὶ πολλά, ἀλλ' οὐ κατὰ ταὐτόν, ἀλλὰ πολλὰ μὲν δυνάμει, ἓν δὲ
5 ἐνεργείᾳ. ὥστε οὐχ ἅμα ἔσονται τὰ ἐναντία· οὐ γὰρ ἐναντίον τῷ δυνάμει
πολλὰ τὸ ἐνεργείᾳ ἕν, ἀλλὰ τὸ δυνάμει ἓν τῷ δυνάμει πολλά, καὶ τὸ ἐνεργείᾳ δὲ ἓν τῷ ἐνεργείᾳ πολλά. ἄλλως τε καὶ αὐτὸς δι' αὐτοῦ ὁ τοῦ
Ζήνωνος ἐλεγχθήσεται λόγος. ὥσπερ γὰρ ἐπὶ τοῦ παντός, φησίν, ὡς εἰ
μὴ πολλὰ εἴη ἓν πάντως ἐστί, διότι τὸ ὂν ἢ ἓν εἶναι ἢ πολλὰ ἀνάγκη,
10 οὕτω καὶ ἐπὶ τοῦ Σωκράτους καὶ πάντων τῶν λοιπῶν· εἰ γὰρ φαλακρός ἐστι 20
καὶ σιμὸς καὶ φιλόσοφος καὶ ὅσα ἄλλα, ἀνάγκη δὲ ὄντος τοῦ Σωκράτους ἢ
ἓν εἶναι αὐτὸν ἢ πολλά, οὐκ ἔσται δὲ ἕν, πολλὰ ἔσται ἐξ ἀνάγκης. ὥστε
φεύγων ἕνα εἶναι λέγειν τῶν κατὰ μέρος ἕκαστον, ἵνα μὴ πολλὰ εἶναι τὸ
ἓν ἐκ πολλῶν ἑνάδων συγκείμενον λέγῃ, ἕκαστον τῶν ὄντων πολλὰ λέγειν
15 ἀναγκασθήσεται. οὐκ ἄρα πολλὰ μόνον ἔσται τὸ ὄν, ἀλλὰ πολλάκις πολλά.

p. 185b7 Λέγεται δ' ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ οὗ ὁ λόγος ὁ αὐτὸς καὶ εἷς ὁ τοῦ τί ἦν εἶναι.

Τὸ καθ' ἕκαστα ἕν, φησίν, τριχῶς λέγεται [λέγεται] καὶ ὡς συνεχὲς ἕν, 26
ὡς λέγομεν ἓν τὸ ξύλον, καὶ ὡς τὸ ἀδιαίρετον, οἷον τὸ σημεῖον, καὶ ὡς τὰ
20 πολυώνυμα, οἷον ἄορ ξίφος μάχαιρα. τὸν οὖν Σωκράτην ἓν ὄντα ἐπὶ τί
ἀνοίσομεν; λέγω οὖν ὅτι ἐπὶ τὸ συνεχές· καὶ γὰρ καὶ αἱ Σωκράτους ἰδιότητες αἱ συμπληροῦσαι αὐτὸν καὶ αἱ ζωαὶ αὐταί, εἰ καὶ μή εἰσι καθ' αὑτὰς συνεχεῖς, ἀλλ' οὖν ἐν συνεχεῖ τὸ εἶναι ἔχουσι. διὰ τοῦτο οὖν ἐπὶ τὸ συνεχὲς αὐτὸν ἀνοίσομεν.

25 p. 185b11 Ἔχει δὲ ἀπορίαν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου, 30
ἴσως δὲ οὐ πρὸς τὸν λόγον, ἀλλ' αὐτὴν καθ' αὑτήν.

Ἐπειδὴ ἔδειξεν ὅτι, εἰ ὡς συνεχὲς ἔλεγον τὸ ὂν ἓν εἶναι, ἐπειδὴ τὸ συνεχὲς διαιρετόν ἐστιν, ἔσται τὸ ὂν οὐκέτι ἓν κυρίως ἀλλὰ πολλά, ἠπό-

---

1 τῷ Σωκράτει] τοῦ σω K (κι) 2 λόγῳ] λέγω L δευτέραν Mt: β̄ (αν) K: προτέραν L ἐπὶ τοῦ συνεχῶς L 3 δεύτερας] β̄ ex α L 5 οὐκ ἅμα K 5. 6 οὐ γὰρ ἐναντίον τὸ δυνάμει πολλὰ τῷ L 6 ἀλλὰ τὸ K: ἀλλὰ τῷ LMt τῷ (ante δυνάμει) LK: τὸ Mt 7 δι' αὐτοῦ LK 8 ἐλεχθήσεται K: λεχθήσεται L ὡς abundat 9 εἶναι] ἐστιν K 10 τοῦ om. Mt εἰ γὰρ καὶ K 12 οὐκ ἔσται] οὐκ ἔστι K 13 ἕνα libri: immo ἓν εἶναι λέγειν K: εἶναι λέγων L: λέγειν εἶναι Mt τῶν om. K 14 λέγῃ] λέγει K 15 μόνον] μὲν L 16 δὲ ἢ (om. ἓν ut Arist. cod. I) K οὗ] ὧν ex Aristotele t at cf. p. 36,9 17 ὁ αὐτὸς—εἶναι om. K εἷς καὶ ὁ αὐτὸς M 18 ἓν post φησίν collocat K alterum λέγεται delevi καὶ (post λέγεται) LKM: γὰρ t 19 ἤγουν (compend.) τὸ σημεῖον K 19. 20 τὸ πολυώνυμον L 20 οἷον (ante ἄορ) om. LK ἓν L: ἕνα KMt 21 ὅτι om. K 22 αὐταί] αὐτοῦ K 24 αὐτὸν scripsi: αὐτὰς L: αὐτὸ KMt ἀνοίσομεν LK: κινήσομεν Mt 25 δ' ἀπορίαν Lt 25. 26 περὶ—καθ' αὑτήν om. K 27 ἔλεγον K: ἔλεγε LMt

www.libtool.com.cn

ρησε δὲ ἄν τις πρὸς αὐτὸν ὅτι 'κακῶς τὸ συνεχὲς πολλὰ εἴρηκας, ἐπειδὴ b 1v
δυνάμει διαιρετόν ἐστι. τὸ γὰρ συνεχὲς ταὐτόν ἐστι τῷ ὅλῳ, τὸ δὲ ὅλον
ταὐτόν ἐστι τοῖς μέρεσιν· οὐδὲ γάρ ἐστιν ἕτερον παρὰ τὰ μέρη. ὥστε
καὶ τὸ συνεχὲς ταὐτόν ἐστι τοῖς μέρεσιν. εἰ δὲ τὸ συνεχές, ἐπειδὴ καὶ τὸ
5 ὅλον, δῆλον ὅτι καὶ τὰ μέρη οὐ πλείονα ἔσται, ἀλλ' ἕν· οὐδὲ γὰρ κατ' ἐνέρ- 35
γειαν λαμβάνεται ὑπάρχοντα, ἀλλὰ δυνάμει, ἐνέργειᾳ δὲ ἕν εἰσι', φησὶν οὖν ὁ
Ἀριστοτέλης ὅτι ἡ περὶ τοῦ μέρους ζήτησις καὶ τοῦ ὅλου, πότερον ἕτερά ἐστι
ταῦτα ἀλλήλων ἢ ταὐτά, ἔχει ἀπορίαν οὐ μόνον πρὸς τὸν παρόντα νῦν
λόγον, ἀλλὰ καὶ αὐτὴν καθ' αὑτὴν ζητηθῆναι ἀξίαν. εἴτε γὰρ ταὐτά τις
10 ὑπόθοιτο ταῦτα εἶναι, εἴτε ἕτερα, δόξει ἑκατέρᾳ ὑποθέσει ἄτοπόν τι ἀκο-
λουθεῖν· εἰ μὲν γὰρ ἕτερον τὸ ὅλον τῶν μερῶν, ἐπειδὴ οὐδὲν ἕτερόν ἐστι
τὸ ὅλον ἢ πάντα τὰ μέρη, συμβήσεται καὶ τὸ αὐτὸ ἑαυτοῦ ἕτερον εἶναι,
ὅπερ ἄτοπον. καί ἐστιν ὁ συλλογισμὸς τοιοῦτος· τὸ ὅλον οὐδὲν ἕτερόν ἐστιν 40
ἢ πάντα τὰ μέρη, τὰ μέρη τοῦ ὅλου ἕτερά ἐστι (τοῦτο γὰρ ὑπόκειται),
15 τὸ ὅλον ἄρα τοῦ ὅλου ἕτερόν ἐστιν· αὐτὸ ἑαυτοῦ ἄρα ἕτερον τὸ ὅλον. εἰ
μὲν οὖν ἕτερον τῶν μερῶν ὑποτεθείη, ταῦτα. εἰ δὲ ταὐτὸν τοῖς ὅλοις μέρεσι
τὸ ὅλον, καὶ ἑνὶ ἑκάστῳ ταὐτὸν ἂν εἴη· εἰ γὰρ μὴ ταὐτὸν ἑνὶ ἑκάστῳ,
οὐδὲ πᾶσιν ἅμα, εἰ δὲ ἑνὶ ἑκάστῳ ταὐτόν, ἔσονται καὶ ἀλλήλοις τὰ μέρη
ταὐτά, ὅπερ ἄτοπον· τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά. ὥστε
20 ὅσον ἐκ τῶν ἀπορίων τούτων, δόξει οὔτε ταὐτὸν οὔτε ἕτερον εἶναι τοῖς
μέρεσι τὸ ὅλον.

Ἰστέον οὖν ὅτι τὸ ὅλον πῇ μὲν ταὐτόν ἐστι τοῖς μέρεσι, πῇ δὲ 45
ἕτερον. ἕτερον μὲν γάρ ἐστι τῶν μερῶν, ὡς ἐπιγινόμενον τῇ πάντων
συνθέσει καὶ ἀποτέλεσμα αὐτῆς ὄν, ταὐτὸν δὲ πάλιν τοῖς μέρεσι τὸ ὅλον,
25 ὡς μηδενὸς ἐπιγινομένου ἔξωθεν τῶν μερῶν εἰς τὴν τοῦ ὅλου ὕπαρξιν.
οἷόν τι λέγω· ἐὰν τῆς κιθάρας ἑκάστην χορδὴν ἰδίᾳ ἐντείνῃ τοσοῦτον,
ὅσον εἰς τὴν Λύδιον τυχὸν ἁρμονίαν συντελέσαι, εἶτα πᾶσαι κεχωρισμέναι
ὦσι καὶ μὴ εἰς ἓν συνηρμοσμέναι, ἑκάστη μὲν δηλονότι καθ' ἑαυτὴν τὸν
ἴδιον ἦχον ἀποτελεῖ, ἡ μέντοι ἁρμονία ἡ μετὰ τὴν σύνοδον πασῶν τῶν
30 χορδῶν ἐκ τοῦ ἤχου πασῶν ἀποτελουμένη ἑτέρα ἐστὶ δηλονότι τοῦ ἤχου 50
πασῶν τοῦ πρὶν συνελθεῖν αὐτάς· ἡ γὰρ συνδρομὴ πασῶν ἀπετέλεσέ τι
εἶδος, ὃ μὴ ἦν ἐν πᾶσι τοῖς κατὰ μέρος μήπω συνελθοῦσιν. οὕτω μὲν οὖν
ἡ ὁλότης τῆς ἁρμονίας ἑτέρα τῶν ἤχων πάντων τῶν κατὰ μέρος, κἂν
ἅμα ἠχῶσι διεστηκότες ἀλλήλων, ἡ αὐτὴ δὲ τῷ μηδὲν ἕτερον παρὰ τὰς

---

3 οὐδὲ] οὐδὲν K 4 prius καὶ om. L εἰ δὲ LK: εἰ δὲ καὶ Mt εἰ δὲ τὸ συνεχὲς ἕν cod. Paris. 2063 5 γὰρ om. K 6 ὑπάρχοντα λαμβάνεται Mt εἰσι L: ἐστι K: om. Mt 7 ὅτι om. K τοῦ (post περὶ) om. L 8 νῦν om. Mt 9 ταῦτα ταυτά Mt 10 ὑποθοῖτο K ταῦτα om. Mt ἄτοπά τινα L 12. 14 συμβήσεται — πάντα τὰ μέρη om. K 12 ἑαυτοῦ L et, ut videtur, M: ἑαυτῷ Kt 15 καὶ ante αὐτὸ addit t ἄρα ἕτερον τὸ ὅλον LK: ἕτερόν ἐστιν Mt 16 ταῦτα] οὐ ταυτὸν L 19 ὅπερ ἄτοπον vel delenda vel transponenda post τὰ γὰρ — ἀλλήλοις ταὐτά (cf. Brandisii Schol. p. 329 b 5 sqq.): sed fortasse haec ipsa τὰ γὰρ — ἀλλήλοις ταὐτά induci praestat 22 οὖν om. K 26 ἐντείνῃ LK: ἐντείνῃς Mt 27 λύδειον L 28 αὐτὴν Kt 33 fort. ἑτέρα μὲν

www.libtool.com.cn

κατὰ μέρος ἀπηχήσεις συνελθεῖν εἰς τὸ ἀποτελέσαι τὸ εἶδος τῆς ἁρμονίας. b 1v
οὕτως καὶ ἐπὶ ἀνθρώπου, εἰ νοήσαις τὰ μόρια αὐτοῦ διεσπασμένα, ἕκαστον
μέντοι τὴν ἰδίαν ἔχον ἐνέργειαν (οἷον τὸν ὀφθαλμὸν τὴν ὀφθαλμοῦ καὶ χεῖρα
ὁμοίως καὶ τὰ λοιπά), τούτων πάντων διῃρημένων ὄντων τὸ ἐκ τῆς πάν-
5 των συνδρομῆς ἀποτε|λεσθὲν εἶδος ἕτερόν ἐστι. λεχθείη δ' ἂν πάλιν καὶ b 2r
ταὐτόν, ἐπεὶ μηδὲν ἄλλο παρὰ τὰ καθ' ἕκαστον μέρη καὶ τὰς ἰδίας αὐτῶν
ἐνεργείας συνέρχεται εἰς τὸ ἀποτελέσαι τὴν ὁλότητα τοῦ εἴδους· ἐκ γὰρ
τῆς τῶν κατὰ μέρος ἐνεργείας ⟨ἡ⟩ κοινὴ τοῦ ζῴου ἐνέργεια ἀποτελεῖται.

Ἴσως δὲ οὐ πρὸς τὸν λόγον, ἀλλ' αὐτὴν καθ' αὑτήν. πῶς δοκεῖ
10 μὴ πρὸς τὸν προκείμενον λόγον ἡ ἀπορία ἡ περὶ τοῦ ὅλου; καὶ εἰ μηδὲν πρὸς
τὸν προκείμενον, τί αὐτῆς μέμνηται; δόξει μὲν οὖν μὴ εἶναι πρὸς τὸ
προκείμενον, διότι ζητουμένου τοῦ πότερον ἓν τὸ ὂν ἢ οὔ, καὶ εἰρημένου
'εἰ ὡς συνεχὲς εἴη ἕν, ἐπειδὴ τὸ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, πολλὰ
ἔσται', οὔτε πρὸς κατασκευὴν τούτου, οὔτε πρὸς ἀνασκευὴν λυσιτελήσει ἡμῖν
15 ἡ περὶ τοῦ ὅλου καὶ τῶν μερῶν ἀπορία. εἴτε γὰρ ταὐτὸν εἴη, οὐ παρὰ
τοῦτο ἓν τὸ ὄν (δυναται γὰρ καὶ οὕτως ἐπ' ἄπειρα διαιρεθῆναι), εἴτε μὴ
εἴη ταὐτὸν ἀλλ' ἕτερον, ἤδη διὰ τοῦτο πολλὰ τὰ ὄντα, εἰ μὴ ὡς διαι-
ρετὸν αὐτὸ εἶναι λάβωμεν. καὶ ὅλως τὸ ἀπορεῖν εἴτε ταὐτὸν τοῖς μέρεσιν,
εἴτε ἕτερον, οὐ δοκεῖ τοῦ παρόντος λόγου οἰκεῖον εἶναι. διὰ τί δὲ αὐτῆς
20 μέμνηται καὶ πῶς ἔχει σχέσιν τινὰ πρὸς τὴν προκειμένην θεωρίαν, εἴπομεν
ἐν τῇ ἀρχῇ. καὶ ὅλως ἐπειδὴ τῆς εἰς τὰ μέρη τοῦ συνεχοῦς διαιρέσεως
ἐμνήσθη, οὐκ ἀνηρτημένη τοῦ προκειμένου ἡ τοιαύτη ζήτησις· τὸν γὰρ
λέγοντα διαιρεῖσθαί τι εἰς μέρη, δεῖ ἔννοιαν ἔχειν τῆς τε τοῦ ὅλου φύσεως
καὶ τῆς τῶν μερῶν.

25 p. 185b 12 Πότερον ἓν ἢ πλείω τὸ μέρος καὶ τὸ ὅλον.

Τὸ μὲν ἓν ἀντὶ τοῦ ταὐτὸν ἔθηκε, τὸ δὲ πλείω ἀντὶ τοῦ ἕτερον.
καὶ πῶς ἓν ἢ πλείω ἀντὶ τοῦ καὶ πῶς ταὐτὸν ἢ πῶς ἕτερον. καὶ περὶ
τῶν μερῶν τῶν μὴ συνεχῶν λέγει ἢ τῶν κατὰ παράθεσιν ἢ τῶν ἀφε-
στηκότων· κατὰ παράθεσιν μέν, ὡς ἐπὶ τῆς οἰκίας (ζητητέον γὰρ καὶ ἐπὶ
30 ταύτης εἰ ταὐτὸν ἢ ἕτερον τὸ ὅλον τοῖς μέρεσιν· εἰ μὲν γὰρ ταὐτόν, καὶ
ἑκάστῳ ταὐτόν, εἰ δὲ τοῦτο, καὶ αὐτὰ ἑαυτοῖς ταὐτά. ὥστε ὁ ὅροφος τῷ
θεμελίῳ ταὐτὸν καὶ αὐτὸς τοῖς τοίχοις, ὅπερ ἄτοπον), ἀφεστηκότα δέ φημι,

---

1 ἀποχήσεις K συνελθεῖν K: διελθεῖν L: διελθεῖν Mt 3 ἐνέργειαν ἔχον L τὴν τοῦ ὀφθαλμοῦ L 5 ἐστι] εἶναι K 8 ἡ addidi ἀποτελεῖται ἐνέργεια Mt 9 ἀλλ' αὐτὴν καθ' αὑτήν om. K 11 τὸν (cf. v. 10) KMt: τὸ (ut in sequentibus) L 13 εἰ] εἰς K 16 ἄπειρον K 17 τὰ ὄντα Mt corr. K: ὄντα L: * ὄντα ante correctionem K εἰ LKM: ἐὰν t 22 ἀνηρτημένη Mt: ἂν ἠρτημένη K: ἂν εἴη μὴ ἠρτημένη L: scribendum ἀπηρτημένη 23 εἰς τὰ μέρη Mt 25 lemma om. K 26. 27 τὸ μὲν — πῶς ἕτερον om. K 28 τῶν μερῶν om. K 29 ἐπὶ (post καὶ) LK: περὶ Mt 31 ταὐτά] αὐτὰ L 32 αὐτὸς] οὗτος recte K

www.libtool.com.cn

οἷον πόδα χεῖρα καὶ τὰ λοιπά· τὸ γὰρ ὅλον εἰ ταὐτὸν ἑκάστῳ τῶν b 2r
ἀνομοιομερῶν, καὶ ἀλλήλοις ταὐτὰ ἔσονται. ὥστε ἡ χεὶρ τῷ ποδὶ ταὐ- 20
τὸν ἔσται.

p. 185b15 Καὶ εἰ τῷ ὅλῳ ἓν ἑκάτερον ὡς ἀδιαίρετον, ὅτι καὶ
5 αὐτὰ αὐτοῖς.

Εἰ ἓν ἑκάτερον, φησί, τῶν μερῶν ταὐτόν ἐστι τῷ ὅλῳ, διότι ἀδιαίρετόν ἐστι, πρόδηλον ὅτι καὶ αὐτὰ ἑαυτοῖς ταὐτά εἰσι. τὸ οὖν ὡς ἀδιαίρετον αἰτίας ἐστὶν ἀπόδοσις, διὰ τί τῷ ὅλῳ τὸ μέρος ταὐτόν. τὸ δὲ ἑκάτερον ἀντὶ τοῦ ἕκαστον, τουτέστιν εἰ διὰ τὸ ἀδιαίρετα εἶναι τοῦ ὅλου
10 τὰ μέρη ἕκαστον τῶν μερῶν τῷ ὅλῳ ἐστὶ ταὐτόν (τὸ γὰρ ἓν πάλιν ἀντὶ 25
τοῦ ταὐτὸν κεῖται), καὶ τὰ μέρη αὐτὰ ἑαυτοῖς, τουτέστιν ἀλλήλοις ταὐτὰ ἔσται· οὐκοῦν ἡ κεφαλὴ τῇ χειρὶ ἡ αὐτὴ ἔσται. εἰ μὲν οὖν τὸ ἑκάτερον ἀντὶ τοῦ ἕκαστον ἀκουσόμεθα, τοιαύτη ἐστὶν ἡ τῶν ῥητῶν διάνοια, εἰ δὲ συνήθως τὸ ἑκάτερον ἐπὶ δύο νοοῖτο, λέγοι ἂν τό τε ὅλον καὶ τὸ
15 μέρος. καὶ ἔστιν ἡ διάνοια τοιαύτη· εἰ, ἐπειδὴ τὸ ὅλον ἀδιαίρετόν ἐστι καὶ ἐν αὐτῷ θεωρεῖται καὶ τὸ μέρος, διὰ τοῦτο ταὐτόν ἐστι τῷ ὅλῳ τὸ μέρος, καὶ αὐτὰ αὐτοῖς τὰ μέρη, τουτέστιν ἀλλήλοις, ταὐτὰ ἔσται. διὰ τί δέ, εἰ τῷ ὅλῳ τὸ μέρος ταὐτόν, καὶ ἀλλήλοις ταὐτά εἰσιν; ὅτι εἰ τῶν μερῶν Σωκράτους ἕκαστον τῷ ὅλῳ Σωκράτει ταὐτόν ἐστι, τὰ δὲ τῷ αὐτῷ 30
20 ταὐτὰ καὶ ἀλλήλοις ἐστὶ ταὐτά, καὶ τὰ μέρη ἄρα Σωκράτους ἀλλήλοις ἔσται ταὐτά.

p. 185b16 Ἀλλὰ μὴν εἰ ὡς ἀδιαίρετον, οὐκ ἔστι ποσὸν οὐδὲ
ποιόν.

Ἐλέγξας τὴν ὑπόθεσιν τὴν λέγουσαν τὸ ὂν ἓν εἶναι ὡς συνεχές, με-
25 ταβαίνει ἐπὶ τὴν ὡς ἀμερὲς ὑποτιθεμένην, καί φησιν, ὅπερ ἤδη εἴπομεν, 35
ὅτι καὶ τὰ ποιὰ καὶ τὰ ποσὰ ἀναιρήσουσιν, καὶ οὐκέτι προχωρήσει αὐτοῖς τὸ λέγειν αὐτὸ ἄπειρον ἢ πεπερασμένον.

---

2 καὶ ἀλλήλοις iterat K ἔσονται corr. ex ἕπονται M 2. 3 ταὐτὸν τῷ ποδὶ Mt 3 ἔσται] ἐστὶ K 4. 5 ὡς — αὐτοῖς om. K 5 αὐτοῖς L 6 εἰ ἓν KM: ἓν L: εἰ t 8 διὰ τί] διότι K 9 εἰ διὰ] εἶδος K ἀδιαίρετον L 10 ἑκάστου K ἐστὶ] εἶναι K πάλιν] cf. p. 47,26 14 δύο LK: δυοῖν Mt λέγει ἂν K 15 εἰ Kt: om. LM 16 καὶ (post θεωρεῖται) om. K 17 αὐτοῖς libri ταὐτὰ] αὐτὰ L 18 τὸ μέρος τῷ ὅλῳ K 19 σωκράτει t: σωκράτη L: σω κι' KM 20 ἐστὶ] ἔσται K 20. 21 καὶ τὰ — ἔσται ταὐτά om. K 22. 23 οὐκ ἔστι — ποιόν om. K 22 οὐκ ἔστι LM: οὐδὲν ἔσται t Aristoteles 25 ἐπὶ] ὡς ἐπὶ K ἐπιτιθεμένην L εἴπομεν p. 41,1 sqq. 26 προχωρήσει scripsi: προσχωρήσει libri

www.libtool.com.cn

p. 185b19 Ἀλλὰ μὴν εἰ τῷ λόγῳ, ὡς λώπιον καὶ ἱμάτιον. b 2r

Ἐπὶ τὴν τρίτην μετέβη ὑπόθεσιν τὴν ἓν λέγουσαν τῷ λόγῳ τῷ ὁριστικῷ οὐ τοῖς ὀνόμασιν, οἷά ἐστι τὰ πολυώνυμα. τὸ αὐτὸ γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ· ὅτι τὰ ἐναντία εἰς ταὐτὸν ἄξουσιν, ὥσπερ ὁ Ἡράκλειτος. καὶ μήτε ἀγαθῷ μήτε κακῷ· ὅτι καὶ τὴν ἀντίφασιν εἰς ταὐτὸν ἄξουσιν. ὥστε συναληθεύει ἡ ἀντίφασις. καὶ ἄνθρωπος καὶ ἵππος· ὅτι καὶ τὰ ἁπλῶς ἕτερα. καὶ οὐ περὶ τοῦ ἓν εἶναι τὰ ὄντα ὁ λόγος ἔσται, ἀλλὰ περὶ τοῦ μηδέν· εἰ γὰρ συναληθεύει ἡ ἀντίφασις, ὁ τὸ ὂν λέγων ἓν εἶναι, οὗτος λέξει τὸ ὂν οὐδὲν εἶναι. ὥστε κινδυνεύει ἐκ τούτων ὁ λόγος οὐχ ἓν μᾶλλον τὸ ὂν δεῖξαι ἢ οὐδέν. καὶ τὸ τοιῳδὶ εἶναι καὶ τὸ τοσῳδὶ ταὐτόν· εἰ γὰρ ὀνόματι μόνον διαφέρουσι τὰ πράγματα, ταὐτὸν ἔσται ποσὸν καὶ ποιὸν καὶ αἱ λοιπαὶ κατηγορίαι.

p. 185b25 Ἐθορυβοῦντο δὲ καὶ οἱ ὕστεροι τῶν ἀρχαίων.

Τοῦτο οὐ πρὸς τὸ προσεχές, ἀλλὰ πρὸς τὸ ἀνωτέρω, ἔνθα ἔλεγε "τὸ αὐτὸ γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ". οὕτω γὰρ ἄτοπον, φησί, τὰ ἐναντία τὰ αὐτὰ εἶναι, ὥστε καὶ τοὺς πρὸ ἡμῶν αὐτὸ τοῦτο φοβηθῆναι, μήποτε δόξῃ τὸ αὐτὸ ἅμα ἓν καὶ πολλὰ εἶναι, οἷον ὁ Σωκράτης καὶ λευκὸς ὢν καὶ φιλόσοφος καὶ Ἀθηναῖος. οἱ δὲ τὴν λέξιν μετερρύθμιζον· ὡς Μενέδημος ὁ Ἐρετριεύς. καὶ ὁ μὲν Ἀριστοτέλης ἀνωνύμως εἶπε, τινὲς δὲ ὑπενόησαν εἰς τὸν Πλάτωνα αὐτὸν αἰνίττεσθαι, παντελῶς ἄπειροι ὄντες καὶ αὐτῆς τῆς Πλατωνικῆς λέξεως. πανταχοῦ τε γὰρ ἀεὶ ταῖς προτάσεσι τὸ ἔστι προσκατηγορεῖται, 'ἔστι τι τὸ δίκαιον' καὶ 'ἔστι τι τὸ καλόν', καὶ ἐν τῷ Σοφιστῇ αὐτοῦ τούτου τοῦ θεωρήματος μεμνημένος μέμφεται τοὺς νομίζοντας τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι διὰ τὸ | πλείονα τοῦ αὐτοῦ κατη- b 2v

---

1 post λόγῳ add. ἓν πάντα τὰ ὄντα t et Aristot. cod. I: ἓν τὰ ὄντα πάντα ceteri Ar. libri (ἑνὶ τὰ πάντα cod. E) ὡς—ἱμάτιον om. K 2 μεταβέβηκεν K τῷ ὁριστικῷ λόγῳ Mt 4. 5 καὶ μήτε ἀγαθῷ μήτε κακῷ LKM: καὶ μὴ ἀγαθῷ καὶ κακῷ t: fortasse καὶ μὴ ἀγαθῷ καὶ ἀγαθῷ cf. Aristotelis libri 6 συναληθεύσει K καὶ (ante ἄνθρωπος) K: om. LMt 7 περὶ τὸ ἓν (cf. ad p. 41,35) K 7. 8 ὁ λόγος—μηδέν om. K post ἔσται addit αὐτοῖς Arist. cod. E 8 συναληθεύσει φησὶν ἡ K 10. 11 καὶ τὸ τοιῳδὶ—ταὐτόν om. K et t (qui v. 8 post μηδέν dederat) 10 τοιῷ δὴ L τὸ (ante τοσῳδὶ) om. Aristotelis libri (praeter I) τοσῳδὶ Aristoteles: ποσῳδὶ M: ποσῷ δὴ L 11. 12 verba εἰ γὰρ—κατηγορίαι (confusa in M cum lemmate) om. t 13 ὕστεροι τῶν ἀρχαίων LM: ὕστερον (ceteris omissis) K: ὕστερον, καθάπερ καὶ οἱ ἀρχαῖοι t 14 πρὸς τῷ ἀνωτέρω LK ἔλεγον L 15 κακῷ LK: κακῷ εἶναι Mt at cf. v. 4 et Aristot. cod. F 16 ὥστε] ἅτε L αὐτὸ τοῦτο φοβηθῆναι om. L 17 τὸ αὐτὸ δόξῃ Mt καὶ ἓν καὶ L 18 μετερύθμιζον LK 19 τινὲς] Alexander ap. Simplic. p. 99,29. Themist. p. 114,13 20 αἰνίττεσθαι αὐτὸν K 22 τὸ ἔστι] τὸ εἶναι K κατηγορεῖται L τι (ante τὸ δίκαιον) et τὸ (ante καλόν) om. K 23 Σοφιστῇ p. 251 A sqq.

www.libtool.com.cn

γορεῖσθαι, καί φησιν ὅτι διὰ πενίαν τῆς κατὰ τὴν φρόνησιν κτήσεως τοῦτο b 2
πάσχουσι, μὴ δυνάμενοι διαστείλασθαι ὅτι τῷ αὐτῷ κατ' ἄλλο μὲν ὑπάρχει
τὸ ἓν εἶναι, κατ' ἄλλο δὲ τὸ πολλά. ὡς μοναχῶς λεγομένου τοῦ
ἑνὸς ἢ τοῦ ὄντος. τοῦτο ὡς διακωμῳδῶν αὐτοὺς ἐν μέσῳ εἶπεν. ὡς
5 δή, φησί, τοῦ ἑνὸς μοναχῶς καὶ οὐ πολλαχῶς λεγομένου, ὥσπερ καὶ τοῦ 5
ὄντος· τὸ γὰρ ἢ τοῦ ὄντος ἀντὶ τοῦ ὥσπερ καὶ τοῦ ὄντος.

p. 185 b 32 Πολλὰ δὲ τὰ ὄντα ἢ λόγῳ.

Τὸ γὰρ μουσικὸν καὶ τὸ λευκὸν λόγῳ μὲν ἕτερα τῷ ὁριστικῷ, τὰ
αὐτὰ δὲ τῷ ὑποκειμένῳ· ἐν ἑνὶ γὰρ καὶ τῷ αὐτῷ ἀνθρώπῳ. πολλὰ 10
10 ἄρα τὸ ἕν· τὸ τῷ ὑποκειμένῳ ἓν πολλὰ τῷ λόγῳ ἐστί, καὶ τοῦτο οὐκ
ἄτοπον οὐδὲ ἀδύνατον. ἢ διαιρέσει, ὥσπερ τὸ ὅλον καὶ τὰ μέρη.
διαιρέσει φησὶν ἀντὶ τοῦ δυνάμει· τὸ γὰρ συνεχὲς ἐνεργείᾳ μὲν ἕν τί
ἐστιν ὡς ὅλον, δύναμει δὲ πολλά, καὶ τοῦτο οὐκ ἄτοπον. οἱ μέντοι ἀρχαιό-
τεροι, φησίν, ἐνταῦθα ἤδη ἠπόρουν, λέγω δὲ ἐπὶ τοῦ συνεχοῦς, καὶ
15 οἷον νικώμενοι ὑπὸ τῆς ἀπορίας ὁμόσε τῷ ἀτόπῳ ἐχώρουν, καὶ ὡμολό-
γουν τὸ αὐτὸ ἓν εἶναι καὶ πολλά, ὡς ἄν, φησίν, οὐκ ἐνδεχόμενον τὸ
αὐτὸ καὶ ἓν καὶ πολλὰ εἶναι, μὴ μέντοι τὰ ἀντικείμενα· τὸ γὰρ αὐτὸ 15
δυνάμει ἓν καὶ πολλὰ εἶναι ἀδύνατον, ἢ ἐνεργείᾳ ἓν καὶ πολλὰ τὸ αὐτό
(ταῦτα γὰρ ἀντικείμενά ἐστιν, ἅμα δὲ τὰ ἀντικείμενα εἶναι ἀδύνατον), τὸ
20 αὐτὸ δὲ δυνάμει μὲν πολλὰ εἶναι, ἐνεργείᾳ δὲ ἕν, οὐδὲν ἀδύνατον. τοιοῦ-
τον δέ ἐστι τὸ συνεχές.

p. 186 a 4 Τόν τε δὴ τρόπον τοῦτον ἐπιοῦσιν ἀδύνατον φαίνεται
τὰ ὄντα ἓν εἶναι, καὶ ἐξ ὧν ἐπιδεικνύουσι, λύειν οὐ χαλεπόν.

Ἐνστὰς πρότερον πρὸς αὐτὸ τὸ δόγμα, νῦν μέτεισιν ἐπ' αὐτοὺς τοὺς
25 λόγους τῶν ἀμφὶ τὸν Παρμενίδην καὶ Μέλισσον, δι' ὧν κατεσκεύαζον ἓν
εἶναι τὸ πᾶν καὶ ἀκίνητον, πρότερον δὲ τὸν Μελίσσου προχειρίζεται λόγον. 20
δεῖ οὖν ἡμᾶς τὸν ὅλον λόγον τοῦ Μελίσσου πρότερον ἐκθέσθαι, καὶ εἶθ'
οὕτως ἐξετάσαι ἑκάστην τῶν προτάσεων ὅπως κατεσκευάζετο ὑπὸ τοῦ
Μελίσσου, καὶ τελευταῖον εἰπεῖν ὅπως αὐτὰς ὁ Ἀριστοτέλης ἀνασκευάζει.
30 Ἔστιν οὖν ὁ τοῦ Μελίσσου λόγος οὗτος, μᾶλλον δὲ Μελίσσου μὲν οὐκ ἔστιν

---

1 φησιν] cf. Platon. l. c. ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι κτλ. τὴν om. L 2 τὸ αὐτὸ L 3 τὸ (post ὑπάρχει) corr. ex τῷ M ἓν] ἑνὶ KM τὸ πολλά Mt: τὰ πολλά LK λεγόμενος K 4 ἢ τοῦ ὄντος om. K 10 τὸ τῷ] ἤτοι τὸ τῶ K 11 οὐδὲ ἀδύνατον om. K ὥσπερ — μέρη om. K 13 δὲ om. (superscr. ον?) L 14 ἤδη ἠπόρουν LM: ἤδη ἠποροῦντο K: διηπόρουν t 16. 17 ἐνδεχόμενόν τε αὐτὸ K 17 τὰ om. L 19 τὰ om. K 22 lemma om. K 23 καὶ (ante ἐξ) om. t 24 Ἀναστὰς (Α rubrica) K 26 πρότερον δὲ καὶ L 27 ἡμᾶς om. Mt τοῦ μελίσσου λόγον Mt

www.libtool.com.cn

ὁ συλλογισμός, ἀλλὰ τοσοῦτον ἐκεῖνος ὑπετίθετο ὅτι 'τὸ ὂν ἄναρχόν ἐστι, b 2v
τὸ ὂν ἕν ἐστι, τὸ ὂν ἄπειρόν ἐστι, τὸ ὂν ἀκίνητόν ἐστι'. τούτων οὖν τῶν
τεσσάρων ὑποτεθέντων ὑπὸ τοῦ Μελίσσου, τινὲς ᾠήθησαν αὐτὸν ἀπό τινος
συλλογισμοῦ τὰ τοιαῦτα συνάγειν, ὃν ἐκτίθεται ὁ Ἀριστοτέλης. εἴτε δὲ 25
5 καὶ τὸν συλλογισμὸν ὁ Μέλισσος ἐξετίθετο, εἴτε ἄλλοι ἐκ τοιούτου συλλογισμοῦ ᾠήθησαν αὐτὸν ταῦτα συνάγειν, οὐδὲν διαφερόμεθα. ἁπλῶς γοῦν ὁ συλλογισμὸς ἐξ οὗ τὰ εἰρημένα συνάγεται ἐστὶ τοιοῦτος· τὸ ὂν οὐ γέγονε, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, τὸ μὴ ἔχον ἀρχὴν οὐδὲ πέρας ἔχει, τὸ μὴ ἔχον πέρας ἄπειρόν ἐστι, τὸ ὂν ἄρα ἄπειρόν ἐστιν. οὕτω μὲν οὖν
10 ὅτι ἄπειρόν ἐστιν ἐδείκνυεν, ἔνθεν δὲ ὅτι καὶ ἓν καὶ ἀκίνητον. εἰ γὰρ ἄπειρον, δῆλον ὅτι καὶ ἓν ἂν εἴη· τὸ γὰρ ἄπειρον τὸν πάντα τόπον κατείληφεν, εἰ δὲ τοῦτο, οὐ συγχωρήσει ἄλλο εἶναι, ἐπεὶ οὕτως οὐκ ἂν εἴη 30
ἄπειρον. διὰ δὲ τὸ ἓν εἶναι καὶ ἄπειρον, δι' ἀμφότερα ταῦτα καὶ ἀκίνητον ἔσται· εἰ γὰρ τὸν ὅλον κατείληφε τόπον, οὐχ ἕξει ποῦ κινηθῆναι. πάλιν
15 εἰ ἕν ἐστιν, ἀνάγκη αὐτὸ καὶ ἀκίνητον εἶναι· εἰ γὰρ κινοῖτο, ἀνάγκη εἶναι ἢ τόπον ἢ χρόνον ἐν ᾧ κινεῖται, ἢ αὐτὸ τῆς κινήσεως τὸ εἶδος καθ' ὃ κινεῖται. ὥστε πάλιν οὐκ ἔσται ἕν, ἀλλὰ πολλά. διὰ τούτων μὲν οὖν ὅτι ἓν τὸ ὂν καὶ ἄπειρον καὶ ἀκίνητον ὁ Μέλισσος κατεσκεύαζε.

Δεῖ δὲ ἐπισκέψασθαι ἑκάστην τῶν προτάσεων πόθεν αὐτῷ εἴληπται.
20 ὅτι μὲν γὰρ τὸ ὂν οὐ γέγονε, δείκνυσιν οὕτως. εἰ γὰρ γέγονε τὸ ὄν, ἢ ἐξ ὄντος 35
γέγονεν ἢ ἐξ οὐκ ὄντος· εἰ μὲν οὖν ἐξ ὄντος, ἔσται τὸ ὂν πρὶν γενέσθαι (τὶ μὲν γὰρ ὂν ἐκ τινὸς ὄντος γίνεται, τὸ δὲ ἁπλῶς ὂν οὐκ ἂν ἐξ ὄντος γένοιτο· αὐτὸ γὰρ ἐξ αὑτοῦ γίνοιτο ἄν. ὥστε πρὶν γενέσθαι ἦν, ὅπερ ἄτοπον), εἰ δὲ ἐξ οὐκ ὄντος, ἀνάγκη ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος· τὸ γὰρ ἁπλῶς
25 ὂν εἰ γίνεται, ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γένοιτ' ἄν. ἀλλὰ τοῦτο κοινόν ἐστιν ὁμολόγημα πάντων τῶν φυσικῶν τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι (δεῖ γὰρ ὑπομένειν τι ἐν τῇ γενέσει ὃ μεταβάλλει, καὶ τὸ γινόμενον

---

1 post τοσοῦτον addit μὲν L 1. 2 ἄποιον (om. ἄναρχόν — ἄπειρόν) K 3 τεσσάρων] δι' (sic) K αὐήθη K 5 ἄλλοις L ἐκ τοῦ τοιούτου K 6 συναγαγεῖν K γοῦν K: γὰρ οὖν L: γὰρ Mt 8 γινόμενον K 10 ἐστιν (ante ἐδείκνυεν) om. K ἓν καὶ om. K 10. 11 εἰ γὰρ ἄπειρόν ἐστι Mt 11 δῆλον — ἄπειρον om. K 13 ἓν καὶ ἄπειρον εἶναι Mt 14 οὐκ K οὐχ ἕξει ποῦ κινηθῆναι] servavi librorum omnium scripturam idem facturus m 1v32, 35, 2r28, 37, q 3r23, r 2r18, quamvis levi sane mutatione ubique liceat rescribere vel που pro ποῦ (cf. l 7v11, q 4v30 et ex. gr. Simplic. p. 486,9) vel κινηθῇ et χωρῇ (cf. m 2r22 et infra ad p. 53,33). non dissimile est quod codices omnes exhibent l 2r40 λέγειν ποίῳ μὲν συγχωρεῖν (συγχωρεῖ t), ποίῳ δ' οὔ. conferenda sunt omnino, nec tamen sine cautione, quae ex Jacobi Leopardii scidis edidit L. de Sinner in Mus. Rhen. 3 (1835) p. 13. Lobeck ad Phryn. p. 772 (Addend. ad p. 753) 15 κινοῖτο] κοινῶτο M: κοινοῖτο t 16 ἢ τόπον ἢ χρόνον εἶναι Mt 17 ἔσται ἕν] ἔστιν ἓν τὸ ὂν K 18 ὂν καὶ om. M: superscr. M² 22 οὐκ ἂν Kt: οὐκ LM 23 ἐξ αὐτοῦ LK γίνοιτο ἄν] γένοιτ' ἄν K 24 μηδαμῇ om. et post μηδαμῶς ὄντος addit γίνεσθαι (cf. v. 26 sq.) K 25 γίνεται] γένοιτο K: fort. γίνοιτο ἁπλῶς μὴ KMt: μὴ ἁπλῶς L 25. 26 ὁμολόγημά ἐστι Mt 26 τῶν φιλοσόφων K μηδαμῇ om. K ὄντως L

www.libtool.com.cn

δεῖ δύνασθαι γενέσθαι τοῦτο ὅπερ γενήσεται· δεῖ γὰρ τὸ παιδίον δύνασθαι b 2v
γενέσθαι γραμματικόν. οὕτως οὖν καὶ τὸν γενησόμενον ἄνθρωπον δεῖ εἰς
τοῦτο ἐπιτηδειότητα ἔχειν, τὸ δὲ τὴν ἐπιτηδειότητα ἔχον καὶ αὐτὴ ἡ 41
ἐπιτηδειότης ὄν τί ἐστι· πᾶν ἄρα τὸ γινόμενον ἐξ ὄντος γίνεται). εἰ τοίνυν
5 ἀνάγκη τὸ ὂν εἰ γίνοιτο, ἢ ἐξ ὄντος γίνεσθαι ἢ ἐκ μὴ ὄντος, ἑκατέρῳ δέ
τι ἄτοπον ἕπεται, δῆλον ἄρα ὅτι τὸ ὂν οὐ γέγονεν. ὅτι δὲ τὸ μὴ γενό-
μενον ἀρχὴν οὐκ ἔχει, δείκνυσιν ἐκ τοῦ ἀντικειμένου ἀντιστροφῇ χρησά-
μενος. λαμβάνει γὰρ ὅτι τὸ γενόμενον πᾶν ἀρχὴν ἔχει. εἰ τοίνυν τὸ
γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει. ὅτι δὲ τὸ ἀρχὴν 45
10 ἔχον καὶ πέρας ἔχει, ἐκ κοινῶν πάλιν ὁμολογημάτων εἴληφε· καὶ γὰρ αὐτὴ
ἡ ἀρχὴ πέρας τί ἐστιν. ἡ μὲν οὖν ὅλη ἀγωγὴ τοῦ Μελισσείου λόγου αὕτη.

Ἐγκαλεῖ δὲ αὐτῷ ὁ Ἀριστοτέλης πλείονα, καὶ πρῶτον τὴν ἀντιστροφὴν
ὅτι κακῶς ἀπὸ τοῦ ἡγουμένου ἐποιήσατο. ὁ γὰρ νόμος τῆς σὺν ἀντιθέσει
ἀντιστροφῆς ὀφείλει ἐκ τοῦ ἑπομένου γίνεσθαι· τότε γὰρ ἀληθὴς γίνεται,
15 ὅταν λάβωμεν τὸ ἀντικείμενον τῷ ἑπομένῳ καὶ κατασκευάσωμεν τὸ ἀντι-
κείμενον τῷ ἡγουμένῳ, ἐὰν δὲ ἀπὸ τοῦ ἡγουμένου γένηται ἡ ἀντιστροφή,
οὐ πάντως ἀληθεύει, εἰ μὴ ἐξισάζωσιν οἱ ἀντιστρέφοντες ὅροι. εἰ μὲν γὰρ 50
ἄνθρωπος, πάντως καὶ ζῷον· οὐ μὴν εἰ μὴ εἴη τι ἄνθρωπος, διὰ τοῦτο
πάντως οὐδὲ ζῷον ἔσται (ὁ γὰρ ἵππος οὐκ ἄνθρωπος μέν, ζῷον δ' ὅμως),
20 ἀλλ' εἴ τι μὴ ζῷον εἴη, τοῦτο οὐδὲ ἄνθρωπος. ἀληθὲς οὖν ἀεὶ τὸ ἐκ
τοῦ ἑπομένου ἀντιστρέφειν, ψεῦδος δὲ τὸ ἐκ τοῦ ἡγουμένου. εἰ τοίνυν ἀντι-
στρέψωμεν ἐκ τοῦ ἑπομένου, ὥσπερ νόμος τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ,
ἥτις ἀεὶ τὸ ἀναγκαῖόν τε καὶ ἀληθὲς ἔχει, ποιοῦμεν συλλογισμὸν ἐν δευ-
τέρῳ σχήματι ἐκ δύο ἀποφατικῶν· 'εἰ γὰρ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ 55
25 ἀρχὴν ἔχον οὐδὲ γέγονε. τὸ οὖν ὂν οὐ γέγονε. τὸ μὴ ἀρχὴν ἔχον οὐ
γέγονεν.' ὥστε ἀσυλλόγιστος | ἡ συζυγία. ἔπειτα εἰ καὶ συγχωρήσωμεν τῇ b 3r
ἀντιστροφῇ τοῦ Μελίσσου, καὶ οὕτως ἐλεγχθήσεται ὁ λόγος· τὸ γὰρ τῆς
ἀρχῆς σημαινόμενον διττόν ἐστι. λέγεται γὰρ ἀρχὴ ἤτοι ἡ χρονική, λέγω
δὲ αὐτὸ τὸ νῦν ἐν ᾧ γίνεταί τι, ἢ ἡ πραγματική, οἷον ἡ ὕλη ἢ τὸ εἶδος·
30 ἤγουν ἐπὶ τοῦ ζῴου ὁ ποιεῖ πρῶτον ἡ φύσις φέρε εἰπεῖν τὸ σαρκίον, ἢ

---

1 τοῦτο om. superscr. L τῷ παιδὶ L 2 τὸν] τὸ L 3 αὕτη L 4 ante γίνεται addit τινὸς K 5. 6 δὲ ἄτοπόν τι K 7. 9 δείκνυσιν — οὐκ ἔχει omissis interpolat οὕτω κατεσκεύαζεν L 9 γινόμενον (post μὴ) K τὸ τὴν ἀρχὴν L 10 καὶ γὰρ καὶ αὐτὴ K 11 μελισσείου LKM: μελίσσου t 12 τὰ πλείονα K πρώτην L et compend. M 13. 14 τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ (ut v. 22) L 14 ἀληθὲς L 16 γένηται LK: γίνηται Mt 17 ἐξισάζουσιν Mt 18 τι] τὶς K 21. 22 ἀντιστρέψομεν Mt 22 ἑπομένου in marg. L²: ἡγουμένου L 23 τε om. K ἀληθὲς Mt: τὸ ἀληθὲς K: ἀληθινὸν L 24 ἐκ δύο ἀποφατικῶν om. K ἀποφατικῶν] ἀποκαταφατικῶν L γινόμενον K 25 οὖν om. K 26 ὥστε] ἤπερ t 26. 27 ἔπειτα — Μελίσσου om. L συγχωρήσωμεν K: συγχωρήσομεν Mt 27 οὕτος ante correctionem K post οὕτως inserit δὲ L² ἐλεχθήσεται K 29 δὲ] δὴ L ἡ (post ἢ) om. K 30 ἤγουν] ἡ ὡς idque a noto vocis ἤγουν non intellecto compendio (quod et in K extat) originem trahit L ὁ om. L σαρκίον] superscr. ὕλη L²

www.libtool.com.cn

πάλιν ἀρχὴ ἡ καρδία ἢ ὁ ἐγκέφαλος. ποίαν οὖν ἀρχὴν ὁ Μέλισσος ἐλάμ- b 3r
βανεν; εἰ μὲν τὴν χρονικήν, ἴδωμεν τί ἕπεται τῷ λόγῳ. τὸ ὂν οὐ γέγονε,
τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει τὴν χρονικήν, τὸ μὴ ἔχον ἀρχὴν χρονικὴν
οὐδὲ πέρας ἔχει χρονικόν (δεῖ γὰρ καὶ τὸ πέρας δηλονότι ἀναλόγως τῇ
ἀρχῇ λαμβάνειν), τὸ μὴ ἔχον πέρας χρονικὸν ἀτελεύτητόν ἐστι, τὸ ὂν ἄρα
ἀτελεύτητόν ἐστιν. ἀλλὰ μὴν καὶ ἄναρχόν ἐστι κατὰ χρόνον ἐπεὶ μὴ γέγονε,
τὸ δὲ ἄναρχον κατὰ χρόνον καὶ ἀτελεύτητον ἀίδιόν ἐστι, τὸ ὂν ἄρα ἀίδιόν
ἐστιν. ἀκολουθήσει οὖν τῇ ἀντιστροφῇ, ἀρχὴν λαμβανόντων ἡμῶν τὴν
χρονικήν, τὸ τὸ ὂν οὐκ ἄπειρον εἶναι ἀλλ' ἀίδιον. εἰ δὲ τὴν πραγματικὴν
ἀρχὴν λάβωμεν, οὐκέτι χώραν ἕξει ἡ ἀντιστροφή· οὐδὲ γὰρ ἐπειδὴ τὸ γε- 10
νόμενον ἀρχὴν ἔχει πραγματικήν, τὸ μὴ γενόμενον ἀρχὴν οὐχ ἕξει πραγμα-
τικήν. τί γὰρ ἐκώλυε, καὶ εἰ ἀγένητον ἦν τὸ ὄν, σῶμα δ' οὖν ὅμως
ὑπάρχον, ἀρχὴν ἔχειν πραγματικὴν τὴν ὕλην ἑαυτοῦ καὶ τὸ εἶδος; καὶ τῶν
σφαιρῶν δὲ ἀρχὴ πραγματικὴ ἂν εἴη τὸ κέντρον, πέρας δὲ ἡ ἐπιφάνεια, καὶ
εἰ ἀγένητοι εἶεν καὶ τοῦτό τις συγχωρήσειεν. ἔπειτα, φησί, τί κωλύει καὶ
ἄπειρον αὐτὸ ὂν κινεῖσθαι περὶ ἑαυτὸ δινούμενον καὶ μὴ ἐπιλαμβάνον τόπον
ἕτερον, ὥσπερ τὸ ἐν τῷ κεράμῳ ὕδωρ καὶ ὥσπερ τὰ κύκλῳ κινούμενα
πάντα, οἷον τὰ οὐράνια; ἔπειτα, φησίν, εἰ καὶ κατὰ τόπον κινεῖσθαι οὐ 15
δύναται τὸ ἄπειρον, τί κωλύει ὅσον ἐπὶ ταῖς σαῖς ὑποθέσεσι κατ' ἀλλοίωσιν
αὐτὸ κινεῖσθαι; αὐτὸς μὲν οὖν ὁ Ἀριστοτέλης δείκνυσιν ὅτι τὸ ἄπειρον,
εἴπερ γε ὅλως εἴη, πάντῃ τε καὶ πάντως καὶ δύναμιν ἄπειρον ἕξει καὶ διὰ
τοῦτο ἀμετάβλητον ἔσται κατὰ πᾶσαν μεταβολήν· εἰ γὰρ μεταβάλλει, δεῖ
μεταβάλλειν αὐτὸ ὑπὸ τοῦ μεταβλητικοῦ, τὸ δὲ πάσχον ὑπὸ μείζονος
πάσχει δυνάμεως (οὔτε γὰρ ὑπὸ τῆς ἐλάττονος, οὔτε ὑπὸ τῆς ἴσης πάθοι
τι ἄν), τοῦ δὲ ἀπείρου οὐκ ἔστι μεῖζον. καὶ ἄλλως ὅτι οὐδὲ ἔσται τὸ
δρᾶσον εἰς τὸ ἄπειρον, εἴ γε μηδὲ συνυπάρξαι τι αὐτῷ ἕτερον δύναται τοῦ 20
ἀπείρου τὸ πᾶν κατειληφότος. οὐ γὰρ δὴ καθ' ἑτέραν μὲν τῶν διαστάσεων
ἄπειρον ἂν εἴη, καθ' ἑτέραν δὲ οὔ (μυθῶδες γὰρ τοῦτο καὶ ἀποκληρωτικόν),
ἀλλὰ δῆλον ὅτι, εἴ γε ὅλως δύναταί τι σῶμα ἄπειρον εἶναι, κατὰ τὰς τρεῖς
διαστάσεις ἄπειρον ἂν εἴη. ὁ μὲν οὖν Ἀριστοτέλης, ὡς εἶπον, δείκνυσιν
ὅτι τὸ ἄπειρον πάντως καὶ ἀμετάβλητον, διότι καὶ ἀπειροδύναμον, ἀλλ'
ἐπειδὴ ὁ Μέλισσος διὰ τοῦτο μόνον ἔλεγε τὸ ἄπειρον μὴ κινεῖσθαι, διότι
μὴ ἔχει ποῦ μεταβῇ κατειληφὸς τὸν πάντα τόπον, διὰ τοῦτο ὡς πρὸς 25

---

1 καρδία] 'superscr. quaedam' (εἶδος opinor) 'quae non expedivi L²' 2 μὲν LK: μὲν γὰρ M: μὲν γὰρ t 3 γινόμενον LK 6 ἄναρχόν] ἄχρονον primitus M

10 λαβωμεν KM: λάβοιμεν (ad quod nihil enotatum ex L) t 11 ἀρχὴν (ante οὐχ) om. Mt 12 ἀγέννητον et in proximis ἔχει M 13 ἑαυτοῦ καὶ τὸ εἶδος] καὶ τὸ εἶδος αὐτοῦ K 14 δὲ (post σφαιρῶν) om. L 15 ἀγέννητοι t καὶ (post κωλύει) om. K 16 περὶ αὐτὸ K ἐπιλαμβανόμενον K 17 τῷ om. K 21 τε] γε L πάντως] litterae αντως in ras. K 23 ὑπὸ τοῦ] ἀπὸ τοῦ L

24 πάθη primitus L 28 μυθῶδες] θυμῶδες primitus L: μυθῶ δὲ (sic) K 29. 30 post διαστάσεις non post εἶναι distinguit t 30 διαστάσεις ἄἄπειρον (sic) K 32 μόνον om. K 33 μεταβῆναι compend. K v. ad p. 51,14

www.libtool.com.cn

ταύτην τὴν ὑπόθεσίν φησιν οὐδὲν κωλύει αὐτὸ καὶ κατὰ τόπον κινεῖσθαι b 3r
δινούμενον καὶ κατ' ἀλλοίωσιν. εἰ μὲν οὖν διὰ τοῦτο μόνον ὁ Μέλισσος
ἀκίνητον ἔλεγε τὸ ὄν, τῷ ὄντι οὐδὲν ἐκώλυεν αὐτὸ καὶ κύκλῳ κινεῖσθαι
καὶ ἀλλοιοῦσθαι, εἰ δὲ μὴ μόνον διὰ τοῦτο, ἀλλὰ διότι καὶ ἓν αὐτὸ ὑπε-
5 τίθετο, οὐκ ἐλέγχοιτ' ἂν ὅσον ἐκ τούτων. τὸ γὰρ τῷ ὄντι ἓν καὶ μόνως
ἓν ἀμεταβλητον ἂν εἴη κατὰ πᾶσαν μεταβολήν· εἰ γὰρ μεταβάλλοι, ἔσται
τι τὸ καθ' ὃ ἡ μεταβολή, καὶ οὕτως οὐχ ἓν ἔσται πάλιν, ἀλλὰ πλείω.

Αἱ μὲν οὖν πρὸς τὸν τοῦ Μελίσσου λόγον ἐνστάσεις τοῦ Ἀριστοτέλους 30
αὗται. πρὸς δὲ τὸ μὴ γεγονέναι τὸ ὂν οὐκ ἀντιλέγει· δοκεῖ γὰρ καὶ αὐτῷ τοῦθ'
10 οὕτως ἔχειν, ἀγένητον τὸ πᾶν οἰομένῳ. εὔλογον δὲ οἶμαι μὴ ἀνεξέταστον
καταλεῖψαι τὴν ἐπιχείρησιν, δι' ἧς ὡς οὐχ οἷόν τέ ἐστι γεγονέναι τὸ ὂν
κατεσκευάσθη. ὅτι μὲν γὰρ τὸ ἁπλῶς ὂν οὐκ ἂν γένοιτο ἐξ ὄντος, ἐναργὲς
οἶμαι παντί· εἴη γὰρ ἂν πρὶν γενέσθαι. πῶς δὲ οὐδὲ ἐκ μὴ ὄντος οἷόν
τε αὐτὸ γίνεσθαι; οὐδὲ γὰρ ἐπειδὴ τοῖς πολλοῖς τῶν φυσικῶν οὕτως
15 ἔδοξεν, ἤδη καὶ ἀληθὲς εἶναι τοῦτο ἀνάγκη· πολλὰ γὰρ καὶ ἄλλα οὐκ 35
ἀληθῶς αὐτοῖς ἔδοξεν, ὧν πολλὰ καὶ Ἀριστοτέλης ἀπήλεγξεν. ἀλλ' οὐδ'
εἰ πρὶν γενέσθαι τὸ ὂν δύνασθαί φαμεν αὐτὸ γενέσθαι, ἤδη διὰ τοῦτο ἐκ
προϋποκειμένου τινὸς ὄντος τὴν γένεσιν αὐτοῦ ὑποτιθέμεθα ὡς ὑλικοῦ αἰτίου·
τί γὰρ κωλύει διὰ τὸ προϋπάρχειν αὐτοῦ τὸ ποιητικὸν αἴτιον, καὶ οὐχὶ διὰ
20 τὸ ὕλην τινὰ προϋποκεῖσθαι τὴν εἰς τὸ γινόμενον μεταβάλλουσαν, ταύτῃ
λέγειν ἡμᾶς ὡς ὅτι πρὶν γένηται ἠδύνατο γενέσθαι; κατὰ γὰρ τὴν ὑλικὴν
αἰτίαν, εἰ μὴ δειχθείη αὐτὴ καθ' αὑτὴν οὖσα ἀγένητος, οὐκ εὔλογον κατ'
αὐτῆς φέρειν τὸ δύνασθαι· πῶς γὰρ ἡ ὕλη δύνασθαι λέγοιτ' ἂν τόδε τι
εἶναι, εἰ μὴ αὐτὸ τοῦτο πρότερον δειχθείη ὅτι ὑφέστηκεν; ὡς οὐδὲ τὸ 40
25 εἶδος λέγοιτ' ἂν δύνασθαί τι, πρὶν ὑποστῇ. ὥστε εἰ μὲν αὐτό τις λέγει
ἐξ ὄντος ἀντὶ τοῦ ἐκ ποιητικοῦ αἰτίου, ὁμολογοῦμεν πᾶν τὸ γινόμενον ἐξ
ὄντος γίνεσθαι (παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν), εἰ δὲ ὡς
προϋποκειμένου ὑλικοῦ αἰτίου, οὐκέτι ἀνάγκη ἐκ τοῦ λέγειν 'τὸ ὂν πρὶν γε-
νέσθαι ἠδύνατο γενέσθαι' ἐξ ὄντος αὐτὸ γίνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος, εἴπερ
30 μὴ δειχθείη πρότερον ἡ ὕλη αὐτὴ κατὰ τὸν αὐτῆς λόγον ἀγένητος οὖσα
καὶ ἄφθαρτος. τέως μέντοι τὸ νῦν δὴ λεχθὲν ἐπιχείρημα οὐκ ἀναγκάζει 45
ἐξ ὄντος γίνεσθαι τὰ γινόμενα κατὰ τὸ ὑλικὸν αἴτιον, ἀλλ' ὅσον ἐπ' αὐτῷ

---

1 fort. κωλύειν 3 αὐτῶ primitus K 5 τῶ γὰρ ὄντι (om. τὸ) K 6 μεταβάλλοι L: μεταβάλλει K: μεταβάλοι Mt 7 τὸ (post τι) om. Mt 9 αὐτὸ K
10 ἀγένητον Mt: ἀγέννητον L: ἀκίνητον K οἰομένων compend. K 11 καταλῆψαι K τέ] τι primitus L 12 γένηται K 13 post παντί add. εἶναι Mt
γὰρ om. L πρὶν γενέσθαι expunxit L² δὲ οὐδὲ] δὲ οὐκ K 14 αὐτὸ
(scriptum αὐ̅τ̅ M) LKM: αὐτ (h. e. αὐτὸν) t 16 ἀληθῶς] ἀληθῆ fort. recte L
19 ποιητικὸν K 20 τὴν] τῆς (sic) K γενόμενον L 21 ὡς ὅτι] v. ad
p. 6,30 23 αὐτῆς] αὐτὴν K 25 δύνασθαι λέγοιτ' ἄν τι Mt αὐτό] οὕτω K
26 ὁμολογουμένως et 27 γίνεται K 29 αὐτὸ Kt et corr. L: αὐτοῦ M et primitus L
γίνεσθαι] γενέσθαι t μὴ ὄντως primitus K 30 αὐτῆς libri 31 δὴ λεχθὲν ex
δεχθὲν corr. M: διαλεχθὲν K 32 αὐτῷ Mt: αὐτὸ (Hermann ad Viger. ed. IV p. 858)
LK at cf. p. 53,19

www.libtool.com.cn

καὶ ἐκ μὴ ὄντος ἐνδέχεται, συνυφισταμένης τῆς ὕλης ἅμα τοῖς εἴδεσιν ὑπὸ b 3r
τῆς δημιουργικῆς αἰτίας. ὥσπερ γὰρ τὰ εἴδη παράγει μὴ ὄντα πρότερον,
τί κωλύει καὶ τὴν ὕλην μὴ οὖσαν παράγειν, ἵνα καὶ ἐξ ὁλοκλήρου δημιουργὸς
ᾖ; εἰ δὲ καὶ τὴν ὕλην παράγει, δεήσει καὶ αὐτὴν ἢ ἐξ ὄντος ἢ ἐκ μὴ
5 ὄντος, καὶ τοῦτο ἐπ' ἄπειρον. μήποτε δὲ οὐδ' ὅλως ἐπὶ τοῦ ἁπλῶς ὄντος
ἔχει χώραν τὸ ζητεῖν εἴτε γέγονεν εἴτε μή, εἴπερ τὸ ὂν οὐκ ἔστι τῶν δέκα
κατηγοριῶν γένος, ἀλλὰ φωνὴ ὁμώνυμος εἰς διάφορα διαιρουμένη σημαινό- 50
μενα. τὰ μὲν γὰρ γένη καὶ ὅλως τὰ καθόλου φύσεώς τινός ἐστι δηλωτικά
(ἡ γὰρ τοῦ ζῴου φύσις ἄλλο τί ἐστι παρὰ τὸν ἄνθρωπον καὶ παρ' ἕκαστον
10 τῶν λοιπῶν· ὅθεν εἰ καὶ πάντως ἐν τοῖς μεριχοῖς θεωρεῖται ζῴοις, ἀλλ'
οὖν ἔχει τινὰ κατὰ τὸν αὐτῆς λόγον φύσιν, εἴτε γέγονεν εἴτε οὔ), αἱ δὲ
ὁμώνυμοι φωναὶ οὐσίας ἢ ὅλως ὑποστάσεώς τινος κοινῆς οὐκ οὖσαι δη-
λωτικαί, πῶς ἂν λέγοιντο ἢ γίνεσθαι ἢ μὴ γίνεσθαι; τὸ γὰρ μῦς, φέρε,
οὐδεμιᾶς κοινῆς φύσεως δηλωτικόν ἐστι. μηδεμιᾶς οὖν ὑποκειμένης κοινῆς
15 φύ|σεως ἐν τοῖς ὁμωνύμοις, πῶς ἂν λέγοιτο ἢ γίνεσθαι ἢ μή; ὁμοίως οὖν, b 3v
εἰ καὶ τὸ ὂν γένος μὲν οὐκ ἔστι, φωνὴ δὲ μόνον ὁμώνυμος, οὐδεμία δη-
λονότι κοινὴ φύσις ὑπὸ τοῦ ὄντος σημαίνεται. κατὰ φωνὴν γὰρ μόνην ἡ
τῶν δέκα κατηγοριῶν ἐστὶ κοινωνία· οὐκ ἔστι γὰρ ὄν τι ἁπλῶς, ἀλλ' ἢ
οὐσία ἐστὶν ἢ ποσὸν ἢ τῶν ἄλλων τι. ὥστε οὐδ' ὅτι γέγονεν, οὐδ' ὅτι
20 οὐ γέγονε ζητεῖν περὶ αὐτοῦ εὔλογον, ζητοῦμεν δὲ εἰ γέγονε τὸ σῶμα ἢ
οὔ, εἰ γέγονεν ὁ κόσμος ἢ οὔ, καὶ εἰ γέγονε, πότερον ἐξ ὄντων ἢ ἐξ οὐκ 5
ὄντων· καὶ οὐκ ἀδύνατον ἐπὶ τούτων καὶ ἐξ ὄντων λέγειν, εἰ δειχθείη
προϋποκεῖσθαι τὴν ὕλην ἐν ᾗ ὑφίσταται τὸ γινόμενον, καὶ ἐκ μὴ ὄντων,
εἰ καὶ αὐτὴ ἡ ὕλη ἅμα τῷ εἴδει εἰς τὸ εἶναι παράγοιτο. πρὸς μὲν οὖν
25 τὸ μὴ γεγονέναι τὸ ὂν τοσαῦτα καὶ παρ' ἡμῶν ὡς πρὸς τὸ παρὸν ἡγείσθω,
ἐν ἄλλοις ἡμῖν γεγυμνασμένων ἱκανῶς τῶν τοιούτων θεωρημάτων.

Ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὁμολογεῖ μὴ εἶναι φυσικοὺς τοὺς
ἄνδρας τούτους, δηλοῦσι δὲ καὶ αὐτὰ τὰ συγγράμματα τῶν ἀνδρῶν (ὁ γὰρ
Παρμενίδης, ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγων τὸ ὄν, ἐν τοῖς πρὸς 10
30 δόξαν δύο φησὶν εἶναι τὰς ἀρχὰς τῶν ὄντων, πῦρ καὶ ὕδωρ, διὰ τῶν ἄκρων
περιλαμβάνων καὶ τὰ μέσα, ὡς δὴ ἐν τούτοις μὲν περὶ τῶν φυσικῶν δια-
λεγόμενος, ἃ καὶ δοξαστὰ καλοῦσιν, ἐν δὲ τοῖς πρὸς ἀλήθειαν περὶ τῶν
νοητῶν), ἄξιον ἐπισκέψασθαι ὡς πρὸς τὸν σκοπὸν τοῦ ἀνδρὸς τὴν τῶν
προτάσεων ἀκολουθίαν.

---

1 συνιφισταμένης operarum errore t 4 καὶ (ante αὐτὴν) om. Mt 11 αὐτῆς scripsi: αὐτοῦ libri εἴτε] οὔτε utrobique primitus L οὔ LKM: μή t 14. 15 κοινῆς φύσεως (ante ἐν) LK: φύσεως κοινῆς Mt 15 λέγοιντο L 16 μόνον om. K 19. 20 οὐδ' ὅτι οὐ γέγονε om. L 21 ἢ γέγονεν ὁ κόσμος K: fort. ἢ εἰ γέγ. ὁ κόσμος 21. 22 ἐξ ὄντων ἢ ἐξ οὐκ ὄντων om. L 24 παραγάγοιτο L 25 post τὸ ὂν addit καὶ (ὡς superscr. L²) οὐκ ἀδύνατον L τοσαῦτα] 'superscr. quaedam L²' ὡς—ἡγείσθω om. L ὡς om. K ἡγείσθω] εἰρήσθω Diels, ἀρκείτω ego conieci 26 ἱκανῶς γεγυμνασμένων L 27 ὁ Ἀριστοτέλης om. L 27. 28 τούτους τοὺς ἄνδρας L 29 παρμενίδης LK: μέλισσος (v. Zeller I⁴ p. 561 et 562,2) Mt 30 ὕδωρ libri: immo γῆν cl. p. 22,2, c 6 r 54 sqq. idem error in interpolatis d 4 r 33 34 προστάσεων K

www.libtool.com.cn

Ἰστέον οὖν ὅτι τὸ μὲν νοητὸν πᾶν ὂν ἐκάλουν, τὸ δὲ αἰσθητὸν γινόμενον. b 3v
οὕτω γοῦν καὶ ὁ Πλάτων αὐτὰ καλεῖ, ἐξ αὐτοῦ λαβὼν "τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον;" περὶ τοῦ νοητοῦ λέγων. "τί δὲ τὸ γινόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε;" περὶ τοῦ αἰσθητοῦ· "τὸ μὲν δὴ νοήσει μετὰ λόγου 15
περιληπτόν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν." ἐπεὶ οὖν ἐν τῷ νοητῷ ἑώρων ἐπικρατοῦσαν τὴν ἕνωσιν (ἔστι μὲν γὰρ ἐν πᾶσι καὶ ἕνωσις καὶ διάκρισις, ἀλλ' ἀεὶ τὸ κρεῖττον καὶ ἐγγυτέρω τῆς μιᾶς τῶν πάντων ἀρχῆς τῇ ἑνώσει μᾶλλον κεκράτηται. ἔστι γοῦν καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς ἀλόγοις καὶ ἕνωσις καὶ διάκρισις, ἀλλ' ἐπικρατεῖ μᾶλλον ἐκείνων ἐν ἡμῖν ἡ ἕνωσις· ἥμερον γὰρ καὶ κοινωνικὸν ζῷον ὁ ἄνθρωπος· ἐν ἐκείνοις δὲ μᾶλλον ἡ διάκρισις. πάλιν καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς οὐρανίοις ὁρᾶται καὶ ἕνωσις καὶ διάκρισις, ἀλλ' ἐν ἐκείνοις μᾶλλον ἡμῶν ἐπικρατεῖ ἡ 20
ἡ ἕνωσις. ὁμοίως καὶ ἐν τοῖς νοητοῖς πάντων μᾶλλον ἐπικεκράτηκεν ἡ ἕνωσις), ἐπεὶ οὖν ἑώρων αὐτὰ κεκρατημένα τῇ ἑνώσει, καὶ οἱονεὶ διὰ πάντων τὴν κοινὴν καὶ μίαν πάντων ἀρχὴν ὁρωμένην διὰ τὴν πρὸς αὐτὴν ἕνωσιν, ἕν τε ἔλεγον εἶναι τὸ νοητὸν πᾶν καὶ ἄναρχον, μὴ διαστέλλοντες αὐτὰ τῆς ἰδίας ἀρχῆς, μηδὲ ἄλλο μὲν εἶναι τὴν ἀρχήν, ἄλλο δὲ τὸ ἀπὸ ταύτης, διὰ τὸ αὐτὴν διὰ πάντων ὁρᾶσθαι μίαν οὖσαν καὶ ἄναρχον. διὰ τοῦτο γοῦν ἀκολούθως μηδὲ πέρας ἔχειν αὐτὸ ἔλεγον, διὰ τὸ ἀπειροδύναμον καὶ ἐπὶ πάντα διῆκον καὶ μὴ ὑπό τινος ἀποπερατούμενον. ὥστε εἰ πᾶν τὸ 25
νοητὸν ὂν ἐκάλουν καὶ οὐ γενόμενον, πᾶν δὲ πάλιν ἄναρχον εἶναι διὰ τὴν εἰρημένην αἰτίαν, ἐξισάζει ταῦτα ἄρα ἀλλήλοις τό τε μὴ γενόμενον καὶ τὸ μὴ ἀρχὴν ἔχον· ἐπὶ τῶν αὐτῶν γὰρ ἄμφω. ὁμοίως καὶ εἰ [τὸ] γενητὸν πᾶν τὸ αἰσθητὸν ἔλεγον, τοῦτο δὲ πᾶν ἀρχὴν ἔχει ἢ χρονικὴν ἢ πραγματικήν, καὶ ταῦτα ἄρα ἐξισάζει ἀλλήλοις τό τε γενόμενον καὶ τὸ ἀρχὴν ἔχον. ὥστε εἴ τι γενόμενόν ἐστι, τοῦτο καὶ ἀρχὴν ἔχει, καὶ εἴ τι ἀρχὴν ἔχει, τοῦτο καὶ γέγονε· καὶ πάλιν εἴ τι μὴ γενόμενον, τοῦτο ἀρχὴν οὐκ ἔχον, καὶ ἔμπαλιν εἴ τι ἀρχὴν οὐκ ἔχον, τοῦτο οὐδὲ γενόμενον. ὥστε 30

---

1 γενόμενον L 2 οὔπω οὖν K Πλάτων Tim. p. 27 D τὸ ὂν ἀεί] τὸ ὂν μὲν ἀεί (item Simplic. p. 135,10) K 3 ἔχον Mt: ἔχων L: ἔχων K τί δὲ KMt: om. L: ἢ τί L²: καὶ τί Plato γενόμενον ἀεί (om. μὲν) K 5 περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν Plato cf. p. 22,10 6 ἐν τῷ νοητῷ LKM: ἐκ (ita enim in M sibi legere visus erat) τῶν νοητῶν t 9 καὶ ἐν (post ἡμῖν) add. corr. L 11 ἡ διάκρισις add. corr. L 12 καὶ (ante ἕνωσις) om. L post καὶ διάκρισις expunxit ἀλλ' ἀεὶ τὸ κρεῖττον (e v. 7 huc delata) L² ἡμῶν om. L 13 post μᾶλλον iterat πάντων K ἐπικράτηκεν t 14 ἐπεὶ] ἐπὶ K 15 πάντων (post μίαν) LK: πάντως Mt 16 ἕν] ἓν K et ante corr. L εἶναι om. L 16. 18 μὴ διαστέλλοντες — ἄναρχον post ἀποπερατούμενον (v. 20) collocat L 17 αὐτὰ LMt: αὐτὸν K: fort. αὐτὸ τὸ (post δὲ) om. K 18 οὖσαν] οὐσίαν K 19 ἔχειν αὐτὸ LK: αὐτὸ ἔχειν Mt 20. 21 ὥστε — γενόμενον om. L 21. 22 πᾶν δὲ — μὴ γενόμενον om. K 21 ἄναρχον om. L 23. 26 ἐπὶ τῶν — καί τὸ ἀρχὴν ἔχον om. L 23 τὸ delevi γενητὸν] fort. γενόμενον 26. 27 ἔχει — ἔχει KMt: ἔχον — ἔχον L 27 μὴ] τὸ μὴ L 28 ἔχον (priore loco) LK: ἔχει Mt ante τοῦτο οὐδὲ γενόμενον expunxit τοῦτο καὶ γενόμενον L² οὐδὲ LK: μηδὲ Mt

www.libtool.com.cn

ἐπειδὴ ταῦτα ἐξισάζει ἀλλήλοις, ἐπὶ δὲ τῶν ἐξισαζόντων ἀδιάφορόν ἐστιν b 3v
ἐκ τοῦ ἡγουμένου ἢ ἐκ τοῦ ἑπομένου ποιήσασθαι τὴν ἀντιστροφήν, εἰκότως
καὶ ὁ Μέλισσος, ὡς ἐπὶ ἐξισαζόντων πραγμάτων ποιούμενος τὴν ἀντιστροφήν,
ἀδιάφορον ἡγήσατο τὸ ἐκ τοῦ ἡγουμένου ἀντιστρέψαι. οἷον ἐπὶ τοῦ γελα-
5 στικοῦ καὶ τοῦ ἀνθρώπου οὐδὲν διαφέρει εἰπεῖν 'εἰ ἄνθρωπος καὶ γελαστικόν,
εἰ δὲ μὴ γελαστικόν, οὐδὲ ἄνθρωπος', ἢ 'εἰ δὲ μὴ ἄνθρωπος, οὐδὲ γελαστικόν'.
καὶ ἀκίνητον δὲ οὕτως ἔλεγεν, ὡς ἑστῶσαν ἐχόντων ἐκείνων τὴν οὐσίαν καὶ
τὴν ἐνέργειαν καὶ παντελῶς ἀμετάβλητον. οὕτω γοῦν καὶ Ἀριστοτέλης ἀκί- 35
νητα καλεῖ τὰ νοητὰ πάντα, οὐ μόνον τὰ θεῖα, ἀλλὰ καὶ τὰς ψυχάς,
10 ἐν οἷς δείκνυσιν ὡς ἀνάγκη τὰ πρώτως κινοῦντα αὐτὰ εἶναι ἀκίνητα. καλῶς
οὖν καὶ ὁ Ἀριστοτέλης, ὡς φυσικός, φυσικώτερον τρόπον ἐπιλαμβάνεται
τῶν λόγων, καὶ ὁ Μέλισσος θεολογικώτερον τοῖς τοιούτοις λόγοις ἐχρήσατο.

Τόν τε δὴ τρόπον τοῦτον ἐποιοῦσιν ἀδύνατον φαίνεται τὰ ὄντα
ἓν εἶναι, καὶ ἐξ ὧν ἐπιδεικνύουσι, λύειν οὐ χαλεπόν. ἐπειδὴ 43
15 προθέμενος ἐλέγξαι τὴν δόξαν τῶν ἀμφὶ τὸν Παρμενίδην καὶ Μέλισσον
πρότερον κοινότερον αὐτὸ καθ' αὑτὸ τὸ πρόβλημα ἐγύμνασε, μέλλει δὲ νῦν
τὸν Μελίσσου λόγον διελέγχειν, διὰ τοῦτό φησιν ὅτι τόν τε εἰρημένον τρό-
πον ἐπιών τις τὴν τοιαύτην δόξαν τὴν περὶ τοῦ ἓν εἶναι τὰ πάντα εὑρήσει 45
ἀδύνατον οὖσαν, καὶ τοὺς λόγους ἐξ ὧν αὐτὴν οὗτοι πειρῶνται κατασκευάζειν
20 οὐ χαλεπὸν διελέγξαι. δεῖ γὰρ τὸν ἐπιστήμονα μὴ μόνον αὐτὰ καθ' αὑτὰ
τὰ πράγματα ὅπως ἔχουσι φύσεως ἀποδεικνύναι, ἀλλὰ καὶ τὰς φερομένας
ἀπορίας κατὰ τῆς περὶ αὐτῶν ἀληθοῦς δόξης ἐπιλύεσθαι. ὁπότερον γὰρ
ἂν ἀπῇ, χωλεύει τὸ ἕτερον· εἴτε γὰρ τοὺς τῶν ἐναντίων ἐλέγξεις λόγους,
οὔπω δῆλον ὡς ἔχει τὰ πράγματα φύσεως (δυνατὸν γὰρ ἀληθὲς μέν τι
25 κατασκευάσαι, μὴ ἐξ ἀναγκαίων δὲ προτάσεων· οἷον ὅτι ἡ ψυχὴ ἀθάνατος, 50
ἐκ τοῦ τιμᾶν τοὺς προγονικοὺς τάφους. καὶ οὐχ ὁ ἐλέγξας τοὺς λόγους
τούτους ἤδη καὶ τὸ δόγμα ἀνεῖλε· πόθεν γὰρ δῆλον, μὴ εἰσὶν ἕτεροι λόγοι
ἐξ ἀνάγκης τοῦτο κατασκευάζοντες;), εἴτε αὐτὰ καθ' αὑτὰ τὰ πράγματα
δείξομεν ὅπως ἔχει φύσεως, τὰς δὲ ἀπορίας μὴ ἐπιλυσόμεθα, μένουσαι
30 αὗται ταράττουσιν ἡμᾶς. διὰ τοῦτο οὖν ὁ Ἀριστοτέλης δείξας ὅτι οὐκ ἐν-

---

1 τῶν ἰσαζόντων L 3 ὡς ἐπὶ om. L 4 ἡγουμένου ἢ ἐκ τοῦ ἑπομένου ποιήσασθαι M 6 ἢ εἰ μὴ δὲ ἄνθρωπος K 7 ἐκείνων ἐχόντων K 8 γοῦν] γὰρ K 10 ἐν οἷς δείκνυσιν κτλ.] cf. Phys. Θ 6 p. 258ᵇ10 sqq. 11 φυσικότερον et in proximis τὸν λόγον K 12 post Μέλισσος velim addi ὡς θεολόγος 13. 14 ἀδύνατον — χαλεπόν om. K 15 τὸν (ante Παρμενίδην) om. t καὶ τὸν μέλισσον K 16 τὸ (ante πρόβλημα) om. Mt δὲ] οὖν K 17 τοὺς μελίσσου λόγους L διελέγξιν K 21 ἐπιδεικνῦναι K 22 περὶ αὐτὸ K ἀληθοῦς om. K 23 χωλεύει K γὰρ om. L ἐλέγξεις L: ἐλέγξης K: ἐλέγξει Mt 24 ὡς] ὅπως L τὰ πράγματα φύσεως LK: φύσεως τὰ πράγματα Mt 26 τιμᾶν LKM: τιμᾶσθαι t 27 μὴ K: εἰ μὴ L: ὅ μὴ M: ὅτι μὴ t 29 δείξωμεν K φύσις L ἐπιλυσώμεθα LK 30 ταράττουσιν ἡμᾶς LK: ταράττουσι τοὺς ἁπλουστέρους (cf. p. 33,10) Mt οὖν καὶ ὁ fort. recte K

www.libtool.com.cn

δέχεται ἓν εἶναι τὸ ὄν, καὶ τοὺς λόγους τοὺς τοῦτο κατασκευάζοντας νῦν b 3v
προτίθεται διελέγξαι. ἀμφότεροι | οὖν, φησί, καὶ ὁ Μέλισσος καὶ ὁ b 4r
Παρμενίδης τὸν ἐριστικὸν συλλογίζονται τρόπον, προτάσεις τε ψευδεῖς λαμβάνοντες καὶ ἀσυλλογίστως συλλογιζόμενοι. τὸ μὲν οὖν ἀσυλλόγιστον αὐτοῖς
5 ἐγκαλεῖ, διότι ἀμφότεροι κακῶς τῇ ἀντιστροφῇ ἐχρήσαντο, ἐκ τοῦ ἡγουμένου ποιησάμενοι αὐτήν. καὶ γὰρ καὶ ὁ Παρμενίδης τῷ αὐτῷ τῆς ἀντιστροφῆς ἐχρήσατο τρόπῳ. 'τὸ παρὰ τὸ ὄν' γάρ φησιν 'οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, τὸ ὂν ἄρα ἕν'. συνήγετο μὲν γὰρ ἐκ τῶν προτάσεων 'τὸ παρὰ τὸ 5
ὂν ἄρα οὐδέν', ὁ δὲ τὸ συμπέρασμα τοῦτο ἀντιστρέψας ἐκ τοῦ ἡγουμένου
10 ἀντέστρεψε, δέον ἐκ τοῦ ἑπομένου. εἰ γὰρ τὸ παρὰ τὸ ὄν, φησίν, οὐδέν ἐστιν, τὸ ὂν ἄρα ἕν ἐστιν· ἀντίκειται γὰρ τῷ μὲν οὐκ ὄντι τὸ ὄν, τῷ δὲ οὐδὲν τὸ ἕν. ἔδει οὖν ἐκ τοῦ ἑπομένου ἀντιστρέψαι καὶ εἰπεῖν· τὸ ἓν ἄρα ὄν. οὕτω μὲν οὖν ἀσυλλόγιστοι αὐτῶν εἰσιν οἱ λόγοι, κακῶς τῇ ἀντιστροφῇ χρησάμενοι. λαμβάνουσι δὲ ψευδῆ· καὶ τέως ὁ Μέλισσος
15 ὅτι οἴεται τὸ μὴ γενόμενον ἀρχὴν μὴ ἔχειν. εἰ γὰρ καὶ διὰ τὴν ἀντιστροφὴν ἐλήφθη ἡ τοιαύτη πρότασις, ἀλλ' οὖν ἐπειδὴ δυνατὸν καὶ ἀσυλλο- 10
γίστως συμπεραῖναί τι ἀληθές (ὡς ὅταν εἴπω 'ὁ ἄνθρωπος οὐ λίθος, ὁ λίθος οὐχ ἵππος, ὁ ἄνθρωπος ἄρα οὐχ ἵππος', ἐνταῦθα ἀληθὲς μὲν τὸ συμπέρασμα, ἀσυλλογίστως δὲ συνῆκται ἐκ δύο ἀποφατικῶν), ἐπεὶ οὖν
20 οὐ πάντως τῇ ἀσυλλογίστῳ ἀγωγῇ ἕπεται τὸ ψεῦδος, διὰ τοῦτο οὐ μόνον τὸ ἀσυλλογίστως λαβεῖν τὰς προτάσεις αὐτῷ ἐγκαλεῖ, ἀλλ' ὅτι μετὰ τοῦ ἀσυλλογίστου καὶ ψευδεῖς εἴληφε. τὰ αὐτὰ δὲ καὶ ὁ Παρμενίδης πέπονθε, διὰ τῆς ἀσυλλογίστου ἀντιστροφῆς ψευδὲς συναγαγών τι, τὸ ὂν ἓν εἶναι. 15
φορτικώτερον δέ φησιν εἶναι τὸν Μελίσσου λόγον, διότι ὁ μὲν Παρμενίδης
25 δύο λόγους ἐκθέμενος ἐν μὲν τῷ ἑνί, οὗπερ καὶ ἀρτίως ἐμνήσθημεν, λαβὼν ἀληθεῖς προτάσεις 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν', κακῶς τὸ συμπέρασμα ἀντέστρεψεν, ὁ μέντοι Μέλισσος εὐθὺς ἐν ἀρχῇ κακῶς τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ χρησάμενος, ἐκ ταύτης ψευδεῖς εἴληφε τὰς προτάσεις. φορτικὸς οὖν ὡς εὐθὺς ἐξ αὐτῆς τῆς τῶν προτάσεων λήψεως
30 προσιστάμενος τοῖς ἀκροωμένοις, καὶ μηδὲν δεινὸν λέγων καὶ οἷον κινοῦν ἀπορίαν. ὁ μέντοι Παρμενίδης καὶ ἐν τῷ δευτέρῳ λόγῳ δριμύτερον προῆλθεν. 20
ἔστι δὲ ὁ λόγος τοιοῦτος· 'εἰ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ συναληθεύει, τὸ ὂν ἄρα ἕν ἐστιν'. οὔτε γὰρ τὰς προτάσεις πρὸς κοινὸν ὅρον συναπτούσας ἔταξεν, οὔτε τὸ συμπέρασμα ἐκ τῶν ἐκκειμένων ὅρων συνή-

---

2 διελέγξαι LK: δεῖξαι καὶ ἐλέγξαι Mt 3 ἐραστικὸν K 6 καὶ (post γὰρ) om. L 8 προστάσεων (prius σ eras.) K 9 ὁ δὲ] οὐδὲ K 11 post ἀντίκειται addit μὲν K 13. 14 ἀσυλλόγιστοι — χρησάμενοι] durum enuntiatum, nisi verba αὐτῶν et οἱ λόγοι inducas. cf. Aristotelis libri et infra b 5 v 1 14 δὲ καὶ ψευδῆ Mt 16. 17 ἀσυλλογίστως καὶ δυνατὸν K 19 ἀποφαντικῶν L 20 ἀλλογίστω et 23 ἀλλογίστου L 21 προθέσεις L 22 ἀσυλλογίστους (ante καὶ) K: malim et hic ἀσυλλογίστως 23 συναγαγών τι, τὸ ὂν ἓν εἶναι K: συνάγοντι τὸ ὂν (ἓν add. L²) εἶναι L: συναγαγὼν (om. τι) ἓν τὸ ὂν εἶναι Mt 27 ἐν ἀρχῇ om. K at cf. p. 59,7 30 προϊστάμενος KM λέγον L κινοῦν LKM: κινεῖν L²: κινῶν t 31 δευτέρῳ λόγῳ] ἐρχομένω (ἐχομένῳ Diels) L 33 τὸ] τὸν L

www.libtool.com.cn

γαγε, καὶ διὰ τοῦτο μὴ προφανῆ τὸν ἔλεγχον ἔχων ἀπορίαν κινήσειεν ἂν b 4r
εἰκότως τοῖς ἀκροωμένοις, ὅπῃ ἀληθείας ἢ ψεύδους ἔχεται τὰ εἰρημένα.
διὰ τοῦτο οὖν φορτικώτερον τὸν Μελίσσου λόγον εἴρηκε, διὰ τὸ μηδεμίαν
ἔχειν ἀπορίαν, ἀλλ' εὐθὺς εὐφώρατον εἶναι τοῖς ἀκροωμένοις· τῷ γὰρ ὄντι 25
5 φορτικοὺς τοὺς τοιούτους ἡγούμεθα λόγους καὶ ἄχθος περιττόν, ὅσοι μετὰ
τοῦ ψεύδους οὐδὲ τὸ δριμὺ καὶ δυσέλεγκτον ἔχουσιν. ἀλλ' ἑνὸς ἀτόπου
δοθέντος τὰ ἄλλα συμβαίνει· λαβὼν γὰρ ὁ Μέλισσος εὐθὺς ἐν ἀρχῇ
ἓν ἄτοπον τὴν ἀσυλλόγιστον ἀντιστροφήν, καὶ ἐκ ταύτης ψευδῆ πρότασιν
τὴν λέγουσαν 'τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει', τὴν πραγματικὴν δηλονότι,
10 οὕτως ἐκ ταύτης τῆς ἀρχῆς τὰ ἑξῆς ἄτοπα συνήγαγε, τὸ καὶ ἓν καὶ ἄπει- 30
ρον καὶ ἀκίνητον εἶναι τὸ ὄν. τοῦτο δέ, φησίν, οὐδὲν χαλεπὸν αἰτή-
σαντα ἓν ψεῦδος, ἐκ τούτου μυρία συναγαγεῖν· εἰ γὰρ δοθείη τὸν ἄνθρωπον
πτηνὸν εἶναι, ἀκολουθήσει τὸ καὶ πτέρυγας αὐτὸν ἔχειν καὶ ἵπτασθαι καὶ
ἄλογον εἶναι καὶ ᾠοτοκεῖν καὶ μυρία ἄλλα.

15 p. 186a13 Εἶτα καὶ τοῦτο ἄτοπον τὸ παντὸς οἴεσθαι εἶναι ἀρχὴν
τοῦ πράγματος καὶ μὴ τοῦ χρόνου.

Ἐπειδὴ προδήλως ἀρχὴν τὴν πραγματικὴν ὁ Μέλισσος ἐλάμβανε, τὸ
δὲ τῆς ἀρχῆς ὄνομα ὁμώνυμόν ἐστιν, αὐτὸς δὲ παραδέδωκεν ἡμῖν ἐν τῷ
περὶ τῶν ὁμωνύμων τόπῳ, ὅτι, ὅταν ὁμώνυμος ἡμῖν φωνὴ ἐν προβλήματι 35
20 προτείνηται, δεῖ διαστέλλεσθαι τὰ σημαινόμενα τῆς ὁμωνύμου φωνῆς καὶ
ἀφορίζειν περὶ ποίου ἐστὶν ὁ λόγος, διὰ τοῦτο ἐγκαλεῖ τῷ Μελίσσῳ, ὅτι
περὶ ὁμωνύμου φωνῆς τῆς ἀρχῆς διαλεγόμενος οὐ διεστείλατο αὐτῆς τὰ
σημαινόμενα, ἀλλ' ὡς ἕν τι σημαινούσης τὴν πραγματικὴν ἀρχὴν οὕτω περὶ
αὐτῆς διαλέγεται.

25 p. 186a14 Καὶ γενέσεως μὴ τῆς ἁπλῆς, ἀλλὰ καὶ ἀλλοιώσεως,
ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς.

Ἐπειδὴ ὑπετίθετο ὁ Μέλισσος πᾶν τὸ γινόμενον εὐθὺς καὶ ἀρχὴν ἔχειν
πραγματικήν, πραγματικὴν δὲ ἀρχὴν τὴν κατὰ μόριον (οὐδὲ γὰρ ἁπλῶς 40
τὴν ὡς στοιχεῖον· οὕτω γὰρ οὐ συνῆγεν ὃ ἠβούλετο. μάλιστα μὲν γὰρ
30 καὶ εἴ τινα εἴη μὴ γενόμενα, σώματά γε ὅμως ὄντα, ἀνάγκη γε πάντως
αὐτὰ ἀρχὴν τὴν κατὰ τὸ στοιχεῖον ἔχειν· πᾶν γὰρ σῶμα ἐξ ὕλης καὶ

---

1 προφανῆ ex προφα corr. L 2 ἀκροουμένοις K: ἀκροομένοις M 4 εὐφόρατον K
5 καὶ ἄχθος περιττόν om. K 7 τὰ ἄλλα συμβαίνει om. K 9 ἔχειν L²
10. 11 ἓν ἄπειρον (om. καὶ) L: ἓν ἢ (= δὲ) ἄπειρον L² 11 φησίν, οὐδὲν LK: οὐδὲν M: οὐδὲ t 13 τὸ καὶ] καὶ τὸ K 15 ἔπειτα K ἄτοπον om. L 15. 16 τὸ παντὸς — χρόνου om. K 17 προδήλως ἔλαβεν ἀρχὴν (om. in proximis ἐλάμβανε) Mt
18. 19 ἐν τῷ περὶ τῶν κτλ.] cf. ex gr. Ar. Soph. El. 4 p. 165b30 sqq. 21 ἀφορίζειν] ἀφοὺς ζ' (sic) K 22 διεστέλλατο K 25. 26 ἁπλῆς — μεταβολῆς om. K 30 εἴη μὴ LK: μὴ εἴη Mt ὁμοίως L ἀνάγκη τὲ L 31 ἐξ ὕλης L

www.libtool.com.cn

εἴδους τῶν ἁπλουστάτων. ἔπειτα οὐκ εἰ μὴ ἔχει ἀρχὴν τὴν κατὰ τὸ b 4r
στοιχεῖον, ἀνάγκη τοῦτο καὶ ἄπειρον εἶναι τῷ μεγέθει· τοὐναντίον γὰρ εἴ
τι μὴ ἐκ στοιχείων σύγκειται, τοῦτο οὐδ' ὅλως μέγεθος ἕξει. ὥστε πολλῷ
μᾶλλον οὐδ' ἄπειρον ἢ πεπερασμένον ἔσται. τοιαῦτα δέ ἐστι τὰ ἀσώματα 15
5 πάντα, οἷον ψυχὴ νοῦς, καὶ τὸ σημεῖον δὲ τοιοῦτόν ἐστιν. ἀρχὴν οὖν
ἐλάμβανε τὴν κατὰ μόριον, οἷον ὅτι παντὸς τοῦ γινομένου γίνεται πρότερον
τόδε τὸ μόριον), ἐγκαλεῖ οὖν αὐτῷ ὁ Ἀριστοτέλης ὅτι κακῶς οὐ μόνον
τῆς ἁπλῆς γενέσεως ἀρχὴν οἴεται τὴν τοιαύτην εἶναι, ἀλλὰ καὶ πάσης
ἁπλῶς. ἁπλῆν δὲ δηλονότι γένεσιν τὴν τῆς οὐσίας φησίν· ἔστι γάρ, φησίν,
10 ἀλλοίωσις ἥτις οὐ κατὰ μόριον γίνεται, ἀλλ' ἀθρόον ἀλλοιοῖ τὸ πρᾶγμα,
οἷον ἐπὶ τῆς πήξεως τοῦ γάλακτος· οὐδὲ γὰρ ἄλλο μὲν πρότερον, ἄλλο δὲ
ὕστερον αὐτοῦ μόριον ἀλλοιοῦται, ἀλλ' ὁμοτίμως διόλου γίνεται ἡ πῆξις. 50
ὁμοίως καὶ ἐπὶ ἡλιοκαΐας τὰ μόρια ὧν πρώτως ἐφάπτεται ὁ ἥλιος ὁμοτί-
μως ὅλα δι' ὅλων ἅμα μελαίνονται, καὶ οὐχὶ τοῦτο μὲν πρότερον, δεύ-
15 τερον δὲ ἄλλο. κακῶς οὖν παντὸς τοῦ γινομένου ἀρχὴν τὴν αὐτὴν ὑπέθετο·
ἑτέρως γάρ ἐστιν ἀρχὴ καὶ ἐπὶ τῆς ἀθρόας ἀλλοιώσεως τῷ μὴ τὸ εἶδος
ἀθρόον ἅμα παραγίνεσθαι, οἷον τὴν τελείαν πῆξιν, ἀλλ' οἷον πρόδρομά τινα
τοῦ τελείου εἴδους ἴχνη παραγίνεσθαι, λέγω δὴ τὰς ὑφειμένας πήξεις. |

p. 186a16 Ἔπειτα διὰ τί ἀκίνητον, εἰ ἕν; ὥσπερ γὰρ καὶ τὸ b 4v
20 μέρος ἑνόν, τοδὶ τὸ ὕδωρ, κινεῖται ἐν ἑαυτῷ, διὰ τί οὐχὶ καὶ
τὸ πᾶν;

Τί, φησίν, ἐκώλυεν καὶ ἑνὸς ὄντος τοῦ ὄντος κινεῖσθαι αὐτό; ὥσπερ
γάρ, φησί, καὶ τὸ μέρος τοῦ ὕδατος ἐνυπάρχον ἐν τῷ ὅλῳ, καίτοι τοῦ
ὅλου ἀκινήτου μένοντος, αὐτὸ κινεῖται (ὥσπερ ὅταν χαλάσαντες ἐν θαλάσσῃ
25 τὴν χεῖρα δινήσωμεν τὸ περὶ τὴν χεῖρα ὕδωρ, τοιοῦτοί εἰσι καὶ οἱ ἴλιγγοι 5
οἱ ἐν τοῖς ὕδασι γινόμενοι), τί κωλύει οὖν, φησί, καὶ τὸ ὂν ἄπειρον ὂν καὶ
ἓν ἀκίνητον μὲν εἶναι κατὰ τὸ ὅλον, κινεῖσθαι δὲ κατὰ τὰ μέρη; ὥσπερ

---

1 τῶν LK: καὶ τῶν Mt οὐκ] οὐ γὰρ K τὴν om. K 2 καὶ ἄπειρον τοῦτο Mt 6 γενομένου L 7 τὸ om. L 8 ἀρχὴν οἴεται τὴν τοιαύτην LK: οἴεται (τὴν add. t) ἀρχὴν τὴν τοιαύτην Mt 9 ἁπλῆν ex ἁπλῶν corr. L 10 ἀλλοιοῖ] ἄλλοι οἱ K 12 αὐτοῦ post μόριον collocat K διόλου] διὰ λόγου K ἡ πῆξις γίνεται Mt 13 πρώτως LK: πρότερον Mt 14 ὅλλα δι' ὅλλων K μελαίνοντα operarum errore t 14. 15 δεύτερον LK: ὕστερον Mt 15 παντὸς ex πάντως corr. K τὴν αὐτὴν] τοιαύτην L² ὑπετίθετο L 16 ἑτέρω K ἀρχὴ om. L τῷ μὴ τὸ Mt: τὸ μὴ τὸ LK 19 ἔπειτα καὶ διὰ τί t et Arist. codd. FI 19. 21 εἰ ἕν; — τὸ πᾶν om. K 20 ἑνόν] ἓν ὄν LMt et Arist. libri: ενόν (sic) superscr. L²: dedi ἑνόν quia hanc scripturam primo explicat Philoponus, quem consentaneum est in suo Aristotele repperisse ENON τοδὶ corr. L et t: τὸ δὶ M: τὸ διὰ primitus L κινεῖσθαι primitus L ἐν αὐτῷ t οὐχὶ LM et Ar. cod. I: οὐ t 21 τὸ om. Aristoteles (praeter rec. E) 22 τοῦ ὄντος om. Mt 23 γάρ om. K

24 θαλ$^{\alpha'}$ M 25. 26 οἱ ἴλιγγες ἐν L 26 γινομένοι oper. errore t ὂν καὶ] ὂν καὶ M

www.libtool.com.cn

καὶ ὁ οὐρανὸς τῷ μὲν ὅλῳ ἐστὶν ἀκίνητος, τοῖς δὲ μέρεσι κινούμενος. εἰ b 4v
μὲν οὖν τὸ ὥσπερ γὰρ καὶ τὸ μέρος ενον ὑφ' ἓν τὸ ενον ἀναγνῶμεν,
ἀντὶ τοῦ ἐνυπάρχον, οὕτως ἡ ἑρμηνεία, εἰ δὲ κατὰ διαστολήν, ἀντὶ τοῦ
'ὥσπερ γὰρ καὶ τὸ μέρος τοῦ ὕδατος, τοδὶ λέγω τὸ ὕδωρ, ἓν καὶ αὐτὸ
5 ὑπάρχον, κινεῖται ἐν ἑαυτῷ' (καὶ γὰρ τὸ μέρος ἀποσπασθὲν τῆς ὁλότητος, 10
οἷον τὸ ἐν τῷ κεράμῳ ὕδωρ, ἕν τί ἐστι καὶ αὐτό). ὥσπερ οὖν τοῦτο καὶ
ἕν ἐστι καὶ οὐδὲν κωλύει αὐτὸ ἐν ἑαυτῷ κινεῖσθαι, διὰ τί μὴ καὶ τὸ ὄν,
εἰ καὶ ἕν ἐστι, κινεῖται ἐν ἑαυτῷ; ἔπειτα, φησίν, ἔστω μὴ κινεῖσθαι αὐτὸ
κατὰ τόπον· τί κωλύει αὐτὸ κατ' ἀλλοίωσιν κινεῖσθαι; εἴπομεν δὲ ἡμεῖς
10 ὅτι ἡ ὑπόθεσις τοῦ ἑνὸς παντελῶς τὴν κίνησιν ἀναιρεῖ.

p. 186a19 Ἀλλὰ μὴν οὐδὲ τῷ εἴδει οἷόν τε ἓν εἶναι, πλὴν τῷ ἐξ οὗ.

Ὥσπερ συνηγορῶν τῇ Μελίσσου δόξῃ φησίν, ὅτι εἴ γε δεῖ τῷ ὄντι 16
ἓν τὸ ὂν λέγειν, οὕτως ἔσται ἓν τὸ ὂν οὐ τῷ εἴδει, ἀλλὰ τῷ ὑποκειμένῳ·
15 ὥσπερ, φησί, καὶ τῶν φυσικῶν τινες εἰρήκασιν, οἷον οἵ τε τὰ ἄτομα λέ-
γοντες (ἓν γὰρ εἶναι τὸ γένος, σχήματι δὲ διαφέρειν), καὶ ὅσοι ἓν εἶναι
τὸ στοιχεῖον ὑπέθεντο, πυκνώσει δὲ καὶ μανώσει τούτου τὰ ἄλλα γεννᾶ-
σθαι. ἀλλ' εἰ καὶ τῷ ὑποκειμένῳ ἓν ὦσι τὰ ὄντα, ἀλλ' οὐν τοῖς εἴδεσι
διαφέρουσιν· ὥστε οὐ μᾶλλον διὰ τὸ ὑποκείμενον ἓν ἔσται τὰ ὄντα, ἢ 20
20 πολλὰ διὰ τὰ εἴδη, ἐπεὶ καὶ χαρακτηρίζονται τὰ πράγματα οὐ κατὰ τὴν
ὕλην, ἀλλὰ κατὰ τὸ εἶδος.

p. 186a22 Καὶ πρὸς Παρμενίδην δὲ ὁ αὐτὸς τρόπος τῶν λόγων.

Ἐνστὰς καθόλου πρὸς τὸ πρόβλημα ὅτι ἀδύνατον ἓν εἶναι τὸ ὄν, εἶτα
προχειρισάμενος τὸν Μελίσσου λόγον, δι' οὗ ἐκεῖνος ἓν εἶναι τὸ ὂν κατε-
25 σκεύαζε, καὶ διελέγξας αὐτόν, ἀκολούθως καὶ τοὺς Παρμενίδου νῦν προχει-
ρίζεται λόγους καὶ διελέγχει. ὥσπερ ⟨δὲ⟩ αἱ δόξαι ἥ τε Μελίσσου καὶ ἡ 25
Παρμενίδου τὰ μέν τινα ἔχουσι κοινά, τὸ λέγειν ἓν εἶναι τὸ ὂν καὶ ἀκί-
νητον, τὰ δὲ ἑκάστη ἰδίᾳ, τὸ τὸν μὲν ἄπειρον εἶναι λέγειν τὸ ὄν, τὸν δὲ
πεπερασμένον, οὕτω καὶ οἱ πρὸς τούτους ἔλεγχοι οἱ μέν εἰσι κοινοί, οἱ δὲ

---

1 ἀκίνητον K 2 ενον — ενον scripsi: ἓν ὂν — ἑνὸν L: ἓν ὂν — ἓν ὂν K: ἓν ὂν — ὂν Mt 4 τοδὶ t: τὸ δὶ KM: τὸ δὲ L: τόδε L² 4. 6 ἓν καὶ αὐτὸ — ὕδωρ om. K 6 τῷ om. L 7 οὐδὲ L 9 τί γὰρ κωλύει κατ' ἀλλοίωσιν αὐτὸ Mt εἴπομεν p. 22,21 δὲ καὶ ἡμεῖς Mt 10 ἡ om. K 11. 12 οἷόν τε — ἐξ οὗ om. K 13 ὥσπερ γὰρ L συναγορεύων Mt 17 τούτου τὰ ἄλλα LK: τὰ ἄλλα (ἐκ inserit t) τούτου Mt γεννᾶσθαι KM 18 ὦσι KMt: εἰσὶ L 19 ἔσται] ὦσι K 22 lemma om. K ubi quae praecedunt ἐπεὶ καὶ — εἶδος ut lemma notantur 24 προχειρησάμενος τοῦ μελίσσου K 25 ἀκολουθεῖ L νῦν om. K 26 δὲ t (nihil enotatum ex LK): om. M ἥ τε] αἵ τε K καὶ ἡ Mt: καὶ αἱ K: καὶ L 27 τινα Mt: τί L: τοι K ἓν τὸ ὂν εἶναι K 28 τὰ Mt: τὸ LK ἰδίᾳ LKM: ἴδια t τὸ τὸν] τῷ τὸν K 28. p. 62,1 τὸν δὲ — γάρ εἰσι om. K

www.libtool.com.cn

ἴδιοι πρὸς ἕκαστον· κοινοὶ μὲν γάρ εἰσι δι' ὧν ἐλέγχεται τὸ μὴ εἶναι ἓν b 4v
καὶ ἀκίνητον τὸ ὄν, ἴδιοι δὲ δι' ὧν ὁ μὲν ἐλέγχεται ὅτι οὐκ ἄπειρον, ὁ
δὲ ὅτι οὐδὲ πεπερασμένον. δείξει γὰρ ὅτι τὸ ὂν τοῦτο, ὅπερ καὶ ἓν εἶναι
ὑποτίθενται, ὅτι οὔτε ἄπειρον αὐτὸ ἐνδέχεται εἶναι, οὔτε πεπερασμένον. εἰσὶ 30
5 δὲ οἱ τοῦ Παρμενίδου λόγοι δύο, ὧν τὸν ἕτερον ἐν τούτοις ἐκτίθεται
(οὗπερ καὶ ὁ Θεόφραστος μέμνηται καὶ Πλάτων), τὸν δὲ ἕτερον ἐν τοῖς
ἔμπροσθεν. ἔστι δὲ ὁ λόγος τοιοῦτος· τὸ παρὰ τὸ ὄν, φησίν, οὐκ ὄν ἐστι,
τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν, ἤτοι τὸ ὂν ἄρα ἕν. ὁ μὲν οὖν λόγος
τοιοῦτος, ἡμάρτηται δὲ καὶ κατὰ τὰς προτάσεις καὶ κατὰ τὴν ἀντιστρο-
10 φήν· τὸ γὰρ συμπέρασμα ἀπὸ τοῦ ἡγουμένου κακῶς ἀντιστρέφει. ἔστι
δὲ τὸ συμπέρασμα τοῦτο· τὸ παρὰ τὸ ὂν ἄρα οὐδέν. τῆς οὖν σὺν ἀντι-
θέσει ἀντιστροφῆς καθόλου ἀληθευούσης, ὅταν λάβωμεν τὸ τῷ ἑπομένῳ 35
ἀντικείμενον καὶ συναγάγωμεν τὸ τῷ ἡγουμένῳ ἀντικείμενον, αὐτὸς κακῶς
ἐκ τοῦ ἡγουμένου ἐποιήσατο τὴν ἀντιστροφὴν λαβὼν τὸ ἀντικείμενον τῷ
15 ἡγουμένῳ καὶ συναγαγὼν τὸ ἀντικείμενον τῷ ἑπομένῳ. ἔστι δὲ ἡγούμενον
μὲν ἐν τῷ συμπεράσματι 'τὸ παρὰ τὸ ὄν', ἑπόμενον δὲ τὸ 'οὐδέν', ἀντίκει-
ται δὲ τῷ μὲν παρὰ τὸ ὂν τὸ ὄν, τῷ δὲ οὐδὲν τὸ ἕν. εἰ τοίνυν ὑγιῶς
ἐποιήσατο τὴν ἀντιστροφήν, ἐκ τοῦ ἑπομένου συνῆγε 'τὸ ἓν ἄρα ὄν', καὶ
ἀληθὲς ἂν ἦν τοῦτο. ἡ μὲν οὖν κατὰ τὴν ἀντιστροφὴν τοῦ συμπεράσματος 40
20 ἁμαρτία τοιαύτη, ἐγκαλεῖ δὲ ὁ Ἀριστοτέλης καὶ ταῖς προτάσεσι, καὶ
πρῶτόν γε τῇ ἐλάττονι τῇ λεγούσῃ 'τὸ παρὰ τὸ ὂν οὐκ ὄν'. τῶν γὰρ ὄν-
των, φησίν, ἐναργῶς πολλῶν ὄντων (τοῦτο γὰρ ἐκ τῆς ἐναργείας εἰλήφθω),
οὐκ ἔδει ἑνικῶς προαγαγέσθαι τὸν λόγον, οὐδὲ φωνὴν ὁμώνυμον λαβεῖν
ἐν προτάσει τὴν τοῦ ὄντος, ἀλλ' εἰπεῖν 'τὰ παρὰ τὰ ὄντα οὐκ ὄντα'· εἰ δὲ
25 τοῦτο εἶπεν, αὐτόθεν πολλὰ εἰσῆγε τὰ ὄντα. ἀλλὰ δὴ κἂν συγχωρήσωμεν
αὐτῷ ἕν τι σημαίνειν τὸ ὂν καὶ ἀληθῆ εἶναι τὴν ἐλάττονα πρότασιν, ἡ
μείζων ψευδὴς ἔσται. ἔστω γὰρ ἀληθὲς τὸ παρὰ τὸ ὂν οὐκ ὄν εἶναι, ἕν 45
τι σημαίνοντος τοῦ ὄντος, οἷον τὴν οὐσίαν, οὐκέτι μέντοι ἀληθὲς τὸ οὐκ
ὂν οὐδὲν εἶναι· καὶ γὰρ τὰ συμβεβηκότα οὐκ ὄντα μὲν διότι οὐκ οὐσίαι,
30 οὐ μὴν οὐδέν. ταύτης τῆς προτάσεως καὶ ὁ Πλάτων ἐν τῷ Σοφιστῇ τῷ
διαλόγῳ ἐπιλαμβάνεται. πολλὰ γὰρ ἐγκώμια πρότερον κατατείνας τοῦ Παρ-

---

1 ἰδία πρὸς L 3 δείξαι K 4 ὑποτίθενται K: ὑποτίθεται LMt ὅτι LK: om. fortasse recte Mt 5 παρμενίδους (ex παρμενίδης) L: παρμ̄ενι δ' K λόγοι iterat L ὧν τὸ ἕτερον et in proximis τὸ δὲ ἕτερον K 6 Θεόφραστος Phys. Opin. fr. 7 (Diels, Doxogr. p. 483) Πλάτων] nescio ubi 10 κακῶς ἀπὸ τοῦ ἡγουμένου Mt 10. 11 ἔστι δὲ καὶ (καὶ expunctum, ut videtur) L 11. 12 ἀντιθέσεως M 19 ἂν (post ἀληθὲς) om. K 20. 21 καὶ πρῶτόν γε LK: πρῶτον δὲ Mt 23 προαγαγέσθαι L: προαγέσθαι K: προσαγαγέσθαι Mt 24 ὄντος LK: ἑνός Mt 24. 25 εἰ δὲ — τὰ ὄντα om. Mt 25 αὐτόθεν corr. ex αὐτόθι L² 26 τὴν om. add. L² 27. 28 ἕν τι σημαίνοντος] ἕν τισι μένον K 30 Σοφιστῇ p. 241 D sqq. cf. p. 250 D sqq. 31 ἐγκώμια κατατείνας πρότερον K

www.libtool.com.cn

μενίδου καὶ πατέρα αὐτὸν καλέσας, φησὶν ὅτι εἰ καὶ ἀληθὲς εἴη τὸ παρὰ b 4v
τὸ ὂν οὐκ ὂν εἶναι (ἴσμεν γὰρ ὅτι ὂν ἐκάλει τὸ νοητόν· εἴ τι οὖν ἐστι τὸ
παρὰ τὸ νοητὸν ὅπερ ὄντως ὄν ἐστι, τοῦτο οὐκ ὂν ἔσται), οὐκέτι μέντοι
ἀληθὲς τὸ οὐκ ὂν οὐδὲν εἶναι. τὰ γὰρ αἰσθητὰ πάντα οὐκ ὄντα μέν, διότι
μόνως ὄντα τὰ νοητά, οὐ μέντοι οὐδέν· εἰσὶ γάρ τι καὶ τὰ αἰσθητά.
ὥστε κἂν τὴν ἐλάττονα πρότασιν ὑποθώμεθα ἀληθεύειν, ἡ μείζων ψευδὴς
ἔσται· ἐκ μιᾶς δὲ προτάσεως οὐδὲν συνάγεται. ἄλλως τε πῶς λέγει ἓν τὸ
ὂν εἶναι; ἢ γὰρ ὀνόματι ἓν ἔσται ἢ πράγματι· καὶ εἰ πράγματι, ἢ τῷ
γένει ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ· καὶ εἰ τῷ ἀριθμῷ, ἢ ὡς συνεχὲς ἢ ὡς
τῷ λόγῳ ἕν· τὸ γὰρ ὡς ἀδιαίρετον νῦν παραλιμπάνει, διότι οὐδὲ | χώραν b 5r
ἔχει ἐπὶ τῶν ἀνδρῶν τούτων ἡ ὑπόθεσις αὕτη, εἴ γε ὁ μὲν ἄπειρον ἔλεγε
τὸ ὄν, ὁ δὲ πεπερασμένον, τὸ δὲ ἄπειρον καὶ τὸ πεπερασμένον τοῦ μεγέ-
θους εἰσίν, τὸ δὲ ἀδιαίρετον οὔτε ἄπειρον οὔτε πεπερασμένον. εἰ μὲν οὖν
ὀνόματι μόνῳ ἓν ἐστι τὸ ὂν πραγμάτων ὄντων διαφόρων, αὐτόθεν πολλὰ
τὰ ὄντα. εἰ δὲ πράγματι, εἴτε γένει εἴτε εἴδει, πάλιν πολλὰ τὰ ὄντα·
πολλὰ γὰρ περιέχει τὸ γένος διαφέροντα τοῖς εἴδεσι καὶ τὸ εἶδος διαφέ- 5
ροντα τοῖς ἀτόμοις. εἰ δὲ τῷ ἀριθμῷ ἓν εἴη τὸ ὄν, εἰ μὲν τῷ λόγῳ
ταὐτόν (λέγω δὲ ὡς πολυώνυμον), τὸν Ἡρακλείτου ἐροῦσιν λόγον, ὅνπερ
ἤδη εἶπεν (ὥστε τὰ ἐναντία τὰ αὐτὰ ἔσται καὶ ἡ ἀντίφασις, καὶ οὐ μᾶλλον
ἔσται τὸ ὂν ἢ οὐκ ἔσται). εἰ δὲ ὡς συνεχὲς ἓν τὸ ὄν, ἀνάγκη τοῦτο,
φησίν, οὐσίαν εἶναι μόνον ἢ συμβεβηκὸς μόνον ἢ σύνθετόν τι ἐξ οὐσίας
καὶ συμβεβηκότος. εἰ μὲν οὖν σύνθετον ἐξ οὐσίας καὶ συμβεβηκότος, ἐναρ-
γῶς πολλὰ τὰ ὄντα. οὐδὲ γάρ, ἐπειδὴ συνυπάρχουσιν ἀλλήλοις ἡ οὐσία
καὶ τὰ συμβεβηκότα, ἤδη που ἕν τι καὶ ταὐτόν εἰσι πρᾶγμα· τοῦτο γάρ, 10
φησίν, ἐστὶ καὶ τὸ τῆς πλάνης αἴτιον τῷ Παρμενίδῃ. οὐ συνεῖδε γὰρ ὅτι
ἄλλο μέν ἐστι τὸ δεκτικὸν τῶν συμβεβηκότων, ἄλλο δὲ αὐτὰ τὰ συμβεβη-
κότα, οὐ μόνον πρὸς τὸ ὑποκείμενον, ἀλλὰ καὶ πρὸς ἄλληλα· ταῦτα γὰρ
πάντα, εἰ καὶ ἕν τι ἀποτελοῦσιν, ἀλλ' οὖν ὁ τοῦ εἶναι λόγος ἑκάστου
ἕτερός ἐστιν· ἄλλως γὰρ ἀποδώσεις τοῦ ὑποκειμένου, λέγω δὴ τῆς οὐσίας,
τὸν ὁρισμόν, καὶ ἄλλως τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ καὶ τῶν λοιπῶν. ὥστε
εἰ οὕτως ὑπόθοιντο τὸ συνεχὲς ἓν εἶναι ὡς σύνθετον ἐξ οὐσίας καὶ συμ- 15
βεβηκότων, ἐναργῶς πάλιν πολλὰ καὶ οὐχ ἓν τὸ ὄν, εἰ δὲ τὸ ὂν οὐσίαν

---

2 εἶναι] ἐστιν K ὅτι τὸ ὂν L 3 ὄντως] ὄντος K ἔσται] ἐστὶν K
5 τὰ (post καὶ) add. L² 6 ὑποθόμεθα K 8 εἰ L: ἢ K: εἰ τῷ Mt 9. 10 ὡς τὸ λόγῳ K 11 ἔχει post τούτων collocat L εἴτε K 12 τὸ δὲ ὡς ἄπειρον K 14 αὐτόθεν LK: αὐτόθι Mt 16 περιέχει τὸ ex περιέχειν corr. K διαφέρον τ̈ hic et in proximis K 17 ἀριθμῷ om. add. in marg. M² 18 πολυώνυμα L ὅνπερ LK: ὅπερ Mt 19 ἤδη] εἴδη K 19. 20 ἡ ἀντίφασις — τὸ ὂν ἢ in ras. K 22 εἰ μὲν — συμβεβηκότος om. K 24 ταὐτὸν ἔστι τὰ πράγματα K
25 αἴτιος L²: 'quid scripserit L non liquet' ὅτι (ο M) LKM: τὸ t 26 ἄλλα δὲ αὐτὰ K 28 ὁ τοῦ] ὅτου K 29 ἀποδώσει K 30 τοῦ ποσοῦ καὶ om. K
31. p. 64, 1 ὑποθεῖντο et ὑποθοῖντο K 31. 32 συμβεβη κτ̈ K

www.ljbtool.com.cn

μόνην ὑπόθοιντο, ὅπερ καὶ εὔλογον ὑπονοεῖν (οὐ γὰρ δήπου τὸ ὂν τοῦτο b 5r
συμβεβηκὸς ἔλεγον εἶναι) * * * εἶτα μνησθεὶς τῆς οὐσίας, καὶ εἰπὼν ὅτι
οὐκ εὔλογον τὸ ὑποτίθεσθαι αὐτοὺς συμβεβηκὸς λέγειν τὸ ὄν, πρότερον
αὐτὸ τοῦτο διελέγχει τὸ τμῆμα τῆς διαιρέσεως, εἶτα ἀνατρέχει ἐπὶ τὴν
5 ὑπόθεσιν τὴν τῆς οὐσίας. εἰ γάρ, φησίν, εἴποιμεν τὸ ὂν συμβεβηκὸς εἶναι,
ἐπειδὴ τὸ συμβεβηκὸς τινὶ συμβέβηκε, λέγω δὴ τῇ οὐσίᾳ, ἀνάγκη εἶναί τι
τοῦτο ᾧ συμβέβηκεν· ἔστιν ἄρα ἡ οὐσία. ἀλλ' ἐπειδὴ μόνον τὸ συμβε- 20
βηκὸς ὄν ἐστι, δῆλον ὅτι ἡ οὐσία οὐκ ὂν ἔσται, καὶ οὐ τὶ μὲν ὄν, τὶ δὲ
οὐκ ὄν (οὕτω γὰρ ἂν πολλὰ ἦν τὰ ὄντα), ἀλλ' ὅλως μὴ ὄν. ἀλλὰ μὴν
10 ὑπέκειτο καὶ εἶναι, ἵνα καὶ συμβῇ αὐτῇ τὸ ὄν, τουτέστι τὸ συμβεβηκός,
τὶ ἄρα οὐκ ὂν ἔσται, ὅπερ ἄτοπον. οὐκ ὂν μὲν γάρ, διότι τὸ συμβεβηκὸς
μόνον ἐστὶν ὄν, εἶναι δὲ ἀνάγκη πάλιν τὴν οὐσίαν, ᾗ τινι καὶ συμβεβηκέ-
ναι λέγεται τὸ ὄν· ἔσται τι ἄρα, ἡ οὐσία λέγω, καὶ ὂν καὶ οὐκ ὄν. καὶ
ἄλλως οὐκ ὂν μὲν ἔσται, ἐπειδὴ τοῦτο ὑπέκειτο, ἔσται δὲ πάλιν ὄν, ἐπειδὴ 25
15 τοῦ ὄντος μετέχει, λέγω δὴ τοῦ συμβεβηκότος, τὰ δὲ μετέχοντά τινος πα-
ρωνύμως ἀπ' ἐκείνου καὶ ὀνομάζεται. τὸ γὰρ μετέχον τοῦ λευκοῦ λευκὸν
λέγεται, καὶ τὸ μετέχον τῆς μουσικῆς μουσικόν· μουσικὴ γὰρ καὶ ἡ ἐπι-
στήμη καὶ ἡ μουσικὴ γυνή. ὥστε εἰ τὸ μὴ ὄν, τουτέστιν ἡ οὐσία, με-
τέχει τοῦ συμβεβηκότος, τουτέστι τοῦ ὄντος, ὂν ἂν εἴη καὶ αὐτή· ὥστε
20 τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν ἔσται. πάλιν ἐπειδὴ τὸ συμβεβηκὸς ὄν ἐστι, τὸ
δὲ ὂν τοῦτο ἑτέρῳ συμβέβηκε, τοῦτο δὲ οὐκ ὄν ἐστιν, ἔσται τὸ ὂν τὸ αὐτὸ
καὶ οὐκ ὄν· ἔστι γὰρ ἐν τῷ οὐκ ὄντι, τὸ δὲ ἐν τῷ οὐκ ὄντι ὂν οὐκ ὂν 30
ἔσται. ἀδύνατον ἄρα τὸ ὂν συμβεβηκὸς εἶναι. τοῦτο δείξας, ἀνατρέχει ἐπὶ
τὸ ἐξ ἀρχῆς προτεθέν, μήποτε οὖν τὸ ὂν οὐσίαν μόνην ὑποτίθενται εἶναι,
25 "οἷον ἄνθρωπον ἕνα" ἢ ἁπλῶς σῶμά τι. ἀλλ' εἰ τοῦτο, ἐπειδή, φησίν,
ὑπάρχουσι ταῖς οὐσίαις τὰ συμβεβηκότα καὶ διὰ τοῦτο ἀληθὲς εἰπεῖν ὅτι
ὁ Σωκράτης λευκός ἐστιν ἢ ὁ ἄνθρωπος ἢ τὸ σῶμα, ἔσται πάλιν τὸ αὐτὸ
καὶ ὂν καὶ οὐκ ὄν· εἰ γὰρ ἀληθὲς εἰπεῖν τὴν οὐσίαν λευκὴν εἶναι, τὸ δὲ
λευκὸν οὐκ ὄν ἐστιν, ἡ οὐσία ἄρα οὐκ ὂν ἔσται. ἀλλὰ μὴν ἔστι καὶ τὸ
30 ὄν· τὸ αὐτὸ ἄρα καὶ ὂν καὶ οὐκ ὂν ἔσται. καὶ πάλιν εἰ τὸ λευκὸν οὐκ 35
ὄν ἔστιν, ἔστι δὲ τοῦτο ἐν τῇ οὐσίᾳ, ἡ δὲ οὐσία ὄν ἐστι, τὰ οὐκ ὄντα ἄρα
ἐν τῷ ὄντι ἔσται. τὸ δὲ ἐν τῷ ὄντι ὂν ὄν ἐστι· τὸ οὐκ ὂν ἄρα ὂν ἔσται.

---

1 οὐ γὰρ δήπου κτλ.] cf. b 6 r 1 δήπου φησὶ τὸ ἓν ὂν K 2 post εἶναι lacunam indicavi 3 αὐτοὺς] αὐτὸν L λέγειν] εἶναι K 4 τοῦτο om. Mt διελέγχει post διαιρέσεως colloc. Mt 5 τὴν (ante τῆς) om. L εἴπωμεν L 6 post ἐπειδὴ addit δὲ t ἀνάγκη τί εἶναι Mt 8 ἔσται] ἔστι L 8. 9 καὶ οὔτι μένον τὶ καὶ οὐκ ὂν· οὕτω K 9 μὴν] μὴ ante correctionem L 10 καὶ (ante εἶναι) om. Mt τουτέστι τὸ et 19 τουτέστιν τοῦ ex τουτέστιν corr. K 11 γάρ om. Mt 12 μόνον ἐστὶν (ἐστὶ τὸ L) ὄν LMt: ἔστι μόνον ὄν K πάλιν ἀνάγκη K 14 τούτω L 15. 16 παρωνύμως καὶ ὁμωνύμως L cf. Simplic. p. 122,20 16 ἀπ'] ὑπ' L καὶ om. L τὸ γὰρ μέτοχον L 20 πάλιν δὲ Mt 21 τὸ ὂν (ante τὸ αὐτὸ) om. Mt 23 συμβεβηκὸς LK: συμβαίνει Mt 24 ἐξ ἀρχῆς] c. 2 p. 185a22 29 ἡ K: ἢ LMt 30 καὶ οὐκ LK: οὐκ Mt εἰ] εἰς L 31 τὰ οὐκ ὄντα] τὸ οὐκ ὂν K 32 ἔσται. τὸ] ἐστὶ· τῷ K

www.libtool.com.cn

ἀδύνατον ἄρα τὴν οὐσίαν μόνην ὑποτίθεσθαι αὐτοὺς τὸ ὄν. μήποτε οὖν b 5r
ὅλως τὰ συμβεβηκότα οὐχ ὑποτίθενται εἶναι, ἀλλ' αὐτὴν καθ' αὑτὴν
μόνην, καὶ οὕτως οὐδὲν τῶν εἰρημένων ἀτόπων ἕψεται. ἀλλὰ ταύτην τὴν
ὑπόθεσιν ἐφεξῆς γυμνάσει, δεῖ δὲ εὐγνωμόνως ἡμᾶς καὶ τῶν Παρμενίδου
5 λόγων ἀκούοντας ἐκ τῶν παρ' αὐτοῦ τοῦ Παρμενίδου τὴν διάνοιαν αὐτοῦ 40
ἑλεῖν. τί οὖν φησιν ἐν τοῖς ἔπεσιν αὐτὸς περὶ τοῦ ὄντος;

οὖλον μουνογενὲς καὶ ἀτρεμὲς ἠδ' ἀγένητον.

καὶ πάλιν·

οὐκ ἦν οὐκ ἔσται ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον.

10 καὶ πάλιν·

ἐὸν γὰρ ἐόντι πελάζει.

εἰ δέ φησιν "ὁμοῦ πᾶν" καὶ "ἐὸν ἐόντι πελάζει", ᾔδει ἄρα τὸ πλῆθος ἐν
τοῖς οὖσιν ὑπάρχειν. ἀλλ' ἐπεὶ μὴ περὶ φυσικῶν ἦν αὐτοῖς ὁ λόγος, ἀλλὰ
περὶ τῶν νοητῶν, διὰ τοῦτο τὴν ἐν ἐκείνοις ἕνωσιν θεωροῦντες καὶ τὸ
15 ἀμετάβλητον οὕτως αὐτὰ ἐκάλουν.

Καὶ πρὸς Παρμενίδην δὲ ὁ αὐτὸς τρόπος τῶν λόγων, καὶ εἴ τινες ἄλλοι ἴδιοι. τουτέστι τῷ αὐτῷ τῶν λόγων τρόπῳ καὶ τὸν Παρμενίδην 45
ἐλέγξομεν ἓν λέγοντα τὸ ὄν καὶ ἀκίνητον· ὁμοίως γὰρ καὶ αὐτὸς καὶ ψευδεῖς
εἴληφε τὰς προτάσεις καὶ ἀσυλλογίστως συλλογίζεται. εἰ τοίνυν ὁ αὐτὸς
20 τρόπος τῶν λόγων ἡμῖν καὶ πρὸς τοῦτον, δῆλον ὅτι ἐπιλυσόμεθα καὶ τοὺς
τούτου λόγους πῇ μὲν ἐλέγχοντες ὅτι ψευδεῖς, πῇ δὲ ὅτι ἀσυλλόγιστοι.
καὶ τοῖς αὐτοῖς οὖν τρόποις τῶν λόγων τῷ Μέλισσῳ ἐλεγχθήσεται, καὶ
ἰδίοις ἑτέροις. φασὶ δὲ γεγράφθαι αὐτῷ ἰδίᾳ βιβλίον πρὸς τὴν Παρμενίδου 50
δόξαν, ὃ νῦν αἰνίττεται διὰ τοῦ εἰπεῖν καὶ εἴ τινες ἄλλοι ἴδιοι.

25 p. 186a23 Καὶ ἡ λύσις πῇ μὲν ὅτι ψευδής, πῇ δὲ ὅτι οὐ συμπεραίνεται.

Ἐπιλυσόμεθα, φησί, τὸν Παρμενίδου λόγον διττῶς, καὶ ὅτι ψευδεῖς
εἴληφε προτάσεις καὶ ὅτι οὐδ' οὕτως συμπεραίνει ἐξ αὐτῶν τοῦτο ὃ

---

3 ἕψεται M 4 ὑπόθεσιν] litterae θεσιν in ras. L ἐφεξῆς p. 186b14 5 τοῦ Παρμενίδου om. K 6 ἔπεσιν] ἔσιν (sic) K αὐτὸς ἐν τοῖς ἔπεσιν L 7 οὖλον—ἀγένητον Parmen. v. 59 K. 65 St. οὖλον K μουνογενὲς LM μουνογενές τε καὶ Parmenides at cf. Diels ad Simplic. p. 30,2 et 78.13 ἀγέννητον L ἀγένητον etiam Simplic. p. 120,23 qui alibi ἀτέλεστον 9 οὐκ ἦν—μοῦνον corrupta: οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἐστὶν ὁμοῦ πᾶν Parm. v. 60 K. 66 St. 11 ἐὸν—πελάζει v. 80 K. 86 St. ἐὸν γὰρ] νέον γὰρ M ἐόντι] ἐόν K 12 ὁμοῦ πᾶν L: ὁμοῦ πάντα K: πᾶν ὁμοῦ Mt καὶ ἐὸν M ἐόντι K: ἐοντι L: νέον τί M: ἐὸν τί t 12. 13 -δει ἄρα—οὖσιν ὑπ- in erasis K 13 αὐτῶ K 15 οὕτω L 16 δὲ om. K αὐτὸς ὁ τρόπος L 16. 17 τρόπος—ἴδιοι om. K 17 εἰσὶν ἴδιοι vel ἴδιοί εἰσι Aristotelis libri 18 λέγοντες L καὶ (ante ψευδεῖς) om. L 20 ἐπιλυσώμεθα L 21 τῇ μὲν et τῇ δὲ K ὅτι utrumque om. K ψεῦδος L 23 φασὶ δὲ κτλ.] cf. Zeller I⁴ 468,2 δὲ om. K ἰδίᾳ] ἴδια K βίβλον L 24 ἴδιοι LK: ἕτεροι Mt 25 πῇ μὲν LK: τῇ μὲν Mt et Aristotelis libri (praeter I) 25. 26 ὅτι ψευδής—συμπεραίνεται om. K 25 πῇ δὲ L: τῇ δὲ Mt et Arist. libri (praeter I)

www.libtool.com.cn

βούλεται. καὶ γὰρ ἐξ ἀρχῆς ἔλεγεν ὅτι ἀμφότεροι ὅ τε Μέλισσος καὶ ὁ b 5r
Παρ|μενίδης "καὶ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσι". ψευδεῖς μὲν γὰρ b 5v
λαμβάνει τὰς προτάσεις, ὅτι τὸ ὂν πολλὰ σημαῖνον ὡς ἕν τι σημαῖνον
οὕτω παρείληφεν ἐν τῇ ἐλάττονι προτάσει· τὸ γὰρ ἁπλῶς ἐνταῦθα ἀντὶ
5 τοῦ μοναχῶς, καὶ δῆλον ἐκ τοῦ ἀντιδιαστεῖλαι αὐτῷ τὸ πολλαχῶς· ᾗ
ἁπλῶς γάρ φησι λαμβάνει τὸ ὂν λέγεσθαι, ἀντὶ τοῦ μοναχῶς, λε-
γόμενον πολλαχῶς. εἴπομεν δὲ ὅτι καὶ ἡ μείζων πρότασις ψευδής
ἐστι. τὸ μὲν ψεῦδος ἐν ταῖς προτάσεσι τοιοῦτον, τὸ δὲ ἀσυμπέραντον οὐκ 5
ἔοικε διὰ τὴν ἀντιστροφὴν λαμβάνειν ὁ Ἀριστοτέλης· ἔχει γὰρ ἡ λέξις
10 οὕτως· ἀσυμπέραντος δὲ ὅτι, εἰ μόνα τὰ λευκὰ ληφθείη σημαί-
νοντος ἓν τοῦ λευκοῦ, οὐδὲν ἧττον πολλὰ τὰ λευκὰ καὶ οὐχ ἕν.
τουτέστι κἂν συγχωρήσωμεν αὐτῷ ἀληθῆ λαβεῖν τὴν ἐλάττονα πρότασιν
καὶ τὸ ὂν ἕν τι σημαίνειν, οἷον τὸ λευκόν, ἀληθὲς μὲν τὸ εἰπεῖν ὅτι τὸ 10
παρὰ τὸ ὂν οὐκ ὄν, τουτέστι τὸ παρὰ τὸ λευκὸν οὐ λευκόν, οὐκέτι δὲ ἕξει
15 χώραν ἡ μείζων πρότασις ἡ λέγουσα τὸ οὐκ ὂν οὐδέν, τουτέστι τὸ οὐ
λευκὸν οὐδέν ἐστιν. οὐκ ὂν μὲν γὰρ τὸ οὐ λευκόν, διότι τὸ ὂν ἓν μόνον
σημαίνει τὸ λευκόν· οὐ μέντοι ἤδη καὶ οὐδὲν ἔσται, ἐπεὶ καὶ ἡμεῖς τὴν
ὕλην ἑτέραν τῶν ὄντων πάντων λέγοντες εἶναι (τουτέστι τῶν εἰδοποιη-
μένων) διὰ τὸ πᾶσιν ὑπεστρῶσθαι, ὅμως οὔ φαμεν αὐτὴν οὐδὲν εἶναι.
20 ὥστε ἀνῃρημένης τῆς μείζονος προτάσεως οὐδὲν συμπεραν θήσεται· ἐκ μιᾶς
γὰρ προτάσεως οὐδὲν συμπεραίνεται. ἄλλως τε κἂν δῶμεν τὸ ὂν ἓν εἶναι, 15
τοῦτο δὲ τὸ ὂν λευκόν ἐστιν, οὐδὲν ἧττον καὶ οὕτω πολλὰ ἔσονται τὰ ὄντα·
τὰ γὰρ λευκὰ πολλά. τὸ γὰρ λευκὸν ἓν εἶναι ἢ γένει ἢ εἴδει μόνον δυνα-
τόν, εἰ δὲ οὕτως ἓν τὸ λευκόν, πολλὰ δηλονότι καὶ οὐχ ἓν τὰ λευκά·
25 πλειόνων γὰρ περιεκτικὸν τὸ γένος καὶ τὸ εἶδος. οὐ γὰρ δὴ τὸ λευκὸν ὡς
ἕν τι ἄτομον ληψόμεθα· ἀδύνατον γάρ, φησί, τοῦτο. [ἀδύνατον γὰρ]
ἀνάγκη γάρ, εἰ ἓν εἴη ἄτομον, ἢ ὡς συνεχὲς εἶναι ἓν ἢ ὡς τῷ λόγῳ ταὐτόν,
ἀδύνατον δὲ ἀμφοτέρως. οὔτε γὰρ ἕν τι συνεχές ἐστι τὸ λευκόν (ἐναργῶς 20
γὰρ διακεκριμένα εἰσὶν ἀπ' ἀλλήλων), οὔτε τῷ λόγῳ εἰσὶ ταὐτά· ἄλλος γὰρ
30 ὁ τοῦ λευκοῦ λόγος, καὶ ἄλλος ὁ τοῦ ὑποκειμένου τοῦ δεδεγμένου αὐτό.

---

1 ἐξ ἀρχῆς p. 186a7 (cf. c. 2 p. 185a9) 1. 2 ὅ τε παρμενίδης καὶ μέλισσος L 2 καὶ (ante ψευδῆ) om. L 5 τὸ (ante πολλαχῶς) om. L ᾗ scripsi ex Aristotele: ἡ K: ἢ LMt 6. 7 λεγόμενον LMt: λεγομένου K et Arist. (in cod. E superscr. rec. γρ. καὶ λεγόμενον) at cf. Themist. p. 117,5. Simplic. p. 117,16 8 ἐστι om. K ἀσυμπέραστον libri 9. 12 pro ἔχει — τουτέστι habet καὶ γὰρ ὅπερ φησὶ τοιοῦτον ἐστὶ K 9 λέξις L: compend. λ^{ις} M: λύσις t 10 ἀσυμπέραντ M: ἀσυμπέραντον L: ἀσυμπέραστος t ὅτι om. M λειφθείη L 10. 11 σημαίνοντος] litteras ση add. M² 12 τουτέστιν t κἂν LKM: ἂν t λαμβάνειν K 13 ἕν τι M 13. 14 ὅτι τὸ παρὰ ex ὅτιπερ corr. M² 14 τουτέστι om. K 16 ἐστιν et οὐ om. K 17 οὐ μέτοι L 19 οὐδὲν εἶναι] ἓν εἶναι K 20 συμπερασθήσεται Mt 21 ὂν] ὂν (sic) Mt 22 ὂν LKM: ἓν t 23. 24 μόνον δυνατόν] ἀδύνατον K 26 quae uncis inclusi om. t et, si silentio fides, K 27 εἴη τὸ ἄτομον Mt 29 ταῦτα ante correct. K 30 ἄλλως K δεδειγμένου et p. 67,2 δεδειγμένω primitus L

www.libtool.com.cn

Ἴδωμεν δὲ καὶ ἐπὶ λέξεως αὐτῆς πῶς φησιν. ἄλλο γὰρ ἔσται b 5v
τὸ εἶναι λευκῷ καὶ τὸ δεδεγμένῳ. εἰπὼν ὅτι εἰ καὶ ἓν σημαίνει
τὸ λευκόν, οὐδὲν ἧττον πολλὰ τὰ λευκά, διότι ἢ γένει ἓν ἔσται ἢ
εἴδει, ἐπήγαγεν· οὔτε γὰρ τῇ συνεχείᾳ ἓν ἔσται τὸ λευκόν, οὔτε 25
5 τῷ λόγῳ. ταὐτὸν δὲ εἰπεῖν 'οὔτε γὰρ ὡς καθ' ἕκαστον ἓν ἔσται τὸ λευκόν',
τὸ δὲ καθ' ἕκαστον ἢ ὡς συνεχὲς ἐλέγετο ἓν εἶναι ἢ ὡς ἀδιαίρετον ἢ ὡς
τῷ λόγῳ ταὐτόν. ἐπεὶ οὖν οὐδὲν αὐτῷ συντείνει τὸ ἀδιαίρετον, παρῆκεν
αὐτὸ νῦν. διχῇ οὖν διελὼν τὸ καθ' ἕκαστον, δείκνυσιν ὅτι κατ' οὐδέτερον
δυνατὸν ἓν εἶναι λέγειν τὸ ὄν, τουτέστι τὸ λευκόν· τοῦτο γὰρ ὑπόκειται
10 νῦν τὸ ὂν σημαίνειν. καὶ ὅτι μὲν οὐ δυνατὸν ὡς τῷ λόγῳ ταὐτὸν εἶναι,
φησίν· ἄλλο γὰρ ἔσται τὸ εἶναι λευκῷ καὶ τὸ δεδεγμένῳ, τουτέστιν 30
οὐ δυνατὸν ἕνα ὁρισμὸν τοῦ λευκοῦ ἀποδοῦναι. τὸ γὰρ λευκὸν σῶμά ἐστι
τοιῶσδε κεχρωσμένον, καὶ ὁρισμὸς ἄλλος μὲν ἀποδίδοται τοῦ ὑποκειμένου,
ἄλλος δὲ αὐτῆς τῆς λευκότητος· οὐ γάρ ἐστι τῶν καθ' αὑτὸ ὑφεστηκότων
15 τὸ λευκόν, ἀλλὰ τῶν ἐν σώματι ἐχόντων τὸ εἶναι. εἰ τοίνυν μὴ δυνατὸν
ἕνα ὁρισμὸν τοῦ ὑποκειμένου καὶ τῆς λευκότητος ἀποδοῦναι, οὐκ ἄρα ὡς
τῷ λόγῳ ταὐτὸν ἓν ἔσται τὸ λευκόν.

p. 186a29 Καὶ οὐκ ἔστι παρὰ τὸ λευκὸν οὐδὲν χωριστόν· οὐ γὰρ
ᾗ χωριστόν, ἀλλὰ τῷ εἶναι ἕτερον τὸ λευκὸν καὶ ᾧ ὑπάρχει. 35

20 Ἐπειδὴ εἶπεν ὅτι ἕτερόν ἐστι τὸ λευκὸν τοῦ ὑποκειμένου, ἵνα μή τις
ὑπονοήσῃ ὅτι τῷ εἶναι ἰδέαν τινὰ τοῦ λευκοῦ χωριστὴν καὶ οὐκ ἐν ὑπο-
κειμένῳ τινί, ταύτῃ ἕτερός ἐστιν ὁ τοῦ λευκοῦ λόγος παρὰ τὸ ὑποκείμενον,
διὰ τοῦτό φησιν ὅτι οὐκ ἔστι χωριστόν τι εἶδος ἕτερον παρὰ τὸ λευκὸν τὸ
ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχον, ὥσπερ τυχὸν ὑποτίθεται Πλάτων·
25 οὐ γὰρ τῷ χωριστὸν εἶναί τι λευκὸν ἕτερόν ἐστι τοῦ ὑποκειμένου, ἀλλὰ 40
τῷ τὴν οὐσίαν ἑτέραν ἔχειν, κἂν μυριάκις χωρισθῆναι οὐ πέφυκε, ταύτῃ
καὶ τὸν ὁριστικὸν λόγον ἕτερον δέχεται. ὥστε εἰ ἀδύνατον ἓν εἶναι τῷ

---

1 αὐτ^ο L 2 καὶ τὸ L: καὶ τῷ KMt at cf. v. 11 3 ἢ γένει ἔσται ἓν ἢ L
5 οὔτε γὰρ ὡς libri: num οὐ γὰρ ὡς? ἔσται] εἶναι L 7 ταυτὸν εἶναι ᾗ M cf. v. 10 sq. οὖν (post ἐπεὶ) om. K: malim δὲ αὐτὸ K 8 τὸ καθέκαστον Mt: τὸ καθέκαστα L: τὰ καθέκαστα K 9 εἶναι λέγειν L: εἰ (sic) λέγειν K: λέγειν εἶναι Mt 10 οὐ om. L 11 ἄλλως K τὸ (ante δεδεγμένῳ) LKM: τῷ t (et Aristot. libri FI et pr. E) 13 καὶ ὁ ὁρισμὸς K ἀποδίδωται K
14 ἄλλως ὡς αὐτῆς K 17 ἓν om. L 18 ἔστι LM: ἔσται Kt Aristoteles at cf. v. 23 18. 19 οὐδὲν χωριστόν—ὑπάρχει om. K 19 τῷ (post ἀλλὰ) scripsi ex Aristotele cl. v. 26: τὸ libri (et Aristot. cod. F) τὸ λευκὸν t et, si silentio fides, L: τῷ λευκῷ M (et Arist. cod. F) 20 τὸ om. L 21 ἰδέαν τινὰ KMt: ἰδίαν τινὰ οὐσίαν L οὐκ Mt: om. LK 23 οὐκ ἔστι LK: οὐκέστι M: οὐκέτι t 24 ὥσπερ] ὡς L post Πλάτων habet διὰ τὰς ..... (spatium quinque litter. ubi L² scripsit quosdam apices quos interpretor ἰδέας) L 26 ἑτέραν (ἑ^τ^ρ M) LKM: ἕτερον t χωρισθῆναι K

www.libtool.com.cn

λόγῳ τὸ λευκόν. ταὐτὸν δὲ εἰπεῖν τὸ ὄν, οὐχ ἓν ἄρα οὐδ' οὕτως τὸ ὄν. b 5r
κἂν τὴν οὐσίαν δέ τις ὑπόθοιτο, ἀδύνατον πάλιν μίαν εἶναι τῷ λόγῳ·
δεκτικὴ γὰρ αὕτη τῶν συμβεβηκότων, ἅτινα πάλιν ἕτερον τὸν τοῦ εἶναι
δέχεται λόγον. ὥστε οὐδαμῶς ἓν εἶναι τὸ ὂν δυνατὸν ὡς τῷ λόγῳ ταὐτὸν
5 ὄν. ἀλλὰ τοῦτο Παρμενίδης οὔπω συνεώρα, ὅτι κἂν ἅμα ὦσι καὶ
ἐν τῷ αὐτῷ διάφορα πράγματα ἕτερον τὸν τοῦ εἶναι λόγον ἐπιδεχόμενα, 45
οὐχ ἓν εἰσι διὰ τὸ ὑποκείμενον μᾶλλον ἢ πολλὰ διὰ τοὺς ὁριστικοὺς λόγους.
καὶ τοῦτο τῆς πλάνης αὐτῷ αἴτιον γέγονε, τὸ ὁρᾶν τὰς κατηγορίας πάσας
ἅμα οὔσας· ἐνόμισε γὰρ ὅτι διὰ τοῦτο καὶ τὸ ὂν ἓν ἐστιν.

10 p. 186a32 Ἀνάγκη δὴ λαβεῖν οὐ μόνον ἓν σημαίνειν τὸ ὄν, καθ' οὗ ἂν κατηγορηθῇ, ἀλλὰ καὶ ὅπερ ὂν καὶ ὅπερ ἕν.

Δείξας ὅτι οὐκ ἔστιν ὡς τῷ λόγῳ ταὐτὸν ἓν τὸ ὄν, βούλεται νῦν δεῖξαι 51
ὅτι οὐδὲ ὡς συνεχές. εἴρηται δὲ ὅτι εἰ ὡς συνεχὲς ἕν, ἢ ὡς οὐσία μόνον
ἔσται, ἢ συμβεβηκὸς μόνον, ἢ μικτὸν ἐξ ἀμφοῖν· τέως οὖν ὅτι οὐ δύνα-
15 ται οὐσία μόνον εἶναι δείκνυσιν. ἀνάγκη οὖν, φησίν, εὐγνωμονέστερον
ἀκούοντας τῶν λόγων τὸ ὂν ὅ φασιν οὐ μόνον ἓν σημαίνειν ἐνδέχεσθαι,
ὡς αὐτοί φασιν, ἀλλὰ καὶ ὅπερ ὂν καὶ ὅπερ ἕν· ⟨ὅπερ ὄν,⟩ τουτέστι
τὸ κυρίως ὄν, τοῦτο δέ ἐστιν ἡ οὐσία, καὶ τὸ ἔμπαλιν ὅπερ ἕν, τουτέστι
τὸ κυρίως ἕν, ὅπερ ἐστὶ | τὸ τῷ ἀριθμῷ ἕν. οὐ γὰρ δή, φησί, τὸ συμ- b 6r
20 βεβηκὸς ἂν λέγοιεν τὸ ὄν, τοῦτο δὲ ἐσήμανεν εἰπών· τὸ γὰρ συμβε-
βηκὸς καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ἐν ἄλλῳ ἔχει τὸ
εἶναι. ὥστε κυριώτερον ἂν τὴν οὐσίαν λέγοιεν τὸ ὄν. εἶτα τοῦτο εἰπὼν
τρέπεται εἰς τὸ δεῖξαι ὅτι ἀδύνατον τὸ συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι.
εἰ γὰρ τοῦτο, φησίν, εἴη τὸ ὄν, τὸ ᾧ συμβέβηκε τὸ ὂν οὐκ ἔσται,
25 συμβέβηκε δὲ τῇ οὐσίᾳ· ὥστε εἰ τὸ συμβεβηκὸς μόνον ὄν, ἡ οὐσία οὐκ 5
ὂν ἔσται (ἑτέρα γάρ ἐστι τοῦ ὄντος), εἰ δὲ οὐκ ὂν ἡ οὐσία, τὶ ὂν ἄρα οὐκ ὂν
ἔσται (ὑπόκειται γὰρ ἡ οὐσία τῷ συμβεβηκότι, ὥστε ἔστι τι ἡ οὐσία)· ἀλλὰ

---

1 εἶπε K 3 δεκτικὴ Kt: δεκτὶ (in exitu versiculi) M: δεκτικὸν L συμβεβηκότων ἐστὶν Mt τὸν τοῦ Kt: τὸ ὂν τοῦ M: τοῦτον L 4 δυνατὸν post οὐδαμῶς ponit K 4. 5 ταὐτὸν ὄν] ταυτὸν εἶναι K 5 οὔπω συνεώρα om. K οὐδέπω L ἑώρα Aristotelis cod. E ὅτι] (ο)ὐ συνεῖδε φ̄ ὁ παρμεν ὅτι K 6 ἐπιδεχόμεθα K et ante correct. L 8 γέγονεν αἴτιον Mt τὰς om. L 9 οὔσας] εἶναι K ὅτι om. et εἶναι (pro ἐστιν) K 10. 11 οὐ μόνον—ὅπερ ἕν om. K 10 post λαβεῖν e vulgato Aristotele addunt τοῖς λέγουσιν ἓν τὸ ὂν εἶναι (L)t οὐ (cf. Simplicii libri p. 121,26) LM: μὴ t Aristoteles at cf. v. 16 13 εἴρηται p. 63,20 sqq. ὅτι εἰ Mt: ὅτι τὸ L: ὅτι K ὡς (ante οὐσία) recte om. K 15 οὖν] γὰρ K 16 ἐκδέχεσθαι Mt quod praestare videtur 17 ὡς αὐτὰ L ὅπερ ὂν καὶ ὅπερ ἕν· ὅπερ ὄν, scripsi: ὅπερ ὂν καὶ ὅπερ ἓν L: ὅπερ ὄν K: ὅπερ ἕν Mt 18 τὸ κυρίως ὄν—τουτέστι servavit K: om. LMt 21. 22 τὸ εἶναι ἔχει Mt 22 λέγοιεν τὴν οὐσίαν K 26 ἐστι] εἶναι K 27 ὥστε ἔστι LM: ὥστε εἶναι K: ὥστε ἔσται t ἡ (post τι) om. Mt

www.libtool.com.cn

τὸ συμβεβηκὸς μόνον ὄν, ὥστε ἡ οὐσία οὐκ ὄν· τὸ αὐτὸ ἄρα καὶ ὄν καὶ b 6r
οὐκ ὄν, ὅπερ ἀδύνατον.

p. 186b1 Οὐ δὴ ἔσται ἄλλῳ ὑπάρχον τὸ ὅπερ ὄν.

Εἰ ἀδύνατον, φησί, τὸ αὐτὸ ἅμα ὂν καὶ μὴ ὂν εἶναι, τοῦτο δὲ συμ- 10
5 βέβηκεν ἐκ τοῦ ὑποθέσθαι ἡμᾶς τὸ ὂν συμβεβηκὸς εἶναι, ἀδύνατον ἄρα ἄλλῳ συμβεβηκέναι τὸ ὄν· οὐ γὰρ ἐνδέχεται, φησίν, ὂν εἶναι τὸ συμβεβηκός, εἰ μὴ πολλὰ σημαίνει τὸ ὄν, ὥστε καὶ τὴν οὐσίαν ὄν τι εἶναι καὶ τὸ συμβεβηκός. εἰ γὰρ ἕν τι σημαίνει τὸ ὄν, συμβήσεται τὰ εἰρημενα ἄτοπα· ἀλλὰ μὴν ὑπόκειται ἓν τὸ ὂν σημαίνειν, ἀδύνατον ἄρα τὸ ὂν συμ-
10 βεβηκὸς εἶναι.

p. 186b4 Εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν ἀλλὰ ἐκείνῳ τι 15
μᾶλλον τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ μὴ ὄν;

Δείξας ὅτι ἀδύνατον τὸ ὂν συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι, ἀνατρέχει ἐπὶ τὸ ἐξ ἀρχῆς, ὅτι οὐδὲ οὐσίαν μίαν αὐτὸ δυνατὸν εἶναι. διχῶς δὲ
15 στικτέον, ἢ οὕτως· εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλὰ μᾶλλον ἐκείνῳ ἕτερόν τι συμβέβηκεν, εἶτα ὧδε ὑποστίξαντας ἐπαγαγεῖν· τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ μὴ ὄν; ἢ μᾶλλον εἰς τὸ ἀλλ' ἐκείνῳ στικτέον, εἶτα ἐφεξῆς· τί μᾶλλον τὸ ὅπερ ὂν καὶ τὰ ἑξῆς. ὁ δὲ νοῦς· εἰ οὖν ἀδύνατον τὸ ὅπερ ὂν συμβεβηκέναι τινί, ἀλλ' ἐκείνῳ (τουτέστι τῷ ὅπερ 20
20 ὄντι) συμβέβηκεν ἕτερόν τι, τουτέστι τῇ οὐσίᾳ τὸ συμβεβηκός, τί μᾶλλον τὸ ὅπερ ὂν (τουτέστιν ἡ οὐσία) τὸ ὂν ἢ τὸ μὴ ὂν σημαίνει; τουτέστιν οὐδὲν μᾶλλον ἔσται ὂν ἢ οὐκ ὂν ἡ οὐσία. πῶς δὲ τοῦτο συμβαίνει ἐπήγαγεν· εἰ γὰρ ἔσται τὸ ὅπερ ὂν τὸ αὐτὸ καὶ λευκόν, τὸ λευκῷ δὲ εἶναι μή ἐστιν ὅπερ ὄν (οὐδὲ γὰρ συμβεβηκέναι αὐτῷ οἷόν τε τὸ ὄν·
25 οὐδὲν γὰρ ὂν ὃ οὐχ ὅπερ ὄν), οὐκ ἄρα ὂν τὸ λευκόν. ὃ δὲ λέγει 26
τοῦτό ἐστιν· ἐπειδὴ τὸ ὅπερ ὄν, τουτέστιν ἡ οὐσία, ἐστὶ καὶ λευκή (λέγομεν γὰρ τὸν Σωκράτην λευκὸν εἶναι), τὸ δὲ λευκὸν οὐκ ἔστιν ὅπερ ὄν

---

3 ἄλλω LM: ἄλλως K: ἄλλο t ὑπάρχον ἢ τὸ t τὸ ὅπερ ὄν om. K 6 οὐδὲ γὰρ K 7 τὸ ὂν σημαίνει Aristotelis libri λέγειν εἶναι Mt 11 μηθενὶ K 11. 12 -βέβηκεν — μὴ ὄν om. K ἀλλ' ἐκείνῳ t 12 ἢ τὸ μὴ ὄν t 13 ὑπολαμβάνειν K 14 αὐτὸ om. Mt 15 τικτέον ante correct. L 15. 16 ἀλλὰ — συμβέβηκεν om. L 16 εἶτα ὑποστίξαντας ὧδε (ὧδε M) Mt 17 ἢ τὸ μὴ ὄν t ἐκείνως K 19 ὂν om. K συμβεβηκέναι] συμβέβηκε (sic) K 19. 20 ἀλλ' — ἕτερόν τι om. K 19 τουτέστι L: om. Mt 21 ἡ] εἰ ἡ K τουτέστιν (ante οὐδὲν) om. K 22 ὂν (post ἔσται) om. K ἡ οὐσία K: ἢ οὐσία LMt 23 τὸ ὅπερ ὂν post ἔσται om., post λευκόν addit ὅπερ ὄν M 23. 25 pro τὸ λευκῷ — οὐχ ὅπερ ὄν inserit ἕως τὸ (scribe τοῦ) K cf. Diels ad Simplic. praef. p. X sq. 23 τὸ (ante λευκῷ) L: τῷ Mt δ' εἶναι t 24 οὐδὲ γὰρ οὐδὲ ex Aristot. vulg. t at cf. p. 70,4 αὐτῷ om. M 26 τοῦτό LK: τοιοῦτόν Mt ἐπειδήπερ τὸ ὄν Mt

www.libtool.com.cn

(μόνη γάρ ἐστιν ἡ οὐσία ὅπερ ὄν), τὸ ὅπερ ὂν ἄρα οὐχ ὅπερ ὄν. τὸ αὐτὸ b 6r
ἄρα καὶ ὂν καὶ οὐκ ὄν, ὅπερ ἀδύνατον. εἰ γὰρ ἀληθὲς εἰπεῖν τὴν οὐσίαν
λευκήν, τὸ δὲ λευκὸν οὐκ ὄν, ἡ οὐσία ἄρα οὐκ ὄν· ὑπόκειται δὲ καὶ ὄν,
τὸ αὐτὸ ἄρα καὶ ὂν καὶ οὐκ ὄν. οὐδὲ γὰρ συμβεβηκέναι αὐτῷ οἷόν
5 τε τὸ ὄν· οὐδὲν γὰρ ὂν ὃ οὐχ ὅπερ ὄν. οὐκ ἄρα ὂν τὸ λευκόν.
τὸ λευκόν, φησίν, οὐκ ἔστιν ὄν· οὐκ ἐνδέχεται γὰρ αὐτῷ ὑπάρξαι τὸ ὄν. 30
πᾶν γὰρ ὂν εὐθὺς καὶ ὅπερ ὄν ἐστιν, ὅπερ ὂν δὲ μόνως ἡ οὐσία, καὶ
μόνως ἄρα ὂν ἡ οὐσία· εἰ δὲ τοῦτο, οὐκ ἄρα ὂν τὸ λευκόν. οὐχ οὕτως
δὲ ὡς ὅπερ τὶ μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. ἐπειδὴ ἔδειξεν ὅτι τὸ λευκὸν
10 οὐκ ἔστιν ὄν, διότι μόνως ὂν ἡ οὐσία, ἔστι δὲ μὴ ὂν καὶ τὸ ἁπλῶς μὴ
ὂν καὶ τὸ τὶ μὴ ὄν (ὥσπερ ὁ Σωκράτης τὶ μὴ ὄν· οὐκ ἔστι γὰρ Πλάτων
ἢ Ἀλκιβιάδης), διὰ τοῦτο, φησί, τὸ λευκὸν μὴ ὄν ἐστιν, οὐχ ὡς τὶ μὴ
ὄν, ἀλλ' ὅλως μὴ ὄν, διότι καὶ τὸ μόνως ὄν, ἡ οὐσία, οὐκ ἔστι τὶ ὄν,
ἀλλ' ἁπλῶς ὄν. ὥστε εἰ ἁπλῶς ὂν ἡ οὐσία καὶ μόνον ὄν, τὸ συμβεβηκὸς 35
15 ἄρα ἁπλῶς μὴ ὄν.

p. 186b10 Τὸ ἄρα ὅπερ ὂν οὐκ ὄν.

Τοῦτο συμπέρασμά ἐστι τοῦ ὅλου λόγου· εἰ γὰρ τὸ ὅπερ ὂν ἡ οὐσία
ἐστίν, ἡ οὐσία δέ ἐστι καὶ λευκόν, τὸ λευκὸν δὲ οὐκ ὄν, τὸ ὅπερ ὂν ἄρα
οὐκ ὄν. πάλιν δὲ διὰ τῶν ἑξῆς αὐτὸ τοῦτο ἐπαναλαβὼν κατεσκεύασεν·
20 ἀληθὲς γὰρ εἰπεῖν ὅτι λευκόν. ἀληθές, φησί, τὸ ὅπερ ὂν εἰπεῖν ὅτι
λευκόν· εἰ γὰρ τὸ ὅπερ ὂν ἡ οὐσία, τὴν δὲ οὐσίαν ἀληθὲς εἰπεῖν ὅτι λευκόν 40
(λέγομεν γὰρ τὸ σῶμα λευκὸν εἶναι), τὸ ὅπερ ὂν ἄρα ἀληθὲς εἰπεῖν ὅτι
λευκόν. τὸ δὲ λευκὸν οὐκ ὂν ἐσήμανε (μόνον γὰρ ὂν ἡ οὐσία)· ὥστε καὶ
τὸ ὅπερ ὂν οὐκ ὂν ἔσται. ὥστ' εἰ καὶ τὸ λευκὸν σημαίνει τὸ ὅπερ
25 ὄν, πλείω ἄρα σημαινει τὸ ὄν. εἰ ἄτοπον, φησί, τὸ ὅπερ ὂν τὸ αὐτὸ
καὶ μὴ ὂν εἶναι, διότι τὸ ὅπερ ὄν ἐστι καὶ λευκόν, τὸ δὲ λευκὸν μὴ ὄν
ἐστι, ψεῦδος ἄρα τὸ λευκὸν μὴ ὂν εἶναι. ὂν ἄρα τὸ λευκόν. πᾶν δὲ ὂν
εὐθὺς καὶ ὅπερ ὄν· ὥστε καὶ τὸ λευκὸν ὅπερ ὄν. εἰ δὲ τοῦτο, ἔστι δὲ καὶ 45
ἡ οὐσία ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ ὂν καὶ οὐχ ἕν.

---

1. 2 τὸ ὅπερ ὂν ἄρα οὐκ ὅπερ (sic) ὄν — καὶ οὐκ ὄν servavit K: om. LMt 3. 4 ὑπόκειται — καὶ οὐκ ὄν servavit K: om. LMt 4. 5 αὐτῷ οἷόν τε L: οἷόν τε αὐτῷ Mt: οἷόν τε om. K 5 τὸ ὄν — ἄρα ὂν τὸ λευκόν om. K τὸ ὄν L: τὸ λευκόν Mt 7 ὅπερ ὂν δὲ] ὅπερ δὲ ὂν K 8 οὕτω t 9 ὡς ὅπερ KMt: ὡς (cf. v. 12) L: scribendum ὡς ὥσπερ ex Aristotele (at ὡς ὅπερ' cod. E ubi non raro littera ρ in exitu verborum apostropho notatur) τὶ μὴ ὄν] μὴ ὄν τι Aristot. cod. E ἀλλ' ὅλως μὴ ὄν om. K 11 ὁ σωκράτης τί μὴ ὂν ἐστίν Mt 16 ὅπερ ὂν] ὅπερ ὂν (LKM)t. item p. 71,12 17 τοῦτο τὸ K τοῦ λόγου ὅλου Mt 19 διὰ δὲ τῶν ἐφεξῆς αὐτὸ τοῦτο πάλιν Mt 23 ἐσήμανε LM: ἐσήμαινε Kt 24. 25 ὥστ' — σημαίνει τὸ ὅπερ ὄν om. K 24 τὸ ὅπερ (post σημαίνει) L: τὸ Mt: ὅπερ (om. τὸ) Aristoteles 26 τὸ (post διότι) om. K 27 ὂν (ante εἶναι) om. L

www.libtool.com.cn

p. 186ᵇ12 Οὐ τοίνυν οὐδὲ μέγεθος ἕξει τὸ ὄν, εἴπερ ὅπερ ὂν τὸ ὄν· ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων. b 6r

Εἰς ἕτερον ἐπάγει τὸν λόγον. εἰ μόνως, φησίν, ὅπερ ὂν ἡ οὐσία, ἀνάγκη μηδὲ μέγεθος ἔχειν τὸ ὅπερ ὄν (τὸ γὰρ μέγεθος ποσόν, τὸ δὲ ποσὸν συμβεβηκός, τὸ δὲ συμβεβηκὸς μὴ ὄν), εἰ δὲ τὸ ὅπερ ὂν οὐχ ἕξει μέγεθος, οὐδὲ πεπερασμένον οὐδὲ ἄπειρον ἔσται. ὥστε καὶ τὰς ἑαυτῶν ἀναιρήσουσιν ὑποθέσεις, ἓν ὑποτιθέμενοι σημαίνειν τὸ ὄν, τὴν οὐσίαν. ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων τῆς οὐσίας τῆς μεμεγεθυσμένης, οἷον τοῦ σώματος μόρια καλεῖ τήν τε οὐσίαν αὐτὴν καὶ τὸ ποσόν. ταῦτα οὖν, φησίν, εἰ καὶ τῷ ὑποκειμένῳ ἓν καὶ ταὐτόν εἰσιν, ἀλλ' οὖν τὸ εἶναι ἕτερόν ἐστιν ἑκατέρῳ αὐτῶν· ἄλλος γὰρ ὁ τῆς οὐσίας λόγος καὶ ἄλλος ὁ τοῦ μεγέθους. ὥστε εἰ τὸ ὅπερ ὂν μόνον ἐστὶν ἡ οὐσία, τὸ μέγεθος ἄρα οὐκ ὄν. ὥστε οὐχ ἕξει μέγεθος ἡ οὐσία, ἵνα μὴ τὸ αὐτὸ καὶ ὂν καὶ οὐκ ὂν εἴη. εἰ δὲ μὴ ἕξει μέγεθος, οὔτε ἄπειρος ἔσται οὔτε πεπερασμένη· ταῦτα γὰρ τοῦ ποσοῦ. |

p. 186ᵇ14 Ὅτι δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄν τι ἄλλο καὶ τῷ λόγῳ φανερόν. b 6v

Διελὼν τὸ κυρίως ἕν, λέγω δὲ τὸ τῷ ἀριθμῷ, εἴς τε τὸ συνεχὲς καὶ τῷ λόγῳ ταὐτόν, καὶ εἰπὼν ὅτι εἰ ὡς συνεχὲς ἓν εἴη τὸ ὄν, ἡ οὐσία ἔσται ἢ συμβεβηκός (εἰ γὰρ σύνθετον ἐξ ἀμφοῖν, ἐναργῶς πολλὰ τὰ ὄντα), εἶτα δείξας ὅτι οὐδ' εἰ οὐσία μόνον εἴη, ἐπειδὴ ἡ οὐσία δεκτική ἐστι τῶν συμβεβηκότων καί ἐστιν ἀληθὲς εἰπεῖν ὅτι ἡ οὐσία λευκόν ἐστι, τὸ δὲ λευκὸν οὐκ ὄν, καὶ ἡ οὐσία οὐκ ὄν ἐστιν, ὑπέκειτο δὲ καὶ ὂν εἶναι, τὸ αὐτὸ ἄρα καὶ ὂν ἔσται καὶ μὴ ὄν· ἐπειδὴ ἐκ τοῦ ὑποτίθεσθαι τὴν οὐσίαν δεκτικὴν εἶναι τῶν συμβεβηκότων συνήχθη τὸ ἄτοπον, εἶπε δὲ ἄν τις ὅτι μήποτε οὐδ' ὅλως δεῖ ὑποτίθεσθαι εἶναι τὰ συμβεβηκότα, ἀλλὰ μόνην τὴν οὐσίαν εἶναι, διὰ τοῦτο νῦν τοῦτο προτίθεται δεῖξαι ὅτι, κἂν τὸ ὂν τὴν

1 Οὐ] •ὐ (o rubrica addend.) K: om. L 1. 2 εἴπερ—μορίων om. K 2 τῷ εἶναι L 3 ἐπάγει L: ἀπάγε (sic) K: ἀπάγει Mt εἰ μόνως] οὐ μ/ (sic) L ἡ om. K 4 ἀνάγκη δὲ μὴ δὲ L 4. 5 τὸ δὲ συμβεβηκὸς ποσὸν (traic. M²) M 7. 8 ἑκα^τ^ρ^ γὰρ ἑ^τ^ρ^ (omissis τὸ εἶναι τῶν μορίων) K 8 scribendum τῶν μορίων. ⟨τῶν μορίων⟩ τῆς 8. 9 μεγεθυνομένης L 11 ἕτερόν] ἑ^τ^ρ^ K ἐστιν om. K ἑκατέρῳ Mt: ἑκάτερον LK 13 ἵνα μὴ τῷ αὐτῷ (om. καὶ) ὂν K 14 ἔσται] ἐστι K 16 lemma om. K εἰς ὅπερ ὂν τί ἄλλο M 18 διελόμενος K εἴς] εἴ L 18. 19 καὶ τὸ τῷ λόγῳ fort. recte K 20 γὰρ καὶ K 22 ἀληθῶς K δὲ om. K 23 ante ὑπέκειτο addit ἄρα K 25 εἶναι] ἀλλὰ K ὅτι KM: τὸ t (ubi nihil enotatum ex L) cf. ad p. 63.25 26 οὐδ' ὅλως δεῖ LK: δεῖ ὅλως (sine οὐδ') Mt

www.libtool.com.cn

οὐσίαν ὑποθώμεθα εἶναι καὶ ταύτην ἀριθμῷ μίαν καὶ μηδ' ὅλως ὑπάρχειν b 6v
αὐτῇ τὰ συμβεβηκότα, καὶ οὕτως δειχθήσεται οὐδὲν ἧττον πολλὰ τὰ ὄντα 11
καὶ οὐχ ἕν. λέγει δὲ δυνάμει ταῦτα· πότερον διδάσκετε ἡμᾶς περὶ τῆς οὐ-
σίας ταύτης ἢ οὔ; εἰ μὲν οὖν οὐδὲν ἡμᾶς διδάσκετε, ἀλλ' ἀξιοῦτε ἡμᾶς
5 ταῖς ἀποφάνσεσιν ὑμῶν ἕπεσθαι, οὐ πεισόμεθα ὑμῖν· εἰ δὲ διδάσκετε, ἢ δι'
ὀνόματος πάντως ἡμᾶς διδάσκετε, ἢ διὰ λόγου. εἰ μὲν οὖν δι' ὀνόματος
ἡμᾶς διδάσκετε, οὐ πεφύκασι τὰ ὀνόματα τὴν φύσιν τῶν πραγμάτων ἡμῖν
παριστᾶν· ὁ γὰρ τὴν τοῦ ἀνθρώπου μαθεῖν θέλων φύσιν οὐδὲν πλέον εἴσε- 15
ται διὰ τῆς 'ἀνθρώπου' φωνῆς. καὶ ἄλλως εἰ τὰ ὀνόματα τῶν πραγμά-
10 των ἱκανὰ ἦν εἰς παράστασιν τῆς οὐσίας αὐτῶν, πάντες ἄνθρωποι ὁμοίως
ἦμεν ἐπιστήμονες, ὁμοίως εἰδότες τί ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνε-
ται. εἰ δὲ διὰ λόγου, ἢ δι' ὁρισμοῦ πάντως ἢ δι' ὑπογραφῆς. καὶ καθό-
λου πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις κατὰ τρεῖς γίνεται τρόπους· ἢ γὰρ
κατὰ ἀπόφασιν (ὥσπερ ὁ Πλάτων τὴν περὶ θεοῦ φησι γίνεσθαι καὶ τῆς
15 ὕλης διδασκαλίαν· ὅτι οὔτε τόδε ἐστὶν οὔτε τόδε θεός, ἀλλ' ὅτι "ὑπὲρ ταῦτα", 20
ὥσπερ καὶ ἐπὶ τῆς ὕλης ὅτι χείρων τούτων), ἢ κατὰ ἀναλογίαν (ᾧ τρόπῳ
πάλιν ἐπὶ θεοῦ καὶ τῆς ὕλης κέχρηται, λέγων ὅτι ὃν λόγον ἔχει ὁ ἥλιος
πρὸς τὰ ἐγκόσμια πάντα, τοῦτον ὁ θεὸς ἁπλῶς πρὸς πάντα τὰ ὄντα, καὶ
ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς τὰ χαλκᾶ σκεύη, τοῦτον τὸν λόγον ἡ ὕλη
20 πρὸς τὰ ἔνυλα πάντα), ἢ δι' ὁρισμῶν. πᾶς δὲ ὁρισμὸς καὶ ὑπογραφὴ ἐκ
πλειόνων ἐστὶν ὀνομάτων, ἢ ὀνομάτων καὶ ῥημάτων. τὰ οὖν πλείονα ταῦτα
ὀνόματα ἤτοι ἓν καὶ ταὐτὸν σημαίνουσιν, ἢ πλείονα καὶ διάφορα· ἀλλ' εἰ μὲν 25
ἓν καὶ ταὐτὸν σημαίνοιεν, πάλιν δι' ὀνόματός ἐστιν ἡ διδασκαλία (τί γὰρ δια-
φέρει διὰ τοῦ ξίφους ἢ μαχαίρας ἢ σπάθης διδάξαι τὸ ὑποκείμενον; καθ' ἕκα-
25 στον γὰρ ὄνομα τὸ αὐτὸ σημαίνομεν ὑποκείμενον). εἰ δὲ πλείονα καὶ διάφορα
σημαίνουσιν αἱ ἐν τῷ ὁρισμῷ παραλαμβανόμεναι φωναί, ἤτοι οὐσίας πλείους
σημαίνουσιν ἢ συμβεβηκότα. εἰ μὲν οὖν οὐσίας πλείους σημαίνουσιν, αὐτόθεν
πολλὰ τὰ ὄντα (πολλαὶ γὰρ οὐσίαι, αἱ δὲ οὐσίαι ὄντα εἰσίν), εἰ δὲ συμβεβηκότα,
ἢ αὐτῷ τῷ ὄντι συμβεβήκασιν ἢ ἑτέρῳ, καὶ ἢ χωριστά εἰσιν ἢ ἀχώριστα. 30
30 Δείκνυσιν οὖν ὅτι οὐδεμία ὑπόθεσις ἀληθὴς εἶναι δύναται, πρὸς
δὲ τὴν δεῖξιν τούτων προλαμβάνει τέσσαρά τινα ἀξιώματα. ἓν μὲν ὅτι

---

1 μὴ ὅλως M 3 διδάσκεται et rursus in insequentibus διδάσκεται et ἀξιοῦται K 4 οὖν om. K οὐδὲν om. L 4. 5 ἀλλ' ἀξιοῦτε — εἰ δὲ διδάσκετε om. L 5 ἕπεσθαι — ὑμῖν in eras. K εἰ δὲ διδάσκεται ante correct. K 6 ἡμᾶς] ὑμᾶς L 6. 7 ἢ διὰ λόγου — ἡμᾶς διδάσκετε om. K 7 post πεφύκασι addit δὲ K 9 ἀνθρώπου LK: ἄνθρωπος fort. recte Mt 11 fort. ἦμεν ἂν 14 Πλάτων Rep. VI, p. 509 A. B φησι] φύσιν K γίνεσθαι post διδασκαλίαν traic. Mt καὶ] κατὰ K 15 alterum τόδε om. L 16 χείρων Mt: χείρω LK cf. e 1 r 5 19 ὁ χαλκὸς κτλ.] cf. Tim. p. 50 A sq. 23 πάλιν δι' ὀνόματος K ἔσται L 24 διὰ] τὰ K μαχαίρας ἢ σπάθης recte videtur correxisse (cf. p. 20, 15 sq.) t: μάχαιραν (μαχαίραν L) ἢ σπάθην LK: μάχαιρα ἢ σπα M 25 post σημαίνομεν addit ἤτοι διὰ τὸ ξίφος εἰπεῖν ἢ πάθην (sic) K 27 οὖν om. K αὐτό M 28 πο γὰρ αἱ οὐσίαι K αἱ δὲ οὐσίαι om. L 29 ἢ (ante αὐτῷ) om. K ἐστιν K 30 ἀληθὲς primitus K 31 παραλαμβάνει K

www.libtool.com.cn

τὸ χωριστὸν συμβεβηκὸς δύναται καὶ ἀπογίνεσθαι τοῦ ὑποκειμένου. δεύ- b 6v
τερον δὲ ὅτι τῶν ἀχωρίστων συμβεβηκότων τῶν μὲν μιᾷ τινι ὡρισμένῃ
φύσει ὑπαρχόντων (ὥσπερ τὸ ἄρτιον καὶ τὸ περιττὸν ἀριθμῷ, εὐθύτης
καὶ καμπυλότης γραμμῇ), τῶν δὲ πλείοσι (τὸ γὰρ μέλαν ἐστὶν ἀχώ-
5 ριστον τοῦ Αἰθίοπος, ὑπάρχει δὲ καὶ κόρακι καὶ ἐβένῳ καὶ ἄλλοις
πλείστοις), εἰς τὸν ὁρισμὸν τοῦ ἀχωρίστου συμβεβηκότος τοῦ ὡρισμένῃ 35
φύσει μιᾷ ὑπάρχοντος τὸ ὑποκείμενον παραλαμβάνεται, ὅπερ καὶ ἕν τι σημαινόμενόν ἐστι τῶν καθ' αὑτό (ὥσπερ εἰς τὸν ὁρισμὸν τῆς σιμότητος ἡ ῥίς· λέγομεν γὰρ σιμότητα εἶναι κοίλανσιν ἐν ῥινί, καὶ ἄρτιον εἶναι ἀριθμὸν
10 δίχα τεμνόμενον). τρίτον ὅτι εἰς μὲν τὸν τοῦ ὅλου ὁρισμὸν τὰ μέρη παραλαμβάνεται, εἰς δὲ τὸν τῶν μερῶν οὐκέτι τὸ ὅλον· οἷον ἄνθρωπον ὁριζόμενοι ζῷον λογικὸν θνητὸν παραλαμβάνομεν ἅτινα μέρη ἐστὶ τοῦ ἀνθρώπου, τὸ ζῷον δὲ ὁριζόμενοι ἢ τὸ λογικὸν οὐκέτι εἰς τὸν ὁρισμὸν τούτων τινὸς 40
τὸν ἄνθρωπον παραλαμβάνομεν. τέταρτον ὅπερ νῦν μὲν οὐ τίθησιν, ἐφεξῆς δὲ
15 αὐτοῦ μεμνήσεται, ὅτι οἷς ὑπάρχει τὰ μέρη, τούτοις ἐξ ἀνάγκης καὶ τὸ ὅλον ὑπάρξει, καὶ ἔμπαλιν οἷς τὸ ὅλον, καὶ τὰ μέρη. τὰ μὲν οὖν ἀξιώματα ταῦτα.

Δείκνυσιν οὖν ὅτι ἀδύνατον τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα αὐτῷ τῷ ὄντι συμβεβηκέναι οὕτως, ὥστε καὶ χωρίζεσθαι δύναται. ἔστω γὰρ ὡς ἐν ὑποδείγματι εἷς ἄνθρωπος τὸ ὄν· τούτου ὁρισμὸς τὸ ζῷον
20 λογικὸν δίπουν· εἰ οὖν τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ δίπουν συμβεβηκότα 45
εἰσὶ χωριστὰ τοῦ ἀνθρώπου, ἐπειδὴ συμβεβηκός ἐστι χωριστὸν ὃ δύναται τοῦ ὑποκειμένου χωρίζεσθαι καὶ μὴ ἀεὶ εἶναι ἐν αὐτῷ, δῆλον ὅτι ἔσται ποτὲ ὁ ἄνθρωπος οὔτε ζῷον οὔτε δίπους οὔτε λογικόν. ὥστε οὐκ ἂν εἴη ὁριστικὰ ταῦτα τοῦ ἀνθρώπου· τὰ γὰρ ὁριστικὰ αὐτοῦ χαρακτηριστικά τε
25 αὐτοῦ εἰσι καὶ ἀεὶ αὐτῷ ὑπάρχει. ἀδύνατον ἄρα χωριστὰ εἶναι τοῦ ὄντος συμβεβηκότα τὰ ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβανόμενα, καὶ ἐχρησίμευσεν ἡμῖν εἰς τοῦτο τὸ πρότερον λῆμμα, τὸ λέγον τὰ χωριστὰ συμβεβηκότα μὴ 50
ἀεὶ παρεῖναι τῷ ὑποκειμένῳ. εἰ δὲ συμβεβηκότα εἶεν ἀχώριστα τῷ ἀνθρώπῳ τὸ ζῷον καὶ τὸ δίπουν, ἤτοι αὐτῷ μόνῳ συμβέβηκεν (ὡς τῷ
30 ἀριθμῷ τὸ ἄρτιον), ἢ καὶ ἄλλοις, ὡς τὸ μέλαν οὐ τῷ Αἰθίοπι μόνον, ἀλλὰ καὶ τῇ ἐβένῳ. εἰ μὲν οὖν αὐτῷ μόνῳ συμβέβηκε τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος παραλαμβανόμενα, ἔδει εἰς τὸν ὁρισμὸν ἑνὸς ἑκάστου αὐτῶν τὸ ὑποκείμενον, τουτέστι τὸν ἄνθρωπον, παραλαμβάνεσθαι· ὑποκείμενος γὰρ
αὐτοῖς ὁ ἄνθρωπος διὰ τὴν ὑπόθεσιν τὴν λέ|γουσαν ἀχώριστα εἶναι b 7r

---

1 καὶ om. K ἀπογ**νέσθαι K 2 ὁρισμένῃ K 6 συμβεβηκέναι L ὡρισμένου L: ὡρισμένους compendio incerto K 7 φύσει K: φ L: φυ M: φύσῃ t ὑπάρχοντα L καὶ om. K ἕν τι M 8 σημότητος et 9 σημότητα L 9 κοίλασιν K ἀριθμὸν om. addit M² 12 ἐστὶ] εἶναι K 14 ἐφεξῆς p. 186b34 cf. Philop. p. 78,15 sqq. 15 τούτοις] τούτων compend. M 18 δύναται LKM: δύνασθαι emendat t 19 ὁ ὁρισμὸς K 20 συμβεβηκότα] συμβεβηκόσιν L 21 εἰσὶ] ἐστὶ K 23 fort. δίπουν 25 εἰσι] ἐστὶ K 26 συμβεβηκότος K 27 τὸ (ante πρότερον) om. L 27. 28 συμβεβηκότα — συμβεβηκότα] συμβέβηκε — συμβέβηκεν K 31 τῇ LK: τῷ Mt 33 ὑποκείμενος] ὑποκείμενον K 34 ὁ ἄνθρωπος αὐτοῖς L

www.libtool.com.cn

αὐτοῦ ταῦτα τὰ συμβεβηκότα. ἀδύνατον δὲ εἰς τὸν ὁρισμὸν τοῦ ζῴου καὶ b 7r
τοῦ δίποδος παραληφθῆναι τὸν ἄνθρωπον· οὐδέποτε γὰρ εἰς τὸν ὁρισμὸν
τοῦ μέρους τὸ ὅλον παραλαμβάνεται, μέρος δὲ τὸ ζῷον καὶ τὸ δίπουν,
ὅλον δέ τι ὁ ἄνθρωπος. τοῦτο δὲ ἐκ τῆς ἐναργείας δῆλον καὶ ἐκ τούτου·
5 καθάπερ γὰρ ὁ ὁρισμὸς ὅλον τὸ πρᾶγμα σημαίνει, οὕτω δηλονότι καὶ τὰ
μέρη αὐτοῦ τὰ τοῦ πράγματος μέρη, εἰ δὲ μὴ ἐνδέχεται τὸ ὑποκείμενον 5
εἰς τὸν ὁρισμὸν αὐτῶν παραληφθῆναι, οὐδ' ἄρα ἐνδέχεται τῶν τοιούτων
συμβεβηκότων εἶναι τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος παραλαμβανόμενα. εἰ γὰρ
εἰς τὸν ἑκάστου ὁρισμὸν παραληφθείη τὸ ὑποκείμενον, ἐπειδὴ τὰ εἰς ὁρισμόν
10 τινος παραλαμβανόμενα μέρη εἰσὶν αὐτοῦ, ἔσται καὶ τὸ ὅλον τοῦ μέρους
μέρος, εἴ γε παραλαμβάνεται εἰς τὸν τοῦ μέρους ὁρισμόν. ἀδύνατον ἄρα
ἀχώριστα εἶναι συμβεβηκότα τοῦ ὄντος, ὡς αὐτῷ μόνῳ ὑπάρχοντα, τὰ ἐν
τῷ ὁρισμῷ αὐτοῦ παραλαμβανόμενα. τοῦτο δὲ ἐδείχθη διὰ τοῦ δευτέρου 10
καὶ τρίτου λήμματος, ὅτι τε ἐν τῷ ὁρισμῷ τῶν καθ' αὑτὰ συμβεβηκότων
15 τὸ ὑποκείμενον παραλαμβάνεται, καὶ ὅτι ἐν τῷ ὁρισμῷ τοῦ μέρους οὐ
παραλαμβάνεται τὸ ὅλον. διττοῦ δὲ ὄντος τοῦ καθ' αὑτό, τοῦ τε ἐν τῷ
ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνοντος καὶ ὃ ἐν τῷ τοῦ ὑποκειμένου
ὁρισμῷ παραλαμβάνεται (τοιαῦτα δέ ἐστι τὸ λογικὸν τὸ δίπουν καὶ ἁπλῶς
τὰ μέρη τῶν οὐσιῶν), εἰκότως τοῦ προτέρου μόνον ἐμνήσθη· τοῦτο γὰρ
20 μόνον τῶν συμβεβηκότων ἐστί, τὸ δὲ λοιπὸν ἐπὶ οὐσιῶν λέγεται (μέρος 15
γάρ ἐστι τῆς οὐσίας), κἂν ὑπόθοιτό τις τοῦτο ὃ βουλόμεθα, δίδωσι διαιρετὴν
εἶναι τὴν οὐσίαν εἰς οὐσίας. ὅτι μὲν οὖν τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος
παραλαμβανόμενα οὐ συμβέβηκεν αὐτῷ οὔτε ὡς χωριστὰ οὔτε ὡς ἀχώ-
ριστα, δῆλον ἐκ τῶν εἰρημένων. μήποτε οὖν ἄλλῳ τινὶ συμβεβήκασιν.
25 ἀλλ' εἰ τοῦτο, τῷ αὐτῷ καὶ τὸ ὅλον συμβεβηκὸς ἂν εἴη· ᾧ γὰρ τὰ μέρη
ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον, καὶ ἔμπαλιν. ἀλλ' ἀδύνατον τὸ ὂν συμβεβη-
κὸς εἶναι ἄλλῳ· ὥστε οὐδὲ ἑτέρῳ συμβεβηκέναι δυνατὸν τὰ ἐν τῷ ὁρισμῷ 20
παραλαμβανόμενα. τοῦτο δὲ ἐδείχθη διὰ τοῦ τετάρτου λήμματος, ὅτι ᾧ
τὰ μέρη ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον. εἰ δέ τις εἴποι ὅτι εἰ μὲν πάντα
30 τὰ μέρη ἑνὶ συμβεβηκότα εἴη, καλῶς ἂν καὶ τὸ ὅλον τῷ αὐτῷ συμβαίνοι,
εἰ δὲ ἄλλῳ ἄλλο μέρος, οὐκέτι (οἷον ἄλλῳ τὸ ζῷον, ἄλλῳ τὸ δίπουν· οὐ
γὰρ τὸ δίπουν εὐθὺς καὶ ἄνθρωπος), φημὶ οὖν ὅτι ἐπειδὴ τὸν ἄτομον λαμ-
βάνω ἄνθρωπον, δηλονότι καὶ τὸ ἰδικὸν τούτου ζῷον καὶ τὸ δίπουν παρα-
λήψομαι· εἰ δὲ τοῦτο, μερισθήσεται ὁ ὅλος ἄνθρωπος, ὥστε ᾧ τὸ δίπουν

---

1 αὐτοῦ K: αὐτὰ LMt ταῦτα L: om. KMt 3 παραλαμβάνεται τὸ ὅλον L 4 ἔκ τε τῆς fort. recte K ἐνεργείας K: ἐνἄρ (sic) L 7 ἄρα] ἄνδρα L 8 τοῦ ὄντος om. K 12 ὑπάρχον K 14 ὅτι τε K: ὅτε LMt 16 διττοῦ κτλ.] cf. p. 34,22 17 τοῦ om. L 19 μόνον LK: μόνου Mt 21 ὑποθοίτο (sic) K βουλόμεθα (sup. ου accent. eras.) K 25 συμβέβηκεν ἂν εἴη L 26 τοῦτο K et ante correct. L ἀλλ' ἀδύνατον] ἀλλὰ δυνατὸν K 26. 27 συμβεβηκός] συμβεβηκῶς K: συμβέβηκεν L 28 λίμματος K 29 τούτῳ L: τοῦτο KMt post ὅτι tres litterae eras. K 30 συμβαίνοι K: σημαίνοι L: συμβαι M: συμβαίνει t 33. 34 τὸ ἰδικὸν — ᾧ τὸ om. L παραλείψομαι K

www.libtool.com.cn

ὑπάρξει, καὶ τὸ τοῦ ὅλου μέρος ὑπάρξει, ᾧ δὲ πάντα τὰ μέρη, καὶ τὸ b 7r
ὅλον. ὥστε οὐδὲ ἄλλῳ συμβεβηκέναι δυνατὸν τὰ ἐν τῷ ὁρισμῷ παραλαμ- 26
βανόμενα. ὅλως ἄρα συμβεβηκότα εἶναι οὐ δύνανται. εἰ δὲ οὐσίαι, πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν· μερίζεται γὰρ τὸ ὂν εἰς ἕτερα τῷ εἴδει ὄντα.

Ὅτι δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄν τι ἄλλο καὶ τῷ λόγῳ φανερόν. εἰπὼν προσεχῶς ὅτι "οὐ τοίνυν οὐδὲ μέγεθος ἕξει τὸ ὄν"· εἰ γὰρ ἕν ἐστι τὸ ὄν, τοῦτο δέ ἐστιν ἡ οὐσία, δηλονότι οὐχ ἕξει τι μέγεθος· τοῦτο γὰρ τοῦ ποσοῦ. εἰ γὰρ ἕξει, ἐπειδὴ ἕτερος ὁ τοῦ ποσοῦ λόγος καὶ ἕτερος ὁ τῆς οὐσίας, πλείονα ἔσονται τὰ ὄντα· εἰ γάρ τις ὑπόθοιτο τὸ 30
ποσὸν ὑπάρχειν μὲν τῇ οὐσίᾳ, μὴ ὂν δὲ εἶναι, εἴπετο τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν εἶναι. ἀνάγκη οὖν, εἴπερ ἡ οὐσία τὸ ὄν, μηδὲ μέγεθος αὐτὴν ἔχειν μηδ' ὅλως ἕτερόν τι τῶν συμβεβηκότων. καὶ ἕπεται μὲν καὶ τούτῳ τῷ λόγῳ τὸ ἐναντιοῦσθαι αὐτοὺς ταῖς ἰδίαις ὑποθέσεσιν (οὔτω γὰρ οὔτε ἄπειρον ἔσται, οὔτε πεπερασμένον), πλὴν νῦν δείκνυσιν ὅτι κἂν τοῦτο αὐτοὺς λέγειν ὑποθώμεθα, αὐτὴν καθ' αὑτὴν μόνην εἶναι τὴν οὐσίαν χωρὶς συμβεβηκό- 35
των, καὶ οὕτως οὐδὲν ἧττον δείκνυται πολλὰ τὰ ὄντα· διαιρεῖται γὰρ αὕτη ἡ οὐσία εἰς ἑτέρας οὐσίας τῷ ὁριστικῷ λόγῳ, εἰ καὶ τῷ ὑποκειμένῳ αἱ αὐταί εἰσιν. ὁ γὰρ ἄνθρωπος, εἰ καὶ εἷς ἐστιν αὐτῷ τούτῳ τῷ ἄνθρωπος εἶναι, ἀλλ' οὖν διαιρεῖται εἰς τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ θνητόν, ἅτινα ἕτερα καὶ ἀλλήλων εἰσὶ κατὰ τὸν ὁριστικὸν λόγον. ἢ οὖν εἰς τὸ καὶ τῷ λόγῳ ὑποστικτέον, ἵνα ᾖ 'ὅτι δὲ ἡ οὐσία διαιρεῖται εἰς ἑτέρας οὐσίας διαφερούσας ἀλλήλων τῷ λόγῳ τῷ ὁριστικῷ, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ', ἢ στικτέον μετὰ τὸ εἰς ὅπερ ὄν τι ἄλλο, εἶτα ἐφεξῆς τὸ καὶ τῷ λόγῳ 40
φανερὸν ἀντὶ τοῦ καὶ τῷ λόγῳ δεῖξαι δυνατόν· 'ὅτι ἡ οὐσία διαιρεῖται εἰς ἑτέρας οὐσίας, ὡς δὴ τούτου μὲν ἐκ τῆς ἐναργείας φανεροῦ ὄντος, δεικνυμένου δὲ καὶ λόγῳ'.

p. 186b17 Εἰ γὰρ μὴ ὅπερ ὄν τι, συμβεβηκότα ἔσται.

Εἰ γὰρ τὰ εἰς ἃ ὁ ἄνθρωπος διαιρεῖται ὑπὸ τοῦ ὁριστικοῦ λόγου μὴ εἰσὶν οὐσίαι, ἀνάγκη συμβεβηκότα εἶναι· εἰ δὲ τοῦτο, ἀνάγκη ἢ αὐτῷ ἐκείνῳ συμβεβηκέναι ἢ ἑτέρῳ, καὶ ἢ χωριστὰ εἶναι ἢ ἀχώριστα, ἀμφότερα 45
δὲ ἀδύνατον.

---

1 μέρος] μέρους K πάντα τὰ K: παρὰ τὰ L: τὰ Mt 2 οὐδὲ K: om. LMt
ἐν τῷ K: ἐν LMt 3 ἄρα K οὐσία L 5 τῷ LK: τὸ Mt 6 εἰπὼν
p. 186b12 10 εἴπετο scripsi: εἴπετο K: εἰπε LMt: fort. εἴπετο ἂν 15. 16 συμβεβη-
κότος L 16 αὐτὴ K 18 τῷ] τὸ K 18. 19 εἶναι ἄνθρωπος L
20 καὶ (ante ἀλλήλων) om. K τὸν] τῶν K 21 εἰς οὐσίας ἑτέρας Mt
21. 22 διαφερούσας LK: διαιρούσας Mt 22 ἀλλήλων scripsi: ἀλλήλαις LK: ἀλλή-
λας Mt μὴ τὸ ὑποκείμενον K 23 μετὰ τὸ om. Mt ὄν τι post ἄλλο
ponit L εἶτα] εἰς τὰς K 25 φανεροῦ μὲν ἐκ τῆς ἐναργείας Mt 27 ὄν τι]
ὄντα t συμβεβηκότα ἔσται om. K 27. 29 ἔσται — συμβεβηκότα om. superscr. L
29. 30 ἀνάγκη post συμβεβηκέναι colloc. Mt 29 καὶ ἢ αὐτῷ K 31 ἀδύνατον KM:
ἀδύνατα (L)t

www.libtool.com.cn

p. 186b18 Συμβεβηκός τε γὰρ λέγεται τοῦτο, ᾗ δ ἐνδέχεται b 7r
ὑπάρχειν καὶ μή.

Τοῦτο τὸ πρῶτον ἀξίωμα, ὅτι τὸ χωριστὸν συμβεβηκὸς οὐκ ἀεί, ἀλλ' ἔστιν ὅτε καὶ οὐχ ὑπάρχει. ᾗ οὖ ἐν τῷ λόγῳ ὑπάρχει τὸ ᾧ συμβέκηκεν. τὸ δεύτερον ἀξίωμα, ὅτι ἐν τῷ ὁρισμῷ τοῦ ἀχωρίστου συμβεβηκότος τὸ ὑποκείμενον παραλαμβάνεται, οὐ παντὸς δὲ ἀχωρίστου, ἀλλὰ τοῦ καθ' αὑτὸ ὑπάρχοντος· καθ' αὑτὸ γὰρ τῇ ῥινὶ ἡ σιμότης. οἷον τὸ μὲν καθῆσθαι ὡς χωριζόμενον. παράδειγμα τοῦ προτέρου· τῷ γὰρ ἀνθρώπῳ ὑπάρχει τὸ καθῆσθαι οὐκ ἀεί, ἀλλὰ ποτὲ μὲν ποτὲ δὲ οὔ. ἐν δὲ τῷ σιμῷ ὑπάρχει ὁ λόγος ὁ τῆς ῥινός. παράδειγμα τοῦ δευτέρου.

p. 186b23 Ἔτι ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν ᾗ ἐξ ὧν ἐστίν, b 7v
ἐν τῷ λόγῳ τῷ τούτων οὐκ ἐνυπάρχει ὁ λόγος ὁ τοῦ ὅλου.

Τὸ τρίτον ἀξίωμα, ὅτι ἐν μὲν τῷ τοῦ ὅλου ὁρισμῷ τὸ μέρος παραλαμβάνεται, ἐν δὲ τῷ τοῦ μέρους οὐκέτι τὸ ὅλον. εἰπὼν δὲ ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν, προσέθηκεν ᾗ ἐξ ὧν ἐστίν· ὡς γὰρ αὐτὸς εἶπεν ἐν τῇ Ἀποδεικτικῇ, οὐ παντὸς ἔστιν ὁρισμὸν ἀποδοῦναι. οὔτε γὰρ τῶν γενικωτάτων γενῶν, οὔτε τῶν ἀτόμων· εἰ γὰρ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ τῶν συστατικῶν διαφορῶν, οὔτε δὲ τῶν γενικωτάτων γένος ἔστι λαβεῖν οὔτε τῶν ἀτόμων (τὰ γὰρ γένη τῶν εἰδῶν ἐστι γένη, οὐχὶ τῶν ἀτόμων), δηλονότι οὐδ' ἂν ὁρισμόν τις τούτων ἀποδοίη. Σωκράτους γὰρ καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου οὐδὲν ἂν εἴη κοινὸν γένος οὐδὲ εἶδος, εἴπερ ἑκάστου μὲν ἄθροισμά τι ἴδιον συμβεβηκότων ἐστὶ χαρακτηριστικόν, τούτων δὲ τῶν ἀθροισμάτων οὐκ ἔστι τι συνωνύμως κατηγορῆσαι. ὅταν γὰρ εἴπω Σωκράτης ζῷόν ἐστιν ᾗ ἄνθρωπος, οὐ τοῦ ἀθροίσματος τῶν συμβεβηκότων ἃ χαρακτηρίζει τὸν Σωκράτην κατηγόρησα τὸ ζῷον, εἰ μὴ παρὰ φύσιν (παρὰ φύσιν γὰρ λέγεται κατηγορία ὅταν τοῦ συμβεβηκότος τὴν οὐσίαν κατηγορήσωμεν, ὡς ὅταν εἴπω τὸ λευκὸν τοῦτο ἄνθρωπός ἐστι· κατὰ φύσιν γὰρ κατηγορῶ, ὅταν τῆς οὐσίας τὸ συμβεβηκὸς κατηγορήσω), ἀλλὰ τῷ ἀνθρώπῳ

---

2 ἐνυπάρχειν K καὶ μή] om. K: καὶ μὴ ὑπάρχειν ex Aristotele t 3. 5 ἀξίωμα — δεύτερον om. K 3 ὅτι (om. τὸ) χωριστὸν συμβέβηκεν L 4 οὐχ om. L ᾗ om. L ὑπάρχειν L ὑπάρχει ante ἐν τῷ λόγῳ ponit t 4. 5 συμβέβηκε M 5. 6 συμβέβηκε K 7 καθ' αὑτὸ — σιμότης apte transponas post δευτέρου (v. 10) 11 ὅσα] οὗ M 11. 12 ἔνεστιν — ὅλου om. K 11 ἔν ἐστιν ᾗ M 14 ἐν δὲ τὸ τοῦ K 15 ἔνεστιν (sic) K: ἔνεστιν M: ἔνεστι Lt 16 Ἀποδεικτικῇ] non videtur tale quid in Posterioribus Analyticis exstare: potuit Philoponus hoc ipsum inferre ex Metaph. H 6 p. 1045b2 sqq. ad quem locum cf. Bonitzius οὔτε γὰρ] οὔτε γοῦν ante correct. L 19 γὰρ om. superscr. L οὐχὶ] οὐ K 20 σωκράτου et in proximis οὐδὲ ἂν εἴη L 22 ἀθροίσματι K: ἀθροισμί L τοῦτο et in proximis οὐκέτι τίσιν ὠνόμως κατηγορῆσαι K 27 γὰρ] malim δὲ 28 ὅταν] ὡς ἂν K

www.libtool.com.cn

τῷ μερικῷ φημι ὑπάρχειν τὸ ζῷον, καὶ ζῷον οὐ τὸ τυχόν, ἀλλὰ τὸ με- b 7v
ρικὸν τὸ αὐτῷ ἐκείνῳ ὑπάρχον· οὐ γὰρ δὴ ὁ Σωκράτης τὸ ζῷόν ἐστι τὸ 15
γενικόν, τὸ κοινῶς πάντων κατηγορούμενον. ὡσαύτως καὶ τὸν ἄνθρωπον αὐ-
τοῦ κατηγορεῖσθαί φαμεν τὸν αὐτῷ πάλιν ὑπάρχοντα, τὸν συγκείμενον ἐκ
5 τοῦδε τοῦ ζῴου καὶ τοῦδε τοῦ λογικοῦ. ἐπεὶ οὖν, ὡς εἶπον, οὐ πάντα
ὁρισμῷ σημαίνεται, ἀλλ' ἔστιν ἃ καὶ ὑπογραφικῷ λόγῳ, διὰ τοῦτο εἶπεν ἢ
ἐξ ὧν ἐστίν· οὔτε γὰρ τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα εἰς τὸν ἴδιον
ἕκαστον ἑαυτοῦ ὁρισμὸν τὸ ὅλον παραλαμβάνει (οἷον τὸ ζῷον τὸν ἄνθρωπον
ἢ τὸν ἵππον, οὗ ἐν τῷ ὁρισμῷ παραλαμβάνεται), οὔτε τὰ τέσσαρα στοι-
10 χεῖα, ἐξ ὧν τὸ σύνθετον σῶμα σύγκειται, εἰς τὸν ἴδιον ἕκαστον ἑαυτοῦ 20
ὁρισμὸν τὸ σύνθετον σῶμα παραλαμβάνει, οὔτε μὴν εἰς τὸν ὁρισμὸν τοῦ
τῆς κλίνης ποδὸς ἡ κλίνη, οὔτε εἰς τὸν τῆς χειρὸς ὁ Σωκράτης. ἐπιτήρησον
δὲ ὅτι οὐκ ἐπήγαγε τὸ τέταρτον ἀξίωμα νῦν, προσθήσει δὲ αὐτὸ ἐφεξῆς.

p. 186b26 Εἰ τοίνυν ταῦτα τοῦτον ἔχει τὸν τρόπον καὶ τῷ ἀν-
15 θρώπῳ συμβέβηκε τὸ δίπουν, ἀνάγκη χωριστὸν εἶναι αὐτό,
ὥστε ἐνδέχοιτ' ἂν μὴ δίπουν εἶναι τὸν ἄνθρωπον, ἢ ἐν τῷ λόγῳ
τῷ τοῦ δίποδος ἐνέσται ὁ τοῦ ἀνθρώπου λόγος. 25

Εἰ τὰ παρ' ἡμῶν ληφθέντα, φησίν, ἀξιώματα οὕτως ἔχει ὥσπερ εἴρη-
ται, ἔστι δὲ τὰ μέρη τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου συμβεβηκότα τῷ ἀνθρώπῳ,
20 ἢ χωριστά εἰσιν αὐτοῦ συμβεβηκότα καὶ ἐνδέχεταί ποτε τὸν ἄνθρωπον μὴ
εἶναι δίποδα ἢ ζῷον ἢ λογικόν, ἢ ἀχώριστα καὶ ἐν τῷ ὁρισμῷ τοῦ δίποδος
ἢ τοῦ ζῴου ἢ τοῦ λογικοῦ τὸν ἄνθρωπον παραληψόμεθα. ἀμφότερα δὲ
ἀδύνατα· ἀεί τε γὰρ δίπουν ὁ ἄνθρωπος καὶ λογικὸν καὶ οὐκ ἐν τῷ ὁρισμῷ 30
τῶν μερῶν τὰ ὅλα παραλαμβάνεται. ἀλλ' ἔμπαλιν εἰς τὸν τῶν ὅλων τὰ
25 μέρη. τὸ δὲ ἑξῆς· ἀνάγκη χωριστὸν εἶναι αὐτό, ἢ ἐν τῷ λόγῳ τῷ
τοῦ δίποδους ἐνέσται ὁ τοῦ ἀνθρώπου λόγος, τουτέστιν ἀνάγκη ἢ
χωριστὸν συμβεβηκὸς εἶναι αὐτὸ τοῦ ἀνθρώπου, ἢ ἀχώριστον.

p. 186b31 Εἰ δὲ ἄλλῳ συμβέβηκε τὸ δίπουν καὶ τὸ ζῷον, καὶ μή
ἐστιν ἑκάτερον ὅπερ ὄν τι, καὶ ὁ ἄνθρωπος ἂν εἴη τῶν συμβε-
30 βηκότων ἑτέρῳ.

Δείξας ὅτι ἀδύνατον τὰ μέρη τοῦ ὁρισμοῦ αὐτῷ ἐκείνῳ συμβεβηκέναι 35

---

1 τυχόν, ἀλλὰ τὸ om. K 3 κατηγορούμενος K 7 ἑξῶν K 8 αὐτοῦ L παραλαμβάνει K: παραλαμβάνεται L: λαμβάνει Mt 9 τὰ LK: om. Mt 10 αὐτοῦ L 13 προσθήσει Mt: προσθέ L: προσθήσοι K ἐφεξη (sic) K 14 τοῦτον ἔχει τὸν τρόπον] οὕτως ἔχει M 14. 17 καὶ τῷ — λόγος om. K 17 ἐνέσται M: ἓν ἔσται L: ἔνεσται t 18 λειφθέντα K 18. 19 εἴρηται LK: εἰρήκαμεν Mt 20 χωριστὰ αὐτοῦ εἰσι K 21 ἢ (ante λογικόν) om. K 22 παραλειψόμεθα K 23 καὶ λογικόν om. Mt 24 τῶν ὅλων] τοῦ ὅλου L 25 ἑξῆς (sic), ἀνάγκη K: ἐξ ἀνάγκης LMt 26 ἐνέσται Mt: ἓν ἔσται L: ἥνεσται ut vid. ex ἔνεσται K 27 συμβέβηκεν K 28 Εἰ δ' t ἄλλο K 28. 30 καὶ μή — ἑτέρῳ om. K 31 δείξας ὅτι οὐ δύναται K

www.libtool.com.cn

οὗ ὁ ὁρισμός, βούλεται δεῖξαι ὅτι οὐδὲ ἄλλῳ δυνατὸν αὐτὰ συμβεβηκέναι. εἰ γάρ, φησί, τὰ μέρη τοῦ ὁρισμοῦ μὴ εἰσὶν οὐσίαι (τοῦτο γὰρ σημαίνει τὸ καὶ μή ἐστιν ἑκάτερον ὅπερ ὄν τι), συμβέβηκε δ' εἰ ἐν ἄλλῳ τινί, ἐπειδὴ ᾧ τὰ μέρη ὑπάρχει τούτῳ καὶ τὸ ὅλον, καὶ τὸ ὅλον ἂν εἴη συμβεβηκὸς ἑτέρῳ. ὥστε ὁ ἄνθρωπος καὶ ἁπλῶς ἡ οὐσία τῶν συμβεβηκότων τινὶ ἔσται, ὅπερ ἄτοπον καὶ ἀδύνατον, τὴν οὐσίαν συμβεβηκὸς εἶναι. b 7ᵛ

p. 186ᵇ33 Ἀλλὰ τὸ ὅπερ ὂν ἔστω μηδενὶ συμβεβηκός.

Ἐπειδὴ εἶπε "καὶ ὁ ἄνθρωπος ἔσται τῶν συμβεβηκότων ἑτέρῳ", καὶ εἰς τοῦτο ὡς ἄτοπον ἀπήγαγε τὸν λόγον, διὰ τοῦτό φησιν ὅτι ὑποκείσθω τοῦτο ἡμῖν ὁμολογούμενον, ἐπειδὴ καὶ ὑπὸ τῆς ἐναργείας μαρτυρεῖται, ὅτι ἡ οὐσία οὐκ ἔστι τῶν ἑτέρῳ τινὶ συμβεβηκότων, ἀλλὰ τῶν καθ' αὑτὸ ὑφεστηκότων.

p. 186ᵇ34 Καὶ καθ' οὗ ἄμφω [καὶ ἑκάτερον], καὶ τὸ ἐκ τούτων λεγέσθω.

Ἐπειδὴ ἔλαβεν ὅτι ᾧ τὰ μέρη συμβεβήκασιν ἀνάγκη καὶ τὸ ὅλον συμβεβηκέναι μὴ προϋποθέμενος αὐτό, διὰ τοῦτο νῦν αὐτὸ τίθησι, καί φησιν· καὶ τοῦτο κείσθω ἡμῖν ἀξίωμα ἐκ τῆς ἐναργείας ὁμολογούμενον, ὅτι καθ' οὗ ἂν κατηγορηθῇ πάντα τὰ μέρη, καὶ τὸ ἐκ πάντων συγκείμενον κατηγορεῖται· εἰ γὰρ μὴ ἔστιν ἕτερον τῶν μερῶν τὸ ὅλον, ἀνάγκη πᾶσα ᾧ ἂν ὑπάρξῃ πάντα τὰ μέρη, τούτῳ καὶ τὸ ὅλον ὑπάρξει. ἐὰν δὲ ἔχῃ ἡ γραφὴ τὸ καὶ ἑκάτερον, οὕτως ἐξηγητέον· καὶ καθ' οὗ ἄμφω ἅμα τὰ μέρη κατηγορεῖται καὶ ἑκάτερον ἰδίᾳ, κατηγορηθήσεται καὶ τὸ ὅλον τὸ ἐκ τούτων συγκείμενον. ἐὰν δὲ ᾖ ἡ γραφὴ καὶ καθόλου, οὕτω νοητέον· καὶ καθολικῷ λόγῳ ἄμφω ἐπὶ τοῦ αὐτοῦ κατηγορητέον, ἐφ' οὗ τὰ μέρη ἐπὶ τούτου καὶ τὸ ὅλον, καὶ ἔμπαλιν.

---

1 οὗ ἐστιν ὁ K 2 μὴ om. K 3 τὸ καὶ Kt: καὶ τὸ LM συμβεβηκότα δὲ εἰ ἐν K: scribe συμβεβηκότα δ' εἶεν 4 τοῦτο K καὶ τὸ ὅλον (altero loco) om. superscr. M² 4. 5 ἂν εἴη post συμβεβηκὸς colloc. Mt 6 τὴν οὐσίαν om. K συμβεβηκὸς Mt: συμβέβηκεν LK verba τὴν οὐσίαν συμβεβηκὸς εἶναι malim abesse 7 ὂν LKM: ὅν τι t 8 ἔσται (L)t: ἔστω KM: ἂν εἴη Aristoteles 9 ὡς εἰς ἄτοπον M τὸν λόγον] τὸ ὅλον K 10 τοῦτο om. K καὶ τὸ ὑπὸ L ἐναργείας (L)t: ἐνεργείας KM 11 ἑτέρων et καθ' αὑτὴν K 13 verba καὶ ἑκάτερον, quae non agnoscit Philoponus in priore explanatione (cf. Arist. cod. E. Simplic. p. 129,19), delevi: καὶ ἀμφότερον ἑκάτερον L 13. 14 τούτων λεγέσθω om. K 15 ὅτι om. L 16 μὴ LK: καὶ μὴ Mt μὴ προϋποθέμενος] cf. p. 73,14. 77,12 17 ἐνεργείας K 19 μὴ ἔστι τῶν μερῶν τὸ ὅλον ἕτερον Mt 20 τοῦτο et ἔχει K 21 τὸ καὶ] καὶ τὸ K 22 ἰδια K distinxi post ἰδίᾳ cl. Simplic. p. 129,26: post ἰδίᾳ et ante καὶ ἑκάτερον distinguit t 23 ᾖ] ἡ K 24 ἀμφότερα et τοῦτο K 25 καὶ τὸ ἔμπαλιν L

www.libtool.com.cn

p. 186b35 Ἐξ ἀδιαιρέτων ἄρα τὸ πᾶν. b 7v

Τοῦτο διττῶς ἐξηγητέον· ἢ γὰρ ἐξ ἀδιαιρέτων, τουτέστιν ἐκ σημείων (ἐπειδὴ γὰρ τὸ κυρίως ἕν, λέγω δὴ τὸ τῷ | ἀριθμῷ ἕν, τριχῶς b 8r ἐλέγετο ἢ ὡς συνεχὲς ἢ ὡς ἀδιαίρετον ἢ ὡς τῷ λόγῳ ταὐτόν, ἀνελὼν ὅτι οὔτε ὡς τῷ λόγῳ ταὐτὸν δυνατὸν εἶναι, οὔτε ὡς συνεχὲς κατ' οὐδένα τρόπον οὔτε ὡς οὐσίας ὄντος τοῦ συνεχοῦς οὔτε ὡς συμβεβηκότος οὔτε ὡς ἐξ ἀμφοῖν συγκειμένου, καὶ οὐσίας οὔτε δεκτικῆς τῶν συμβεβηκότων οὔτε μή, εἰκότως τὸν λειπόμενον εἰσάγει τρόπον. εἰ γὰρ τὸ κυρίως ἓν μήτε ὡς συνεχὲς εἴη μήτε ὡς τῷ λόγῳ ταὐτόν, λείπεται αὐτὸ σημεῖον εἶναι καὶ ἐκ σημείων· σημεῖον μὲν γὰρ τῷ μήτε συνεχὲς εἶναι μήτε τῷ λόγῳ ταὐτόν, ἐκ σημείων δὲ τῷ τὸν ὁριστικὸν αὐτοῦ λόγον πλείονα παραλαμβάνειν ἐξ ἀνάγκης ὀνόματα σημαντικά τινων ἃ μέρη αὐτοῦ γίνεται), ἢ οὖν οὕτως τὸ ἐξ ἀδιαιρέτων, ἢ ἐξ ἀδιαιρέτων ἀντὶ τοῦ ἐξ οὐσιῶν. ἐπεὶ γὰρ ἔδειξεν ὅτι ἀδύνατον τὸν τοῦ ἀνθρώπου ἤτοι τὸν τοῦ ὄντος λόγον εἰς συμβεβηκότα διαιρεῖσθαι, ἕπεται τὸ εἰς οὐσίας εἶναι αὐτοῦ τὴν διαίρεσιν, ἐπειδὴ ἀνάγκη πάντως πολλά τινα σημαίνειν τὸν ὁρισμόν· ὥστε συγκέοιτο ἂν τὸ ὂν ἐξ ὄντων μόνον, τουτέστιν ἐξ οὐσιῶν μόνον. καὶ οὕτως οὖν πολλὰ τὰ ὄντα, κἂν μὴ διαιρῆται ἐνεργείᾳ τὸ πᾶν. εἰ δὲ ἐξ οὐσιῶν μόνον, οὐδαμῶς μεθέξει τοῦ ποσοῦ, εἰ δὲ τοῦτο, οὔτε πεπερασμένον ἔσται οὔτε ἄπειρον. καὶ ἐπίτηδες οὕτως εἶπε τὸ πᾶν καὶ οὐ τὸ ὄν, πληκτικώτερον ποιῶν τὸ πᾶν, ἐπειδὴ ἐκ διωρισμένων ἐστὶ ποσῶν· τὸ οὖν πᾶν, φησίν, ὅπερ ἔφης ἓν εἶναι, καὶ οὕτως ἐκ πλειόνων οὐσιῶν ἔσται, καὶ οὐκέτι ἓν ἂν εἴη, ἀλλὰ πολλά.

p. 187a1 Ἔνιοι δὲ ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις. 15

Ἐλέγξας τὸν Παρμενίδειον λόγον, νῦν φησιν ὅτι οὐχ ἡμεῖς μόνοι πρὸς αὐτὸν ἀντειρήκαμεν, ἀλλὰ καὶ οἱ πρὸ ἡμῶν, εἰ καὶ μὴ δεόντως ἐποιήσαντο τὴν ἀπάντησιν. εἶτα βουλόμενος ἐλέγξαι αὐτοὺς οὐ καλῶς ἐπιλυσαμένους τὸν Παρμενίδου λόγον, πρότερον αὐτὸν τὸν λόγον αὐτοῦ ἐκτίθεται, οὐ τοῦτον δὲ ὃν καὶ πρότερον ἐξέθετο, ἀλλὰ τὸν δεύτερον. ἔστι δὲ ὁ δεύτερος

---

1 ἄρα τὸ πᾶν] ἅπαν τὸ ὂν M 2 ἢ γὰρ K 5 δύναται K 6 τρόπων compend. K ὄντως K 9. 11 λείπεται — ταὐτόν om. K 10 μὲν γὰρ LM: μὲν t 12. 13 ἢ οὖν K 13 ἀντὶ τοῦ κτλ.] cf. Alexander ap. Simplic. p. 129,8 sqq. 15 εἰς οὐσία (sic) K αὐτοῦ εἶναι Mt 16 πάντως om. Mt πολλὰ τινὰ LKM²: πολλὴ τινὰ M: πολλὰ t συγκέοιτο] συμβαίνει K 17 μόνον (post ὄντων) KMt: μόνων L μόνον (post οὐσιῶν) Mt: μόνων L: μόνων K οὖν] ἂν K 18 μόνον K: μόνων L: μόνων Mt 21 οὖν coniecit t: οὐ KM: εἰ L: an ὂν? 22 ἔφης ἓν L: ἔφησ K: ἔφη M: ἔφη ἓν t 24 lemma om. K 25 παρμενίδιον et in proximis ἀντιρήκαμεν K 28 παρμενι L: τοῦ παρμενίδου K: παρμενίδειον Mt 29 δὲ (ante ὂν) om. superscr. K πρότερον p. 186a23 cf. Philop. p. 58,31. 62,5

www.libtool.com.cn

τοῦ Παρμενίδου λόγος τοιοῦτος· εἰ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ b 8r
συναληθεύει, ἓν ἄρα τὸ ὄν. εἰσὶ δὲ ἐν τῷ λόγῳ αἱ δύο ὑποθέσεις ἀντὶ
μιᾶς ἐν ἡγουμένου λόγῳ παραλαμβανόμεναι 'εἰ τὸ ὂν ἓν σημαίνει καὶ ἡ 21
ἀντίφασις οὐ συναληθεύει', εἶτα ἑπόμενον 'ἓν ἄρα τὸ ὄν'. καὶ οὐδέν γε θαυ-
5 μαστόν· πολλάκις γὰρ οὐ μιᾷ μόνῃ ὑποθέσει ἀκολουθεῖ τὸ ἑπόμενον, ἀλλὰ
δύο, οἷον ἐὰν εἴπω 'εἰ ἡ ψυχὴ ἀθάνατος, ἔστι τὰ ὑπὸ γῆν δικαιωτήρια',
οὐκ ἀναγκαίως ἕψεται τῷ ἡγουμένῳ τὸ ἑπόμενον· τί γὰρ εἰ καὶ ἡ ψυχὴ
ἀθάνατος εἴη, πρόνοια δὲ μὴ εἴη; ἐὰν δὲ ἀμφοτέρας τὰς ὑποθέσεις συμ- 25
πλέξω 'εἰ ἡ ψυχὴ ἀθάκατος καὶ εἰ ἔστι πρόνοια', τότε ἀναγκαίως ἀκολου-
10 θήσει ὅτι ἔστι τὰ ὑπὸ γῆν δικαιωτήρια. ἀλλ' οὐδὲ τῇ ἑτέρᾳ μόνῃ ἕπεται·
κἂν γὰρ πρόνοια μὲν ᾖ, ἡ ψυχὴ δὲ ἀθάνατος μὴ εἴη, οὐκ ἔστι τὰ ὑπὸ
γῆν δικαιωτήρια, τοῦ κρινομένου μὴ ὄντος. ὥσπερ οὖν ἐνταῦθα ταῖς δύο
μὲν ὑποθέσεσιν ἀκολουθεῖ τὸ ἑπόμενον, τῇ δὲ ἑτέρᾳ μόνῃ οὐκέτι, οὕτως
καὶ ἐπὶ τοῦ λόγου τοῦ Παρμενίδου. κἄν τε γὰρ ἓν σημαίνει τὸ ὄν, συναλη-
15 θεύει δὲ ἡ ἀντίφασις, οὐκέτι ἕπεται τὸ ὂν ἓν εἶναι (εἰ γὰρ συναληθεύει
ἡ ἀντίφασις, ἔστι καὶ τὸ μὴ ὂν δηλονότι· εἰ δὲ τοῦτο, οὐκέτι ἓν τὸ ὄν), 30
κἄν τε πάλιν μὴ συναληθεύῃ μὲν ἡ ἀντίφασις, τὸ δὲ ὂν μὴ ἓν σημαίνοι
ἀλλὰ πλείονα, δῆλον ὅτι οὐκ ἀκολουθήσει τὸ ἓν εἶναι τὸ ὄν. ἐὰν δὲ ἀμφο-
τέρας συμπλέξωμεν. τήν τε λέγουσαν τὸ ὂν ἓν σημαίνειν καὶ τὴν λέγουσαν
20 μὴ συναληθεύειν τὴν ἀντίφασιν, εὐλόγως ἀκολουθήσει ἀμφοτέραις τὸ
ἓν εἶναι τὸ ὄν. ὁ μὲν οὖν Παρμενίδου λόγος ἓν κατασκευάζων τὸ ὂν
τοιοῦτος.

Ζήνων δὲ ὁ τούτου μαθητὴς συνηγορῶν τῷ διδασκάλῳ κατεσκεύαζεν ὅτι
καὶ ἓν τὸ ὂν καὶ ἀκίνητον ἐξ ἀνάγκης, ταῦτα δὲ κατεσκεύαζεν ἐκ τῆς ἐπ' 35
25 ἄπειρον τῶν συνεχῶν διχοτομίας. εἰ γὰρ μὴ ἓν εἴη τὸ ὂν καὶ ἀδιαίρετον,
ἀλλὰ διαιροῖτο εἰς πλείονα, οὐδὲν ἔσται κυρίως ἕν (εἰ γὰρ διαιροῖτο τὸ
συνεχές, ἐπ' ἄπειρον ἂν εἴη διαιρετόν), εἰ δὲ μηδέν ἐστι κυρίως ἕν, οὐδὲ
πολλά, εἴ γε τὰ πολλὰ ἐκ πολλῶν ἑνάδων σύγκειται. ἀδύνατον ἄρα εἰς
πολλὰ διαιρεῖσθαι τὸ ὄν· μόνως ἄρα ἕν ἐστιν. ἢ οὕτως· εἰ μὴ τὸ ὂν ἓν
30 εἴη, φησί, καὶ ἀδιαίρετον, οὐδὲ πολλὰ ἔσται· τὰ γὰρ πολλὰ ἐκ πολλῶν

---

1 εἰ] εἰς K 2. 4 ἓν ἄρα — συναληθεύει om. hic et v. 5 post θαυμαστόν habet αἱ δύο ὑποθέσεις αὐτὸ (sic) μιᾶς ἐν ἡγουμένῳ λόγῳ παραλαμβανόμεναι· εἰ τὸ ὂ ἓν σημαίνει· καὶ ἡ ἀντίφασις οὐ συναληθεύει· εἶτα ἑπόμενον· ἓν ἄρα τὸ ὂν· καὶ οὐδέν γε θαυμαστόν K
2 εἰσὶ Mt: εἰ L 4. 5. 13 ἑπόμενον M 4 ἄρα τὸ ὂν ἓν traicit L 6 et 10 ὑπὸ τὴν γῆν L 6. 10. 12 δικαιωτήρια K 8 ἀμφωτέρας K 8. 9 συμπλ^{ε} L
9. 10 ἀκολουθήση K 10 ἕπεται ante correct. M 12 δύο (cf. v. 6) LK: δυσὶ Mt
13 ὑποθέσεσιν (compend. ὑποθ^{ε} M) LM: ὑποθήσεσιν K: ὑποθέσιν (sic) t 14. 15 κἄν τε γὰρ ἓν σημαίνει (σ$^{\overline{\eta}}$ L) τὸ ὄν, συναληθεύει δὲ ἡ ἀντίφασις LK: κἄν τε γὰρ συναληθεύῃ ἡ ἀντίφασις, ἓν δὲ σημαίνῃ τὸ ὂν Mt 15 ἕπεται ἓν εἶναι τὸ ὂν Mt 17 συναληθεύει K μὲν om. L σημαίνοι (velut v. 11 εἴη) LM: σημαίνει K: σημαίνῃ t
18 δῆλον ὅτι LK: δῆλον (om. ὅτι) M: δῆλον ὡς t 23 τῷ] τὸ K 27. 28 ἔστι et τὰ (post γε) om. K 28 ἐκ τῶν πολλῶν L

www.libtool.com.cn

ἑνάδων. ἑκάστη οὖν ἑνὰς ἤτοι μία ἐστὶ καὶ ἀδιαίρετος, ἢ καὶ αὐτὴ εἰς b 8r
πολλὰ διαιρεῖται. εἰ μὲν οὖν μία ἐστὶ καὶ ἀδιαίρετος ἑκάστη μονάς, ἐξ
ἀτόμων μεγεθῶν τὸ πᾶν ἔσται, εἰ δὲ καὶ αὗται διαιροῦνται, πάλιν περὶ 41
ἑκάστης τῶν διαιρουμένων μονάδων πευσόμεθα ταὐτά· καὶ τοῦτο ἐπ' ἄπει-
ρον. ὥστε ἀπειράκις ἄπειρον ἔσται τὸ πᾶν, εἰ πολλὰ εἴη τὰ ὄντα. εἰ δὲ
τοῦτο ἄτοπον, μόνως ἄρα ἓν τὸ ὄν, καὶ πολλὰ εἶναι τὰ ὄντα οὐχ οἷόν τε·
ἑκάστην γὰρ μονάδα ἀπειράκις τεμεῖν ἀνάγκη, ὅπερ ἄτοπον. ὅτι δὲ τὸ ἓν
τοῦτο καὶ ἀκίνητόν ἐστιν, ἐκέχρητο λόγῳ τοιούτῳ. εἰ κινεῖταί τι, φησί,
τήνδε τὴν πεπερασμένην γραμμήν, ἀνάγκη πᾶσα πρὶν τὴν ὅλην κινηθῆναι, 45
τὴν ἡμίσειαν κινηθῆναι, καὶ πρὶν τὸ ἥμισυ τῆς ὅλης κινηθῆναι, ἀνάγκη
πρότερον τὸ τέταρτον, καὶ πρὸ τοῦ τετάρτου τὸ ὄγδοον, καὶ τοῦτο ἐπ' ἄπει-
ρον· τὸ γὰρ συνεχὲς ἐπ' ἄπειρόν ἐστι διαιρετόν. ἀνάγκη ἄρα, εἰ κινεῖταί
τι πεπερασμένην γραμμήν, ἄπειρά τινα κινηθῆναι μεγέθη πρότερον· εἰ δὲ
τοῦτο, πᾶσα δὲ κίνησις ἔν τινι χρόνῳ πεπερασμένῳ γίνεται (οὐδὲν γὰρ ἐν
τῷ ἀπείρῳ χρόνῳ κινεῖται). ἔσται ἄρα τὰ ἄπειρα μεγέθη κινηθῆναι ἐν
πεπερασμένῳ χρόνῳ, ὅπερ ἀδύνατον· ὅλως δὲ τὸ ἄπειρον ἀδιεξίτητον. 50

Πρὸς οὖν τοὺς λόγους τούτους, φησίν, ἐνέδοσαν οἱ πρὸ ἡμῶν, τόν τε τοῦ Παρμενίδον καὶ τὸν τοῦ Ζήνωνος. ἐνδεδωκέναι δὲ αὐτούς φησι διὰ τὸ μαλακώτερον ἐνστῆναι αὐτοὺς πρὸς τοὺς λόγους· μαλακώτερον δὲ ἐνέστησαν, διότι
ταῖς προτάσεσι συγχωρήσαντες τῷ συμπεράσματι διεμάχοντο, λῦσαι μὲν τοὺς λόγους οὐκ ἰσχύσαντες, πρὸς τὸ συμπέρασμα δὲ διατεινόμενοι. ὅτι μὲν γὰρ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ συναληθεύει ἐνεδίδοσαν, τῷ δὲ ἑπομένῳ οὐκέτι συνεχώρουν, τῷ ἓν εἶναι τὸ ὄν, τοὺς | μὲν λόγους οὐκ b 8v
ἀναλύοντες, ἀντικατασκευάζοντες δὲ καὶ εἰς ἑτέραν ἀπορίαν ἄγοντες τὸν
λόγον. ταῦτα δέ φασιν αὐτὸν αἰνίττεσθαι εἰς Πλάτωνα καὶ ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος· ὑποτιθέμενος γὰρ ὁ Πλάτων, φασίν, ἐν τῷ Σοφιστῇ εἶναι τὸ καθόλου μὴ ὄν, ὅπερ τὴν τοῦ ὄντος φύσιν ἐκπέφευγεν, ἀνῄρει τὸ τὰ πάντα ἓν εἶναι λέγων οὕτως· 'εἰ τὸ ὂν πᾶν ἕν ἐστιν, οὐκ ἔσται τὸ μὴ ὄν· ἀλλὰ μὴν ἔστι τὸ μὴ ὄν· οὐκ ἄρα τὸ ὂν πᾶν ἕν ἐστι'. πόθεν δὲ ὁ Πλάτων 5
συγχωρῶν ἓν σημαίνειν τὸ ὄν, οὐκέτι συνεχώρει τὸ ἓν εἶναι καὶ τὰ πάντα; διότι ᾤετο αὐτοὺς τὸ ὂν τὸ ὄντως ὂν λέγειν, λέγω δὴ τὴν ἰδέαν καὶ τὸ

---

1 ἤτοι] εἴτε K qui mox ἢ καὶ ἡ αὐτὴ 2 καὶ ἀδιαίρετος ἢ καὶ αὐτὴ εἰς πολλὰ διαιρεῖται εἰ μὲν οὖν μία ἐστὶ καὶ ἀδιαίρετος ἢ καὶ αὐτὴ εἰς πολλὰ ἑκάστη M 3 μεγέθων K δὲ om. L αὐταὶ K 4 ταὐτά scripsi: τὰ αὐτὰ L: ταῦτα KMt 6 μόνος K εἶναι om. K 9 τήνδε] τὴν δὲ K πρὶν K: πρὸς LM: πρὶν τοῦ M²t 11 καὶ πρὸ—ὄγδοον om. Mt τοῦ τετάρτου] τοῦ δ' K: τοῦδε L ὄγδοον] η̄ LK 13 πεπερασμένη M 14 ἕν τινι operarum errore t πεπερασμένη K γίνεται] ⊓ K 16 fort. ὅλως γὰρ 17. 18 ἐνέδοσαν—φησι om. L 20 τῷ συμπεδιεμάχοντο K 21 ἰσχύοντες Mt 23 ἑπομένῳ ante correct. M συνεχωροῦντο ἓν εἶναι K 25 Ἀλέξανδρος ap. Simplic. p. 134,19 sqq. 135,15 sqq. 26 Θεμίστιος p. 122,28 sqq. Σοφιστῇ p. 258 B sqq. at cf. Simplic. p. 136,10 sqq. εἶναι om. K 27 καθόλου] καθὸ (in exitu versus) M 28 ἓν ἐστιν Mt: ἔνεστιν LK 29 ἕν ἐστι] ἔνεστι K 30 σημαίνει K συνεχώρει] συγχωρεῖ K 31 τὸ ὄντως ὂν K: τοῦ ὄντος ἓν L: τοῦ ὄντως M: τὸ ὄντως t εἰδέαν K

www.libtool.com.cn

νοητόν, ὅπερ καὶ αὐτὸς καὶ μόνον ἔλεγεν εἶναι ὂν καὶ παρὰ τοῦτο πᾶν οὐκ b 8v
ὂν καὶ ἓν εἶναι τοῦτο. ἀλλ' εἰ καὶ τοῦτο ἓν εἶναι ἔλεγε καὶ μόνον ὄν,
οὐκέτι τὸ παρὰ τοῦτο πᾶν μὴ εἶναι ἔλεγεν· εἶναι γὰρ καὶ τὸ μὴ ὄν,
τουτέστι τὴν ἄμορφον ὕλην, ἥτις εἰ καὶ παντελῶς ἑτέρα ἐστὶ τοῦ ὄντος,
5 ἀλλ' οὖν ἔστι καὶ αὐτή. συγχεῖσθαι οὖν ἔλεγε τὸ πᾶν ἔκ τε τοῦ ὄντος, ὃ
καὶ ἓν εἶναι ἐδίδου, καὶ ἐκ τοῦ μὴ ὄντος, ὅπερ τὴν ὕλην εἶναι ὑπελάμβανεν. 10
ἔνθεν τῇ προτάσει συγχωρῶν τῇ λεγούσῃ τὸ ὂν ἓν σημαίνειν, οὐκέτι
συνεχώρει τῷ ἁπλῶς πᾶν ὅτιπερ ἐστὶ τοῦτο ἓν εἶναι, ὅπερ τὸ τοῦ συλλο-
γισμοῦ συμπέρασμα ἐβούλετο. μέμφεται οὖν αὐτῷ ὁ Ἀριστοτέλης ὡς μα-
10 λακῶς πρὸς τὸν συλλογισμὸν τοῦ Παρμενίδου ἀπαντήσαντι· τοῦτο δέ, διότι
συγχωρήσας τὸ ὂν ἓν σημαίνειν, οὐκέτι συγχωρεῖ τὸ ὂν πᾶν ἓν εἶναι, διὰ
τὸ εἰσάγειν ἑτέραν τινὰ φύσιν, ἣν εἰ καὶ παντελῶς ἑτέραν εἶναι λέγει τοῦ
ὄντος, εἶναι μέντοι καὶ ταύτην λέγει. τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ τῇ 15
ἀντιφάσει περιπίπτειν· συγχωρήσας γὰρ τὸ ὂν ἓν εἶναι, λέγει πάλιν ὅτι
15 πολλὰ τὰ ὄντα διὰ τὸ εἶναι καὶ τὸ μὴ ὄν, ὅπερ τοῦ ὄντος παντελῶς ἐστιν
ἕτερον. τοῦτο δὲ τί διαφέρει τοῦ τὸ ὂν ἕν τε εἶναι λέγειν καὶ οὐχ ἕν; οὐδὲ
γὰρ διὰ τοῦ τὸ μὲν κυρίως εἶναι λέγειν, τὸ δὲ μὴ κυρίως, ἐκφεύγει τὴν
ἀντίφασιν, εἰ μὴ καὶ μᾶλλον αὐτῇ περιπίπτει· διαφορὰς γὰρ τῶν ὄντων
ποιῶν πλείω φανερῶς ἀριθμὸν αὐτοῖς ἀποδίδωσι. διὰ τοῦτο οὖν μέμφεται
20 αὐτῷ ὁ Ἀριστοτέλης καί φησιν ὅτι δυνατὸν ἦν καὶ συγχωρήσαντα μίαν 20
εἶναι τὴν τοῦ ὄντος φύσιν δεῖξαι ὅτι οὕτως πολλὰ τὰ ὄντα, οὐ διὰ τὸ ὑπο-
θέσθαι τὸ ἁπλῶς μὴ ὄν, ὅπερ καθόλου τοῦ ὄντος ἐστὶν ἕτερον (τοῦτο γάρ,
ὥσπερ εἶπον, οὐδὲν ἕτερόν ἐστιν ἢ ἀντιφάσει περιπεσεῖν), ἀλλὰ διὰ τοῦ
ὑποθέσθαι τὸ τὶ μὴ ὄν, ὅπερ οὐχ ἕτερόν ἐστι τοῦ ὄντος, ἀλλ' ἐν αὐτῷ
25 τῷ ὄντι τὸ εἶναι ἔχει, λέγω δὴ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν, ὅπερ καὶ
αὐτὸς ὁ Πλάτων φησὶν οὐ παρ' ἔλαττον εἶναι τοῦ ὄντος. κἂν γὰρ συνάγη-
ται ἐκ τοῦ Παρμενίδου λόγου ἓν εἶναι τὸ ὄν, οὐκ ἀνάγκη τὸ κατ' ἀριθμὸν 25
ἓν συνάγεσθαι· οὐδὲ γὰρ ἕπεται τοῦτο ταῖς προτάσεσι. τὸ γὰρ ἓν σημαίνειν
τὸ ὂν οὐ τῷ ἀριθμῷ ἕν ἐστι σημαίνειν, οὐδὲ τοῦτο συγχωρήσομεν, ἀλλὰ
30 τῷ γένει ἕν· ὥστε καὶ τὸ συμπέρασμα τὸ τῷ γένει ἓν συνάξει. εἰ δὲ τῷ

---

1 καὶ (ante μόνον) om. Mt ἔλεγεν ὂν εἶναι Mt 3 τὸ παρὰ] τόπον K
4 ἑτέρά (sic) ἐστι K: ἑτερα ἐστὶ M: ἕτερά ἐστι (nihil enot. ex L) t 5 αὕτη Mt
5. 6 συγχεῖσθαι — ὑπελάμβανεν ad verbum fere ex Themist. p. 123,6 7 ἔνθεν]
ἐν K σημαίνειν] εἶναι συμβαίνειν L 8 τῷ] τὸ K 9 συμπέρασμα] συμπαρα-
λαβεῖν (corruptum ex συμπέρασμα λαβεῖν quod verum esse potest) K 10 σύλλο-
γον K τοῦ] τὸν Mt ἀπαντήσαντι LK: ἀπαντῆ στ M: ἀπαντήσαντα t 11 ἓν
(post πᾶν) om. K 15 τὸ (ante μὴ) om. L τοῦ ὄντως K 16 τοῦτο δὲ κτλ.]
ex Themist. p. 123,12 τοῦ τὸ] τοῦτο K τε] τι L 17 διὰ τοῦτο τὸ
μὲν K 18 εἰ καὶ μὴ K περιπίμπτει K διαφορὰν Themistius
19 πλείω LKM: πλείους t δίδωσι Mt 21 τὴν ὄντως φύσιν δεῖξαι ὅτι καὶ οὕτω K
ex quo καὶ recipiendum videtur διὰ] δὲ K fort. οὐ διὰ τοῦ 23 ἐστιν ἡ
ἀντίφασις K 24 αὐ^τ^ K 26 Πλάτων Soph. p. 258 A sq. 29 τούτω fort.
recte corr. L cf. ad p. 84,8 29. 30 ἀλλὰ τῶ γένει ἦν (sic) K 30 δὲ τῷ] δὲ
τὸ Mt

www.libtool.com.cn

γένει ἓν τὸ ὄν, οἷον εἰ τύχοι ζῷον ἡ οὐσία. ἐστὶν ἐν τούτῳ δηλονότι καὶ b 8v
τὸ μὴ ὄν, οὐ τὸ ἁπλῶς μὴ ὄν, ἀλλὰ τὸ τὶ μὴ ὄν, ὅπερ καὶ τὶ ὄν ἐστιν.
ὁ γὰρ ἄνθρωπος ὂν καὶ μὴ ὄν ἐστιν· οὐ γάρ ἐστιν ἵππος ἢ ὄνος. εἰ δὲ
ἔστι καὶ τὸ μὴ ὄν, πολλὰ ἄρα τὸ ὄν, καὶ οὐκ ἔστι τοῦτο τῇ ἀντιφάσει
5 περιπεσεῖν· οὐδὲ γὰρ ἓν λέγοντες εἶναι τὸ ὂν καὶ παρὰ τοῦτο ἕτερον μὴ 30
εἶναι, τὸ μὴ ὂν εἰσάγομεν τὸ ἐκπεπτωκὸς παντελῶς τοῦ ὄντος (τοῦτο γὰρ
οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ αὐτὸ ὂν καὶ μὴ ὂν λέγειν), ἀλλὰ τὸ κατὰ τὴν
ἑτερότητα μὴ ὄν, ὅπερ καὶ ὄν ἐστιν. ὥστε τὸ αὐτὸ ἄλλως μὲν ὂν ἔσται,
ἄλλως δὲ οὐκ ὄν, καὶ οὐ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ὂν καὶ μὴ ὄν· οὐ γὰρ ᾗ
10 ἄνθρωπος οὐκ ὄν, ἀλλ' ᾗ οὐκ ἔστιν ἵππος. τὸ μέντοι λέγειν ὅτι ἔστι τι
ὃ παντελῶς ἕτερόν ἐστι τοῦ ὄντος, εἶτα τοῦτο ἐγκαταριθμεῖν τοῖς οὖσι καὶ
λέγειν πολλὰ τὰ ὄντα, ἄντικρυς τὸ αὐτό ἐστι κατὰ τὸ αὐτὸ ὂν καὶ μὴ 35
ὂν ποιεῖν. ἄλλως τε αὐτόθεν ἔδει τῇ προτάσει ἐνστῆναι τῇ λεγούσῃ τὸ
ὂν ἓν σημαίνειν, καὶ διελεῖν τὸ ἓν ποσαχῶς λέγεται, ὅτι ἢ ὀνόματι ἢ
15 πράγματι· καὶ εἰ πράγματι, ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ· καὶ εἰ τῷ ἀριθμῷ,
ἢ ὡς συνεχὲς ἢ ὡς ἀδιαίρετον ἢ ὡς τῷ λόγῳ ταὐτόν· καὶ δεῖξαι ὅτι
κατ' οὐδεμίαν ὑπόθεσιν ἔρρωται ὁ τοῦ Παρμενίδου λόγος, ὥσπερ αὐτὸς
ἐποίησε.

Πρὸς μὲν οὖν τοὺς τοῦ Παρμενίδου λόγους οὕτως, πρὸς δὲ τὸν Ζήνω-
20 νος τὸν Ξενοκράτην φασὶν ἀπαντῆσαι ὑποθέμενον μὴ ἐπ' ἄπειρον γίνεσθαι
τὴν τῶν μεγεθῶν τομήν· καταλήγειν γὰρ εἰς ἀτόμους γραμμὰς τεμνο- 40
μένην τὴν γραμμήν. ἠγνόησε δὲ καὶ οὗτος ἀντιφάσει περιπεσὼν διὰ τοῦ
δοκεῖν φεύγειν τὴν ἀντίφασιν· τὸ αὐτὸ μὲν γὰρ ἓν καὶ πολλὰ εἶναι οὐκ
ἀδύνατον, οὐδὲ ἀντίφασις τὸ τοιοῦτον, εἰ τὸ μὲν ᾗ δύναμει τὸ δὲ ἐνεργείᾳ,
25 ταὐτὸν δὲ ποιεῖν γραμμήν τε καὶ ἀδιαίρετον, ἄντικρυς ποιεῖν ἐστι τὴν
γραμμὴν οὐ γραμμὴν καὶ τὸ μέγεθος οὐ μέγεθος, εἴ γε ἐπ' ἄπειρον διαι-
ρετόν ἐστι τὸ μέγεθος.

Ἔνιοι δὲ ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις. ἀμφοτέροις
φησὶ τοῖς τε τοῦ Παρμενίδου καὶ τοῖς τοῦ μαθητοῦ αὐτοῦ Ζήνωνος· τοῖς 45
30 μὲν τοῦ διδασκάλου ὁ διδασκάλος Πλάτων, τοῖς δὲ τοῦ μαθητοῦ Ζήνωνος
ὁ μαθητὴς Πλάτωνος ὁ Ξενοκράτης.

---

1 ᾗ] ἡ K 2 ἀλλὰ τὸ τὶ μὴ ὄν om. K 5 λέγονται K 6 εἰσάγωμεν τὸ ἐπιπεπτωκὸς L 7 τὸ κατὰ] ἦν K 9 καὶ μὴ] ὡς μὴ K ᾗ] ἢ K 10 οὐκ ὢν L ᾗ] ἢ LK ὅτι ἔσται τι K 12 κατὰ] ἢ K 13 αὐτο σ' M 14 διελεῖν ποσαχῶς τὸ ἓν Mt 15 εἴδη K 19 τοῦ om. L 19. 20 ζήνωνα L 20 ξενωκράτην φησὶν K φασὶν] velut Alexander ap. Simplic. p. 138,11. Themistius p. 122,19 20. 21 τὴν τῶν μεγεθῶν γίνεσθαι Mt 21 μεγέθων K 21. 22 καταλήγειν—γραμμήν om. L 21 καταλήγειν scripsi cl. Simplic. p. 140,10: compend. καταλ$\overset{\eta''}{\cancel{\eta}}$ M: καταλήσειν(si modo recte enotavi)K: καταλύσειν t 22 ἠγνώησε K 23 τὴν ἀντίφασι (sic) K εἶναι] εἰσιν K 24 ἢ LKM: εἴη t 25 ταὐτὸν κτλ.] ex Themist. p. 122,26 28 ἐνέδωσαν K τοῖς λόγοις ἀμφοτέροις om. K 29 φησὶ τοὺς (sic) τε K τοῖς (post καὶ) om. L μαθητοῦ (ante αὐτοῦ) om. K 31 ὁ (ante Ξενοκράτης) om. K

www.libtool.com.cn

p. 187a1 Τῷ μὲν ὅτι πάντα ἕν, εἰ τὸ ὂν ἓν σημαίνει, ὅτι ἔστι τὸ μὴ ὄν. b 8r

Τῷ μὲν λόγῳ τοῦ Παρμενίδου, τῷ κατασκευάζοντι ὅτι πάντα ἕν ἐστιν ἐκ τοῦ λαμβάνειν πρότασιν τὴν λέγουσαν τὸ ὂν ἓν σημαίνειν, ἐνδεδώκασι, δέον εὐθὺς ἐνστῆναι τῇ προτάσει. καὶ ζητῆσαι πῶς λαμβάνουσιν ἓν σημαίνειν τὸ ὄν, καὶ διελεῖν τὸ ἓν ποσαχῶς λέγεται, καὶ δεῖξαι ὅτι κατ' οὐδὲν τῶν σημαινομένων τοῦ ἑνὸς εὐοδεῖ αὐτοῖς ὁ λόγος, ὅπερ ἡμεῖς ἐποιήσαμεν. οἱ δὲ τούτῳ συγχωρήσαντες, τῷ συμπεράσματι ὅπερ ἀναγκαίως συνήγετο διεμάχοντο διὰ τοῦ ὑποτίθεσθαι εἶναι καὶ τὸ μὴ ὄν. εἴπομεν δὲ τὴν τοῦ Πλάτωνος ἔννοιαν, ὅτι ἐπειδὴ τὸ ὂν ὑπελάμβανεν αὐτοὺς λέγειν τὸ νοητόν, τὴν δὲ ὕλην εἶναι μὲν λέγει ὂν δὲ μὴ εἶναι, μᾶλλον δὲ καὶ τὰ αἰσθητὰ πάντα, διὰ τοῦτο καὶ ἓν εἶναι τὸ ὂν συνεχώρει, καὶ μὴ εἶναι | τὰ πάντα ἓν διὰ τὸ εἶναι καὶ τὸ μὴ ὄν. c 1r

p. 187a2 Τῷ δὲ τῆς διχοτομίας, ἄτομα ποιήσαντες μεγέθη.

Ὅτι καὶ τῇ Ζήνωνος ἀπορίᾳ, δι' ἧς κατεσκεύαζε καὶ ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον ἐκ τῆς ἐπ' ἄπειρον τομῆς τῶν μεγεθῶν, κακῶς ἐνέδοσαν ψευδῶς ὑποθέμενοι μὴ εἶναι ἐπ' ἄπειρον τὰ μεγέθη διαιρετά. ἐνδεδώκασι γὰρ ὅτι εἰ ἐπ' ἄπειρον τὰ μεγέθη διαιρετὰ εἴη, μήτε κίνησιν εἶναι, μήτε εἶναί τι κυρίως ἕν, καὶ διὰ τοῦτο μηδὲ πολλά, ἐπειδὴ τὸ πλῆθος ἐκ πολλῶν μονάδων. ἔνθεν ὁ Ξενοκράτης ἀνῄρει τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. αὐτὸς γοῦν πολλαχῶς συγχωρήσας τούτῳ ἀληθεῖ ὄντι, ὅμως ἐπελύσατο μοναχῶς τὴν ἀπορίαν ἐν οἷς καὶ τοῦτό φησιν ὅτι τῶν μεγεθῶν ἡ τομὴ δυνάμει μέν ἐστιν ἐπ' ἄπειρον, ἐνεργείᾳ δὲ οὔ (ἀδύνατον γὰρ γενέσθαι ἐνεργείᾳ τὸ ἄπειρον), ὥστε καὶ ἡ κίνησις δυνάμει μὲν δι' ἀπείρων διελεύσεται, ἐνεργείᾳ δὲ διὰ πεπερασμένων· οὐδὲ γὰρ κατὰ σημεῖον γίνεται ἡ κίνησις, ἀλλὰ κατὰ μέγεθος ὡρισμένον. διχοτομίαν δὲ ἐκάλεσε τὴν

---

1 τὰ πάντα L 1. 2 σημαίνειτο (sic, om. ὅτι ἔστι τὸ μὴ ὄν) K 3 λόγου et πάντων K 4 τὴν πρότασιν τὴν Mt 5 εὐθὺς οὐστῆναι K 7 εὐοδεῖ (sic) K: δοκεῖ L: εὐο M: εὐοδοῖ t αὐτοῦς (sic) K 8 τούτῳ t: τούτω M²: τοῦτω (sic) K: τοῦτο LM 8. 9 distinctionem addidi ante τῷ, sustuli ante διεμάχοντο 8 ὅπερ] ὅπως K 9. 10 δὲ καὶ τὴν K 10 ἔνοιαν (om. ὅτι) K 11 λέγει (λ ε' M) LKM: ἔλεγεν t τὰ LK: αὐτὰ M: αὐτὰ t 12 τὸ ὂν] το ἓν L 14 τῆς LKM: ἐκ τῆς t et Arist. cod. E 15 ζήνων ὡς K κατεσκεύαζεν (om. καὶ) Mt 19 εἶναί τι κυρίως L: εἶναι κυρίως (om. τι) K: εἶναι κυρίως τὶ Mt ἕν et μηδὲ (ante πολλὰ) scripsi: ὄν et μήτε libri at cf. p. 80,25 sqq. 20 ξυνοκράτης K 21 τομήν] τὸ μὴν hic et saepe K πολλαχοῦ K τούτῳ] οὐ τῶ L ἀληθῆ M 22 μοναχῶς] πολλαχῶς K φησιν] cf. c. 2 extr. et Γ 6 24 ἐνεργείᾳ γενέσθαι Mt 25 ἐλεύσεται Mt διὰ πεπερασμένη K

www.libtool.com.cn

Ζήνωνος ἐπιχείρησιν, καὶ δῆλον διὰ τί· διότι τῷ ἀεὶ τὸ ληφθὲν μέγεθος c 1r
δίχα τέμνειν, οὕτως ἐποιεῖτο τὴν κατασκευήν.

p. 187a3 Φανερὸν δὲ καὶ ὅτι οὐκ ἀληθές, ὡς εἰ ἓν σημαίνει τὸ ὂν καὶ μὴ οἷόν τε εἶναι τὴν ἀντίφασιν ἅμα, οὐκ ἔσται οὐδὲν μὴ ὄν· οὐδὲν γὰρ κωλύει μὴ ἁπλῶς εἶναι, ἀλλὰ μή τι εἶναι τὸ μὴ ὄν.

Οὐκ ἀληθῆ, φησίν, ὑπονοεῖ ὁ Πλάτων ὅτι τῷ συλλογισμῷ τοῦ Παρμενίδου ἕπεται τὸ ἀνῃρῆσθαι καθόλου τὸ μὴ ὂν καὶ κατὰ μηδένα τρόπον δύνασθαι εἶναι· ἕπεται μὲν γὰρ τῇ ὅλῃ τοῦ συλλογισμοῦ ἀγωγῇ τὸ ἓν εἶναι τὸ ὄν, οὐ μέντοι τὸ μηδαμῶς εἶναι τὸ μὴ ὄν. ἐπειδὴ γὰρ τὴν ὕλην ὁ Πλάτων μὴ ὂν ἐκάλει καὶ ἐξῃρῆσθαι αὐτὴν τῆς τοῦ ὄντος φύσεως ἔλεγεν, εἵπετο δὲ τοῖς Παρμενίδου λόγοις τὸ μηδὲν εἶναι ὅπερ μὴ τῆς τοῦ ὄντος ἐστὶ φύσεως, ἔνθεν συνῆγεν, φησίν, ὁ Πλάτων ὅτι ἕπεται τῷ Παρμενιδείῳ λόγῳ τὸ μηδαμῶς εἶναι τὸ μὴ ὄν. τοῦτο δέ, φησίν, οὐκ ἔστιν ἀληθές· οὐδὲν γὰρ κωλύει καὶ τοῦ συλλογισμοῦ τούτου ἀληθοῦς ὄντος, λέγω δὴ τοῦ κατασκευάζοντος ὅτι ἓν ἐστι τὸ ὄν, εἶναι καὶ τὸ μὴ ὄν. ἀλλ' οὐ τοῦτο λέγω τὸ μὴ ὂν τὸ ἁπλῶς μὴ ὄν, ὅπερ παντελῶς ἕτερόν ἐστι τοῦ ὄντος, ἀλλὰ τὸ τι μὴ ὄν, ὅπερ ἐν τῷ ὄντι ἐστί, τουτέστι τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν. τὸ οὖν οὐκ ἀληθές, ὡς εἰ ἓν σημαίνει τὸ ὂν καὶ μὴ οἷόν τε ἅμα εἶναι τὴν ἀντίφασιν, ἀντὶ τοῦ οὐκ ἀληθὲς τὸ τῷ ὅλῳ συλλογισμῷ ἕπεσθαι τὸ μὴ εἶναι μηδὲν μὴ ὄν· τὰς γὰρ προτάσεις ἀντὶ τοῦ ὅλου συλλογισμοῦ ἔθηκε. τὸ δὲ ἑξῆς οὐδὲν γὰρ κωλύει εἶναι τὸ μὴ ὄν, οὐ τὸ ἁπλῶς, ἀλλὰ τὸ τι μὴ ὄν.

p. 187a6 Τὸ δὲ δὴ φάναι παρ' αὐτὸ τὸ ὄν, ὡς εἰ μή τι ἔσται ἄλλο, ἓν πάντα ἔσεσθαι, ἄτοπον.

Ὅτι οὐκ ἀνάγκη τῷ συλλογισμῷ τῷ Παρμενίδου ἕπεσθαι τὸ μὴ εἶναι τὸ μὴ ὄν, διὰ τούτων κατασκευάζει. τὸν οὖν δὲ σύνδεσμον ἀντὶ τοῦ γάρ

---

1 ζήνων ὡς K τῷ] τὸ K ἀεὶ τὸ om. Mt λιφθὲν K 3 οὐκ ἀληθές om. L 4 μὴ οἷονται K εἶναι τὴν ἀντίφασιν ἄλλα (sic) L: εἶναι τὴν ἀντίφασιν (ἀντίφασι hic et v. 20 K) KM: ἅμα τὴν ἀντίφασιν εἶναι t. locus dubius, cf. v. 20 et Aristotelis libri 8 ἀνηρεῖσθαι K 8. 9 καὶ μὴ δύνασθαι κατ' οὐδένα τρόπον εἶναι Mt 9 τῇ ὅλῃ K ἀγωγῇ τοῦ συλλογισμοῦ Mt 11 ἔλεγεν L: om. KMt: probabilius εἶπεν propter insequens εἵπετο (εἵπετο M) excidisse conicias 12 μηδὲν LK: μὴ δὲ M: μηδὲ t

13 ἔνθεν φησὶ συνῆγεν Mt ἕπεται M παρμενιδίω (accent. eras. sup. νι; ίω et quae sequuntur usque ad εἶναι τὸ μὴ ὄν in erasis) K 16. 17 ἀλλ' οὐ τούτου λέγω τὸ μιὸν K 17 τὸ ἁπλῶς μὴ ὄν] τὸ μὴ ὂν ἁπλῶς L παντελῶς ἐστιν ἕτερον Mt 18 ὅπερ om. L 20 ἅμα om. L ἅμα ἀληθὲς εἶναι M 21 ἕπεσθαι] οἴεσθαι L μηδὲν] τὸ μηδὲν L 22 τέθεικε K οὐδὲ γὰρ M 24. 25 μή τι — ἄτοπον om. K 25 ἔσεται t

www.libtool.com.cn

ἐπακούσωμεν· τὸ γὰρ λέγειν, φησίν, ὅτι εἰ μὴ εἴη ἕτερόν τι παρὰ τὸ ὂν c 1r
ὅπερ παντελῶς ἕτερόν ἐστι τῆς τοῦ ὄντος οὐσίας, ἤδη ἀνάγκη πάντα ἓν
εἶναι (ὡς γὰρ τούτου ἑπομένου ἠναγκάζετο ὁ Πλάτων ὑποτίθεσθαι τὸ ἁπλῶς 31
μὴ ὄν, ἵν' οὕτω πολλὰ δείξῃ τὰ ὄντα), ἄτοπόν ἐστι. τίς γὰρ μανθάνει,
5 φησίν, αὐτὸ τὸ ὂν εἰ μὴ τὸ ὅπερ ὄν τι εἶναι; τουτέστι τίς ἀκούων
παρ' αὐτῶν τὸ ὄν, οὐ τὸ ὅπερ ὄν νομίζει αὐτοὺς λέγειν, τουτέστι τὸ κυρίως
ὄν, λέγω δὴ τὴν οὐσίαν; εἰ δὲ τοῦτό ἐστι τὸ ὄν, οὐδὲν κωλύει αὐτὸ πολλὰ 35
εἶναι, ὥσπερ εἴπομεν. τῷ γὰρ γένει ἓν εἶναι τὸ ὂν ἀκουσόμεθα καὶ οὐ τῷ
ἀριθμῷ, εἰ δὲ τοῦτο, δηλονότι καὶ τὸ τὶ μὴ ὂν ἔστιν ἐν τούτῳ· ἕκαστον
10 γὰρ τῶν ὑπὸ τὸ γένος εἰδῶν καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων οὐκ ἔστιν ὅπερ
τὸ ἕτερον. οὐκ ἀληθὲς ἄρα τὸ νομίζειν ἕπεσθαι τῷ Παρμενίδου συλλο-
γισμῷ τὸ ἀνῃρῆσθαι τὸ μὴ ὄν. δύναται δὲ καὶ ἴδιον ἐπιχείρημα εἶναι τοῦτο,
ὅτι οὐδὲ ἀναγκαῖον ἦν διὰ τῆς ὑποθέσεως τοῦ μὴ ὄντος ἐλέγξαι τὸν Παρ-
μενίδου λόγον· εἰ γὰρ δυνατὸν τὸ ἓν τῷ γένει καὶ οὐ τῷ ἀριθμῷ ἀκούειν, 40
15 περιττὸν τὸ διὰ τῆς ὑποθέσεως τοῦ μὴ ὄντος δεικνύναι θέλειν πολλὰ εἶναι
τὰ ὄντα, ἐξὸν αὐτόθεν δεῖξαι διὰ τῆς διαιρέσεως ὅτι πολλὰ τὰ ὄντα· τῷ
γὰρ γένει τὸ ἓν καὶ οὐ τῷ ἀριθμῷ. κατὰ ταύτην δὲ τὴν ἔκδοσιν οὐ μεταλη-
ψόμεθα τὸν δέ εἰς τὸν γάρ· ἔστι γὰρ ἀρκτικός.

p. 187a10 Ὅτι μὲν οὖν οὕτως ἓν εἶναι τὸ ὂν ἀδύνατον, δῆλον. ὡς
20 δ' οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν.

Ἐλέγξας τὴν δόξαν τὴν ⟨τῶν⟩ ἀμφὶ τὸν Παρμενίδην καὶ Μέλισσον, 45
τὴν λέγουσαν ἓν εἶναι τὸ ὄν, μέτεισιν ἐπὶ τὸν τῶν φυσικῶν ἔλεγχον καί
φησιν· ὅτι μὲν ὡς ἐκεῖνοι ἓν τὸ ὂν λέγουσιν ἀδύνατον ὑποθέσθαι, δέδεικται,
ὡς δὲ οἱ φυσικοὶ λέγουσιν ἓν τὸ ὄν· λέγουσι δὲ οὐ τῷ πάντα ἓν εἶναι,
25 ἀλλὰ τῷ μίαν πάντων ἀρχὴν ὑποτίθεσθαι, μίαν δὲ ἀρχὴν ὑποτίθενται
Ἡράκλειτος μὲν τὸ πῦρ, Ἀναξιμένης δὲ τὸν ἀέρα, Θαλῆς δὲ τὸ ὕδωρ,
Ἀναξίμανδρος δὲ τὸ μεταξύ· τούτων δὲ διττοί εἰσιν οἱ τρόποι. οἱ μὲν γὰρ
αὐτῶν μανώσει καὶ πυκνώσει τοῦ κατ' αὐτοὺς στοιχείου, οὕτω γεννῶσι τὰ 50
ἄλλα (οἷον Θαλῆς τὸν ἀέρα στοιχεῖον ὑποτιθέμενος, τοῦτον μανούμενον
30 μὲν ἔλεγε ποιεῖν τὸ πῦρ, πυκνούμενον δὲ ἠρέμα ποιεῖν τὸν ἄνεμον, ἔτι δὲ
μᾶλλον πυκνούμενον ποιεῖν τὰ νέφη, ἔτι δὲ μᾶλλον τὸ ὕδωρ, καὶ ἐπὶ πλέον
τὰ γήινα πάντα), οἱ μὲν οὖν οὕτως ἔλεγον ἐκ τοῦ ἑνὸς τὴν γένεσιν γίνε-

---

1 ἐπακούσομεν Mt 2 ἤδη] εἴδη K 2. 3 ἓν ἐστιν K 3 ἁπλῶς] ἀεὶ K
5 φησίν om. Mt ubi novum indicatur lemma 9 ἕκαστον t: ἑκάστου LKM 15 θέλει K 16 αὐτόθι L 18 εἰς τὴν L γάρ (post τὸν) in ras. K ἀρεκτικὸς K
19 lemma om. K 20 δὲ οἱ L 21 τὴν τῶν scripsi: τὴν LKM: τῶν t 24 τὸ ὂν ἓν L 25 ἀλλὰ τὸ μίαν K 26 τὸ ἀέρα 27 τούτων (sic) K 28 πυκνώσει καὶ μανώσει Mt αὐτοῦ et γεννῶσι K 29 Θαλῆς] ὁ θαλῆς Mt: θάλης K: ἀναξίμανδρος L: ἢ ἀναξιμένης superscr. M². correctio Ἀναξιμένης (cf. Simplic. p. 149,29 sqq.) ne recipiatur obstat geminus locus c7v45: v. Zeller I⁴ p. 180,6. Diels Doxograph. p. 145
30 τὸ ἄνεμον K 30. 31 ἔτι δὲ — νέφη servavit (cf. Simplic. l. c.) K: om. LMt
31 δὲ om. M

www.libtool.com.cn

σθαι, Ἀναξίμανδρος δὲ τὸ μεταξὺ πυρὸς καὶ ἀέρος ἢ ἀέρος καὶ ὕδατος e 1v
λέγων στοιχεῖον τὰ ἄλλα ἐκ τούτου ἐκκρίνεσθαι ἔλεγεν· ἐνυπάρχειν γὰρ
ἐν τούτῳ ἀπείρῳ ὄντι τὰς ἐναντιότητας, εἶτα ἐκκρινομένας ἐξ αὐτοῦ ποιεῖν
τὰ λοιπά. οἱ μὲν οὖν πυκνώσει καὶ μανώσει λέγοντες, ἀλλοιώσει τοῦ κατ'
5 αὐτοὺς στοιχείου γεννῶσι τὰ ἄλλα, ὥστε συμβαίνειν αὐτοῖς τὴν γένεσιν
ἀλλοίωσιν λέγειν (οὕτω γοῦν καὶ λέγουσιν ὅτι τὸ γίνεσθαι τοιόνδε κα- 5
θέστηκεν ἀλλοιοῦσθαι), Ἀναξίμανδρος δὲ οὐκ ἀλλοιώσει τοῦ μεταξὺ
γεννᾷ τὰ ἄλλα, ἀλλ' ἐκκρίσει ἐνυπαρχόντων ἐν αὐτῷ. εἶτα θέλων σαφέ-
στερον δεῖξαι πῶς ἔλεγεν ἐκκρίσει γίνεσθαι ὁ Ἀναξίμανδρος ἐκ τοῦ ἑνὸς
10 τὰ ἄλλα, μέμνηται τῶν περὶ Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα.

Ἔστι δὲ ἡ μὲν τοῦ Ἀναξαγόρου δόξα τοιαύτη. ἀρχὰς εἶναι τῶν ὄντων
ὑπετίθετο ὑλικὰς μὲν τὰς ὁμοιομερείας (ταύτας δὲ ἀπείρους εἶναι τὸν ἀριθμόν)
καὶ τὴν ἐναντίωσιν, πρίν τε τὸ πᾶν γενέσθαι, πάσας ἅμα μεμῖχθαι· τὸν δὲ
νοῦν, ὃν καὶ ποιητικὸν αἴτιον ὑποτίθεται, ἀπό τινος χρόνου ἀρξάμενον θελῆσαι 10
15 μὲν διακρῖναι ἀπ' ἀλλήλων πάντα, μὴ μὴν δυνηθῆναι τελείαν ποιήσασθαι
τὴν διάκρισιν, ἀλλὰ τὰ μὲν ἀνομοιομερῆ διέκρινε συγκείμενα καὶ αὐτὰ ἐκ
τῶν ὁμοιομερῶν, τὰ μέντοι ὁμοιομερῆ εἰλικρινῶς οὐκ ἴσχυσε διακρῖναι,
ἀλλ' οὖν ἐκεῖθεν ἀρχὴν τῇ ἐκκρίσει δόντα ἐσαεὶ τοῦτο ποιεῖν. οὕτως οὖν
γίνεσθαι πάντα ἐκ πάντων τῷ πάντα ἐν ἀλλήλοις ὑπάρχειν· εἶναι γὰρ ἐν
20 τῷ ξύλῳ καὶ σάρκα καὶ ὀστοῦν καὶ χρυσὸν καὶ πάντα ἁπλῶς, καλεῖσθαι 15
δὲ ἕκαστον ἐκ τοῦ πλεονάζοντος τοῦ ἐν αὐτῷ· ὥσπερ ἐπὶ σωροῦ πανσπερ-
μίας, εἰ ἐνυπάρχει πλέον τῶν λοιπῶν σπερμάτων ὁ σῖτος, καλεῖται ὁ σωρὸς
ἐκεῖνος σῖτος ἐκ τοῦ πλεονάζοντος, οὕτως ἔνθα μέν ἐστι πλείων ἡ σὰρξ
τῶν ἄλλων σάρκα τοῦτο καλεῖσθαι, ἔνθα δ' ὀστοῦν ὁμοίως ὀστοῦν. ὡσαύ-
25 τως καὶ ἐπὶ ξύλου καὶ χρυσοῦ καὶ τῶν λοιπῶν. ὥσπερ οὖν εἴ τις ἀπὸ τῆς
πανσπερμίας κρυπτομένας κριθὰς δι' ὀλιγότητα ἐξαγάγῃ καὶ ποιήσει σωρείαν
κριθῶν, οὐ γένεσιν κριθῶν οὗτος ἐποίησεν, ἀλλ' ἔκφανσιν μόνον καὶ ἔκ- 20
κρισιν, οὕτως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν πραγμάτων· ὅταν γὰρ ἐκ σαρκὸς
ὀστοῦν γίνηται ἤ τι ἕτερον, οὐκ ἔστι τοῦτο γένεσις κυρίως, ἀλλ' ἔκφανσις
30 μόνον καὶ ἔκκρισις τοῦ πρὶν κρυπτομένου. πλὴν ἐπὶ μὲν τοῦ σωροῦ τῆς
πανσπερμίας ἔστιν ἕν τι εἶδος εἰλικρινὲς ἐκκρῖναι, οἷον κριθάς, ἐπὶ δὲ τῶν
ὁμοιομερειῶν τοῦτο ἀδύνατον· οὐκ ἐνδέχεται γὰρ οὐδέποτε σάρκα εἰλικρινῆ
ἐκκριθῆναι ἢ λίθον ἢ χρυσὸν ἢ ἄλλο τι, ἀλλ' ἀεὶ ἐν παντὶ τῷ ἐκκρινο-

---

1 ἢ ἀέρος om. K 2 ἐκ τοῦ ἐκρίνεσθαι K 3 ἐκκρινομένας (cf. Neuhäuser, Anaximander [Bonnae 1883], p. 126 n.) L: ἐκκρινόμενα K: ἐκκρινόμενος Mt 4. 5 ἀλλώσει τοῦ κατ' αὐτὸν K 6 γοῦν] γὰρ K τὸ γίνεσθαι κτλ.] cf. Aristot. p. 187ª29. Zeller 1⁴, 875,3 8 ἐνυπάρχοντα ἐν αὐ^τ^ῷ K 9 ὁ ἀναξίμανδρος γίνεσθαι Mt 11 Ἀναξαγόρου] ἀναξαγόρα L 13 πρίν γε K γίνεσθαι Mt ἅμα om. K μεμόχθαι K 14 καὶ om. L: num ὡς? 14. 15 θελήσαιμεν K 16 ἀνομοιομέρη K 18 ἀλλ' οὖν (ἀλλοῦν) K: ἀλλήλων (sublata distinctione post διακρῖναι) L: ἄλλων δ' Mt ἀρχὴ K 21. 22 ἐπὶ τοῦ σωροῦ πανσπερμία L 23 πλείω L 26 ἐξαγάγει K ποιήσει libri: immo ποιήσῃ 27 ἔκφασιν K 29 γένηται L 32 ὁμοιομερῶν Mt εἰλικρινῆ L: εἰλικρινὲς K: εἰλικρινῶς M: εἰλικρινῶς t 33 ἤ τι ἄλλο K

www.libtool.com.cn

μένῳ ὁπηλίκον ἂν ᾖ πάντα ἔνεστι, καλεῖται δὲ ἐκ τοῦ πλεονάζοντος. ταῦτα c 1v
οὖν τὰ μικρὰ σαρκία συναγόμενα ἢ τὰ λιθάρια ποιεῖ σάρκα ἢ λίθον ἤ τι
τοιοῦτον, ἡ δὲ τῶν ὁμοιομερῶν σύνθεσις ποιεῖ τὰ ἀνομοιομερῆ. 26

Οὕτω μὲν οὖν ὁ Ἀναξαγόρας. ὁ δὲ Ἐμπεδοκλῆς τέσσαρα ὑπετίθετο τὰ
5 ὑλικὰ αἴτια· ταῦτα δὴ τὰ πολυθρύλητα στοιχεῖα (διὸ καὶ ῥιζώματα πάντων
αὐτὰ ἐκάλει, "τέσσαρα" λέγων "τῶν πάντων ῥιζώματα"), ποιητικὰ δὲ αἴτια
τὸ νεῖκος καὶ τὴν φιλίαν· ἀλλ' οὐχ ἅμα, ἀλλ' ἀνὰ μέρος. τῆς μὲν γὰρ φιλίας
ἐπικρατούσης συνάγεσθαι καὶ συγκρίνεσθαι τὰ στοιχεῖα καὶ ποιεῖν τὸν νοητὸν 30
κόσμον, ὃν σφαῖρον ἐκάλει, ὅταν δὲ πάλιν κατά τινα περίοδον ἐπικρατήσῃ
10 τὸ νεῖκος, διακρίνεσθαι τὸν σφαῖρον ἐκεῖνον καὶ ποιεῖν τὰ τέσσαρα στοιχεῖα
καὶ τοῦτον τὸν κόσμον. ἐπεὶ οὖν ἑώρα τά τε ἄλλα πάντα καὶ ἐκ τῶν
τεσσάρων στοιχείων γινόμενα καὶ αὐτὰ ἐξ ἀλλήλων, τὰ μὲν σύνθετα σώματα
μόνῃ τῇ συγκρίσει τῶν στοιχείων ἔλεγε γίνεσθαι (ἀμετάβλητα γὰρ ὑπετί-
θετο), ὅταν δὲ γίνηται ἐξ ὕδατος ἀὴρ ἢ ἐξ ἀέρος πῦρ ἢ καὶ ἔμπαλιν, οὐ
15 μεταβάλλοντος τοῦ ὕδατος ἢ τοῦ ἀέρος γίνεσθαι τὰ λοιπά, ἀλλ' ἐνυπάρχειν 35
ἐν ἀλλήλοις κατ' ἐνέργειαν τὰ στοιχεῖα. ἐπειδὰν οὖν μανωθῇ ὁ ἀήρ, τὸ
ἐνυπάρχον πῦρ καὶ συνεχόμενον χώραν εὑρηκὸς ἐκκρίνεσθαι, πάλιν δὲ ὅταν
πυκνωθῇ ὁ ἀήρ, τὰ ὑδάτια τὰ ἐνυπάρχοντα καὶ διεσπαρμένα ἐν αὐτῷ τῇ
θλίψει τῇ ἐκ τῆς πυκνώσεως ἐξακοντίζεσθαι ἐκπυρηνιζόμενα, οἷόν τι
20 πάσχουσι καὶ οἱ διὰ τῶν δακτύλων ἐκθλιβόμενοι πυρῆνες· ἐνυπάρχοντες
γὰρ καὶ κεκρυμμένοι ὑπὸ τοὺς δακτύλους, ὅταν πυκνωθῶσιν οἱ δάκτυλοι, 40
τῇ θλίψει ἐξακοντίζονται, οὐ γινόμενοι τότε, ἀλλ' ἐκκρινόμενοι μόνον καὶ
ἐκφαινόμενοι.

Ὃν τρόπον οὖν, φησίν, οἱ περὶ Ἀναξαγόραν καὶ Ἐμπεδοκλέα ἐκ-
25 κρίσει τὴν γένεσιν γίνεσθαι λέγουσιν, οὕτω καὶ ὁ Ἀναξίμανδρος ἐκ τοῦ
κατ' αὐτὸν στοιχείου (ὅπερ ἐστὶ τὸ μεταξὺ πυρὸς καὶ ἀέρος ἢ ἀέρος καὶ
ὕδατος), ἀπείρου ὄντος καὶ πάντα ἐν ἑαυτῷ περιέχοντος, τὰ ἄλλα γίνε-
σθαι, μᾶλλον δὲ ἐκκρίνεσθαι· τὴν γὰρ γένεσιν οὐδὲν εἶναι ἄλλο ἢ ἔκ-
κρισιν καὶ ἔκφανσιν. καὶ δῆλον ὅτι ταῦτα λέγων ὁ Ἀναξίμανδρος αὐτὸς 45
30 τὰς ἑαυτοῦ θέσεις ἀνῄρει· οὐ γὰρ ἂν ἔτι εἴη μία ἡ κοινὴ τῶν πάντων
ἀρχὴ τὸ μεταξύ, εἴ γε μὴ αὐτὸ ἐκεῖνο ὑπόκειται τοῖς γινομένοις, εἰ
μή τις καὶ τοὺς ἐντὸς τοῦ οἴκου πάντας ἐξ ἑνὸς στοιχείου εἶναι λέγοι

---

1 ἔνεστι t: ἓν ἐστι LKM 2 συνερχόμενα K ἢ (ante λίθον) om. K 3 ὁμοιομερειῶν L 4 ὁ (post οὖν) om. L ἐμπεδοκλῆς M 5 δὴ] malim δὲ πολυθρύλλητα libri 6 τέσσαρα scripsi: δ K: α L: πρῶτα Mt at cf. Emped. v. 55 Karst. 33 St. 7 ἀλλ' οὐκάμα K γὰρ om. L 11 καὶ (ante ἐκ) videtur recte omittere K 12 γινόμενα Mt: γενόμενα L: om. K 13 γὰρ ταῦθ' L 14 ἢ καὶ LK: καὶ Mt 15 μεταβαλλόντος (sic) K 17 εὑρηκὼς K 18 διεσπαρμένα LK: διεσπασμένα Mt 19 ἐκπυρηνιζόμενα (cf. q 2v3. 3r29 sqq.) L: ἐκπυριγιζόμενα K: ἐκπυρρηνιζόμενα M: ἐκπυρρηνιζόμενα t 20 πυρῆνες L: πύρηνες K: πυρρῆνες M: πυρρῆνες t ἐνυπάρχοντε K 25 λέγουσι γίνεσθαι K 26 κατ' αὐτὸν] κατὸν (sic) K 27 ὄντος ἐν αὐτῷ τε πάντα περιέχοντος L 28 γὰρ om. K 28. 29 ἢ ἔκκρισου (sic) καὶ ἔκφασιν K 30 τὰ ἑαυτοῦ θέσει K ἂν om. Mt εἴη ἔτι εἴη K τῶν om. L ἁπάντων et in proximis εἰ γὰρ μὴ K 32 τοῦ om. K λέγοι L: λέγει KMt

www.libtool.com.cn

τοῦ περιέχοντος οἴκου. μᾶλλον οὖν εἰς τὴν Ἀναξαγόρου δόξαν ἐκπίπτει c 1v
ταῦτα λέγων.

Ταῦτα δὲ εἰπὼν ὁ Ἀριστοτέλης, τρέπεται ἐπὶ τὸν ἔλεγχον τῆς Ἀναξαγόρου δόξης, ἀλλὰ πρὶν εἰς τοὺς ἐλέγχους εἰσβαλεῖν, λέγει πόθεν καὶ ἐκ ποίας ἐννοίας κινηθεὶς ὁ Ἀναξαγόρας, οὕτως ἐδόξασε πάντα ἐν πᾶσιν εἶναι καὶ μηδὲν εἶναι εἰλικρινὲς ὅπερ ἐστί. φησὶν οὖν ὅτι διὰ δύο αἰτίας· μίαν μὲν τὸ νομίζειν τὴν κοινὴν πάντων τῶν φυσικῶν δόξαν ἀληθῆ εἶναι, ὅτι οὐδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται, ἀλλὰ πάντα τὰ γινόμενα ἔκ τινος ὄντος γίνεται. ἐχρήσατο οὖν τοιούτῳ συλλογισμῷ· πάντα τὰ γινόμενα ἢ ἐξ ὄντων ἢ ἐξ οὐκ ὄντων γίνεται (καὶ δῆ|λον ὅτι περὶ τὴν διαίρεσιν αὐτῷ γέγονεν ἡ c 2r
αἰτία τῆς πλάνης, τῷ παραλιπεῖν τι μόριον τῆς διαιρέσεως· τὸ γὰρ γινόμενον πᾶν ἢ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γενήσεται, ἢ ἐκ τοῦ ἁπλῶς ὄντος, ἢ ἐκ τοῦ πῇ μὲν ὄντος πῇ δὲ μὴ ὄντος. τὸ τρίτον οὖν τμῆμα παραλιμπάνων, ὅπερ καί ἐστιν ἀληθές, εἰς τὴν πλάνην ταύτην ἐξέπεσεν), εἰ οὖν ἢ ἐξ ὄντων μόνων ἢ ἐξ οὐκ ὄντων γίνεται τὰ γινόμενα, ἐκ μὴ ὄντων δὲ ἀδύνατον διὰ τὸ κοινὸν ἀξίωμα, ἐξ ὄντων ἄρα. ἀλλ' εἰ ἐξ ὄντων, ἢ ἐξ ὁμοειδῶν ἢ ἐξ ἑτεροειδῶν· ἐξ ἑτεροειδῶν μὲν ἀδύνατον (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἵππος ἵππον, ἄνθρωπος δὲ ἵππον οὐκέτι), εἰ δὲ ἐξ ὁμοειδῶν, ἀνάγκη πᾶσα, ὅταν ἴδωμεν ὁστοῦν ἐκ σαρκὸς γινόμενον, ἐπεὶ μὴ δυνατὸν τὰ ἑτεροειδῆ γεννᾶν ἄλληλα, ἐνυπάρχειν ἐν τῇ σαρκὶ τὸ ὁστοῦν ὅπερ ἐξ αὐτῆς γεγενῆσθαι. οὕτω καὶ ἐπὶ πάντων. ἐπεὶ οὖν πᾶν ἐκ παντὸς γίνεται ἤτοι κατὰ πρώτην γένεσιν, ἤτοι διὰ πλειόνων (ἐκ τοῦ ἄρτου γὰρ αἷμα καὶ ἐξ ἐκείνου σάρξ, εἶτα πολλάκις ἐκ σαρκὸς ὁστοῦν ἢ ἕτερόν τι· σηπομένης γὰρ γένοιτο ἂν ἐξ αὐτῆς ὕδωρ ἢ πῦρ ἢ γῆ ἢ σκώληξ ἢ ἄλλο ὁτιοῦν), ἀνάγκη πᾶσα πάντα ἐν πᾶσι μεμῖχθαι νομίζειν· οὐδὲ γὰρ ἐπέστησε τῷ κοινῷ ὑποκειμένῳ, διόπερ συμβαίνει πᾶν ἐκ παντὸς γίνεσθαι. πρῶτον μὲν οὖν τοῦτο ἔπεισε τὸν Ἀναξαγόραν ταύτῃ τῇ δόξῃ συνθέσθαι, δεύτερον δὲ τὸ ὁρᾶν ἐξ ἀλλήλων τὰ ἐναντία γινόμενα· θερμὸν γὰρ ἐκ ψυχροῦ γίνεται καὶ ξηρὸν ἐξ ὑγροῦ, λευκὸν ἐκ μέλανος καὶ τὰ λοιπά. ἐπεὶ οὖν τὰ ἐναντία οὐδέποτε γεννητικὰ τῶν ἐναντίων γένοιντο (φθαρτικὸν γὰρ μᾶλλον τὸ ἐναντίον τοῦ ἐναντίου, μή τοί γε γεννητικόν), ἀνάγκη πᾶσα ἐν τῷ ψυχρῷ σώματι ἐνυπάρχειν θερμὰ σωμάτια, ὧν ἐκκρινομένων τὴν γένεσιν τοῦ θερμοῦ γί-

---

4 εἰσβαλεῖν (cf. p. 20,21. 90,4. 12 r 37) L: εἰσκαλεῖν K: ἐμβαλεῖν (cf. p. 33,2. n 1 r 46. p 7 r 3) Mt ἐννοίας K: αἰτίας LMt at cf. p. 94,18. 96,4 7. 8 οὐδὲν ἐκ τοῦ μὴ, μηδαμῶς ὄντως (ὄντως etiam L) K 8. 9 ἔκ τινος — γινόμενα om. K 9 ἐχρήσατο κτλ.] cf. Themist. p. 125,17 (Simplic. p. 162,27) 10 γίνεσθαι K αὐτ^ω K 11 τῷ Mt: τὸ LK 12 γεννήσεται K 13. 14 παραλιμπάνον L 14 καί om. K ἢ om. K 15 μόνον K γίνεσθαι τὰ γινόμενα κατ' αὐτόν K 17 ἐξ ἑτεροειδῶν altero loco om. LK 17. 18 ἄνθρωπος γὰρ — γεννᾷ] cf. ex. gr. Arist. Phys. B 7 p. 198ª26 20 ἄλληλαμὲνὑπάρχειν K 21 γεγενῆσθαι LM: γεγεννῆσθαι K: γεγένηται correxit t 22 κατὰ τὴν πρώτην K: num κατὰ μίαν? 27 οὖν om. LK 28 τὸ] τῷ K γίνεται] γίνεσθαι K 30 γεννητικὰ K γένοιντο LK: γένοιτο Mt: deest ἂν 31 μή τοι γε L: μή τι KMt 32 ἐνυπάρχειν et in proximis ἐκκρινομένων K

www.libtool.com.cn

νεσθαι. ἀνάγκη οὖν τὰς ἐναντιότητας ἅμα εἶναι ἐν τοῖς αὐτοῖς, λέγεσθαι e 2r
δὲ ἕκαστον ἐκ τῆς ἐπικρατούσης· θερμὸν γὰρ λέγεται, ἐν ᾧ πλείονα τὰ θερμὰ σώματα. ὁμοίως ψυχρὸν λευκὸν καὶ τὰ λοιπά. ταῦτα εἰπών, οὕτω λοιπὸν εἰς τοὺς ἐλέγχους εἰσβάλλει.

Ὡς δὲ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσί. δεῖ προσυπακοῦσαι ὡς οἱ φυσικοὶ λέγουσιν ἓν εἶναι τὸ ὄν· κατὰ κοινοῦ γὰρ τὸ ἓν εἶναι τὸ ὄν. ἐπισημειωτέον ὅτι ἀντιδιαστέλλει τοὺς περὶ Μέλισσον καὶ Παρμενίδην τοῖς φυσικοῖς, δηλονότι μὴ περὶ φυσικῶν πραγμάτων οἰόμενος ἐκείνους διαλέγεσθαι, ἀλλ' ἢ θεολογεῖν ἢ περὶ ἑτέρων τινῶν διαλέγεσθαι. ἤλεγξε δὲ αὐτὸς τοὺς λόγους διὰ τὸ μή τινας ὑπολαβεῖν περὶ τῶν φυσικῶν ἐκείνοις εἶναι τὸν λόγον, εἶτα τῇ ἀξιοπιστίᾳ τῶν προσώπων εἰς ψευδεῖς ὑπονοίας περὶ τῶν πραγμάτων παρασυρῆναι.

p. 187a12 Οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον, ἢ τῶν τριῶν τι ἢ ἄλλο.

Οἱ μὲν τῶν φυσικῶν, φησίν, ἓν ποιήσαντες τὸ ὄν, τουτέστι μίαν τὴν ἀρχὴν πάντων καὶ τὸ ὑποκείμενον ποιήσαντες, καὶ τοῦτο οὐκ ἀσώματόν τι, ἀλλὰ σῶμα κατ' ἐνέργειαν, καὶ σῶμα ἢ ἕν τι τῶν τριῶν στοιχείων πυρὸς ἀέρος ὕδατος, ἢ ἄλλο τι παρὰ ταῦτα μεταξὺ τούτων, οἷον ὑπετίθετο ὁ Ἀναξίμανδρος, τὰ ἄλλα σώματα γεννῶσιν ἐκ τοῦ κατ' αὐτοὺς στοιχείου πυκνουμένου ἢ μανουμένου. εἰπὼν δὲ 'οἱ μὲν τῶν φυσικῶν ἓν ποιήσαντες τὸ ὂν πυκνότητι καὶ μανότητι τὰ ἄλλα γεννῶσι', τὴν ἀνταπόδοσιν οὐκ εὐθὺς ἐπήγαγεν, ἀλλὰ μετ' ὀλίγον ἔνθα φησίν· "οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν". οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν οὐ δοκεῖ οἰκείως τῇ ἀνταποδόσει κεχρῆσθαι· εἰπὼν γὰρ οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὄν, ἀνταποδιδοὺς πρὸς τοῦτό φησιν "οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας" καὶ τὰ ἑξῆς. ἀκόλουθον δὲ ἦν τῷ εἰπόντι οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὄν, ἀνταποδιδόντι εἰπεῖν 'οἱ δὲ πολλὰ ποιήσαντες'. δεῖ οὖν μικρὸν μεταρρυθμίσαι τὴν λέξιν, ἵνα τὴν ἀκόλουθον ἀνταπόδοσιν ἴδωμεν. οὕτως οὖν ὑπερβιβαστέον τὴν λέξιν· 'ὡς δὲ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν· ἓν γὰρ ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον καὶ τὰ ἑξῆς,

---

1 αὐτοῖς] ἀνοις (h. e. ἀνθρώποις) K 5 Ὡς δὲ — εἰσί om. K 6 οἱ σοφιστικοὶ K 6. 7 κατὰ — ὄν om. L 6 κατὰ κοινοῦ corr. ex κατοινοῦ K γὰρ τὸ K: γὰρ Mt 7 τὸ ὄν om. K ἐπεὶ σημειωτέον K δὲ ὅτι fort. recte Mt ἀντιδιαστέλλει L: ἀντίδιαστέλλει K: ἀντιδιαστέλλει M: διαστέλλει t 9 τινῶν om. K 10 τὸ om. Mt ὑπολαμβάνειν K 11 ψεῦδος L 12 ὑποσυρῆναι L 13. 14 -μα τὸ ὑποκείμενον — ἄλλο om. K 15 ποιήσαντές φησιν ἓν Mt ὄν LK: πᾶν Mt 16 τὴν om. Mt 18 παρὰ] περὶ L 21 πυκνότητα et in proximis ante corr. μανότητα L οὐκ ponit post εὐθὺς L 23 ἐκκρίνουσιν hic et infra p. 93,13. 17: ἐκκρίνεσθαι (cf. p. 91,2) Aristoteles 24 ἀνταποδώσει K 25 ἀνταποδιδοὺς] ἀνταποδίδωσι L φησι ante πρὸς τοῦτο colloc. Mt καὶ φησιν L² 27 τὸ ὄν om. Mt ἀνταπόδοσιν εἰπεῖν L 28 μεταρυθμίσαι M: μερυθμῖσαι K ἀνταπόδωσιν K 29 ὑπερβιβαστέον τῇ λέξει K

www.libtool.com.cn

τὰ ἄλλα γεννῶσιν, οἱ μὲν πυκνότητι καὶ μανότητι, οἱ δὲ ἐκ τοῦ ἑνὸς c 2r
ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι λέγουσι'. τὸ δὲ "ὡς οἱ φυσικοὶ λέ- 40
γουσιν" οὐκ ἔστι καθόλου κατὰ πάντων τῶν φυσικῶν· δῆλον γὰρ ὅτι ὡς
οἱ φυσικοὶ οἱ ἓν εἶναι τὴν ὑποκειμένην ὕλην ὑποτιθέμενοι. καὶ πρὸς τοῦτο
5 δὲ τὴν ἀνταπόδοσιν ἐπάγει λέγων "ὅσοι δὲ ἓν καὶ πολλά".

Ταῦτα δέ ἐστιν ἐναντία. εἰπὼν ὅτι μίαν μὲν ὑποτίθενται τὴν ὕλην καὶ τὸ ὑποκείμενον, πυκνότητι δὲ καὶ μανότητι γεννῶσι τὰ ἄλλα, ἐπίτηδες ἐπισημειοῦται ὅτι ταῦτα δέ, ἡ πυκνότης καὶ ἡ μανότης, ἐναντία ἐστίν, ἐπειδὴ χρησιμεύει αὐτῷ τοῦτο εἰς τὴν αὐτοῦ δόξαν· μέλλει γὰρ καὶ αὐτὸς
10 ἐφεξῆς τὰ ἐναντία μετὰ τῆς ὕλης ἀρχὰς ὑποτίθεσθαι. διὰ τοῦτο οὖν ἐπι- 45
σημειοῦται ὅτι καὶ οἱ πρὸ αὐτοῦ φυσικοί, εἰ καὶ μὴ ἀκριβῶς, ὅμως περιεφαντάζοντο τὰς τῷ ὄντι ἀρχὰς τῶν ὄντων τὰ ἐναντία· εἰ γὰρ λέγουσι πυκνότητι καὶ μανότητι γεννᾶσθαι ἐκ τοῦ κατ' αὐτοὺς ὑποκειμένου τὰ ἄλλα, πυκνότης δὲ καὶ μανότης ἐναντία ἐστίν, ἐκ τῶν ἐναντίων ἄρα τὴν γένεσιν
15 εἶναι ὑπετίθεντο.

p. 187a16 Καθόλου δὲ ὑπεροχὴ καὶ ἔλλειψις, ὥσπερ τὸ μέγα φησὶ Πλάτων καὶ τὸ μικρόν.

Ἐπειδὴ εἶπεν ὅτι οἱ φυσικοὶ ὡς ἀρχὰς εἰδοποιοὺς τῆς ὕλης λαμβά- 50
νουσι τὰ ἐναντία, οἷον ἐπὶ μίαν ἐναντίωσιν καθολικωτέραν ἀνάγει πάντα
20 τὰ ἐναντία περιέχουσαν ἐν ἑαυτῇ πάσας τὰς ἐναντιώσεις, τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν. καὶ ἔστιν ὅλος ὁ λόγος τοιοῦτος· οἱ ἓν ποιοῦντες τὸ ὑποκείμενον σῶμα πυκνότητι καὶ μανότητι ἐξ αὐτοῦ τὰ ἄλλα γεννῶσι, ταῦτα δὲ ἐναντία εἰσίν· ὥστε ἐναντίας ὑποτίθενται τὰς εἰδοποιοὺς τῶν ὄντων ἀρχὰς οἱ φυσικοί. καὶ ἵνα κοινῶς περιλάβωμεν κατὰ ποίαν ἐναντίωσιν
25 πάν|τες τὴν γένεσιν τῶν ὄντων ἐκ τῆς κατ' αὐτοὺς ὕλης ἔλεγον γίνεσθαι, c 2r
φαμὲν ταύτην εἶναι τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν· κοινοτέρα γὰρ αὕτη τῶν ἐναντίων ἡ ἀντίθεσις καὶ ἐν ἑαυτῇ τὰς ἄλλας περιέχουσα. τοιαῦται γοῦν εἰσι καὶ αἱ Πλάτωνος ἀρχαὶ τὸ μέγα καὶ τὸ μικρόν, ὧν τὸ μέν ἐστιν ὑπεροχὴ τὸ μέγα, τὸ δὲ ἔλλειψις τὸ μικρόν, εἰ καὶ διαφόρως ὑπετίθεντο
30 τὸ ἓν καὶ τὰ ἐναντία ὅ τε Πλάτων καὶ οἱ ἄλλοι, ὡς ἐφεξῆς ἐρεῖ. ὑπερο- 5
χὴν δὲ καὶ ἔλλειψίν φησι τὰ ἐναντία ἢ κατὰ τὸ κρεῖττον καὶ χεῖρον τῶν ἐναντίων (ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς ὅτι τὸ μὲν χεῖρον τῶν ἐναντίων στερήσει ἀναλογεῖ, τὸ δὲ κρεῖττον εἴδει· καὶ ἐνταῦθα οὖν τὸ μὲν χεῖρον, οἷον

---

4 τιθέμενοι K 5 ἐπάγοι K ὅσοι uno ductu M: ὅτι (quod et Brandisio fraudi fuit *Scholl.* p. 334b47) t 7 πυκνότητα et μανότητα ante corr. L 8 ταῦτα δὴ ἡ L 9 αὐτῷ] αὐτὸ K αὐτοῦ libri 10 ἐφεξῆς] cf. A 7 p. 191a12 sqq. 13 γενᾶσθαι K 15 ὑπετίθετο K 16 δ' ὑπεροχὴ t 16. 17 ἔλλειψις — μικρόν om. K 17 φησὶ γ' ὁ πλάτων t 21 ὁ λόγος ὅλος L 23 ὄντων] λόγων ante corr. L 24 παραλάβωμεν K 25 γέννεσιν (sic) K 26 ταύτην τὴν ὑπεροχὴν εἶναι Mt 27 τοιαῦτα K 28 γοῦν LK: οὖν Mt 32 ἐν τοῖς ἑξῆς] cf. ad f 4r 29 ἐν om. K 32. 33 στερήση et in proximis εἴδη K 33 τὸ μὲν χεῖρον οἷον LK: οἷον τὸ χεῖρον M: τὸ χεῖρον οἷον t

www.libtool.com.cn

τὸ μέλαν, ἔλλειψις ἂν εἴη, τὸ δὲ κρεῖττον, οἷον τὸ λευκόν, ὑπεροχή), ἢ c 2v
οὖν οὕτως, ἢ ἵνα τῶν ἰσορρόπων ἐναντίων τὸ μὲν ἐν μείζονι ὄγκῳ ὑποκεί-
μενον ὑπεροχὴν εἴποιμεν, τὸ δὲ ἐν ἐλάττονι ἔλλειψιν. οἷον ἐὰν λάβωμεν
ἀέρα καὶ γῆν τοσοῦτον κινούμενον τὸν ἀέρα ἐπὶ τὸ ἄνω ὅσον τὴν γῆν ἐπὶ 10
5 τὸ κάτω, καὶ συντόμως εἰπεῖν ἵνα λάβωμεν ἰσοταχῶς τὰς ἐναντίας κινού-
μενα κινήσεις, ὁ μὲν ἀὴρ ἐν μείζονι ὢν ὑποκειμένῳ ὑπεροχὴ ἂν εἴη κατὰ
τὸν ὄγκον, ἡ δὲ γῆ ἐν ἐλάττονι οὖσα ὄγκῳ ἔλλειψις· διότι καὶ τὸ βαρὺ
σῶμα μεταβάλλον εἰς τὸ κοῦφον μανούμενον ὄγκον πάντως μείζονα λαμ-
βάνει, τὸ δὲ κοῦφον μεταβάλλον εἰς τὸ βαρὺ ἥττονα. ἐὰν οὖν ἰσόρροπα
10 ὦσι κατὰ τὰς οἰκείας ῥοπάς, ἐξ ἀνάγκης τὸ κοῦφον μείζονα σχήσει ὄγκον.
τὸ αὐτὸ δὲ εἴποι ἄν τις καὶ ἐπὶ λευκοῦ καὶ μέλανος καὶ τῶν λοιπῶν 15
ἐναντίων· τὸ γὰρ ἐκ μέλανος λευκὸν γινόμενον ἴσως μὲν καὶ μανότερον
γενήσεται κατὰ τὸ ὑποκείμενον, πλὴν ἐπεὶ τὸ λευκὸν διακριτικὸν τὸ δὲ
μέλαν συγκριτικόν, εἴη ἂν τὸ μὲν λευκὸν ὑπεροχή, ὡς αἴτιον ταύτης, τὸ
15 δὲ μέλαν ἔλλειψις, ὡς συγκριτικόν. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ἴσως
δὲ οὐδὲ δεῖ ἐπὶ πάντων ἁπλῶς τῶν ἐναντίων τὸν λόγον ἐκλαβεῖν, ἀλλ' ἐπὶ
τούτων ἅπερ ἐστὶν αἴτια γενέσεως καὶ φθορᾶς.

p. 187a18 Πλὴν ὁ μὲν ταῦτα ποιεῖ ὕλην τὸ δὲ ἓν τὸ εἶδος, οἱ δὲ 20
τὸ μὲν ἓν τὸ ὑποκείμενον ὕλην, τὰ δὲ ἐναντία διαφοράς.

20 Ὁμοίως μὲν ὅ τε Πλάτων καὶ ὅσοι ἓν μὲν ὑπέθεντο τὸ στοιχεῖον,
πυκνώσει δὲ καὶ μανώσει τὰ ἄλλα ἐξ αὐτοῦ ποιοῦσι, τρεῖς ἀρχὰς τίθενται
τά τε ἐναντία καὶ τὸ ἕν (ὥσπερ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐφεξῆς τίθεται),
ἐναντίως μέντοι τοῖς ἄλλοις ὁ Πλάτων περὶ τοὺς τρόπους τῶν ἀρχῶν τού-
των ἠνέχθη. οἱ μὲν γὰρ ἄλλοι τὴν μὲν ὕλην καὶ τὸ ὑποκείμενον τὸ ἓν 25
25 λέγουσι, τὰ δὲ ἐναντία εἰδοποιοὺς διαφορὰς τοῦ ὑποκειμένου (κρατούμενον
γὰρ τὸ ὑποκείμενον ποτὲ μὲν τῇ πυκνώσει ποτὲ δὲ τῇ μανώσει, οὕτω γεννᾶν
τὰ σώματα), Πλάτων δὲ ἔμπαλιν τὰ μὲν ἐναντία, λέγω δὲ τὸ μέγα καὶ
τὸ μικρόν, ὕλην ποιεῖ, τὸ δὲ ἓν τὸ εἶδος τὸ τῇ ὕλῃ ἐπιγινόμενον καὶ ποιοῦν
τὰ σώματα. ἴσμεν δὲ ὅτι Πυθαγόρειος ὁ Πλάτων, συμβολικῶς δὲ πάντα
30 οἱ Πυθαγόρειοι ἔλεγον, ἐπεὶ κἀκεῖνοι τὴν ἀόριστον δυάδα τὴν ὕλην καλοῦσιν.
ἐπειδὴ γὰρ ὁριστικὸν μὲν καὶ ἑνοποιοῦν τὸ εἶδος, ἀόριστος δὲ ἡ ὕλη καὶ 30

---

3 ὑπεροχῆς K 3. 4 λάβωμεν ἄκρα καὶ γῆν K 5 ἰσοτάχως K 10. 11 -εί̄ζονα σχήσει — τις in ras. K 11 ἄν τις εἴποι (εἴπη t) Mt 12 γενόμενον et μανώτερον L 14 εἴη om. K 16 οὐδὲ δεῖ K: οὐδὲ Mt et, si silentio fides, L ante ἐκλαβεῖν inserit δεῖ t ἐκβαλεῖν K 17 γενέσεως αἴτια K 18 πλὴν LM: πλὴν ὅτι ex Aristotele t et, si silentio fides, K at cf. Simplic. p. 150,7 τὸ δὲ] οἱ δὲ M 18. 19 τὸ εἶδος — διαφοράς om. K 19 δ' ἐναντία Mt διαφορὰς καὶ εἴδη t

20 ὑπέθετο K 21 ἐξ αὐτοῦ ποιοῦσι LK: γεννῶσιν ἐξ αὐτοῦ Mt 22 ἐφεξῆς c. 6 τίθεται LK: τίθησιν Mt 27 λέγω δὲ τὸ] λέγει· τὸ δὲ L 28. 29 ποιοῦντα σώματα K 29 πυθαγόριος et in proximis πυθαγόροι (sic) K 30 τὴν ἀχώριστον (lacuna) ἁδα τὴν ὕλην K 31 μὲν om. Mt

www.libtool.com.cn

σκεδασμοῦ τοῖς εἴδεσιν αἰτία (ἀδιάστατα γὰρ ὄντα φύσει δεξαμένη διίστησι· τὸν γὰρ τοῦ ἀνθρώπου λόγον ἀμερῆ καὶ ἀδιάστατον ὄντα καθ' αὑτὸν δεξαμένη διίστησιν εἰς διάφορα κατατέμνουσα μόρια· τὸ τυχὸν γοῦν τοῦ σπέρματος μεῖναν τὸν ὅλον ἄνθρωπον γεννᾷ, ὡς ἅτε δὴ ἀμερίστως ἐν παντὶ τῷ σπέρματι καὶ τῷ τυχόντι αὐτοῦ μορίῳ τῶν λόγων τοῦ ζῴου ἐνόντων), διὰ τοῦτο διὰ τῆς δυάδος τὴν ὕλην ᾠνίττοντο, εἶτα ἐπειδὴ τῶν ἄλλων ποιοτήτων πρῶτον ἡ ὕλη δέχεται τὸ ποσόν (πρῶτον γὰρ ποσοῦται καὶ γίνεται τριχῇ διαστατή), διὰ τοῦτο τὴν δυάδα μέγα καὶ μικρὸν ἐκάλεσεν ὁ Πλάτων. ὥστε διὰ μὲν τὸ ἀόριστον τῆς ὕλης καὶ μηδένα οἰκεῖον ὅρον ἔχειν, δυάδα αὐτὴν ἐκάλεσε (πρώτη γὰρ ἀπὸ τῆς μονάδος ἡ δυὰς τὴν διαίρεσιν ἐδέξατο), διὰ δὲ τὸ πρώτως δέχεσθαι τὸ ποσὸν καὶ προσεχέστατον εἶναι τοῦτο τῆς ὕλης εἶδος, μέγα καὶ μικρόν· ταῦτα γὰρ τοῦ ποσοῦ.

p. 187a20 Οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν, ὥσπερ Ἀναξίμανδρός φησι.

Τοῦτο συνεχὲς πρὸς τὸ ἄνω· 'ἓν γὰρ ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον οἱ μὲν τὰ ἄλλα γεννῶσι πυκνότητι καὶ μανότητι', εἶτα ἡ ἀνταπόδοσις ἐνταῦθα· οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν, οἷος ἦν ὁ Ἀναξίμανδρος· ἐνυπάρχειν γὰρ ἔλεγεν ἐν τῷ μεταξύ, ὅπερ ἦν κατ' αὐτὸν στοιχεῖον, τὰ ἐναντία ἐνεργείᾳ.

p. 187a21 Καὶ ὅσοι δὲ ἓν καὶ πολλά φασιν εἶναι, ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας· ἐκ τοῦ μίγματος γὰρ ἐκκρίνουσι τὰ ἄλλα.

Εἰπὼν ὅτι ὁ Ἀναξίμανδρος ἐκ τοῦ ἑνὸς ἐκκρίνει τὰς ἐναντιότητας, ἵνα σαφέστερον παραστήσῃ ἡμῖν πῶς ἔλεγεν ἐκκρίνεσθαι ἐκ τοῦ ἑνὸς τὰ ἐναντία, διὰ τοῦτο ὡς ἐν παραδείγματι μέμνηται τῆς Ἐμπεδοκλέους καὶ Ἀναξαγόρου δόξης, καὶ ὅπως οὗτοι ἐξ ἀλλήλων ἐκκρίνεσθαι ἔλεγον τὰ κατ' αὐτοὺς στοιχεῖα. ἐκ τοῦ μίγματος γὰρ ἐκκρίνουσι τὰ ἄλλα· ὁ μὲν Ἀναξαγόρας τὸ πρὶν ἐμμιχθείσας πάσας ἅμα τὰς ὁμοιομερείας ἐκ τοῦ μίγματος ἐκείνου ἐκκρῖναι αὐτὰς τὸν νοῦν, καὶ νῦν δὲ ἀεὶ ἐκκρίνεσθαι ἐξ

---

1 φύσει om. L 1. 3 διίστησι — δεξαμένη om. K 4 τὸν ὅλον τὸν K γεννᾶν K ἅτε] ὅτ charta perforata M: om. t 5 ἐνόντων Kt: ἓν ὄντων LM 6 ᾠνίττοντο (sc. Pythagorei) LK: ᾠνίξατο Mt 7 πρῶτον μὲν γὰρ L ποσοῦτε K 9. 10 δυάδα δὲ αὐτὴν K 11 τὸν ποσὸν K προσεχέστατον scripsi: προσέσχατον K: πρὸς ἔσχατον LMt 13 Οἱ] εἰ corr. L: ·ι (ο rubr. addend.) K 13. 14 τὰς ἐναντιότητας — φησι om. K ἐκκρίνουσιν] cf. ad p. 90,23 16. 17 πυκνώτητι et ἐναντιώτητας K 19 κατ' αὐτὸ K 20. 22 εἶναι — τὰ ἄλλα om. K 20 εἶναι τὰ ὄντα t et Aristotelis cod. E 21 γὰρ καὶ οὗτοι Aristotelis libri (praeter F) 23 ἀναξύμανδρος K 24 ὑμῖν L 25 τῆς om. L ἐμπεδοκλέου K 28 ἐμιχθείσας K πάσας om. Mt 29 post ἐκείνου excidisse videtur φησὶν

www.libtool.com.cn

ἀλλήλων (ἕκαστον γὰρ μῖγμά τι εἶναί φησι πολλῶν ὁμοιομερειῶν), ὁ δὲ c 2v
Ἐμπεδοκλῆς καὶ αὐτὸς μὲν τὴν ἀρχὴν ἐκ τοῦ σφαίρου ἐκκρίνει τὰ στοιχεῖα,
καὶ νῦν δὲ ἐμμεμῖχθαί φησιν ἐν ἀλλήλοις τὰ στοιχεῖα τὰ τέσσαρα, οὐ
μέντοι πάντα ὡς Ἀναξαγόρας ἔλεγεν, εἶτα κατ' ἔκκρισιν γίνεσθαι ἐξ ἀλλή-
5 λων ὅνπερ εἴπομεν τρόπον. διαφέρουσι δὲ ἀλλήλων | ὅ τε Ἀναξαγόρας c 3r
καὶ ὁ Ἐμπεδοκλῆς ὅτι ὁ μὲν Ἀναξαγόρας ἅπαξ τὸν νοῦν φησιν ἐκ τοῦ
μίγματος τοῦ πρώτου ἀρξάμενον διακρίνειν εἰσαεὶ τοῦτο ποιεῖν, καὶ μηκέτι
ἐνδέχεσθαι πάλιν ἓν μῖγμα πάντα γενέσθαι, ὁ μέντοι Ἐμπεδοκλῆς πολλάκις
τοῦτο ποιεῖ· ποτὲ μὲν γὰρ ἐκ τοῦ σφαίρου ἐκκρίνεσθαι τὰ στοιχεῖα, ποτὲ
10 δὲ πάλιν τὰ στοιχεῖα συγκρίνεσθαι εἰς τὸν σφαῖρον, καὶ τοῦτο ἐπ' ἄπειρον
ἀνακάμπτειν κατά τινα περίοδον. πρώτη μὲν οὖν διαφορὰ Ἐμπεδοκλέους 5
καὶ Ἀναξαγόρου αὕτη, ἑτέρα δὲ ὅτι ὁ μὲν Ἀναξαγόρας τὰ κατ' αὐτὸν
στοιχεῖα, λέγω δὴ τὰς ὁμοιομερείας, ἄπειρα ἔλεγεν, ὁ δὲ Ἐμπεδοκλῆς τὰ
τέσσαρα ταῦτα στοιχεῖα πῦρ ἀέρα ὕδωρ καὶ γῆν. καλούμενα δὲ αὐτὰ
15 εἶπεν, διότι οὐκ ἔστι κυρίως στοιχεῖα (οὐδὲ γάρ εἰσιν ἁπλᾶ, ἀλλὰ σύνθετα),
κυρίως δὲ στοιχεῖα ἡ ὕλη καὶ τὸ εἶδος.

p. 187a26 Ἔοικε δὲ Ἀναξαγόρας ἄπειρα οὕτως οἰηθῆναι.

Ἐντεῦθεν βούλεται ἐκθέσθαι ἐκ ποίας ἐννοίας ὁρμηθεὶς ὁ Ἀναξαγόρας 11
ἄπειρά τε ὑπέθετο εἶναι τὰ ὁμοιομερῆ καὶ πάντα ἐν πᾶσι μεμῖχθαι. καί
20 φησιν ὅτι διὰ τὸ νομίζειν ἀληθῆ εἶναι τὴν τῶν φυσικῶν δόξαν, ὅτι οὐδὲν
ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται, ὥστε δεῖ προϋπάρχειν τὸ γινό-
μενον· εἰ δὲ τοῦτο, ἔκκρισις ἄρα ἐστὶν ἡ γένεσις. διὰ τοῦτο μὲν οὖν πάντα
ἐν πᾶσι μεμῖχθαι ἔλεγε, διότι ἑώρα πᾶν ἐκ παντὸς γινόμενον· διότι δὲ 15
ὑπελάμβανεν ἀΐδιον εἶναι τὴν γένεσιν καὶ μὴ ὑπολείπειν, ἀπείρους ὑπετί-
25 θετο τὰς ὁμοιομερείας ἐν ἑκάστῳ, ἵνα μὴ ὑπολείπῃ ἡ γένεσις, ταὐτὸν δὲ
εἰπεῖν ἡ ἔκκρισις.

p. 187a29 Διὰ τοῦτο γὰρ οὕτω λέγουσιν, ἦν ὁμοῦ πάντα, καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι. οἱ δὲ σύγκρισιν καὶ διάκρισιν.

30 Διὰ τὸ ὑπολαμβάνειν, φησί, τοὺς φυσικοὺς μηδὲν ἐκ τοῦ μηδαμῇ μη-
δαμῶς ὄντος γίνεσθαι, λέγουσιν ὅτι ἦν ὁμοῦ πάντα. ὁμοῦ δὲ πάντα λέγει 20

---

1 ὁ δὲ K: ὅτι δὲ LMt 3 τὰ ō στοιχεῖα L 6 καὶ — ἐκ in erasis K ὁ (post καὶ) om. K μὲν om. Mt 7 καὶ εἰσαεὶ Mt 8 ἐν μίγμα γενέσθαι πάντα K 9 γὰρ om. L 10 συγκρίνεσθαι L τοῦτο om. L 11 ἀνακάπτειν περί τινα K ἐμπεδοκλέος K 13. 14 τὰ ō ταῦτα στοιχεῖα K: τὰ ō στοιχεῖα L: om. Mt 14 καὶ (ante γῆν) om. K καλοῦμεν K 14. 15 εἶπεν αὐτά Mt 15 ἔστι] εἰσὶ K 17 ἄπειρα — οἰηθῆναι om. K οὕτως ἄπειρα e vulgo Aristotele t 19 ὑπετίθετο L ὁμοιομερεῖ K 20 νομίζῃ K 21 ὄντος γίνεται Mt: ὄντως γίνεται K: ὄντως γίνεσθαι L 24 ἀπολείπειν Mt 27. 29 ἦν — διάκρισιν om. K 27 ἦν] ἵν' L πάντα LM: τὰ πάντα e vulgo Arist. t 31 ὄντως L

www.libtool.com.cn

μάλιστα μὲν Ἀναξαγόρας, ἔπειτα δὲ καὶ Ἀναξίμανδρος· ἐν τῷ μεταξὺ γὰρ c 3r
πάντα ὑπάρχειν φησί, γίνεσθαι δὲ ἐξ αὐτοῦ τῇ ἐκκρίσει οὐ μεταβάλλοντος
τοῦ μεταξύ, ἀλλ' ἐκκρινομένων ἐξ αὐτοῦ τῶν ἄλλων. καὶ Ἐμπεδοκλῆς δὲ
ἐνυπάρχειν φησὶν ἐν ἀλλήλοις τὰ στοιχεῖα, ἅπερ καὶ ἀρχὰς καὶ "ῥιζώματα
5 πάντων" ἔλεγε, καὶ ὅταν ἐξ ὕδατος δὲ γίνηταί τι τῶν ἄλλων, οὐ μεταβάλ-
λειν τὸ ὕδωρ εἰς ἐκεῖνο, ἀλλ' ἐκκρίνεσθαι ἐξ αὐτοῦ ἐνυπάρχον, καὶ ἐπὶ τῶν
λοιπῶν ὁμοίως. καὶ ἐν τῷ σφαίρῳ πάντα, φησίν, ἐνυπῆρχεν οὐ μόνον τὰ 25
στοιχεῖα ἅπερ καὶ νῦν ἐν ἀλλήλοις ἐνυπάρχειν, ἀλλὰ καὶ τὰ τῶν συνθέτων
εἴδη ἐν τῷ σφαίρῳ ἐνυπῆρχε, τοῦ νείκους δὲ ἐπικρατήσαντος ἐξεκρίθησαν
10 ἐκ τοῦ σφαίρου τά τε στοιχεῖα καὶ τὰ τῶν συνθέτων εἴδη. ὅθεν καὶ τὴν
γένεσιν οἱ μὲν ἀλλοίωσιν λέγουσιν, ὅσοι τὸ ὕδωρ ἢ τὸν ἀέρα ὑποτιθέμενοι
μανότητι καὶ πυκνότητι γεννῶσι τὰ ἄλλα, οἱ δὲ σύγκρισιν καὶ διάκρισιν,
οἵ τε περὶ τὸν Δημόκριτον καὶ Ἐμπεδοκλέα· συγκρίσει γὰρ ὁ μὲν τῶν
στοιχείων ὁ δὲ τῶν ἀτόμων τὰ ἄλλα γίνεσθαί φασι, διακρίσει δὲ φθείρε- 30
15 σθαι. καὶ ὁ Ἀναξαγόρας δὲ δηλονότι ἐκκρίνεσθαι λέγων τὰ ὁμοιομερῆ καὶ
ταύτην εἶναι τὴν γένεσιν, καὶ συγκρίνεσθαι ἔλεγε πλείους ὁμοιομερείας εἰς
τὴν τοῦ συνθέτου γένεσιν, διακρίνεσθαι δὲ πάλιν αὐτὰς ἀπ' ἀλλήλων ἐν
τῇ φθορᾷ. ἁρμόσει δὲ κοινότερον κατὰ πάντων ἡ ἀλλοίωσις· καὶ γὰρ τὰ
ἐκκρινόμενα ἢ συγκρινόμενα καὶ διακρινόμενα ἀλλοίωσίν τινα ὑπομένει, τὰ
20 μὲν κατὰ τὴν θέσιν τὰ δὲ κατὰ τὴν ἔκφανσιν.

p. 187a31 Ἔτι δὲ ἐκ τοῦ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία. 35

Ὅτι καὶ ἔνθεν ὑπενόει ὁ Ἀναξαγόρας πάντα ἐν πᾶσιν εἶναι διὰ τὸ 43
μηδὲν μὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ὁρᾶσθαι δὲ ἐκ τῶν ἐναντίων γινό-
μενα, τὸ δὲ ἐναντίον φθαρτικὸν μᾶλλον ἢ γεννητικὸν εἶναι τῶν ἐναντίων. 45
25 ἔνθεν οὖν συνῆγεν ὅτι πάντα ἐν ἀλλήλοις εἰσί, μὴ φαίνεσθαι δὲ διὰ
σμικρότητα τῶν ὄγκων, ὀνομάζεσθαι δὲ ἕκαστον ἐκ τοῦ πλεονάζοντος,
ὥσπερ ἐπὶ τῆς πανσπερμίας· λέγεται γὰρ αὕτη, εἰ πλεονάζει τὸ τοῦ σίτου
εἶδος, σῖτος· οὕτως ἔνθα πλεονάζει σὰρξ ἢ ὕδωρ, οὕτω καλεῖσθαι. αἴτιον
δὲ αὐτῷ γέγονε τῆς ἀπάτης τὸ λαμβάνειν ὅτι δεῖ πάντως ἢ ἐκ τοῦ μη-
30 δαμῇ μηδαμῶς ὄντος γίνεσθαι τὰ γινόμενα, ἢ ἐκ τοῦ ὄντος· γίνεται μὲν

---

1 μάλιστα K 4 ἐν om. L 5 ἔλεγε] cf. ad p. 88,6 δὲ om. L γίνεται K 7 λοιπῶν ὁμοίως. καὶ Kt: λοιπῶν· ὁμοίως δὲ καὶ L: λοιπῶν· ὁμοίως καὶ M: fort. λοιπῶν ⟨ὁμοίως⟩. ὁμοίως καὶ δὲ πάντα K 8 ἐν ἀλλήλοις καὶ νῦν L ἐνυπάρχειν L: ὑπάρχειν KM: ὑπάρχει t: fort. ἐνυπάρχει 9 verba ἐν τῷ σφαίρῳ ἐνυπῆρχε si abessent nemo desideraret 9. 10 ἐν τῶ σφαίρω ἐνυπῆρχεν (sic) — εἴδη iterat K 11 ὑτιθέμενοι (sic) K 13 τὸν (litterae ὸν in ras.) K 14 τὰ om. K γίνεσθαι καὶ φασὶ L 17 τοῦ om. L 18 κατὰ πάντων κοινότερον L 20 ἔκφασιν K 21 δὲ LM: δὲ καὶ K: δ' t ἐξ—ἐναντία om. K τἀναντία t 22 ὑπενόει K: ὑπονοεῖ LMt 24 ἐναντίον LK: τῶν ἐναντίων Mt γεννητικὸν εἶναι τοῦ ἐναντίου K 25 εἰσί] εἰ K 27 εἰ πλεονάζοι L 28 σῖτος K: om. LMt 30 ὄντος (ante γίνεσθαι) Mt: ὄντως L: ὄντως K γίνονται μὲν K

www.libtool.com.cn

γὰρ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' οὐκ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος, ἀλλ' ἐκ τοῦ τὶ c 3r
μὴ ὄντος, ὅπερ ἑξῆς καὶ ἐγκαλέσει αὐτῷ καὶ ἐπιλύσεται.

p. 187b7 Εἰ δὴ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον ἄγνωστον. |

Ἐκθέμενος τὴν Ἀναξαγόρου δόξαν καὶ εἰπὼν ἐκ ποίας ἐννοίας εἰς τὴν c 3r
ὑπόθεσιν ταύτην ἦλθεν, ὅτι ἔκ τε τοῦ μηδὲν ἐκ τοῦ μὴ ὄντος οἴεσθαι γίνεσθαι καὶ ἐκ τοῦ τὰ ἐναντία ὁρᾶν ἐξ ἀλλήλων γινόμενα, νῦν τρέπεται ἐπὶ τὸν ἔλεγχον τῆς δόξης αὐτοῦ καὶ τίθησι πλείονα ἐπιχειρήματα ἀνασκευαστικὰ τῆς Ἀναξαγορείου δόξης, ὧν τὸ μὲν πρῶτον ἐντρεπτικόν ἐστιν οὐκ ἐκ τῆς φύσεως τῶν πραγμάτων, ἀλλ' ὡς πρὸς τὸν Ἀναξαγόραν καὶ ἁπλῶς τὸ τοῦ ἐπιστήμονος πρόσωπον· δείκνυσι γὰρ ὅτι ἡ ὑπόθεσις αὕτη πᾶσαν ἀναιρεῖ ἐπιστήμην. ἔστι δὲ τὸ ἐπιχείρημα τοιοῦτον· εἰ αἱ ἀρχαὶ τῶν πραγμάτων ὁμοιομέρειαί εἰσιν, αἱ δὲ ὁμοιομέρειαι ἄπειροι, τὸ δὲ ἄπειρον ἄγνωστον τῇ αὐτοῦ φύσει, αἱ ἀρχαὶ ἄρα τῶν ὄντων ἄγνωστοι· ὧν δὲ αἱ ἀρχαὶ ἄγνωστοι, καὶ αὐτὰ ἄγνωστα· ἄγνωστα ἄρα τὰ ὄντα. ὥστε ἀνῄρηται ἐκ τῶν ὄντων ἡ ἐπιστήμη, εἴ γε καὶ ἡ γνῶσις. ἡ γὰρ ἐπιστήμη γνῶσίς τις· ἐπὶ πλέον γὰρ ἡ γνῶσις τῆς ἐπιστήμης. ἡ μὲν γὰρ ἐπιστήμη περιορίζειν πέφυκε καὶ περιλαμβάνειν λόγῳ τὰ πράγματα, τὸ δὲ ἄπειρον λόγῳ περιορίσαι ἀδύνατον (εὐθὺς γὰρ αὐτὸ πεπερασμένον ποιοῦμεν), εἴ γε ἄπειρόν ἐστιν, οὗ ἀεὶ ἔξω τι τοῦ ληφθέντος ἔστιν εὑρεῖν· ἀναιρήσομεν ἄρα τῶν ἐπιστημῶν τὰς ἀκριβεστάτας γεωμετρίαν ἀστρονομίαν. καὶ αὐτὸς δὲ ὁ Ἀναξαγόρας δῆλον ὡς ἐπιστήμην οἰόμενος ἔχειν τῶν ὄντων οὕτως ἡμᾶς περὶ αὐτῶν διδάσκει· ὥστε οὐκ εἰσὶν ἄπειροι αἱ ἀρχαὶ τῶν ὄντων, εἴπερ ἐπιστήμων ὁ Ἀναξαγόρας, ἢ εἰ ἄπειροι, οὐκ ἐπιστήμων ἐκεῖνος· εἰ δὲ μὴ ἐπιστήμων, οὐ πεισόμεθα αὐτῷ ἀποφαινομένῳ περὶ ὧν οὐκ ἔγνωκε. πρῶτον μὲν οὖν ἐπιχείρημα τοῦτο ἐντρεπτικόν, ὡς εἶπον, οὐ πραγματειῶδες.

Τοῦ δὲ δευτέρου ἐπιχειρήματος πραγματειώδους ὄντος προλαμβάνει ἀξίωμά τι τοιοῦτον· τὰ εἴδη πάντα, φησίν, ἐν ὡρισμένῳ τινὶ ποσῷ πέφυκεν ὑφίστασθαι, καὶ οὔτε κατὰ μέγεθος εἰς ὁτιοῦν πέφυκεν αὔξεσθαι οὔτε ἐπὶ σμικρότητα εἰς ὁτιοῦν πέφυκε μειοῦσθαι, ἀλλ' ἔστι τις ὅρος ἐπί τε τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον, οὗ ἐπέκεινα ὑπάρξαι τὸ εἶδος οὐ δύναται. ἔστω δὴ

---

1. 2 ἁπλῶς μὴ ὄντως et τι μηόντως K 2 ἑξῆς καὶ LK: καὶ ἑξῆς Mt 3 ᾗ t: ἢ M: ἢ LK ante ἄγνωστον ras. fere octo litter. K 5 ἔκ τε τοῦ μηδὲν K: ἐκ τοῦ μηδὲν ἔκ τε τοῦ μηδὲν L: ἐκ τοῦ μηδὲν Mt 8 ἀναξαγόρου Mt ἐντρεπικόν K 11 ἀνερεῖ K τὴν ἐπιστήμην Mt 12 post αἱ δὲ ras. quatuor litter. K 13 ἄγνωστον om. K αὐτοῦ scripsi: αὐτοῦ LMt: ἑαυτοῦ K δὲ αἱ] δὲ οἱ K 14 alterum ἄγνωστα om. L 15 γνῶσις. ἡ γὰρ om. K 17 τὸ δὲ ἄπειρον τόδε ἄπειρον (sic) K 18 πεπερασμένον αὐτὸ Mt 19 οὗ LKM: ᾗ t τοῦ ληφθέντος τι L ἀναιρήσωμεν K 22 διδάσκει περὶ αὐτῶν Mt 24 ἀποφαινομε' addito compendio syllabae ας K 25 οὖν om. L 25. 26 πραγματιῶδες (sic, ut solet) — ἐπιχειρήματος iterat K 27 ἀξιώματι L φησι πάντα Mt ποσω (sic) K 28 αὔξασθαι K 29 μειοῦσθαι πέφυκεν Mt 30 ἐπὶ τὸ (post καὶ) om. superscr. L

www.libtool.com.cn

πρῶτον ἡμῖν ὁ λόγος ὡς ἐπὶ τῶν τελειοτέρων εἰδῶν· ἐν τούτοις γὰρ ὡς c 3v
τρανεστέροις σαφέστερος ὁ λόγος. τὸ τοῦ ἀνθρώπου εἶδος δύναται μὲν ⟨ἐν⟩
πηχυαίῳ μεγέθει συστῆναι, δύναται δὲ καὶ ἐν τετραπήχει ἢ πενταπήχει,
οὐ μέντοι ἐπ' ἄπειρον αὔξεσθαι δύναται. οὐ γὰρ δὴ καὶ ἑκατοντάπηχυς
5 γένοιτ' ἂν ὁ ἄνθρωπος, καὶ ἴσος τοῦ κόσμου τῷ μεγέθει· οὐ γὰρ τὸν ἐν
ἐπινοίᾳ ἄνθρωπον λαμβάνομεν, ἀλλὰ τὸν ἐν ὑπάρξει. τοῦτον οὖν δῆλον ὅτι
ἀδύνατον ἐπὶ πολύ τι μέγεθος καὶ ὑπὲρ τὸ πᾶν αὔξεσθαι, ἀλλ' ἔστι τι 25
ὡρισμένον μέγεθος, οὗ ἐπέκεινα αὐξηθῆναι οὐ δύναται· τὰ γὰρ εἴδη ἐπὶ
πολύ τι ὑποκείμενον διιστάμενα ἐξίτηλα γίνεται. ὥσπερ οὖν ἐπὶ τὴν αὔξησιν
10 ἀδύνατον ἐν παντὶ μεγέθει ὑπάρξαι τὰ εἴδη, οὕτω καὶ τὴν μείωσιν. γένοιτο
μὲν γὰρ πυγμαῖος ἄνθρωπος, οὐ μὴν καὶ δακτυλιαῖος ἢ κεγχραμίδι ἴσος·
οὐ γὰρ δύναται τὸ σμικρὸν πάνυ μέγεθος καταδέξασθαι τὸ εἶδος, ὥσπερ
ἀμέλει καὶ τέκτων ἐν πηχυαίῳ μὲν ξύλῳ ποιήσει τὸ τοῦ πλοίου εἶδος, ἐν
δακτυλιαίῳ δὲ οὐκέτι, καὶ κεραμεὺς τὸ τοῦ ἀμφορέως εἶδος οὐκ ἂν ποιή- 30
15 σειεν ἐν πηλῷ ἴσῳ κεγχραμίδι. ὥσπερ οὖν ἐπὶ τούτων ὡρισμένου τινὸς
ποσοῦ χρεία ἐπί τε μέγεθος καὶ σμικρότητα εἰς τὸ ὑπάρξαι τὰ εἴδη, οὕτω
δηλονότι καὶ ἐπὶ τῶν ὁμοιομερῶν· εἴδη γάρ τινα καὶ τὰ ὁμοιομερῆ. ὥστε
δηλονότι καὶ τὸ τῆς σαρκὸς εἶδος καὶ τὸ τοῦ ὀστοῦ καὶ τὸ τοῦ ὕδατος
οὔτε κατὰ μέγεθος ἐν τῷ τυχόντι συσταίη ἂν (οὐ γὰρ δὴ καὶ ἐν ἴσῳ καὶ
20 ἐν μείζονι τοῦ παντός· οὐ γὰρ ἂν ὑποσταίη τι τοιοῦτον, περὶ δὲ τῶν ἐν
ὑποστάσει ὁ λόγος), οὔτε κατὰ σμικρότητα· ἀλλ' ἔστι τι πάντως μέγεθος, 35
οὗ ἐν τῷ ἐλάττονι οὐκ ἂν συσταίη τὸ εἶδος τῆς σαρκός. ἔστιν ἄρα τις
ἄτομος καὶ ἐλαχίστη σάρξ. ὁμοίως καὶ ἐπὶ παντὸς ὁμοιομεροῦς. ὅτι δὲ
τοῦτο οὕτως ἔχει, μάθοις ἂν καὶ ἐντεῦθεν. πάντα τὰ σώματα σύνθετα οὐχ
25 ὡς ἔτυχε κεκραμένης τῆς ὕλης γίνεται, ἀλλ' ἕκαστον εἶδος δεῖται τοιῶσδε
κεκραμένης ὕλης, ἵν' οὕτως ἐπιτηδείᾳ ἐκείνῃ πρὸς ὑποδοχὴν αὐτοῦ γενο-
μένῃ ἐπιγένηται· οὐ γὰρ ὡς ἔτυχε κεκραμένων τῶν στοιχείων ἐπιγένοιτ'
ἂν αὐτοῖς τὸ τῆς σαρκὸς εἶδος ἢ τὸ τοῦ ὀστοῦ, ἀλλὰ τὸ μὲν τῆς σαρκὸς
εἶδος δεῖται τοιᾶσδε κράσεως ὑποκειμένης, ἑτέρας δὲ τὸ τοῦ ὀστοῦ, καὶ 40
30 ἄλλο ἄλλης. εἰ τοίνυν τοῦτο οὕτως ἔχει, ἔστι δὲ ὑποκείμενον τοῖς εἴδεσι
τῶν συνθέτων σωμάτων οὐ μόνον ποιότης τις, λέγω δὲ ἡ τοιάδε τῶν στοι-

---

1 τούτοις] τοῖς ante correct. K 2 τρανοτέροις L at cf. e 6r 49. 8r 17 μὲν ἐν scripsi: μὲν KMt: μὲν καὶ ἐν L 3 τετραπηχυαίω ἢ πενταπηχυαίω L 4 αὔξασθαι K ἑκατοντάταχ χυς (sic) K 5 ἴσως K τῷ μεγέθει τοῦ κόσμου Mt γὰρ δὴ Mt 5. 6 τὸν ἐπινοῖ (om. ἐν) K 6 λαμβανόμενον L 7 αὔξασθαι K 8 ὁρισμένον K 10 μεγέθη K fort. καὶ ἐπὶ τὴν μείωσιν γένοιτο] deest ἂν 11 ὁ ἄνθρωπος et in proximis δακτυλαῖος et κεγχαμιδίισος K 13 τέκτον K 14. 15 ποιήση K 15 κεχραμίδι ante correct. K ὥσπερ iterat in principio versiculi M ὁρισμένου K 16 ἐπί τε] ἐπίτη (sic) K 18 τὸ (ante τοῦ ὕδατος) om. K ὕδατος] δέρματος L at cf. p. 98,6. 99,33 19 κατὰ τὸ μέγεθος L 20 δὲ om. superscr. K 21 ἔστι τίς πάντως K 24 τοῦτο om. K μαθοκἂν K ἐνταῦθα L τὰ σύνθετα σώματα K 25. 26 κεχραμμένης utrobique et 27 κεκραμμένων K 26. 27 γενομένη K: γινομένῃ LMt 27 ἐπιγένηται] γένηται L 28 αὐτοῖς LK: αὐτῆς compendiose M: αὐτῇ t

www.libtool.com.cn

χείων κρᾶσις, ἀλλὰ καὶ ποσότης, εὔλογον ὥσπερ ποιὸν οὐ τὸ τυχὸν ἐνδέ- c 3v
χεται αὐτοῖς ὑποκεῖσθαι, οὕτω μηδὲ ποσὸν τὸ τυχὸν ὑπάρχειν. τίς γὰρ ἡ
ἀποκλήρωσις, ἰσοτίμως καὶ τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ ὑποκειμένων, ποιὸν
μὲν μὴ τὸ τυχὸν παραλαμβάνεσθαι ἀλλ' ὡρισμένον τι, ποσὸν δὲ τὸ τυχόν;
5 ὥρισται ἄρα καὶ τὸ ποσὸν τὸ τοῖς εἴδεσιν ὑποκείμενον. ἔστιν ἄρα τις ἐλα- 45
χίστη σὰρξ καὶ ἐλάχιστον ὕδωρ, οὗ ἐν ἐλάττονι μεγέθει οὐκ ἂν συσταίη
τὰ εἴδη ταῦτα. καὶ τοῦτο εἰκότως· εἰ γὰρ τὸ γενησόμενον σὰρξ πάσχει τι
ὑπὸ τοῦ ποιοῦντος, εὔλογον ὥσπερ τὸ διαιρούμενον οὐ κατὰ τὸ τυχὸν ὂν
μέγεθος διαιρεθείη ἄν, ἀλλ' ἐκφεύγει τὸ διαιροῦν διὰ σμικρότητα, κἂν τῇ
10 δύναμει διαιρετὸν ᾖ, οὕτω καὶ τὸ πεισόμενόν τι κατὰ ποιότητα οὐχ ὁπη-
λικονοῦν ὑπάρχον πάσχειν, ἀλλ' ἐκφεύγειν διὰ σμικρότητα τὸ πάθος, μὴ
πάσχον δὲ οὐ δέξεται τὸ εἶδος τοῦ ποιοῦντος δηλονότι. 50

Πρὸς ταῦτα ἀποροῦσιν ἡμῖν οἱ ἀπὸ τῶν μαθημάτων. εἰ δέδοται, φασί,
τὴν δοθεῖσαν εὐθεῖαν δίχα διελεῖν, ἐπειδὴ πᾶν μέγεθος ἐπ' ἄπειρόν ἐστι διαι-
15 ρετόν, δηλονότι καὶ ἣν φατε ἐλαχίστην σάρκα διέλοιμεν ἂν δίχα. τὰ οὖν διαι-
ρεθέντα πότερον σαρκία ἐστὶν ἢ οὔ; εἰ μὲν οὖν σαρκία, ἔστιν ἄρα λαβεῖν
τῆς δοθείσης ἐλάττονα σάρκα καὶ οὐκ ἐκείνη ἦν τὸ ἐλάχιστον, εἰ δὲ τὰ διαι-
ρεθέντα μή εἰσι σαρκία, πῶς συντιθέμενα πάλιν σάρκα ποιήσουσι; καὶ εἰ
ὁμοιομερὴς ἡ σάρξ, δηλονότι καὶ τὰ μέρη ταύτης | σάρκες ἂν εἶεν. ἔστιν c 4r
20 ἄρα πάσης τῆς ληφθείσης σαρκὸς ἐλάττονα λαβεῖν, ἐπειδὴ καὶ πᾶσα σὰρξ
ὁμοιομερής. πρὸς ταῦτά φαμεν ὅτι τὴν σάρκα ἔστι λαβεῖν καὶ ὡς εἶδός
τι [ἔστι] καὶ ὡς μέγεθος· ὡς μὲν οὖν μέγεθος οὖσα ἡ σὰρξ ἐπ' ἄπειρόν
ἐστι διαιρετή (διὸ οὐδὲ ἔστι λαβεῖν ἐλάχιστον μέγεθος), ὡς μέντοι εἶδός τι
οὖσαν οὐκέτι δυνατὸν ἐπ' ἄπειρον διελεῖν, ἀλλὰ πάντως καταλήξει εἴς τινα
25 ἐλαχίστην σάρκα, ἣν ἐὰν διέλωμεν, εὐθὺς ἅμα τῇ διαιρέσει τὸ τῆς σαρκὸς 5
ἐφθείραμεν εἶδος. ὥσπερ γὰρ τὸν ἄνθρωπον ἔστι λαβεῖν καὶ ὡς ἄνθρωπον
καὶ ὡς μέγεθος, καὶ ὡς μὲν μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετὸν καὶ ἀεὶ
εἰς ὁμοειδῆ μεγέθη [λέγω ἡ τομή], ἐὰν μέντοι διέλω ὡς ἄνθρωπον εἰς
κεφαλὴν καὶ πόδας, ἅμα τῇ διαιρέσει ἔφθαρται τὸ τοῦ ἀνθρώπου εἶδος
30 καὶ οὔτε ἐν τῷ ὅλῳ ἐστίν (οὐδὲ γὰρ ἔστι τὸ ὅλον) οὔτε ἕν τινι τῶν
μερῶν (ἄτομον γὰρ ὁ ἄνθρωπος), οὕτω λέγω καὶ ἐὰν τὴν ἐλαχίστην σάρκα
διέλῃς, εὐθὺς τῇ τομῇ ἔφθειρας τὸ εἶδος· ἄτομος γὰρ ἡ ἐλαχίστη σάρξ, 10
καὶ τὰ τμηθέντα μόρια μεγέθη μέν εἰσι σάρκες δὲ οὔ. καὶ ὥσπερ τοῦ
ἀνθρώπου κἂν μυριάκις συνθῇς τὰ μόρια, οὐκέτι ποιεῖς ἄνθρωπον, διότι
35 οὐ μόνης τῆς συνθέσεως δεῖ τῶν μερῶν, ἀλλὰ καὶ τῆς ἐπιστατούσης φύσεως

---

1. 2 οὐ τὸ τυχὸν—τίς in eras. K 3 ποιοῦ ὑποκείμενον ποίον (sic; ον in eras.) K 5 ποσὸν] τυχὸν L 6 οὗ ἐκκλάττονι K 7 γεννησόμενον L 13. 14 τὴν δοθεῖσαν φασὶν Mt 14 εὐθείαν in M exaratum repperit t 16 πότερον scripsi: πρότερον libri (diserte M) 19 καὶ ταύτης τὰ μέρη Mt 20 λειφθείσης K 21 in marg. rubr. ὅρα πῶς καθὰ τῆς ἰδίας δόξης φησὶν ὁ φιλόπονος K 22 ἔστι delevi ἔστι δὲ καὶ ὡς μέγεθος K 23. 24 -τοι εἶδός τι οὖσαν in eras. K 24 εἴς τινα] εἰς τὴν K 28 λέγω ἡ τομή delevi; spectabant haec, opinor, ad verbum καταλήξει v. 24 post λέγω addunt δὴ Mt 31 fort. ἄτομος ἐὰν om. L 32 διέλης LK: τέμης concinnius Mt ἔφθειρας τὸ εἶδος L: τὸ εἶδος (om., si recte enotavi, ἔφθειρας) K: τὸ ὅλον ἔφθειρας Mt 33 ὥσπερ ἐπὶ τοῦ fort. recte (K)t 34 συνθῇ K

www.libtool.com.cn

καὶ ἐπιτιθείσης τὰ εἴδη, οὕτω λέγω καὶ ἐπὶ τῶν ὁμοιομερῶν ὅτι κἂν c 4r
μυριάκις συνθῇς τὰ μόρια τῆς τμηθείσης σαρκός, οὐκέτι ποιήσεις σάρκα
τῆς φύσεως μὴ ἐνυπαρχούσης. ὡς γὰρ τῶν ξύλων πάντων σωρευθέντων
ἐξ ὧν ἡ ναῦς οὐκ ἂν γένοιτο ναῦς, καὶ τῶν ξύλων καὶ λίθων πάντων ἐξ
ὧν ἡ οἰκία ⟨οἰκία⟩ οὐκ ἂν γένοιτο μὴ τῆς τέχνης ἐπιστατούσης, οὕτω κἂν
τὰ μόρια τῆς σαρκὸς συντεθῇ, οὐκ ἂν γένοιτο σὰρξ μὴ ἐπιστατούσης τῆς
φύσεως. ὁμοιομερὴς δὲ καὶ ἡ ἐλαχίστη σάρξ, ἀλλ' ἐν ὅσῳ σῴζει τὴν
ὁλότητα· τότε γὰρ καὶ τὸ τῆς σαρκὸς εἶδος σῴζει. τότε οὖν τὰ δυνάμει
λαμβανόμενα μέρη σάρκες, ἐπειδὴ καὶ τὸ ὅλον, ἐπὰν δὲ διαιρεθῇ οὐκέτι.
ὥστε διὰ πάντων δέδεικται ὅτι ἔστιν ἐλαχίστη σάρξ, καὶ τοῦτο ἀκολούθως
τῇ προόδῳ τῶν πραγμάτων συμβέβηκε. τὰ μὲν γάρ ἐστι τῶν ὄντων γενι-
κώτατα καὶ κοινότατα ἐπὶ πάντων τῶν ὄντων ἐκτεταμένα, οἷον τὸ ὂν καὶ
τὸ ἕν (οὐδὲν γὰρ ἔστιν ὃ μὴ τοῦ ἑνὸς ἢ τοῦ ὄντος μετέχει), τὰ δὲ ἄτομα
καλούμενα εἴδη ἐστένωται ταῖς κατηγορίαις διὰ τὸ μεριχώτατα ὡς ἐν εἴδεσιν
εἶναι, καὶ οὔτε ἐπὶ πλειόνων ἐστὶ κατηγορούμενα (ἀλλ' ὁ ἄνθρωπος ἐπὶ
μόνων ἀνθρώπων, ὁ δὲ ἵππος ἐπὶ ἵππων), οὔτε ἐφ' ὧν κατηγορεῖται ὡς
ἔτυχεν ἐχόντων· οὔτε γὰρ ὁ νεκρὸς ἄνθρωπος ἄνθρωπος, οὔτε τὸ μόριον
τοῦ ἀνθρώπου ἔτι ἄνθρωπος. σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ ὁμοιομερῆ μέσην
τάξιν ἔχοντα ἐπ' ἐλαττόνων μέν ἐστιν ἢ τὸ ὂν καὶ τὸ ἕν, ἐπὶ πλειόνων δὲ
ἢ τὰ ἄτομα εἴδη· σὰρξ μὲν γὰρ καὶ ὀστοῦν καὶ ἐπὶ ἵππου καὶ ἐπὶ τῶν
ἄλλων ζῴων κατηγορεῖται καὶ ἐπὶ τῶν μορίων αὐτῶν, οὐκέτι μέντοι καὶ
ἐπὶ τοῦ μορίου τῆς ἐλαχίστης σαρκὸς ἢ τοῦ ὀστοῦ, ὅταν διαιρεθῇ. τότε γὰρ
σὰρξ μὲν ἢ ὀστοῦν οὐκέτ' ἂν αὐτῶν κατηγορηθείη, τὸ μέντοι ἓν καὶ τὸ ὂν
οὐδὲν ἧττον. εἰ γὰρ καὶ μὴ σάρκες εἰσὶ τὰ μόρια τῆς ἐλαχίστης σαρκός,
ἀλλ' οὖν ὄντα ἐστί· μεγέθη γάρ εἰσι καὶ σώματα.

Δεύτερον ἀξίωμα λαμβάνει ὅτι πᾶν σῶμα πεπερασμένον μετρεῖται
ὑπὸ σώματος πεπερασμένου, τὸ μεῖζον ὑπὸ τοῦ ἐλάττονος· οἷον τὸ ἑκατον-
ταπηχυαῖον μετρεῖται καὶ τῷ δεκαπηχυαίῳ δεκάκις καὶ τῷ πηχυαίῳ
ἑκατοντάκις· ἀλλὰ μὴν καὶ τῷ δακτυλιαίῳ, καὶ ἁπλῶς εἰπεῖν παντὶ πεπε-
ρασμένῳ ἐλάττονι τὸ μεῖζον μετρεῖται.

Τούτων προειλημμένων δείκνυσιν ὅτι ἀδύνατον πάντα ἐν πᾶσιν εἶναι καὶ
τὴν ἔκκρισιν ἐπ' ἄπειρον γίνεσθαι. καὶ ἔστι πρῶτον μὲν ἐπιχείρημα πραγμα-
τειῶδες, ἀπὸ δὲ τῆς ἀρχῆς δεύτερον, τοῦτο· εἰ ἐκ τῆσδε, φησί, τῆς ὁμοιομε-
ρείας τοῦ ὕδατος ἐξάγοιτο ὁμοιομέρεια σαρκὸς καὶ πάλιν ἄλλη καὶ πάλιν ἄλλη
καὶ ἄλλη, ἐπειδὴ πεπερασμένη ἐστὶν ἡ ἐν τῷ ὕδατι σὰρξ τῷ μεγέθει (ἐπειδὴ

---

1 ἐπιτιθήσης K 2 συνθεὶς et τμηθήσης K 3 συντεθέντων K 5 ἡ οἰκεία K alterum οἰκία addidi 6 συντεθεῖ et γένητο K τῆς (post ἐπιστατούσης) om. K 7 ἐν ὅσῳ] ἐνῶ (h. e. ἐν ᾧ) K 10 πάντων LK: τούτων Mt τούτω K 11 προσόδῳ Mt 13 οὐδὲ L 15 πλεῖον K 16 ἐφ' ἵππων Mt 18 ἔτι om. K 20 τῶν om. superscr. M 21 αὐτῶν K: αὐτοῦ LMt 23 αὐτοῦ L 24 οὐδὲν LK: οὐδ' Mt 31 προειλημένων et mox ἀδυνάτου K 32. 33 πρατιῶδες K (γμα) 33 δεύτερον] β̄ L: δευ (τερ) KM: δευτέρας t 33. 34 ὁμοιομερίας, ὁμοιομερία et sim. saepe K 34 iterata καὶ πάλιν ἄλλη librariis deberi videntur

www.libtool.com.cn

καὶ ἡ ὁμοιομέρεια ἐκείνη τοῦ ὕδατος πεπερασμένη ἐστὶ τῷ μεγέθει), πᾶν c 4r
δὲ πεπερασμένον πεπερασμένων ἀεί τινων ἀφαιρουμένων καταδαπανᾶται,
ἀνάγκη πᾶσα ἀεὶ ἀφαιρουμένων ἐκ τῆς σαρκὸς τῆς ἐν τῷ ὕδατι σαρκίων
τινῶν καταδαπανηθῆναι αὐτήν. οὐ γὰρ δὴ διὰ τὸ ἐπ' ἄπειρον εἶναι τὰ
5 μεγέθη διαιρετά, ἀεὶ διαιρουμένη ἡ ἐν τῷ ὕδατι σὰρξ εἰς ἐλάττονα καὶ 40
οἷον διχοτομουμένη οὐκ ἐκλείψει· κἂν γὰρ ἀεὶ διχοτομῆται, ἥξει πάντως
εἰς τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος (δέδεικται γὰρ ὅτι ἔστι τις ἐλαχίστη
σάρξ), εἰ δὲ ἥξει εἰς τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος τεμνομένη ἡ ἐν τῷ
ὕδατι σάρξ, δῆλον ὅτι ἀφαιρεθέντος ἐκείνου οὐκέτι ἐκκριθήσεται ἐκ τοῦ
10 ὕδατος ἐκείνου σάρξ, εἰ δὲ τοῦτο, οὐκέτι πᾶν ἐν παντὶ ἐνέσται οὐδὲ ἐπ'
ἄπειρον ἡ ἔκκρισις. καὶ οὐδέν μοι διοίσει κἂν αἱ ἐκκρινόμεναι σάρκες οὐκ
εἰσὶ καθαραί, ἀλλὰ μεμιγμέναι ἑτέραις ὁμοιομερείαις· κἂν γὰρ μὴ καθαραὶ 45
ἐξίωσιν, ἐπειδὴ ἔχει ἡ ὑπόθεσις ἐπ' ἄπειρον γίνεσθαι τὴν ἔκκρισιν, ἀνάγκη
πᾶσα, κἂν τὰ ἀεὶ ἐκκρινόμενα σαρκία ἐλάχιστα ὦσι, καταδαπανηθῆναι τὴν
15 ὅλην σάρκα τὴν ἐν τῷ ὕδατι διὰ τὸ δεύτερον ἀξίωμα τὸ λέγον μετρεῖσθαι
τὸ πεπερασμένον ὑπὸ τοῦ πεπερασμένου· εἰ δὲ τοῦτο, οὐκ ἐπ' ἄπειρον ἡ
ἔκκρισις. δυοῖν οὖν ἀνάγκη θάτερον, ἢ ἐπιλεῖψαι τὴν ἔκκρισιν τῆς σαρκός,
ὡς ὁ λόγος ἀπέδειξεν, ἢ εἰ ἐπ' ἄπειρον ἐκκρίνοιτο ἐκ τοῦ ὕδατος σαρκία,
ἐπειδὴ ὥρισται τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος, ἀνάγκη ἴσα ἄπειρα ἐν πεπε- 50
20 ρασμένῳ μεγέθει ὑπάρχειν, ὅπερ ἀδύνατον. ταὐτὸν γάρ ἐστιν εἰπεῖν ἐν πεπε-
ρασμένῳ τὸ ἄπειρον ὑπάρχειν· τὸ γὰρ ἐξ ἀπείρων συνεστηκὸς ἄπειρόν ἐστι.

Τρίτον ἐπιχείρημα ἕτερον τίθησι τοιοῦτον. εἰ ὥρισται τὸ ποσὸν τῆς σαρκὸς ἐπί τε τὸ μεῖζον ἐπί τε τὸ ἔλαττον, ἀδύνατον ἐκ τῆς ἐλαχίστης σαρκὸς ἐκκριθῆναι ἕτερόν τι· πᾶν γὰρ σῶμα πεπερασμένον ἀφαιρεθέντος
25 τινὸς ἔλαττον γίνεται, ἐπειδὴ πᾶν πεπερασμένον ὑπὸ παντὸς ἐλάττονος πε-
περασμένου καταμετρεῖται. ὥστε εἰ ἐκ τῆς ἐλαχίστης | σαρκὸς ἐκκριθήσεταί c 4v
τι, ἔσται ἐλάττων τῆς ἐλαχίστης, ὅπερ ἀδύνατον. οὐκ ἄρα πάντα ἐν πᾶσι.

Τέταρτον ἐπιχείρημα. εἰ πάντα ἐν πᾶσι, φησίν, ἐπ' ἄπειρον δὲ καὶ ἡ ἔκκρισις, ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἔσονται σάρκες ἄπειροι καὶ ὁστᾶ ἄπειρα
30 καὶ πάντα ἁπλῶς, καὶ πάλιν ἐν ἑκάστῃ σαρκὶ τῇ ἐν τῇ ὁμοιομερείᾳ ἢ αἵματι ἢ ἄλλῳ τινὶ πάλιν πάντα ἄπειρα ἔσονται, καὶ πάλιν ἐν ἑκάστῳ ἐκείνων ἄπειρα· ὥστε ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἀπειράκις ἔσται τὸ ἄπειρον. 5
οὗ τί ἂν γένοιτο καταγελαστότερον, ἐν τῇ ἐλαχίστῃ σαρκὶ ἀπειράκις ἄπειρα εἶναι σώματα καὶ πλήθει καὶ μεγέθει; πλήθει μὲν διότι διῄρηται ἀπ'
35 ἀλλήλων μόνον ἁπτόμενα, μεγέθει δὲ ὅτι τὸ ἐξ ἀπείρων συγκείμενον ἄπειρόν ἐστιν. οὐ μόνον δὲ ἑκάστη ὁμοιομέρεια ἀπειράκις ἄπειρα περιέξει, ἀλλὰ

---

2 τινῶν ἀεὶ Mt 6 ἐκλείψει KM: ἐλλείψει (nihil enotatum ex L)t διχοτομεῖται K 10 ἓν ἔσται K 11 μοι] μὴ K 13 ἐξιῶσιν K 14 καταπανηθῆναι K 17 δυοῖν κτλ.] cf. Themist. p. 129,4 ἐπιλείψεται K 18 ἐκρίνοιτο L 22 ἕτερον om. Mt 24 ἐκκριθῆναι σαρκὸς Mt 27 ἐλάττων (cf. p. 106,1) L: ἐλάττον K: ἔλαττον (cf. Aristot. p. 188a1) Mt 29 ἄπειροι (extrema parum clara in M) LKM: ἄπειραι t 33 οὗ τί ἂν] ὥστε τί ἂν τούτου K 35 τὸ om. K 36 ὁμοιομερεία K

www.libtool.com.cn

καὶ οἱ τόποι ἀπειράκις ἄπειροι ἔσονται· διῃρημέναι γάρ εἰσιν ἀπ' ἀλλήλων c 4v
ὅσαι μὴ ἐνυπάρχουσιν, ἀλλ' ἔφθησαν διακριθῆναι, καὶ αὗται δὲ ἄπειροί
εἰσιν· ὥστε καὶ οἱ περιέχοντες αὐτὰς τόποι ἄπειροι, καὶ οἱ μεταξὺ οἷς διείργον-
ται. ἀπειράκις οὖν τὸ ἄπειρον ἀπειράκις εἰσοίσομεν, ὅπερ ἐστὶ καταγέλαστον.

Πέμπτον, ὅτι ἀνόητος, φησίν, ἐστὶν ὁ Ἀναξαγόρου νοῦς· εἰ γὰρ βού-
λεται μὲν πάντα διακρῖναι καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, ἵνα
μήτε αἱ διάφοροι ὁμοιομέρειαι ἐν ἀλλήλαις ὦσιν (οἷον σαρκὸς ὀστοῦ καὶ
τῶν λοιπῶν), μήτε αἱ τῷ εἴδει μὲν αἱ αὐταὶ ἀριθμῷ δὲ διάφοροι (οἷον αἱ
τῆς σαρκὸς ὁμοιομέρειαι), τοῦτο δὲ οὐ δύναται διά τε τὸ ἐπ' ἄπειρον εἶναι
τὸ μέγεθος διαιρετὸν καὶ διὰ τὸ μὴ οἷόν τέ ποτε τὰς διαφόρους ὁμοιομε- 15
ρείας εἰλικρινεῖς εἶναι, ἀνόητος ἂν εἴη ὁ νοῦς τοῖς ἀδυνάτοις ἐπιχειρῶν.
τὸ δὲ μήποτε, φησί, διακριθήσεσθαι τὰ πράγματα, ὀρθῶς μὲν λέγεται
παρὰ Ἀναξαγόρου, οὐκ εἰδότως δέ· εἰσὶ γὰρ ἐν τοῖς οὖσι καὶ τὰ συμβεβη-
κότα καὶ αἱ ἕξεις, ἅτινα οὐδέποτε χωρισθῆναι δύναται τῶν ὑποκειμένων.
εἰ τοίνυν πάντα βούλεται χωρίσαι ὁ νοῦς, δηλονότι καὶ τὰ συμβεβηκότα
καὶ τὰς ἕξεις· ταῦτα δὲ ἀδύνατον χωρίσαι· ἀνόητος ἄρα τὰ ἀνόητα ζητῶν
ὁ νοῦς. κακῶς δὲ λαμβάνει, φησί, καὶ τὸ ἐκ τῶν ὁμοειδῶν γίνεσθαι τὰ 20
γινόμενα. ἔστι μὲν γάρ, φησίν, ὡς ἐκ τῶν ὁμοειδῶν γίνεται τὰ γινόμενα·
γίνεται γὰρ πηλὸς ἐκ πηλῶν ὁμοειδῶν, μείζων ἐκ τῶν μικροτέρων, γίνεται
δὲ καὶ ἐξ ἀνομοειδῶν, ἐξ ὕδατος καὶ γῆς, καὶ οἰκία δὲ ἐκ πλίνθων καὶ
ξύλων ἀνομοειδῶν ὄντων γίνεται. ὥστε κακῶς ἐλάμβανε τὰ γινόμενα ἐξ
ὁμοειδῶν πάντως γίνεσθαι. καὶ οὐκ ἐπὶ τεχνητῶν μόνον, ἀλλὰ καὶ ἐπὶ
φυσικῶν τοῦτο ὁρῶμεν· ἐκ γὰρ ξύλων πῦρ καὶ ἐξ ὕδατος ἀὴρ καὶ ἐκ τῶν
σηπομένων σωμάτων διάφορα γίνεται ζῷα, οὐ μόνον ἐξ ἐμψύχων, ἀλλὰ καὶ
ἐξ ἀψύχων. ταῦτα εἰπών, φησὶν ὅτι εἰ δυνατὸν τὰ αὐτὰ ἐξ ἀπείρων καὶ 25
ἐκ πεπερασμένων γεννῆσαι, κάλλιον τὸ ἐκ πεπερασμένων γεννᾶν ἢ ἐξ
ἀπείρων· τὸ γὰρ ἄπειρον ἄγνωστον. ὥστε κρείττων ὁ Ἐμπεδοκλῆς τοῦ
Ἀναξαγόρου, ὅσον ἐπὶ τούτῳ, πεπερασμένας ὑποτιθέμενος τὰς ἀρχάς.

Εἰ δὴ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον ἄγνωστον. τὸ πρῶτον ἐπι-
χείρημα τὸ ἐντρεπτικόν. τὸ ἄπειρον ἢ τῷ ποσῷ ἐστιν ἄπειρον, ἢ τῷ ποιῷ.
καὶ τὸ μὲν κατὰ ποιὸν ἄπειρον πάντως καὶ κατὰ ποσόν· εἰ γὰρ εἴδη εἶεν

---

3 οἱ (ante μεταξὺ) parum clare exaratum in M: om. t 4 ἀπειράκις (ante εἰσοίσομεν) om. Mt 5 πέμπτον ἐπιχείρημα L ἔσται K ἀναξαγόρα K: ἀναγόρ° (ἀναξαγόρειος?) M 6 μὲν om. K 7 αἱ] ἐν (sic) K ὁμοιομερείαι hic et v. 9 K ἀλλήλαις scripsi: ἀλλήλοις M: ἀλλήλας t et. si silentio fides, LK 8 αἱ (ante αὐταὶ) om. M 10 πότε K 13 οὐκ om. superscr. L γὰρ superscr. (deleto ut videtur καὶ) M 15 ὁ νοῦς om. L 16 ταῦτα LK: πάντα Mt τὰ ἀνήνυτα coniecit t: τὰ ἀδύνατα Aristoteles ζητεῖ L 17 καλῶς L et ante correct. M δὲ om. LM 18 ὡς M γίνεται τὰ] γίνεσθαι τὰ L: fort. ⟨οὕτως καὶ ἐκ τῶν ἀνομοειδῶν⟩ γίνεσθαι τὰ 19 μεῖζον K τῶν malim abesse 21 τὸ τὰ K 22 ὁμοιοειδῶν L at cf. ad p. 107,11 μόνων L 23 καὶ (ante ἐκ) om. L 25 εἰπὼν corr. ex ἀ..ῶν M 26 γενᾶν K 28 τοῦτο K 31 κατὰ τὸ ποιὸν et κατὰ τὸ ποσόν K

www.libtool.com.cn

ἄπειρα, ἀνάγκη· καὶ τὰ ὑποκείμενα αὐτοῖς ἄπειρα εἶναι. εἰ δὲ τῷ ἀριθμῷ c 4v
εἴη τὸ ἄπειρον, οὐκέτι ἕπεται τὸ καὶ τῷ εἴδει ἄπειρον εἶναι· δυνατὸν γὰρ 31
ὑποθέσθαι ἄπειρα μὲν τῷ ἀριθμῷ τὰ ὑποκείμενα, ὁμοειδῆ δὲ πάντα. ὡς
ἂν οὖν ἔχῃ τὸ ἄπειρον, οὕτως ἔχει καὶ τὸ ἄγνωστον. εἰ μὲν οὖν ἀπείρους
5 τῷ ἀριθμῷ τοῖς δὲ εἴδεσι πεπερασμένας ὑπετίθετο, ἐκ ποίων μὲν ἀρχῶν
ἦν τὰ πράγματα δυνατὸν γνῶναι, ἐκ πόσων δ' οὐκέτι· ἐπεὶ δὲ καὶ κατὰ
τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν ἀπείρους ὑπετίθετο τὰς ἀρχὰς ὁ Ἀναξαγόρας,
δῆλον ὅτι παντελῶς ἄγνωστοι αἱ ἀρχαί. τῶν δὲ ἀρχῶν ἀγνώστων οὐσῶν 35
καὶ τὰ ἐξ αὐτῶν ἄγνωστα· τότε γὰρ γινώσκεται τὰ σύνθετα, ὅταν γνῶμεν
10 ἐκ πόσων καὶ ποίων ἀρχῶν σύγκεινται.

p. 187b13 Ἔτι δὲ ἀνάγκη, οὗ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ σμικρότητα, καὶ αὐτὸ ἐνδέχεσθαι.

Τὸ πρῶτον τῶν λημμάτων, ὅτι ὥρισται τῆς σαρκὸς καὶ τῶν λοιπῶν
εἰδῶν τὸ μέγεθος ἐπί τε τὸ μεῖζον ἐπί τε τὸ ἔλαττον, καὶ οὔτε ἐπ' ἄπειρον 40
15 αὔξεται, οὔτε ἐπ' ἄπειρον μειοῦται. κατασκευάζει δὲ τοῦτο ἐκ τῶν ὅλων,
λέγω δὲ τῶν συνθέτων, ὧν μόριά ἐστι τὰ ὁμοιομερῆ, κατασκευάζει δὲ διὰ
τοῦ δευτέρου τῶν ὑποθετικῶν. ἔστι δὲ ὁ συλλογισμὸς οὗτος· εἰ τὰ μόρια
ἐνδέχεται ἐπ' ἄπειρον αὔξεσθαι καὶ μειοῦσθαι, καὶ τὸ ὅλον ἂν ἐνδέχοιτο
ἐπ' ἄπειρον αὔξεσθαι καὶ μειοῦσθαι (ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον σύγκειται·
20 οὐδὲ γὰρ αὔξεσθαι ἢ μειοῦσθαι δυνατὸν τὸ ὅλον, τῶν μερῶν μὴ ηὐξημένων
ἢ μειωθέντων), ἀλλὰ μὴν τὸ ὅλον ἀδύνατον ἐπ' ἄπειρον αὔξεσθαι καὶ
μειοῦσθαι, καὶ τὰ μόρια ἄρα. ὥστε στήσεται τὸ ποσὸν τῶν μορίων ἐπί 45
τε τὸ μεῖζον ἐπί τε τὸ ἔλαττον. ἔστιν ἄρα τις ἐλαχίστη σὰρξ καὶ ὀστοῦν,
ὥσπερ οὖν καὶ μεγίστη. ἀλλ' ἴσως ἀντιλέγει τις τῷ συνημμένῳ τὸν ὑπὲρ
25 Ἀναξαγόρου λόγον ποιούμενος, ὅτι οὐκ ἀνάγκη, εἰ ἐπ' ἄπειρον ἡ τῶν ὁμοιο-
μερῶν γίνεται μείωσις, ἤδη καὶ τὰ ζῷα καὶ τὰ φυτὰ ἐπ' ἄπειρον μειοῦ-
σθαι· εἰ μὲν γὰρ μία ἦν ἐν ἑκάστῳ ζῴῳ σαρκὸς ὁμοιομέρεια ἢ ὀστοῦ ἢ
αἵματος, εὔλογον ἦν, ὡς ἂν ηὔξεν ἢ ἐμειοῦτο τὸ μόριον, οὕτως αὔξειν καὶ
μειοῦσθαι καὶ τὸ ὅλον, νῦν δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ πλείους ὁμοιομέρειαι 50
30 συνιοῦσαι σαρκὸς ἢ ὀστοῦ ἢ τῶν λοιπῶν, οὕτω ποιοῦσι τὴν τοῦ ζῴου
σάρκα καὶ τὸ ὀστοῦν. οὐκ ἀνάγκη οὖν συμμειοῦσθαι ταῖς ὁμοιομερείαις τὸ

---

2 τὸ (ante καὶ) om. K 3. 4 ὡς δ' ἂν (om. οὖν) K 5 τοῖς εἴδεσι δὲ Mt 6 ἐπειδὴ δὲ t 6. 7 κατὰ (om. τὸ) ποσὸν primitus omiserat K qui mox κατὰ ποιὸν 8 οὐσῶν ἀγνώστων Mt 10 ἐκ ποίων καὶ πόσων ἀρχῶν σύγκειται K 11 δὲ LKM: δ' εἰ t Aristoteles (at cod. E pr. δ* [δὲ?], rec. δ' ἂν) 11. 12 ἐνδέχεται — ἐνδέχεσθαι om. K 12 μικρότητα t ἐνδέχεται L 14. 15 οὔτ' ἐπ' ἄπειρον αὔξεται iterat K 16 ἀμοιομερῆ (sic) K 18. 19 καὶ τὸ ὅλον ἂν ἐνδέχοιτο ἐπάπειρον αὔξεσθαι (codex αὔξασθαι) καὶ μειοῦσθαι K: om. LM: καὶ τὸ ὅλον omissis ceteris add. in marg. M et t 20 οὐδὲ γὰρ τὸ ὅλον αὔξεσθαι ἢ μειοῦσθαι δυνατὸν Mt 22 τῷ ποσῷ L 24 fort. ἀντιλέγοι cl. g3r 14 sq. et quae de voce ἴσως adnotavi ad p. 16,10 τις] cf. Themist. p. 127,17 sqq. 25 ἡ om. K 27 ἦν μία Mt ὀστοῦ ἢ] ὁ τοῦ L 28 ἦν, ὡς LK: om. Mt: exspectes ἂν ἦν, ὡς ηὔξεν scripsi: ηὔξητο L: ηὔξη K: ηὔξει Mt 31 οὖν] ἔν K

www.libtool.com.cn

ζῷον. δυνατὸν γὰρ πολλὰς ὁμοιομερείας, κἂν μικραὶ ὦσι, συνθεῖναι τὸ τοῦ c 4r
ζῴου σῶμα, ὥσπερ φέρε εἰπεῖν τοὺς μὲν λίθους, ἐξ ὧν ἡ οἰκία, δυνατὸν
ἐπ' ἄπειρον μειοῦσθαι, οὐκέτι μέντοι καὶ τὴν οἰκίαν, διότι ἐκ πλειόνων
καὶ οὐκ ἐξ ἑνὸς λίθου σύγκειται· συγκέοιτο γοῦν ἡ αὐτὴ ποτὲ μὲν ἐξ
5 ἐλαττόνων, εἰ μείζονες εἶεν, ποτὲ δὲ ἐκ πλειόνων, εἰ ἐλάτ|τονες εἶεν. ἀλλ' c 5r
εἰ καὶ τοῦτο οὕτως ἔχει, πάντως ὥρισται τὸ ποσὸν τῶν ὁμοιομερειῶν ἐξ
ὧν ἡ τοῦ ἀνθρώπου σὰρξ σύγκειται. ἔστωσαν οὖν πέντε τινὲς ὁμοιομέρειαι
σαρκός. αὗται οὖν πότερον ἐπ' ἄπειρον μειοῦνται ἢ οὔ; εἰ μὲν οὖν ἐπ'
ἄπειρον μειοῦνται, ἥξουσι πάντως εἴς τι μέγεθος, ἐν ᾧ ἀδύνατον εἶναι τὴν
10 τοῦ ἀνθρώπου σάρκα, οἷον ἐν δακτυλιαίῳ ἢ ἐν κέγχρου μεγέθει· ὥστε εἰ
ἀδύνατον τὸν ἄνθρωπον ἐπὶ τοσοῦτον μειωθῆναι, δῆλον ὅτι καὶ τὰς τῆς 5
σαρκὸς ὁμοιομερείας, ὥστε πάλιν εἰς τὸ αὐτὸ περιάγεται ὁ λόγος. εἰ δέ
τις εἴποι ὅτι 'ἀλλ' αἱ μὲν ὁμοιομέρειαι πεφύκασιν ἐπ' ἄπειρον μειοῦσθαι,
τὸ δὲ σύνθετον οἷον ὁ ἄνθρωπος οὐ πέφυκε σῴζεσθαι ἐπὶ πολὺ μειουμένων
15 τῶν ὁμοιομερειῶν· ἐπεὶ καὶ καθ' ὑμᾶς τῆς σαρκὸς δηλονότι καὶ ἐν ἐλάττονι
πολὺ μεγέθει δυναμένης συστῆναι, εἴπερ ἡ τοῦ ἀνθρώπου σάρξ ἐστιν οἵα
ἐστὶν ἥ τε τῶν παιδίων καὶ τῶν ἐμβρύων, ὅμως ἐν τῷ τελείῳ ζῴῳ οὐ
φθάνει πολύ τι μειωθῆναι πρὶν φθαρῇ τὸ ζῷον. οὕτως εἰ καὶ ἐπ' ἄπειρον 10
αἱ ὁμοιομέρειαι τέμνονται, ἀλλ' οὐ τὸ ὅλον ζῷον πέφυκεν ἐν τῇ ὁπωσοῦν
20 ἐχούσῃ ὁμοιομερείᾳ συνίστασθαι.' ἀλλ' οὗτος ὁ λόγος οὐ σῳζόντων ἐστὶ τὰς
Ἀναξαγορείους ὑποθέσεις, ὃς ἔλεγεν οὐδὲν ἕτερον εἶναι τὸ σύνθετον καὶ τὸ
ὅλον ἢ τὴν συνδρομὴν τῶν ὁμοιομερειῶν. ἡμῖν μὲν γὰρ τοῖς λέγουσιν ὅτι
τῇ τοιᾷδε τῶν στοιχείων συνθέσει καὶ κράσει ἔξωθεν ἐπιγίνονται τὰ εἴδη
ἕτερα ὄντα παρὰ τὰ ὑποκείμενα, εὐλόγως τοῦτο ἕπεται (οὐ γὰρ ὁπωσοῦν
25 ἐχουσῶν τῶν ὁμοιομερειῶν πέφυκε τὸ εἶδος ἐπιγίνεσθαι), Ἀναξαγόρᾳ δὲ 15
μηδὲν ἕτερον ἐπιγίνεσθαι ἔξωθεν λέγοντι παρὰ τὰ ὁμοιομερῆ, ἀλλὰ πάντως
ἐν τοῖς ἁπλοῖς εἶναι τὰς ὁμοιομερείας (καὶ γὰρ καὶ ὀφθαλμοῦ, φέρε εἰπεῖν,
τῶν διαφόρων χιτώνων καὶ τριχῶν καὶ αὐτὰ τὰ χρώματα καὶ πάσας τὰς ἐν
τῷ συνθέτῳ ποιότητας ὑπάρχειν ἐν τοῖς ἁπλοῖς), εὔλογον τὸ ἕπεσθαι
30 πάντως τῇ τῶν ὁμοιομερειῶν μειώσει καὶ τὸ ὅλον συμμειοῦσθαι. διὰ τί
γὰρ ⟨οὐχ⟩ ὥσπερ πλείους ἢ μείζους ὁμοιομέρειαι ὀφθαλμοῦ συνελθοῦσαι
ποιοῦσι τὸν μέγαν ὀφθαλμόν, οὕτω καὶ μικρόν; ὥστε ἀναγκαίως ἀληθὲς 20
ἂν εἴη τὸ συνημμένον, ὅσον ἐπὶ ταῖς Ἀναξαγόρου ὑποθέσεσι. τί ποτε δέ
ἐστιν ὅλως τὸ λέγειν τὴν ἀνθρώπου σάρκα ἐκ πλειόνων συνεστάναι σαρ-
35 κίων; διὰ τί γὰρ καὶ τῶν πλειόνων τούτων σαρκίων ἕκαστον οὐκ ἐκ πλειόνων

---

4 σύγκειται] σύγκειτο K γοῦν LMt: γὰρ K: malim γὰρ ἂν 8 αὗται οὖν LK: αὖ Mt 12 πάλιν post αὐτὸ colloc. Mt 13 ἀλλ' αἱ Mt: ἄλλαι LK 15 ἡμᾶς K τῇ σαρκὶ L καὶ ἐν K: καὶ L: ἐν Mt 17 ἐστὶν] γὰρ K καὶ ἡ τῶν K 18 φθανείη t 19 τέμνεται K 23 τοιάδε K 25 ἐχοῦσουν (sic) K 26 ἔξωθεν ἕτερον ἐπιγίνεσθαι K πάντων compend. K 27 καὶ (post γὰρ) om. K ὀφθαλμῶ L 29. 30 εὔλογον πάντως τὸ ἕπεσθαι K 31 οὐχ addidit t: sed probabilius οὐχ ante οὕτω (v. 32) excidisse conicias συνελθοῦσαι ὀφθαλμοῦ Mt 33. p. 104,1 τί ποτε — τομή] cf. Themist. p. 128,9 34 ἐστι τὸ λέγειν ὅλως K 35 σαρκίων τούτων L cum Themistio, qui quod praecedit πλειόνων omittit

www.libtool.com.cn

συνέστηκεν, εἰ γε ἐπ' ἄπειρον τῶν ὁμοιομερειῶν ἡ τομή; ὥστε ἢ οὐδὲ e 5r
ἔσται ὅλως μία τις ὁμοιομέρεια ἢ καὶ ἡ τοῦ ἀνθρώπου σὰρξ μία. συμβήσεται δὲ κἀκεῖνο γελοῖον ὄν, τὴν μὲν τοῦ ἐλέφαντος σάρκα ἐξ ἐλαττόνων σαρκίων συγκεῖσθαι, τὴν δὲ τοῦ κώνωπος ἐκ πλειόνων· οὐδὲν γὰρ ἔτι διοί-
5 σει τὸ ἐκ πλειόνων ἢ ἐλαττόνων λέγειν ἀορίστου τοῦ μεγέθους τῶν ἀρχῶν 25
ὑπάρχοντος καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον.

p. 187b15 Λέγω δὲ τῶν τοιούτων τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον.

Διττῶς τὸ ἐνυπάρχον δυνατὸν ἐκλαβεῖν, ἢ ὡς πρὸς τὸ μέρος ἢ ὡς 30
10 πρὸς τὸ ὅλον. πρὸς τὸ μέρος μὲν οὕτως· μόρια δέ, φησί, ταῦτα λέγω ἅτινα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν ὑφεστήκασι καὶ οὐ φθείρονται· ἀεὶ γὰρ ἀπόρροιαί τινες ἐκ τοῦ σώματος γίνονται. τὰ οὖν ἀπορρέοντα σώματα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν δύναται καὶ καθ' ἑαυτὰ ὑποστῆναι. εἰ δὲ τὸ ἐνυπάρχον πρὸς τὸ ὅλον ἀκουσόμεθα· τούτου μόρια,
15 φησί, λέγω ταῦτα ὧν καὶ διαιρεθέντων ἐκ τοῦ ὅλου οὐδὲν ἧττον σῴζεται τὸ ὅλον, τοιαῦτα δέ ἐστιν, ὡς εἶπον, τὰ ἀεὶ ἐξ ἡμῶν ἀπορρέοντα σώματα. 35
ὁ μὲν οὖν νοῦς οὗτος, προσέθηκε δὲ τοῦτο, ἐπειδὴ εἶπεν "οὗ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι", ἵνα μή τις ὑπολάβῃ μόρια αὐτὸν λέγειν τοῦ ὅλου τὴν ὕλην καὶ τὸ εἶδος. διὰ τοῦτό φησιν ὅτι ταῦτα λέγω τὰ μόρια ἅτινα
20 καὶ μετὰ τὴν διαίρεσιν τὴν ἐκ τοῦ ὅλου καθ' ἑαυτὰ ὑφέστηκεν, ἤγουν διαιρεθέντα οὐ φθείρει τὸ ὅλον, ὧν οὐδέτερον τῷ εἴδει καὶ τῇ ὕλῃ ὑπάρχει· χωρισθεῖσα γὰρ ἡ ὕλη καὶ τὸ εἶδος οὔτε τὸ ὅλον σῴζει ἔτι, οὔτε καθ' ἑαυτὰ ὑποστῆναι δύναται. ταῦτα δὲ οὐδὲ μόριά ἐστι τοῦ συνθέτου, 40
ἀλλὰ στοιχεῖα, διὸ οὐδὲ διαιρεῖσθαι ἂν λέγοιτο αὐτοῦ· διαίρεσις μὲν γὰρ
25 ἐπὶ τῶν μορίων λέγεται, ἀνάλυσις δὲ ἐπὶ τῶν στοιχείων. σὰρξ δὲ καὶ τὰ τοιαῦτα μόρια ζῴου, καὶ οἱ καρποὶ τῶν φυτῶν. ὥσπερ γὰρ τὸ ζῷον ἀνομοιομερές ἐστιν, οὕτω δὴ καὶ τὰ φυτά· μόρια γὰρ τοῦ φυτοῦ πρέμνος φλοιὸς κλάδος φύλλα καρποὶ ἐντεριώνη καὶ εἴ τι τοιοῦτον, ἅπερ ἑτεροειδῆ ἐστι, πρὸς ἑαυτὸ δὲ ἕκαστον ὁμοιομερές.

30 p. 187b22 Ἔτι εἰ πάντα μὲν ἐνυπάρχει τὰ τοιαῦτα ἐν ἀλλήλοις. 45

Τὸ πρῶτον τῶν ἐπιχειρημάτων βούλεται ἐκθέσθαι, εἶτα εἰπὼν τὴν

---

1. 2 ἢ οὐδὲ ἔσται K: ἔσται οὐδὲ L: οὐδὲ (transposito ἔσται post ὁμοιομέρεια) Mt
2 ἢ] εἰ L ἡ iterat ante σὰρξ M 2. 6 συμβήσεται — ἔλαττον] cf. Themist. p. 128,12 3 κἀκεῖνον K 5 τὴν ἀρχὴν Themistius 6 ὑπάρχοντα L
7. 8 εἰς ὃ--ὅλον om. K 9 Διττῶς] εἰ καὶ πῶς L 14 post τούτου distinguit M: τούτου· in οὕτω· recte mutavit t 16 τὸ ὅλον] τοῦ ὅλου L 17 οὖν om. Mt
18 ὑπολάβοι L μόρια post λέγειν colloc. K: eiusdem traiectionis vestigia deprehendas in L ubi litterae μό in erasis 19 ὅτι et mox τὴν ἐκ om. K 21 τῇ ὕλῃ καὶ τῷ εἴδει K 24 λέγοιτο ἂν Mt μὲν om. K 25 δὲ] δὲ καὶ ὁστοῦν Aristoteles
26 μόρια — φυτῶν om. K οἱ] οὐ L 28 πρέμνος KMt: πρέμνον L κλάδος ante φλοιὸς Mt 30 Ἔτι] ὅτι (ὅ rubr.) K τὰ πάντα t -πάρχει τὰ τοιαῦτα ἐν ἀλλήλοις om. K

www.libtool.com.cn

Ἀναξαγόρου ὑπόθεσιν, πρὶν συναγάγῃ τὸ ἑπόμενον τίθησι τὸ δεύτερον c 5r
ἀξίωμα, ἐπειδὴ δι' ἀμφοτέρων τὸ πρῶτον συμπεραίνει ἐπιχείρημα. ἅπαν 51
δὲ σῶμα, φησί, πεπερασμένον ἀναιρεῖται ὑπὸ σώματος πεπε-
ρασμένου. τὸ δὲ ἀναιρεῖται ἀντὶ τοῦ καταμετρεῖται· τὸ γὰρ μετρού-
5 μενον ἴσα ἀεὶ τῷ μέτρῳ ἀφαιρούμενον ἐπιλείπει καὶ καταδαπανᾶται.

p. 187 b 29 Εἰ καὶ ἀεὶ εἴη ἐλάττων ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ
ὑπερβαλεῖ μέγεθός τι τῇ σμικρότητι. |

Ἵνα μή τις εἴποι ὅτι οὐκ ἀνάγκη ἀεὶ ἀφαιρουμένων σαρκίων ἐκλείπειν c 5v
τὴν ἐν τῷ ὕδατι σάρκα (εἰ μὲν γὰρ ἴσα ἀεὶ ἀφῃρεῖτο, τῷ ὄντι ἀναγκαῖον 5
10 ἦν ὑπολιπεῖν διὰ τὸ μετρεῖσθαι τὸ πεπερασμένον ὑπὸ τοῦ πεπερασμένου,
νῦν δὲ τὰ ἀφαιρούμενα ἀεὶ ἐλάττονά ἐστιν· ὥστε οὐκ ἀνάγκη ἐπιλείπειν,
διότι τὸ συνεχὲς ἐπ' ἄπειρόν ἐστι διαιρετόν), διὰ τοῦτο οὖν φησιν ὁ Ἀρι-
στοτέλης, ὅτι εἰ καὶ ἀεὶ ἐλάττονα ἀφαιροῖτο, ἀλλ' οὖν πάντως τινὸς μεγέ-
θους οὐχ ὑπερέξει τὰ ἐκκρινόμενα κατὰ σμικρότητα. ἐπεὶ οὖν ὥρισται τὸ
15 ποσὸν τῆς σαρκός, οὐχ ὑπερέξει δηλονότι κατὰ τὸ ἔλαττον τῆς ἐλαχίστης
σαρκὸς τὰ ἐκκρινόμενα, ἀλλὰ στήσεται ἡ τομὴ ἐν τῇ ἐλαχίστῃ σαρκί. 10
πᾶσα οὖν ἀνάγκη τοιούτων ἀεί, λέγω δὴ τῶν ἐλαχίστων σαρκίων, ἐκκρι-
νομένων καταδαπανηθῆναι τὸ ὅλον, ἐπειδὴ τὸ πεπερασμένον ἀναιρεῖται ὑπὸ
τοῦ πεπερασμένου, ἢ εἰ μὴ τοῦτο, ἴσα πεπερασμένα ἄπειρα τὸν ἀριθμὸν
20 ἐνέσονται ἐν τῷ πεπερασμένῳ, ὅπερ ἀδύνατον. τὸ οὖν οὐχ ὑπερέξει μέ-
γεθός τι τῇ σμικρότητι ἀντὶ τοῦ οὐ παντὸς μεγέθους ἔλαττον τὸ
ἐκκρινόμενον δυνατὸν ἐκκρίνεσθαι, κἂν ἀεὶ ἔλαττον ἐκκρίνηται· ἔστι γάρ τι
τὸ τῆς ἐλαχίστης σαρκὸς μέγεθος, οὗ ἔλαττον ἀδύνατον ἐκκριθῆναι.

p. 187 b 35 Πρὸς δὲ τούτοις, εἰ ἅπαν σῶμα ἀφαιρεθέντος τινὸς 15
25 ἔλαττον ἀνάγκη γίνεσθαι.

Ἕτερον ἐπιχείρημα τὸ τρίτον ἀπὸ τῆς ἀρχῆς, ὅτι εἰ ὥρισται τῆς
σαρκὸς τὸ ποσόν, ἀδύνατον ἐκ τῆς ἐλαχίστης ἐκκριθῆναί τι· εἰ γὰρ ἐκκρι-

---

1 ὑπόθεσιν LK: δόξαν Mt 5 ἀφαιρούμενα K 6 plenius lemma Ἀφαιρεθείσης γὰρ ἐκ τοῦ ὕδατος σαρκὸς, καὶ πάλιν ἄλλης γινομένης ἐκ τοῦ λοιποῦ ἀποκρίσει, εἰ καὶ etc. t εἴη ἐλάττων LKM: ἐλάττων ἔσται t Aristoteles 6. 7 ἀλλ' ὅμως — σμικρότητι om. K 7 ὑπερβαλεῖ (cf. v. 14 et 20) L: ὑπερβάλλει (cf. Diels ad Simplic. p. 169,9) Mt τῆς σμικρότητος L 8 εἴπῃ cod. Paris. Gr. 2063 9 τὴν] τῇ K γὰρ om. Mt ἀφῄρητο K ἀναγκαῖα t 10 ὑπολιπεῖν corr. ex ἀπολιπεῖν M: ὑπολείπειν K 11 ἐπιλιπεῖν L 12 ἐστι] εἶναι K 13 ἀφαιροῖτο Mt: ἀφαίροιτο K: ἀφῃρεῖτο L 16 ἐν om. superscr. K 17 τοιούτων om. Mt 20 ἐν ἔσονται M: ἔσονται K ὑπερέξει] ὑπάρξει M: ὑπερβαλεῖ Aristoteles 24 τοῦ K ἅπαν LM: ἅπαν μὲν Kt Aristoteles 24. 25 ἀφαιρεθέντος — γίνεσθαι om. K 24 τινὸς om. L 25 ἔλαττον L 26 τὸ om. K 26. 27 τῆς σαρκὸς τὸ ποσὸν K: τῇ σαρκὶ τὸ ποσὸν L: τὸ ποσὸν τῆς σαρκὸς Mt

www.libtool.com.cn

θείη τι ἐξ αὐτῆς, γενήσεται ἐλάττων τῆς ἐλαχίστης σαρκός, ὅπερ ἀδύνα- e 5v
τον, τοῦτο δὲ διότι ἅπαν σῶμα ἀφαιρεθέντος τινὸς ἔλαττον γίνε- 20
ται, τοῦτο δὲ διότι πᾶν πεπερασμένον καταμετρεῖται ὑπὸ παντὸς πεπε-
ρασμένου.

5 p. 188a2 Ἔτι δὲ ἐν τοῖς ἀπείροις σώμασιν ἐνυπάρχοι ἂν ἤδη σὰρξ ἄπειρος.

Τέταρτον τοῦτο, ὅτι συμβήσεται ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἀπείρων ὄντων, καὶ πάλιν ἐν ἑκάστῃ τῶν ἀπείρων ἄλλων ἀπείρων ἐνυπαρχουσῶν, καὶ τοῦτο ἐπ' ἄπειρον, ἀπειράκις τὸ ἄπειρον εἶναι.

10 p. 188a3 Κεχωρισμένα μέντοι ἀπ' ἀλλήλων, οὐδὲν μέντοι ἧττον 25 ὄντα, καὶ ἄπειρον ἕκαστον.

Κεχωρισμένα εἶπεν ἀντὶ τοῦ κατ' ἐνέργειαν καὶ τοῖς τόποις διακεκριμένα, οὐχ ὥσπερ ἐν τῇ ὕλῃ δυνάμει λέγομεν πάντα ἐνυπάρχειν (οὐ γὰρ οὕτως ἔλεγεν ὁ Ἀναξαγόρας πάντα ἐν ἀλλήλοις ὑπάρχειν, ὥσπερ λέ-
15 γεται ἡ ὕλη πάντα εἶναι δυνάμει), ἀλλ' ὥσπερ ἐν τῇ πανσπερμίᾳ πάντα ἐνυπάρχει κριθὴ καὶ σῖτος καὶ τὰ λοιπὰ τῶν σπερμάτων ἐνεργείᾳ ὄντα. 30 καὶ ἐνυπάρχουσιν οὖν, φησίν, ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἄπειρα σώματα, καὶ οὐδὲν ἧττον ἕκαστον τῶν ἐνυπαρχόντων καὶ αὐτὸ ἄπειρόν ἐστιν· ἔστι γὰρ καὶ ἐν ἐκείνῳ ἄπειρα.

20 p. 188a5 Τὸ δὲ μηδέποτε διακριθήσεσθαι.

Ὅτι ἀνόητος ὁ κατὰ Ἀναξαγόραν νοῦς τοῖς ἀδυνάτοις ἐπιχειρῶν, εἴπερ θέλει μὲν αὐτὸς διακρῖναι πάντα, τοῦτο δὲ γενέσθαι ἀδύνατον. ἀλλὰ τὸ μηδέποτε διακριθήσεσθαι πάντα, εἰ καὶ ἀγνοῶν ἔλεγεν ὁ Ἀναξαγόρας, ἀλλ' οὖν ὀρθῶς ἔλεγεν· αὐτὸς μὲν γὰρ τὰ σώματα ἔλεγε μηδέ- 35
25 ποτε ἀπ' ἀλλήλων διακριθήσεσθαι, ἤτοι καὶ τὰ πάθη καὶ τὰς ἕξεις, οὐ διὰ τὸ μὴ φύσιν ἔχειν καθ' αὑτὰς ὑποστῆναι, ἀλλὰ διὰ τὸ τὴν μῖξιν μὴ δύνασθαι εἰλικρινῶς χωρίσαι τὰ μιχθέντα, ὥσπερ εἴ τις καὶ τοῦ οἰνομέλιτος εἴποι μὴ ἐνδέχεσθαι τὸν οἶνον καὶ τὸ μέλι χωρισθῆναι. εἰ οὖν εἰσὶν ἐν τοῖς πᾶσι καὶ τὰ πάθη καὶ αἱ ἕξεις ἅπερ καθ' αὑτὰ ὑποστῆναι οὐ πέ-

---

1 τί ἐξ αὐτῆς K: τί ἐξ αὐτοῦ L: ἐξ αὐτῆς τὶ Mt ἔλαττον L cf. p. 100,27 2. 3 ἅπαν—διότι om. K 3 πᾶν περασμένον K 5 Ἔτι] ὅτι (ὅ rubr.) K δ' ἐν t 5. 6 ἐνυπάρχοι—ἄπειρος om. K 9 εἶναι] ἐστὶν K 10 ἀπ' ἀλλήλων οὐδὲν μέντοι iterat L 10. 11 οὐδὲν μέντοι—ἕκαστον om. K 10 οὐδὲν μέντοι LM: οὐδὲν δὲ ex Aristotele t 12. 13 διακεκριμένα K et cod. Paris. Gr. 2063: διιρημένα L: διειλημμένα Mt 13 λέγομεν δυνάμει Mt 14. 15 ὥσπερ ἡ ὕλη λέγεται Mt 15 εἶναι LK: om. Mt 19 καὶ om. K 24 αὐτὰ L 25 καὶ τὰ πάθη LK: κατὰ πάθη Mt 26 καθ' αὐτὰ cod. Paris. Gr. 2063 fort. διὰ τὸ ⟨τὸν νοῦν διὰ⟩ τὴν μῖξιν 27 ὅπερ L 28. 29 εἰσὶν post ἕξεις colloc. Mt 29 τοῖς om. Mt ἅπερ LK: ἃ Mt

www.libtool.com.cn

φυκε, ζητεῖ δὲ καὶ ταῦτα χωρίσαι ὁ νοῦς, ἐπειδὴ πάντα βούλεται διακρῖναι, c 5v
ἀνόητος ἂν εἴη τοῖς ἀδυνάτοις ἐπιχειρῶν. 40

p. 188a7 Ἐὰν διακριθῶσιν, ἔσται τι λευκὸν καὶ ὑγιεινὸν οὐχ ἕτερόν τι ὂν οὐδὲ καθ' ὑποκειμένου.

5 Οὐ γὰρ ἐστιν αὐτὸ καθ' αὑτὸ λευκόν τι, ἀλλὰ δεῖ πρότερον ἕτερόν 45
τι εἶναι, εἶτα λευκὸν εἶναι ἢ μέλαν ἤ τι τοιοῦτον· τὸ γὰρ λευκὸν ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος ἢ ψιμμύθιον ἤ τι ἄλλο. ἐὰν οὖν χωρισθῶσι τὰ πάθη, ἔσται τι λευκὸν ὃ οὔτε ἄνθρωπός ἐστιν οὔτε ἕτερόν τι, οὐδ' ὅλως ἐν ὑποκειμένῳ τινὶ τὸ εἶναι ἔχον, ὅπερ ἀδύνατον. τὸ δὲ καθ' ὑποκειμέ-
10 νου ἀντὶ τοῦ ἐν ὑποκειμένῳ εἶπε· τοῦτο δὲ πολλαχῶς εἶπεν.

p. 188a13 Οὐκ ὀρθῶς δὲ οὐδὲ τὴν γένεσιν λαμβάνει τῶν ὁμοειδῶν.

Ὅτι κακῶς λαμβάνει ἐκ τῶν ὁμοίων γίνεσθαι τὰ γινόμενα. γίνεται 51
μὲν γὰρ ἄνθρωπος ἐξ ἀνθρώπων καὶ ἵππος ἐξ ἵππων, γίνεται δὲ καὶ ἐξ ἀνομοειδῶν· ἐξ ἵππων γὰρ σφῆκες σηπομένων, καὶ ἐκ ταύρων μέλισσαι,
15 καὶ ἐξ ὕδατος ἀήρ, καὶ ἐκ τούτου πῦρ. κακῶς οὖν ἐλάμβανεν ὅτι ἐξ ὁμοειδῶν πάντως ἡ γένεσις, ἐλάμβανε δὲ τοῦτο διὰ τὸ μηδὲν οἴεσθαι ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ἔκ τινος δὲ γινόμενα μὴ ἄνευ τοῦ | ἐναντίου γενέσθαι. c 6r
οὐ καλῶς δὲ οὐδὲ τὸ ἐκ τοῦ μὴ ὄντος μὴ γενέσθαι τι ἐλάμβανεν· ἐκ ⟨γὰρ⟩ τοῦ μηδαμῇ μηδαμῶς μὲν ὄντος ὡς ἐξ ὕλης οὐκ ἂν γένοιτό τι, ἐκ τοῦ
20 τὶ δὲ μὴ ὄντος ἀνάγκη τὴν γένεσιν εἶναι. καὶ γὰρ κατὰ τὸ ὑλικὸν αἴτιον ἐκ τὶ μὴ ὄντος γίνεται (τὸ γὰρ σπέρμα τὶ μὴ ὄν· οὐκ ἄνθρωπος γάρ), καὶ καὶ κατὰ τὸ ποιητικόν· τὸ γὰρ αἴτιον ἐξ ἀνάγκης δεῖ διαφέρειν τοῦ αἰτιατοῦ, εἰ καὶ κατ' οὐδὲν ἄλλο, ἀλλ' οὖν πάντως κατ' αὐτὸ τὸ αἴτιον καὶ 5
αἰτιατόν. ὥστε ἔστι τὶ μὴ ὂν τὸ αἴτιον· οὐκ ἔστι γὰρ ὅπερ τὸ αἰτιατόν.

25 p. 188a15 Καὶ οὐχ ὁ αὐτὸς τρόπος ὡς πλίνθοι ἐξ οἰκίας καὶ οἰκία ἐκ πλίνθων.

Οὐχ ὅνπερ τρόπον, φησίν, ἐκ πλίνθων ἡ οἰκία, τοῦτον τὸν τρόπον ἐκ τῶν πηλῶν ὁ πηλός· ἡ μὲν γὰρ οἰκία ἐξ ἀνομοειδῶν τῶν πλίνθων, ὁ

---

1 ὁ om. Mt 3 plenius lemma Εἰ οὖν μέμικται τὰ χρώματα, καὶ αἱ ἕξεις, ἐὰν etc. t ἐὰν δὲ L ἔσται τι] ἔτι K 3. 4 καὶ ὑγιεινὸν — ὑποκειμένου om. K 3 καὶ M: ἢ (nihil enot. ex L) t et Aristotelis libri (praeter E) 5 δεῖ ex δὴ K 5. 6 ἕτερόν τι L: τι (omisso ἕτερον quod consentaneum est excidisse propter homoeoteleuton post πρότερον) K: τι ἕτερον Mt 6 λευκὸν ἢ μέλαν εἶναι Mt 7 ψιμμύθιον t: ψιμύθιον KM: ψιμμίθιόν τι L 9.10 ὑποκειμένου] ὑποκειμένῳ L 10 πολλαχῶς LK: πολλαχοῦ recte Mt cf. Bonitz Index Ar. p. 798b38 sqq. 11 λαμβάνει τῶν ὁμοειδῶν om. K ὁμοειδῶν] cf. p. 101,17. Diels, z. *Textgesch.* p. 30, n. 4 13 ἐξ ἵππου K 17 γινόμενον K 18 μὴ γίνεσθαι L distinxi post ἐλάμβανεν et addidi γὰρ 19 τι om. K 20 τὶ δὲ] τόδε L 21 ἐκ LK: ἐκ τοῦ Mt fort. γίνεταί τι 25. 26 ὡς — πλίνθων om. K 27 φασὶν L

www.libtool.com.cn

δὲ πηλὸς ἐξ ὁμοειδῶν τῶν πηλῶν. εἶπον δὲ ὅτι οὐ κυρίως γίνεσθαι λέγε- c 6r
ται ὁ πηλὸς ἐκ πηλῶν· οὐδὲ γὰρ γένεσις τοῦτό ἐστιν ἀλλὰ πρόσθεσις,
εἰ μὴ γίνεσθαι ἁπλῶς εἴποι τις τοσόνδε πηλόν.

p. 188a16 Οὕτω δὲ καὶ ὕδωρ καὶ ἀὴρ ἐξ ἀλλήλων καὶ εἰσὶ καὶ γίνονται.

Τουτέστιν ἐξ ἀνομοειδῶν, ὥσπερ καὶ ἡ οἰκία ἐκ πλίνθων. βέλτιόν τε ἐλάττω καὶ πεπερασμένα λαβεῖν, ὅπερ ποιεῖ Ἐμπεδοκλῆς. εἰ γὰρ δυνατὸν τὰ αὐτὰ γεννᾶν ἐκ τῶν πεπερασμένων ἅπερ καὶ ἐκ τῶν ἀπείρων, κάλλιον τὸ ἐκ τῶν πεπερασμένων· τὰ γὰρ ἄπειρα ἄγνωστα. ὅθεν ταύτῃ μᾶλλον ὁ Ἐμπεδοκλῆς κατορθοῖ, τῷ πεπερασμένας ὑποτίθεσθαι τὰς ἀρχάς.

p. 188a19 Πάντες δὲ τὰ ἐναντία ἀρχὰς ποιοῦσιν.

Ἀντειπὼν κατ' ἀρχὰς πρὸς τὴν Παρμενίδου καὶ Μελίσσου δόξαν, καὶ δείξας ὅτι ἀδύνατον ἓν εἶναι τὸ ὄν (οὔτε γὰρ ἀρχὴ δύναται εἶναι, οὔτε ἀπὸ τῆς ἀρχῆς), μετῆλθεν ἐπὶ τὰς τῶν φυσικῶν δόξας καὶ εἶπεν ὅτι οἱ μὲν μίαν ὑποτίθενται τὴν ἀρχὴν οἱ δὲ πλείους, καὶ οἱ μὲν ἀπείρους οἱ δὲ πεπερασμένας, εἶτα ἤλεγξε τὴν Ἀναξαγόρου δόξαν ἀπείρους τὰς ἀρχὰς ὑποτιθεμένην. ἀκόλουθον ἦν ἐφεξῆς δεῖξαι ὅτι οὐδὲ πλείους ἐνδέχεται εἶναι καὶ πεπερασμένας· τούτου γὰρ δειχθέντος, κατελιμπάνετο τὸ ἀληθὲς ὅτι ἓν εἶναι τὸ στοιχεῖον τὸ ὑλικόν. περὶ γὰρ τούτου αὐτῷ καὶ προέκειτο δεῖξαι· καὶ γὰρ ὅτε τὴν τῶν ἀρχῶν διαίρεσιν ἐποιεῖτο, ὅτι ἀνάγκη τὰς ἀρχὰς ἢ μίαν εἶναι ἢ πλείους, περὶ τῶν ὑλικῶν ἀρχῶν ἔλεγεν. ὅτι μὲν οὖν ἔστι τις ἀρχὴ τῶν φυσικῶν πραγμάτων, ἔδειξεν ἐν ἀρχῇ, μᾶλλον δὲ ἔλαβεν ὡς ὡμολογημένον ὅτι τῶν φυσικῶν πραγμάτων εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, παρεθέμεθα δὲ ἡμεῖς καὶ τὸν Θεοφράστου λόγον, δι' οὗ ἐδείκνυ ἀρχὰς εἶναι τῶν φυσικῶν πραγμάτων. ἔδειξε δὲ ὁ Ἀριστοτέλης αὐτὸ τοῦτο καὶ ἐν τοῖς πρὸς Παρμενίδην καὶ Μέλισσον λόγοις, πρῶτον μὲν τῷ ἀνελεῖν τὴν ὑπόθεσιν τὴν μάλιστα τὸ εἶναι ἀρχὰς τῶν φυσικῶν πραγμά-

1 εἶπον p. 101,19 (?): εἶπε L 1. 2 γίνεσθαι λέγεται L: λέγεται γίνεσθαι Mt: λέγεται om. K 3 ἁπλῶς om. K τις LK: τίς ἁπλῶς Mt 4 lemma om. K 5 continuat lemma βέλτιον δ' (sic) ἐλάττω — ἐμπεδοκλῆς t 6 Τουτέστιν — πλίνθων om. K 6. 7 βέλτιόν τε hic omnes libri (et Arist. cod. E) 8 γεννᾶν K 10 τῷ] τὸ L 12 lemma om. K δὲ] δὴ Aristoteles τἀναντία t 13 ἀντειτὼν (ἀ rubrica) K καὶ κατ' ἀρχὰς L 14 γὰρ om. K 18 ὑποτιθεμένην LK: ὑποτιθεμένου Mt ἐφεξῆς om. superscr. M 19 ὅτι] fort. τὸ at cf. ad p. 36,11 20 εἶναι] ἐστὶ K αὐτῷ] αὐτοῦ K 21 ὅτε κτλ.] Phys. A 2 init. ὅτε] ὅτι L 24 ὁμολογημένον K 25 παρεθέμεθα p. 4,8 τὸν τοῦ θεοφράστου L 26 οὗ ἐδείκνυεν L 27 ἐν τοῖς κτλ.] A 2 p. 184b25 sqq. 28 τῷ] τὸ K 28 p. 109,1 τὸ εἶναι (ἔστιν K) ἀρχὰς τῶν φυσικῶν πραγμάτων ἀναιροῦσαν (ἀναιροῦσιν L) LK: ἀναιροῦσαν τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων Mt

www.libtool.com.cn

των ἀναιροῦσαν (αὕτη δέ ἐστιν ἡ λέγουσα ἓν εἶναι τὸ ὄν· ἑνὸς γὰρ ὄντος, c 6r
ὡς ἤδη εἶπον, ἀναιρεῖται καὶ ἡ ἀρχὴ καὶ τὰ ἀπὸ τῆς ἀρχῆς), ἔπειτα εἰ 30
πλείω τὰ ὄντα, αὐτόθεν εἰσάγει ὅτι καὶ ἀπό τινός εἰσιν ἀρχῆς. ἐπεὶ γὰρ
ἔστι κοινωνία τις ἐν τοῖς πολλοῖς καὶ διαφορά, αὕτη δὲ μήτε ἀπὸ ταὐτο-
5 μάτου αὐτοῖς ἐπεγένετο, μήτε ἐξ ἑνὸς τοῖς λοιποῖς (ἐκεῖνο γὰρ ἂν εἴη
ἀρχή), λείπεται τὸ ἔκ τινος ἄλλου ἀρχοειδεστέρου τὴν κοινωνίαν αὐτοῖς
ἐφήκειν. ὅτι μὲν οὖν ἔστιν ἀρχὴ τῶν φυσικῶν, δῆλον· ταύτην δὲ ἀνάγκη
ἢ μίαν εἶναι ἢ πλείους· καὶ εἰ πλείους, ἢ πεπερασμένας ἢ ἀπείρους. ὅτι
μὲν οὖν οὐκ ἐνδέχεται ἀπείρους εἶναι τὰς ἀρχάς, ἔδειξεν ἐν τοῖς πρὸς 35
10 Ἀναξαγόραν λόγοις· καὶ εἰκότως ταύτην πρώτην ἤλεγξε τὴν ὑπόθεσιν, διότι
μᾶλλον αὐτὴ τῇ ἀληθείᾳ μάχεται, λέγω δὴ τῇ λεγούσῃ μίαν εἶναι τὴν
ὑλικὴν ἀρχήν. εἰ οὖν μία ἐστὶν ἡ ὑλικὴ ἀρχὴ καὶ οὐκ ἐνδέχεται πλείους
εἶναι, πολλῷ μᾶλλον οὐδ' ἀπείρους. ἀκόλουθον οὖν ἦν δεύτερον ἐλέγξαι
ὅτι οὐδὲ πλείους καὶ πεπερασμένας ἐνδέχεται εἶναι, ἵνα οὕτως λοιπὸν τὸ
15 ἀληθὲς καταλείπηται ὅτι μία ἐστὶν ἡ ὑλικὴ ἀρχή, ὁ δὲ τοῦτο μὲν οὐ
ποιεῖ, μεταβαίνει δὲ πρότερον ἐπὶ τὰς εἰδικὰς ἀρχάς, εἶτα ὕστερον ἀνατρέχει 40
ἐπὶ τὸ λεῖπον καὶ δείκνυσιν ὅτι οὐδὲ πλείους καὶ πεπερασμένας ἐνδέχε-
ται τὰς ὑλικὰς ἀρχὰς εἶναι. δείξας γὰρ ὅτι τὰς εἰδικὰς ἀρχὰς δεῖ ἐναντίας
εἶναι, ἵνα τῷ δρᾶν καὶ πάσχειν εἰς ἀλλήλας τὴν γένεσιν ποιῶσι καὶ τὴν
20 φθοράν, διὰ τὸ μήτε τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖν μήτε τὸ τυχὸν ὑπὸ
τοῦ τυχόντος πάσχειν, ἀλλὰ τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, ἐπαπορεῖ τῷ
λόγῳ, καὶ δείξας ὅτι οὐχ οἷόν τε μόνα εἶναι τὰ ἐναντία ἀρχάς (οὐδὲ γὰρ
ἐνδέχεσθαι αὐτὰ εἰς ἑαυτὰ ποιεῖν καὶ πάσχειν, εἴ γε μηδὲ συνεῖναι
ὅλως αὐτὰ καθ' αὑτὰ δύνανται, δεῖ δὲ τὸ ποιοῦν καὶ πάσχον συνελθεῖν 45
25 εἰς ταὐτόν), ἀναγκαίως εἰσάγει τὸν περὶ τῆς ὕλης λόγον, ὅτι δεῖ ἄρα καὶ
τρίτην τινὰ ἀρχὴν εἶναι ὑποκειμένην τοῖς ἐναντίοις, ἥτις ἀνὰ μέρος ὑπ'
αὐτῶν πάσχουσα ποιήσει τὴν γένεσιν καὶ τὴν φθοράν. εἶτα τοῦτο λαβὼν
ἐλέγχει τὸ λοιπὸν τμῆμα τῆς διαιρέσεως τῶν ὑλικῶν ἀρχῶν, ὅτι οὐκ ἐν-
δέχεται πολλὰς εἶναι καὶ πεπερασμένας· εἰ γὰρ ἀρκεῖ ἡ μία τοῖς ἐναντίοις
30 ὑποκειμένη εἰς γένεσιν τῶν ὄντων, περιττὴ ἂν εἴη ἡ ἑτέρα.

Ταῦτα μὲν οὖν ἐν ἐκείνοις ἐξετάσομεν (τῆς γὰρ συνεχείας ἕνεκα τοῦ λό- 50
γου καὶ τῆς οἰκονομίας ταῦτα ἡμῖν εἴρηται), τὸ δ' οὖν προκείμενόν ἐστι δεῖξαι
ὅτι ἀνάγκη τὰς εἰδικὰς ἀρχὰς ἐναντίας εἶναι. ὅτι οὖν ἐναντίαι εἰσί, πιστοῦται
ἔκ τε τῆς τῶν παλαιῶν μαρτυρίας καὶ ἐκ τοῦ λόγου· καὶ γὰρ πάντες, φησί,
35 τὰς ἀρχὰς ἐναντίας ὑπέθεντο καὶ οἱ ἓν καὶ οἱ πλείω λέγοντες τὰ ὄντα.

---

1. 2 γὰρ ὄν τ' ἤδει εἶπον K 2 εἶπον p. 28,8 sqq. καὶ (ante ἡ) om. L 3 ὅτι om. K ἀρχῆς εἰσιν et in proximis αὐτὴ δὲ K 5 ἐπιγίνεται K τοῖς πολλοῖς L ἐκεῖνο Kt: ἐκεῖνα L: ἐκείνη M ἂν om. L 8 καὶ εἰ πλείους om. Mt 10 πρῶτον L 11 αὐτὴ L et, ut videtur, M: αὐτῇ Kt: malim αὕτη et mox ἀληθεῖ δὴ] δὲ L 13 οὖν om. Mt 14 οὕτω t 15 καταλίπηται L 16 πρότερον LK: πρῶτον Mt ἰδικὰς LK 17 καὶ ἐπὶ τὸ L οὐδ' εἰ K 18 ἰδικὰς (om. ἀρχὰς) δεῖ ἐναντία L 19 τῷ] τὸ L 21. 22 τῷ λόγῳ — οἷόν τε in eras. K 22 μόνας εἶναι τὰς ἐναντίας K 23 εἴτε μηδὲ L 24 εἰσελθεῖν L 30 ἡ om. L 31 οὖν] ἓν (sic) K ἐξετάσωμεν K 33 ἰδικὰς K οὖν et mox τε om. K 34 ἐκ om. L

www.libtool.com.cn

καὶ γὰρ αὐτὸς ὁ Παρμενίδης ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγων τὸ ὄν, c 6r
ἐν τοῖς πρὸς δόξαν τὰ ἐναντία ἀρχὰς ὑπετίθετο τὸ θερμὸν καὶ τὸ ψυχρόν·
καλεῖ δὲ τὸ μὲν ψυ|χρὸν γῆν τὸ δὲ θερμὸν πῦρ. τὸ δὲ θερμὸν καὶ τὸ c 6v
ψυχρὸν ἐναντία. καὶ ὁ Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα λέγων ἀρχάς, τὸ
5 μὲν πῦρ θερμὸν ἔλεγε, τὰ δὲ λοιπὰ ψυχρά. καὶ ὅσοι δὲ μανώσει ἢ πυκνώσει τοῦ κατ' αὐτοὺς στοιχείου τὰ ἄλλα γεννῶσιν, οἷός ἐστιν ὁ Θαλῆς, τὰ ἐναντία ἀρχὰς ὑποτίθενται· μάνωσις γὰρ καὶ πύκνωσις ἐναντία. καὶ Δημόκριτος δὲ τὰς ἀτόμους καὶ τὸ κενὸν ὑποτιθέμενος, τὰς ἀτόμους πλῆρες 5
ἐκάλει· τὸ πλῆρες γὰρ καὶ τὸ κενὸν ἀρχὰς εἶναι τῶν ὄντων ἔλεγε, τὸ δὲ
10 πλῆρες καὶ τὸ κενὸν ἐναντία, ἅτινα ὂν καὶ οὐκ ὂν ἐκάλει, καὶ δὲν καὶ οὐδέν, δὲν μὲν τὸ πλῆρες τὸ δὲ κενὸν οὐδέν. σύγκρισίν τε καὶ διάκρισιν ὅ τε Δημόκριτος αἰτίας ἔλεγεν εἶναι γενέσεως καὶ φθορᾶς καὶ ὁ Ἀναξαγόρας, ὁ μὲν τῶν ὁμοιομερῶν ὁ δὲ τῶν ἀτόμων. ἀλλὰ καὶ ὁ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν ἀρχὰς ὑπετίθετο. ταῦτα δὲ πάντα ἐναντία. ἀλλ' ἴσως
15 ἐρεῖ τις ὅτι οὐ πάντες τὰ κατ' αὐτοὺς ἐναντία εἰδικὰς ὑπετίθεντο ἀρχάς· 10
ὅ τε γὰρ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην ἔλεγε, καὶ ὁ Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα. ὁμοίως καὶ ὁ Παρμενίδης τὸ πῦρ καὶ τὴν γῆν· οὐ γὰρ δήπου, ὡς ἄν τις ὑπολάβοι, τὸ μὲν πῦρ ποιητικὸν ἢ εἰδικὸν ἔλεγε, τὴν δὲ γῆν ὑλικόν. εἰ γὰρ ἐναντία ἐστὶ ταῦτα, ἀδύνατον τὸ ἕτερον
20 τῷ ἑτέρῳ ὑποκεῖσθαι ὡς ὕλην· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία, ἡ δὲ ὕλη σωστικὴ τοῦ εἴδους ἐστίν. ὥστε ταύτῃ μὲν οὐκ ἂν εἴη τὸ μὲν ὕλη τὸ δὲ εἶδος, ἀλλ' οὐδὲ ποιητικὸν τὸ πῦρ· ἐναντία γὰρ αὐτὰ ὑπετίθετο, τὰ δὲ ἐναντία ἰσοσθενῆ εἰσι, καὶ οὐδὲν μᾶλλον τὸ ἕτερον εἰς τὸ ἕτερον δρᾷ ἢ 15
τὸ ἕτερον. ἀλλ' εἰ καί τινες τούτων τὰ ἐναντία ὡς ὕλην ὑπετίθεντο, ἀλλ'
25 οὐ τοῦτο ἁπλῶς νῦν πρόκειται δεῖξαι, τίνες μὲν ὡς ὕλην αὐτὰ ἐλάμβανον τίνες δὲ ὡς εἶδος, ἀλλ' ὅτι ἁπλῶς ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς φύσεως κινούμενοι ἐναντιότητα ἐν ταῖς ἀρχαῖς ὑπετίθεντο. καὶ τοῦτο εἰκότως· δεῖ γὰρ ταῖς πρωτίσταις ἀρχαῖς τρία ταῦτα ὑπάρχειν, τὸ μήτε ἐξ ἄλλων εἶναι (οὐ γὰ ἂν ἦσαν πρῶται ἀρχαί), μήτε ἐξ ἀλλήλων (οὐ γὰρ ἂν
30 εἶεν κυρίως ἀρχαὶ πρῶτ· ἔσται γὰρ οὕτως ἕκαστον καὶ ἀρχὴ καὶ οὐκ 20
ἀρχή). καὶ ἐξ αὐτῶν εἶναι τὰ ἄλλα (τοῦτο γὰρ μάλιστα ἴδιον τῶν ἀρχῶν), ταῦτα δὲ πάντα τοῖς ἐναντίοις ὑπάρχει τοῖς πρώτοις. πρῶτα δὲ ἐναντία

---

1 καὶ γὰρ κτλ.] cf. Themist. p. 131,18 2 ἀρχὰς om. superscr. M ὑπετίθετο L
6 τοῦ καταυτοῦ K γενῶσιν K θαλῆς t 7 ὑποτίθενται LK: ὑπετίθενται (αι compend.) M: ὑπετίθεντο t 8 τὰς ἀτόμους καὶ τὸ κενὸν ὑποτιθέμενος K: τὰς ἀτόμους ὑποτιθέμενος καὶ τὸ κενόν L: τὸ κενὸν καὶ τὰς ἀτόμους ὑποτιθέμενος Mt 10 καὶ δὲν K: καὶ ἓν LMt cf. Democr. fragm. Phys. 8 Mull. et Zeller I⁴ p. 770,3 11 δὲν μὲν K: καὶ ἓν μὲν L: ἓν μὲν Mt 12 γενέσεως εἶναι L 13 ὁμοιομερειῶν Mt
14 εἶναι ἀρχὰς L 16 καὶ τὸ μέγα καὶ L 18 ὑπολάβῃ K μὲν om. L
21 σωματικὴ L 22 ὑπετίθετο K: ὑποτίθενται L: ὑποτίθεται Mt τὰ δὲ] τὸ δὲ L 23 εἰσι om. K 24 ὡς] εἰς L 25 πρόκειται δεῖξαι LK: δεῖξαι προέκειτο Mt
26 ὅτι ὑπ' αὐτῆς ἁπλῶς K 27. p. 111,3 cf. Themist. p. 132,3 sqq. 27 εὐλόγως Arist.
at cf. c 8r 14. 17 30 εἶεν] ἦσαν L 31 τὰ ἄλλα] cf. c 8r 25

www.libtool.com.cn

λέγω τὰ γενικώτερα, ὑφ' ἃ τὰ ἄλλα πάντα ἀνάγονται· οὐκ ἐξ ἄλλων μὲν c 6v
γάρ, διότι πρώτως ὑπάρχουσι τῇ ὕλῃ, οὐκ ἐξ ἀλλήλων δέ, διότι οὐδέτερον
τοῦ ἑτέρου ποιητικόν, ἐξ αὐτῶν δὲ τὰ ἄλλα, διότι κατὰ τὴν συμπλοκὴν
τούτων πρὸς τὴν ὕλην τὰ ἄλλα γίνονται πάντα, καὶ ὅτι κατὰ μεταβολὴν
5 ἡ γένεσις, ἡ δὲ μεταβολὴ ἐξ ἐναντίων καὶ εἰς ἐναντία, ὡς δειχθήσεται. 25

Οὕτω μὲν οὖν ἐκ τῆς τῶν παλαιῶν δόξης δείκνυσιν ὅτι τὰ ἐναντία ἀρχαί,
δείκνυσι δὲ καὶ ἐκ τοῦ λόγου αὐτὸ τοῦτο. λαμβάνει δὲ πρότερον δύο τινὰ
ἀξιώματα ἐκ τῶν κοινῶν ἐννοιῶν ὁμολογούμενα, ἓν μὲν ὅτι οὐ τὸ τυχὸν
πέφυκεν ὑπὸ τοῦ τυχόντος πάσχειν, οὐδὲ ποιεῖν τὸ τυχὸν εἰς τὸ τυχόν·
10 οὐ γὰρ ἂν ποιήσειε γραμμὴ εἰς γλυκὺ οὐδὲ πείσεται ὑπ' αὐτοῦ, οὐδὲ
σίδηρος εἰς ἀδάμαντα δράσειεν ἄν. οὐ τοίνυν οὐδὲ γίνεται τὸ τυχὸν ὑπὸ
τοῦ τυχόντος (καὶ τοῦτο ἂν εἴη τῶν ἀξιωμάτων τὸ δεύτερον)· οὐ γὰρ ἂν 30
γένοιτό τι ἐκ μουσικοῦ γλυκὺ ἢ ἐκ μέλανος μουσικόν, ἀλλὰ λευκὸν ἐκ
μέλανος γίνεται καὶ θερμὸν ἐκ ψυχροῦ καὶ ἐξ ἀγαθοῦ κακὸν καὶ ἔμπαλιν.
15 ὁμοίως δὲ καὶ τὸ φθειρόμενον οὐκ εἰς τὸ τυχὸν φθείρεται· οὐ γὰρ ἂν
φθαρείη μουσικὸν εἰς μέλαν ἢ μέλαν εἰς γλυκύ, ἀλλὰ τὸ μὲν μουσικὸν
εἰς ἄμουσον φθείρεται καὶ τὸ μέλαν εἰς τὸ λευκὸν καὶ τὸ γλυκὺ εἰς πικρόν.
ὥστε γίνεται τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, καὶ φθείρεται τὸ ἐναντίον εἰς
τὸ ἐναντίον. καὶ οὐ δεῖ θαυμάζειν εἰ ἔναγχος μὲν ἐλέγομεν μὴ εἶναι ἐξ 35
20 ἀλλήλων τὰ ἐναντία, νῦν δέ φαμεν (μᾶλλον δὲ ἐκ τῆς ἐναργείας εἰλήφαμεν)
ὅτι οὔτε ἐκ τοῦ τυχόντος γίνεταί τι οὔτε εἰς τὸ τυχὸν φθείρεται, ἀλλὰ γί-
νεται ἐξ ἐναντίου καὶ φθείρεται εἰς ἐναντίον. ἄνω μὲν γὰρ ἐλέγομεν μὴ
γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία, μήτε ὡς ἐκ ποιητικοῦ αἰτίου μήτε ὡς
ἐξ ὑλικοῦ· οὔτε γὰρ παρακτικόν ἐστι τοῦ θερμοῦ τὸ ψυχρὸν καὶ δημιουρ-
25 γικόν, οὔτε τὸ θερμὸν τοῦ ψυχροῦ, οὔτε ἁπλῶς τὸ ἐναντίον τοῦ ἐναντίου,
τοὐναντίον δὲ καὶ φθαρτικὰ ἀλλήλων εἰσὶ τὰ ἐναντία. ἀλλ' οὐδὲ ὡς λέγο- 40
μεν ἐκ χαλκοῦ γίνεσθαι τὸν ἀνδριάντα, οὕτως ἐξ ἀλλήλων τὰ ἐναντία· οὐ
γὰρ ὑπομένει τὸ ἕτερον ἐπελθὸν τὸ λοιπόν, ὥσπερ ὁ χαλκὸς τὸ τοῦ ἀν-
δριάντος εἶδος, καὶ ἁπλῶς ἡ ὕλη τὸ εἶδος· ἅμα γὰρ ἦν οὕτω τὰ ἐναντία.
30 οὕτω μὲν οὖν οὐκ ἐξ ἀλλήλων τὰ ἐναντία. ἐξ ἀλλήλων δὲ πάλιν λέγεται
τῷ μετ' ἄλληλα εἶναι, ὥσπερ ὁ Πλάτων ἐν τῷ Φαίδωνι κυριώτερον ὠνό-
μασε 'μετ' ἄλληλα' αὐτὰ εἰρηκώς, διότι μετὰ τὸ λευκὸν τὸ μέλαν εὐθὺς
γίνεσθαι πέφυκε, καὶ πάλιν φθαρέντος τοῦ μέλανος τὸ λευκόν, καὶ ἐπὶ 45

---

1 ἄλλων LKM: ἀλλήλων t 3 τὴν om. K 8 ὁμολογημένα (sic) K 9 πέφυκεν om. L ποιεῖν (ποιεῖ superscr. L) τὸ τυχὸν εἰς τὸ τυχόν LK: ποιεῖν εἰς τὸ τυχὸν τὸ τυχόν (alterum τὸ τυχόν om. t) Mt 10 ἂν ποιήσει ἐν γραμμὴ K 11 δρώσειεν potius quam δράσειεν legas in M 12 εἴη τὸ ἀξίωμα K 17 εἰς τὸ πικρόν L 20 ἐνεργείας L 22 εἰς τὸ ἐναντίον L ἄνω] ἄλλω L 24 ἐξ om. L παρακτικόν Mt: παρἄκτικόν L: παρεκτικόν K 26 τοὐναντίον] τουναντίου K ἀλλήλων—ἀλλ' in eras. K 28 ἐπελθὼν K 29 fort. ἂν ἦν 30 οὖν om. K οὐκ om. L 31 τὸ μετ' K Φαίδωνι] respici videtur p. 102 D sqq. (cf. p. 70 D sqq.). cf. infra c 8r 48. Themist. p. 132, 16 32 διότε (ε ex ι) K 33 καὶ (ante πάλιν) in ras. L

www.libtool.com.cn

πάντων ὁμοίως. οὕτως οὖν ἐξ ἀλλήλων τὰ ἐναντία, ὅτι οὐκ ἂν γένοιτό τι c 6v
θερμὸν μὴ πρότερον ψυχρὸν ὄν, καὶ τὸ ὡς θερμὸν φθειρόμενον εἰς ψυχρὸν
πάντως μεταβάλλει. πάντως οὖν καὶ ἡ γένεσις ἐξ ἐναντίου εἰς ἐναντίον
καὶ ἡ φθορὰ ὡσαύτως, εἰ δὲ τοῦτο, ἀρχαὶ ἂν εἶεν πάντων τῶν φύσει γι-
5 νομένων τὰ ἐναντία. ἐπὶ μὲν οὖν τῆς τῶν συμβεβηκότων γενέσεως καὶ
φθορᾶς πρόδηλον τὸ τοιοῦτον, ἀλλ' ἐπειδὴ κοινῶς πάντων τὰς ἀρχὰς
ζητοῦμεν καὶ αὐτῶν τῶν οὐσιῶν, δεῖ δεῖξαι πῶς καὶ τῶν οὐσιῶν ἀρχαὶ 50
ἂν εἶεν τὰ ἐναντία· δέδεικται γὰρ ὅτι τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. ἡ
μὲν οὖν κατὰ ἀλλοίωσιν γένεσις πρόδηλον ὅτι ἐξ ἐναντίων καὶ εἰς ἐναντία,
10 καὶ οὐ μόνον αὐτή, ἀλλὰ καὶ ἡ τῶν ἁπλῶν σωμάτων εἰς ἄλληλα μετα-
βολή· εἰ γὰρ καὶ μὴ ἔστιν οὐσία οὐσίᾳ ἐναντία, ἀλλ' οὖν κατ' ἐναντίας
ποιότητας ἡ εἰς ἄλληλα τῶν στοιχείων γίνεται μεταβολή. οὐκ ἔστι μὲν
γὰρ τὸ πῦρ τῷ ὕδατι ὡς οὐσία οὐσίᾳ ἐναντίον (κοινὸν γὰρ ἔχουσι τὸ ὑπο-
κείμενον), κατ' εἴδη μέντοι ἐναντία· εἰδοπεποίηται γὰρ ἕκαστον αὐτῶν, τὸ
15 μὲν κατὰ τὸ θερμὸν καὶ ξηρόν, τὸ δὲ κατὰ τὸ ὑγρὸν καὶ ψυχρόν. λέγε- c 7r
ται δὲ οὐσία οὐσίᾳ μὴ εἶναι ἐναντία οὐχ ἁπλῶς πᾶσα, ἀλλ' ἡ σύνθετος,
τὰ μέντοι ἁπλᾶ εἴδη κατ' ἐναντίωσιν χαρακτηρίζεται, τὸ ξηρὸν λέγω καὶ
τὸ ὑγρὸν καὶ ψυχρὸν καὶ θερμόν· ἐν δὲ τοῖς συνθέτοις οὐδέν ἐστι καθάπαξ
ἠναντιωμένον πρὸς τὸ ἕτερον· πάντων γὰρ τὸ ὑποκείμενον ἓν καὶ ταὐτόν.
20 Τὰ μὲν οὖν ἁπλᾶ ὅτι ἐξ ἐναντίων γίνεται καὶ εἰς ἐναντία φθείρεται, εἴτε 5
κατ' οὐσίαν εἴη ἡ μεταβολή, ὡς ἐπὶ τῶν στοιχείων, εἴτε κατὰ συμβεβηκός,
πρόδηλον, ἐπὶ δὲ τῶν συνθέτων οὐσιῶν οὐκέτι προφανὲς τὸ ἐξ ἐναντίων
ἔχειν αὐτὰς τὴν γένεσιν καὶ εἰς ἐναντία φθείρεσθαι· τοῦτο δέ, φησί, συμ-
βαίνει διὰ τὸ μὴ ὠνομάσθαι τὰς ἀντικειμένας ταῖς γενέσεσι δια-
25 θέσεις. ἵνα οὖν δείξῃ ὅτι καὶ αἱ τῶν συνθέτων γενέσεις ἐξ ἐναντίων
εἰσίν, εὑρίσκει μέθοδον κατὰ τὴν ἀγχίνοιαν τὴν ἑαυτοῦ, δι' ἧς ἔδειξεν ὅτι
πάντως καὶ αἱ σύνθετοι οὐσίαι ἐξ ἐναντίων γίνονται. φησὶν οὖν ὅτι αἱ
κατὰ σύνθεσιν τῶν ἁπλῶν γενόμεναι οὐσίαι ἔχουσι δηλονότι τῆς συνθέσεως 10
τῶν ἁπλῶν τινα λόγον καὶ ἁρμονίαν, καθ' ἣν ἐγένοντο (ἡ γὰρ τοιάδε τῶν
30 ἁπλῶν σύνθεσις καὶ κρᾶσις τὰ σύνθετα ποιεῖ), καὶ καθόλου τὰ σύνθετα
τῶν πραγμάτων ἢ τάξιν ἔχουσι μόνην καθ' ἣν ἐγένοντο ἢ σύνθεσιν μόνην
ἢ ἀμφότερα· οἷον ἀνδριὰς μὲν οὖν μόνην τάξιν ἔχει, διότι ἕκαστον τῶν
μορίων τὴν οἰκείαν δεῖ ἔχειν χώραν, ὁ σωρὸς δὲ τῶν καρπῶν μόνην

---

3 καὶ om. Mt 4 ἀρχὴ ἂν εἴη K 4. 5 τὰ ἐναντία ante πάντων ponit L
5 γενέσεώς τε καὶ Mt 10 αὐτὴ LK: αὕτη recte Mt 10. 11 post εἰς ἄλληλα μεταβολή addit οὐκ ἔστι μὲν ἄλλως· K 11 καὶ om. L οὐσία οὐσία L: οὐσία οὐσίας KMt 13 γὰρ (post κοινὸν) iterat K 14 γὰρ om. sublata post ἐναντία distinctione Mt 14. 15 τὸ μὲν] τοῦ μὲν K 16 οὐσία οὐσία K: οὐσία LMt
17 χαρακτηρίζονται L 18 καὶ ψυχρὸν] τὸ ψυχρὸν K 19 πάντως L
21 τὸ στοιχεῖον τῶν στοιχείων L 24 ὠνομᾶσθαι libri 26 alterum τὴν om. K αὐτοῦ K 28 γενόμεναι L: γινόμεναι KMt οὐκ ἔχουσι L 29 καθ' ἣν ἐγένοντο om. Mt 29 sq. σῃ(μείωσαι) marg. M 30 καὶ καθόλου] καὶ ὁλ' K 32 οὖν om. Mt
33 καρπὸν compend. K

www.libtool.com.cn

σύνθεσιν (οὐδὲ γὰρ τάξεως δεῖ τοῖς κόκκοις, ἀλλὰ μόνον σωρείας), ἡ δὲ c 7r
οἰκία καὶ τάξιν καὶ σύνθεσιν. τὰ αὐτὰ δὲ ταῦτα καὶ ἐπὶ τῶν φυσικῶν ἔστιν 15
ἰδεῖν· σύνθεσις μὲν γὰρ μόνη ἐπὶ τῶν ὁμοιομερῶν, οἷον λίθων ἢ σαρκῶν
αἵματος καὶ τῶν τοιούτων, σύνθεσις δὲ καὶ τάξις ἐπὶ τῶν ἀνομοιομερῶν
5 ζῴων καὶ φυτῶν καὶ τῶν τοιούτων, τάξιν δὲ μόνην ἐπὶ τῶν φυσικῶν οὐκ
ἔστιν εὑρεῖν. δῆλον δὲ ὅτι διαφέρει ἡ τῶν φυσικῶν σύνθεσις τῶν τεχνη-
τῶν, διότι ἐπὶ μὲν τῶν τεχνητῶν σωρεία μόνον ἐστὶ καὶ παράθεσις τῶν
συντιθεμένων, ἐπὶ δὲ τῶν φυσικῶν καὶ συμπάθειά τις γίνεται πρὸς ἄλληλα
τῶν συντιθεμένων, ἣν καλοῦμεν κρᾶσιν. εἰ τοίνυν κατὰ σύνθεσίν τινα καὶ 20
10 ἁρμονίαν γίνεται λίθος καὶ ξύλον καὶ ἵππος καὶ ἄνθρωπος, δῆλον ὅτι καὶ
ἐγένοντο ἐξ ἀναρμοστίας καὶ ἀσυνθεσίας. ὥσπερ ἡ οἰκία σύνθεσίς τίς ἐστι
τοιάδε καὶ σχῆμα· τοιγαροῦν γίνεται ἐξ ἀσυνθεσίας καὶ ἀσχημοσύνης τῆς
τοιᾶσδε. ὁμοίως δὲ καὶ [εἰ] ἡ ἁρμονία οἷον ἡ Λύδιος ἡ Φρύγιος ἡ Ἰάς,
ἁρμονία τις οὖσα τῆς νεάτης πρὸς τὴν ὑπάτην τὸν ἡμιόλιον, φέρε εἰπεῖν,
15 ἢ τὸν ἐπίτριτον ἢ τὸν διπλασίονα ἐχούσης λόγον· καὶ γὰρ δῆλον ὅτι ἐκ
τοῦ μὴ διπλασίου ἢ μὴ ἡμιολίου ἢ μὴ ἐπιτρίτου, ὅπερ ἐστὶν ἀναρμοστία 25
τῆς Λυδίου τυχὸν ἢ τῆς Φρυγίου ἢ τῆς Ἰάδος ἁρμονίας. καὶ φθείρεται δὲ
πάλιν ἡ ἁρμονία καὶ σύνθεσις εἰς τὴν ἀσυνθεσίαν καὶ ἀναρμοστίαν.

Ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτως ἔχει καὶ ἐπὶ τῆς τῶν οὐσιῶν γενέσεως.
20 ἐπεὶ γὰρ ὁ ἄνθρωπος τοιάδε τίς ἐστι σύνθεσις καὶ ἁρμονία τῶν ἁπλῶν, ᾗ ἐπι-
γίνεσθαι πέφυκε τὸ εἶδος, δῆλον ὅτι γέγονεν ἐξ ἀσυνθεσίας καὶ ἀναρμοστίας,
καὶ ἁπλῶς πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε γίνεται, ἐξ οὐ τοιοῦδε δὲ οὐ
παντός, ἀλλὰ τοῦ ἀντικειμένου. ἀλλ' αἱ μὲν ἕξεις καὶ τὰ εἴδη ἰδίῳ ἑκάστη 30
ὀνόματι κέκληται, αἱ μέντοι ἀντικείμεναι διαθέσεις τούτων οὐκ ἔχουσιν ἴδια
25 ὀνόματα, ἀλλὰ τῷ κοινῷ τῆς στερήσεως ὀνόματι κέκληνται· ὅθεν οὐ δοκεῖ
ἐκ τῶν ἐναντίων ταῦτα γίνεσθαι, ὥσπερ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἢ τὸ
ξηρὸν καὶ τὸ ὑγρόν, ἐξ ὧν καὶ τοῖς ἁπλοῖς σώμασιν ἡ εἰς ἄλληλα μετα-
βολή. ὅθεν πρόδηλος καὶ ἐπὶ τούτων ἡ ἐναντιότης καθ' ἣν γίνονται, ἐπὶ
δὲ τῆς τῶν συνθέτων γενέσεως, διὰ τὸ μὴ ὠνομάσθαι τὰς ἀντικει-
30 μένας διαθέσεις, ἄδηλον δοκεῖ εἰ ἐκ τῶν ἐναντίων αὐτοῖς ἡ γένεσις, 35
καὶ μὴ ἁπλῶς ἐκ τῆς στερήσεως ἥτις ἂν ᾖ, ὥσπερ καὶ ἐπὶ τῶν τεχνη-
τῶν ἔχει. ἡ γὰρ Λύδιος ἁρμονία γίνεται ἐκ τῆς ἀναρμοστίας τῆς Λυδίου,
ἀλλ' ἡ Λύδιος ἀναρμοστία δύναται εἶναι Φρύγιος ἁρμονία ἢ ἑτέρα τις,
δύναται δὲ καὶ ἁπλῶς ἀναρμοστία εἶναι τῶν χορδῶν ὁπωσοῦν ἐχουσῶν,

---

1 σωρείας μόνον Mt 3 ἢ deleverim 4 ἢ αἵματος K 6 δὲ om. L 6. 7 τεχνιτῶν priore loco compendiose, τεχνιτῶν altero loco K 7 παράθεσις t: περίθεσις LKM 8. 9 γίνεται τῶν συντιθεμένων πρὸς ἄλληλα K 11 τίς om. Mt 12. 13 τῆς τοιάδε K 13 εἰ delevi ἡ φρύγιος LK: ἢ φρύγιος Mt ἡ ἰάς L: ἢ ἰάς KMt 14 νεάτης LK: νήτης Mt at cf. g1v40. 41 τὴν ἡμιόλιον L 16 μὴ ante διπλασίου om. Mt, ante ἡμιολίου om. L ὅπερ ὑπὲρ ἀναρμοστίας L 17 τυχὸν τῆς λυδίου Mt τῆς ἠϊάδος K 20 ᾗ] ἡ K 22 ἐξουτιοῦδε utrobique K δὲ om. K 24 κέκλησται, ut videtur, K 29 συνθέτων ex σωμάτων corr. M 30 εἰ] ἡ K 32 δοκεῖ L

www.libtool.com.cn

καὶ τοῦτο ποικίλως ἄλλοτε ἄλλως ἐπιτεταμένων μᾶλλον ἢ ἀνειμένων. καὶ c 7r
ἡ τῆς οἰκίας σύνθεσις ἐξ ἀσυνθεσίας γινομένη ἐξ ἀορίστου τῆς ἀσυνθεσίας
ταύτης γίνεται· δύναται γὰρ ὁ οἰκοδόμος ἄλλοτε ἐξ ἄλλης ἀναρμοστίας καὶ
ἀσυνθεσίας λίθων ποιῆσαι τὴν οἰκίαν συντιθεὶς τοὺς λίθους καὶ ἁρμόζων.
ἐπὶ μὲν οὖν τῶν τεχνητῶν οὐχ ὥρισται τὸ ἀντικείμενον, διότι τοῖς πολλοῖς
τῶν τεχνητῶν οὐδὲ ἐξ ἐναντίων ἡ γένεσις, ἀλλ' ἐκ στερήσεων μόνον·
τοῦτο δὲ διότι οὐδὲ τῷ σχήματι καὶ τῇ μορφῇ ἔστι τι ἐναντίον, εἰ μὴ
οὕτως ὡς ἀσχημάτιστον ἐσχηματισμένῳ καὶ ἄμορφον μεμορφωμένῳ, τοῦτο
δὲ στέρησίς ἐστι καὶ ἕξις, οὐκ ἐναντιότης. ὅσαι οὖν τῶν τεχνῶν σχῆμα
μόνον ἢ μορφὴν τοῖς ἰδίοις ἔργοις ἐπιτιθέασιν, ἐπειδὴ τῇ μορφῇ καὶ τῷ
σχήματι οὐδέν ἐστιν ἐναντίον, διὰ τοῦτο οὐδὲ ἐξ ἐναντίων ποιοῦσι τὰ ἴδια
ἔργα, ἀλλ' ἐκ στερήσεων μόνον, ὅσαι δὲ καὶ περὶ τὰ ἄλλα εἴδη τῆς ποιό-
τητος ἐνεργοῦσιν, ἐν οἷς ἐστὶ τὸ ἐναντίον, αὗται πάντως ἐκ τῶν ἐναντίων
ποιοῦσιν ἢ πάντως ἐκ τῶν μεταξύ· ἐκ λευκοῦ γὰρ οἱ βαφεῖς μέλαν ποιοῦ-
σιν ἢ τῶν μεταξὺ καὶ πεπηγὸς ἐκ κεχυμένου καὶ σκληρὸν ἐκ μαλακοῦ καὶ
ἔμπαλιν, καὶ ἐπὶ πάντων ὁμοίως. αἱ μὲν οὖν τέχναι οὕτως, ἡ δὲ φύσις
ἐπειδὴ μὴ σχῆμα μόνον τοῖς πράγμασιν ἐπιτίθησιν, ἀλλὰ καὶ τὰς λοιπὰς
οὐσιώδεις ποιότητας, ἐν οἷς ἐστὶν ἡ ἐναντιότης, ἐξ ἀνάγκης δεῖ πάντως τὰ
γινόμενα ὑπ' αὐτῆς ἐξ ἐναντιώσεών τινων γίνεσθαι, εἰ καὶ μή εἰσιν ὠνο-
μασμέναι αὗται αἱ ἐναντιώσεις· οὐ γὰρ ἁπλῶς ἐκ τῆς στερήσεως ποιεῖ τὸν
ἄνθρωπον, λέγω δὴ τοῦ οὐκ ἀνθρώπου, ἐπειδὴ καὶ ὁ ἵππος οὐκ ἄνθρωπός
ἐστι, καὶ ὁ λίθος οὐκ ἄνθρωπος, καὶ πάντα τὰ μετ' αὐτόν. διὰ τί μὴ
γίνεται προσεχῶς ἐκ λίθων ὁ ἄνθρωπος ἢ ἐξ ἵππου ἢ ἐξ ἄλλου τινὸς τῶν
παρ' αὐτόν, λέγω δὴ ὡς ὑλικοῦ αἰτίου, ἵνα τὸ σπέρμα τυχὸν τὸ ἵππειον
καὶ τὸ ἀνάλο|γον τῷ γυναικείῳ καταμηνίῳ τὸ ἐν τῇ ἵππῳ ἀνθρώπου ὕλη c 7v
γένηται; ὁμοίως διὰ τί μὴ προσεχῶς ὕλη ἀνθρώπου γίνεται λίθος ἤ τι
τῶν λοιπῶν ἐμψύχων τε καὶ ἀψύχων; ἐπεὶ οὐδ' ὅσα ἐκ στερήσεων καὶ
οὐκ ἐξ ἐναντίου γίνονται, οὐδὲ ταῦτα ἁπλῶς ἐκ τῆς τυχούσης στερήσεως
γίνεται. λέγοιτο δ' ἂν καὶ τὸ ὕδωρ οὐκ οἰκία καὶ ὁ ἵππος οὐκ οἰκία,
ἀλλ' ὅμως οὐκ ἂν γένοιτο ἐκ τούτων οἰκία, διότι μηδὲ κυρίως ἐπὶ τού-
των ἡ στέρησις, ἀλλὰ μόνον ἡ ἀπόφασις, στέρησις δὲ ἐπὶ τούτων ἐφ' ὧν
καὶ ἡ ἕξις πέφυκε γίνεσθαι. ἀλλ' ἐφ' ὧν μὲν ἡ γένεσις σχημάτων ἐστὶ
μόνον καὶ μορφῶν, ἐπὶ τούτων οὐκ ἔστιν ἐπὶ τῆς στερήσεως εὑρεῖν ἐναν-

---

1 ἐπιτεταμένον et ἀνειμένον K 3 ἄλλοτε K: ἄλλως τὲ L: ἄλλος τὲ (ἄλλ°τὲ M) Mt
5 διότι τὰ πο ΛΛ K 6 et 12 στερήσεως K 9 στέρησίς τίς ἐστι L 11 ἴδια] οἰκεῖα K 12 μόνων L εἴδει K 14 ποιοῦσιν et paulo post βαφοῖς K
16 ἐπὶ παν τ K 17 ἐπιτήθησιν K 18 fort. ἐν αἷς πάντως δεῖ Mt
19 ἐναντιώσεών LK: ἐναντίων Mt 22 διατὶ γὰρ μὴ fortasse recte K 23 γίνεται Mt: compend. (cf. ad p. 119,7) K: γίνεσθαι L ὁ om. K ἐξ ἵππων L 24 ἵππιον L
25 καὶ LK: om. Mt γυναικίῳ LK τὸ (ante ἐν) scripsi: τῷ libri ἵππῳ] ὑπὸ K 27 ἐπειδὴ Mt 28 γίνονται δὲ (non οὐδὲ) ταῦτα K 29 οὐκ οἰκία (post ἵππος) om. L 31 ὧν KMt: οὗ L 32 γέννησις L 32. 33 καὶ μορφῶν ἐστι μόνον traicit K 33 μόνων L

www.libtool.com.cn

τίωσιν, ἐφ' ὧν δὲ καὶ ποιότητές εἰσι παθητικαί, ἐπὶ τούτων ἐξ ἀνάγκης c 7v
καὶ ἡ ἐναντιότης. ἐπὶ γοῦν τῆς προσεχοῦς ὕλης ἐξ ἧς ὁ ἄνθρωπος, λέγω
δὴ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου, εἰ καὶ καλεῖται ταῦτα οὐκ ἄνθρωπος
ὡς ἔχοντα ἐν ἑαυτοῖς τὴν τοῦ ἀνθρώπου στέρησιν, ἣν ἀποβαλόντα εὐθὺς
5 τὸ εἶδος δέχονται, ἀλλ' οὖν ἀνάγκη εἶναί τινα ἐν τούτοις καὶ ἐναντίωσιν 10
πρὸς τὸν ἄνθρωπον (ἄνθρωπον δὲ λέγω τὸν σύνθετον, λέγω δὴ τὸ ἡρμο-
σμένον σῶμα, ᾧ τὸ εἶδος τὸ ζωτικὸν ἐπιγίνεσθαι πέφυκεν)· εἰ γὰρ πάσχει
τι καὶ μεταβάλλει οὐσιωδῶς, οὔτε δὲ τὸ ὅμοιον εἰς τὸ ὅμοιον μεταβάλλει,
οὔτε ἁπλῶς εἰς ἕτερόν τι, ἀλλ' εἰς τὸ ἐναντίον, ἀνάγκη πᾶσα εἶναί τινα
10 ἐναντίωσιν ἐν τῷ σπέρματι, καθ' ἣν πάσχον ποιεῖ τὸ σῶμα ἐξ ὑγροτέρου,
φέρε εἰπεῖν, ξηρότερον γινόμενον, ἐκ κεχυμένου πεπηγός, ἐκ θερμοτέρου
ψυχρότερον, καὶ οὕτω πάσχον μᾶλλον ἢ ἧττον κατὰ τὰς ἐναντίας ποιότη- 15
τας τὰ διάφορα τοῦ ἀνθρώπου ἐπιτελεῖ μόρια ὁστοῦν σάρκα νεῦρον καὶ
τὰ λοιπά. ὅπερ δὲ ἐπὶ τούτου εἶπον, τοῦτο καὶ ἐπὶ πάντων ἐμψύχων τε
15 καὶ ἀψύχων φημί, λέγω δὴ μετάλλων· κἀκεῖ γὰρ ἡ αὐτὴ ἀναλογία. ὥστε
εἰ ταῦτα οὕτως ἔχει, πρόδηλον ὅτι πᾶσα γένεσις ἐξ ἐναντίων καὶ εἰς ἐναν-
τία. ὁμοίως δὲ καὶ ἡ φθορά. δέδεικται ἄρα καὶ ἐκ τοῦ λόγου ὡς ἀνάγκη
τὰς εἰδοποιοὺς τῶν ὄντων ἀρχὰς ἐναντίας εἶναι.

Μήποτε δὲ καὶ ἐπὶ τῶν τεχνητῶν πάντων ἔστι τὴν αὐτὴν ἀναλογίαν φυλά-
20 ξαι· οὐ γὰρ ἐκ τῆς αὐτῆς ἀναρμοστίας καὶ ἀσυνθεσίας θρόνος τε ἂν γένοιτο καὶ 20
ἀβάκιον. νῦν γὰρ περὶ ὕλης τῆς προσεχεστάτης ἡμῖν ὁ λόγος, ἥτις μόνου ἐστὶ
προσεχῶς τοῦδέ τινος· διὰ τοῦτο γὰρ καί φαμεν μὴ πᾶν ἐκ παντὸς γίνεσθαι.
εἰ γὰρ περὶ τῆς ἁπλῶς ὕλης ἦν ἡμῖν ὁ λόγος, δῆλον ὅτι κατὰ ταύτην πᾶν ἐκ
παντὸς γίνεται ἀναλυομένου ἑκάστου εἰς τὴν ὕλην, καὶ οὕτως τῆς ἐκείνῳ
25 ὑποκειμένης ὕλης πᾶσι τοῖς ἄλλοις ὑποκεῖσθαι δυναμένης, καὶ ἢ εὐθὺς καὶ
ἀμέσως, ἢ διά τινων μέσων, λέγω δὴ πρώτων, εἰς ἄλλα καὶ ἄλλα μετα- 25
βαλλούσης· οἷον φθαρέντος τοῦ λίθου τὰ ὑποκείμενα αὐτῷ τέσσαρα στοιχεῖα
μεταβάλλει εἰς καρπούς, κἀκεῖνο εἰς αἷμα, κἀκεῖνο εἰς σπέρμα, ὅπερ ἐστὶ
προσεχῶς ὕλη ἀνθρώπου, ἀλλὰ καὶ ἀμέσως ὡς ὅτε ἵππῳ σηπομένῳ
30 σφῆκες γίνονται ἢ σκώληκες. ἐπεὶ οὖν οὐ περὶ τῆς ἁπλῶς ὕλης καὶ κοινῆς
ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τῆς προσεχεστάτης, φημὶ ὅτι οὐ μόνον ἐπὶ τῶν

---

1 ποιότητές] πιο ιτ K 2 ἐπεὶ γοῦν K προσεχῶς L 4 ἀνθρώπου iterat K
ἀπολαβόντα LK 5. 6 τινα ἐναντιο ιτ ἐν τούτοις πρὸς K 7 ᾧ] ὡς L 11 γενόμε-
νον L 14 ἐμψύχου K 14. 15 τὲ καὶ ἀψύχου (sic) bis habet K 15 μεταλλήλων
compend. K 19 αὐτὴν om. Mt 19. 20 φυλάσσειν L 20 αὐτῆς om. K
γένοιτο ἂν L 21 ἀβάκιον] ἀβάκκιον fere constanter (at cf. d 5v34. e 1r13. g 1v11) K:
ἀββάκιον (sed infra p. 116,6 τὸ ἀβάκιον et p. 116,8 τοῦ ἀβα κ M) LMt τῆς om. K
ἥτις] ὅση τίς L 23 γὰρ περὶ LK: γὰρ μὴ περὶ Mt ὑμῖν K 24 οὕτω t
25 δυναμένης om. K 26 εἰς ἄλλα] εἰς ἄλληλα L 27 στοιχεῖα K 28 κἀκεῖνοι
utrobique (priore loco fortasse recte) K 29 καὶ εἰ μέσως ὡς ὅταν K σηπομένων
compend. K num ἵππου σηπομένου? 30 σφίκες L 31 τῆς προσε στ (sed recte
p. 116,15 προσεχε στ) K

www.libtool.com.cn

φυσικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν τεχνητῶν οὐκ ἐκ τῆς τυχούσης ἀναρμοστίας c 7v
καὶ ἀσυνθεσίας τὸ τυχὸν εἶδος· ὁ γὰρ τέκτων ἄλλως μὲν κατασκευάζει
τὴν τοῦ ἀβακίου ὕλην, ἄλλως δὲ τὴν τοῦ θρόνου ἢ ἑτέρου τινός. εὐτρε-
πισθείσης οὖν τῆς ὕλης τοῦ τε ἀβακίου καὶ τοῦ θρόνου μήπω μέντοι
5 συναρμοσθέντων τῶν ὑλικῶν, ἔστι τις καὶ ἐν τῇ ὕλῃ τοῦ ἀβακίου ἀναρ-
μοστία καὶ ἀσυνθεσία, ἔστι δὲ καὶ ἐν τῇ τοῦ θρόνου, καὶ οὔτε τὸ ἀβάκιον
γένοιτο ἂν ἐκ τῆς ἀναρμοστίας καὶ ἀσυνθεσίας τῆς ἐν τῇ ὕλῃ τοῦ θρόνου,
οὔτε ὁ θρόνος ἐκ τῆς τοῦ ἀβακίου. ἰδία ἄρα ἀναρμοστία καὶ ἀσυνθεσία
ἀντίκειται ἑκάστῳ, ἐν ᾗ ἴσως καὶ ἐναντιότης τις ἐνθεωρηθήσεται κατ'
10 αὐτὸ τοῦτο τὸ ἀνάρμοστον καὶ ἀσύνθετον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν.
καὶ γὰρ ἐπὶ τῆς Λυδίου εἰ τύχοι ἁρμονίας ἔστι τις ἑκάστης χορδῆς τάσις,
ᾗτινι γενομένῃ εὐθὺς ἐπιγίνεται τὸ τῆς ἁρμονίας εἶδος. τῇ οὖν εὐθὺς
πρὸ αὐτῆς ἀναρμόστῳ τάσει ὑπάρχοι ἂν ἡ ἀναρμοστία αὐτῆς, ἤγουν κἂν
ἑκάστη τῶν χορδῶν τὴν προσήκουσαν τάσιν λάβοι, πρὶν οἷον συντεθῶσιν
15 αἱ χορδαὶ καὶ ὁ ἀπ' αὐτῶν ἦχος συγκραθῇ, ἡ προσεχέστατά ἐστιν ἀντι-
κειμένη ἀναρμοστία τῇ Λυδίῳ ἁρμονίᾳ καὶ οὐδεμιᾷ ἄλλῃ.

p. 188a19 Οἵ τε λέγοντες ἓν τὸ πᾶν καὶ μὴ κινούμενον.

Ὁ γὰρ Παρμενίδης, καίτοι ἓν λέγων τὸ πᾶν, ὅμως ἐν τοῖς πρὸς
δόξαν θερμὸν καὶ ψυχρὸν ἀρχὰς τίθεται τῶν ὄντων. καὶ οἱ μανὸν καὶ
20 πυκνόν, ὧν ἐστι Θαλῆς· τὸν γὰρ ἀέρα ὡς ὕλην ὑποτιθεὶς μανότητι καὶ
πυκνότητι ἐξ αὐτοῦ εἰδοποιεῖ τὰ λοιπά. καὶ Δημόκριτος πλῆρες καὶ
κενόν· πλῆρες γὰρ τὰς ἀτόμους ἐκάλει, κενῷ δὲ ταύτας διείργεσθαι.
ἐκ τῆς συμπλοκῆς οὖν τοῦ κενοῦ καὶ τοῦ πλήρους εἰδοποιεῖσθαι πάντα.
ἀλλ' ἐπειδὴ πολλὴ διαφορὰ ἐν τοῖς οὖσιν, ἑτέρας ὑποτιθέμενος ἐναντιώ-
25 σεις, οὕτως ἀπεδίδου τῆς διαφορᾶς τῶν ὄντων τοὺς λόγους· ὅσον γὰρ ἐπὶ
τῷ κενῷ καὶ τῷ πλήρει, ἐπειδὴ πάντα ἐκ τούτων, οὐδὲν ἂν ἔμελλον ἀλλή-
λων διοίσειν. διὰ τοῦτο οὖν ἕτερα τρία γένη ἐναντίων ὑποτίθεται, ὧν πρὸς
τὰς διαφορὰς διάφορα εἶναι καὶ τὰ ἀποτελούμενα. εἶναι μὲν γὰρ ἐναντίας
ἀλλήλαις τοῖς σχήμασι τὰς ἀτόμους τῷ τὰς μὲν εἶναι γεγωνιωμένας, τὰς
30 δὲ ἀγωνίους· ἐναντίον γὰρ εἶναι τὸ γεγωνιωμένον τῷ ἀγωνίῳ. διαφέρειν
οὖν τὰ σύνθετα κατά τε ταύτην τὴν ἐναντίωσιν τῷ τὰ μὲν ἐκ γεγωνιω-

---

2 ἀσυνθεείας K παρασκευάζει L 4 ὕλης ἢ τοῦ ἀβακκίου ἢ τοῦ θρόνου K καὶ τοῦ] τῆς καὶ τοῦ L: καὶ τῆς τοῦ Mt 5 ἔστι τίς (sic) initio versus iterat M 7 τῆς ἐν LK: ἐν (om. τῆς) Mt 8 τοῦ] fort. ἐν τῇ τοῦ ἄρα Mt: om. L: ἄρα ἡ K 11 ἑκάστη χορδῇ K 12 ᾗτινι K οὖν om. superscr. M 13 ἡ ἀναρμοστία αὕτη K 14 λάβοι τάσιν L οἷον] ὅλως L 15 συνκραθῇ K ᾗ et mox οὐδεμία K 17 ἓν LKM: ὅτι ἓν t Aristoteles καὶ μὴ κινούμενον om. K 18 ὁ γὰρ L: *γὰρ (ὁ rubr. addend.) K: ὅ τε γὰρ Mt καίτοι K: καὶ τὸ LMt 20 ὧν ἐστι Θαλῆς κτλ.] cf. ad p. 86,29. 123,15 θαλλῆς L: θαλής in nonnullis editionis Trincav. exemplis 21 πλῆρες] τὸ στερεὸν Bekkeri Aristoteles at cf. Diels z. *Textgesch.* p. 11 30 τῷ ἀγονίῳ K

www.libtool.com.cn

μένων ἐναντίων εἶναι τὰ δὲ ἐξ ἀγωνίων, ἔτι δὲ καὶ κατὰ τὴν τάξιν τῶν c 7v
ἀτόμων· οἷον ἐν τούτῳ πρώτας μὲν εἶναι τὰς σφαι|ρικὰς εἰ τύχοι, τὰς δὲ c 8r
πυραμοειδεῖς ὑστέρας (οἷον ἐν τῷ ἀνθρώπῳ τυχὸν αἱ μὲν σφαιρικαὶ ἄνω, ὅθεν σφαιροειδὴς ἡ κεφαλή, αἱ δὲ πυραμοειδεῖς περὶ τὴν γένυν), ἐν ἑτέρῳ δὲ ἔμπαλιν, ἐναντίον δὲ τὸ πρῶτον τῷ ὑστέρῳ. ἔτι διαφέρουσι καὶ κατὰ τὴν θέσιν τῶν ἀτόμων, οἷον εἰ αἱ πυραμίδες ἐν τούτῳ μὲν τὰς κορυφὰς κάτω ἔχουσι, τὰς δὲ βάσεις ἄνω (οἷον ἐν τῇ γένυϊ κάτω μὲν αἱ κορυφαὶ ἄνω δὲ αἱ βάσεις, ἐν ἑτέρῳ δὲ ἄνω μὲν αἱ κορυφαὶ κάτω δὲ αἱ βάσεις), ἐναντιότητες δὲ κατὰ τὴν θέσιν τὸ ἄνω τῷ κάτω, τὸ δεξιὸν τῷ ἀριστερῷ, τὸ ἔμπροσθεν τῷ ὄπισθεν. ὥστε καὶ οὗτος ἀρχὰς τῶν ὄντων τὰ ἐναντία ὑποτίθεται, ἐκάλει δὲ τὸ σχῆμα τὴν θέσιν τὴν τάξιν Ἀβδηρικαῖς φωναῖς 'ῥυσμὸν τροπὴν διαθιγήν', ῥυσμὸν μὲν τὸ σχῆμα, τροπὴν τὴν θέσιν, διαθιγὴν τὴν τάξιν.

p. 188a26 Ὅτι μὲν οὖν τὰ ἐναντία πως πάντες ποιοῦσιν ἀρχάς, ⟨δῆλον⟩.

Τό πως προσέθηκε διότι οὐ κυρίως ἐναντία ἐστὶ τὸ γεγωνιωμένον τῷ ἀγωνίῳ ἢ τὸ εὐθὺ τῷ περιφερεῖ, ἀλλ' εἴ γε ἄρα ὡς ἕξις καὶ στέρησις, ἕξις μὲν τὸ εὐθύ, στέρησις δὲ τὸ καμπύλον (τὸ μὲν γὰρ εὐθὺ ὥρισται, τὸ δὲ καμπύλον ἀόριστον), ὁμοίως δὲ καὶ τὸ ἀγώνιον καὶ τὸ γεγωνιωμένον, τοιαῦται δὲ αἱ ἕξεις καὶ αἱ στερήσεις. ὥστε ἢ οὐδ' ὅλως ἀντίκειται ταῦτα ἄλληλοις, ἀλλὰ μόνον ἕτερά ἐστιν, ἢ εἴ τις καὶ βούλοιτο ἀντικεῖσθαι, οὐκ ἄλλως δυνατὸν ἢ ὡς ἕξιν καὶ στέρησιν.

p. 188a27 Καὶ τοῦτο εἰκότως.

Εἰκότως, φησί, τὰ ἐναντία ἀρχὰς ὑπέθεντο· τρία γὰρ ταῦτα ὑπάρχει ταῖς ἀρχαῖς ταῖς πρώταις κατὰ κοινὴν ἔννοιαν, τό τε μὴ εἶναι ἐξ ἄλλων (οὐκέτι γὰρ ἂν εἶεν πρῶται ἀρχαί), καὶ τὸ μὴ ἐξ ἀλλήλων εἶναι (εἴτε γὰρ εἴη ἡ ἑτέρα ἐκ τῆς ἑτέρας, ἡ μὲν ἔσται ἀρχὴ ἡ δὲ οὐκ ἀρχή, εἴτε ἀμφότεραι ἐξ ἀλλήλων εἶεν, οὐδὲν μᾶλλον ἑκατέρα αὐτῶν ἀρχὴ ἔσται ἢ

---

1 ἐναντίων] ἐναντία L ἀγωνίων LK: ἀγωνίων εἶναι Mt 3 πυραμοειδῆς K 4 περὶ LK: πρὸς Mt γένην K 5 ἔτι δὲ L 6 οἷον εἰ αἱ πυραμίδες om. K 7 γενύϊ K 11 ἀβδηρικ K: ἀβδηριτικαῖς corr. L at cf. Philopon. De gen. et corr. 7r5 Ald. 12 et 13 διαφυγὴν utrobique K 14 τἀναντία t 14 et 16 πῶς libri 14. 15 πάντες—δῆλον om. K 14 ποιοῦσιν ἀρχάς LM: ποιοῦσι τὰς ἀρχάς t et Aristotelis libri 15 δῆλον addidit t 16 ἐναντία LK: ἐναντίον Mt ἐστὶ] ὑπάρχει ὑπὲρ L 17 ἀγώνω K ἢ καὶ τὸ L 17. 18 τῷ περιφερεῖ—μὲν τὸ εὐθὺ K: om. nulla lacuna indicata Mt: τῷ καμπύλῳ (de coniectura, ut videtur) omissis ceteris L 20 αἱ (post καὶ) om. L οὐδόὗλως (sic) K: οὐδόλως LMt 21 ἀλλήλοις K: ἀλλήλαις L: ἄλληλα Mt 23 εἰκότως LKM: εὐλόγως ex Aristotele t at cf. p. 110,27 24 ἀρχὰς om. Mt 26 ἂν om. K 28 ἑκατέρα (vel ἑκατέρω) K: ἑκάτερα (nihil enot. ex LM) t post αὐτῶν addit ἢ K

www.libtool.com.cn

οὐκ ἀρχή), ὅτι δὲ καὶ ἐξ αὐτῶν τὰ ἄλλα δεῖ εἶναι, πρόδηλον. ἐπεὶ οὖν c 8r
ταῦτα ὑπάρχειν δεῖ τοῖς πρώτοις ἐναντίοις· διότι μὲν γὰρ πρῶτά ἐστιν, οὐκ
εἰσὶν ἐξ ἄλλων, διότι δὲ ἐναντία, ἀδύνατον ἐξ ἀλλήλων· οὔτε γὰρ ποιητικὰ
ἀλλήλων τὰ ἐναντία (τοὐναντίον γὰρ φθαρτικά εἰσιν ἀλλήλων), οὔτε τὸ
5 ἕτερον τῷ ἑτέρῳ ὑποκεῖσθαι δύναται· δεῖ γὰρ τὴν πρώτην ἀρχὴν ἀμετά-
βλητον εἶναι, ἀμετάβλητον δὲ ὂν εἰ ὑποκέοιτο τῷ ἐναντίῳ, τὰ ἐναντία
ἔσονται ἐν τῷ αὐτῷ, ὅπερ ἀδύνατον. πῶς δὲ καὶ ἐκ τούτων τὰ ἄλλα; 25
διότι κατὰ μεταβολὴν πᾶσα γένεσις, ὡς δειχθήσεται, μεταβολὴ δὲ πᾶσα
ἐξ ἐναντίου καὶ εἰς ἐναντίον.

10 p. 188a31 Ληπτέον δὴ πρῶτον ὅτι πάντων τῶν ὄντων.

Δείξας ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας ὅτι τὰ ἐναντία ἀρχαί, βούλεται 35
καὶ ἐκ τοῦ λόγου τοῦτο δεῖξαι. πρότερον δὲ τίθησι τὰ κατὰ κοινὴν ἔννοιαν
ὑπάρχοντα τοῖς γινομένοις πᾶσι καὶ φθειρομένοις, ὅτι οὔτε ἐκ τοῦ τυχόντος
τὸ τυχὸν γίνεται, οὔτε μὴν φθείρεται εἰς τὸ τυχόν, ἀλλ' ἐξ ἐναντίου εἰς
15 ἐναντίον καὶ ἡ γένεσις καὶ ἡ φθορά. καὶ τοῦτο δῆλον ἐπὶ πάσης τῆς τῶν
συμβεβηκότων γενέσεως· ἐκ ψυχροῦ γὰρ τὸ θερμόν, καὶ φθείρεται πάλιν
εἰς τὸ ψυχρόν, καὶ τὸ ἄνω γινόμενον ἐκ τῶν κάτω μεταβάλλει καὶ τὸ
κάτω πάλιν ἐκ τῶν ἄνωθεν, καὶ ἐπὶ πάντων ὁμοίως. εἰ μή τις λαμβάνει 40
κατὰ συμβεβηκός. ἀδύνατον, φησί, μὴ ἐξ ἐναντίου εἰς ἐναντίον εἶναι
20 τὴν γένεσιν, εἰ μή τι κατὰ συμβεβηκός· οἷον εἰ γίνεταί τι λευκὸν ἐκ μέ-
λανος, συμβέβηκε δὲ τὸ μέλαν εἶναι καὶ θερμόν, λέγοιτο ἂν κατὰ συμβέ-
βηκὸς ἐκ θερμοῦ τὸ λευκὸν γεγονέναι, διότι ἐξ οὗ γέγονε τοῦ μέλανος
συνέβη θερμὸν εἶναι. ὁμοίως καὶ ὁ μουσικὸς εἰ θερμαίνοιτο, κατὰ συμβε-
βηκὸς ἐκ μουσικοῦ θερμὸν λέγεται γεγονέναι, διότι τὸ ψυχρὸν ἐξ οὗ γέγονε
25 τὸ θερμὸν συνέβη καὶ μουσικὸν εἶναι. δόξει δὲ [τὰ] ἐναντία ἑαυτῷ λέγειν, 45
ἄνω μὲν λέγων μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία, ἐνταῦθα δὲ μὴ ἂν
ἄλλως γενέσθαι τὸ ἐναντίον ἢ ἐκ τοῦ ἐναντίου. πῶς μὲν οὖν ἐκεῖ λέγει
μὴ γίνεσθαι ἐξ ἀλλήλων, ἱκανῶς ἐδείξαμεν, ἐνταῦθα δὲ τὸ ἐξ ἀλλήλων τὸ

---

2 δεῖ ταῦτα ὑπάρχειν Mt post δεῖ excidisse conicio ⟨ταῖς ἀρχαῖς ταῖς πρῶταις, εἰκότως τὰ ἐναντία ἀρχὰς ὑπέθεντο· πάντα γὰρ ταῦτα ὑπάρχει⟩. nam si ipse Philoponus incuriose omisisset apodosin, certe non ὑπάρχειν δεῖ scripsisset sed ὑπάρχει ἐναντία K 3 εἰσὶ ἐξ t 5. 9 δεῖ γὰρ—ἐναντίον] ex Themist. p. 132,21—25 7 τῷ om. Mt τούτων] πάντων L τὰ ἄλλα (cf. p. 110,31. Diels ad Simplic. p. 182,12) LK: πάντα Mt Aristoteles videntur praeterea et Simplicius et Philoponus in suo Aristotele invenisse non μήτε ἐξ ἀλλήλων εἶναι μήτε ἐξ ἄλλων sed inverso ordine μήτε ἐξ ἄλλων εἶναι μήτε ἐξ ἀλλήλων cf. p. 110,28. 117,25 9 ἐναντίου in ras. K 10 ὅτι—ὄντων om. K ἁπάντων e vulgato Aristotele t 14 τὸ τυχὸν (ante γίνεται) K: τυχὸν (om. τὸ) L: τυχὸν τὶ Mt εἰς τὸ τυχόν] fortasse εἰς τὸ τυχὸν τὸ τυχόν cf. ad p. 111,9 post ἐναντίου add. καὶ Mt 18 λαμβάνῃ M: num λαμβάνοι? ἂν (vel ἐὰν) μή τις λαμβάνῃ Arist. libri 19 κατὰ συμ: (sic) K ἐναντίου LK: ἐναντίων Mt 20 εἰ (post οἷον) om. K 22 λευκὸν γεγονέναι Mt: μέλαν γενέσθαι LK τοῦ μέλανος] τὸ μέλαν L 23 θερμῷ εἶναι L 25 συμβέβηκε K δόξει K τὰ delevi 26 ἂν] ὂν L 27. 28 λέγει μὴ LK: μὴ λέγει Mt 28 ἐδείξαμεν p. 111,19 τὸ (post ἀλλήλων) om. superscr. M

www.libtool.com.cn

μετ' ἀλλήλα φησιν, ὥσπερ καὶ ὁ Πλάτων κυριώτερον αὐτὰ ἐκάλεσε· μετ' c 8r
ἄλληλα γὰρ ἂν κυριώτερον λεχθείη ἢ ἐξ ἀλλήλων, διότι ἀνάγκη πᾶσα μὴ
ἄλλως γενέσθαι μέλαν τι μὴ λευκὸν πρότερον ὑπάρχον, μηδὲ θερμὸν δ
μὴ πρότερον ψυχρὸν ἦν. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

5 p. 188b1 Ἢ τῶν μεταξύ.

Οἷον ἐκ τοῦ φαιοῦ γίνεταί τι λευκὸν ἢ μέλαν, μεταξὺ δὲ τοῦ λευκοῦ καὶ τοῦ μέλανος τὸ φαιόν. κἂν γὰρ γίνηταί τι ἐκ τοῦ μεταξύ, οὐχ ᾗ μεταξύ ἐστι γίνεται ἐξ αὐτοῦ, ἀλλ' ᾗ τοῦ ἐναντίου μετέχει· γίνεται γὰρ ἐκ τοῦ φαιοῦ τὸ μέλαν οὐχ ᾗ μῖγμά ἐστι τὸ φαιὸν τοῦ λευκοῦ καὶ τοῦ μέ-
10 λανος, ἀλλ' ᾗ μετέχει τοῦ λευκοῦ. | ὥστε καὶ ταῦτα ἐκ τῶν ἐναντίων c 8v
γίνεται.

p. 188b9 Ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων ἀλλὰ σύνθετα κατὰ τὸν αὐτὸν ἔχει λόγον.

Οὐχ ὡς ἐξειλήφασί τινες τὰ μὲν ἐπάνω περὶ τῶν κατὰ συμβεβηκὸς 6
15 μεταβαλλόντων εἴρηται, ταῦτα δὲ ἐπὶ τῶν κατ' οὐσίαν, ἵνα σύνθετον τὴν οὐσίαν ἀκούσωμεν· εἰ γὰρ σύνθετον εἶπε τὴν οὐσίαν διὰ τὸ ἐξ ὑποκειμένου εἶναι καὶ εἴδους, ὥς φασιν, οὐδὲ τὰ ἐν ὑποστάσει ποιὰ ἄνευ τοῦ ὑποκειμένου θεωροῦνται. καὶ ἄλλως εἰ περὶ πάσης οὐσίας ἔλεγε τὸ ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων ἀλλὰ σύνθετα, πῶς φησι μὴ ὠνομάσθαι 10
20 τὰς ἀντικειμένας διαθέσεις τῶν οὐσιῶν καθ' ἃς γίνεται; ἐπὶ γοῦν τῶν ἁπλῶν πρόδηλοι αἱ ἀντικείμεναι διαθέσεις ἐξ ὧν μεταβάλλουσι, λέγω δὴ ἐπὶ τῶν στοιχείων· ἐκ θερμοῦ γὰρ εἰς ψυχρὸν καὶ ἐκ ξηροῦ εἰς ὑγρὸν καὶ ἔμπαλιν. τί οὖν ἐγώ φημι; ὅτι προθέμενος περὶ τῆς πάντων μεταβολῆς εἰπεῖν, καὶ εἰπὼν πῶς τε τὰ κατὰ συμβεβηκὸς μεταβάλλοντα μετα-
25 βάλλει καὶ πῶς τὰ ἁπλᾶ σώματα, ὅτι προφανῶς ἐξ ἐναντίων, ἐπεὶ δοκοῦσιν αἱ σύνθετοι οὐσίαι μὴ ἐξ ἐναντίων ἴσχειν τὰς μεταβολάς, διὰ τοῦτο καὶ 15
ἐπὶ τούτων γυμνάζει τὸν λόγον. φησὶν οὖν ὅτι καὶ ἐπὶ τῶν συνθέτων οὐσιῶν πάντως ἐξ ἐναντίων εἰσὶν αἱ γενέσεις, ἀλλὰ διὰ τὸ μὴ τὰς ἐναντίας διαθέσεις ὠνομάσθαι, οὐκ ἔστιν οὕτω τοῦτο δῆλον· ἐπ' ἐνίων μὲν γὰρ

---

1 μετ' ἀλλήλων K Πλάτων] cf. ad p. 111,31 ἀυ L 1. 2 μετάλληλα γὰρ libri 2 λεχθῆ K 2. 3 μὴ ἂν ἄλλως (ex p. 118,26 sq.) Mt 4 καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως LKM: om. t ubi mox plenius lemma Ὁμοίως δὲ τούτοις καὶ ἐπὶ τῶν ἄλλων ἢ τῶν μεταξύ 7 γὰρ om. K γίνηται] compend. ⊢ ἀι (ut γίνεται utrobique in proxime sequentibus) K ante τι addit δὲ K ἐκ τῶν μεταξὺ L 9 οὐχ ὅτι μίγμα K 14 ἐξαλήφασί K 15 ἐπὶ] fort. περὶ 16 ἀκούσομεν K τὴν οὐσίαν εἶπε Mt 17 ὡς] ἢ L 18 οὐσίας et 19 τὰ om. K 20 ἐπὶ t: ἐπεὶ LKM 23 ἐγώ φημι LK: ἔχω εἰπεῖν; φημὶ Mt προτιθέμενος L πάντων] αὐτῶν K 24 πῶς τε t: ὥστε KM: πῶς (om. τε) L 24. 25 μεταβάλλει] βάλλοντα βάλλει L 26 μὴ om. superscr. M ἔχειν L 29 πρόδηλον L ἐπ' ἐνίων κτλ.] cf. Themist. p. 134,12

www.libtool.com.cn

αἱ στερήσεις αὐτῶν κοινῶς ὀνομάζονται, ἐπ' ἐνίων δὲ οὐδὲ αἱ στερήσεις, c 8v
ἀλλ' αἱ ἀποφάσεις μόναι· τὴν μὲν γὰρ τῶν ὑποκειμένων σύνθεσιν καὶ
ἁρμονίαν, ἐξ ὧν αἱ γενέσεις, καὶ τὴν τῶν αὐτῶν πάλιν ἀναρμοστίαν καὶ
ἀσυνθεσίαν κοινοῖς ὀνόμασι καλεῖν ἔχομεν, αὐτὸ τοῦτο ἁρμονίαν καὶ ἀναρ-
5 μοστίαν καλοῦντες καὶ σύνθεσιν καὶ ἀσυνθεσίαν, τὴν μέντοι ἰδίαν ἑκάστου 20
ἁρμονίαν ἢ τὴν ἀντικειμένην ταύτῃ ἀναρμοστίαν οὐκέτι ἔχομεν ἰδικοῖς καλέσαι ὀνόμασι, καὶ τὰ μὲν ὑποκείμενα οὕτως ὀνομάζομεν καὶ τὰ τούτοις ἀντικείμενα ἐξ ὧν γίνονται καὶ εἰς ἃ φθείρονται, τῶν μέντοι εἰδῶν αὐτῶν οὐκέτι δυνάμεθα τὸ ἀντικείμενον στερητικῶς ὀνομάσαι, ἀλλ' ἀποφατικῶς
10 αὐτὸ καλοῦμεν οὐκ ἄνθρωπος καὶ οὐχ ἵππος, καίτοι τῶν εἰδῶν ὡρισμένοις ὀνόμασιν ὠνομασμένων, οἷον ἀνθρώπου ἵππου. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἀλλ' εἰ καὶ τὸ οὐκ ἄνθρωπός φέροιτο, φησί, καὶ ἐπὶ λίθου καὶ ἵππου καὶ 25
πάντων τῶν μετὰ τὸν ἄνθρωπον, δῆλον δήπου ὅτι οὐκ ἐκ τοῦ τυχόντος οὐκ ἀνθρώπου γίνεται ὁ ἄνθρωπος (οὐ γὰρ ἐξ ἵππου ἢ ἐκ λίθου), ἀλλ'
15 ἔστι τι ὡρισμένως τῷ ἀνθρώπῳ ἀντικείμενον, ἐξ οὗ ἢ μεθ' ὃ γίνεται· ὅπερ διὰ τὸ μὴ ὠνομάσθαι ἰδίῳ ὀνόματι πλάνην ἐμποιεῖ μήποτε οὐκ ἐξ ἐναντίου ἡ γένεσις. ὃ δὲ ἐπὶ ἀνθρώπου, τοῦτο καὶ ἐπὶ πάντων, καὶ ὅπερ ἐπὶ γενέσεως, τοῦτο καὶ ἐπὶ φθορᾶς.

p. 188b15 Διαφέρει δὲ οὐδὲν ἐπὶ ἁρμονίας εἰπεῖν ἢ τάξεως ἢ 30
20 συνθέσεως.

Ἐπειδὴ ὡς ἐπὶ ἁρμονίας ἐγύμνασε τὸν λόγον, διὰ τοῦτο εἶπε μηδὲν διαφέρειν κἂν μὴ κατὰ ἁρμονίαν, ὡς ἐπὶ τῆς λύρας, κατὰ σύνθεσιν δὲ ἡ γένεσις ἢ ἢ κατὰ τάξιν, ὡς ἐπὶ στρατοπέδου· καὶ γὰρ ἡ τῆς οἰκίας σύνθεσις ἐξ ἀσυνθεσίας γίνεται, καὶ ἡ τοῦ στρατοπέδου τάξις ἐξ ἀταξίας, 35
25 ὁμοίως δὲ καὶ τὸ ἐσχηματισμένον, ὡς ὁ ἀνδριάς, ἐξ ἀσχηματίστου γίνεται, καὶ τούτων οὐ τῶν τυχόντων οὔτε ἀναρμοστίας οὔτε ἀσυνθεσίας οὔτε ἀταξίας οὔτε τοῦ ἀσχηματίστου, ἀλλὰ τῶν προσεχῶς ἑκάστῃ συνθέσει ἢ ἁρμονίᾳ ἢ τῶν ἄλλων τινὶ ἀντικειμένων. εἴη γὰρ ἂν ἀσυνθεσία ὡς πρὸς τὴν σύνθεσιν τῆς οἰκίας ἡ τῆς νεὼς ἢ ἡ τοῦ ἀνδριάντος· ἀλλ' οὐχ οἷόν
30 τε ἐκ ταύτης γενέσθαι οἰκίαν· ὥστε ὡρισμένην τινὰ ἀνάγκη εἶναι ἀσυνθεσίαν ἐξ ἧς ἡ οἰκία, εἰ καὶ μὴ κατὰ ἄτομόν τι, ἀλλ' ἐν πλάτει· πλὴν 40

---

1 αἱ στερήσεις αὐτῶν κοινῶς (τινὸς pro κοινῶς K) LK: κοινῶς αἱ στερήσεις αὐτῶν Mt
2 μόνον K 3 τῶν om. K πάλιν om. Mt 5 καὶ σύνθεσιν om. L
5. 6 ἑκάστου ἁρμονίαν ἰδίαν M 6 ταύτην K 6. 7 καλέσαι ἰδικοῖς K 9 ante ὀνομάσαι addit αὐτὸ K ἀποφαντικῶς L 12 φέροιτο, φησί (φασὶ L) KL: φησὶ φέροιτο Mt ἐπὶ ἵππου καὶ λίθου Mt 19 δ' οὐθὲν t ex Aristotele (δ' om. Bekkeri typotheta) 19. 20 εἰπεῖν — συνθέσεως om. K 21 διατοῦτο εἶπε Mt: διὰ τοῦτο εἰπεῖν K: διὰ τοῦ εἰπεῖν L μηδὲ L 23 γέννεσις K 25 ὁ om. Mt
26 καὶ LK: κἀκ Mt οὐ] ἐκ K 29 ἡ τῆς Mt: ἢ τῆς LK ἡ (post ἢ) om. L 30 τινὰ et 31 καὶ (post εἰ) om. L 31 πλάτει (in M nescio quid correctum) KM: πλατεῖ (L)t

www.libtool.com.cn

οὐδὲ ἐνταῦθα ἁπλῶς ἐκ στερήσεως τῆς τυχούσης, ἀλλ' ἔστι τις ἰδιάζουσα c 8v
στέρησις ἤτοι ἐναντίον τι, ἐξ οὗ γίνεται καὶ εἰς ὃ φθείρεται. ὃ δὲ ἐπὶ τούτου εἶπον, τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν.

p. 188b20 Καὶ ἕκαστον τούτων τὰ μὲν τάξις, τὰ δὲ σύνθεσίς τίς ἐστιν.

Ἡ μὲν οἰκία σύνθεσίς τις, ὁ δὲ ἀνδριὰς τάξις μᾶλλον τῶν μορίων· 45
σύνθεσις γὰρ μᾶλλον ἐπὶ τῶν ἀνομογενῶν κυριώτερον λέγεται, οἷον ξύλων καὶ λίθων καὶ πλίνθων ἐξ ὧν ἡ οἰκία. μᾶλλον δὲ καὶ ἐπὶ οἰκίας ἡ τάξις καὶ ἐπὶ ἀνδριάντος ἡ σύνθεσις· ἔστι γάρ τι πρῶτον ἐν τῇ οἰκίᾳ, οἷον θεμέλιοι, εἶτα δεύτερον οἱ τοῖχοι, εἶτα ἡ ὀροφή, καὶ ἄλλως ἀδύνατον. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἀνδριάντος οὐ μόνον τάξις μορίων, ἀλλὰ καὶ σύνθεσις.

p. 188b23 Τὰ δὲ μεταξὺ ἐκ τῶν ἐναντίων ἐστίν, οἷον χρώματα 50 ἐκ λευκοῦ καὶ μέλανος.

Μεταξὺ γὰρ τὸ φαιὸν τὸ ὠχρὸν τὸ ἐρυθρὸν καὶ πάντα τὰ παρὰ τὸ λευκὸν καὶ τὸ μέλαν, ἅπερ ἐκ τῆς μίξεώς ἐστι τοῦ λευκοῦ καὶ τοῦ μέλανος. ὥστε εἴ τι γίνεται ἐκ τῶν μεταξύ, πάλιν ἐξ ἐναντίου γίνεται· καθὸ γὰρ μετέχει τοῦ ἐναντίου τὸ μεταξύ, οὕτως ἐξ αὐτοῦ γίνεται τὰ γινόμενα. ὥστε εἰ ταῦτα οὕτως ἔχει, ἀνάγκη | πᾶσαν γένεσιν καὶ φθορὰν ἐξ ἐναντίων d 1r
εἶναι καὶ εἰς ἐναντία, εἰ δὲ τοῦτο, ἀρχαὶ ἂν εἶεν εἰδοποιοὶ τῶν ὄντων τὰ ἐναντία. τὸ δὲ "ἢ ἐξ ἐναντίων ἢ εἰς ἐναντία" ἐξ ἐναντίων μὲν ἡ γένεσις, εἰς ἐναντία δὲ ἡ φθορά. δῆλον δὲ ὅτι καὶ τὸ λοιπὸν ἐπὶ ἑκατέρου· καὶ γὰρ ἐπὶ τῆς γενέσεως τὸ εἰς ἐναντία καὶ ἐπὶ τῆς φθορᾶς τὸ ἐξ ἐναντίων, ἀλλὰ κυριώτερον ἐπὶ μὲν τῆς γενέσεως τὸ ἐξ, ἐπὶ δὲ τῆς φθορὰς τὸ εἰς, ὡς αὐτὸς ἐν τοῖς τελευταίοις δείκνυσι.

p. 188b26 Μέχρι μὲν οὖν ἐπὶ τοσοῦτον σχεδὸν συνηκολουθήκασι 5 καὶ τῶν ἄλλων οἱ πλεῖστοι.

Δείξας ὅτι ἀνάγκη τὰς εἰδικὰς ἀρχὰς ἐναντίας εἶναι ἔκ τε τῆς τῶν παλαιῶν μαρτυρίας καὶ ἐκ τοῦ λόγου, ὅτι τοῖς μεταβάλλουσι πᾶσι κατὰ τὰ

---

4 Καὶ ἕκαστον] *καστον (littera rubro addenda: ergo καὶ om.) K 4. 5 τάξις — ἐστιν om. K 7 ἀνομοιογενῶν K 8 καὶ (ante λίθων) om. Mt 9 τι (nihil enot. ex L) t: τοι KM 9. 10 οἷον οἱ θεμέλιοι K 12 ἐκ om. superscr. M 12. 13 ἐστίν — μέλανος om. K 14 τὸ ὠχρὸν] ὡς ὠχρὸν L πάντα τὰ LK: τὰ πάντα Mt περὶ L 16 ἐκ τῶν LK: ἐκ τοῦ Mt καθὰ K 20 ἢ (post τὸ δὲ) om. superscr. M 24 ἐν τοῖς τελευτ.] E 5 p. 229a22 25 lemma om. K οὖν] δὴ t ἐπὶ τοσοῦτον (Arist. cod. E ante corr. Simplic. p. 187,28. Themist. p. 135,21) LM: τούτου t at cf. p. 125,15. 22 25. 26 συνηκολουθήκασι post πλεῖστοι traicit M (σχεδὸν ambigue positum notaverat Simplic. p. 187,32) at cf. p. 125,15 27 ἰδικὰς Mt ἐκ τῆς (om. τε) K

www.libtool.com.cn

ἐναντία ἡ μεταβολή, ἐπειδὴ βούλεται ἀρχὰς κοινοτάτας λαβεῖν τῶν ὁπωσοῦν d l r
μεταβαλλόντων, οὐ πάντα δὲ τὰ μεταβάλλοντα κατὰ τὰ ἐναντία μεταβάλλει
(καὶ γὰρ ἀπὸ κακίας εἰς ἀρετήν, ἀπὸ ἀνεπιστημοσύνης εἰς ἐπιστήμην, 10
ταῦτα δὲ ἐναντία οὐκ ἔστιν· οὔτε γὰρ ἡ ἀρετὴ τῇ κακίᾳ ἐναντία, οὔτε ἡ
5 ἀνεπιστημοσύνη τῇ ἐπιστήμῃ, ἀλλὰ στερήσεις καὶ ἕξεις· αἱ γὰρ κακίαι
ἀόριστοι ὥσπερ καὶ αἱ στερήσεις, τὰ δὲ ἐναντία ὥρισται διότι καὶ εἰδοπε-
ποίηται, ἥ τε ἀνεπιστημοσύνη σαφῶς στέρησις μόνον τῆς ἐπιστήμης. εἰλή-
φθωσαν γὰρ μὴ ἁπλῶς οἱ διαστρόφους δόξας ἔχοντες, εἶτα εἰς ἐπιστήμην
ἀγόμενοι· μάλιστα μὲν γὰρ καὶ οὗτοι κατὰ στέρησιν ἀντίκειται τοῖς ἐπι-
10 στήμοσιν, εἴ γε καὶ ἡ κακία καθόλου στέρησις ἀρετῆς, ἀλλὰ διὰ τὸ τῆς
στερήσεως ἀόριστον οὐκ ἔστι μοναχῶς ἡ τῆς κακίας πρὸς τὴν ἀρετὴν ἀντί- 15
θεσις. ὥσπερ γὰρ ἡ καμπυλότης στέρησις οὖσα τῆς εὐθύτητος οὐκ ἔστιν
ἐν ὅρῳ τινί, ἀλλ' ἐστὶ πᾶσα ἁπλῶς ἡ τῆς εὐθύτητος ἔκστασις, οὕτω καὶ
ἐπὶ τῶν κακιῶν ἔχει. ὅμως ἐὰν τὸν μήπω διαστρόφους ἐννοίας ἔχοντα λά-
15 βωμεν, ἀλλ' ἐκ παίδων εἰς ἐπιστήμην ἀγόμενον, πρόδηλον ὡς οὗτος ἐκ
στερήσεως, τῆς ἀνεπιστημοσύνης λέγω, εἰς εἶδος ἄγεται τὴν ἐπιστήμην·
οὐδεμία γὰρ προϋπόκειται διάστροφος δόξα, ἀλλὰ μόνον ἄγνοια τοῦ ἀληθοῦς),
ἐπεὶ οὖν τὰς κοινοτάτας ἀρχὰς πάντων τῶν ὁπωσοῦν μεταβαλλόντων βού-
λεται λαβεῖν, οὐ πάντα δέ, ὡς εἶπον, τὰ μεταβάλλοντα κατὰ τὰ ἐναντία 20
20 μεταβάλλει, βούλεται ἐπὶ τὰς καθολικωτάτας πάντων τῶν ὄντων ἀρχὰς
ἀναγαγεῖν τὰ ἐναντία, τὸ εἶδος λέγω καὶ τὴν στέρησιν, καθ' ἃ οὐ μόνον
τὰ φυσικὰ ἀλλὰ καὶ τὰ ὑπερφυῆ μεταβάλλει, καὶ δεῖξαι ὅτι αὗται αἱ δύο
ἀρχαὶ πάσης μεταβολῆς εἰσιν αἴτιαι τῇ ἑαυτῶν ἀνὰ μέρος παρουσίᾳ καὶ
ἀπουσίᾳ τὰς μεταβολὰς ποιοῦσαι. βούλεται μὲν οὖν εἰς ταῦτα ὡς εἰς κα-
25 θολικώτατα ἀναγαγεῖν τὰς ἀρχάς, ἀλλὰ πρὶν τοῦτο ποιήσει πρότερον ἀντι-
λέγει ταῖς δόξαις ταῖς περὶ τῶν ἀρχῶν τῶν πρὸ αὐτοῦ, καὶ διδάσκει τί
μὲν ἔχουσι κοινόν, τί δὲ διάφορον. φησὶν οὖν ὅτι πάντες οἱ περὶ τῶν 25
ἀρχῶν τῶν ὄντων δοξάσαντες, εἰ καὶ δοκοῦσι μὴ τὰς αὐτὰς ἐναντιώσεις
πάντες ἐν ταῖς ἀρχαῖς ἀποτίθεσθαι, ἀλλὰ ἄλλος ἄλλην, ἀλλ' οὖν σύμφωνα
30 πάντες εἰρήκασιν ἑαυτοῖς, καὶ κατά τι δοκοῦντες διαφέρειν κατά τι κοινω-
νοῦσι πάντες· διαφέρουσι μὲν γὰρ ἀλλήλων τῷ τοὺς μὲν μερικώτερα λαβεῖν
ἐναντία, τοὺς δὲ καθολικώτερα, καὶ τοὺς μὲν γνώριμα μᾶλλον τῇ αἰσθήσει

---

2. 3 οὐ—καὶ γὰρ om. (indicat lacunam L) LK 4 γὰρ om. M καὶ ἡ κακία L: καὶ ἡ κακία KMt 5 τῇ ἐπιστήμη (ἐπιστήμει M) LKM: καὶ ἡ ἐπιστήμη t
6 διότι] διὸ K 8 μὴ om. superscr. L 10 διὰ τὸ τῆς K: διὰ τὸ L: τὸ Mt
13 ἀλλ' ἐστὶ] ἀλλὰ K 15 προδήλως ὡς L 17 προ ὑπόκειται M ἄγνοια τἀληθοῦς K 21 καθ' ἃ K: καθ' ἢ ut vid. L: καθὼς Mt 23 αἰτίαι K
23. 24 παρουσία (om. καὶ ἀπουσία) τὰς μεταβολὰς (sed ρουσία τὰς μεταβο in eras.) K
24 ποιοῦσαι LKM: ποιῆσαι t εἰς (post ὡς) om. L 25 ποιήσει LM: ποιῆσαι Kt 25. 26 ἀντιλέγει ταῖς δόξαις ταῖς K: ἐξέρχεται ταῖς δόξαις ταῖς L: ἐκτίθεται τὰς δόξας τὰς Mt 29 πάντες ἐν LK: τες ἐν (sic) M: ἐν t ἀποτίθεσθαι LK: ὑποτίθεσθαι Mt at cf. m 7 v 31 31 πάντες om. Mt γὰρ om. K
32 γνωρίμους L

www.libtool.com.cn

ἤπερ τῷ λόγῳ, τοὺς δὲ τῷ λόγῳ μᾶλλον ἢ τῇ αἰσθήσει. τῶν γὰρ ἐναν- d 1r
τίων τὰ μὲν τῇ αἰσθήσει μᾶλλόν εἰσι γνώριμα ἢ τῷ λόγῳ, τὰ δὲ τῷ λόγῳ
μᾶλλον ἢ τῇ αἰσθήσει, ἐν ἀμφοτέροις δὲ τούτοις τὰ μέν εἰσι καθολικώ- 30
τερα, τὰ δὲ μερικώτερα· οἷον γνώριμα τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λόγῳ
5 θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν, μανὸν καὶ πυκνόν, τῷ δὲ λόγῳ
μᾶλλον γνώριμα ἢ τῇ αἰσθήσει νεῖκος καὶ φιλία, περιττὸν καὶ ἄρτιον,
μονὰς καὶ δυάς. ἔστιν οὖν ἐν ἑκατέρῳ καὶ τὸ καθολικώτερον καὶ τὸ μερι-
κώτερον· οἷον ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις ἔστι μερικὸν μέν, φέρε
εἰπεῖν, τὸ λευκὸν καὶ μέλαν, ὑπὲρ τοῦτο δὲ τὸ θερμὸν καὶ ψυχρόν, ὑπὲρ
10 τοῦτο δὲ τὸ μανὸν καὶ πυκνόν, ὑπὲρ τοῦτο δὲ τὸ μέγα καὶ τὸ μικρόν, ὑπὲρ
τοῦτο δὲ ὑπεροχὴ καὶ ἔλλειψις· ἐν δὲ τοῖς κατὰ τὸν λόγον γνωρίμοις ὑπο- 35
κείσθω μερικώτερον μὲν σύγκρισις καὶ διάκρισις, τούτου δὲ ἐπὶ πλέον νεῖκος
καὶ φιλία, ὑπὲρ τοῦτο δὲ τὸ περιττὸν καὶ τὸ ἄρτιον, ὑπὲρ δὲ τοῦτο μονὰς
καὶ δυάς. ὅσοι μὲν οὖν ἀρχὰς εἰλήφασιν ἢ τὸ θερμὸν καὶ ψυχρόν, ὡς
15 Παρμενίδης, ἢ τὸ μανὸν καὶ πυκνόν, ὡς Θαλῆς, ἢ τὸ μέγα καὶ μικρόν,
ὡς Πλάτων, οὗτοι τῇ αἰσθήσει γνωριμωτέρας λαμβάνουσι τὰς ἀρχάς, ἀλλ'
οἱ μὲν καθολικωτέρας οἱ δὲ μερικωτέρας. ὅσοι δὲ νεῖκος καὶ φιλίαν, ὡς
Ἐμπεδοκλῆς, ἢ περιττὸν καὶ ἄρτιον ἢ μονάδα καὶ δυάδα, ὡς οἱ Πυθαγόρειοι,
οὗτοι τῷ λόγῳ μᾶλλον γνωριμώτερα ἐλάμβανον, καὶ τούτων πάλιν Ἐμπε- 40
20 δοκλῆς μὲν μερικωτέρας ἐλάμβανεν ἀρχάς, οἱ δὲ Πυθαγόρειοι καθολικωτέ-
ρας. ταύτῃ μὲν οὖν ἑτέρας ἀρχὰς ἐλάμβανον, λέγω δὴ κατά τε τὸ ὑποκεί-
μενον (ἕτερον γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τοῦ μανοῦ καὶ πυκνοῦ) καὶ
κατὰ τὸ καθόλου καὶ τὸ μερικόν, τὰς αὐτὰς δὲ πάντες ἐλάμβανον τῷ
πάντας, φησί, τὰ ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνειν, τουτέστι κατὰ
25 τὴν αὐτὴν ἀναλογίαν. ὥσπερ γὰρ τὸ ταὐτὸν οὐ μόνον τῷ ὑποκειμένῳ ἢ
τῷ λόγῳ, ἀλλὰ καὶ τῇ ἀναλογίᾳ (λέγομεν γὰρ ὡς τόδε θερμόν, οὕτω τόδε
ψυχρόν· ἐνταῦθα γὰρ ἡ ταυτότης, ἤγουν ἡ ὁμοιότης, οὔτε τῷ ὑποκειμένῳ 45
ἐστὶν οὔτε τῷ λόγῳ· ἕτερος γὰρ ὁ ἑκατέρου ὁρισμός· ἀλλὰ τῇ ἀναλογίᾳ.
λέγομεν γὰρ ὡς ἔχει τὰ β' πρὸς τὰ δ', οὕτω τὰ φ' πρὸς τὰ ,α· πάλιν οὖν
30 ἐνταῦθα ἡ ταυτότης κατὰ τὴν ἀναλογίαν), τῷ οὖν λαμβάνειν πάντας καὶ
ἐναντία καὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας ἐναντία, ταύτῃ τὰ αὐτὰ πάν-
τες ἔλεγον.

---

1 ἤπερ τῷ] ἢ τῶ K 1. 3 τῶν γὰρ — μᾶλλον ἢ τῇ αἰσθήσει om. L
2 δὲ om. K 3 δὲ τούτοις] τούτοις δὲ μᾶλλον K ἐστι K 8 μέν
om. Mt 10 τὸ μανὸν καὶ πυκνόν, ὑπὲρ τοῦτο δὲ om. K 11 τὸν om. L
12 νίκος K 13 ὑπὲρ δὲ τοῦτο (ante μονὰς) KMt: ὑπὲρ τοῦτο δὲ L
15 θαλλῆς L: θάλης K ἢ (ante τὸ μέγα) Kt: καὶ LM 18 διάδα et πυθα-
γόριοι, ut fere constanter, K 19. 20 οὗτοι — Πυθαγόρειοι om. L 20 ἐλάμ-
βανε τὰς ἀρχάς K 21 οὖν ἀρχὰς ἑτέρας Mt ἔλαμβον (sic) M 22 καὶ
τοῦ πυκνοῦ Mt 25 τῷ] τὸ K 26 ὡς τὸ θερμόν K τόδε (post οὕτω)
corr. ex τότε L 27 ἤγουν ἡμοιότης K 29 λέγομεν γὰρ πάλιν K: malim
λέγομεν δὲ β' corr. L: δύο KMt: δεύτερα ante corr. L δ' Lt: τέσσαρα
KM φ'] β' L τὰ α M: τὰ φ̄ (ut vid.) K: τὸ α L: τὰ χίλια t 30 τῷ]
τὸ K 31 καὶ τὰ — ἐναντία om. K

www.libtool.com.cn

Ἰστέον γὰρ ὅτι οἱ Πυθαγόρειοι πάντα τὰ ὄντα καὶ πάσας τὰς ἐναντιώ- d 1r
σεις εἰς δύο συστοιχίας ἀνῆγον, τήν τε τοῦ ἀγαθοῦ καὶ τὴν τοῦ κακοῦ· ταύταις γὰρ πᾶσαν ἐναντίωσιν ἐμέριζον. τῇ μὲν γὰρ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ κρεῖττον τῶν ἐναντίων ἀπένεμον, τῇ δὲ τοῦ κακοῦ τὸ χεῖρον· οἷον λευκὸν καὶ μέλαν, 50 λογικὸν καὶ ἄλογον, ψυχρὸν καὶ θερμόν, νεῖκος καὶ φιλίαν, τὸ μὲν λευκὸν καὶ τὸ λογικὸν καὶ τὸ θερμὸν καὶ τὴν φιλίαν τῆς τοῦ ἀγαθοῦ συστοιχίας εἶναι ἔλεγον, τὰ δὲ τούτοις ἀντικείμενα τῆς τοῦ κακοῦ. καὶ τῶν παραληφθεισῶν οὖν ἐναντιώσεων ὑπὸ τῶν παλαιοτέρων ἐν ταῖς τῶν ὄντων ἀρχαῖς τὰ μὲν ἕτερα μόρια ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν ἀνάγεται, τὰ δὲ ἕτερα ὑπὸ τὴν τοῦ κακοῦ· οἷον τῶν κατὰ τὸν λόγον γνωρίμων ἐναντιώσεων ἡ μὲν μονὰς καὶ τὸ περιττὸν καὶ ἡ φιλία ὑπὸ τὴν τοῦ ἀγαθοῦ, τὰ δὲ ἀντικείμενα ὑπὸ τὴν τοῦ κακοῦ. πάλιν τῶν κατὰ τὴν αἴσθησιν γνωρίμων ἐναντιώσεων τὸ μὲν θερμὸν καὶ ἡ διάκρισις καὶ τὸ μέγα ὑπὸ τὴν ὑπεροχήν, αὕτη δὲ ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν, τὰ δὲ ἀντικείμενα 55 ὑπὸ τὴν τοῦ κακοῦ. πάντες οὖν τὰ κατὰ τὴν αὐτὴν συστοιχίαν εἰλήφασιν· ἢ γὰρ θερμὸν καὶ ψυχρόν, ἢ σύγκρισιν καὶ διάκρισιν, ἢ νεῖκος καὶ φιλίαν. ὡς γὰρ ἔχει τὸ θερ|μὸν καὶ τὸ ψυχρόν, οὕτως ἔχει σύγκρισις καὶ διάκρισις, d 1v
καὶ μέγα καὶ μικρόν, καὶ νεῖκος καὶ φιλία· ὁμοίως γὰρ ἀντίκειται. οὐκοῦν καὶ ἐναλλὰξ ὡς ἔχει τὸ μέγα πρὸς τὴν διάκρισιν καὶ αὕτη πρὸς τὸ θερμόν, οὕτω τὸ μικρὸν πρὸς τὴν σύγκρισιν καὶ αὕτη πρὸς τὸ ψυχρόν· ὁμοίως γὰρ περιεκτικὸν τὸ μέγα τῆς διακρίσεως καὶ αὕτη τοῦ θερμοῦ, ὡς τὸ μικρὸν τῆς συγκρίσεως καὶ αὕτη τοῦ ψυχροῦ. τῷ οὖν ἐξ ἑκατέρας συστοιχίας

ἀγαθόν	κακόν	
μονάς	δυάς	
περιττόν	ἄρτιον	
φιλία	νεῖκος	
ὑπεροχή	ἔλλειψις	
μέγα	μικρόν	
διάκρισις	σύγκρισις	
θερμόν	ψυχρόν	

---

5 sqq. marg. appicta descripsi ex Mt: om. spatio in margine relicto K: commixta habet L cum versibus 14 sqq. hoc fere modo:

ὑπὸ τὴν τοῦ κακοῦ· οἷον τῶν κατὰ τῶν λόγων γνωρίμων ἐναντιώσεων· ἡ μόνας καὶ τὸ περιττὸ
καὶ ἡ φιλία· ἀγαθὸν· κακὸν· ὑπὸ τὴν τοῦ ἀγαθοῦ· τὰ δὲ ἀντικείμενα ὑπὸ τὴν τοῦ κακο
μονὰς· δυὰς· φιλία· νεῖκος πάλιν τῶν κατὰ τὴν αἴσθησιν γνωρίμων ἐναντιώσεω
περιττὸν· ἄρτιον τὸ μὲν θερμὸν καὶ ἡ διάκρισις καὶ τὸ ὑπεροχὴ· καὶ ἔλλειψις φιλί
νεῖκος μέγα ὑπὸ τὴν ὑπεροχὴν· μέγα· μικρὸν· αὕτη δὲ ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν διάκρισις. σύγκρισι
τὰ δὲ ἀντικείμενα ὑπὸ τὴν τοῦ κακοῦ· θερμὸν ψυχρὸν πάντες οὖν (v. 19) κτλ. iam vides in margine libri quem describens omnia confudit librarius codicis L par φιλία νεῖκος bis poni, primum post μονὰς· δυὰς· rursus post ὑπεροχὴ· [καὶ] ἔλλειψις 6. 7 νεῖκος K 7. 8 τὸ μὲν λευκὸν καὶ τὸ λογικὸν LK: τὸ μὲν λογικὸν καὶ τὸ λευκὸν Mt 11. 12 παυλαιοτέρων (παυ in exitu versiculi) t 14. 16 οἷον — κακοῦ om. Mt 14 τὸν λόγον scripsi: τῶν λόγον K: τῶν λόγων L 15 μὲν om. L 18 συστοιχείαν hic et v. 9, et p. 125, 6 συστοιχείας K 19 τὰ om. L 21 σύγκρησις καὶ διάκρησις et 23 διάκρησιν K 24 καὶ αὐτὴ πρὸς et 25 καὶ αὐτῇ τοῦ K 26 αὕτη Mt: αὐτὴ K: αὐ L

www.libtool.com.cn

ὁμοίως ἢ τὰ μεριχώτερα λαμβάνειν ἢ τὰ ὁμοίως καθολικώτερα, ταύτῃ λέ- d 1v
γονται τὰ αὐτὰ λαμβάνειν· οὐδεὶς γὰρ ἔλαβε, φέρε εἰπεῖν, τὸ μέγα καὶ
τὴν σύγχρισιν, ἢ τὴν διάχρισιν καὶ τὸ ψυχρόν (ταῦτα γὰρ οὐχ ὁμοίως 6
τοῦ ἀγαθοῦ καὶ τοῦ χακοῦ ἀφεστήχασιν, ἀλλὰ τὸ μὲν μᾶλλον τὸ δὲ ἧττον),
5 ἀλλὰ πάντες τὰ τὴν αὐτὴν ἀπόστασιν ἀφεστηχότα τοῦ ἀγαθοῦ καὶ τοῦ
χακοῦ ταῦτα λαμβάνουσι. τῷ οὖν πάντας ἐχ τῆς αὐτῆς συστοιχίας
λαμβάνειν τὴν χαθ' αὑτοὺς ἐναντίωσιν, ταύτῃ πάντης τὰ αὐτὰ λέγουσιν,
ἕτερα δὲ τῷ τοὺς μὲν τῷ λόγῳ γνώριμα μᾶλλον τοὺς δὲ τῇ αἰσθήσει,
καὶ τοὺς μὲν χαθολιχώτερα τοὺς δὲ μεριχώτερα. ἐπεὶ οὖν χοινὰς πάντων 10
10 ἀρχὰς ζητοῦμεν, δῆλον ὅτι χατορθοῦσι μᾶλλον οἱ τὰς χαθολιχωτέρας ἐναν-
τιώσεις λαμβάνοντες· ὥστε εἰ συνῄσθοντο οἱ τὰ μεριχώτερα λαμβάνοντες,
ἠγάπησαν ἂν δηλονότι χαθολιχωτέρας λαβεῖν, ἵνα ἐπὶ πλειόνων ἐχτείνωσι
τὰς ἀρχάς. διὰ τοῦτο οὖν δεῖ ἡμᾶς ζητήσαντας τίνες ἂν εἶεν χοινόταται
πάντων ἁπλῶς ἀρχαί, ταύτας ὑποθέσθαι.
15 Μέχρι μὲν οὖν ἐπὶ τοσοῦτον σχεδὸν συνηχολουθήχασι χαὶ
τῶν ἄλλων οἱ πλεῖστοι. εἰς τοῦτο, φησί, συμφώνως πάντες ἠνέχθησαν,
ὥστε τὰς ὑπ' αὐτῶν ἀρχὰς τῶν ὄντων χαλουμένας ἐναντίας τίθεσθαι.

p. 288b28 Χαίπερ ἄνευ λόγου τιθέντες. 15

Οὐχ ὅτι οὐδενὶ λόγῳ ἐχρῶντο εἰς τὸ χατασχευάσαι ἃς ὑπετίθεντο
20 ἀρχάς, ἀλλ' ὅτι οὐδενὶ πιθανῷ, ὥστε χαὶ πείθειν δύνασθαι. ἀλλ' εἰ χαὶ
ἀπαραμυθήτως ἐτίθεσαν τὰ οἰχεῖα δόγματα, ἀλλ' οὖν συμφώνως πάντες
τὰς ἀρχὰς ἐναντίας εἶναι ὑπέθεντο. ἡ μὲν οὖν χοινωνία "ἐπὶ τοσοῦτον", ἡ 20
δὲ διαφορὰ ὅτι οἱ μὲν χαθολιχώτερα χαὶ περιεχτιχώτερα ἐλάμβανον, οἱ
δὲ μεριχώτερα, χαὶ οἱ μὲν γνωριμώτερα τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λόγῳ,
25 οἱ δὲ τῷ λόγῳ μᾶλλον ἢ τῇ αἰσθήσει. οἱ μὲν γὰρ θερμὸν χαὶ ψυχρόν,
ὁ Παρμενίδης, ὧν τὸ μὲν θερμὸν πῦρ ἐχάλει, τὸ δὲ ψυχρὸν γῆν. οἱ δὲ
ὑγρὸν χαὶ ξηρόν. ὁ Πορφύριός φησι τὸν Ξενοφάνην τὸ ξηρὸν χαὶ τὸ
ὑγρὸν δοξάσαι ἀρχάς, τὴν γῆν λέγω χαὶ τὸ ὕδωρ, χαὶ χρῆσιν αὐτοῦ παρα-
τίθεται τοῦτο δηλοῦσαν·
30 γῆ χαὶ ὕδωρ πάντ' ἔσθ' ὅσα φύοντ' ἠδὲ γίνονται. 25
ταύτης δὲ τῆς δόξης δοχεῖ χαὶ Ὅμηρος εἶναι ἐν οἷς φησιν
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ χαὶ γαῖα γένοισθε.

---

1 ὁμοίως ἢ τὰ] fort. ἢ τὰ ὁμοίως 2 ἔλαβε] ἔλ$^{\epsilon}$ (h. e. ἔλεγε) L 4 χακοῦ] χα$^{\kappa}$ (sic) K 5 ἀπόφασιν ante corr. M 6 χακοῦ] χα$^{\kappa\kappa}$ K 7 αὑτοὺς (cf. Simplic. p. 189,35 τὰς οἰχείας ἀντιθέσεις, ut correxit Diels) scripsi: αὐτὴν L: αὐτῶν K: αὐτὸ Mt 8 τῷ λόγῳ] τὸ λόγω K 9 μιχρώτερα K 12 δηλονότι post χαθολιχωτέρας traic. Mt 13 χοινώταται K 15. 16 σχεδὸν — πλεῖστοι om. K 15 σχεδὸν L: om. Mt 16 πάντες συμφώνως Mt 18 χαίπερ ἄνε: (sic), omissis λόγου τιθέντες, K 19 ὑποτίθενται L 20 πειθανῶ K εἰ] ἔτι K 27 ὑγρὸν bis habet L ὁ (rubro addend.) om. K ξενοφανὴ K 28 χρῆσιν K: τὴν ῥῆσιν L: ῥῆσιν Mt 30 γῆ χαὶ ὕδωρ χτλ. Xenophan. fr. 10 Mull.; cf. Simplic. p. 188,32 sqq. ἔστ' ὅσα K φύοντ' KM: φύονται (L)t ἠδὲ K 31 Ὅμηρος Il 99 32 ἀλλ' K: ἀλλ' ὡς LMt γένοισθαι K

www.libtool.com.cn

καὶ οὐδέν γε θαυμαστὸν καὶ τοῦτον, ὥσπερ Παρμενίδην, ἐν τοῖς πρὸς δόξαν d 1v
δύο λέγειν τὰς ἀρχὰς ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγοντα.

p. 188b34 Οἱ δὲ περιττὸν καὶ ἄρτιον ἢ νεῖκος καὶ φιλίαν αἰτίας τίθενται.

Νεῖκος μὲν καὶ φιλίαν Ἐμπεδοκλῆς, περιττὸν δὲ καὶ ἄρτιον οἱ 30
Πυθαγόρειοι· μονάδα γὰρ καὶ δυάδα. οὗτοι δὲ γνωριμώτερα τῷ λόγῳ μᾶλλον ἢ τῇ αἰσθήσει ἔλεγον· οὐ γὰρ γνώριμον τῇ αἰσθήσει τὸ νεῖκος καὶ ἡ φιλία, ἢ τὸ περιττὸν καὶ ἄρτιον. ἕτερα μὲν ὥσπερ καὶ δοκεῖ τοῖς πλείστοις, τουτέστι προφανὲς πᾶσιν ὅπως ἕτερα λέγουσιν· ἕτερον γὰρ τὸ θερμὸν καὶ ψυχρὸν νείκους καὶ φιλίας, καὶ τὰ λοιπὰ ὁμοίως.

p. 188b37 Ταὐτὰ δὲ ᾗ ἀνάλογον· λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας.

Πῶς κατὰ τὴν αὐτὴν ἀναλογίαν λαμβάνουσιν ἑρμηνεύων, ἐπήγαγε τὸ 37
λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας, εἴπομεν δὲ πῶς ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνουσι. τὰ μὲν γὰρ περιέχει, τὰ δὲ περιέχεται τῶν ἐναντίων. πῶς ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνουσι, σημαίνει διὰ τούτων· ἐπεὶ γὰρ τῶν ἐναντίων τὰ μέν ἐστι καθολικώτερα τὰ δὲ μερικώτερα, ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνειν φημὶ αὐτοὺς τὰς ἐναντιώσεις, 40
διότι τὰ σύστοιχα ἐναντία λαμβάνουσι τὰ ὁμοίως ἢ περιέχοντα ἢ περιεχόμενα. οὐ λαμβάνουσι γάρ, φέρε εἰπεῖν, θερμὸν καὶ μέλαν (τὸ γὰρ θερμὸν περιέχει, τὸ δὲ μέλαν τῶν περιεχομένων), ἀλλὰ θερμὸν καὶ ψυχρόν, ἅπερ ὁμοίως περιεκτικά εἰσι. καὶ χεῖρον καὶ βέλτιον· οἱ μὲν γὰρ τὰς περιεκτικωτέρας τῶν ἐναντίων λαμβάνοντες βέλτιον λαμβάνουσιν, ἐπεὶ καὶ κοινοτάτας ἀρχὰς δεῖ λαβεῖν τὰς ἐπὶ πάντα τὰ ὄντα διηκούσας, οἱ δὲ μερικωτέρας χεῖρον, διότι ἐπ' ἐλαττόνων ἁρμοζούσας καὶ οὐκ ἐπὶ πλειόνων 45
ἢ ἐπὶ πάντων ἐλάμβανον.

---

1 παρμενίδη K 3 οἱ δὲ LKM: ἕτεροι δὲ ex Arist. t 3. 4 ἢ—τίθενται om. K 3 ἢ LM: οἱ δὲ t et Aristotelis libri (at in cod. E οἱ δὲ in erasis ab al. m.) 5 φιλιλίαν K 6 οὗτοι] αὐτοὶ K λόγῳ] λέγειν L 8 καὶ (ante δοκεῖ) om. K et Arist. cod. F 9 προφανὴς K ὅπως—λέγουσιν om. L 10 νείκους—ὁμοίως om. K 11 ταὐτὰ scripsi ex Arist.: ταῦτα LKM: τὰ αὐτὰ t ᾗ] ἡ K 11. 12 λαμβάνουσι—συστοιχίας om. K 14. 15 post συστοιχείας (sic) om. εἴπομεν—συστοιχίας K 17 διὰ τούτων LK: δι' αὐτῶν Mt 20 οὐ λαμβάνουσι γὰρ K: οὐ λαμβάνουσι (om. γάρ) L: οὐ γὰρ λαμβάνουσι γὰρ (sic) Mt 22 περιεκκτικά K 22. 23 τὰς περιεκτικωτέρας LK: τὰ περιεκτικώτερα Mt 23 ἀναντίων K 23. 24 κοινοτάτας L: κοινωτάτας K: κοινο addito compendio syllabae ας M: κοινοτήτας (sic) t 24. 25 μερικωτέρας LK: μερικώτερα Mt 26 ἢ] οἳ K

www.libtool.com.cn

p. 189a 5 Τὸ μὲν καθόλου κατὰ τὸν λόγον γνώριμον, τὸ δὲ καθ' ἕκαστον κατὰ τὴν αἴσθησιν. d 1v

Οὐ τὸ αὐτὸ λαμβάνει γνώριμον νῦν καὶ ἀνωτέρω· ἄνω μὲν γὰρ διῄρει τὰς ἐναντιώσεις εἴς τε τὰς τῷ λόγῳ γνωρίμους καὶ εἰς τὰς τῇ αἰσθήσει, καὶ ἐν ἑκάστῳ τούτων διαίρεσιν ἐποιεῖτο τοῦ τε καθολικωτέρου καὶ τοῦ μερικωτέρου· ἦν γὰρ καὶ ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις τά τε καθολικώτερα καὶ τὰ μερικώτερα, ὁμοίως δὲ καὶ ἐν τοῖς κατὰ τὸν λόγον. οὐχ ὅπερ οὖν ἔλεγεν ἐκεῖ τῇ αἰσθήσει γνώριμον ἢ τῷ λόγῳ, τοῦτο καὶ ἐνταῦθά φησιν, ἀλλ' ἐν ἑκάστῃ σειρᾷ τὰ μὲν καθολικώτερα γνωριμώτερα τῷ λόγῳ, τὰ δὲ μερικώτερα μᾶλλον τῇ αἰσθήσει. καὶ γὰρ ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις τὰ μὲν καθολικώτερα, οἷον μανότης καὶ πυκνότης, τῷ λόγῳ μᾶλλον γνώριμα τοῦ θερμοῦ καὶ ψυχροῦ, ταῦτα δὲ μᾶλλον τῇ αἰσθήσει γνώριμα ἤπερ τῷ λόγῳ· ὁμοίως δὲ καὶ ὑπεροχὴ καὶ ἔλλειψις μᾶλλον τῷ λόγῳ γνώριμος ἢ τῇ αἰσθήσει, καὶ μᾶλλον μα|νότητος καὶ d 2r πυκνότητος. ὁμοίως καὶ ἐν τοῖς κατὰ τὸν λόγον τὰ μὲν καθολικώτερα τῷ λόγῳ μᾶλλόν ἐστι γνώριμα ἢ τὰ μερικώτερα, τὰ δὲ μερικώτερα τῇ αἰσθήσει μᾶλλον ἢ τὰ καθολικώτερα.

p. 189a 11 Ἐχόμενον δ' ἂν εἴη λέγειν πότερον δύο ἢ τρεῖς ἢ πλείους εἰσίν.

Ὅτι μὲν τὰ ἐναντία παραληπτέον ἀρχὰς τῶν φυσικῶν πραγμάτων φθάσας ἤδη ἀπέδειξεν, ἐντεῦθεν δὲ τὸ προκείμενον δεῖξαι ὅτι τὴν πρωτίστην καὶ κοινοτάτην ἐναντίωσιν ἀνάγκη πᾶσα μίαν εἶναι. τοῦτο οὖν βουλόμενος δεῖξαι ἀναλαμβάνει τὸν περὶ τῶν ἀρχῶν λόγον καὶ δείκνυσιν ὅτι οὔτε μίαν ἐνδέχεται εἶναι τὴν ἀρχήν, οὔτε ἄπειρους, ἀλλὰ πλείους μὲν μιᾶς, πεπερασμένας δὲ ταύτας. αὕτη δὲ ἡ διαίρεσις οὐχ ἁπλῶς εἰδικῶν ἐστιν ἀρχῶν ἢ ὑλικῶν, ἀλλὰ κοινῶς τῶν ἀρχῶν· ὥσπερ γὰρ καὶ τὴν ὑλικὴν ἀρχὴν ἢ μίαν εἶναι ἀνάγκη ἢ πλείους, καὶ εἰ πλείους, ἢ πεπερασμένας ἢ ἀπείρους, οὕτω δὴ καὶ καθόλου τὰς ἀρχὰς τῇ αὐτῇ ὑποπεσεῖν διαιρέσει ἀνάγκη· ἀνάγκη γὰρ ἢ μίαν εἶναι ἢ πολλάς, καὶ πεπερασμένας ἢ ἀπείρους. ἀνελὼν οὖν τὰ ἄκρα καταλιμπάνει τὸ μέσον καὶ ἀληθές. μίαν μὲν οὖν ἀδύνατον εἶναι τὴν ἀρχήν, διότι ἐδείχθη τὰ ἐναντία δεῖν εἶναι ἀρχάς,

---

1 μὲν LM: μὲν γὰρ Kt Aristoteles τὸν λόγον] τὸ K 1. 2 τὸ δὲ — αἴσθησιν om. K 6 τὴν om. L 8 λόγῳ τούτῳ καὶ M 9 σειρὰ K 12 μᾶλλόν εἰσι γνώριμα Mt τοῦ θερμοῦ καὶ (τοῦ add. Mt) ψυχροῦ, ταῦτα δὲ μᾶλλον KMt: ἤπερ τῇ αἰσθήσει (αἰσ in eras.)· τὸ δὲ θερμὸν καὶ ψυχρὸν μᾶλλον concinnius L 13 ἤπερ LK: ἢ Mt καὶ ἡ ὑπεροχὴ K 14 καὶ μᾶλλον μανό- in eras. K 14. 15 μανότητος καὶ πυκνότητος K: μανότητα καὶ πυκνότητα L: μανότης καὶ πυκνότης Mt 15 τοῖς] τῶ L 16 ἐστι om. K 18. 19 πότερον — εἰσίν om. K 19 εἰσίν M: εἰσί Lt 21 ἀπέδειξεν LK: ὑπέδειξεν Mt 21. 22 προτίστην καὶ κοινωτάτην K 23 τῶν περὶ τῶν ἀρχῶν λόγων K 25 αὐτὴ δὲ K 31 ante ἀρχάς addit τὰς t

www.libtool.com.cn

τὸ δὲ ἐναντίον τινὶ ἐναντίον (οὐδὲν γὰρ αὐτὸ ἑαυτῷ ἐστιν ἐναντίον)· τῶν d 2r
πρός τι γάρ. ὥστε ἀδύνατον μίαν εἶναι τὴν τῶν φυσικῶν πραγμάτων ἀρχήν.
ἀπείρους δὲ τὰς ἀρχὰς ἀδύνατον εἶναι, πρῶτον μὲν διὰ τὸ ἀναιρεῖσθαι
τὴν ἐπιστήμην, ὡς καὶ ἔμπροσθεν ἐλέγετο, μᾶλλον δὲ καὶ αὐτὴν τὴν ψιλὴν 15
γνῶσιν τῶν ὄντων (τῶν γὰρ ἀπείρων γνῶσις οὐκ ἔστι, τῶν δὲ ἀρχῶν μὴ
γινωσκομένων, οὐδὲ τὰ ἐξ αὐτῶν γνωσθείη ἄν· ὥστε καθόλου πάντων
ἄγνοιαν εἰσάγουσιν οἱ ἀπείρους εἶναι τὰς ἀρχὰς ὑποτιθέμενοι), ἔπειτα δέ,
ὅπερ ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς εἴρηκε, συμβήσεται οὕτω διπλασια-
σθῆναι τὸ ἄπειρον· ἡ γὰρ ἐναντίωσις δύο περιέχει ἐναντία, ὥστε εἰ ἄπειροι
αἱ ἐναντιότητες, διπλάσια ἔσονται τὰ ἐναντία· ἔσται οὖν τοῦ ἀπείρου
διπλάσιον. ἔπειτα καθ' ἕκαστον, φησί, γένος μία τις ἡ καθολικωτάτη
ἐναντίωσις, καὶ τοῦτο δῆλον ἐκ τῆς ἐπαγωγῆς. ἐν γὰρ τῇ ἐπιφανείᾳ πρω- 20
τίστη ἐναντίωσις ἡ κατὰ τὸ πλατὺ καὶ τὸ στενόν· τὸ γὰρ τραχὺ καὶ τὸ
λεῖον, εἰ καὶ ὑπάρχει πρώτως τῇ ἐπιφανείᾳ, ἀλλ' οὐχ ᾗ ποσόν τί ἐστι
συνεχές, ἀλλὰ καθὸ μετέχει τῆς τοῦ κεῖσθαι κατηγορίας (κατὰ γὰρ τὴν
τοιάνδε θέσιν τῶν μορίων ὑπάρχει αὐτῇ τὸ τραχὺ καὶ τὸ λεῖον), τὸ μέν-
τοι πλατὺ καὶ στενὸν ὡς ἐπιφανείᾳ πρώτως ὑπάρχει, τουτέστιν ὡς ἑνὶ τῶν
τοῦ μεγέθους εἰδῶν. ὁμοίως ἐν τῷ γένει τοῦ ἀριθμοῦ πρωτίστη ἐναντίωσις
τὸ περιττὸν καὶ τὸ ἄρτιον, ἐν τῷ τοῦ χρώματος γένει τὸ μέλαν καὶ τὸ
λευκόν· ὑπὸ ταῦτα γὰρ τὰ λοιπά. εἰ τοίνυν καὶ ἡ οὐσία ἕν τι γένος ἐστὶν 25
ἧς τὰς ἀρχὰς ζητοῦμεν, ἀνάγκη πᾶσα καὶ ἐν ταύτῃ τὴν πρωτίστην ἐναν-
τίωσιν μίαν εἶναι. ἔστι δὲ ἐν τῇ οὐσίᾳ καθολικωτάτη ἐναντίωσις κατὰ τὸ
εἶδος καὶ τὴν στέρησιν, ὑφ' ἣν πᾶσαι αἱ ἄλλαι ἀνάγονται, καὶ οὐ μόνον
ἐπὶ τῆς γενητῆς καὶ φθαρτῆς οὐσίας θεωρεῖται αὕτη ἡ ἀντίθεσις, ἀλλὰ
καὶ ἐπὶ τῆς τῶν οὐρανίων καὶ ἐπὶ τῆς ὑπερφυοῦς. ἥ τε γὰρ ψυχὴ ἐξ
ἀγνοίας εἰς γνῶσιν μεταβάλλουσα κατὰ στέρησιν καὶ ἕξιν μεταβάλλει καὶ
ἀπὸ κακίας εἰς ἀρετήν, εἴ γε τελειωτικὸν τῆς οὐσίας τῆς ψυχῆς ἐστιν ἡ
ἀρετή, τὸ δὲ τὴν τελειότητα τὴν ἑαυτοῦ ἀπολαμβάνον τὸ εἶδος τὸ ἑαυτοῦ 30
ἀπολαμβάνει, τὸ δὲ ἀπειληφὸς τὸ εἶδος τὸ ἑαυτοῦ, πρὶν ἀπολάβῃ ἐν στε-
ρήσει τούτου ἦν· διὸ καλῶς ἐν τοῖς Περὶ ψυχῆς γενέσει μᾶλλον ἀπεικάζει
τὴν τοιαύτην τῆς ψυχῆς μεταβολήν, ἤπερ ἀλλοιώσει. καὶ ἐν τοῖς οὐρανίοις
δὲ ἡ τοιαύτη ἀντίθεσις θεωρεῖται· εἰ γὰρ καὶ μὴ ἀνὰ μέρος ποτὲ μὲν τὸ
εἶδος, ποτὲ δὲ τὴν στέρησιν δέχονται, ὥσπερ τὰ ἐν γενέσει, ἀλλ' οὖν τὴν
ἑτέραν ἔχει ἐπικρατήσασαν τοῦ ὑποκειμένου, λέγω δὴ τὴν κατὰ τὸ εἶδος.

---

1 γὰρ αὐτῷ ἑαυτῷ ἐναντίον ἐστὶ L 1. 2 τῶν πρός] τὸ πρὸς K 4 ἔμπροσθεν p. 96, 14 sqq. 4. 5 τὴν ψιλὴν γνῶσιν τῶν ὄντων L: ψιλὴν τὴν γνῶσιν τῶν ὄντων K: ψιλὴν τῶν ὄντων γνῶσιν Mt 8 Περὶ γενέσεως καὶ φθορᾶς] cf. B 5 p. 332b30 sqq. cum Philop. comm. f. 56r23 8. 9 διπλασιασθῆναι κτλ.] cf. Themist. p. 136,16 10 ἐναντιώτητες K 11 ἔπειτά φησι καθ' ἕκαστον Mt τίς ἐστιν ἡ K 12 ἐκ τοῦ ἐπαγωγοῦ M 13 τὸ (ante στενόν) om. Mt βραχὺ t 14 οὐχ ᾗ] οὐχὶ K 15 καθὼς Mt 16 αὐτὴ et 17 ἐπιφάνεια K 24 γεννητῆς Lt ἀντίθεσις] ἐναντίωσις L 25 ἥ τε] εἴτε K 27 τελειοτικὸν et 28 ἀπολαμβάνων K 29 ἀπειφὸς (sic) K 30 Περὶ ψυχῆς] an B 5. 417b6 sqq.? eadem tradet Philoponus infra in excerptis cod. Paris. 1853 ad E 1 p. 224b11 31 εἴπερ K 34 τοῦ ὑποκειμένου ἐπικρατήσασαν Mt τὴν om. L

www.libtool.com.cn

ἄλλως τε ἐπὶ τῆς κατὰ τόπον τῶν οὐρανίων μεταβολῆς εὕροις ⟨ἂν⟩ ἀνὰ d 2r
μέρος ἑκάτερον τούτων ἐπικρατοῦν· τὸ γὰρ ἐν τῷ ὑπὲρ γῆν τόπῳ ἡμισφαί- 35
ριον ἐστέρηται δηλονότι τοῦ ὑπὸ γῆν, καὶ καθ' ἕκαστον τῶν μορίων ὡσαύ-
τως. ὥστε εἰ μία ἐστὶν ἐν τῇ οὐσίᾳ πάσῃ ἡ πρωτίστη ἐναντίωσις, ὑπὸ δὲ
5 ταύτην αἱ ἄλλαι πᾶσαι ἀνάγονται, δῆλον δήπου ὅτι οὐδὲ ἄπειροι αἱ ἀντι-
θέσεις, οὐδὲ πεπερασμέναι μὲν πλείους δὲ δύο.

Ζητοῦσι δὲ ἐνταῦθα πρῶτον μὲν τί φησι γένος ἐνταῦθα ὁ Ἀριστο-
τέλης, ἔπειτα πῶς ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις, καὶ τρίτον
ὅτι εἰ περὶ πάσης μεταβολῆς ἐνταῦθα ὁ λόγος, μᾶλλον δὲ εἰ περὶ τῶν
10 κοινοτάτων ἀρχῶν πάντων ὁμοῦ τῶν φυσικῶν πραγμάτων, εἰσὶ δὲ φυσικὰ
πράγματα οὐ μόνον ἡ οὐσία ἀλλὰ καὶ αἱ λοιπαὶ κατηγορίαι, πῶς εὑρηκὼς 40
τὰς τῆς οὐσίας ἀρχὰς οἴεται πάντων τῶν ὄντων τὰς ἀρχὰς εὑρηκέναι· εὗρε
γὰρ τοσοῦτον, ὅτι ἐν τῇ οὐσίᾳ ἑνὶ ὄντι γένει μία ἐστὶν ἡ πρωτίστη ἐναν-
τίωσις, ἣν ἔφαμεν εἶναι τὴν κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. γένος μὲν
15 οὖν ἐνθαῦτά φασιν αὐτὸν οἱ ἐξηγηταὶ λέγειν οὐ "τὸ κατὰ πλειόνων καὶ
διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον", ἀλλὰ τὸ ὑποκείμενον,
ἓν δέ ἐστι καὶ τοῦτο τῶν τοῦ γένους σημαινομένων τῷ Ἀριστοτέλει. πολ-
λαχοῦ γὰρ τὸ ὑποκείμενον γένος ἐκάλεσε καὶ ἐν τοῖς προλαβοῦσιν· ἓν γὰρ
εἶναι τῷ γένει τὰς ἀτόμους ἔλεγεν ὑποτίθεσθαι τὸν Δημόκριτον, τουτέστι 45
20 τῷ ὑποκειμένῳ. λαμβάνει οὖν τὴν οὐσίαν πᾶσαν ἐνταῦθα οὐχ ὡς διαιρου-
μένην εἰς εἶδος καὶ στέρησιν, ἀλλ' ὡς τὴν αὐτὴν ὑποκειμένην εἴδει καὶ
στερήσει ἀνὰ μέρος, ὥσπερ ἂν εἴποιμεν ὑποκεῖσθαι πάντα τὰ ἀνθρώπεια
σώματα τῷ λευκῷ καὶ τῷ μέλανι. οὕτως οὖν φαμεν καὶ τὴν οὐσίαν πᾶσαν
ὑποκεῖσθαι καὶ δοχεῖον εἶναι πρωτίστης ἐναντιώσεως τῆς κατὰ τὸ εἶδος καὶ
25 τὴν στέρησιν· ὅσας γὰρ ἄλλας δέχεται ἀντιθέσεις, ὑπὸ ταύτην ἀνάγονται,
κἂν τε τὴν τοῦ ἐμψύχου καὶ ἀψύχου εἴποις, κἂν τε τὴν τοῦ λογικοῦ καὶ
ἀλόγου, κἂν ἡντιναοῦν ἄλλην. ὅταν γὰρ γίνηται λογικόν τι, δηλονότι τὸ 50
γινόμενον λογικὸν στέρησιν εἶχε πρὸ τούτου τοῦ εἴδους τοῦ λογικοῦ (οἷον
τὸ ἄρτι διαπλασθὲν ἔμβρυον), εἶτα τοῦ εἴδους τούτου ἐπιγινομένου ἐν τῷ
30 ὑποκειμένῳ ἡ στέρησις ὑπεχώρησε, καὶ ἐπὶ πάντων ὁμοίως. ἀλλ' ἴσως
ἐρεῖ τις πρὸς ταῦτα, ὅτι 'καὶ τί ἄλλο ταῦτα λέγοντες ἢ τὸ γένος τὸ κατὰ
πλειόνων κατηγορούμενον λέγομεν; λέγων γὰρ ἐν τῷ παντὶ γένει τῆς οὐ-

---

1 ἀλλ' ὥστε K εὕρης M ἓν addidit t 2 τὼ γὰρ K 2. 3 ἡμισφαιρίω K 3 ἐσταίρηται K 4 ἐστὶν compend. M: γε t 6 πλεῖαι L δύο om. K 7 Ζητοῦσι κτλ.] cf. Simplic. p. 191,13 10 κοινωτάτων K

12. 13 εὕρε (ευ in ras.) δὲ τοσοῦτον L 13 γένει (ε' M) LKM: γίνεται t 14 τὴν (ante στέρησιν) om. L 15 τὸ om. L 15. 16 τὸ κατὰ — κατηγορούμενον verba sunt Aristotelis γένος definientis Top. A 5 p. 102a31 17 ἓν δὲ καὶ τοῦτό ἐστι Mt 18 τοῖς προλαβοῦσιν] cf. ad p. 25,17 19 ἔλεγεν ante εἶναι traic. Mt 22 τὰ ἀνθρώπεια πάντα Mt 23 φαμεν om. L πάσαν (sic) K 26 τὴν τοῦ (τοῦ om. L) ἐμψύχου καὶ ἀψύχου LK: τὴν τοῦ ἀψύχου καὶ τὴν τοῦ ἐμψύχου Mt 27 ἡντινωνοῦν (sic) M 29 ἐπιγενομένου L ἐν om. superscr. M 30 ἡ στέρησις] ὑστέρησις L 31 ταῦτα om. K

www.libtool.com.cn

σίας καὶ περιλαμβάνων πᾶσαν οὐσίαν, τί ἄλλο ἢ τὸ κοινότατον λέγω γέ- d 2r
νος; πάλιν δ' αὖ τὴν τοῦ λογικοῦ καὶ ἀλόγου ἀντίθεσιν ἢ ἐμψύχου καὶ 55
ἀψύχου ὑπὸ τὴν στέρησιν καὶ τὴν ἕξιν ἀνάγων, ἣν φημι τῆς οὐσίας πρω-
τίστην εἶναι ἐναντίωσιν, τί ἄλλο ἢ τὸ | γένος τῆς οὐσίας τὸ εἰς ταῦτα d 2v
διαιρούμενον λαμβάνω;' φημὶ οὖν πρὸς ταῦτα, ὅτι εἰ καὶ τὴν αὐτὴν οὐσίαν
λαμβάνω, λέγω δὴ τὴν κοινοτάτην, ἀλλ' οὖν ἑτέραν καὶ ἑτέραν σχέσιν
ἔχουσι πρὸς τὰς διαφοράς· εἴρηται γάρ, καὶ καλῶς εἴρηται, ὅτι τὰ γένη
καὶ προηγεῖται τῶν διαφορῶν ἐν τῇ γενέσει καὶ σύνεισιν αὐταῖς μετὰ τὴν
γένεσιν· ἐν γὰρ τῇ τοῦ ἀνθρώπου γενέσει πρῶτον ἐν τῇ ὕλῃ γίνεται τὸ
σῶμα, εἶτα τούτῳ ὑποκειμένῳ ὡς ἐν ὕλῃ δευτέρᾳ ἐπιγίνεται τὸ ζῷον, καὶ
τούτῳ πάλιν ὡς προσεχεστέρᾳ ὕλῃ τὸ ἀνθρώπειον εἶδος, ὅθεν καὶ ὕλης 5
λόγον ἐπέχειν τὰ γένη πρὸς τὰς διαφορὰς ὁ Πορφύριος ἔλεγεν. οὕτω μὲν
οὖν προηγεῖται, σύνεισι δὲ ταῖς διαφοραῖς ἐν τοῖς ἤδη γεγονόσι πράγμασιν.
ὅταν μὲν οὖν ὡς ὕλης λόγον ἐπέχοντα τὰ καθολικώτατα λάβωμεν, τότε οὔ
φαμεν ταῦτα διαιρεῖσθαι κατὰ τὰς διαφορὰς εἰς τὰ εἴδη, ἀλλ' ὑποκεῖσθαι
αὐταῖς, ὅταν δὲ ὡς συνόντα ταῖς διαφοραῖς, οἷον ἐν τοῖς ἤδη γενομένοις
πράγμασι, τότε οὐκέτι ὑποκεῖσθαι, ἀλλὰ διαιρεῖσθαι κατ' αὐτάς. ὅταν οὖν
διαιρῶμεν τὸ γένος, τὸ κατὰ πλειόνων δηλονότι κατηγορούμενον διαιροῦμεν 10
καὶ τὸ ἤδη ὑφεστηκὸς καὶ συνὸν ταῖς διαφοραῖς, μόνον οὐχὶ λέγοντες ὅτι
ἡ κοινὴ αὕτη φύσις καὶ τῷδε καὶ τῷδε τῷ εἴδει ὑπάρχει, νῦν δὲ ἐπεὶ
μὴ ὡς ὄντα διαιρεῖν ἡμῖν πρόκειται τὰ πράγματα, ἀλλ' ὡς γινόμενα θεω-
ρεῖν, τὸ κοινὸν τῆς οὐσίας γένος ὑποκεῖσθαί φαμεν ταῖς ἐναντιώσεσι, καθ'
ἃς ἕκαστον τῶν ὄντων γίνεται, τὴν πρωτίστην ⟨δὲ⟩ ἐναντίωσιν εἶναι τὴν
κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν· διό φαμεν πρωτίστας ἀρχὰς εἶναι τῶν
ὄντων, ἐξ ὧν τὸ εἶναι ἔχουσι, τὸ εἶδος καὶ τὴν στέρησιν. δῆλον δὲ καὶ
ἐντεῦθεν, ὅτι οὐ τὸ γένος τὸ κατὰ πλειόνων κατηγορούμενον λέγομεν, ὅτι
καὶ τὸ εἰδικώτατον εἶδος εἴποιμ' ἂν οὕτω γένος· φήσαιμι γὰρ ἂν ἐν ἑνὶ 15
τῷ τῶν ἀνθρώπων γένει εἶναι τὴν κατὰ τὴν ἐπιστήμην καὶ τὴν ἀνεπι-
στημοσύνην ἐναντίωσιν, ἢ τὴν κατὰ τὴν γνῶσιν καὶ τὴν ἄγνοιαν, οὐδὲν
ἄλλο λέγων ἢ ὑποκεῖσθαι τὸν ἄνθρωπον γνώσει καὶ ἀγνωσίᾳ, ἣν καὶ πρώ-
την ἐναντίωσιν εἴποιμ' ἂν ὡς ἀνθρώπῳ λογικῷ ὑπάρχειν. τὸ μὲν οὖν τῶν
ἀπόρων πρῶτον οὕτως ἡμῖν διῃρήσθω.

Δεύτερον δὲ ἦν, πῶς ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις. φημὶ οὖν ὅτι ἐν μὲν τῷ ποσῷ ἤτοι τὸ διωρισμένον καὶ τὸ συνεχές (εἰλήφθω

---

1 παραλαμβάνων K πάσαν ante corr. K κοινώτατον K λέγω LKM: λέγων t 2 δ' αὖ τὴν Mt: δαυτήν K: δ' αὐτὴν L 5 καὶ om. L 6. 7 ἔχουσι σχέσιν Mt 7 καὶ om. K 10. 11 καὶ τοῦτο πάλιν ὥσπερ ἐχεστέρ K 11 ἀνθρώπειον LK: ἀνθρώπινον (compend. ἀνινον t) Mt 13 δὲ καὶ L 19 ὑφεστικὸς K μονονουχὶ K 20 τῷδε καὶ τῷδε] τόδε καὶ τόδε τῷδε L νῦν δὲ ἐπεὶ LK: ἐπεὶ δὲ Mt 21 μὴ ὡς ὄντα L: καὶ μὴ ὄντα K: μὴ ὄντα Mt πραγματα (litterae γματα in eras.) K 23 δὲ addidit t 23. 24 τὴν κατὰ] τὲ καὶ L ubi proxima διό—στέρησιν omittuntur 26 ὅτι (post λέγομεν) LK: διότι Mt 27 ἂν (post γὰρ) K: om. LMt 33 μία ἔστιν K: μία, ὥσπερ LMt ἡ ἐναντίωσις Mt 34 ἤτοι LKM: ἔστι perperam t

www.libtool.com.cn

δὲ πάλιν μὴ ὡς εἰς ταῦτα διαιρούμενον τὸ ποσόν, ἀλλ' ὡς ὑποκείμενον d 2v
αὐτοῖς ἐν ὕλης λόγῳ), ἤγουν ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις (δύναται γὰρ ὑπὸ 20
μὲν τὴν ὑπεροχὴν τὸ διωρισμένον ἀνάγεσθαι ποσόν, ὑπὸ δὲ τὴν ἔλλειψιν
τὸ συνεχές· τὸ γὰρ αὐτὸ μέγεθος ἐὰν διωρισμένον γένηται, ὑπὸ μείζονος
5 ὅλον ὡς ὅλον περιλαμβάνεται τόπου), τοῦ δὲ ποιοῦ εἴη ἂν πρωτίστη
ἐναντίωσις ἡ κατὰ τὸ μανὸν καὶ πυκνόν. ὅτι μὲν γὰρ αἱ παθητικαὶ ποιό-
τητες καὶ τὰ πάθη ὑπὸ τὴν μανότητα καὶ τὴν πυκνότητα ἀναχθήσονται,
πρόδηλον· ὑπὸ γὰρ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ ξηροῦ τε καὶ ὑγροῦ ἀντί-
θεσιν πᾶσαι αἱ ἄλλαι τελοῦσιν. ἐκ γὰρ τῆς τούτων κράσεως πᾶσαι αἱ
10 ἄλλαι ποιότητες γίνονται, αὗται δὲ προφανῶς ὑπὸ τὴν μανότητα καὶ πυκνό- 25
τητα τελοῦσιν, ὥστε καὶ αἱ ὑπὸ ταύτας· τὰ γὰρ τέσσαρα στοιχεῖα, ἅτινα
ἐκ τῆς συμπλοκῆς τῶν δύο τούτων ἐναντιώσεων γίνονται, προφανῶς πυκνό-
τητι καὶ μανότητι μεταβάλλουσιν εἰς ἄλληλα. δύναμις δὲ καὶ ἀδυναμία, εἰ
μὲν ἐπὶ τῶν παθητικῶν ποιοτήτων λέγοιντο, οἷον τὸ δύναμιν ἔχον τοῦ
15 θερμαίνεσθαι ἢ ψύχεσθαι ἢ ξηραίνεσθαι ἢ ὑγραίνεσθαι ἢ κατὰ ἄλλην ποιό-
τητα μεταβάλλειν ἢ ἀδυναμίαν τούτου ἔχειν, πρόδηλον ὅτι καὶ αὗται ὑπὸ
μανότητα καὶ πυκνότητα ἀναχθήσονται, ἐπειδὴ καὶ αἷς ὑπάρχουσι ποιότησιν 30
ὑπὸ ταύτας ἀνάγονται· εἰ δὲ ἐπὶ τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων, οἷον
δύναμιν μουσικῆς ἢ ἄλλης τινὸς ἐπιστήμης ἢ ἀδυναμίαν τούτου φημί,
20 ἐπειδὴ ἐν σώματι γενομένη ἡ ψυχὴ ἐκ τῆς πρὸς τὸ σῶμα συμπλοκῆς
διαφόρους ἐπιτηδειότητας ἀναδέχεται, τὸ δὲ σῶμα ἐκ τῆς κράσεως τῶν
παθητικῶν ποιοτήτων συνέστηκεν, οὕτως ἂν καὶ ἡ κατὰ τὴν δύναμιν καὶ
ἀδυναμίαν ποιότης ὑπὸ τὰς παθητικὰς ἀνάγοιτο ποιότητας, αὗται δὲ ἐδεί-
χθησαν ὑπὸ μανότητα καὶ πυκνότητα ἀνάγομεναι. εἰ δὲ καὶ ἐπὶ τῶν ἀλό-
25 γων λαμβάνομεν τὴν ἀδυναμίαν (λέγομεν γὰρ τὸν ἵππον ἀδυναμίαν ἔχειν 35
γραμματικῆς), δῆλον ὅτι καὶ ἐνταῦθα οὐκ ἄνευ τῆς τοιᾶσδε κράσεως τῶν
παθητικῶν ποιοτήτων ἡ τοιαύτη ἀδυναμία γίνεται· οὐ γὰρ ἡ τυχοῦσα ψυχὴ
εἰς τὴν τυχοῦσαν ἐπιλάμπει κρᾶσιν τῶν σωμάτων. διὰ οὖν τὸ μὴ πεφυκέ-
ναι εἰς τὴν τοιαύτην κρᾶσιν τῶν σωμάτων τῶν ἀλόγων ἐπιλάμπειν τὴν
30 λογικὴν ψυχήν, ἀδυναμίαν λέγονται ἔχειν τῶν λογικῶν ἐπιστημῶν. ἕξις δὲ
καὶ διάθεσις ὁμοίως τῇ δυνάμει καὶ ἀδυναμίᾳ ἀναχθήσονται· καὶ ἡ μὲν
ἐπὶ τῶν παθητικῶν ποιοτήτων λεγομένη πρόδηλος, ἡ δὲ ἐπὶ τῆς ψυχικῆς
ἕξεως καὶ διαθέσεως τῆς κατὰ τὰς ἐπιστήμας διὰ τὴν ἐκ τῆς δυνάμεως 40
τῆς ψυχῆς ἐπιτηδειότητα * * * μᾶλλον ἢ ἧττον ἡ ἕξις γίνεται καὶ ἡ διάθεσις.
35 εἴπομεν δὲ ὅτι τὴν ἐπιτηδειότητα καὶ ἀνεπιτηδειότητα ἐκ τῆς συμπλοκῆς

---

1 εἰς om. L 5 ὡς] εἰς K περιλαμβάνεται L: πλαμβάνεται M: παραλαμβάνεται Kt τόπον K 6 καὶ τὸ πυκνόν K γὰρ om. L 8 τὴν τοῦ] τῆς τοῦ K 9. 10 πᾶσαι αἱ ἄλλαι (post κράσεως) LK: αἱ ἄλλαι πᾶσαι Mt 10 αὗται K 12 γίνεται K 12. 13 μανότητι καὶ πυκνότητι Mt 17 αἷς ὑπάρχουσι (ὑπάρχουσιν K) ποιότησιν KMt: αἱ ὑπ' αὐτὰς ὑπάρχουσαι ποιότητες L 18 ταύτας LK: ταύταις Mt 20 ἐν τῷ σώματι L 22 τὴν om. Mt 25 ἔχειν ἀδυναμίαν Mt 26 τῆς (τῆς om. L) τοιᾶσδε LK: τῆς τοιαύτης Mt 28 τὴν et κρᾶσιν om. K 32 λεγομένη] γινομένη L 34 post ἐπιτηδειότητα interciderit φανερά· διὰ γὰρ τὴν ποιότητα τῆς ψυχῆς ἐπιτηδεία

www.libtool.com.cn

τῆς πρὸς τὸ σῶμα ἔσχεν ἡ ψυχή. τὸ δὲ τέταρτον εἶδος τῆς ποιότητος, d 2r
τὸ σχῆμα λέγω καὶ ἡ μορφή, οὕτως ἀναχθήσονται ὑπὸ μανότητα καὶ
πυκνότητα, τὸ μὲν σχῆμα ὅτι δέδεικται ὅτι τῶν ἰσοπεριμέτρων σχημάτων
τὰ πολυγωνότερα πολυχωρητότερα, καὶ διὰ τοῦτο τοῦ γεγωνιωμένου τὸ
5 ἰσοπερίμετρον σφαιρικὸν πολυχωρητότερον (ἀνάξεις οὖν ὑπὸ μὲν μανότητα
τὰ σφαιρικὰ σχήματα, ὑπὸ δὲ τὴν πυκνότητα τὸ γεγωνιωμένον, διότι καὶ 45
τὸ αὐτὸ σῶμα μανούμενον μὲν μεῖζον ἔσται, πυκνούμενον δὲ ἔλαττον), ἡ δὲ
μορφὴ θέσις τις οὖσα τῶν μορίων καὶ οἱονεὶ διάστασις μάνωσις ἂν εἴη
ἐοικυῖα τῇ τεχνητῇ μανώσει τῇ κατὰ διάστασιν τῶν μορίων γινομένῃ, ὡς
10 ἐπὶ τοῦ ἐκτεινομένου ἱμάντος ἔχει ἢ ἐπὶ τοῦ ξαινομένου ἐρίου. οὕτω μὲν
οὖν καὶ τὴν μανότητα ὑπὸ μίαν ἐναντίωσιν ἀνάξομεν. ἐπεὶ οὖν αἱ λοιπαὶ
κατηγορίαι ἰδίαν ὕπαρξιν οὐκ ἔχουσιν, ἀλλ' ἐν ταύταις ἔχουσι τὸ εἶναι, δη-
λονότι τούτων ὑπὸ καθολικωτάτας ἐναντιώσεις ἀναγομένων διὰ τούτων 50
κἀκεῖναι ἀνηγμέναι ἂν εἶεν. ταῦτα μὲν οὖν τοῦ πιθανοῦ μᾶλλον ἢ τοῦ
15 ἀληθοῦς ἕνεκα λελέχθω, δεῖ δὲ προσεχέστερον μίαν ἐναντίωσιν ἀκούειν
καθ' ἕκαστον γένος, τουτέστι καθ' ἑκάστην κατηγορίαν, τὴν καθ' ἣν ἡ
ἀποβολὴ καὶ ἡ πρόσληψις τοῦ εἴδους γίνεται, αὕτη δέ ἐστι τὸ εἶδος καὶ ἡ
στέρησις, αὕτη δὲ ἂν εἴη ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας ἡ ἐναντίωσις. τοῦτο
δὲ πάλιν οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ δεικνύειν, καὶ ζητεῖν
20 μὲν δεῖξαι ὅτι ἡ ἐν τῇ οὐσίᾳ πρώτη ἐναντίωσις τὸ εἶδός ἐστι καὶ ἡ στέ-
ρησις, λαμβάνειν δὲ πάλιν ὁμολογούμενον ὅτι ἐν παντὶ γένει μία ἐστὶν 55
ἐναντίωσις ἡ κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν, καὶ διὰ τοῦ|το καὶ ἐν τῇ οὐ- d 3r
σίᾳ ἡ αὐτὴ ἂν εἴη. δεικνύει δὲ τὸ μίαν εἶναι ἐναντίωσιν ἐν ἑκάστῳ γένει
καὶ οὕτως. εἰ ἑκάστου, φησί, τῶν ὄντων εἴτε καθόλου εἴη εἴτε μερικὸν εἷς
25 ἔστιν ὁρισμὸς καὶ οὐκ ἐνδέχεται τοῦ αὐτοῦ δύο εἶναι ὁρισμούς, δῆλον ὅτι
ὁ μὲν ὁρισμὸς ποιήσει τὴν γένεσιν ἐκείνου, τὸ δὲ τῷ ὁρισμῷ ἀντικείμενον
τὴν φθοράν· ὥστε εἰ ἑνὶ ὄντι τῷ ὁρισμῷ ἕν ἐστι καὶ τὸ ἀντικείμενον,
ἀνάγκη μίαν εἶναι ἐναντίωσιν περὶ ἕκαστον τῶν πραγμάτων περὶ ἣν ἡ γέ- 5
νεσις γίνεται καὶ ἡ φθορά. οὐ πάντως δὲ ἑκάστην τῶν ἐναντιώσεων δυνα-
30 τὸν ὀνόματι σημαῖνει, ἀλλ' ἀρκεῖ τῷ κοινῷ τοῦ εἴδους καὶ [τῷ] τῆς στε-
ρήσεως ὀνόματι πάσας καλεῖσθαι. ἀλλὰ καὶ τοῦτο, ὅτι ἕκαστον μὲν τῶν
πραγμάτων κατὰ μίαν ἐναντίωσιν τὴν γένεσιν ἔχει καὶ τὴν φθορὰν δείκνυ-
σιν, οὐκέτι μέντοι ὅτι τὰ ὑπὸ τὸ γένος πάντα εἴδη, οἷον τὰ τέσσαρα εἴδη
τῆς ποιότητος, ὑπό τινα κοινοτάτην ἐναντίωσιν ἀνάγονται προσεχῶς ὑπὸ τὴν

---

4 πολυγωνότερα L: πολυγωνώτερα K: πολυγωνιώτερα Mt διὰ τοῦτου (sic) K
8 θέσεως compend. K 9 τῇ τέχνῃ τῇ K 10 ξαινομένου M: ξενομένου LK: ξαιο-
μένου t 11 μανότητα] immo ποιότητα 14 ταῦτα] τὰ K 15 ἀληθινοῦ Mt
μᾶλλον ante εἵνεκα (sic M) iterat M 16 τὴν καθ' LK: καθ' (om. τὴν) Mt 17 ἡ
πρόσληψις] ἀπόληψις (om. ἡ) L 18 καὶ ante ἐν add. Mt 19 οὐδέν ἐστιν ἄλλο Mt
ζητεῖν et in proximis (v. 21) λαμβάνειν KM: ζητεῖ et λαμβάνει (L)t 20 ἡ (post ὅτι)
om. K 24 φησί] φύσις K 25 ὁ ὁρισμός Mt 26 ἐκείνου iterat L 27 ὄντϊ
(ϊ ex ω) K ἐστι] εἶναι K 28 περὶ ἣν (ἧς K) libri: immo καθ' ἣν 30 τῷ
(ante τῆς) delevit t 31 ὅτι (post τοῦτο) inser. M²t: om. LKM 32 ἔχοι LMt: ἔχον
(sic) K: immo ἔχει 32. 33 ἐνδείκνυσιν L 33 εἴδει altero loco L

ποιότητα οὖσαν, ὅπερ βούλεται τὸ ἐν ἑκάστῳ γένει μίαν εἶναι ἐναντίωσιν· d 3r
τὸ γὰρ εἶδος καὶ ἡ στέρησις ὁμωνύμως πάσης ἐναντιώσεως κατηγοροῦνται. 10

www.libpod.mpi.de

Τρίτον ἦν τῶν ζητουμένων, πῶς εὑρηκὼς τὰς τῆς οὐσίας ἀρχὰς ἔχειν οἴεται πάντων τὰς ἀρχὰς καὶ τῶν λοιπῶν κατηγοριῶν. φασὶν οὖν οἱ ἐξη-
5 γηταὶ ὅτι ὥσπερ τὸ ὂν πρώτως μὲν ἐφήκει τῇ οὐσίᾳ, διὰ δὲ τὴν οὐσίαν· καὶ ταῖς λοιπαῖς κατηγορίαις (ἐν αὐτῇ γὰρ τὸ εἶναι ἔχουσιν), οὕτως καὶ τὸ εἶδος καὶ ἡ στέρησις κυρίως μὲν ἐν τῇ οὐσίᾳ ὑπάρχει, δι' αὐτὴν δὲ καὶ ἐν ταῖς λοιπαῖς κατηγορίαις. ὥστε εἰ ἐφήκει ἀπὸ τῆς οὐσίας ἐπὶ τὰ λοιπὰ γένη τὸ εἶδος καὶ ἡ στέρησις κατὰ τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, εἰκότως
10 εὑρηκὼς τὰς τῆς οὐσίας ἀρχὰς τὰς πάντων ἂν ἔχοι. ταῦτα δὲ σύμφωνα 15 ἂν εἴη τοῖς ἐν προοιμίοις εἰρημένοις, ὅτι δεῖ ἀπὸ τῶν κοινοτέρων καὶ συγκεχυμένων ἄρξασθαι· τὸ γὰρ δεῖξαι ὅτι τὸ εἶδος καὶ ἡ στέρησις ἤδη καὶ πάντων εἰσὶν ἀρχαί, τὰ κοινά ἐστι καὶ συγκεχυμένα δεῖξαι, κοινὰ μὲν ὡς πᾶσιν ἐφαρμόζοντα, συγκεχυμένα δὲ ὡς μηδὲν ἴδιον περὶ τῆς ἰδικῆς ἑκά-
15 στου ἀρχῆς σημαίνοντα. ἔστι δὲ καὶ τῇ φύσει ὕστερον ὡς κοινότερον καὶ ἐκ τῶν καθ' ἕκαστα συνειλεγμένον.

Ἐπὶ τούτοις τρίτον τίθησιν ἐπιχείρημα ὁ Ἀριστοτέλης δεικνὺς ὅτι οὐκ εἰσὶν ἄπειροι αἱ ἀρχαί, ἔστι δὲ τοῦτο. εἰ ἐστί, φησίν, ἄλλα ἄλλων 20 πρότερα ἐναντία, καὶ τὰς ἀρχὰς ἀεὶ δεῖ μένειν, ἀνάγκη πᾶσα μὴ
20 μόνον πεπερασμένας εἶναι τὰς ἀρχάς, ἀλλὰ μηδὲ πλείους δυοῖν· ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. ζητοῦμεν δὲ ἐν τῷ συλλογισμῷ τούτῳ πρῶτον μὲν τί ποτέ ἐστι τὸ ἀεὶ μένειν τὰς ἀρχάς, ἔπειτα πῶς ἀληθεύσει τὸ συνημμένον. οἱ μὲν οὖν ἐνόμισαν ἀρχὰς αὐτὸν λέγειν τὰ οὐράνια, ταῦτα δὲ ἀίδια εἶναι· ἀλλ' οὐ περὶ τοῦ ποιητικοῦ αἰτίου ἐστὶν ὁ λόγος
25 ἐνταῦθα, ἀλλὰ περὶ τοῦ εἰδικοῦ, ὥστε οὐ περὶ τῶν οὐρανίων φησίν. ἕτεροι 25 δέ φασιν ἀρχὰς αὐτὸν λέγειν τὰ πρὸ τῶν πολλῶν εἴδη· τούτων γάρ, φασίν, ἀεὶ μενόντων, οὕτως τὰ ἐνταῦθα γίνονται. ἀλλ' οὐδὲ τοῦτο ἀληθές· πρῶτον μὲν γὰρ οὐδὲ βούλεται εἶναι τὰ πρὸ τῶν πολλῶν εἴδη ὁ Ἀριστοτέλης, ἔπειτα περὶ ἀρχῶν φησιν ἐναντίων καὶ ποιητικῶν καὶ παθητικῶν εἰς ἀλλή-
30 λας, καὶ τῇ ἑαυτῶν παρουσίᾳ καὶ ἀπουσίᾳ ποιούντων τὴν γένεσιν καὶ τὴν φθοράν, οὐ τοιαῦτα δ' ἐστὶ τὰ πρὸ τῶν πολλῶν. ἄλλοι φασὶ τὸ τριχῇ διαστατὸν λέγειν αὐτόν· τοῦτο γὰρ ἀεὶ μένειν διὰ τὸ ἀμετάβλητον εἶναι.

---

3 ἔχοιν K 4 καὶ ante τὰς ἀρχὰς traic. Mt κατηγοριῶν] κατὰ L 5 ὥσπερ om. Mt 6 τὰς λοιπὰς κατηγορείας K 7 δι' αὐτῆς δὲ K 9 κατὰ τὸ L: καὶ τὸ K: κατὰ τὰ Mt 10 τῆς om. K συμφώνως K 11 ἐν προοιμίοις c. 1 p. 184 a 18 sqq. κοινοτάτων L 12 ἤδη καὶ Mt: εἴδη καὶ K: om. L 14 περὶ τῆς] ἐπὶ (om. τῆς) L * εἰδικῆς K 15 σημαίνοντο K καὶ (ante τῇ) om. L ὡς κοινο τ' K καὶ alterum om. superscr. M 16 συνειλεγμένων L 17 ἐπιτίθησιν L 19 πᾶσα om. Mt 21 τὸ πρότερον K fort. ζητῶμεν 22 ἔπειτα δὲ L 24 αὐτῷ αἰτίου L 25 εἰδικοῦ L: ἰδικοῦ KMt 26 ἀρχὰς αὐτὸν] ἀρχὴν αὐτὴν L τοῦτο L 27 ἀεὶ] ἐκεὶ K γίνεται K 28 οὐδὲ τὰ πρὸ τῶν πολλῶν εἴδη βούλεται εἶναι Mt 29 ἔπειτα (ἔπιτα K) KMt: εἶτα L καὶ παθητικῶν iterat K 31. 32 τὸ τριδιαστατὸν K

www.libtool.com.cn

ἀλλ' οὐδὲ τοῦτο ἀληθές· περὶ τῶν εἰδικῶν γὰρ ἀρχῶν ὁ λόγος, τοῦτο δὲ d 3
ὕλης λόγον ἐπέχει μᾶλλον, οὐκ εἴδους. φαμὲν οὖν ἡμεῖς τὸ ἀεὶ μένειν
τοῦτο σημαίνειν αὐτῷ τὸ ἐπὶ πάσης μεταβολῆς εὑρίσκεσθαι, καὶ πᾶσαν με- 31
ταβολὴν κατὰ ταύτας γίνεσθαι· ὥσπερ εἰ περὶ τοῦ ὑλικοῦ αἰτίου ζητῶν
5 τις ἔλεγεν ὅτι τὰ ξύλα ὕλη τῶν πραγμάτων οὐκ ἔστι, διότι μὴ ἀεὶ εὑρί-
σκεται (οὐδὲ γὰρ ἐν τοῖς χαλκοῖς σκεύεσιν ὕλη τὰ ξύλα ὑπόκειται οὐδ' ἐν
τοῖς χρυσοῖς, δεῖ δὲ τὴν ὕλην τὴν κοινὴν πάντων ἀεὶ εὑρίσκεσθαι, τουτέστιν
ἐπὶ πάσης μεταβολῆς καὶ πάντων τῶν πραγμάτων), οὕτως οὖν καὶ ἐνταῦθα
τὰς κοινοτάτας εἰδικὰς ἀρχὰς πάντων τῶν ὄντων ζητῶν, φησὶ δεῖν ἀεὶ 35
10 αὐτὰς εὑρίσκεσθαι, τουτέστιν ἐπὶ πάντων τῶν φυσικῶν πραγμάτων τὰς αὐ-
τὰς εἶναι, καὶ πᾶσαν μεταβολὴν κατ' αὐτὰς γίνεσθαι.

Πῶς δὲ τὸ συνημμένον ἀληθὲς ἂν εἴη, λοιπὸν δεῖ δεῖξαι, ὅτι εἰ ἐστὶν
ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ "τὰ μὲν περιέχει τὰ δὲ περιέχεται",
ἐπειδὴ τὰς κοινὰς πάντων τῶν ὄντων ἀρχὰς ζητοῦμεν, δῆλον ὅτι τὰ καθολικώ-
15 τατα ἐναντία παραληψόμεθα εἰς τὸν τῶν ἀρχῶν λόγον, διότι δὲ τὰς ἀρχὰς
ἀεὶ δεῖ μένειν, τὰ αὐτὰ ἀεὶ ἀρχαὶ ἔσονται καὶ οὐκ ἄλλοτε ἄλλα, ἐκ τούτων 40
δ' ἀνάγκη πᾶσα πεπερασμένα αὐτὰ εἶναι. διὰ μὲν γὰρ τὸ πρώτιστα λαμβάνειν
ἐναντία, πεπερασμένα ἀνάγκη αὐτὰ εἶναι· εἰ γὰρ ἄπειρα εἶεν, πολλαπλασίονα
τοῦ ἀπείρου ἔσται τὰ περιεχόμενα ὑπ' αὐτῶν· πλείονα γὰρ τὰ περιεχό-
20 μενα τῶν περιεχόντων. ἀλλ' εἰ καὶ πεπερασμένα ἀνάγκη εἶναι τὰ καθο-
λικώτατα, εἰ μὴ ἀνάγκη ἦν τὰ αὐτὰ ἀεὶ εἶναι ἐπὶ πάσης μεταβολῆς * * * καὶ
οὕτως πάλιν, εἰ καὶ μὴ ὡς ὑφεστηκότα ἄπειρα ἦν, ἀλλ' οὖν ὡς γινόμενα·
ἀεὶ γὰρ ἄλλοτε ἄλλων παραλαμβανομένων ἐναντίων συνέβαινεν ἐπ' ἄπειρον
αὔξεσθαι τῶν ἀρχῶν τὸν ἀριθμόν. ὥστε δι' ἀμφοτέρας τὰς ὑποθέσεις πε- 45
25 περασμένας ἀνάγκη εἶναι τὰς ἀρχάς, δι' αὐτὰς δὲ πάλιν ταύτας καὶ δύο
μόνας. εἰ γὰρ μὴ ἦσαν δύο, οὐκέτι κοινοτάτην τινὰ ἐναντίωσιν ἐλάβομεν
καὶ τὴν αὐτὴν ἐπὶ πάντων εὑρισκομένην· ἀνάγκη γὰρ καὶ ταύτας ἢ ὑπ'
ἄλλην τινὰ ἀνάγεσθαι, ἢ μὴ πάσης μεταβολῆς αἰτίας εἶναι τὰς αὐτάς,
ἀλλὰ ἄλλης μὲν ταύτην ἄλλης δ' ἐκείνην. ἀμέλει γοῦν δύο ἐναντιώσεων
30 οὐσῶν καθ' ἃς τὰ τέσσαρα στοιχεῖα τὴν γένεσιν ἔχει, τῆς τοῦ θερμοῦ καὶ
τοῦ ψυχροῦ καὶ τῆς τοῦ ὑγροῦ καὶ ξηροῦ, οὐ κατ' ἄμφω τὰς ἐναντιώσεις 50
γίνονται ἐπὶ πάντων τῶν στοιχείων αἱ μεταβολαί. τὸ πῦρ γοῦν εἰς ἀέρα

---

1 εἰδικῶν L: ἰδικῶν KMt 2 λόγος L ἡμεῖς] sed fere eadem dixerat Ammonius ap. Simplic. p. 198,17 sqq. 3 αὐτὸ et εὑρήσκεσθαι K 6 οὐδ' ἐν] οὐδὲ (om. ἐν) M 9 εἰδικὰς (ἰδικὰς K) ἀρχὰς πάντων τῶν ὄντων LK: καὶ ἰδικὰς πάντων ἀρχὰς Mt 9. 10 δεῖν αὐτὰς ἀεὶ K 12 εἰ καὶ K 13 ἄλλων om. L τὰ μὲν κτλ. c. 5 p. 189 a 2 14 ἀρχὰς τῶν ὄντων Mt 16 μένειν] μένειν τὰ αὐτὰ ἀεὶ δεῖ μένειν K οὐκ om. superscr. M² 17 αὐτὰ εἶναι LK: εἶναι αὐτὰ Mt τὸ τὰ πρώτιστα K 18 πεπερασμένα ἀνάγκη om. K 20. 21 καθολικώτερα K 21 τὰ αὐτὰ εἶναι ἀεὶ K post μεταβολῆς lacunam indicavi 24 αὔξασθαι K 25 ταύτας om. superscr. M: ταῦτας (sic) K 26 ἐλάβωμεν K 27 καὶ τὴν iterat in principio novae paginae M ἢ om. L 28 ἄλλα K ἀνάγεσθαί τινα Mt 30 καθ' ἃς] καθὰ K 32 ἀέρα] ἄκρα M

www.libtool.com.cn

κατὰ μὲν τὴν ξηρὰν καὶ ὑγρὰν μεταβάλλει, οὐκέτι δὲ κατὰ τὴν θερμὴν d 3r
καὶ ψυχράν· ἄμφω γὰρ θερμά. πάλιν ὁ ἀὴρ εἰς ὕδωρ κατὰ τὴν θερμὴν
καὶ ψυχράν, οὐκέτι δὲ κατὰ τὴν ξηρὰν καὶ ὑγράν· ἄμφω γὰρ ὑγρά. πάλιν
ὕδωρ εἰς γῆν κατὰ ξηρὰν καὶ ὑγρὰν μόνην· ἄμφω γὰρ ψυχρά. ἐπὶ μόνων
5 δὲ τῶν ἐναντίων κατ' ἀμφοτέρας γίνεται ἡ μεταβολή, πυρὸς καὶ ὕδατος,
ἀέρος καὶ γῆς. οὐκ | ἐπὶ πάντων ἄρα κατ' ἀμφοτέρας τὰς ἐναντιώσεις ἡ d 3v
μεταβολὴ γίνεται· ὥστε εἰ δεῖ κοινοτάτην τῶν στοιχείων ἀντίθεσιν εὑρεῖν
καθ' ἣν πάντα μεταβάλλει, αὕτη δ' ἂν εἴη τυχὸν πυκνότης καὶ μανότης
(κατὰ ταύτην γὰρ πάντων γίνεται ἡ μεταβολή) * * * εἰ δὲ τοῦτο, δῆλον
10 ὅτι ἀδύνατον δύο ἐναντιώσεις πάσης μεταβολῆς αἰτίας εἶναι· ὥστε ἀνάγκη
τὴν πρωτίστην ἐναντίωσιν καὶ κοινοτάτην καθ' ἣν πᾶσα γίνεται μεταβολὴ
μίαν εἶναι. αὐτὸς μὲν οὖν τοσοῦτον διὰ τούτων δείκνυσιν, ὅτι πεπερασμέ- 5
ναι εἰσὶν αἱ ἀρχαὶ αἱ εἴδικαί, ἔκ τε τούτων καὶ ὅτι εἰ δυνατὸν τὰ αὐτὰ
γεννᾶν ἐκ πεπερασμένων ἀρχῶν ἅπερ καὶ ἐξ ἀπείρων, βέλτιον τὸ ἐκ πεπε-
15 ρασμένων· κάλλιον γὰρ τοῦ ἀορίστου τὸ ὡρισμένον, ἀεὶ δὲ ἡ φύσις τὸ
κάλλιον ἐπιλέγεται ἂν ᾖ δυνατόν, δυνατὸν δὲ ἐκ πεπερασμένων ἀρχῶν τὰς
αἰτίας πάντων ἀποδοῦναι, ὥσπερ ποιεῖ Ἐμπεδοκλῆς. τοσοῦτον μὲν οὖν,
ὅπερ εἶπον, νῦν δείκνυσιν ὅτι πεπερασμένα δεῖ εἶναι τὰ ἐναντία τὰ τῶν
φυσικῶν πραγμάτων εἰδικὰ αἴτια, εἰ καὶ συναναφαίνεται ἐκ τῶν εἰρημένων 10
20 ὅτι δεῖ μίαν μόνην εἶναι ἐναντίωσιν τὴν πρωτίστην καὶ κοινοτάτην, ὥσπερ
ἐδείξαμεν. διαλεχθεὶς δὲ ἐφεξῆς περὶ τοῦ ὑλικοῦ αἰτίου, αὐτὸ τοῦτο προ-
χειρίσεται καὶ δείξει ἀκριβῶς ὅτι καὶ μίαν μόνην ἐναντίωσιν ἀνάγκη εἶναι
τὴν πρωτίστην καὶ ἓν τὸ ὑποκείμενον καὶ πλέον μιᾶς ἀδύνατον.

p. 189a13 Μία δὲ ἐναντίωσις ἐν παντὶ γένει ἑνί.

25 Γένος λέγειν αὐτὸν ὁ Θεμίστιος ἐξέλαβεν, οὗ τὴν διαίρεσιν ἐπὶ εἴδη 18
μόνον καὶ οὐκ εἰς γένη ποιούμεθα· περὶ γοῦν χρῶμα, φησί, μία ἡ ἐναν-
τίωσις τὸ μέλαν καὶ τὸ λευκόν, περὶ χυμὸν τὸ γλυκὺ καὶ τὸ πικρόν. τοῦτο

---

2 εἰς τὸ ὕδωρ K 3 γὰρ (ante ὑγρά) LKt: γίνεται M 4 κατὰ ξηρὰν] κατὰ τὴν ξηρὰν K μόνων] μόνον K 6 καὶ ἀέρος καὶ L 7 εἰ δεῖ] εἴδει L 8 αὕτη δ' LK: αὐτὴ (om. δ') Mt 9 ταύτην LK: ταύτας Mt post μεταβολή lacunam indicavi 11 ἡ μεταβολὴ L 12 οὖν διὰ τούτων τοσοῦτον L 13 ἰδικαὶ KMt εἰ om. K 14 γεννᾶν K 14. 15 πεπερασμένα priore loco, πεπερασμ altero loco K 14 ἅπερ] cf. Arist. ὅσαπερ p. 189a16 15 τὸ ὡρισμένον ἐστίν Mt 16 ἐκ πεπερασμένω K 18 τὰ alterum om. Mt 19 ἰδικὰ K εἰ καὶ LKM: οἷς t 20 ὅτι δὲ μίαν εἶναι μόνην K 21 διελεχθεὶς K 21. 22 προχειρίσεται LK: προχειρίζεται Mt 22 δεῖξαι K 23 post πρωτίστην iterata (ex v. 20) καὶ κοινοτάτην ὥσπερ ἐδείξαμεν delet M καὶ ἐν τὸ ὑποκειμένω K 24 δὲ LKM: τε γὰρ t: τε Aristoteles verba μία δὲ ἐναντίωσις trahit ad praecedentem explanationem K, ubi rursus lemma μία τε (sic) ἐναντίωσις ἓν (sic; om. παντὶ γένει ἑνί) 25 θεμίστειος K Θεμίστιος p. 136,19 25. 26 διαίρεσιν εἰς εἴδη ποιούμεθα οὐκ εἰς γένη Themistius 26 ἡ K: ἦν ἡ L: om. Mt 26. 27 ἐναντιώσεις K

www.libtool.com.cn

δ' οὐκ ἔστι σύμφωνον τῇ Ἀριστοτελικῇ ἐννοίᾳ· περὶ πᾶν γὰρ τὸ γένος τῆς d 3v
οὐσίας τὴν μίαν ἐναντίωσίν φησιν εἶναι, οὐκ ἔστι δὲ τῆς κοινοτάτης οὐσίας 21
ἡ διαίρεσις προσεχῶς εἰς εἴδη, ἀλλ' εἰς ὑπάλληλα γένη· ἐναντίωσις δέ
ἐστιν ἡ σχέσις τῶν δύο ἐναντίων.

5 p. 189a21 Ἐπεὶ δὲ πεπερασμέναι, τὸ μὴ ποιεῖν δύο μόνον ἔχει τινὰ λόγον.

Ἀποδείξας διὰ πολλῶν ὅτι τὰ ἐναντία ἀρχαὶ καὶ ἐναντία τὰ πρώτιστα, 26
καὶ ὅτι οὐκ ἐνδέχεται ἀπείρους εἶναι τὰς ἀρχάς, διότι τὴν πρωτίστην ἐναν-
τίωσιν καὶ κοινοτάτην δεῖ ἐν τῷ τῶν ἀρχῶν λόγῳ παραλαμβάνειν (ἐξ οὗ
10 ἐδείκνυτο δύο εἶναι τὰς ἀρχάς, ἐπειδὴ μία ἡ πρωτίστη ἐναντίωσις), βου-
λόμενος οὖν καὶ τὴν τρίτην ἀρχὴν εἰσαγαγεῖν, λέγω δὴ τὴν ὕλην τὸ ὑπο-
κείμενον τοῖς ἐναντίοις, ἀπορητικῶς προάγει τὸν λόγον καὶ εἰς τοὐναντίον
ἐπιχειρεῖ δεικνὺς ὅτι οὐχ ἱκανὰ τὰ ἐναντία ἐν ἀρχῆς λόγῳ παραλαμβάνε- 30
σθαι, ἀλλὰ δεῖ τὴν ἀρχὴν μήτε ἐναντίον τι ἔχειν καὶ εἶναι αὐθυπόστατον,
15 ἵνα ἔκ τε τῶν προτέρων ἐξ ὧν ἐδείκνυτο ὅτι δεῖ τὰς ἀρχὰς ἐναντίας εἶναι
διὰ τὸ δεῖν μεταβάλλειν τὰ πράγματα (μεταβάλλουσι δὲ εἰς ἄλληλα τῷ
δρᾶν καὶ πάσχειν εἰς ἄλληλα, δρῶσι δὲ καὶ πάσχουσιν οὐ τὰ τυχόντα,
ἀλλὰ τὰ ἐναντία), καὶ ἐκ τῶν νῦν ὅτι οὐχ οἷά τέ εἰσι τὰ ἐναντία τὸν τῶν
ἀρχῶν ἀποπληροῦν λόγον, ἀλλὰ δεῖ τι εἶναι τὸ τοῖς ἐναντίοις εἴδεσιν ὑπο-
20 κείμενον, ἀμφότερα συναχθῇ ὅτι καὶ τὸ ὑποκείμενον καὶ τὰ ἐναντία ἀρχαί. 35
ἐπιχειρεῖ οὖν πολλαχῶς ὅτι οὐκ ἀρχαὶ τὰ ἐναντία, καὶ πρῶτον μὲν οὕτως.
οὐδέν, φησί, τῶν ἐναντίων αὐτὸ καθ' αὑτὸ εἰς τὸ ἐναντίον πέφυκε δρᾶν·
οὔτε γὰρ μανότης εἰς πυκνότητα δρᾷ ἄνευ τινὸς ὑποκειμένου (περὶ τὸ ὑπο-
κείμενον γὰρ ἡ μάχη αὐτῶν, ἑκατέρου καταλαβεῖν αὐτὸ βουλομένου), οὔτε
25 τὸ θερμὸν εἰς τὸ ψυχρόν. ἀλλ' οὐδὲ ἡ φιλία εἰς τὸ νεῖκος ποιεῖ· οὐ γὰρ
τὸ νεῖκος συνάγει ἡ φιλία, ἀλλ' οὐδὲ τὴν φιλίαν διακρίνει τὸ νεῖκος,
ἀλλ' ἕτερόν τί ἐστιν αὐτοῖς ὑποκείμενον εἰς ὃ ἀνὰ μέρος ἥ τε φιλία καὶ
τὸ νεῖκος δρᾷ. οὐκ ἄρα αὐτὰ καθ' αὑτὰ ἀρχαὶ τὰ ἐναντία, ἀλλὰ μᾶλλον 40
τὸ ὑποκείμενον· αὐτὸ γάρ ἐστι τὸ μεταβάλλον καὶ τὸ αἴτιον τοῖς ἐναντίοις
30 τοῦ ποιεῖν καὶ πάσχειν, ὥστε τοῦτο ἂν εἴη ἀρχή. καὶ ἄλλως τὰ ἐναντία,
φησίν, ἐν ὑποκειμένῳ, τὰς ἀρχὰς δὲ τῆς οὐσίας οὐκ ἐν ὑποκειμένῳ δεῖ εἶναι,
τὰ ἐναντία ἄρα οὐκ ἀρχαί. πόθεν δ' ὅτι τὰς ἀρχὰς τῆς οὐσίας οὐκ ἐν
ὑποκειμένῳ δεῖ εἶναι; ὅτι τὸ ὑποκείμενον τοῦ ἐν ὑποκειμένῳ πρότερον τῇ

---

1. 2 περὶ πᾶν — εἶναι om. K 2 πᾶν γὰρ L: γὰρ πᾶν Mt 4 ἐστι σχέσις ante correct. M 5 lemma om. K 10 εἶναι β̄ L 10. 11 βούλομαι L 11 καὶ LKt: κατὰ M: καὶ τὰ ut vid. corr. M² δὴ] δὲ K 12 post ἀπορητικῶς addit δὲ L προάγει LK: εἰσάγει Mt at cf. p. 138,1. 29 13 ὅτι οὐκείκανὰ K 14 ἐναντίου K 18 καὶ om. L οὐχοία K 19 ἀποπληροῦντα L εἶναι τὸ] ἐστι K 20 ἀμφω K 21 ἐπιχείρει K 25 οὐ γὰρ] εἰ γὰρ L 26. 27 ἀλλ' οὐδὲ — ἥ τε φιλία om. K 30 τοῦ] τοῦτο K 31 prius ἐν om. L 32. 33 τὰ ἐναντία ἄρα — εἶναι; K: om. LMt 33 τοῦ ἐν ὑποκειμένῳ Mt: τῷ (sic) τοῦ ἐν ὑποκειμένω K: τὸ ἐν ὑποκειμένου L

www.libtool.com.cn

φύσει καὶ ἀρχή. οὕτω γοῦν καὶ ἡ οὐσία ὑποκείμενον οὖσα ταῖς λοιπαῖς d 3v
κατηγορίαις προτέρα τῇ φύσει ἐστὶν αὐτῶν καὶ ἀρχοειδεστέρα. ὥστε εἰ
ἀρχαὶ τὰ ἐναντία, τὰ δ' ἐναντία ἐν ὑποκειμένῳ, τὸ δ' ὑποκείμενον ἀρχὴ
τῶν ὄντων ἐν ὑποκειμένῳ, ἔσται ἄρα τῆς ἀρχῆς ἀρχή· τῆς γὰρ ἐναντιώ- 45
5 σεως ἀρχῆς οὔσης ἀρχὴ ἔσται τὸ ὑποκείμενον αὐτῇ. [ἔσται ἄρα τῆς ἀρχῆς
ἀρχή.] πάλιν τὰ ἐναντία οὐδέν ἐστιν ὑποκείμενον, τὰς ἀρχὰς ὑποκεῖσθαι
δεῖ, τὰ ἐναντία ἄρα οὐκ εἰσὶν ἀρχαί. πάλιν τὰ ἐναντία οὐκ οὐσίαι, αἱ
ἀρχαὶ τῆς οὐσίας οὐσίαι, τὰ ἐναντία ἄρα οὐκ ἀρχαί. ὅτι δὲ τὰς ἀρχὰς
τῆς οὐσίας οὐσίας δεῖ εἶναι δείκνυσιν οὕτως. εἰ ἐξ οὐκ οὐσιῶν, φησίν, ἡ
10 οὐσία, ἔσται πρὸ τῆς οὐσίας ἡ οὐκ οὐσία, ἡ δ' οὐκ οὐσία τὰ συμβεβηκότα
ἐστί, τὰ συμβεβηκότα ἄρα πρὸ τῆς οὐσίας ἔσονται, ὅπερ ἀδύνατον· τοὐ-
ναντίον γὰρ ἡ οὐσία τῶν συμβεβηκότων φύσει προτέρα (συναναιρεῖ γὰρ καὶ
οὐ συναναιρεῖται). ὥστε εἰ τὰς ἀρχὰς τῆς οὐσίας οὐσίας δεῖ εἶναι, οὐσία δὲ 50
τὸ ὑποκείμενον (αὐθυπόστατον γάρ), τὰ δὲ ἐναντία οὐκ οὐσίαι, τὸ ὑποκεί-
15 μενον ἄρα καὶ οὐ τὰ ἐναντία ἀρχαὶ τῆς οὐσίας.

Ἀπορήσειε δ' ἄν τις, πῶς φησι τὰς ἀρχὰς τῆς οὐσίας οὐσίας δεῖν
εἶναι· δεῖ γὰρ τὴν ἀρχὴν ἕτερον εἶναι τοῦ οὗ ἐστιν ἀρχή. καὶ εἰ κατὰ
ἄλλο σημαινόμενον ἡ ἀρχὴ οὐσία εἴη καὶ κατὰ ἄλλο τὸ ἀπὸ τῆς ἀρχῆς,
διὰ τί μὴ καὶ τὸ εἶδος οὐσία, οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον καθ' ὃ καὶ
20 τὸ ὑποκείμενον, ἀλλὰ καθ' ἕτερον; πῶς δ' ὅλως τὸ ὑποκείμενον καὶ τὴν
ὕλην οὐσίαν φησί, τὸ δ' εἶδος οὐκέτι; καίτοι γε αὐτὸς ἐν τῷ δευτέρῳ
λόγῳ τὸ εἶδός φησι μᾶλλον εἶναι οὐσίαν· | κατ' αὐτὸ γὰρ χαρακτηρίζον- d 4r
ται τὰ πράγματα, κατὰ δὲ τὴν ὕλην οὐδὲν ἀλλήλων διαφέρουσιν. ὅτι
μὲν οὖν διάφορον τὸ τῆς οὐσίας παρ' αὐτῷ σημαινόμενον, δῆλον· καὶ τὴν
25 ὕλην γὰρ καὶ τὸ εἶδος καὶ τὸ συναμφότερον οὐσίαν καλεῖ, πολλάκις δὲ καὶ
ἁπλῶς πᾶν τὸ ὂν οὐσίαν καλεῖ, τὴν ὕπαρξιν μόνην τῶν πραγμάτων τῆς
οὐσίας σημαινούσης. ἐνταῦθα οὖν τὴν οὐσίαν τὸ αὐθυπόστατόν φησι καὶ μὴ
δεόμενον ὑποκειμένου πρὸς τὸ εἶναι, ὥσπερ καὶ ἐν ταῖς Κατηγορίαις. ἐπεὶ 5

---

1 ὑποκείμενον (ὑποκείμ K) KMt: ὑποκειμένη L 2 προτέρα K: πρώτη LMt γὰρ τῇ φύσει (om. ἐστὶν) K 3 ἐν LK: οὐκ ἐν Mt 3. 4 τὸ δ' ὑποκείμενον—ὑποκειμένῳ om. Mt 3 ἀρχὴ] ἀρ LK 4 ὄντων K: ὧν (?) L ἐν ὑποκειμένῳ scripsi: ἐστιν ὑποκείμενον L: om. K. scriptura admodum incerta; conieceram etiam ἀρχὴ τῶν οἷς ἐστιν ὑποκείμενον 4. 6 τῆς γὰρ—ἀρχῆς ἀρχή LK: om. Mt 5 αὐτῇ L: αὐτὴ K 5. 6 ἔσται ἄρα τῆς ἀρχῆς ἀρχή delevi 9. 10 δείκνυσιν—ἡ οὐκ οὐσία in eras. M φησὶν ἔσται ἡ οὐσία L 12 ἡ οὐσία post τῶν συμβεβηκότων traic. Mt προ K 13 οὐ συναιρεῖται L 13. 14 οὐσία δὲ τὸ ὑποκείμενον iterat K 14 οὐσίαι] οὐσία L 15 οὐ om. L 16 δεῖν Mt: δεῖ LK 18 ἡ ἀρχὴ οὐσία εἴη K: ἡ οὐσία ἀρχὴ εἴη Mt: ἡ οὐσία (om. ἀρχὴ εἴη) L καὶ τὰ ἄλλο K 21 τὸ εἶδος δ' οὐκέτι L 21. 22 ἐν τῷ δευτέρῳ (β' t) λόγῳ] respici videtur Phys. B 1 p. 193ᵇ6 (cf. Metaph. Z 3 p. 1029ª29 etc.) 22. 24 εἶναι οὐσίαν—μὲν οὖν] ἔστι ceteris omissis K

24 διάφορον LKM: διάφορον M²: ἀδιάφορον t 25. 26 οὐσίαν καλεῖ, πολλάκις—τῶν πραγμάτων om. K 25 πολλάκις] cf. Bonitz, Ind. Arist. p. 544ª26 27 φησι LK: καλεῖ Mt 28 ὑποκείμενον K Κατηγορίαις c. 5 p. 2ª11 sqq.

www.libtool.com.cn

οὖν ἀπορητικῶς ἐνταῦθα προάγει τὸν λόγον, ἔστι δὲ ἡ σύνθετος οὐσία d 4r
αὐθυπόστατος καὶ μὴ ἐν ἑτέρῳ ἔχουσα τὸ εἶναι, διὰ τοῦτο ἐπειδὴ τὸ αὐθυ-
πόστατον αὐτῇ ἐκ τῆς ὕλης μᾶλλον ἐφήκει ἢ ἐκ τοῦ εἴδους (τὸ γὰρ εἶδος
δέεται ὑποκειμένου εἰς ὕπαρξιν, ἡ δ' ὕλη ὑποκειμένου τινὸς οὐ δεῖται), διὰ
5 τοῦτο μᾶλλον ἀρχὴν καὶ αἰτίαν τῆς συνθέτου οὐσίας τὴν ὕλην φησίν· εἰ
γὰρ καὶ ἐφίεται ἡ ὕλη τοῦ εἴδους, ἀλλ' οὐχ ἵνα ὑπάρξῃ, ὥσπερ τὸ εἶδος
τῆς ὕλης εἰς ὕπαρξιν χρῄζει, ἀλλ' ἵνα ὁρισθῇ καὶ κοσμηθῇ. ταύτῃ μὲν 10
οὖν τὴν ὕλην οὐσίαν ἐκάλεσε διὰ τὸ αὐθυπόστατον, καὶ δεῖν φησι τὰς
ἀρχὰς τῆς συνθέτου οὐσίας αὐθυποστάτου οὔσης καὶ αὐτὰς αὐθυποστάτους
10 εἶναι. εἰ γὰρ μὴ εἶεν αὐθυπόστατοι αἱ ἀρχαὶ τῆς οὐσίας, τὸ μὴ αὐθυπό-
στατον τοῦ αὐθυποστάτου αἴτιον ἂν εἴη καὶ πρότερον, ὅπερ ἀδύνατον· τοὐ-
ναντίον γὰρ τοῦ μὴ αὐθυποστάτου τὸ αὐθυπόστατον αἴτιον καὶ πρότερόν
ἐστι τῇ φύσει, ὡς τῶν συμβεβηκότων ἡ οὐσία· συναναιρεῖ γὰρ καὶ οὐ
συναναιρεῖται. κατὰ τοῦτο οὖν μᾶλλον οὐσία τοῦ εἴδους ἡ ὕλη, κατ' ἄλλον 15
15 δὲ τρόπον μᾶλλον τὸ εἶδος τῆς ὕλης οὐσία, διότι τοῦτο χαρακτηριστικόν
ἐστι τῆς ἑκάστου οὐσίας· ἡ γὰρ ὕλη κοινή.

Ἔτι ἀπορίας ἄξιον, πῶς φησι μὴ εἶναι τὰς ἀρχὰς τῆς οὐσίας ἐν ὑπο-
κειμένῳ, καὶ πῶς πρότερον εἶναι ἐν τῇ οὐσίᾳ τὸ ὑποκείμενον· οὔτε γὰρ
τῷ προτέρῳ συγχωρήσει τις (εἶναι γάρ τινας τῶν ἀρχῶν ἐν ὑποκειμένῳ),
20 καὶ τὸ δεύτερον ἐλέγξει (οὐδέποτε γάρ ἐστιν ἡ ὕλη ἄνευ εἴδους). φημὶ οὖν
ὅτι κἂν μηδέποτέ ἐστιν ἡ ὕλη ἄνευ εἴδους, ἀλλ' οὖν φύσει ἐστὶ πρότερα·
συναναιρεῖ γὰρ καὶ οὐ συναναιρεῖται. ἐὰν γὰρ τῇ ἐπινοίᾳ διέλωμεν ἐξ αὐ- 20
τῆς τὰ εἴδη, αὐτὴν μὲν δυνάμεθα κατ' ἐπίνοιαν ὑποστῆσαι (οὐ δεῖται γὰρ
ἑτέρου ὑποκειμένου πρὸς τὸ εἶναι), τὸ μέντοι εἶδος οὐδὲ κατ' ἐπίνοιαν
25 ὑπάρξαι δύναται χωρὶς τῆς ὕλης. καὶ εἰ κατὰ μέρος παρῆγεν ὁ θεὸς τὰ
πράγματα, τί ἂν προὔπέστησε; δῆλον ὅτι τὸ ὑποκείμενον καὶ δεξόμενον τὰ
εἴδη, εἶτα τὸ ἐν ἐκείνῳ ὑπάρξαι ὀφεῖλον. πρότερον ἄρα τῇ φύσει τὸ ὑπο-
κείμενον, καὶ ταύτῃ μᾶλλον ἀρχὴ τῆς συνθέτου οὐσίας, οὐχ ὡς οὐκ ὄντος
τοῦ εἴδους ἀρχῆς, ἀλλ', ὡς εἶπον, ἀπορητικῶς προάγει τὸν λόγον, ἵνα δείξῃ 25
30 ὅτι ἀναγκαίως εἰς τὸν τῶν ἀρχῶν λόγον δεῖ τοῦ ὑποκειμένου. οὕτως μὲν
οὖν ἐκ τοῦ λόγου κατεσκεύασεν, ὅτι ἐστὶν ἀρχὴ τὸ ὑποκείμενον ἡ ὕλη. εἰ
οὖν, φησί, καὶ ὁ πρῶτος δόξει λόγος ἀληθὴς εἶναι, ὅτι τὰς ἀρχὰς ἐναν-

---

1 σύνθεσις K οὐσία bis L 2 μὴ (om. ἐν) ἑτέρῳ ἔχουσα τοῦ εἶναι K 4 δέεται (cf. ad g7r27. o2r1) LMt: δεκται K 5 καὶ om. L 6 ἐφείεται K 7 ταύτην K 9 τῆς om. K 10 αἱ om. K 10. 11 τὸ (om. μὴ) ἐνυπόστατον L 12. 13 αἴτιόν ἐστι καὶ πρότερον Mt 14 τοῦ] τῇ (sic) M ἡ om. Mt 15 τοῦτο LK: αὐτὸ Mt 17 ἀπορίας (ἀπορείας K) ἄξιον LK: ἀπορήσειεν ἄν τις Mt 17. 18 ἐν ὑποκειμένῳ L: ἐνυποκειμένας K: ἐν ὑποκειμέναις Mt 18 πρότερον ἐν τῇ οὐσία εἶναι Mt ἐν om. superscr. K 19 συγχωρήσει (ω in ras. 2—3 litter.) K εἶναι γάρ (γάρ om. K) τινας] fort. εἰσὶ γάρ τινες 20 ἡ om. Mt 21 ὅτι κἂν] καὶ K 23 μὲν] δὲ L ὑποστῆναι L 25 παρῆγεν L: προσῆγεν K: προῆγεν Mt 26 προσυπέστησε K καὶ om. L δεξόμενον Lt: δεξόμεθα K: δεξάμενον M 27 τῇ φύσει om. K 29 τοῦ Mt: τῆς τοῦ LK 30 λόγων K 31 κατεσκευά[illegible] ante correct. M τὸ] τῷ M 32 ὁ προ (πρότερος Themist. p. 137,29) λόγος δόξει K τὰς ἀρχὰς τὰς L

www.libtool.com.cn

τίας δεῖ εἶναι, καὶ ὁ δεύτερος ὁμοίως, δεῖ συνθέντας ἀμφοτέρους εἰπεῖν, ὅτι d 4r
καὶ τὰ ἐναντία ἀρχαὶ διὰ τὸ ποιεῖν καὶ πάσχειν, καὶ τρίτον ἡ ὕλη, ἐπεὶ
μὴ αὐτὰ εἰς ἑαυτὰ ποιεῖν πεφύκασι τὰ ἐναντία, ἀλλ' ἐν ἑτέρῳ τινὶ ὑπάρ-
χοντα. οὐδ' αὖ πάλιν μόνην τὴν ὕλην δυνατὸν εἶναι ἀρχήν· οὐδενὸς γὰρ 30
5 αὕτη ποιητική. δείξας οὖν ἐκ τοῦ λόγου ὅτι καὶ τρίτην δεῖ εἶναι ἀρχὴν
τὴν ὕλην, πιστοῦται αὐτὸ τοῦτο καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας· οὕτως
γάρ, φησί, δεῖται τοῦ ὑποκειμένου ὁ τῶν ἀρχῶν κατάλογος, ὥστε τῶν
ἀρχαιοτέρων τινὲς οὐδὲ ἓν τοῦτο πεποιήκασιν, ἀλλὰ πολλά, Ἐμπεδοκλῆς
μὲν τὰ τέσσαρα στοιχεῖα, Παρμενίδης δὲ δύο, ἄλλοι δὲ τρία, ἕτεροι ἕν·
10 καὶ τῶν ἓν εἰρηκότων οἱ μὲν ἕν τι τῶν τεσσάρων, οἱ δ' ἕτερον παρὰ ταῦτα
μεταξὺ τούτων. ἀποδέχεται δὲ τοὺς ἓν τὸ ὑποκείμενον ὑποθεμένους ⟨μᾶλλον⟩ 35
τῶν πλείονα (δείξει γὰρ ἐφεξῆς ὅτι ἀδύνατον δύο εἶναι ὕλας, ὥσπερ καὶ
δύο ἐναντιώσεις), τῶν δὲ τὸ ἓν τὸ ὑποκείμενον εἰρηκότων μᾶλλον τῶν
ἄλλων ἀποδέχεται τὸν Ἀναξίμανδρον τὸ μεταξὺ εἰρηκότα, ὡς ἐγγυτέρω
15 πως ὄντος τούτου τῆς ὕλης διὰ τὸ μηδὲν εἶδος ἔχειν τῶν ἐξ αὐτοῦ γι-
νομένων. μετὰ δὲ τοῦτον μᾶλλον κατορθοῖ ὁ Ἀναξιμένης τὸν ἀέρα ὕλην
ὑποτιθέμενος· ἥκιστα γὰρ αἰσθητὰς διαφορὰς τῶν ἄλλων ἔχει ὁ ἀήρ.
μετὰ τοῦτον Θαλῆς τὸ ὕδωρ ὕλην ὑποτιθέμενος· καὶ γὰρ καὶ τοῦτο πρὸς
τῷ ἄποιον εἶναι καὶ τἀναντία ὑπομένει πάθη. θερμαίνεται γὰρ καὶ ψυχε- 40
20 ται τὸ αὐτό, καὶ χεῖται καὶ πήγνυται ὑπομένον τὸ αὐτό (ὑγρὸν γὰρ ὂν
καὶ "δυσόριστον τῷ οἰκείῳ ὅρῳ, εὐόριστον δὲ ἀλλοτρίῳ"· οὕτως γὰρ ὁ τοῦ
ὑγροῦ λόγος ἐν τῷ Περὶ γενέσεως ἀποδέδοται), καὶ ξηραίνεται τὸ αὐτὸ
κρυσταλλούμενον· ξηρὸν γάρ ἐστι τὸ δυσόριστον ἀλλοτρίῳ ὅρῳ, εὐόριστον
δὲ οἰκείῳ. ἥκιστα δὲ οἰκείως τοὺς περὶ ὕλης λόγους ἀποδεδώκασιν οἱ πῦρ
25 εἰρηκότες· ἐναργεστέρα γὰρ ἡ συμπλοκὴ τοῦ πυρὸς πρὸς τὰ ἕτερα μόρια

---

1 δεύτερος ὁμοίως, δεῖ LK: δεύτερος, δεῖ ὁμοίως Mt συνθέντας scripsi: συνθέτας L: συνθέτους K: συνθέτως Mt 4 μόνην τὴν ὕλην δυνατὸν (δυνατὸν om. L) LK: δυνατὸν τὴν ὕλην μόνην Mt 5 αὐτὴ K ὅτι καὶ τρίτην (τρίτην h. e. γ̃ corruptum in γῆν, ut saepe pro γῆν, K) δεῖ LK: ὅτι καὶ τρίτην M: καὶ τρίτην t 6 τῶν πολλῶν L 7 κατάλογος Mt: κατάλαγος K: κατάληψις vel κατάληξις compend. L 9 δύο scripsi: πῦρ γῆν LM: πῦρ καὶ γῆν t: γὴν (sic) καὶ ὕδωρ (at cf. p. 125,26 et ad p. 55,30) K ἕτεροι ἂν (sic) K 11 ὑποτιθεμένους L μᾶλλον addidi 12 πλείονα LK corr. M: πλείονων M primitus et t δείξῃ K 13 prius τὸ recte om. Mt 14 εἰρηκότα] εἰρηκότως compend. K 15 πῶς libri ὄντως K ὄντος post τούτου traicit L 17 αἰσθητὰς διαφορὰς scripsi: αἰσθητὰ διαφορᾶς K: αἰσθητὰ δι' ἃ φησι (errore ex compendio διαφ̊ orto) L: διαφορὰς αἰσθητὰς Mt. ceterum cf. Aristot. p. 189b7 τῶν ἄλλων om. Mt 18 θαλλῆς L: θάλης K καὶ alterum om. K 18. 19 πρὸς τὸ ἄποιον L 19 τὰ ἐναντία K ὑπομένη K 20 ὑπομένων K 21 δυσόριστον] δισόριστον K: ἀόριστον Aristoteles ἀλλοτρίῳ LK: τῷ ἀλλοτρίῳ Mt εὐόριστον δὲ ἀλλοτρίως vel εὐόριστον ὄν (om. ἀλλοτρίως) Aristotelis libri οὕτως] οὕτος LK: οὕτω Mt 22 Περὶ γενέσεως B 2 p. 329b30 ἀποδέδοται (alterum o in ras.) M: ἀποδέδεικται K 23 κρυσταλούμενον (sic) corr. ex καὶ κρυσταλο[illegible] M ξηρὸν κτλ.] cf. Arist. p. cit. 31 24 οἰκείῳ] οἰκείω LK: τὸ οἰκείω M: τῷ οἰκείῳ t ἀποδεδόκασιν K 25 ἐνεργεστέρα L

www.libtool.com.cn

τῶν ἐναντίων, ξηρότητά φημι καὶ θερμότητα, διόπερ καὶ ἀμετάβλητον εἰς d 4r
τἀναντία μένον πῦρ. πάντες δ' οὗτοι ἢ μίαν ἢ πλείους ὑποθέμενοι ὕλην, 46
τοῖς ἐναντίοις ταύτην εἰδοποιοῦσιν, οἱ μὲν μανότητι καὶ πυκνότητι, οἱ δὲ
νείκει καὶ φιλίᾳ, οἱ δ' ἄλλῃ καὶ ἄλλῃ ἐναντιώσει, ὥσπερ εἴρηται.

5 p. 189a25 Ἀλλ' ἄμφω ἕτερόν τι τρίτον.

Κατὰ κοινοῦ τὸ "συνάγει"· οὔτε γάρ, φησίν, ἡ φιλία τὸ νεῖκος συνάγει, οὔτε τὸ νεῖκος τὴν φιλίαν, ἀλλ' ἄμφω τό τε νεῖκος καὶ ἡ 50 φιλία ἕτερόν τι τρίτον συνάγουσιν ἢ διακρίνουσιν.

p. 189a26 Ἔνιοι δὲ καὶ πλείω λαμβάνουσιν ἐξ ὧν κατασκευά-
10 ζουσι τὴν τῶν ὄντων φύσιν. |

Τοσοῦτον χρεία τοῦ ὑποκειμένου εἰς τὸν τῶν ἀρχῶν λόγον, ὥστε καί d 4r
τινες τῶν πρὸ ἡμῶν καὶ πλείονα τὰ ὑποκείμενα τοῖς ἐναντίοις ὑποτιθέασιν. οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τὰ ἐναντία, τὴν δὲ ἀρχὴν οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί τινος· ἔσται γὰρ
15 ἀρχὴ τῆς ἀρχῆς. τοῦτο δυνατὸν καὶ συνημμένως ὡς ἕνα συλλογισμὸν τὸ ὅλον λαβεῖν, καὶ διῃρημένως ἀκοῦσαι ὡς δύο συλλογισμούς, ἵνα ᾖ τὸ οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τὰ ἐναντία ἓν ἐπιχείρημα, 5 καὶ τὸ λοιπὸν ἕτερον. εἰ μὲν οὖν ὡς ἓν ἐπιχείρημα τὸ ὅλον λάβωμεν, οὕτως· πρὸς δὲ τούτοις, φησίν, ἄπορόν τι ἡμῖν ἐπακολουθήσει, εἰ μὴ ὑπο-
20 θώμεθα τοῖς ἐναντίοις ὕλην τινά· οὐδενὸς γὰρ ὁρῶμεν οὐσίαν τὰ ἐναντία, τουτέστιν οὐδὲν οὐσίωται ἐν τῷ ἐναντίον εἶναι, ἐπειδὴ τὰ ἐναντία συμβεβηκότα ἐστί, τὴν δ' ἀρχὴν τῶν ὄντων οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαι, τουτέστιν οὐκ ἐν ὑποκειμένῳ, ἀντὶ τοῦ συμβεβηκότος. ἔστιν οὖν ὁ ὅλος συλλογισμὸς τοιοῦτος· τὰ ἐναντία συμβεβηκότα, αἱ ἀρχαὶ 10
25 τῶν πραγμάτων οὐ συμβεβηκότα, τὰ ἐναντία οὐκ ἀρχαὶ τῶν πραγμάτων. διὰ τί δ' οὐκ εἰσὶ συμβεβηκότα αἱ ἀρχαὶ τῶν πραγμάτων, τὴν αἰτίαν προσέθηκεν· ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς· τὸ γὰρ ὑποκείμενον τοῖς συμβεβηκόσιν ἀρχὴ ἂν αὐτῶν εἴη· προϋποκεῖσθαι γὰρ δεῖ κατὰ φύσιν τὸ δεξόμενον. τοῦ κατηγορουμένου δὲ εἶπε, διότι τὸ συμβεβηκὸς τῆς
30 οὐσίας κατηγορεῖται· λέγομεν γὰρ τὸν ἄνθρωπον λευκὸν εἶναι. καὶ ἄλλως

---

2 τὰ ἐναντία L fort. μόνον cl. Diels ad Simplic. p. 203,24 τὸ πῦρ L ἢ (ante μίαν) om. L ὑποτιθέμενοι Mt 3 μανότητα καὶ πυκνότητα ante correct. M 4 νεῖκος K 5 τρίτον om. K 6 οὔτε] cf. p. 136,25 et Arist. libri 7 τό τε LK: τὸ (om. τε) Mt 8 ἢ διακρίνουσιν om. K 9. 10 ἐξ ὧν—φύσιν om. K 12 ἐπιτιθέασιν K 13 οὐθενὸς K 13. 15 τῶν ὄντων—ἀρχῆς om. K 15 τοῦτο δυνατὸν evan. L 16 ὡς δύο om. L 18 λάβοιμεν t 19. 20 ὑποθώμεθα K 21 ἐν] ἓν K 22 τῶν ὄντων] τοῦ λόγου L 23 συμβεβηκότος LK: συμβεβηκός fort. recte Mt 24 ὅλως K σύλλογος L 25. 26 τὰ ἐναντία—εἰσὶ συμ- in eras. K 25 ἄρα ante οὐκ addit t 26 post εἰσὶ addit τὰ L 27 ἔσται LK: ἔστω Mt 29 δεξόμενον] fort. δεξόμενον τοῦ κατηγορουμένου 30 γὰρ om. K

www.libtool.com.cn

εἰ μηδὲν οὐσιῶται ἐν τῷ ἐναντίον εἶναι, διότι τὰ ἐναντία συμβεβηκότα, d 4v
δῆλον ἄρα ὅτι οὐδὲ ἀρχὰς τῶν οὐσιῶν δυνατὸν εἶναι τὰ ἐναντία· ἔσονται
γὰρ αἱ ἀρχαὶ τῶν οὐσιῶν συμβεβηκότα· εἰ δὲ τοῦτο, ἀρχὴ δὲ τῶν συμ- 16
βεβηκότων τὸ ὑποκείμενον αὐτοῖς, ἔσται τῆς ἀρχῆς ἀρχή, ὅπερ ἀδύνατον.
εἰ μὲν οὖν συνεχὲς εἴη τὸ ῥητόν, οὕτως αὐτὸ νοητέον, εἰ δὲ διῃρημένον,
οὕτως· πρὸς δὲ τούτοις ἀπορήσειεν ἄν τις, εἰ μὴ τρίτην τινὰ ἀρχὴν
τοῖς ἐναντίοις ὑποθήσεται. τίς δ' ἡ ἀπορία ἐπήγαγεν· οὐδενὸς γὰρ
ὁρῶμεν οὐσίαν τὰ ἐναντία. οὐδὲν γὰρ ἐν τούτῳ οὐσίωται, ἐν τῷ ἐναν-
τίον τι εἶναι πρὸς ἄλλο· οὐδὲ γὰρ ἐν τούτῳ οὐσίωται τὸ πῦρ, ἐν τῷ ἐναν-
τιον εἶναι τῷ ὕδατι, ἐπεὶ οὐδέποτ' ἂν μετέβαλλεν εἰς τὸ ὕδωρ, ἀλλ' ἔστι 20
τι τὸ ὑπομένον ἐν τῇ εἰς ὕδωρ μεταβολῇ, ὅπερ οὐκ ἔστι τῷ ὕδατι ἐναν-
τίον. εἰ δὲ μὴ ὑποκέοιτο τοῖς ἐναντίοις τρίτη τις ἀρχή, τοῦτο ἂν συμβαί-
νοι, τὸ ἐν τῇ ἐναντιότητι οὐσιῶσθαι τὰ πράγματα. εἶτα τὸ ἐφεξῆς ἀπ'
ἄλλης ἀρχῆς· τὴν δ' ἀρχὴν οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί
τινος καὶ τὰ ἑξῆς. ἡ ἀρχὴ οὐ καθ' ὑποκειμένου, τὰ ἐναντία καθ' ὑπο-
κειμένου, τὰ ἐναντία ἄρα οὐκ ἀρχαί. εἰ γὰρ ἡ ἀρχὴ καθ' ὑποκειμένου,
ἔσται τῆς ἀρχῆς ἀρχή· τὸ γὰρ ὑποκείμενον ἀρχὴ τοῦ ἐν ὑποκειμένῳ. 25

p. 189ᵃ32 Ἔτι οὐκ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ· πῶς ἂν οὖν ἐκ μὴ οὐσιῶν οὐσία εἴη;

Τὰ ἐναντία, φησίν, οὐκ οὐσίαι, αἱ ἀρχαὶ τῶν οὐσιῶν οὐσίαι, τὰ ἐναν- 30
τία ἄρα οὐκ ἀρχαὶ τῶν οὐσιῶν. πόθεν δ' ὅτι αἱ ἀρχαὶ τῶν οὐσιῶν [οὐκ]
οὐσίαι, ἔδειξε διὰ τοῦ εἰπεῖν· ἢ πῶς ἂν πρότερον μὴ οὐσία οὐσίας
εἴη; δυνάμει λέγων ὅτι αἱ ἀρχαὶ τῶν οὐσιῶν οὐκ οὐσίαι, αἱ δ' οὐκ οὐ-
σίαι τὰ συμβεβηκότα ἐστίν, ἔσονται ἄρα αἱ ἀρχαὶ οὐσιῶν τὰ συμβεβηκότα.

---

1 οὐσιοῦται K ἐν τῷ ἐναντίῳ L 3 ἀρχὴ] ἀρχαὶ L 5 οὕτως] οὐ τὸ K νο•τέον ante corr. M 7 ὑποθήσεται] cf. Aristotelis libri et Diels ad Simplic. p. 199,32 8. 9 οὐδὲν γὰρ — πρὸς ἄλλο K: om. LMt οὐσιῶται utrobique K 10 τῷ] τὸ t μετέβαλλεν K: μετέβαλλον L: μετέβαλεν Mt 11 ὑπομένον] ὑποκείμενον K ὅπερ LKt: ὥσπερ M 12. 13 συμβαίνοι scripsi: συμβαίνη LKM: συμβαίη t 13 ἐν τῇ om. K ἐναντιώτητι K τὸ (post εἶτα) om. K 14. 15 δεῖ λέγεσθαί τινος LK: τινὸς δεῖ λέγεσθαι Mt 15. 16 ἡ ἀρχὴ οὐ καθ' ὑποκείμενον· τὰ ἐναντία καθ' ὑποκείμενα K 17 ἐν ὑποκειμένῳ Mt: ἐν ὑποκειμένου L: ἐνυποκειμένου K 18 εἶναί] ἔστι K οὐσίᾳ] οὐσία• (littera erasa) K 18. 19 πῶς—εἴη om. K 18 ἂν οὖν LM: γὰρ ἂν t at cf. Aristotelis cod. I et Simplicii libri p. 200,25 19 εἴη LM: ἂν εἴη t 20 τὰ ἐναντία—αἱ ἀρχαὶ om. K inter αἱ ἀρχαὶ et τῶν οὐσιῶν οὐσίαι irrepserunt (ex v. 22) Aristotelis verba ἢ πῶς ἂν πρότερον (προτέραν corr. M) μὴ οὐσία οὐσίας (οὐσία utrobique L) εἴη in LM: his omissis absurde interpolat οὐσίαι t 21 τῶν οὐσιῶν (altero loco) om. L οὐκ alterum delevi 22 ἔδειξε διὰ M: ἔδειξε; διὰ t et, si silentio fides, LK ἂν om. L πρότερον K: προτέρα LMt at cf. ad v. 20 οὐσία (post μὴ) om. L 23 λέγω L post λέγων ὅτι videtur excidisse εἰ 23. 24 αἱ δ' οὐκ οὐσίαι om. L 24 ἐστίν] εἰσὶν L ἄρα αἱ K: ὅτι αἱ (sic) L: ἄρα (om. αἱ) Mt fort. τῶν οὐσιῶν

www.libtool.com.cn

εἰ δὲ ταῦτα ἀρχή, ἔσται πρότερα τῇ φύσει τὰ συμβεβηκότα τῆς οὐσίας, d 4r
ὅπερ ἀδύνατον· τοὐναντίον γὰρ προτέρα τῇ φύσει ἡ οὐσία.

p. 189b3 Δοκεῖ δὲ τὸ μεταξὺ μᾶλλον. 35

Μᾶλλον, φησί, κατορθοῦσιν οἱ τὸ μεταξὺ ὡς ὕλην ὑποτιθέντες τῶν
5 ἕν τι τῶν τεσσάρων στοιχείων ὑποτιθεμένων, διότι ⟨μετ'⟩ ἐναντιώσεών
τινων τὰ τέσσαρα στοιχεῖα [τὰ ἕτερα μόρια], δεῖ δὲ τὴν ὕλην, ὥσπερ
ἐδείχθη, μὴ ἔχειν τινὰ ἐναντίωσιν. 40

p. 189b8 Ἀλλὰ πάντες τὸ ἓν τοῦτο τοῖς ἐναντίοις σχηματίζουσιν.

10 Ὅτι οὐ μόνον τῆς ὕλης ἔσχον ἔννοιαν οἱ παλαιοί, εἰ καὶ μὴ κατωρ- 46
θωμένως, ἀλλὰ καὶ τῶν εἰδοποιῶν ἀρχῶν ἐναντίων οὐσῶν, ἅσπερ καὶ ἀνάγει πάσας εἰς τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν· ὥστε αἱ ἀρχαὶ τῶν ὄντων, φησί, τρεῖς ἡ ὕλη καὶ ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις. καὶ ταύτας πάντες ἀρχὰς ἔλεγον εἶναι, διεφώνουν δὲ περὶ τὴν τάξιν αὐτῶν καὶ τὸ ποιητικὸν
15 καὶ τὸ παθητικόν· οἱ μὲν γὰρ Πυθαγόρειοι, οἷς καὶ ὁ Πλάτων ἠκολούθησε, 50
τὰ δύο ὡς ὕλην ὑποτιθέντες πάσχειν ἔλεγον ταύτην ὑπὸ τοῦ ἑνὸς τοῦ εἴδους, καὶ οὕτως ποιεῖν τὴν γένεσιν, οἱ δὲ τοῦ Πλάτωνος παλαιότεροι φυσικοὶ τὸ ἓν ὕλην ποιοῦντες ἢ τὸ μεταξὺ ἢ ἕν τι τῶν τεσσάρων, πάσχειν τοῦτο ἔλεγον ὑπὸ τῆς δυάδος καὶ οὕτως ποιεῖν τὴν γένεσιν καὶ τὴν
20 φθοράν, οἷς καὶ ὁ Ἀριστοτέλης κατὰ τοῦτο ἠκολούθηκε.

p. 189b16 Τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα εἶναι ἔκ τε τούτων καὶ ἐκ τοιούτων ἄλλων ἐπισκοποῦ|σι δόξειεν ἂν ἔχειν τινὰ d 5r
λόγον.

Ὅτι μὲν οὖν καὶ ἐναντίας δεῖ εἶναι τὰς ἀρχὰς καὶ πρὸς ταύταις ὑπο-
25 κείμενόν τι τρίτον, ἱκανῶς διὰ τῶν προλαβόντων ἔδειξε, περὶ δὲ τοῦ ἀριθμοῦ τῶν ἀρχῶν οὐκ αὐτάρκη τὰ εἰρημένα· ἠπόρησε γὰρ ἄν τις ὅτι 'δίδωμι δεῖν ἐναντίας εἶναι τὰς ἀρχὰς καὶ πρὸς τούτοις εἶναι καὶ τὸ ὑποκείμενον, μή-

---

1 ἀρ K: fort. ἀρχαί πρότερον K 2 προτέρα (compend. M) Mt: προ τρ LK 4 κατορθοῦσιν] καθηγορηθήκασιν ante corr. L 5 ὑποτιθεμένων] καθ' ὑποκειμένων K μετ' addidit t: om. LKM ἐναν (in exitu versiculi) ἐναντιώσεων M 6 τὰ (ante τέσσαρα) Mt: εἰ τὰ LK τὰ ἕτερα μόρια delevit t: sed lacunis potius laborare locus videtur. cf. p. 139,25 8 lemma om. K πάντες LM: πάντες γε t Aristoteles 10 εἶχον t ἔνοιαν et mox κατορθωμένως K 11 ἅσπερ LM: ὥσπερ K: ἅπερ t 13 ἔλληψις K ταῦτα K πάντες] πάντη τὰς L 14 εἶναι om. L διεφόνουν K 15 τὸ (ante παθητικόν) om. L 16 ὡς] εἰς L 17. 19 τὴν γένεσιν—ποιεῖν om. K 20 κατὰ τοῦτο ἠκολούθηκε L: κατηκολούθηκε K: κατὰ πάντα ἠκολούθηκε Mt 21. 23 ἔκ τε τούτων—λόγον om. K 24 ἔτι (sic) μὲν οὖν K 25 ἀριθμοῦ LK: ὁρισμοῦ Mt 27 τὰς ἀρχὰς om. L fort. πρὸς ταύταις

www.libtool.com.cn

ποτε δὲ δύο ἢ πλείους εἰσὶν ἐναντιώσεις, ὁμοίως δὲ καὶ τὰ ὑποκείμενα δύο d 5r
ἢ πλείονα'. καὶ διὰ τῶν προλαβόντων μὲν οὖν δέδεικται ὅτι τὴν πρωτίστην 6
ἐναντίωσιν μίαν δεῖ εἶναι οὐκ αὐτάρκως, διὰ δὲ τῶν παρόντων δείκνυται
ὅτι ἀδύνατον πλεῖον μιᾶς ἐναντιώσεως εἶναι καὶ ὑποκειμένου ἑνός. λαμ-
5 βάνει οὖν ἐκ διαιρέσεως τὰς ἀρχὰς τάς τε εἰδικὰς καὶ τὰς ὑλικὰς λέγων
οὕτως· ἀνάγκη πᾶσα ἢ μίαν εἶναι ἐναντίωσιν ἐν ταῖς ἀρχαῖς, ἢ οὐ μίαν
ἀλλὰ πλείους, ὁμοίως δὲ καὶ ὑποκείμενον ἢ ἓν εἶναι, ἢ οὐχ ἓν ἀλλὰ
πλείονα. τεσσάρων οὖν ὄντων τμημάτων τούτων γίνονται ἐξ συζυγίαι, ὧν 10
αἱ μὲν δύο αἱ ἐναντίαι ἀσύστατοι, συνίστανται δὲ αἱ λοιπαὶ τέσσαρες αἵ τε
10 δύο ὑπάλληλοι καὶ δύο αἱ λοιπαὶ διαγώνιοι· ἢ γὰρ καὶ αἱ ἐναντιώσεις
πλείους καὶ τὰ ὑποκείμενα, ἢ πλείους μὲν αἱ ἐναντιώσεις ἓν δὲ τὸ ὑπο-
κείμενον, ἢ ἔμπαλιν πλείω μὲν τὰ ὑποκείμενα μία δὲ ἡ ἐναντίωσις, ἢ ἓν
τὸ ὑποκείμενον καὶ ἡ ἐναντίωσις μία. ἐὰν οὖν δειχθῇ ὅτι ἀδύνατον τὰς
τρεῖς τὰς ἄλλας συστῆναι, ὑπολιμπάνεται ἡ λοιπὴ ἡ λέγουσα ἓν εἶναι τὸ
15 ὑποκείμενον καὶ μίαν τὴν ἐναντίωσιν. προχειρίζεται οὖν τὴν μίαν συζυγίαν 15
πρότερον τὴν λέγουσαν ἓν εἶναι τὸ ὑποκείμενον καὶ πλείους τὰς ἐναντιώσεις,
λαμβάνει δὲ διὰ τὸ σαφὲς τοῦ λόγου ἀντὶ τῶν πλειόνων ἐναντιώσεων δύο·
ἃ γὰρ ἂν δειχθῇ ἐπὶ τῶν δύο ἐναντιώσεων, ταῦτα καὶ ἐπὶ πλειόνων
δειχθείη ἄν. εἰ οὖν ἓν μὲν τὸ ὑποκείμενον δύο δὲ αἱ ἐναντιώσεις, ἐρησό-
20 μεθα τοὺς τοῦτο ὑποτιθεμένους, πότερον ἑκατέρα τῶν ἐναντιώσεων πάντα
δύναται γεννᾶν, ἢ ἡ μὲν ἄλλα ἡ δὲ ἄλλα. εἰ μὲν οὖν ἑκατέρα πάντα
γεννᾶν δύναται, περιττὴ ἡ μία ἅπαξ τῆς μιᾶς πάντα γεννῆσαι δυναμένης 20
(οὐδὲν δὲ οὐδὲ μάτην οὔτε περιττὸν ποιεῖ οὔτε ὁ θεὸς οὔτε ἡ φύσις), εἰ
δὲ οὐχ ἑκάστη πάντα ποιεῖ, ἀλλ' ἡ μὲν ταῦτα ἡ δὲ ἐκεῖνα, ἀναιρήσομεν
25 τὴν εἰς ἄλληλα τῶν πραγμάτων μεταβολήν (οὐ γὰρ μεταβάλλει τὸ τυχὸν
εἰς τὸ τυχόν, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον), δέδεικται δὲ ὅτι πάντων
ἐστὶν εἰς ἄλληλα ἡ μεταβολή. οὕτως μὲν οὖν ἀδύνατον δύο εἶναι τὰς ἐναν-
τιώσεις ἓν δὲ τὸ ὑποκείμενον, εἰ δὲ δύο μὲν εἴη τὰ ὑποκείμενα μία δὲ
ἡ ἐναντίωσις, ταὐτὰ πάλιν ἀπορήσομεν. εἰ μὲν γὰρ ἐξ ἑκατέρου ὑποκει-
30 μένου πάντα δυνατὸν γενέσθαι, περιττὸν τὸ ἕν, εἰ δ' ἐκ θατέρου μέν τινα 25
γίνεται ἐκ τοῦ λοιποῦ δὲ τὰ λοιπά, ἀναιρεθήσεται πάλιν ἡ εἰς ἄλληλα τῶν
πραγμάτων μεταβολή· ὥσπερ γὰρ οὐ μεταβάλλει εἰς ἄλληλα τὰ μὴ ἐναντία,
οὕτως πάλιν τὰ μὴ τὸ αὐτὸ ἔχοντα ὑποκείμενον οὐκ ἄν ποτε μεταβάλλοι

---

3 οὐκ αὐτάρκως δὲ fortasse recte K 4 πλεῖον K: πλείους LMt at cf. p. 135,23 ἐναντιώσεις εἶναι καὶ ὑποκείμενα πλείονα ἑνός L 5 ἰδικὰς KM 6 ἐναντίωσιν εἶναι Mt 7 ὑποκείμενα L οὐχ] οὐκ K 8 τμηθέντων L 12. 13 μία δὲ — ἐὰν οὖν δει- in eras. K 14 οἱ λοιπὴ errore typogr. t 17 ἀντὶ τῶν K: αὐτῶν τῶν LMt

18 ἃ γὰρ ἂν] ἀλλὰν K ἐπὶ τῶν πλειόνων K 20 ἑκάτε (sic) K 21 ἑκάτερα πάντως (ως compend.) K 23 οὐδὲ μάτην LK: οὔτε μάτην recte (at cf. g 7r29) Mt 24 οὐκ ἑκάστη K ἀναιρήσωμεν L 29 τὰ αὐτὰ L εἰ μὲν LK: εἰ δὲ M: εἴτε t 30 εἰ δ' KM: εἰ δ' ἂν L: εἴτε t: fort. εἰ δ' αὖ 31 δὲ τὰ λοιπὰ K: τὰ λοιπὰ (om. δὲ) L: ἕτερα M: δὲ ἕτερα t 32 μὴ (ante ἐναντία) om. L 33 μὴ LKM: μὲν t ἔχοντα] ἔψοντα (sic) K ὑποκείμενα LK μεταβάλλοι Mt: μεταβάλλει K: μεταβάλοι L. eadem varietas p. 144,2

www.libtool.com.cn

εἰς ἄλληλα. διὰ τοῦτο κήρινος μὲν ἵππος μεταβάλλει εἰς κήρινον ἀνδριάντα, d 5r
χαλκοῦς δὲ ἵππος οὐκ ἄν ποτε μεταβάλλοι εἰς κήρινον ἀνδριάντα. ὥστε
οὐδὲ δύο ὑποκείμενα δυνατὸν εἶναι καὶ μίαν ἐναντίωσιν, διὰ τοὺς αὐτοὺς
δὲ λόγους οὔτε δύο ὑποκείμενα καὶ δύο ἐναντιώσεις. ὥστε εἰ ἀνάγκη μίαν 30
5 τῶν τεσσάρων ὑποθέσεων εἶναι ἀληθῆ, ἐληλεγμένων τῶν τριῶν ἡ τετάρτη
ὑπολείπεται ἡ ἓν λέγουσα τὸ ὑποκείμενον καὶ μίαν τὴν ἐναντίωσιν. κέχρηνται δὲ πολλαχοῦ τῇ τοιαύτῃ δείξει καὶ οἱ γεωμέτραι, ὁπηνίκα τῇ κατ' εὐθεῖαν δείξει μὴ δύνανται χρήσασθαι· ἀναιροῦντες γὰρ τὰ ἀντιδιῃρημένα τῷ ἀληθεῖ, τὸ καταλιμπανόμενον ἔχουσιν ἀληθές. οἷον ὅτι ἡ διάμετρος
10 τῇ πλευρᾷ ἢ σύμμετρος ἡ ἀσύμμετρος· ἀνελὼν οὖν τὸ σύμμετρον, τὸ καταλιμπανόμενον ἀληθὲς ἔχει, ὅτι ἀσύμμετρος. προστίθησι δὲ κἀκεῖνο, ὅπερ 35
ἤδη ἐν τοῖς ἔμπροσθεν εἶπεν, ὅτι εἰ ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις, καὶ ἐν τῇ οὐσίᾳ δηλονότι ἑνὶ ὄντι γένει μία ἔσται ἡ πρωτίστη ἐναντίωσις.

Ταῦτα εἰπὼν ζητεῖ ἐφεξῆς πόσας δεῖ καλεῖν τῷ ἀριθμῷ τὰς ἀρχὰς
15 ταύτας, πότερον δύο ἢ τρεῖς· δόξει γὰρ κατὰ ἄλλην καὶ ἄλλην ἔννοιαν ποτὲ μὲν τρεῖς, ποτὲ δὲ δύο δέον αὐτὰς καλεῖν. δυνατὸν μὲν γὰρ τρεῖς αὐτὰς καλεῖν, δύο μὲν τὰ ἐναντία τὸ εἶδος καὶ τὴν στέρησιν, ἓν δὲ τὸ ὑποκείμενον τὴν ὕλην, δυνατὸν δὲ μὴ τρεῖς ἀλλὰ δύο λέγειν τὰς ἀρχὰς συναιροῦντας τὰς 40
τρεῖς εἰς τὰς δύο· τὴν γὰρ ὕλην καὶ τὴν στέρησίν τινες εἰς ταὐτὸν ἄγουσι,
20 καὶ ἕν τι καὶ ταὐτὸν νομίζουσιν εἶναι τὴν ὕλην καὶ τὴν στέρησιν. ἐπεὶ οὖν συμβάλλεται πρὸς τὸ δεῖξαι πότερον δεῖ δύο λέγειν τὰς ἀρχὰς ἢ τρεῖς, καὶ εἰ ἄμφω καὶ δύο καὶ τρεῖς, πῶς δεῖ λέγειν δύο καὶ πῶς τρεῖς, τὸ διαστείλασθαι πρότερον ὅτι ἕτερόν ἐστιν ἡ ὕλη τῆς στερήσεως, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ, ἀλλ' οὖν τῷ λόγῳ, πρῶτον τοῦτο ποιεῖ καὶ δείκνυσι κατὰ δύο
25 τρόπους ὅτι ἑτέρα ἐστὶ τῆς ὕλης ἡ στέρησις, καὶ ἐκ τῆς χρήσεως τῆς 45
κοινῆς καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. ἐκ μὲν τῆς κοινῆς χρήσεως, ὅτι ἐπὶ μὲν τῆς στερήσεως φέρομεν καὶ τὸ ἐκ τοῦδε πρόσρημα καὶ τὸ τόδε (λέγομεν γὰρ καὶ ἐξ ἀμούσου μουσικὸν γενέσθαι καὶ τὸν ἄμουσον γενέσθαι μουσικόν, καὶ ὅτι ὁ ἀφιλόσοφος γέγονε φιλόσοφος καὶ ἐξ ἀφιλο-
30 σόφου γέγονε φιλόσοφος), ἐπὶ δὲ τῆς ὕλης φέρομεν μὲν ἀμφότερα τὰ προσρήματα, ἀλλ' οὐκ ἐπὶ τοῦ αὐτοῦ ἀλλ' ἀνὰ μέρος, ἐπ' ἄλλου μὲν τὸ ἐξ οὗ ἐπ' ἄλλου δὲ τὸ τόδε· λέγομεν γὰρ ἐκ χαλκοῦ γενέσθαι ἀνδριάντα 50
οὐ τὸν χαλκὸν γενέσθαι ἀνδριάντα, καὶ τὸν ἄνθρωπον ἐκ σπέρματος καὶ

---

1 κύρινος μὲν K 2 δὲ ἵππος] δὲ ἵππους L 3 δυνατὰ L καὶ μίαν K: μίαν L: μίαν δ' Mt 4 οὔτε libri: immo οὐδὲ 5 εἶναι iterat K ἐληλεγμένων (η corr.) K 7 καὶ om. Mt 8 εὐθείαν KM χρήσεσθαι K 8. 9 ἀναιροῦντες — διάμετρος iterata del. K 12 ἤδη L: εἴδη K: om. Mt ἔμπροσθεν p. 189a13 13 ἑνὶ ὄντι δηλονότι L ἑνιόντι K 16 δέον KM: δέονται L: δεόντως t μὲν γὰρ — καλεῖν in erasis K 18 συναναιροῦντες L 20 εἶναι LK: ἓν εἶναι Mt 22 πῶς δεῖ δύο λέγειν Mt 22. 23 τὸ διαστείλασθαι M: τὸ διαστέλεσθαι K: τῷ διαστείλασθαι t et, si silentio fides, L 23 πότερον K ὅτι] δ L τῷ] τὸ K 24 πρῶτον τοῦτο KM: τοῦτο πρῶτον L: πρῶτον οὖν τοῦτο t 26 ἐκ μὲν κτλ.] alteram enuntiati partem apponet demum d 6r11 28 τὸ τόδε Mt: τοῦτο δὲ K: τόδε L καὶ (post γὰρ) om. L 29. 30 καὶ ἐξ ἀφιλοσόφου γέγονε φιλόσοφος om. L 30 μὲν om. K 33 οὐ — ἀνδριάντα om. K

www.libtool.com.cn

ἐκ τοῦ καταμηνίου λέγομεν γενέσθαι, οὐ τὸ σπέρμα καὶ τὸ καταμήνιον d 5r
ἄνθρωπον. ἀλλ' εἰ καὶ ἐπ' ἀμφοτέρων ἀμφότερα λέγεται, ἀλλ' ἔστι τῇ
μὲν ὕλῃ οἰκειότερον καὶ προσφυὲς τὸ τόδε, τῇ δὲ στερήσει τὸ ἐκ τοῦδε,
διότι ἡ μὲν ὕλη ὑπομένει τὸ εἶδος ἐπιόν, ἡ δὲ στέρησις οὐχ ὑπομένει·
5 τῷ οὖν ὑπομένοντι οἰκεῖον τὸ τόδε, τῷ δὲ μὴ ὑπομένοντι τὸ ἐκ τοῦδε.
ἀλλ' εἰ οἰκεῖον τῇ ὕλῃ τὸ τόδε διὰ τὸ ὑπομένειν, τί δήποτε ἐπὶ μὲν τῆς
στερή|σεως ἀμφοτέροις ἔστιν ὅτε κεχρήμεθα τοῖς προσρήμασι καὶ τῷ ἐκ d 5v
τοῦδε καὶ τῷ τόδε, ἐπὶ δὲ τῆς ὕλης θατέρῳ μόνον; φημὶ οὖν ὅτι ἡνίκα
μὲν ἀπὸ τῆς στερήσεως ὀνομάζομεν τὸ ὑποκείμενον, ἐπειδὴ τῇ στερήσει
10 συναναλαμβάνομεν διὰ τῆς φωνῆς καὶ τὴν ὕλην (ὅταν γὰρ εἴπω τὸ ἄμουσον, οὐ τὴν ἀμουσίαν ἁπλῶς φημι, ἀλλὰ τὸ μετέχον τῆς ἀμουσίας), ἐπεὶ οὖν ἡ φωνὴ καὶ τὸ μετέχον καὶ τὸ μετεχόμενον σημαίνει, εἰκότως καὶ τὸ τῇ ὕλῃ προσῆκον πρόσρημα φέρομεν ἐπ' αὐτῆς τὸ τόδε καὶ τὸ τῇ 5
στερήσει τὸ ἐκ τοῦδε. ἐπὶ μὲν οὖν τῆς στερήσεως οὕτως· ἐπὶ δὲ τῆς
15 ὕλης, ἐπειδὴ ἡ φωνὴ οὐκ ἔχει συναναλαμβανομένην τὴν στέρησιν (ὅταν γὰρ εἴπω τὸν ἄνθρωπον γίνεσθαι μουσικόν, ὁ ἄνθρωπος οὐκ ἔχει ἐμφαινομένην ἐν τῇ φωνῇ τὴν στέρησιν, λέγω δὴ τὸ ἄμουσον· καὶ ὅταν εἴπω ὅτι Σωκράτης λευκὸς γέγονεν, οὐκ ἔστιν ἐν τῷ Σωκράτει ἐμφαινομένη ἡ τοῦ λευκοῦ στέρησις, τουτέστι τὸ μὴ λευκόν), διὰ τοῦτο τῷ ἑνὶ μόνῳ προσρή-
20 ματι τὰ τοιαῦτα καλοῦμεν, ὅτι ὁ ἄνθρωπος μουσικὸς γέγονε καὶ ὅτι Σωκράτης λευκὸς ἢ φιλόσοφος, οὐκέτι δὲ καὶ ἐξ ἀνθρώπου μουσικὸς ἢ ἐκ 10
Σωκράτους φιλόσοφος.

Ἀλλ' εἰ διὰ τὸ μὴ συναναλαμβάνεσθαι τῇ ὕλῃ κατὰ τὴν φωνὴν τὴν στέρησιν, διὰ τοῦτο τῷ ἑνὶ μόνῳ προσρήματι προσαγορεύομεν τὴν ὕλην,
25 διὰ τί μὴ ἐπὶ πάσης ὕλης τῷ αὐτῷ κεχρήμεθα προσρήματι, λέγω δὴ τῷ τόδε, ὅπερ καὶ οἰκεῖον εἶναι αὐτῇ μᾶλλον εἰρήκαμεν, ἀλλ' ἐπί τινος ὕλης μόνον τὸ ἐκ τοῦδε λέγομεν, ὅπερ τῇ στερήσει μᾶλλον προσήκει; καίτοι εἰ μὴ συνεμφαίνεται κατὰ τὴν φωνὴν ἐπὶ τῆς ὕλης ἡ στέρησις, διὰ τί μὴ μᾶλλον ἐκ τοῦ οἰκείου τῇ ὕλῃ προσρήματος ἀεὶ καλοῦμεν τὴν ὕλην καί 15
30 φαμεν τὸ σπέρμα ἄνθρωπον γενέσθαι καὶ τοὺς λίθους οἰκίαν, ἀλλ' ἐκ σπέρματος ἄνθρωπον καὶ ἐκ λίθων οἰκίαν; φημὶ οὖν πρὸς τοῦτο, ὅτι ὅταν ἐξ ὕλης λέγωμεν γίνεσθαί τι, ἐπειδὴ οὐκ ἐκ τῆς πρώτης ἀλλ' ἐκ τῆς προσεχοῦς ὕλης λέγομεν γίνεσθαι, ἡ δὲ προσεχὴς ὕλη ἐπὶ τῶν κατ' οὐσίαν γινομένων οὐχ ὑπομένει ἀλλ' ὅλη μεταβάλλει (οὐδὲν γὰρ τοῦ σπέρματος
35 καὶ τοῦ καταμηνίου ὑπομένει), τὸ δὲ τόδε πρόσρημα τὸ ὑπομένον ἐμφαί-

---

1 ἐκ om. Mt καταμηρίου et mox καταμήριον K 6 ὕλει L 7 ἐστὶν ὅτι K τῷ ἐκ] τοῦ ἐκ K 8 τῆς ὕλης L: τοῦ εἴδους KMt 10 ὅτε γὰρ K 12 καὶ τὸ μετέχον om. t 13 τὸ (post τόδε καὶ) om. LK 15 συναλαμβανομένην K 15. 17 τὴν στέρησιν — τὴν στέρησιν omissis absurde interpolant τὴν φωνήν Mt 17 καὶ ὅταν εἴπω γὰρ LKM: καὶ ὅταν εἴπω M²: καὶ γὰρ ὅταν εἴπω t 18 ἐμφαινόμενον K 19 τῷ iterat K 20 ὁ om. Mt 20. 21 ὅτι ὁ σωκράτης L 23 διὰ τὸ μὴ LK: μὴ διὰ τὸ Mt 26 αὐτὴ K 29. 30 καὶ οὐ φαμὲν L 30 οἰκείαν K 31 ὅτι] ὡς L 32 λέγωμεν γίνεσθαι] γίνηται L 33. 34 γινομένων om. Mt 35 ὑπομένον] ὑποκείμενον L

www.libtool.com.cn

νει, διὰ τοῦτο ἐπὶ τῶν τοιούτων οὐ τὸ τόδε, ἀλλὰ τὸ ἐκ τοῦδε λέγομεν· d 5v
ἐπὶ γὰρ τῶν κατ' οὐσίαν γενέσεων οὐδὲν τῆς προσεχοῦς ὕλης, τοῦ σπέρ- 20
ματος λέγω καὶ τοῦ καταμηνίου, ὑπομένει πλὴν τῆς ὑποκειμένης πρώτης
ὕλης καὶ τοῦ τριχῇ διαστατοῦ. διὰ τοῦτο ἐπὶ πάσης οὐσιώδους γενέσεως
5 οὐ τὸ τόδε, ἀλλὰ τὸ ἐκ τοῦδε λέγομεν· οὐ γὰρ τὸν σῖτον λέγομεν γίνεσθαι
σῖτον, ἀλλ' ἐκ σίτου σῖτον καὶ ἐκ κριθῆς κριθήν, διότι ὁ σπέρματος καὶ
ὕλης λόγον ἐπέχων σῖτος οὐχ ὑπομένει, ὅταν ἐξ αὐτοῦ ἕτερος γίνηται σῖ-
τος, ἀλλὰ καθ' ὅλην τὴν οὐσίαν μεταβάλλει οὐδενὸς ὑπομένοντος τοῦ αὐτοῦ,
πλήν, ὡς εἶπον, τῆς πρώτης ὕλης καὶ τοῦ τριχῇ διαστατοῦ. ἐπί τε οὖν 25
10 τῶν κατ' οὐσίαν γενέσεων διὰ τοῦτο μόνως τὸ ἐκ τοῦδέ φαμεν οὐ τὸ
τόδε, καὶ ἐπὶ τούτων ὅσαι κατ' οὐσίαν μὲν οὐκ εἰσί, μιμοῦνται δὲ τὰς κατ'
οὐσίαν γενέσεις· ἡ γὰρ ἐκ χαλκοῦ τοῦ ἀνδριάντος γένεσις κατ' οὐσίαν μὲν
γένεσις οὐκ ἔστι, μιμεῖται δέ πως τὴν κατ' οὐσίαν γένεσιν. διὰ τοῦτο οὖν,
ὅταν μὲν θερμανθῇ ὁ χαλκὸς ἢ ἐρυθρὸς γένηται ἢ κατά τινα τοιαύτην
15 μεταβολὴν μεταβάλῃ, ἥτις ἔοικε τῇ κατὰ συμβεβηκὸς μεταβολῇ, οὗ φαμεν 30
ἐκ χαλκοῦ ἐρυθρὸν γενέσθαι, ἀλλὰ τὸν χαλκὸν ἐρυθρὸν καὶ τὸν χαλκὸν
θερμὸν γενέσθαι, διότι κατὰ συμβεβηκὸς μεταβολὴ τὸ τοιοῦτον· ὅταν δὲ
ἀνδριὰς γένηται ἢ τρίπους ἢ λέβης ἤ τι τοιοῦτον, οὐκέτι τὸν χαλκὸν ἀν-
δριάντα φαμὲν γενέσθαι ἢ λέβητα ἢ τρίποδα, ἀλλ' ἐκ χαλκοῦ ἀνδριάντα
20 καὶ λέβητα καὶ τρίποδα, ἐπειδὴ ἀπομιμήματά ἐστι ταῦτα τῆς κατ' οὐσίαν
γενέσεως. ὁμοίως καὶ ἐπὶ πάντων τῶν τοιούτων, ὅτι ἐκ λίθων καὶ ξύλων
οἰκία καὶ τὸ ἀβάκιον ἐκ ξύλων· οἷον γὰρ εἶδος φυσικὸν δοκεῖ ἐν τοῖς
τοιούτοις ἐπιγίνεσθαι. ὅταν μὲν οὖν ἐρυθρὸν ἢ θερμὸν εἴπω, οὐ συνεμ- 35
φαίνεται ἡ δεκτικὴ τοῦ τοιούτου ὕλη. ὥσπερ δ' ὅταν εἴπω ἄνθρωπον ἢ
25 ἵππον, εὐθὺς συνεπινοοῦμεν τὴν ὕλην ἐξ ἧς μετέβαλλεν, οἷον τὸ τοιόνδε
σπέρμα ἐξ οὗ τὴν γένεσιν ἔσχεν, οὕτως καὶ ὅταν ἀνδριάντα εἴπω ἢ οἰκίαν,
εὐθὺς τὸν χαλκὸν ἐπινοῶ ἢ τὰ ξύλα καὶ τοὺς λίθους· καὶ ὥσπερ ἐκεῖ
οὐδὲν τοῦ σπέρματος ὑπομένει πλὴν τοῦ τριχῇ διαστατοῦ, οὕτως δοκεῖ καὶ
ἐν τῇ τῆς οἰκίας γενέσει μεταβεβλῆσθαι πάντως τῶν κατὰ μέρος λίθων
30 τὸ εἶδος καὶ ἄλλο τι ἐκ πάντων γενέσθαι. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. 40
ἐπεὶ οὖν πολλὴ τῶν τοιούτων πρὸς τὰς κατ' οὐσίαν γενέσεις ἡ ὁμοιότης,
διὰ τοῦτο καὶ ἡ κοινὴ χρῆσις ὁμοίως τὸ ἐκ τοῦδε ἐπὶ αὐτῶν, ὥσπερ καὶ
ἐπὶ τῶν κατ' οὐσίαν γενέσεων, ἤνεγκε· καὶ ὥσπερ φαμὲν ἐξ ὕδατος ἀέρα

---

2 τῶν om. M 4 οὐσιωδοῦ K 5 σίτον constanter K γενέσθαι L 6 ἐκ σίτου LK: ἐκ τοῦ σίτου Mt 9 πρώτης L: $a^{\gamma\rho}$ K: om. Mt 10 μόνω τῶν ἐκ K τοῦδε L: τῶνδε KMt post φαμεν addit καὶ ταῦτα L 11 οὐκ om. L 11. 12 τὰς κατασείαν et mox utrobique κατσίαν K 14 γίνηται M 15 μεταβάλῃ t: μεταβάλοι L: μεταβάλλοι KM 16 ἐρυθρὸν (post χαλκοῦ) om. L: fort. ⟨θερμὸν καὶ ἐκ χαλκοῦ⟩ ἐρυθρὸν post χαλκὸν ἐρυθρὸν addit γενέσθαι K 17 μεταβολὴ] μεταβάλῃ K 20 ἀπὸ μιμήματά M εἰσι L 22 οἰκία Mt: οἰκίαν compend. K: ἡ οἰκία L τὸ libri: fortasse ὅτι ἀβάκιον] ἀββάκιον LMt: ἀκάκιον K 25 μετέβαλεν Mt 26 ἔσχεν LKM: ἔχει t 29 μεταβλῆσθαι πῶς τῶν K 30 πάντων] an τούτων? 31 ἡ om. Mt 33 φαμὲν om. superscr. K

www.libtool.com.cn

γεγονέναι οὐ τὸ ὕδωρ ἀέρα, οὕτως καὶ ἐκ χαλκοῦ ἀνδριάντα οὐ τὸν χαλ- d 5v
κὸν ἀνδριάντα (μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν), καὶ πάλιν ὥσπερ τὸ
ὕδωρ φαμὲν θερμὸν γενέσθαι οὐκ ἐξ ὕδατος θερμὸν γένεσθαι, οὕτως καὶ
τὸν χαλκὸν θερμὸν γενέσθαι· κατὰ ποιότητα γὰρ ἡ μεταβολή, καὶ τὸ ὑπο-
5 κείμενον ὑπομένει. καὶ ἐπὶ τῶν ἄλλων πάντων τὸν αὐτὸν τρόπον.

Ἰστέον δ' ὅτι οὐδ' ἐπὶ πάσης στερήσεως ἁπλῶς ἀμφοτέροις κεχρή- 45
μεθα τοῖς προσρήμασι καὶ τῷ ἐκ τοῦδε καὶ τῷ τόδε· οὐ γὰρ ἂν εἴποι-
μεν, ὥσπερ ἐξ οὐκ ἀνθρώπου ἄνθρωπον γενέσθαι, οὕτω δὲ καὶ τὸν οὐκ
ἄνθρωπον γενέσθαι ἄνθρωπον, ἀλλὰ μόνως τὸ ἐξ οὐκ ἀνθρώπου· καὶ ἐξ
10 οὐκ οἰκίας οἰκίαν λέγοντες γενέσθαι καὶ ἐξ οὐκ ἀνδριάντος ἀνδριάντα οὐκ
ἂν εἴποιμεν τὸν οὐκ ἀνδριάντα γενέσθαι ἀνδριάντα καὶ τὴν οὐκ οἰκίαν οἰ-
κίαν. τούτου δ' ἡ αἰτία ἐκ τῶν προειρημένων δήλη. ἐπεὶ γάρ, ὡς εἴπο-
μεν, τὸ τόδε τῇ ὕλῃ μέν ἐστιν οἰκεῖον, οὐ πάντως δ' ἐπ' αὐτῆς λέγεται 50
ἔνθα μὴ ὑπομένει, οὕτως κἂν συναναλαμβάνηται ἀεὶ τῇ στερήσει ἡ ὕλη,
15 ἐπειδὴ ἡ ὑποκειμένη τῇ στερήσει ὕλη μὴ ἀεὶ ὑπομένει, ἐπὶ τούτων τὸ ἐκ
τοῦδε μόνον ἐπὶ τῆς στερήσεως λέγομεν ἐφ' ὧν ἡ ὕλη οὐχ ὑπομένει,
οὐκέτι δὲ καὶ τὸ τόδε· λέγομεν γὰρ ἐξ οὐκ ἀνθρώπου ἄνθρωπον γενέσθαι,
οὐκέτι δὲ καὶ τὸν οὐκ ἄνθρωπον γενέσθαι ἄνθρωπον, ἐκ τῆς στερήσεως
ἐπὶ τούτων τὴν γένεσιν καὶ οὐκ ἐκ τῆς ὕλης ὀνομάζοντες. ἐφ' ὧν δ' ὑπο-
20 μένει ἡ ὕλη, τότε καὶ ἐκ τῆς ὕλης καὶ ἐκ τῆς στερήσεως τὴν γένεσιν |
ὀνομάζομεν· λέγομεν γὰρ καὶ ἐξ ἀμούσου μουσικὸν γενέσθαι καὶ τὸν ἄμου- d 6r
σον γενέσθαι μουσικόν. κἂν ἐπὶ τοῦ ἀνδριάντος δ' ὑπομένῃ μὲν ἡ ὕλη,
μὴ λέγηται δὲ ὁ οὐκ ἀνδριὰς γίνεσθαι ἀνδριάς, ἀλλὰ μόνον ἐξ οὐκ ἀν-
δριάντος γίνεσθαι ἀνδριάς, σύμφωνον καὶ τοῦτο τοῖς προειρημένοις λόγοις·
25 διὰ γὰρ τὸ μιμεῖσθαι ταύτας τὰς γενέσεις τὰς κατ' οὐσίαν γενέσεις, ἐν
αἷς μηδὲν τῆς προσεχοῦς ὕλης ὑπομένει, διὰ τοῦτο, ὥσπερ οὐ λέγεται ὁ 5
οὐκ ἄνθρωπος γίνεσθαι ἄνθρωπος, οὕτως οὐδ' ὁ οὐκ ἀνδριὰς ἀνδριάς.
συνελὼν οὖν τὰ εἰρημένα φημί, ὅτι ἐπὶ μὲν τῆς στερήσεως λέγεται ἀμφό-
τερα ἐπὶ τοῦ αὐτοῦ τὰ προσρήματα καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε (εἰ γὰρ
30 καὶ μὴ ἐπὶ πάσης στερήσεως, ἐπί τινων γάρ), ἐπὶ δὲ τῆς ὕλης οὐδέποτε
ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ λέγεται, ἀλλὰ ποτὲ μὲν τὸ ἐκ τοῦδε, ποτὲ δὲ τὸ
τόδε. εἰ τοίνυν ἐπὶ τῆς στερήσεως ποτὲ μὲν ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ λέ-
γεται, ἐπὶ δὲ τῆς ὕλης οὐδέποτε ἀμφότερα ἐπὶ τῆς αὐτῆς ἀλλὰ θάτερον, 10
ἔοικεν ἑτέρα εἶναι τῆς ὕλης ἡ στέρησις.

---

3 φαμὲν om. superscr. K 3. 4 οὐκ ἐξ ὕδατος — χαλκὸν θερμὸν γενέσθαι om. Mt 4 scribendum videtur γενέσθαι ⟨οὐκ ἐκ χαλκοῦ θερμὸν γενέσθαι⟩ 6 οὐδ'] οὐκ L 8. 9 οὐκ ἀνθρώπου — μόνως τὸ ἐξ om. K 10 καὶ] ὡς K 11 εἴπωμεν LM οὐκ (ante οἰκίαν) om. LK 12 τούτων K 13 μέν om. K post λέγεται addit τὸ τοιοῦτον L 16 ὧν] ὃν K 17 γίνεσθαι ante correct. L 18 οὐκ ἄνθρωπον ἄνθρωπον γενέσθαι K 19. 20 ὑπομένῃ K δ' ἡ ὕλη ὑπομένει L 20 τὴν γένεσιν om. K 22 ὑπομένει LK 23 ὁ om. L 25 ταῦτας K 27 γίνεται L 29 καὶ τοῦ ἐκ K εἰ γὰρ KMt: εἰ (om. γὰρ) L 30 τινων γάρ libri: immo τινων γοῦν τῆς iterat K 31. 33 ἐπὶ τοῦ αὐτοῦ λέγεται, ἀλλὰ — οὐδέποτε ἀμφότερα om. K 31 ἐπὶ τοῦ αὐτοῦ λέγεται L: λέγεται ἐπὶ τοῦ αὐτοῦ Mt 33 τῆς αὐτῆς libri: immo τοῦ αὐτοῦ

www.libtool.com.cn

Ἡ μὲν οὖν ἐκ τῆς χρήσεως τῆς κοινῆς διάκρισις τῆς ὕλης ἀπὸ d 6r
τῆς στερήσεως τοιαύτη, διακρίνεται δὲ καὶ ἐξ αὐτῶν τῶν πραγμάτων,
ὅτι ἡ μὲν ὕλη ἐν ταῖς μεταβολαῖς ὑπομένει τὸ ἐπιὸν εἶδος, ἡ δὲ στέ-
ρησις ἐναντία οὖσα τῷ εἴδει οὐχ ὑπομένει ἀλλ' ὑπεξίσταται αὐτῷ· ὁ
5 μὲν γὰρ ἄνθρωπος ὑπομένει τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ οὐχ ὑπεξί-
σταται, τὸ δ' ἄμουσον οὐχ ὑπομένει τὸ μουσικὸν ἐπιόν, οὐδὲ τὸ μὴ λευ-
κὸν τὸ λευκόν. καὶ ἐπὶ πάντων ὁμοίως. ὥστε εἰ ἡ μὲν ὕλη ὑπομένει
τὸ εἶδος, ἡ δὲ στέρησις οὐχ ὑπομένει, ἕτερα ἂν εἶεν ταῦτα ἀλλήλων. 15
εἰ δὲ μὴ πᾶσα ὕλη ὑπομένει (οὐχ ὑπομένει γὰρ τὸ σπέρμα καὶ τὸ
10 καταμήνιον ἐπιὸν τὸ ἀνθρώπειον εἶδος), οὐ θαυμαστόν. πρῶτον μὲν γὰρ εἰ
καὶ μὴ πᾶσα ὕλη ὑπομένει ἀλλ' ἔστι τις ὑπομένουσα, μηδεμία δὲ στέρησις
ὑπομένει, ἱκανὸν καὶ τοῦτο τὴν διάκρισιν αὐτῶν ἐνδείξασθαι· ἔπειτα καὶ
εἰ μὴ ἡ προσεχὴς ὕλη ἐπὶ πάντων ὑπομένει, ἡ γοῦν πρώτη ὕλη καὶ τὸ
τριχῇ διαστατὸν ἐπὶ πάντων τῶν μεταβαλλόντων ἀμετάβλητον ὑπομένει,
15 ἡ δὲ στέρησις οὐδέποτε ὑπομένει. ἄλλως τε ἀδύνατόν ἐστι μὴ πάντως τὴν 20
ὕλην τήν τε πρώτην καὶ τὴν προσεχῆ ὑπομένειν, ἐφ' ᾗ τὸ εἶδος εὐθὺς
ἐπιγίνεται· μέρος γάρ ἐστι τοῦ συνθέτου. πρόδηλος ἄρα καὶ ἐξ αὐτῶν
τῶν πραγμάτων ἡ διάκρισις τῆς ὕλης ἀπὸ τῆς στερήσεως.

Τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα. σημειωτέον ὅτι οὐκ εἶπε 25
20 'τὸ μὲν οὖν τρεῖς φάναι τὰς ἀρχάς', ἀλλὰ τὸ μὲν οὖν τρία φάναι τὰ
στοιχεῖα, σημαίνων ὅπερ κατ' ἀρχὰς ἡμῖν εἴρηται, ὅτι τὰ μὲν στοιχεῖα
καὶ ἀρχαί, αἱ δ' ἀρχαὶ οὐκέτι στοιχεῖα. ὅτι μὲν οὖν ἀρχὰς καλεῖ τὰ στοι-
χεῖα τὴν ὕλην καὶ τὸ εἶδος, καὶ ἤδη ἐδείξαμεν καὶ ἐν τοῖς ἑξῆς αὐτὸς σα-
φῶς τὴν ὕλην καὶ τὸ εἶδος ἀρχὰς καλέσει, ὅτι δ' οὐ πᾶσα ἀρχὴ στοι-
25 χεῖον, σαφῶς ἐδήλωσεν εἰπὼν τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα.
ἀρχαὶ γὰρ πλείους τριῶν· ἔστι γὰρ καὶ τὸ ποιητικὸν καὶ τὸ τελικόν.

p. 189b18 Πρὸς μὲν γὰρ τὸ πάσχειν ἱκανὸν τὸ ἕν. 30

Ὅτι οὐ δυνατὸν δύο μὲν εἶναι ὑποκείμενα, μίαν δ' ἐναντίωσιν· ἱκανὸν
γὰρ τὸ ἓν ὑποκείμενον πάσχον ἀνὰ μέρος ὑφ' ἑκατέρου μορίου τῆς ἐναν-
30 τιώσεως πάντα γεννῆσαι.

---

7 ὥστε om. K εἰ μὲν ἡ ὕλη L 8 εἶεν ἂν Mt 9 πᾶσα ἡ ὕλη L οὐχ ὑπομένει om. K 10 ἐπιὸν Mt: ἐπὶ L: ἐπὶ K ἀνθρώπιον (sic) compend. K 11 μὴ om. M πᾶσα ἡ ὕλη L ἀλλ' — μηδεμία in erasis K ἀλλ' LK: ἀλλ' οὖν Mt μηδεμία LK: οὐδεμία Mt 12 οὐχ ὑπομένει (cf. v. 8) Mt ἱκανὸν δὲ καὶ t αὐτοῦ L 13 ἡ (ante προσεχὴς) om. LK 14 ἀμετάβλητος fort. recte L 15 οὐδέποτε LK: οὐδαὶ vel οὐδὲν M: οὐδὲ t 18 ἀπὸ] οἷον τοῦ ἀπὸ in principio novae paginae M 21 σημαῖνον K κατ' ἀρχὰς p. 7,32 23 τὸ ὅδος K καὶ (ante ἤδη) om. L? ἐν τοῖς ἑξῆς velut c. 7 p. 191a12 τοῖς ἑξοῖς αὐτὸ K 26 πλείους· οὐκ ἔστι γὰρ (om. τριῶν) L 27 μὲν γὰρ t et, si silentio fides, LK: γὰρ (om. μὲν) M et Arist. cod. E 29 πάσχον Mt: πάσχων K: πάσχειν L ὑπεκατέρου K τῆς om. L

www.libtool.com.cn

p. 189b19 Εἰ δὲ τεττάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει χωρὶς ἑκατέρᾳ ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν. d 6r

Ὑποθέμενος δύο ὑποκείμενα μίαν δ' ἐναντίωσιν, νῦν ὑποτίθεται τὰ λοιπὰ δύο τμήματα τό τε λέγον δύο μὲν ἐναντιώσεις ἓν δὲ τὸ ὑποκείμενον, καὶ τὸ λέγον δύο τὰς ἐναντιώσεις καὶ τὰ ὑποκείμενα· ἐλλιπέστερον δ' εἴρηται κατὰ τὴν λέξιν. δεῖ οὖν ἔξωθέν τι προσυπακούσαντα τὸ ἐντελὲς δεῖξαι· 'εἰ δὲ τεσσάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει ἢ χωρὶς ἑκατέρᾳ ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν, ἢ μίαν καὶ τὴν αὐτὴν ἀμφοτέραις ταῖς ἐναντιώσεσιν'. εἰ γὰρ μὴ τοῦτο προσυπακούσωμεν, οὐδὲ τὸ ἀναγκαῖον ἔχει ὁ λόγος· οὐ γὰρ ἀνάγκη πλειόνων οὐσῶν ἐναντιώσεων τὰ ὑποκείμενα αὐταῖς πλείονα εἶναι. ἓν γὰρ καὶ ταὐτὸν ὑποκείμενον πολλῶν ἐναντιώσεων δύναται εἶναι δεκτικόν· τὸ αὐτὸ γὰρ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, καὶ πυκνοῦ καὶ μανοῦ, καὶ μυρίων ἄλλων δεκτικόν. τὸ δὲ εἰ δὲ τεττάρων ὄντων ἀντὶ τοῦ τῶν μυρίων τῶν ἐναντιώσεων· δύο γὰρ οὐσῶν ἐναντιώσεων τέσσαρά ἐστι τὰ μύρια αὐτῶν. μεταξὺ δ' εἶπε τὴν ὑποκειμένην φύσιν, λέγω δὴ τὴν ὕλην· ἔστι γὰρ οἷον κοινόν τι χωρίον τοῦ πολέμου τῶν ἐναντίων καὶ οἷον μεταίχμιον.

p. 189b21 Εἰ δὲ ἐξ ἀλλήλων δύνανται γεννᾶν δύο οὖσαι, περίεργος ἡ ἑτέρα τῶν ἐναντιώσεων.

Τὸ ἐξ ἀλλήλων οὐ τοῦτό φησιν, ὅτι ἥδε μὲν τάδε ἥδε δὲ τάδε, ἀλλ' οὐδ' ὅτι συμπλεκόμεναι δύνανται ἐξ αὐτῶν πάντα γεννᾶν (ὥσπερ ἡ τοῦ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ ἐναντίωσις πάντα τὰ στοιχεῖα), ἀλλ' ὅτι 'εἰ καὶ ἑκατέρα αὐτῶν δύναται καθ' ἑαυτὴν πάντα γεννῆσαι'. καὶ ὅτι τοῦτό φησιν, ἐδήλωσεν εἰπὼν περίεργος ἡ ἑτέρα τῶν ἐναντιώ-

---

1 τεττάρων K: τεσσάρων (L)Mt 1. 2 δύο — φύσιν om. K 2 ἑκατέρᾳ scripsi: ἑκατέρα LM: ἑκατέρας ex Arist. (at cod. E ἑκάτερ pr., ἑκατέρων comp. corr.) t 3 ὑποθέμενοι K 4 τμίματα K λέγων compend. K μὲν εἶναι ἐναντιώσεις Mt τὸ (post δὲ) om. L 5 ἐλλειπέστερον K 6 προυπακούσαντα L 8 ἑκατέρα (cf. v. 2) LK: ἑκατέρ (h. e. ἑκατέραν; at saepe in hoc codice, praesertim in libris III—IV, eodem signo indicatur littera α) M: ἑκατέρας t 9. 10 προσυπακούσωμεν LK: προσυπακούσομεν Mt 11 ταυτὸ t 12 γὰρ καὶ K 14 εἰ δὲ K: εἴδει L: εἰ Mt 14. 15 τῶν ἐναντιώσεων post ὄντων traicit L 14 τοῦ τῶν LK: τοῦ (om. τῶν) Mt 16 δὴ LK: δη M: δὲ t 18 δ' ἐξ t 18. 19 γεννᾶν — ἐναντιώσεων om. K 18 δύο οὖσαι LM: om. t et Aristot. cod. F 18. 19 post περίεργος addit ἂν εἴη t cf. Aristotelis libri 20 ἥδε δὲ τάδε om. L ἥδε δὲ] ἡ δὲ K 21 συμπλεκόμεναι LM: συμπλεκόμενα (K)t αὐτῶν libri πάντα LK: πᾶν Mt 22 καὶ τοῦ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ K ἐναντιώσεις K: ἐναντίωσις L 23 ἑκάτερα L

www.libtool.com.cn

σεων· εἰ γὰρ δυνατὸν μίαν ἐναντίωσιν πάντα γεννῆσαι, περιττὴ ἐξ ἀνάγκης d 6r
ἡ ἑτέρα.

p. 189b22 Ἅμα δὲ καὶ ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς 51
πρώτας· ἡ γὰρ οὐσία ἕν τι γένος.

Ἕτερον ἐπιχείρημα, ὅπερ καὶ φθάσας ἤδη εἶπεν, ὅτι ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις, ἓν δὲ γένος καὶ | ἡ οὐσία, καὶ ἐν τῇ οὐσίᾳ ἄρα d 6v μία ἂν εἴη ἐναντίωσις ἡ καθολικωτάτη. εἰ γὰρ καὶ πλείους εὑρεθήσονται αἱ ἐναντιώσεις, πᾶσαι ὑπὸ μίαν γενικωτάτην ἀναχθήσονται, ὥσπερ καὶ ἐπὶ ποιότητος τὸ μέλαν καὶ τὸ λευκὸν χρώματός ἐστι προσεχὴς ἐναντίωσις. ὥστε κἂν πλείους ἔσονται αἱ ἐναντιώσεις, καὶ αἱ ἀρχαὶ αἱ προσεχεῖς τῶν ὄντων εἶδει διοίσουσιν, οὐ γένει, καὶ τῷ πρότερον καὶ ὕστερον· πᾶσαι γὰρ ὑπὸ μίαν τὴν κοινοτάτην ἀναχθήσονται κοινὸν γένος οὖσαν τῶν μετ' αὐ- 5
τὴν πασῶν.

p. 189b27 Ὅτι μὲν οὖν οὔτε ἓν τὸ στοιχεῖον οὔτε πλείω δυοῖν ἢ τριῶν.

Δύο μέν, ἤτοι ἵνα λάβωμεν ἓν τὸ ὑποκείμενον καὶ μίαν τὴν ἐναντίωσιν περιεκτικὴν τοῦ εἴδους καὶ τῆς στερήσεως, ἢ (ὅπερ κάλλιον) τὴν ὕλην καὶ 10
τὸ εἶδος, διὰ τὸ τὴν στέρησιν μὴ κυρίως μηδὲ καθ' αὑτὸ εἶναι ἀρχήν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς δηλώσει. τῷ γὰρ ἐν ὑποκειμένῃ τῇ ὕλῃ ὑπάρχειν καὶ ἡ στέρησις ἐν τῇ γενέσει οὐδὲν συμβάλλεται τὸ καθ' αὑτήν· οὐ γὰρ αὐτῆς, ἀλλὰ τῆς ἀπουσίας αὐτῆς δεῖται τὰ γινόμενα. τούτων δὲ πότερον, καθάπερ εἴπομεν, ἀπορίαν ἔχει πολλήν. ἄπορον, φησί, πότερον δύο δεῖ λέγειν τὰς ἀρχὰς ἢ τρεῖς· καὶ δῆλον ὅτι οὐ περὶ τῶν ἀρχῶν ἁπλῶς ἀπορεῖ πόσαι τε καὶ ποῖαί εἰσι 15

---

1 δυνατὰ L 3. 4 πλείους — γένος om. K 5 φθάσ (h. e. φθάσεν) M ἤδη εἶπεν p. 189a13 εἶπεν iterat M fort. ὅτι ⟨εἰ⟩ ἐν 6 ἡ ἐναντίωσις L δὲ om. M 7 εἰ γὰρ κτλ.] cf. Themist. p. 140,7 9 πιότητος compend. M 11 τῷ] τὸ K προτέρῳ L 12 κοινοτάτην compend. K: κοινότητα LMt κοινὸν] τὸ t 12. 13 μετὰ ταύτην (om. πασῶν) Mt 14 τὸ στοιχεῖον (cf. p. 151,5) Lt: τῶν στοιχείων (ut Aristot. cod. I et Themist. p. 140,14) K: om. M 16 λά (in exitu versus) λάβωμεν M 19 ὡς LK: ὥσπερ Mt καὶ KM: γὰρ καὶ t (ubi nihil enotatum ex L) ἐν τοῖς ἑξῆς c. 7 p. 190b27. 191a5 sqq. (cf. Philop. d 8v41) τῷ γὰρ scripsi: τὸ γὰρ L: τὰ γὰρ K: τῷ (om. γὰρ) Mt 19. 20 ἐν (ἐν om. L) ὑποκειμένῃ L et ut vid. M: ἐνυποκείμενα K: ἐν ὑποκειμένῳ t 20 ἐνυπάρχει K καὶ ἡ στέρησις ἐν (καὶ ἐν K) τῇ γενέσει LK: καὶ ἐν τῇ γενέσει ἡ στέρησις Mt: an δηλώσει· τῷ γὰρ ὑποκειμένῳ τῇ ὕλῃ ἐνυπάρχει. καὶ ἡ στέρησις κτλ.? οὐδὲν] οὐδὲ L 21 τὸ καθ' αὑτήν Mt: τῶ καθαυτήν K: καθ' ἑαυτήν (om. τὸ) L δεῖται K: δεῖ LMt 22 πότερον] προ τρ L 22. 23 καθάπερ — πολλήν om. K 23 ἄπειρον K δεῖ L: om. K: post ἀρχὰς traic. Mt 24 ἀπορεῖ ἁπλῶς Mt πόσα τὲ καὶ ποιὰ εἰσί t

www.libtool.com.cn

(τοῦτο γὰρ ἤδη ἔδειξεν ὅτι τρεῖς, δύο μὲν τὰ ἐναντία ἓν δὲ τὸ ὑποκεί- d 6v
μενον), ἀλλὰ πότερον ταύτας τὰς εὑρεθείσας ἀρχὰς τρεῖς δεῖ καλεῖν συναριθμοῦντας καὶ τὴν στέρησιν, ἢ δύο τῆς στερήσεως μὴ κυρίως οὔσης ἀρχῆς διὰ τὰ εἰρημένα. τὸ δὲ καθάπερ εἴπομεν, προσεχῶς δηλονότι· εἶπε γὰρ ὅτι μὲν οὔν οὔτε ἓν τὸ στοιχεῖον οὔτε πλείω δυοῖν ἢ τριῶν.

p. 189b30 Ὧδε οὖν λέγομεν περὶ πάσης γενέσεως ἐπελθόντες.

Ἐπεὶ βούλεται δεῖξαι πότερον δύο δεῖ λέγειν εἶναι τὰς ἀρχὰς τὰς στοιχειώδεις ἢ τρεῖς, δεῖ, φησί, πρότερον εἰπεῖν πῶς γίνονται τὰ γινόμενα· 20
ἐφόδιον γὰρ τοῦτο πρὸς τὴν προκειμένην εὑρήσομεν ζήτησιν. ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας οὕτως τὰ περὶ ἕκαστον οἰκεῖα ἰδίως θεωρεῖν· ἀεὶ γὰρ τῆς γνώσεως τῶν μεριχωτέρων προηγεῖται ἡ τῶν καθόλου γνῶσις. οὕτω βουλόμενος τὰς διαφορὰς τῶν συλλογισμῶν διδάξαι, πρότερον ἐδίδαξε τί ποτε ὅλως ἐστὶ συλλογισμός· ὁ γὰρ τί ἐστι συλλογισμὸς ἀγνοῶν οὐδέποτε εἴσεται τί ποτέ ἐστιν ἀποδεικτικός. ἐξ ἀρχῆς δὲ τοῦτο προτίθεται ποιῆσαι, ἐκ τῶν κοινοτέρων ἄρξασθαι τῆς διδασκαλίας. ἔχεις οὖν καὶ ἐντεῦθεν τὸν σκοπὸν τῆς προκειμένης πραγματείας, 25
ὅτι ἐστὶ περὶ τῶν κοινῶς παρακολουθούντων πᾶσι τοῖς γινομένοις καὶ φθειρομένοις. πάσης δὲ γενέσεώς φησιν οὐ μόνον τῆς κατ' οὐσίαν, ἀλλὰ καὶ τῆς κατὰ συμβεβηκός. καὶ δῆλον ὅτι καὶ ἐντεῦθεν σαφές ἐστιν, ὅπως ἔλεγεν ἐν ἀρχῇ ἐκ τῶν καθόλου δεῖν ἄρξασθαι ὡς σαφεστέρων καὶ τῇ αἰσθήσει γνωριμωτέρων, "καθόλου" λέγων οὐ τὰ κοινὰ γένη καὶ ἐξῃρημένα τῶν μεριχῶν, ἀλλὰ τὰ μεριχὰ μὲν πλείοσι δ' ἐφαρμόττοντα· οὕτως γὰρ καὶ ἐνταῦθά φησι δεῖν ἁπλῶς περὶ γενέσεως εἰπεῖν διὰ τὸ κατὰ φύσιν 30
εἶναι τὸ ἐκ τῶν κοινοτέρων ἄρχεσθαι. καὶ ἐπέρχεται τῷ λόγῳ τὰς κατὰ μέρος γενέσεις· οὐδὲ γὰρ ἔστι τις ἁπλῶς γένεσις, ἐπεὶ μηδὲν ἔστι τι κοινὸν

2 εὑρεθήσας K 3 καὶ om. t 4 δὲ] τε L 5 γὰρ K: γ' L: τρεῖς Mt
6 οὖν om. K δυοῖν scripsi: β' L: δύο KMt 7 ὧδ' οὖν ἡμεῖς (vel ἡμεῖς γε)
λέγωμεν (vel λέγομεν) πρῶτον περὶ Aristotelis libri οὖν om. Mt λέγωμεν Mt
γενέσεως ἐπελθόντες om. K 8 εἶναι om. L 8. 9 τὰς στοιχειώδεις ἀρχὰς K 9 πρότερον] πρῶτον K 10 εὑρίσομεν M 11. 13 πρῶτον — γνῶσις om. K 11 εἰπόντας L: εἰπόντα Mt 12 οἰκεῖα om. Aristot. ἰδίως L: ἰδία Mt: variant Aristotelis libri (ἰδία F et E, ἴδια I): malim ἴδια (deleto glossemate οἰκεῖα) τῶν L: om. Mt 13 βουλόμενος κτλ.] cf. Ar. Anal. Prior. A 1 p. 24b18 sqq.
14 ἐδίδαξε] ἐδίδαξαι invenit in M et dedit t ὅλος LK 15 ἴσεται K post ἀποδεικτικὸς addit συλλογισμός K 16 προστίθεται L καὶ ἐκ K 17 ἔχει K ἐνταῦθα K 18 γινομένης K 19 οὐσίαν compend. KM: οὐσίας (L)t 20 καὶ (ante τῆς) om. superscr. M 21 ἐν ἀρχῇ] Phys. A 1 p. 184a23 σαφεστέρω K
23 ἐφαρμόζοντα (cf. p. 10, 31 sqq.) K at cf. i 6r5 24 καὶ om. superscr. L 25 εἶναι om. M τὸ om. superscr. K 26 μηδὲν LM: μηδέ (K)t. οὐδέν τι et μηδέν τι, codicis M quoque librariis invisa (cf. k 8r6), fere constanter (at cf. f 7v48. p 4r47) exturbat (d 8v37. e 1r5. 4r4 etc.) t

www.libtool.com.cn

γένος τοῦ ὄντος, ἀλλ' ὥσπερ τὸ ὂν ὁμώνυμός ἐστι φωνή, οὕτω δὴ καὶ d 6v
ἡ γένεσις. ἀπορήσειε δ' ἄν τις, εἰ περὶ τῶν παρακολουθούντων πᾶσιν
ἁπλῶς τοῖς φυσικοῖς ἐνταῦθα διαλέγεται καὶ ζητεῖ νῦν πόσαι τούτων αἱ
ἀρχαὶ πότερον δύο ἢ τρεῖς, πῶς πρὸς εὕρεσιν τούτου ζητεῖ πῶς γίνονται
5 τὰ γινόμενα πάντα, ἵνα ἐκ τούτων καὶ τὸν τῶν ἀρχῶν ἀριθμὸν εὕρῃ· οὐδὲ 35
γὰρ μόνα τὰ γινόμενα φυσικά, ἀλλ' ἔστι τινὰ τῶν φυσικῶν καὶ ἀγένητα,
λέγω δὴ τὰ οὐράνια. φημὶ οὖν ὡς ἐπὶ σαφεστέρων τῶν γινομένων καὶ φθει-
ρομένων ποιεῖται τὸν λόγον, ἐκ τούτων δὲ μετάγει τὸν λόγον καὶ ἐπὶ τὰ
μὴ γινόμενα. ἀμέλει γοῦν καὶ συμπεραινόμενος τὸν λόγον τοῦτον, ἐπὶ
10 πάντων ἁπλῶς συμπεραίνεται λέγων· "φανερόν" γὰρ τοίνυν φησὶν "ὡς,
εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσὶν ἢ γε-
γόνασιν, ὅτι γίνεται πάντα ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς". ὥστε 40
εἰ καὶ εἰς θεωρίαν τῶν ἀρχῶν διὰ τὸ σαφὲς προεχειρίσατο τὰ γινόμενα
καὶ φθειρόμενα, ἀλλ' οὖν τὰς αὐτὰς ἀρχὰς δείκνυσιν εἶναι καὶ ἐπὶ τῶν
15 ἀιδίων· ὥσπερ γὰρ τῶν γενητῶν εἰσιν τῆς γενέσεως ἀρχαί, οὕτως τῶν
ἀιδίων τοῦ εἶναι.

p. 189b32 Φαμὲν δὴ γίνεσθαι ἐξ ἄλλου ἄλλο καὶ ἕτερον ἐξ ἑτέ-
ρου ἢ τὰ ἁπλᾶ λέγοντες ἢ τὰ συγκείμενα. 44

Ὅταν, φησίν, ἔκ τινος λέγωμεν γίνεσθαι, ἢ ἐξ ἁπλοῦ φαμεν ἢ ἐκ συν- 50
20 θέτου· καὶ πάλιν τὸ γινόμενον ἢ ἁπλοῦν λέγομεν γίνεσθαι ἢ σύνθετον.
οἷον ὅταν εἴπω ὅτι ὁ ἄνθρωπος μουσικὸς γέγονεν, ἢ ὅτι τὸ ἄμουσον μου-
σικὸν γέγονεν, ἐξ ἁπλοῦ λέγω τοῦ ἀνθρώπου ἢ τοῦ μουσικοῦ ἁπλοῦν τι
γενέσθαι τὸ μουσικόν. ὅταν δ' εἴπω ὅτι ἐξ ἀνθρώπου ἀμούσου ἄνθρωπος
γέγονε μουσικός, ἐκ συνθέτου λέγω σύνθετον γεγονέναι· σύνθετον γὰρ καὶ
25 ὁ ἄμουσος ἄνθρωπος, συγκείμενος ἐκ τοῦ ἀμούσου καὶ τοῦ ἀνθρώπου, καὶ
τὸ γενόμενον ὁ μουσικὸς | ἄνθρωπος. ἔστι δὲ καὶ τὸ μὲν ἁπλοῦν λαβεῖν, d 7r
τὸ δὲ σύνθετον, ὡς ὅταν εἴπω 'ἐξ ἀμούσου ἀνθρώπου γέγονε μουσικός',
ἢ ὅταν 'ἐξ ἀμούσου μουσικὸς ἄνθρωπος γέγονεν'· ἔλαβον γὰρ ποτὲ μὲν τὸ
ἐξ οὗ γίνεται σύνθετον, ποτὲ δὲ τὸ γινόμενον, θάτερον δ' ἁπλοῦν. ἁπλοῦν

---

1 δὴ om. K 3 ἐνταῦθα τοῖς φυσικοῖς K 4 τοῦτο L γίνονται] γὰρ K
6 ἀγέννητα t 7 ἐπισαφεστέρων M 10 φησὶν c. 7 p. 190b17; cf. infra p. 159,11
11 πρῶτον K 11. 12 εἰσὶ καὶ γέγονασι Aristotelis libri (praeter E) ante ὅτι omisit hic Philoponus Aristotelis verba μὴ κατὰ συμβεβηκὸς ἀλλ' ἕκαστον δ λέγεται κατὰ τὴν οὐσίαν
12 πάντα (cf. e1r26) libri: πᾶν vel ἅπαν Aristotelis libri 13 εἰ parum clare exaratum M: om. t προεχειρίσασατο ante corr. M: προεχειρήσατο L 15 γεννητῶν t
16 τοῦ εἶναι trahit ad proximum lemma (addita distinctione post φαμὲν) K 17 δὴ M: δεῖ K: γὰρ (L?) t ex Arist. γενέσθαι M 17. 18 ἕτερον ἐξ ἑτέρου LK: ἐξ ἑτέρου ἕτερον Mt Arist. 19 λέγομεν K 20 ἁπλοῦν] ἁπλῶς L 21 ὁ om. L ὅτι τὸ LK: τὸ (om. ὅτι) Mt 22 μουσικοῦ LMt: ἀμουσικοῦ K: immo ἀμούσου 23 γίνεσθαι L 24 σύνθετος γὰρ K 25 ὁ om. superscr. M 28. 29 γὰρ τὸ ἐξ οὗ ποτὲ μὲν γίνεται L 29 τὸ om. L

www.libtool.com.cn

μὲν οὖν λέγω τὸ γινόμενον ἄνθρωπον καὶ τὸν μὴ μουσικόν. γι- d 7r
νόμενον νῦν λέγει τὸ ὑποκείμενον, ἐφεξῆς δὲ "γινόμενον" λέγει τὸ εἰς ὃ
γίνεται ἡ μεταβολή· ὃ δὲ γίνεται τὸ εἶδος, ὡς δηλοῖ καὶ τὰ παραδείγ- 5
ματα. ὃ δέ φησι τοῦτό ἐστιν· ἁπλῆν λέγω γένεσιν, ὅταν καὶ τὸ γινόμενον
5 ἁπλοῦν ᾖ καὶ ὃ γίνεται, σύνθετον δέ, ὅταν ἀμφότερα σύνθετα ᾖ. τούτων δὲ τὸ μὲν οὐ μόνον λέγεται τόδε γίνεσθαι, ἀλλὰ καὶ ἐκ τούτου. εἰπὼν πῶς γίνεται τὰ γινόμενα, ὅτι ἢ ὡς ἁπλᾶ ἐξ ἁπλῶν ἢ ὡς σύνθετα ἐκ συνθέτων, βούλεται νῦν τὰ ἁπλᾶ ταῦτα ἐξ ὧν γίνεται τὰ γινόμενα, ἤτοι τὰ γινόμενα, ὡς αὐτὸς εἶπεν, εἰπεῖν τίνα διαφορὰν ἔχουσι πρὸς
10 ἄλληλα, λέγω δὴ ὁ ἄνθρωπος καὶ τὸ ἄμουσον· μήποτε γὰρ ὀνόματα μόνον ἐστὶ δύο ἓν καὶ ταὐτὸν πρᾶγμα σημαίνοντα. καὶ ἐντεῦθεν ἡ διάκρισις 10
γίνεται τῆς ὕλης καὶ τῆς στερήσεως· διακρίνει οὖν ταῦτα πρῶτον ἀπὸ τῆς κοινῆς χρήσεως, ὅτι ἐπὶ μὲν τῆς στερήσεως οὐ μόνον λέγομεν τὸ τόδε (ὅτι ὁ ἄμουσος γίνεται μουσικός), ἀλλὰ καὶ ἐκ τοῦδε (ὅτι ἐξ ἀμούσου
15 γέγονε μουσικός), ἐπὶ δὲ τῆς ὕλης ἀνὰ μέρος ἢ τὸ τόδε ἢ τὸ ἐκ τοῦδε.

p. 190a9 Τῶν δὲ γινομένων ὡς τὰ ἁπλᾶ λέγομεν γίνεσθαι, τὸ μὲν ὑπομένον γίνεται.

Διακρίνας ἀπὸ τῆς κοινῆς χρήσεως τὴν ὕλην καὶ τὴν στέρησιν, δια- 17
κρίνει νῦν αὐτὰ καὶ ἀπ' αὐτῆς αὐτῶν τῆς φύσεως, ἥπερ ἐστὶ πραγματικὴ
20 διάκρισις, ὅτι ἡ μὲν ὕλη ἐν τῇ γενέσει ὑπομένει καὶ οὐκ ἐξίσταται τῷ εἴδει, ἡ δὲ στέρησις οὐχ ὑπομένει ἀλλ' ὑπεξίσταται τοῦ εἴδους ἐπιγινομένου. τὸ δὲ ὡς τὰ ἁπλᾶ λέγομεν γίνεσθαι προσέθηκεν, ἐπειδὴ ἡ σύνθετος 20
γένεσις οὐδὲν συμβάλλεται αὐτῷ πρὸς τὸ διακρῖναι τὴν ὕλην τῆς στερήσεως· ὅταν γὰρ συνέλωμεν τὴν ὕλην καὶ τὴν στέρησιν, λέγοντες τὸν ἄμου-
25 σον ἄνθρωπον, πῶς ἂν διακρίνοιμεν ἐπὶ τούτου τὴν ὕλην τῆς στερήσεως; ἑνὶ γὰρ ὀνόματι τὸ γινόμενον προσαγορεύομεν τῷ 'ἄμουσος ἄνθρωπος', ὥσπερ καὶ τὸ ὃ γίνεται τῷ 'μουσικὸς ἄνθρωπος'. πρόδηλον δὲ ὅτι οὐδὲν ἐνταῦθα

---

1 μὲν οὖν LK: δὲ Mt τὸ γινόμενον ἄνθρωπον — μουσικόν om. K τὸν ἄνθρωπον Aristoteles τὸν μὴ (μὴ om. L et ante corr. M) libri: immo τὸ μὴ ex Arist.
2 νῦν] οὖν L ἐφεξῆς p. 190b12 (cf. Philop. p. 159,4) 4 καὶ ἁπλῆν K: ἁπλῶν sic) L 5 ᾖ καὶ] εἰ καὶ K 6 λέγεται Kt: κ (κείμενον?) λέγεται L: γίνεται λέγεται M 6. 7 τόδε — τούτου om. K 6 τόδε] τὸ δὲ M: τόδε τι e vulg. Arist. (L?)t
6. 7 ἀλλὰ καὶ ἐκ τούτου (cf. Arist. cod. E; at legit Philoponus τοῦδε) L: om. Mt
7 ὅτι ἢ] ἢ ὅτι ἢ L 9 ἤτοι τὰ γινόμενα K: om. LMt 11 μόνον] μέν K
ταυτὸ Mt 13 τὸ abesse malim 16 τῶν δὲ λεγομένων M 16. 17 ὡς — γίνεται om. K
16 γίνεσθαι λέγομεν M γίγνεσθαι et 17 γίγνεται t 17 ὑποκείμενον (omisso γίνεται) M 19 αὐτὰ LK: αὐτὰς fortasse recte Mt εἴπερ K 20 ὑπομένει ἐν τῇ γενέσει L 20. 21 τῷ εἴδει] τοῦ εἴδους L 21. ἐπιγινομένου LK: ἐπιγινομένη Mt 22 τὰ ἁπλᾶ K: ἁπλᾶ LMt 25 ἄνθρωπον] immo ἄνθρωπον ⟨γίνεσθαι μουσικὸν ἄνθρωπον⟩
26 προσαγορεύομεν τὸ γινόμενον K 26. 27 ὥσπερ — ἄνθρωπος om. K 27 τῷ μουσικὸς t: τὸ μουσικὸς LM ὅτι ἐνταῦθα, οὐδὲν Mt scribendum οὐδὲ

www.libtool.com.cn

τὸ συμπεπλεγμένον ἐν τῇ γενέσει ὑπομένει· οὐχ ὑπομένει γὰρ ὁ μουσικὸς d 7r
ἄνθρωπος, ὡς καὶ αὐτός φησι.

p. 190a13 Διωρισμένων δὲ τούτων, ἐξ ἁπάντων τῶν γινομένων 25
τοῦτο ἔστι λαβεῖν, ἄν τις ἐπιβλέψῃ, ὥσπερ λέγομεν, ὅτι δεῖ τι
5 ἀεὶ ὑποκεῖσθαι τὸ γινόμενον.

Δείξας πῶς γίνονται τὰ γινόμενα καὶ διακρίνας τῆς στερήσεως τὴν ὕλην, δείκνυσι λοιπόν, ὅπερ ἐξ ἀρχῆς προέθετο, πότερον δεῖ τρία λέγειν εἶναι τὰ στοιχεῖα ἢ δύο, καί φησιν ὅτι διωρισμένου τοῦ περὶ τῶν γινομένων 30 λόγου ἔστιν ἐκ πάντων τούτων τῶν γινομένων τοῦτο συλλογίσασθαι, εἴ τις
10 εἰς πάντα τὰ γινόμενα ἐπεκτείνει τὴν ἑαυτοῦ διάνοιαν, ὅτι ἀνάγκη εἶναί τι ὃ μέλλει τὴν γένεσιν ἀναδέξασθαι· τοῦτο δ' ἡ ὕλη. τοῦτο δέ, φησίν, ἀριθμῷ μέν ἐστιν ἕν, τῷ δὲ λόγῳ οὐχ ἓν ἀλλὰ δύο· ἄλλο γάρ ἐστι τὸ ἀνθρώπῳ εἶναι καὶ ἄλλο ἀμούσῳ. ὅθεν ἐν τῇ γενέσει ὁ μὲν ἄνθρωπος ὑπομένει, τὸ δ' ἄμουσον οὐχ ὑπομένει. ὥστε, εἰ ἀνάγκη ἐπὶ πάσης γενέ-
15 σεως ὑποκεῖσθαί τι τὸ γινόμενον, ἔστι δέ τι καὶ ὃ γίνεται (τοῦτο δ' ἐστὶ τὸ εἶδος), τὸ δὲ ὑποκείμενον ἀριθμῷ μὲν ἕν ἐστι τῷ δὲ λόγῳ δύο, ἄλλως 35 μὲν δύο ἔσονται τὰ στοιχεῖα ἄλλως δὲ τρία, ἀριθμῷ μὲν δύο τῷ δὲ λόγῳ τρία. καὶ εἰ τὸ ἓν ἐξ αὐτῶν, τουτέστιν ἡ στέρησις, μὴ ὑπομένει, κυρίως δὲ στοιχεῖα ταῦτά ἐστιν ἃ μέρος γίνεται τοῦ πράγματος, δῆλον δήπου ὅτι
20 τὰ κυρίως καὶ καθ' αὑτὸ στοιχεῖα δύο ἂν εἶεν· τὸ γὰρ ἕτερον οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς στοιχεῖον.

p. 190a16 Τὸ γὰρ εἴδει λέγω καὶ λόγῳ ταὐτόν.

Ἐπειδὴ τὴν ὕλην καὶ τὴν στέρησιν ἀριθμῷ ἓν εἶπεν, εἴδει δ' οὐχ ἕν, 42
ἵνα μή τις ὑπονοήσῃ τὴν ὕλην καὶ τὴν στέρησιν εἴδει ταὐτὸν λέγειν, διὰ
25 τοῦτό φησιν ὅτι εἴδει λέγω ἀντὶ τοῦ ὁριστικῷ λόγῳ. ὅτι δὲ οὐχ ἓν τῷ λόγῳ ἡ ὕλη καὶ ἡ στέρησις, πάλιν ἀναλαβὼν τὰς εἰρημένας διακρίσεις ἐκτίθεται.

---

1 ὑπομένει (post γενέσει) K: om. LMt 3. 5 ἐξ ἁπάντων — γινόμενον om. K 3 γιγνομένων et 5 γιγνόμενον (L)t 4 ἄν] ἐάν Arist. cod. E 4. 5 δεῖ ὑποκεῖσθαι ἀεὶ τὶ t 7 ἐξ ἀρχῆς p. 189b28 προὔθετο K δεῖ γ' λέγειν K: τρία δεῖ λέγειν L: δεῖ τρία λέγειν δεῖ (sic) M: τρία λέγειν δεῖ t 8 διορισμένου K 9 τοῦτο] τοῦ K συλλογίζεσθαι L 9. 10 εἴ τις εἰς K: εἴτ' εἰς LMt 11 τοῦτο οὖν φησιν L 12 τὸ (post ἐστι) Mt: τῷ K: τοῦ L 14 ὑπὸ πάσης K 16 ἕν om. superscr. L 18. 19 κυρίως — πράγματος] cf. p. 8,5 19 στοιχεῖα ταῦτά L: τὰ στοιχεῖα ταῦτά K: ταῦτα στοιχεῖά Mt 20 καὶ om. K 21 τὸ στοιχεῖον Mt 22 τὸ Lt: *ῷ (littera rubr. addenda) K: τῷ M 24 ὑποβάλλῃ K εἴδῃ hic et v. 25 K ταὐτὸν L: αὐτὸν K: ταῦτα Mt: suspicor ταὐτὸν αὐτὸν 25 τοῦ L: τοῦ τῷ KMt

www.libtool.com.cn

p. 190a21 Τὸ δ' ἔκ τινος γίνεσθαί τι καὶ μὴ τόδε γίνεσθαι μᾶλλον μὲν λέγεται ἐπὶ τῶν μὴ ὑπομενόντων. d 7r 46

Οτι εἰ καὶ ἐπὶ τῆς ὕλης καὶ ἐπὶ τῆς στερήσεως λέγεται καὶ τὸ ἐκ 51
τοῦδε καὶ τὸ τόδε, ἀλλὰ μᾶλλον μὲν τὸ τόδε ἐπὶ τῆς ὕλης, τὸ δ' ἐκ τοῦδε
5 ἐπὶ τῆς στερήσεως· καὶ ἐπὶ μὲν τῆς ὕλης ἀνὰ μέρος θάτερον, ἐπὶ δὲ τῆς
στερήσεως ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε. οὐ δεῖ
δὲ νομίζειν ὅτι, ὅταν λέγῃ ὅτι ἀμφότερα λέγεται ἐπὶ τῆς στερήσεως, ὅτι
ἐπὶ πάσης στερήσεως λέγει ἀμφότερα λέγεσθαι, ἀλλ' ὅτι ἐπί τινος | στερή- d 7v
σεως ἀμφότερα λέγεται· ἐπὶ γὰρ τῆς στερήσεως τῶν κατ' οὐσίαν εἰδῶν
10 ἐδείξαμεν ὅτι οὐ λέγεται τὸ τόδε, ἀλλὰ μόνον τὸ ἐκ τοῦδε.

p. 190a31 Πολλαχῶς δὲ λεγομένου τοῦ γίνεσθαι, καὶ τῶν μὲν οὐ γίνεσθαι ἀλλὰ τόδε τι γίνεσθαι, ἁπλῶς δὲ γίνεσθαι τῶν οὐσιῶν μόνων.

Ἐπειδὴ ἔδειξεν ὅτι οὐ μόνον ἐναντιώσεως χρεία ἐν ταῖς ἀρχαῖς τῶν 7
15 φυσικῶν πραγμάτων, διὰ τὸ μὴ τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖν καὶ πάσχειν
μόνως δὲ τὸ ἐναντίον εἰς τὸ ἐναντίον, ἀλλὰ δεῖ καὶ ὑποκειμένου εἰς ὃ δρά-
σουσιν ἀνὰ μέρος τὰ ἐναντία, τὰ δὲ παραδείγματα τοῦ δεῖν πάντως εἶναι
τὸ ὑποκείμενον οὐκ ἐπὶ τῶν κατ' οὐσίαν μεταβαλλόντων ἐλάμβανεν, ἀλλ' 10
ἐπὶ τῶν κατὰ ἀλλοίωσιν μεταβαλλόντων (ἐξ ἀμούσου γὰρ ἀνθρώπου γίνε-
20 σθαι τὸν μουσικὸν ἄνθρωπον ὑποκειμένου τοῦ ἀνθρώπου καὶ τῷ ἀμούσῳ
καὶ τῷ μουσικῷ, καὶ τὸν χαλκὸν δ' ἀνδριάντα γίνεσθαι), ἐπεὶ οὖν αὗται
αἱ μεταβολαὶ οὐ κατ' οὐσίαν εἰσὶν ἀλλὰ κατὰ ποιότητα, βούλεται νῦν
δεῖξαι ὅτι καὶ ἐπὶ τῶν κατ' οὐσίαν μεταβαλλόντων ἀνάγκη τι εἶναι ὑπο-
κείμενον, περὶ ὃ δρῶντα εἰς ἄλληλα τὰ ἐναντία ποιεῖ τῶν οὐσιῶν τὴν γέ-
25 νεσιν καὶ τὴν φθοράν. ὅτι μὲν γὰρ τὰ κατὰ τὰς ἄλλας κατηγορίας μετα- 15
βάλλοντα περί τι μένον ὑποκείμενον μεταβάλλει, προφανές· εὐθὺς γοῦν τὰ
κατὰ ποσὸν μεταβάλλοντα, οἷον τὰ αὐξόμενα, ὄντα τινὰ πρότερον οὕτως
αὔξεται· ἄνθρωπος γάρ ἐστιν ὁ αὐξόμενος ἢ φυτὸν ἢ ἕτερόν τι, καὶ τὸ
μειούμενον ὁμοίως. ὁμοίως δὲ καὶ τὰ κατὰ ποιὸν μεταβάλλοντα· τὸ γὰρ

---

1 καὶ τὸ μὴ τόδε t τόδε] τὸ δὲ M post alterum γίνεσθαι addunt τι Aristotelis libri 1. 2 ante μᾶλλον iterat λέγεται K 2 μὴ om. superscr. M 3 λέγεται] γίνεται K 4 τὸ (post καὶ) om. K 7 ὅτι (post στερήσεως) delet t 8 λέγεσθαι] λέγεται L 10 ἐδείξαμεν p. 147,6 sqq. 11 lemma om. K 11. 12 γίγνεσθαι primo, tertio et quarto loco t 12 οὐ LM: οὐχ ἁπλῶς t 13 μόνων LM: μόνον t cf. p. 158,11 et Aristot. libri 16 καὶ om. L ὑποκείμενον K 16. 17 εἰς ὃ δράσουσιν ἀνὰ μέρος LK: ἀνὰ μέρος εἰς ὃ δράσουσι M: εἰς ὃ ἀνὰ μέρος δράσουσι t 18 μεταβαλόντων K 19 γὰρ ἀνθρώπου (ἀνου K) Kt: γὰρ ἄνον LM 21 καὶ τὸν—γίνεσθαι] corrupta vel interpolata 22 κατὰ (post ἀλλὰ) om. Mt 23 post τι addit ἐστιν K 26 μένον] μὲν ὂν K 27 βάλλοντα L αὐξανόμενα L πότερον L 28 αὔξηται K: αὔξουσιν L αὐξανόμενος L 29 prius ὁμοίως om. Mt

www.libtool.com.cn

λευκαινόμενον ἢ θερμαινόμενον σῶμά τί ἐστι. πάλιν τὸ κατὰ τόπον με- d 7v
ταβάλλον ὁμοίως· ἔστι γάρ τι πρότερον τὸ ἄνω ἢ κάτω γινόμενον. ὁμοίως
καὶ τὸ γινόμενον πατὴρ ἢ δεξιὸν ἢ ἀριστερὸν εἶναί τι δεῖ πρότερον ἢ ἄν- 20
θρωπον ἢ ζῷον ἢ σῶμα. ὅτι μὲν οὖν τὰ μεταβάλλοντα κατὰ τὰς κατη-
5 γορίας ταύτας ὑποκεῖσθαι δεῖ πρὸ τῆς μεταβολῆς, πρόδηλον· ἐπὶ δὲ τῶν
κατ' οὐσίαν μεταβαλλόντων δοκεῖ τοῦτο μὴ εὐσύνοπτον εἶναι, διότι ἡ οὐ-
σία κατ' οὐδενὸς ὑποκειμένου λέγεται, ὥσπερ αἱ ἄλλαι κατηγορίαι. ἔστι
δὲ καὶ ἐπὶ ταύτης οὐδὲν ἧττον τὸ τῇ μεταβολῇ ὑποκείμενον· τὰ γὰρ φυτὰ
καὶ ζῷα ἐναργῶς ἐκ τῶν σπερμάτων ἔχει τὴν γένεσιν, καὶ τὰ μέταλλα δὲ
10 χυτὰ ὄντα ἐναργῶς ὑποκείμενον ἔχει τὸ ὑγρόν. κοινῶς δὲ πάντων τῶν 25
φυσικῶν ὑποκείμενον τὰ τέσσαρα στοιχεῖα, λέγω δὲ τῶν ἐν γενέσει καὶ
φθορᾷ, περὶ ἃ κινούμενα τοίως ἢ τοίως τὰ φυσικὰ εἴδη ἐγγίνεται· καὶ
αὐτῶν δὲ τῶν στοιχείων καὶ ἁπλῶς πάντων ὑποκείμενον τὸ τριχῇ διαστα-
τόν, τουτέστι τὸ ἄποιον σῶμα, περὶ ὃ ἀμετάβλητον μένον ὡς σῶμα αἱ
15 μεταβολαὶ γίνονται, ποιουσῶν καὶ πασχουσῶν περὶ αὐτὸ τῶν οὐσιωδῶν
ποιοτήτων. ὅτι δ' ὡς σῶμα ἀμετάβλητόν ἐστι τὸ δεύτερον ὑποκείμενον,
δέδεικται ἡμῖν ἐν τοῖς Συμμίκτοις θεωρήμασι.

Διαιρεῖ δ' ὁ Ἀριστοτέλης πάντα τὰ γινόμενα εἰς πέντε, ἵνα δείξῃ 30
ὅτι ἐπὶ πάντων τῶν τρόπων τῆς γενέσεως ἔστι πάντως ὑποκείμενόν τι.
20 τὰ οὖν γινόμενα, φησί, τὰ μὲν μετασχηματίσει γίνεται, τὰ δὲ
προσθέσει, τὰ δὲ ἀφαιρέσει, τὰ δὲ συνθέσει, τὰ δὲ ἀλλοιώ-
σει. μετασχηματίσει μὲν οὖν φησὶ γίνεσθαι ἤτοι τὰ κατὰ ἀλλοίω-
σιν μεταβάλλοντα (τουτέστι τὰ κατὰ ποιότητα), ἢ τὰ κατὰ τὸ τέταρ-
τον εἶδος τῆς ποιότητος μεταβάλλοντα τὸ σχῆμα καὶ τὴν μορφήν, ὡς ὁ
25 ἀνδριάς· οὐδὲν γὰρ ἕτερον ἐξαλλάττεται ἐν τῷ χαλκῷ πλὴν τοῦ σχήματος 35
καὶ τῆς θέσεως τῶν μορίων. κατὰ πρόσθεσιν δὲ γινόμενά φησι τὰ κατὰ
ποσὸν μεταβάλλοντα· τὸ γὰρ αὐξόμενον προσθέσει αὔξεται (τῇ τροφῇ γάρ),
προσθέσει δὲ οὐ τοῦ ὁμοουσίου (οὐ γὰρ κατὰ πρόσθεσιν σαρκὸς ἡ σὰρξ
αὔξεται), ἀλλ', ὡς ἐν τῷ Περὶ γενέσεως εἴρηται, περιχεομένης τῆς ὑγρό-
30 τητος τῆς ἐκ τῆς τροφῆς τοῖς μορίοις οὕτως ἡ μεταβολὴ εἰς τὰ μόρια
γίνεται, διὸ καὶ τὰ αὐξανόμενα πλείονι τροφῇ χρῆται. ἀφαιρέσει δὲ γί-
νεται ἤ, ὥσπερ αὐτός φησιν, ὁ Ἑρμῆς ἐκ τοῦ λίθου (τινῶν γὰρ ἀποξε-

---

2 ἢ τὸ κάτω K 4. 5 τὰς κατηγορίας] τηςγορίας (sic) K 7 καθουδενὸς ὑποκείμενον K 8 τὸ πρὸ τῆς μεταβολῆς L 10 ὑποκείμενον om. K 11 δὲ τῶν] δὲ τὸ K 12 περιάνακιρνάμενα K τοίως ἢ τοίως K: τοιῶς ἢ τοιῶς LMt (hoc accentu libri omnes h 7r31. i 1v51. k 5r42. 47. l 1r27 etc.) 13 ὑποκειμένων K 14 τουτέστιν (om. τὸ) K δ] οὖν K 15 περὶ αὐτῶν K 16 ἀμετάβλητον εἶναι τὸ β^{ον} K 17 συμμικτικοῖς K 18 διαιρεῖ LK: θεωρεῖ Mt δ'] γοῦν K γινόμενα] ὑποκείμενα L 20 φημὶ L σχηματίσει M 21 τὰ δὲ ἀφαιρέσει om. K 22 inter μὲν et οὖν 2 litterae eras. K 23 ἢ τὰ K: ἤτοι (om. τὰ) L: τουτέστι τὰ Mt 25 οὐδὲ K 27 αὐξανόμενον K τροφῇ Mt: τριφῇ K: μορφῇ L 28 ὁμοουσίου K: ὁμοίου LMt σὰρξ] σὰρ L 29 Περὶ γενέσεως A 5 p. 322a8 sqq. περιχεομένης scripsi: περιεχομένης libri at cf. Philopon. De gen. et corr. f. 25r42 sqq. 27r38 sqq. Ald. 30 τῆς (post ἐκ) om. L εἰς τὰ μόρια om. L 31 πλείων τροφὴ χρεῖται K ἀφαιρίσει L 32 ἤ] καὶ L ἑρμῆς ex ἑρμῖς corr. M^2: ἑρμᾶς K

www.libtool.com.cn

σθέντων τοῦ λίθου μορίων, οὕτως γίνεται), ἢ καὶ ἐπὶ τῶν φύσει, ὡς ἐπὶ d 7v
τῶν φθινόντων καὶ μειουμένων διὰ τὴν ἐκδιαφόρησιν. συνθέσει δὲ γίνε- 41
ται ἐπὶ τῶν τεχνητῶν, ὥσπερ ἡ οἰκία καὶ ἡ κλίνη· ἥ τε γὰρ οἰκία κατὰ
μόνην τὴν τῶν λίθων καὶ ξύλων σύνθεσιν ἀπετελέσθη, καὶ ἡ κλίνη κατὰ
5 τὴν σύνθεσιν τῶν μορίων· οὐδὲν γὰρ ἕτερον ἐπὶ τούτων ὁ τεχνίτης ἢ τὰς
ὕλας εὐεργοὺς ποιήσας συνέθηκεν. ἔστι δὲ καὶ ἐπὶ φυσικῶν τὰ κατὰ σύν-
θεσιν γινόμενα· συντίθησι γὰρ ἡ φύσις καὶ τὰ στοιχεῖα εἰς γένεσιν τῶν
ὁμοιομερῶν, καὶ τὰ ὁμοιομερῆ εἰς γένεσιν τῶν ὀργανικῶν, καὶ ταῦτα εἰς 45
τὴν τοῦ ὅλου ζῴου γένεσιν, εἰ καὶ ἐπακολουθεῖ ἔξωθεν τῇ τοιᾷδε συνθέσει
10 τὸ τοιόνδε εἶδος, ὥσπερ καὶ ἐπὶ τῶν τεχνητῶν. συντίθεσθαι δὲ λέγεται τὰ
ὅμοια, οὐ τὰ ἀνόμοια. οὐκ ἂν οὖν εἴποις συγκεῖσθαι ἐν τῷ σώματι τὴν
ἐπιφάνειαν· οὐ γὰρ σύγκειται τὸ σῶμα ἐκ σώματος καὶ ἐπιφανείας, οὐδ'
ἡ ἐπιφάνεια ἐξ ἐπιφανείας καὶ γραμμῶν, ἀλλὰ γραμμὴ γραμμῇ λέγεται
συντίθεσθαι, καὶ ἐπιφάνεια ἐπιφανείᾳ, καὶ σῶμα σώματι. οὕτως οὖν οὐκ
15 ἂν κυρίως εἴποις συντίθεσθαι τὴν ὕλην καὶ τὸ εἶδος, ἀλλὰ γίνεσθαι ἐν τῇ 50
ὕλῃ τὸ εἶδος· ταύτῃ οὖν καὶ ἁπλᾶ λέγομεν τὰ στοιχεῖα, ἐπειδὴ οὐ σύνθε-
σις ὁμοίων ὁρᾶται ἐν αὐτοῖς, ἀλλὰ σύνοδος ἀνομοίων εἴδους καὶ ὕλης. κατ'
ἀλλοίωσιν δὲ γίνεσθαί φησι τὰ κατ' οὐσίαν μεταβάλλοντα, διότι ὅλον τὸ
ὑποκείμενον ἀλλοιοῦται καὶ μεταβάλλει, καὶ οὐδὲν αὐτοῦ μένει εἰδοπεποιη-
20 μένον· τοῦ γὰρ σπέρματος καὶ τοῦ καταμηνίου οὐδὲν εἶδος ὑπομένει ἐν τῇ
γενέσει τοῦ ζῴου, ἀλλ' ὅλον τρέπεται καὶ μεταβάλλει.

Κατὰ πέντε οὖν τρόπους γινομένης τῆς γενέσεως, ἐν πᾶσι τούτοις | εὑρίσκε- d 8r
ται τὸ ὑποκείμενον, περὶ ὃ ἡ μεταβολὴ γίνεται σῳζόμενον· ἐπὶ μὲν τῶν μετα-
σχηματιζομένων ὁ χαλκὸς καὶ τὰ ὅμοια, ἐπὶ δὲ τῶν αὐξομένων τὸ ζῷον τὸ
25 φυτόν, ἐπὶ δὲ τῶν κατὰ ἀφαίρεσιν ὁ λίθος, ἐπὶ δὲ τῶν κατὰ σύνθεσιν, ὡς
ἐπὶ οἰκίας, οἱ λίθοι καὶ τὰ ξύλα, ἐπὶ δὲ τῶν μεταβαλλόντων καὶ τρεπομένων
κατὰ τὴν οὐσίαν αὐτὸ τὸ σῶμα καὶ τὸ τριχῇ διαστατόν. ὥστε ἐκ τῶν εἰ-
ρημένων δῆλον ἂν εἴη ὅτι ἐν παντὶ γινομένῳ, ὥσπερ ἐναντίωσις ἔστι καθ' 5
ἣν γίνεται τὰ γινόμενα, οὕτως ἔστι τι πάντως καὶ ὑποκείμενον περὶ ὃ
30 ποιοῦντα καὶ πάσχοντα τὰ ἐναντία τὴν γένεσιν καὶ τὴν φθορὰν ποιεῖ. τοὺς
πέντε δὲ τρόπους τούτους τῆς γενέσεως δυνατὸν καὶ ἐπὶ τῶν κατ' οὐσίαν
μεταβαλλόντων θεωρῆσαι· ἡ γὰρ φύσις οὐ μόνον συντίθησιν ἀλλήλοις τὰ
στοιχεῖα, ἀλλὰ καὶ ἀλλοιοῖ καὶ τρέπει, καὶ οὕτως ἐξ αὐτῶν ποιεῖ τὸ σπέρμα,
καὶ ἐκ τούτου πάλιν ἀλλοιωθέντος τὸ σαρκίον, εἶτα ἐκεῖ αὔξει καὶ τέλος

---

2 φθεινόντων K τὴν διαφόρησιν fortasse recte L 3 ὥσπερ ἡ οἰκεία et γὰρ ἡ οἰκία K 4 ξύλων καὶ λίθων Mt 6 εὐεργοὺς Mt: εὐεργοῦς K: εὐεργῶς L cf. Arist. Phys. B 2 p. 194a34 9 εἰ LK: ἢ ex εἰ corr. M: ᾗ t τοιάδε K 11 οὐκ ἂν οὖν K: οὐκοῦν L: οὔκουν Mt 12 ἐκ τοῦ σώματος L 13 γραμμῇ] γραμμὴν K 13. 14 συντίθεσθαι λέγεται Mt 15 εἴπεις K 16 ταῦτ' οὖν καὶ οὐχ ἁπλᾶ L 20 ὑπομένει Mt: ἀπομένει LK 23 ὃ Mt: οὗ LK γίνεται σωζόμενον ἡ μεταβολή Themist. p. 147,18 σοζόμενον K 23. 24 σχηματιζομένων L 24 αὐξανομένων K 28 γινομένῳ] γινόμενον K 29 περὶ om. LM 30 ποιοῦν (τα deletum) καὶ πάσχον τὰ (in exitu versus) τὰ ἐναντία M 31 δὲ om. L τούτους] τοὺς K 34 ἀλλοιωθέν τε τὸ L ἐκεῖ] num καὶ?

www.libtool.com.cn

σχηματίζει. εἴποις δ' ἂν καὶ ἀφαίρεσιν ἐν τούτοις κατεργάζεσθαι τὴν φύ- d 8r
σιν· ἀφαιρεῖται γὰρ πᾶν εἴ τι ἔστιν ἐν τῷ σπέρματι καὶ τῷ καταμηνίῳ 11
περιττωματικὸν καὶ μὴ συμβαλλόμενον εἰς τὴν τοῦ ζῴου γένεσιν. ἐκ πάν-
των οὖν τῶν εἰρημένων δῆλον, φησίν, ὅτι πᾶν τὸ γινόμενον σύνθετόν ἐστιν
5 ἐξ ὑποκειμένου καὶ εἴδους. τὸ δ' ὑποκείμενον διττόν ἐστι· τὸ μὲν τῷ εἴ-
δει ἀντικείμενον, ὃ καὶ ὑπεξίσταται τῷ εἴδει (τοῦτο δέ ἐστιν ἡ στέρησις),
τὸ δὲ ὃ ὑπομένει τὸ εἶδος καὶ δέχεται ἐπιόν (τοῦτο δ' ἐστὶν ἡ ὕλη). καὶ
ἔστι μὲν τὸ γινόμενον ἡ ὕλη, ὃ δὲ γίνεται τὸ εἶδος.

Πολλαχῶς δὲ λεγομένου τοῦ γίνεσθαι καὶ τῶν μὲν οὐ γίνε- 15
10 σθαι ἀλλὰ τόδε τι γίνεσθαι, ἁπλῶς δὲ γίνεσθαι τῶν οὐσιῶν
μόνον. εἴρηται πολλάκις ὅτι ἁπλῆν μὲν γένεσιν τὴν τῶν οὐσιῶν καλεῖ,
τινὰ δὲ τὴν τῶν συμβεβηκότων, διότι ἐπὶ μὲν τῶν κατ' οὐσίαν γινομένων
ἁπλῶς φαμεν ὅτι γέγονεν ἄνθρωπος, ἐπὶ δὲ τῆς κατὰ συμβεβηκὸς γενέ-
σεως οὐχ ἁπλῶς γεγονέναι φαμέν, ἀλλὰ τὶ γεγονέναι· λευκὸς γὰρ γέγονεν
15 ἢ μουσικὸς ἄνθρωπος. ὅτι μὲν οὖν ἐπὶ τῆς τινὸς γενέσεως πάντως ἔστι τι
τὸ ὑποκείμενον, προφανές· ζητητέον δὲ εἰ καὶ ἐπὶ τῆς κατ' οὐσίαν γενέ- 20
σεως τοῦτο ἔστι. καὶ πρός τι ἕτερον. τὰ πρός τι ἐν τῷ εἶναί τε καὶ
λέγεσθαι ἑτέρων τὸ εἶναι ἔχει· διὰ τοῦτο οὖν τὰ πρός τι θέλων εἰπεῖν,
οὕτως εἶπε πρός τι ἕτερον. διὰ τὸ μόνην τὴν οὐσίαν μηθενὸς
20 κατ' ἄλλου λέγεσθαι ὑποκειμένου, τὰ δ' ἄλλα πάντα κατὰ τῆς
οὐσίας. ὅτι πρόδηλον τὸ ἐπὶ τῆς τῶν συμβεβηκότων γενέσεως εἶναί τι
ὑποκείμενον, πιστοῦται ἐκ τοῦ μηδὲ εἶναι ὅλως αὐτὰ δύνασθαι δίχα ὑπο-
κειμένου τινός, τοῦτο δ' ἡ οὐσία· ἐπειδὴ δὲ ἡ οὐσία κατ' οὐδενὸς λέ-
γεται ὑποκειμένου, δόξειεν ἂν ἡ τῆς οὐσίας γένεσις μὴ ἐξ ὑποκειμένου εἶναι. 25

25 p. 190b1 Ὅτι δὲ καὶ ἡ οὐσία καὶ ὅσα ἄλλα ἁπλῶς ὄντα ἐξ ὑπο-
κειμένου τινὸς γίνεται.

Εἰπὼν ἡ οὐσία ἐπὶ τὸ κοινότερον ἀνῆλθεν, ὅτι καὶ ἁπλῶς πάντα τὰ 22
γινόμενα· κοινῶς γὰρ δείξει ἐπὶ πάντων τῶν γινομένων, ὅτι πάντως χρεία
ὑποκειμένου τινός. διαιρεῖ δέ, ὡς ἔφθην εἰπών, πάντα τὰ γινόμενα εἰς πέντε
30 τρόπους, ἐφ' ὧν πάντων τὸ δεῖσθαι ὑποκειμένου δείκνυσιν· ἐπήλθομεν δὲ
πᾶσι κατὰ μέρος.

---

1. 2 τὴν φύσιν om. L 3 περιττοματικὸν K 8 γίνεται αὐτὸ εἶδος L
9 τοῦ γίγνεσθαι omissis (9. 11) καὶ τῶν — μόνον K καὶ om. L 11 fort. μόνων
cl. p. 155,13. Simplic. p. 214.1 καλεῖ τὴν τῶν οὐσιῶν Mt 14 γέγονεν] γεγο-
νὼς K 15 πάντως om. Mt 17 καὶ πρός τι] καὶ πρὸς Aristoteles καὶ
(post τε) om. K 19 μηθενὸς K: μηδενὸς Mt: μὴ (addito τινὸς post ἄλλου) L
20 ὑποκείμενον hic et v. 24 (post λέγεται) K 22 μηδὲν K ὅλως
εἶναι Mt 23 τοῦτο δ' ἔστιν ἡ K 25 ἡ οὐσία libri et Simplic. p. 213,4: αἱ
οὐσίαι vel οὐσία Aristotelis libri 25. 26 ἄλλα — γίνεται om. K 26 τινὸς LM:
om. t 27 εἰπὼν ἡ οὐσία iterat L 29 ὑποκείμ K ὡς LK: ὠ (sic) M:
δ t ἔφθην εἰπὼν p. 156,18 30 ὑποκείμενον K

www.libtool.com.cn

p 190b11 Ὅτι τὸ γινόμενον ἅπαν ἀεὶ σύνθετόν ἐστι. d 8r

Σύνθετον ἐκ τοῦ ὑποκειμένου καὶ τοῦ εἴδους, ὧν τὸ μέν ἐστι γινόμε- 86
νον τὸ εἶδος, τὸ δὲ ὃ γίνεται ἡ ὕλη· γίνεσθαι γὰρ ἡ ὕλη λέγεται ὅπερ τὸ
εἶδος τῷ δέχεσθαι αὐτό. ἀνωτέρω δὲ εἰπὼν "τὸ γινόμενον" εἶναι τὸ ὑποκεί-
5 μενον, ἐνταῦθα τὸ γινόμενον τὸ εἶδός φησιν· ἔστι γάρ τι, φησί, τὸ γι-
νόμενον, τουτέστι τὸ εἶδος, ἔστι δὲ ὃ τοῦτο γίνεται, τουτέστιν ἡ ὕλη·
αὐτὴ γὰρ γίνεται ὅπερ τὸ εἶδος. καὶ τοῦτο διττόν, ἢ τὸ ὑποκείμε- 40
νον ἢ τὸ ἀντικείμενον. καὶ αὐτό, φησί, τὸ ὑποκείμενον σύνθετόν ἐστι
τῷ λόγῳ· τὸ μὲν γὰρ αὐτῷ τῷ εἴδει ἀντίκειται (τοῦτο δ' ἐστὶν ἡ στέρη-
10 σις), τὸ δ' ὑπόκειται καὶ ὑπομένει αὐτὸ ἐπιόν, καὶ σὺν αὐτῷ τὸ σύνθετον
ἀποτελεῖ.

p. 190b17 Φανερὸν οὖν ὡς, εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν 45
φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσὶν ἢ γεγόνασι μὴ κατὰ συμβε-
βηκός, ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν.

15 Δῆλον, φησίν, ὅτι, εἴπερ ἀρχαί εἰσι τῶν φύσει ὄντων ταῦτα ἐξ ὧν
πρώτων ἐνυπαρχόντων ἕκαστον γίνεται καὶ συμπληροῖ ἑκάστου τὸ εἶναι, 50
ὅτι ταῦτά ἐστιν ἐξ ὧν σύγκειται ἕκαστον ἐκ τοῦ ὑποκειμένου καὶ τοῦ εἴ-
δους· ταῦτα γάρ ἐστι τὰ πρώτως συντιθέντα τῶν φυσικῶν ἕκαστον. εἰ οὖν
ἀρχαὶ τὰ πρώτως συντιθέντα, συντίθησι δὲ τὸ εἶδος καὶ τὸ ὑποκείμενον,
20 αὗται δήπου ἂν εἶεν ἀρχαὶ πάντων τῶν φυσικῶν. ἐξ ὧν πρώτων εἰσὶν
ἢ γεγόνασι. καλῶς τὸ εἰσὶν ἢ γεγόνασι· τὸ μὲν γὰρ εἰσὶν ἐπὶ τῶν
οὐρανίων καὶ τῶν ὁλοτήτων στοιχείων, τὸ δὲ γεγόνασιν ἐπὶ τῶν κατὰ
μέρος πάντων τῶν γινομένων καὶ φθειρομένων. μὴ κατὰ | συμβεβηκός, d 8v
ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν· συγκεῖσθαι γὰρ λέγοιτ' ἂν
25 ὁ ἀνδριὰς καὶ ἐκ τοῦ ἐρυθροῦ χαλκοῦ, ἀλλὰ κατὰ συμβεβηκὸς ἐκ τοῦ
ἐρυθροῦ. καὶ ὥσπερ ἐπὶ τῆς ὕλης ἐστὶ τὸ κατὰ συμβεβηκός, οὕτως καὶ

---

1 plenius lemma Ὥστε δῆλον ἐκ τῶν εἰρημένων ὅτι κτλ. t ἐστιν M: om. K 2 σύνθετον L: om. KMt ἐκ τοῦ LK: ἐξ Mt 4 τῷ] τὸ K ἀνωτέρω] cf. ad p. 153,2 γιγνόμενον K 5 τὸ (post ἐνταῦθα) om. L 7 αὕτη fortasse recte Mt καὶ τοῦτο] Καὶ ἔστι μέν τι τὸ γινόμενον· ἔστι δέ τι ὃ τοῦτο γίνεται. καὶ τοῦτο ex Aristotele t 7. 8 ἢ γὰρ τὸ ὑποκείμενον t Aristoteles 8 ἐστι] εἶναι K 9 τῷ μὲν γὰρ K αὐτῷ] αὐτοῦ? 10 ἐπιμένει K αὐτὸ ἐπιὸν Mt: αὐτὸ ἐποιὸν K: αὐτῷ ἐπεὶ L 12 ὡς εἶπον omissis (12. 14) εἴπερ — οὐσίαν K αἱ αἰτίαι L 13 εἰσὶ, καὶ γεγόνασι t at cf. p. 152,11 14 κατὰ τὴν ex Aristotele t: κατ' (om. τὴν) LM at cf. v. 24 15 sqq. cf. Themist. p. 147,29 sqq. 15 ὅτι L: om. K: ὡς Mt Themistius 17 ταῦτά K: ταυτά Mt: ταυτόν L fort. ἕκαστον· ⟨σύγκειται δὲ ἕκαστον⟩ 18 συντεθέντα K 19 τίθησι L 20 αὗται K ἀρχαὶ ἂν εἶεν L 21. 22 ἐπὶ τῶν στοιχείων τῶν ὁλοτήτων καὶ τῶν οὐρανίων Mt 22 ὁλοτήτων] fortasse ὁλικωτάτων 24 λέγοιτ' ἂν K: ἂν λέγοντες L: λέγοντες ἂν M: λέγεται t 25 καὶ om. L χαλκοῦ LK: χαλκ̊ M: καὶ ἐκ χαλκοῦ t

www.libtool.com.cn

ἐπὶ τοῦ εἴδους· λέγεται γὰρ τοῦ τριπήχεος ἀνδριάντος κατὰ συμβεβη- d 8v
κὸς αἴτιον εἶναι τὸ τρίπηχυ· ἀνδριάντα γὰρ καθ' αὑτὸ ποιεῖ, τρίπηχυ
δὲ κατὰ συμβεβηκός. σύγκειται γὰρ ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀν- 5
θρώπου καὶ μουσικοῦ τρόπον τινά· διαλύσεις γὰρ τὸν λόγον
5 εἰς τοὺς λόγους ἐκείνων. ὅτι σύνθετός ἐστιν ὁ μουσικὸς ἄνθρωπος,
πιστοῦται ἐκ τῆς ἀναλύσεως· ἐξ ὧν γὰρ ἕκαστον σύγκειται, εἰς ταῦτα καὶ
διαλύεται. τὸν γὰρ λόγον τοῦ μουσικοῦ ἀνθρώπου ἀναλύσεις εἰς τοὺς λό-
γους ἐξ ὧν συνέστηκε, τοῦ ἀνθρώπου φημὶ καὶ τοῦ μουσικοῦ· ὁ γὰρ
ὁρισμὸς τοῦ μουσικοῦ ἀνθρώπου ἀναλύεται εἰς τὸν τοῦ ἀνθρώπου καὶ τὸν
10 τοῦ μουσικοῦ. γράφεται δὲ καὶ εἰς τοὺς ὅρους· ἀναλύεται γὰρ ὁ μου-
σικὸς ἄνθρωπος εἰς τὸν ἄνθρωπον καὶ εἰς τὸν μουσικόν. τὸ δὲ τρόπον 10
τινὰ προσέθηκεν οὐ μάτην, ἀλλὰ διότι τὰ συντιθέμενα ἢ σώματά ἐστιν
ἢ γοῦν αὐθυπόστατα πράγματα, τὸ δὲ μουσικὸν οὔτε σῶμα οὔτ' αὐθυπό-
στατον, ἀλλ' ἐν ὑποκειμένῳ.

15 p. 190b23 Ἔστι δὲ τὸ μὲν ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει
δὲ δύο.

Δείξας ὅτι ἑτέρα ἐστὶ τῆς ὕλης ἡ στέρησις διχόθεν ἔκ τε τῆς τῶν 15
ὀνομάτων προφορᾶς καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως, νῦν προτί-
θεται δεῖξαι πῶς ἔχουσι πρὸς τὸ ἀρχαὶ εἶναι, πότερον ὁμοίως εἰσὶν ἀρχαὶ
20 ἥ τε ὕλη καὶ ἡ στέρησις ἢ οὔ, καὶ πῶς ἑκατέρα. ἵνα οὖν τοῦτο εὕρῃ,
ζητεῖ πρότερον πῶς ἔχουσι πρὸς τὸ εἶναι· ὡς γὰρ ἂν ἔχωσι πρὸς τὸ εἶ-
ναι, οὕτως ἕξουσι δηλονότι καὶ πρὸς τὸ ἀρχαὶ εἶναι. ἔστιν οὖν κυρίως ὂν
τὸ τόδε τι καὶ ἀριθμητόν (ὁ δὲ λόγος μοι δῆλος ἐπὶ τῶν φυσικῶν),
ἀριθμητὸν δὲ καὶ τόδε τι κυρίως τὸ σύνθετον· δεικτικὸν γὰρ τοῦτο. πό- 20
25 θεν οὖν ἐφήκει τῷ συνθέτῳ τὸ τόδε τι εἶναι; φησὶν ὅτι ἀπὸ τῆς ὕλης
μᾶλλον ἢ ἀπὸ τοῦ εἴδους, διότι τὸ μὲν εἶδος μετὰ τὸ χωρισθῆναι τῆς
ὕλης εὐθὺς ἔφθαρται ἡ δ' ὕλη μένει, καὶ τὸ μὲν ἄνευ ὕλης οὐκ ἂν ὑπο-
σταίη ἡ δ' ὕλη, εἰ καὶ μὴ ἔστι ποτὲ ἄνευ εἴδους, ἀλλ' οὖν ὅσον ἐπὶ τῷ
ἰδίῳ λόγῳ ὑπάρχοι ἂν καὶ δίχα εἴδους. ὥστε τῷ συνθέτῳ τὸ αὐθυπόστα-
30 τον ἐφήκοι ἂν ἐκ τῆς ὕλης μᾶλλον ἢ ἐκ τοῦ εἴδους, τοῦτο δέ φαμεν τὸ
τόδε τι καὶ ἀριθμητόν, τὸ δὲ τόδε τι καὶ ἀριθμητὸν τοῦτο εἶναι τὸ ὄν· ἡ

---

1 γὰρ τοῦ] γὰρ τὸ L 2 ποιεῖ LKM: ποιεῖ χαλκός (debebat saltem ὁ χαλκός) t: fort. εἴποις ἄν 3. 5 ἐξ ἀνθρώπου — ἐκείνων om. K 4 τὸν λόγον (cf. v. 7) L: τοὺς λόγους Mt 5 ante ἐκείνων repetit τοὺς Aristoteles 7 διάναλύσεις K 10 γράφεται κτλ.] cf. Diels *z. Textgesch.* p. 9 13 ἢ γοῦν (ἤγουν K) αὐθυπόστατα LKM: ἢ αὐθυπόστατα γοῦν t 14 ἀλλ' ἐνὑποκείμενον K 15 lemma om. K μὲν (post τὸ) LM (Arist. cod. E. Simplic. p. 217,1): om. t at cf. infra e1r26 et 48 17 τῶν om. K 20 ἑκάτερα K 21 πρότερον ex πότερον corr. M² ἔχωσι] ἔχουσι K 23. 25 λόγος — ἐφήκει om. K 23 δῆλον L: an δηλονότι? 25 τὸ] τῷ K φησὶν οὖν ὅτι L 28 ἔστι ποτὲ L: εἶναι ποτὲ K: ἔστιν (traiecto ποτὲ post εἴδους) Mt οὖν om. Mt 29 ὑπάρχει ἂν K τῷ] τὸ K 30 ἐφήκοι Lt: ἐφήκειοι K: ἐφήκει M 31 τὸ δὲ τόδε τι καὶ ἀριθμητὸν om. t

www.libtool.com.cn

ὕλη ἄρα ὂν καὶ κυρίως ὄν, ἡ δὲ στέρησις οὐκ ἀριθμητὴ οὐδὲ τόδε τι d 8v
(ἀόριστος γάρ), ὥστε οὐδὲ κυρίως ὄν, ἀλλὰ καθ' αὑτὸ μὲν οὐκ ὄν, εἴ γε τὸ 26
ὂν τόδε τι, κατὰ συμβεβηκὸς δὲ ὄν, διότι ἐν τῷ ὄντι, τοῦτο δ' ἐστὶ τῇ
ὕλῃ. ὥστε εἰ καθ' αὑτὸ μὲν ὂν ἡ ὕλη καὶ κυρίως ὄν, ἡ δὲ στέρησις καθ'
5 αὑτὸ μὲν μὴ ὂν κατὰ συμβεβηκὸς δὲ ὄν, ὡς δ' ἂν ἔχωσι ταῦτα πρὸς τὸ
ὄν, οὕτως ἔχουσι καὶ πρὸς τὸ ἀρχαὶ εἶναι, δῆλον ὅτι ἡ μὲν ὕλη κυρίως ἂν
εἴη καὶ καθ' αὑτὸ ἀρχή, ἡ δὲ στέρησις κατὰ συμβεβηκός. καὶ καθόλου
δὲ τῶν ὄντων τὰ μέν ἐστι μόνως μὴ ὄντα, τὰ δὲ μόνως ὄντα, τὰ δὲ πῇ 30
μὲν ὄντα πῇ δὲ μὴ ὄντα· μόνως μὲν οὖν μὴ ὄντα τὰ μηδαμῇ μηδαμῶς
10 ὄντα, μόνως δὲ ὄντα τὰ εἴδη, διότι οὐ πεφύκασι ταῖς στερήσεσι συμπλέκε-
σθαι (οὐ συμπλέκονται γὰρ τὰ ἀντικείμενα), πῇ δὲ ὄντα πῇ δὲ μὴ ὄντα
ἡ ὕλη καὶ ἡ στέρησις, ἀλλ' ἡ μὲν ὕλη καθ' αὑτὸ μὲν ὄν, κατὰ συμβεβη-
κὸς δὲ μὴ ὄν, διότι ἔστιν ἐν αὐτῇ τὸ μὴ ὄν, τοῦτο δ' ἐστὶν ἡ στέρησις
(ᾗ καὶ δῆλον πῶς μόνως ὂν τὸ εἶδος), ἡ δὲ στέρησις καθ' αὑτὸ μὲν μὴ
15 ὄν, κατὰ συμβεβηκὸς δ' ὄν. ὡς ἂν οὖν ἔχωσι πρὸς τὸ ὄν, οὕτως σχήσουσι 35
δήπου καὶ πρὸς τὸ ἀρχαὶ εἶναι· οὐκοῦν ἡ μὲν ὕλη καθ' αὑτὸ ὂν οὖσα
καθ' αὑτὸ ἂν εἴη καὶ ἀρχὴ καὶ κυρίως ἀρχή, ἡ δὲ στέρησις, ἐπειδὴ κατὰ
συμβεβηκὸς ὄν ἐστι, κατὰ συμβεβηκὸς ἂν εἴη ἀρχή· οὐδὲν γὰρ συνεισφέρει
τι ἡ στέρησις εἰς τὸ εἶναι καὶ τὴν ὕπαρξιν τοῦ πράγματος, ἀλλὰ μόνον τῇ
20 ἀπουσίᾳ ἑαυτῆς εἰς τὴν τοῦ πράγματος συμβάλλεται γένεσιν.

Ταῦτα εἰπὼν συγκεφαλαιοῦται τὰ εἰρημένα, ὅτι δῆλον ἐκ πάντων τῶν
εἰρημένων πόσαι τε ἀρχαὶ καὶ τίνες, ὅτι κατά τινα μὲν τρόπον τρεῖς, κατά 40
τινα δὲ τρόπον δύο· κυρίως μὲν γὰρ αἱ ἀρχαὶ δύο ἡ ὕλη καὶ τὸ εἶδος
(αὗται γάρ εἰσιν αἱ συμπληρωτικαὶ τῶν πραγμάτων καὶ εἰς τὸ εἶναι αὐτῶν
25 συμβαλλόμεναι), εἴποις δ' ἂν κατά τινα τρόπον τρεῖς τὰς ἀρχάς, διότι συμ-
βάλλεταί πως εἰς τὴν γένεσιν τοῦ πράγματος καὶ ἡ στέρησις· δεῖ γὰρ τὸ
ληψόμενον εἶδός τι πρότερον ἐστερῆσθαι τούτου, εἶτα τὴν στέρησιν ἀπο-
βάλλον οὕτω τὸ εἶδος δέχεσθαι. πῶς μὲν οὖν τρεῖς καὶ πῶς δύο ἀρχαὶ
δῆλον, τῷ αὐτῷ δὲ τρόπῳ εἴποις ἂν πῇ μὲν ἐναντίας εἶναι τὰς ἀρχάς,
30 πῇ δ' οὐκ ἐναντίας· διότι μὲν γὰρ οὐ πάσχει τὸ τυχὸν ὑπὸ τοῦ τυχόν- 45
τος ἀλλὰ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου, οὕτως ἂν εὔλογον τὸ ἐναντίας λέ-
γειν τὰς ἀρχάς, ἀλλ' ἐπεὶ αὐτὰ καθ' ἑαυτὰ τὰ ἐναντία οὐ πέφυκε ποιεῖν
καὶ πάσχειν ὑπ' ἀλλήλων, δόξειεν ἂν μὴ δεῖν μὲν ἐναντίας εἶναι τὰς ἀρ-
χάς, ἀλλ' ἀρκεῖν θάτερον τῶν ἐναντίων τῇ ἀπουσίᾳ καὶ παρουσίᾳ γεννᾶν
35 τὰ πράγματα. ἐπελύσατο δὲ τὴν δοκοῦσαν ἐναντίωσιν εἰπὼν ὅτι καὶ τῶν

---

1 ἀριθμη (h. e. ἀριθμητὸν) K 3 ἐν τῷ] ἓν τὸ K 4. 6 ἡ δὲ — πρὸς τὸ ὄν om. L 5 ἔχωσι] ἔχουσι K 6 ἀρχὴ εἶναι K δῆλον οὖν ὅτι Mt κυρίως compend. (ut saepe) M: κύριον t 8 τὰ δὲ μόνως ὄντα om. L 10 οὐ LK: om. M: μὴ superscr. M² et t 16 ἀρχὴ εἶναι K 17 καὶ (post εἴη) om. Mt 18 καὶ ἀρχή recte K οὐδὲ γὰρ t 22 εἰρημένων ἐστὶ Mt 24 εἰσιν om. Mt 25 συμβαλόμεναι K 27 λειψόμενον K 27. 28 ἀποβαλὼν K: fort. ἀποβαλὸν 28. 29 οὖν αἱ ἀρχαὶ τρεῖς καὶ πῶς δύο, δῆλον· τῷ δὲ αὐτῷ Mt 31 ἂν] non necessarium est addi εἴη 34 τῇ παρουσίᾳ καὶ ἀπουσία Mt

www.libtool.com.cn

ἐναντίων δεῖ καὶ τοῦ ὑποκειμένου, ἀλλὰ θατέρου μὲν τῶν ἐναντίων μετὰ d 8r
τοῦ ὑποκειμένου, ὡς συμπληροῦντος τὴν οὐσίαν τοῦ πράγματος, θατέρου 50
δέ, λέγω δὴ τῆς στερήσεως, κατὰ συμβεβηκός. ταῦτα εἰπών, ἐφεξῆς τὸν
τρόπον καθ' ὃν ἐπιβάλλειν δυνατὸν τῇ γνώσει τῆς ὕλης ὑποτίθεται. ἰστέον
5 δ' ὅτι πρὸ αὐτοῦ ὁ Πλάτων δύο τρόπους φησὶν εἶναι, καθ' οὓς δυνατὸν
εἰς τὴν τῆς ὕλης γνῶσιν ἐλθεῖν· ἕνα μὲν τὸν ἐξ ἀφαιρέσεως, λεγόντων
ἡμῶν ὅτι ὕλη ἐστὶν ὃ μήτε ἵππος ἐστὶ μήτε ἄνθρωπος καὶ καθόλου μήτε
σῶμα μηδέν, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα, ὃ πᾶσι τούτοις ὑπόκειται. τούτῳ
τῷ τρόπῳ φησὶ καὶ τὸ πρῶτον γινώσκεσθαι | αἴτιον· οὐδὲ γὰρ ἐπ' αὐτοῦ e 1r
10 ἔστι τι καταφῆσαι, ἀλλ' ἐξ ἀφαιρέσεως τῇ γνώσει αὐτοῦ ἐπιβάλλομεν, λέ-
γοντες ὃ μήτε σῶμά ἐστι μήτε ψυχὴ μήτε νοῦς μήτε ἄλλο τι, ἀλλ' ἕτε-
ρόν τι παρὰ ταῦτα πάντων ὑπεραναβεβηκός. διὸ καὶ ἀνωμοιῶσθαί φησι
τῷ πρώτῳ τὴν ὕλην καὶ ὡμοιῶσθαι, ὡμοιῶσθαι μὲν διότι ἀμφότερα ἐξ
ἀφαιρέσεως πάντων τῶν ὄντων νοοῦνται, ἀνωμοιῶσθαι δὲ διότι ἐπὶ μὲν
15 τῆς ὕλης λέγοντες μηδὲν εἶναι αὐτὴν τῶν ὄντων φαμέν τι, ἀλλ' ἕτερόν τι 5
χεῖρον πάντων τούτων ὃ καὶ ὑποκείμενον πᾶσι, τὸ δὲ πρῶτον μηδὲν ὂν τῶν
ὄντων κρεῖττόν ἐστι πάντων καὶ πάντων ὑπεραναβεβηκός. ἀνόμοιος οὖν ἡ
ὁμοιότης· τοῦ μὲν γὰρ ἐπὶ τὸ κρεῖττον ἡ ἀφαίρεσις τοῦ δ' ἐπὶ τὸ χεῖρον,
ἡ ὁμοιότης μὲν κατὰ τὸ ἀνείδεον, ἀνομοίως δ' ὅτι τὸ μὲν ὑπὲρ τὸ εἶδος,
20 ἡ δὲ χείρων ἢ κατὰ τὸ εἶδος. εἰς μὲν οὖν τρόπος τῆς γνώσεως τῆς
ὕλης οὗτος, δεύτερος δ' ὁ κατὰ ἀναλογίαν, ᾧ καὶ Ἀριστοτέλης νῦν ἐχρή-
σατο, ὅτι ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς πάντα τὰ χαλκᾶ σκεύη καὶ τὰ 10
ξύλα πρὸς πάντα τὰ ξύλινα σκεύη, τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ὕλη πρὸς
πάντα τὰ ὄντα· ὅνπερ γὰρ τρόπον τυφλῷ εἰ βουληθείημεν ὑπογράψαι τίς
25 ἡ τοῦ ξύλου φύσις, ἤγομεν ἂν αὐτὸν εἰς τὴν τοῦ ξύλου ἔννοιαν φάσκοντες
ὅτι ἐκεῖνό ἐστι ξύλον, ὃ οὔτε κλίνη ἐστὶν οὔτε θύρα οὔτε ἀβάκιον οὔτε
ἕτερόν τι τῶν ξυλίνων σκευῶν, ἀλλ' ὃ πᾶσι τούτοις ὑποβέβληται καὶ αὐτὸ
μηδὲν ἔχον ἐν τῇ οὐσίᾳ τῶν τοιούτων εἴδός τι πέφυκε πάντα δέχεσθαι,
τὸν αὐτὸν τρόπον ἀναχθησόμεθα καὶ εἰς τὴν τῆς ὕλης ἔννοιαν λέγοντες 15
30 μηδεμίαν εἶναι αὐτὴν τῶν φυσικῶν εἰδῶν, ὃ πᾶσι δὲ τούτοις ὑποβέβληται
καὶ ὑπέστρωται, τοῦτο εἶναι τὴν ὕλην. ὅθεν ὁ Πλάτων καὶ "νόθῳ λογισμῷ"
ληπτὴν αὐτὴν εἶπε, διότι ἐπιβαλεῖν μὲν τῇ οὐσίᾳ αὐτῆς καὶ γνῶναι τί

---

3 δὲ om. M 4 ἐπικαλεῖν K τὴν γνῶσιν L 5 ὅτι ὁ πλάτων πρὸ αὐτοῦ Mt Πλάτων] cf. ad p. 72,13 sqq. 6 τὸν Lt: τῶν KM 7 καθόλου Kt: καθὸ LM 8 ὑπόκειτε K 8. 20 τούτῳ τῷ τρόπῳ — κατὰ τὸ εἶδος om. K 9 καὶ πρῶτον γίνεσθαι (om. τὸ et αἴτιον) L 11 ἄλλο τι] τέλος L 12 πάντα M 13 καὶ ὡμοιῶσθαι om. L 13. 14 ἀμφότερα post ὄντων traic. Mt 14 ἀνομοίως δὲ L 15 μηδὲν LM: μηδὲ t φαμέν τι L: τὶ φαμὲν Mt 16 δ καὶ L: καὶ Mt an ὑπόκεεται? 19 ἀνομοίως LM: ἀνόμοιος t ὑπὲρ τὸ εἶδος L: ὑπὲρ εἶδος Mt 20 ἡ δὲ L: ἡ δὲ ὕλη Mt 20. 21 εἰς μὲν οὖν τῆς γνώσεως τῆς ὕλης ὁ τρόπος οὗτος Mt 21 δεύτερον L: δύο K 22 χαλκὰ M 24 εἰ τυφλῷ L κολουθείημεν K 26 ὅτι om. K ἀκάκιον K: ἀββάκιον L 27. 28 καὶ αὐτὸσ μὴ δὲν ἔχον M 30 μηδεμίαν KM: μηδὲν de coniectura (L)t αὐτὴν post εἰδῶν traicit L ὃ πᾶσι δὲ LK: ὃ δὲ πᾶσι Mt 31 εἶναι τοῦτο L ὁ LK: καὶ Mt Πλάτων Tim. p. 52 B

www.libtool.com.cn

ποτέ ἐστιν ἀδύνατον, ἐκ τῆς τῶν ἄλλων δ' ἀφαιρέσεως καὶ ἐξ ἀναλογίας e l r
ἔννοιαν αὐτῆς ἴσχομεν· τῷ αὐτῷ δὲ πάλιν τρόπῳ καὶ εἰς ἔννοιαν τοῦ
πρώτου ἔρχεσθαι, ἐφ' οὗ εἰκόνα μίαν καὶ μόνην φασὶν εἶναι τὸν ἥλιον.
τῶν μὲν γὰρ ἄλλων δυνάμεων, ἅτε μεριχωτέρας ἐχόντων τὰς ἐνεργείας, 20
καὶ εἰκόνας ἐποίησαν πρὸς ἀναλογίαν τῆς ἑκάστου ἐνεργείας, ἐπὶ μέντοι
τοῦ πρώτου καὶ πάντων αἰτιωτάτου μίαν καὶ μόνην εἰκόνα εὑρήκασι φυσι-
κὴν τὸν ἥλιον· ὃν τρόπον γὰρ ὁ ἥλιος πάντων ὑπερέχει τῶν ἐγκοσμίων,
τὸν αὐτὸν τρόπον πάντων τῶν ὄντων ἀσυγκρίτῳ ὑπεροχῇ ὑπερέχει τὸ πρῶ-
τον, καὶ ὡς ὁ ἥλιος πάντα φωτίζει, οὕτω κἀκεῖνο πάντα ἀγαθύνει μιᾷ
ἐπιβολῇ ἑκάστου πρὸς τὰ ἑαυτοῦ μέτρα μεταλαμβάνοντος τῆς ἀγαθουργοῦ
αὐτοῦ ἐνεργείας, ὥσπερ καὶ τοῦ ἡλιακοῦ φωτὸς τὰ δεκτικὰ κατὰ δύναμιν 25
μεταλαμβάνει ἐκείνου μιᾷ ἐνεργείᾳ πάντα φωτίζοντος.

Ἔστι δὲ τὸ μὲν ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο.
ἐπειδὴ προσεχῶς εἶπεν ὅτι "γίνεται πάντα ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς
μορφῆς", καὶ ἀνήγαγεν ὑπὸ τὰς δύο ταύτας ἀρχὰς πάντα τὰ γινόμενα,
τοῦτο, φησί, τὸ ὑποκείμενον οὐχ ἁπλῶς ἕν ἐστιν, ἀλλ' ἀριθμῷ μὲν ἕν,
τῷ δὲ λόγῳ δύο· ἔχει γὰρ ἐν αὑτῷ τὴν στέρησιν, ἥτις ἑτέρα ἐστὶ κατὰ
τὸν λόγον τῆς ὕλης· ἄλλον γὰρ ὁρισμὸν ἀποδώσεις τῆς ὕλης καὶ ἄλλον
τῆς στερήσεως, οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἀμούσου. πότερον οὖν ὁμοίως 30
ἑκάτερον τῶν συμπληρούντων τὸ ἓν τοῦτο ὑποκείμενον ἀρχή ἐστι τοῦ συν-
θέτου ἢ οὐκ ὁμοίως, διὰ τῶν ἑξῆς δείκνυσιν.

p. 190b24 Ὁ μὲν γὰρ ἄνθρωπος καὶ ὁ χρυσὸς καὶ ὅλως ἡ ὕλη
ἀριθμητή· τόδε γάρ τι μᾶλλον καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐ-
τοῦ γίνεται τὸ γινόμενον.

Ἐπειδὴ εἶπεν ὅτι τὸ ὑποκείμενον τῷ μὲν ἀριθμῷ ἕν ἐστι, τῷ δὲ εἴ-
δει δύο, βούλεται τοῦτο αὐτὸ δεῖξαι καὶ ἐξ αὐτοῦ συναγαγεῖν ὅπως ἑκά-
τερον ἔχει πρὸς τὸ ἀρχὴ εἶναι. φησὶν οὖν ὅτι ἡ ὕλη ἀριθμητή ἐστι· τό-
δε γάρ τι. καὶ γὰρ τῆς μουσικῆς ὕλη ὁ ἄνθρωπος, ὅσπερ τόδε τί ἐστι
καὶ ἀριθμητός, καὶ τῆς κλίνης τὸ ξύλον, τὴν μέντοι ἀμουσίαν ἢ τὴν ἀσχη- 35
μοσύνην οὐκ ἔστιν εἰπεῖν τόδε τι, διότι μηδ' ὅρον ἔχει μηδὲ ὑφίσταται·

ἀφαιρέσεως scripsi: ἀναιρέσεως libri 2 πάλιν om. K 3 εἰκονομίαν K
σιν L 5 ἐποίησεν compend. K 6 εὑρήκασιν εἰκόνα Mt 8 τὸν αὐτὸν]
ιτον τὸν K δὴ τρόπον Mt ἀσυγκρίτοις L ὑπεροχὴ K 9 καὶ ὥσπερ
ντα (πάντως t) φωτίζει ὁ ἥλιος Mt ὁ om. L μιᾷ] nihil enot. e codicibus ad
ι quod exhibet t 12 λαμβάνει K μιᾷ KM: μίᾳ (L)t 13 ἀριθμῷ—δύο
ι. K 14 γίνεται πάντα (τὰ πάντα L) ἔκ τε τοῦ LK: πάντα γίνεται ἐκ τοῦ Mt
πάντα vide ad p. 152,12 15 ὑπὸ LK: ἐπὶ Mt 17 αὐτῷ libri 18 ἀπο-
σει K ὕλης] ψυχῆς L καὶ ἄλλον om. K 19 πότερον K: πρότερον LMt
. 21 τοῦτο ὑποκείμενον—ἑξῆς K: om. LMt 22. 24 καὶ ὅλως—γινόμενον om. K
μᾶλλον L: om. Mt 23. 24 ἐξ αὐτοῦ γίνεται L: γίνεται ἐξ αὐτοῦ Mt 26 ὅπως
ι: πῶς Mt 27 ἔχη K ἡ iterat initio versiculi M ἀριθμητί K
γὰρ (post καὶ) om. Mt ὕλη LK: ὕλης Mt ὅσπερ LKM: ὅπερ t 30 τὸ δέ
et mox ἔχη K

www.libtool.com.cn

ἐναντίων δεῖ καὶ τοῦ ὑποκειμένου, ἀλλὰ θατέρου μὲν τῶν ἐναντίων μετὰ d 8r
τοῦ ὑποκειμένου, ὡς συμπληροῦντος τὴν οὐσίαν τοῦ πράγματος, θατέρου 50
δέ, λέγω δὴ τῆς στερήσεως, κατὰ συμβεβηκός. ταῦτα εἰπών, ἐφεξῆς τὸν
τρόπον καθ' ὃν ἐπιβάλλειν δυνατὸν τῇ γνώσει τῆς ὕλης ὑποτίθεται. ἰστέον
5 δ' ὅτι πρὸ αὐτοῦ ὁ Πλάτων δύο τρόπους φησὶν εἶναι, καθ' οὓς δυνατὸν
εἰς τὴν τῆς ὕλης γνῶσιν ἐλθεῖν· ἕνα μὲν τὸν ἐξ ἀφαιρέσεως, λεγόντων
ἡμῶν ὅτι ὕλη ἐστὶν ὃ μήτε ἵππος ἐστὶ μήτε ἄνθρωπος καὶ καθόλου μήτε
σῶμα μηδέν, ἀλλ' ἕτερόν τι παρὰ ταῦτα, ὃ πᾶσι τούτοις ὑπόκειται. τούτῳ
τῷ τρόπῳ φησὶ καὶ τὸ πρῶτον γινώσκεσθαι | αἴτιον· οὐδὲ γὰρ ἐπ' αὐτοῦ e 1r
10 ἔστι τι καταφῆσαι, ἀλλ' ἐξ ἀφαιρέσεως τῇ γνώσει αὐτοῦ ἐπιβάλλομεν, λέ-
γοντες ὃ μήτε σῶμά ἐστι μήτε ψυχὴ μήτε νοῦς μήτε ἄλλο τι, ἀλλ' ἕτε-
ρόν τι παρὰ ταῦτα πάντων ὑπεραναβεβηκός. διὸ καὶ ἀνωμοιῶσθαί φησι
τῷ πρώτῳ τὴν ὕλην καὶ ὡμοιῶσθαι, ὡμοιῶσθαι μὲν διότι ἀμφότερα ἐξ
ἀφαιρέσεως πάντων τῶν ὄντων νοοῦνται, ἀνωμοιῶσθαι δὲ διότι ἐπὶ μὲν
15 τῆς ὕλης λέγοντες μηδὲν εἶναι αὐτὴν τῶν ὄντων φαμέν τι, ἀλλ' ἕτερόν τι 5
χεῖρον πάντων τούτων ὃ καὶ ὑποκείμενον πᾶσι, τὸ δὲ πρῶτον μηδὲν ὂν τῶν
ὄντων κρεῖττόν ἐστι πάντων καὶ πάντων ὑπεραναβεβηκός. ἀνόμοιος οὖν ἡ
ὁμοιότης· τοῦ μὲν γὰρ ἐπὶ τὸ κρεῖττον ἡ ἀφαίρεσις τοῦ δ' ἐπὶ τὸ χεῖρον,
ἡ ὁμοιότης μὲν κατὰ τὸ ἀνείδεον, ἀνομοίως δ' ὅτι τὸ μὲν ὑπὲρ τὸ εἶδος,
20 ἡ δὲ χείρων ἢ κατὰ τὸ εἶδος. εἰς μὲν οὖν τρόπος τῆς γνώσεως τῆς
ὕλης οὗτος, δεύτερος δ' ὁ κατὰ ἀναλογίαν, ᾧ καὶ Ἀριστοτέλης νῦν ἐχρή-
σατο, ὅτι ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς πάντα τὰ χαλκᾶ σκεύη καὶ τὰ 10
ξύλα πρὸς πάντα τὰ ξύλινα σκεύη, τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ὕλη πρὸς
πάντα τὰ ὄντα· ὅνπερ γὰρ τρόπον τυφλῷ εἰ βουληθείημεν ὑπογράψαι τίς
25 ἡ τοῦ ξύλου φύσις, ἤγομεν ἂν αὐτὸν εἰς τὴν τοῦ ξύλου ἔννοιαν φάσκοντες
ὅτι ἐκεῖνό ἐστι ξύλον, ὃ οὔτε κλίνη ἐστὶν οὔτε θύρα οὔτε ἀβάκιον οὔτε
ἕτερόν τι τῶν ξυλίνων σκευῶν, ἀλλ' ὃ πᾶσι τούτοις ὑποβέβληται καὶ αὐτὸ
μηδὲν ἔχον ἐν τῇ οὐσίᾳ τῶν τοιούτων εἰδός τι πέφυκε πάντα δέχεσθαι,
τὸν αὐτὸν τρόπον ἀναχθησόμεθα καὶ εἰς τὴν τῆς ὕλης ἔννοιαν λέγοντες 15
30 μηδεμίαν εἶναι αὐτὴν τῶν φυσικῶν εἰδῶν, ὃ πᾶσι δὲ τούτοις ὑποβέβληται
καὶ ὑπέστρωται, τοῦτο εἶναι τὴν ὕλην. ὅθεν ὁ Πλάτων καὶ "νόθῳ λογισμῷ"
ληπτὴν αὐτὴν εἶπε, διότι ἐπιβαλεῖν μὲν τῇ οὐσίᾳ αὐτῆς καὶ γνῶναι τί

---

3 δὲ om. M 4 ἐπικαλεῖν K τὴν γνῶσιν L 5 ὅτι ὁ πλάτων πρὸ αὐτοῦ Mt Πλάτων] cf. ad p. 72,13 sqq. 6 τὸν Lt: τῶν KM 7 καθόλου Kt: καθὸ LM 8 ὑπόκειτε K 8. 20 τούτῳ τῷ τρόπῳ — κατὰ τὸ εἶδος om. K 9 καὶ πρῶτον γίνεσθαι (om. τὸ et αἴτιον) L 11 ἄλλο τι] τέλος L 12 πάντα M 13 καὶ ὡμοιῶσθαι om. L 13. 14 ἀμφότερα post ὄντων traic. Mt 14 ἀνομοίως δὲ L 15 μηδὲν LM: μηδὲ t φαμέν τι L: τὶ φαμὲν Mt 16 δ καὶ L: καὶ Mt an ὑπόκειται? 19 ἀνομοίως LM: ἀνόμοιος t ὑπὲρ τὸ εἶδος L: ὑπὲρ εἶδος Mt 20 ἡ δὲ L: ἡ δὲ ὕλη Mt 20. 21 εἰς μὲν οὖν τῆς γνώσεως τῆς ὕλης ὁ τρόπος οὗτος Mt 21 δεύτερον L: δύο K 22 χαλκὰ M 24 εἰ τυφλῷ L κολουθείημεν K 26 ὅτι om. K ἀκάκιον K: ἀββάκιον L 27. 28 καὶ αὐτὸσ μὴ δὲν ἔχον M 30 μηδεμίαν KM: μηδὲν de coniectura (L)t αὐτὴν post εἰδῶν traicit L δ πᾶσι δὲ LK: δ δὲ πᾶσι Mt 31 εἶναι τοῦτο L ὁ LK: καὶ Mt Πλάτων Tim. p. 52 B

www.libtool.com.cn

ἄνευ εἴδους ἐπινοῆσαι δυ|νατόν, ὥσπερ τὸν χαλκὸν ἄνευ τῶν τεχνητῶν e 1v
εἰδῶν. καὶ ὅσον γε ἐπὶ τῷ ἰδίῳ λόγῳ ἡ ὕλη ὑπέστη καθ' αὑτήν· τοῦ γὰρ εἴδους οὐκ εἰς τὸ εἶναι δεῖται, ἀλλ' εἰς τὸ κοσμηθῆναι.

p. 190b29 Διὸ ἔστι μὲν λεκτέον ὡς δύο εἶναι τὰς ἀρχάς, ἔστι δὲ ὡς τρεῖς.

Δύο μέν, ἤτοι τὴν ὕλην καὶ τὸ εἶδος, ὡς εἴρηται, ἢ τὰ ἐναντία. καὶ 7
εἰ τὰ ἐναντία, δόξειεν ἂν σύμφωνον εἶναι τὸ ἐπαγόμενον καὶ ἔστι μὲν ὡς τὰ ἐναντία, ἔστι δὲ ὡς οὔ· διότι μὲν γὰρ ἡ γένεσις καὶ ἡ φθορὰ τῷ ποιεῖν καὶ πάσχειν γίνεται, δόξει τὰ ἐναντία ἀρχαὶ εἶναι (τὰ γὰρ ἐναν-
10 τια τὰ ποιοῦντα καὶ πάσχοντα), ὥστε δύο ἀρχαὶ τὰ ἐναντία. δόξει δὲ πάλιν 10
μὴ εἶναι τὰ ἐναντία ἀρχαί, διότι αὐταὶ καθ' ἑαυτὰς αἱ ἐναντιότητες οὐ πεφύκασι ποιεῖν εἰς ἀλλήλας. ἀλλὰ καὶ ταύτην, φησί, τὴν ἀπορίαν ἐλύσαμεν ὑποθέντες τρίτην τινὰ φύσιν τοῖς ἐναντίοις, περὶ ἣν τὰ πάθη καὶ αἱ γενέσεις καὶ αἱ φθοραὶ μὴ οὖσαν αὐτὴν ἐναντίαν· ὥστε δῆλον ἐκ τούτων
15 ὅτι κατά τι μὲν τρεῖς ἀρχαὶ τὰ ἐναντία καὶ τὸ ὑποκείμενον, κατά τι δὲ δύο τὸ εἶδος καὶ ἡ ὕλη, ὅπερ εἶδος τῇ ἀπουσίᾳ καὶ τῇ παρουσίᾳ ποιήσει τὴν γένεσιν καὶ τὴν φθοράν. 15

p. 190b35 Ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά.

20 Οὐ τοῦτό φησιν ὅτι τὰ ἐναντία μόνον ἀρχαί, ἀλλ' ὅτι κατὰ τὸν ἀριθμὸν πλείους τῶν ἐναντίων οὐκ ἔσονται αἱ ἀρχαὶ κατά τινα τρόπον, τουτέστι 20
κατὰ τὸ ποσόν. πλείους ἀντὶ τοῦ πλείω δύο κατά τινα τρόπον οὐκ εἰσί. καὶ ὅτι τοῦτό φησι, δῆλον ἐξ ὧν ἐπήγαγεν ἀλλὰ δύο μόνον ὡς εἰπεῖν τῷ ἀριθμῷ, οὔτε παντελῶς δύο διὰ τὸ ἕτερον ὑπάρχειν τὸ

---

1 ἐπινοῆσαι K: ἐστὶ νοῆσαι LMt τεχνιτῶν K 2 τὸν ἴδιον λόγον ἡ ὕλη κἂν ὑπέστη καθ' ἑαυτήν K τοῦ] τοῦτο L 4 λεκτέον ὡς δύο LM: ὡς δύο λεκτέον Kt cum Aristotele 5 δ' ὡς t 7 δόξειεν ἂν L: δόξει ἂν K: δόξει Mt *ἂν ἔστι (x rubro addendum) K 8 -ναντία — οὔ om. K ante ἔστι δὲ omisit Philoponus Aristotelea οἷον εἴ τις λέγοι — ἀνάρμοστον 9 τὸ πάσχειν M: τῷ πάσχειν t γίνονται recte L ἀρχαι (ita scriptum ut syllaba αι simillima sit compendio ω h. e. ῶν) M: ἀρχῶν t 9. 10 τὰ γὰρ ἐναντία ἔστι τὰ K 11 τὰ ἐναντία ἀρχαί (αί parum clare M) KM: ἀρχαὶ τὰ ἐναντία L: τὰ ἐναντία ἀρχάς t καθ' αὑτὰς L ἐναντιώτητες K 13 τρι (h. e. τρίτην) M: τριττήν t περὶ] πϊρϊ K 14 ἐναντίαν LKM: ἐναντίον emendavit t 15 τι μὲν LK: τινα μὲν τρόπον Mt γ' ἀρχὰς K τὰ ὑποκείμενα L τι δὲ LK: τινα δὲ Mt 16 τῇ παρουσίᾳ καὶ (om. τῇ) ἀπουσία Mt 18. 19 ἐναντίων — τινά om. K 21 αἱ K: om. LMt 22 post πλείους add. τῶν ἐναντίων t: fort. πλείους ⟨δὲ τῶν ἐναντίων⟩ πλείω LKM: πλείους t fort. δυοῖν 23 δύο μόνον LK: μόνον (om. δύο) M: μόνον δύο t: δύο (om. μόνον) Aristot. 24. p. 166, 1 οὔτε — αὐτοῖς om. K οὔτ' ὂ Aristoteles

www.libtool.com.cn

τὸ μὲν γὰρ τόδε τι ὂν τί ἐστιν, ὃ δὲ μὴ ἔστι τόδε τι, οὐκ ἂν εἴη κυρίως e 1r
ὄν. ἡ μὲν οὖν διάκρισις αὐτῶν αὕτη, ἔχεις δ' ἐντεῦθεν καὶ ὅπως ἑκάτερον ἀρχή· ἡ μὲν γὰρ ὕλη τόδε τι οὖσα καὶ συμπληροῦσα τὸ σύνθετον καθ' αὑτὸ ἂν εἴη ἀρχή, ἡ δὲ στέρησις οὐ καθ' αὑτὸ μέν (οὐ γὰρ ὁρᾶται
5 ἐν τῷ συνθέτῳ, οὐδ' ἔστι τόδε τι τοῦ συνθέτου ὥσπερ ἡ ὕλη), διότι δὲ τῇ καθ' αὑτὸ ἀρχῇ συμβέβηκε, λέγω δὴ τῇ ὕλῃ, κατὰ συμβεβηκὸς ἂν εἴη 40
ἀρχή. εἰπὼν δὲ ὁ ἄνθρωπος καὶ ὁ χρυσός, ἀνῆλθεν ἐπὶ τὸ καθόλου προσθεὶς καὶ ὅλως ἡ ὕλη. τὸ δὲ εἰπεῖν τόδε γάρ τι μᾶλλον ἢ 'μᾶλλον τόδε τι τοῦ εἴδους ἡ ὕλη' φησίν, ⟨ἤ⟩, ὡς ἤδη εἴπομεν, ἡ σύγκρισις
10 πρὸς τὴν στέρησιν, ὅτι μᾶλλον τῆς στερήσεως ἡ ὕλη τόδε τι. τοῦτο δέ φημι διὰ τὴν πρώτην· ἐκείνη γὰρ οὐκ οὖσα καθ' αὑτὴν ἀριθμητή, ὅμως μᾶλλόν ἐστιν ἀριθμητὴ τῆς στερήσεως· διότι γὰρ τῷ συνθέτῳ, ὅπερ ἐστὶ κυρίως τόδε τι, μᾶλλον ἡ ὕλη συνεργεῖ ὑπομένουσα καὶ θεωρουμένη πως ἐν αὐτῷ, τῆς στερήσεως τῇ παρουσίᾳ τοῦ εἴδους ἀφανιζομένης, μᾶλλον ἡ
15 ὕλη τῆς στερήσεως ἀριθμητή. ἡ δὲ στέρησις καὶ ἡ ἐναντίωσις συμ- 45
βέβηκεν. οὐχ ὡς ἕτερόν τι σημαίνων παρὰ τὴν στέρησιν ἐπήγαγε τὸ καὶ ἡ ἐναντίωσις, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ ἄμφω 'ἡ στέρησις ἥτις ἐστὶ καὶ ἐναντίωσις'.

p. 190ᵇ28 Ἓν δὲ τὸ εἶδος, οἷον ἡ τάξις ἢ ἡ μουσική.

20 Συνεχὲς τοῦτο τῷ ἀνωτέρῳ "ἔστι δὲ τὸ μὲν ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο", εἶτα ἐφεξῆς ἓν δὲ τὸ εἶδος, τὰ δὲ μέσα κατασκευαστικά ἐστι τοῦ προτέρου. φησὶν οὖν ὅτι οὐχ ὥσπερ τὸ ὑποκείμενον δύο ἐστὶ τῷ λόγῳ, οὕτως καὶ τὸ εἶδος, ἀλλὰ τοῦτο καὶ τῷ λόγῳ καὶ τῷ 50
ἀριθμῷ ἕν ἐστιν. ἀλλ' εἰ ἓν τὸ εἶδος, δῆλον ὅτι καὶ ἀριθμητὸν καὶ τόδε
25 τι, καὶ κατὰ ἄλλο μὲν μᾶλλον τόδε τι τῆς ὕλης τὸ εἶδος (κατὰ αὐτὸ γὰρ ἕκαστον λέγεται τόδε τι, οἷον ἄνθρωπος ἵππος), κατὰ ἄλλο δὲ μᾶλλον ἡ ὕλη τοῦ εἴδους, εἴ γε πᾶν τὸ τόδε τι αὐθυπόστατόν ἐστι καὶ οὐκ ἐν ἄλλῳ ὑφεστηκός, τὸ δὲ αὐθυπόστατον τὸ σύνθετον ἐκ τῆς ὕλης μᾶλλον ἢ ἐκ τοῦ εἴδους, εἴπερ τὸ μὲν εἶδος ἄνευ ὕλης εἶναι οὐ δύναται, τὴν δ' ὕλην

---

2 ἐντεῦθεν καὶ ὅπως] εὐθέως καὶ πῶς K 3 οὖσα Mt: ὄν LK 6 ἀρχὴ K
7 ἡ ἀρχή K 8 fort. τῷ δὲ εἰπεῖν 8. 9 ἢ μᾶλλον τόδε τι LK: om. Mt 9 τοῦ εἴδους ἡ ὕλη φησὶν LK: τὸ εἶδος ἢ ὕλη φη M: τὸ εἶδος ἢ ἡ ὕλη, ἔστιν t ἢ (ante ὡς) addidi ἡ σύγκρισις κτλ.] cf. Themist. p. 148,15 σύγκρησις K 11 πρώτην ὕλην K at cf. p. 172,14 κατ' αὐτὴν K ὁμοίως L 14 ἐν αὐτῷ M
15 τῆς στερήσεως] τίς τε (h. e. τῆς στ) K ἡ (ante ἐναντίωσις) K: om. LMt at cf. v. 17
15. 16 συμβέβηκεν LKM: συμβεβηκός recte ex Aristotele t 17 ἐστὶ om. superscr. M 19 ἢ ἡ μουσική om. K ἢ om. M 20 τοῦτο τῷ] τούτω L ἀνωτέρῳ t 21 εἴδη δὲ K 21. 22 κατασκεβαστικά K 25 καὶ LK: compendium mihi aliunde non notum M: 8 t τὸ εἶδος om. (L)t 26 ἕκαστον om. superscr. M
27 ἐστὶ om. Mt 27. 28 καὶ οὐκ — αὐθυπόστατον om. K 28 τὸ σύνθετον] aut τῷ συνθέτῳ ex L recipiendum aut τὸ σύνθετον ἔχει scribendum 29 τὴν ὕλην δὲ Mt

www.libtool.com.cn

ἄνευ εἴδους ἐπινοῆσαι δυ|νατόν, ὥσπερ τὸν χαλκὸν ἄνευ τῶν τεχνητῶν e 1v
εἰδῶν. καὶ ὅσον γε ἐπὶ τῷ ἰδίῳ λόγῳ ἡ ὕλη ὑπέστη καθ' αὑτήν· τοῦ γὰρ
εἴδους οὐκ εἰς τὸ εἶναι δεῖται, ἀλλ' εἰς τὸ κοσμηθῆναι.

p. 190 b 29 Διὸ ἔστι μὲν λεκτέον ὡς δύο εἶναι τὰς ἀρχάς, ἔστι
5 δὲ ὡς τρεῖς.

Δύο μέν, ἤτοι τὴν ὕλην καὶ τὸ εἶδος, ὡς εἴρηται, ἢ τὰ ἐναντία. καὶ 7
εἰ τὰ ἐναντία, δόξειεν ἂν σύμφωνον εἶναι τὸ ἐπαγόμενον καὶ ἔστι μὲν
ὡς τὰ ἐναντία, ἔστι δὲ ὡς οὔ· διότι μὲν γὰρ ἡ γένεσις καὶ ἡ φθορὰ
τῷ ποιεῖν καὶ πάσχειν γίνεται, δόξει τὰ ἐναντία ἀρχαὶ εἶναι (τὰ γὰρ ἐναν-
10 τια τὰ ποιοῦντα καὶ πάσχοντα), ὥστε δύο ἀρχαὶ τὰ ἐναντία. δόξει δὲ πάλιν 10
μὴ εἶναι τὰ ἐναντία ἀρχαί, διότι αὐταὶ καθ' ἑαυτὰς αἱ ἐναντιότητες οὐ
πεφύκασι ποιεῖν εἰς ἀλλήλας. ἀλλὰ καὶ ταύτην, φησί, τὴν ἀπορίαν ἐλύσα-
μεν ὑποθέντες τρίτην τινὰ φύσιν τοῖς ἐναντίοις, περὶ ἣν τὰ πάθη καὶ αἱ
γενέσεις καὶ αἱ φθοραὶ μὴ οὖσαν αὐτὴν ἐναντίαν· ὥστε δῆλον ἐκ τούτων
15 ὅτι κατά τι μὲν τρεῖς ἀρχαὶ τὰ ἐναντία καὶ τὸ ὑποκείμενον, κατά τι δὲ
δύο τὸ εἶδος καὶ ἡ ὕλη, ὅπερ εἶδος τῇ ἀπουσίᾳ καὶ τῇ παρουσίᾳ ποιήσει
τὴν γένεσιν καὶ τὴν φθοράν. 15

p. 190 b 35 Ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον
τινά.

20 Οὐ τοῦτό φησιν ὅτι τὰ ἐναντία μόνον ἀρχαί, ἀλλ' ὅτι κατὰ τὸν ἀριθμὸν
πλείους τῶν ἐναντίων οὐκ ἔσονται αἱ ἀρχαὶ κατά τινα τρόπον, τουτέστι 20
κατὰ τὸ ποσόν. πλείους ἀντὶ τοῦ πλείω δύο κατά τινα τρόπον οὐκ εἰσί.
καὶ ὅτι τοῦτό φησι, δῆλον ἐξ ὧν ἐπήγαγεν ἀλλὰ δύο μόνον ὡς εἰ-
πεῖν τῷ ἀριθμῷ, οὔτε παντελῶς δύο διὰ τὸ ἕτερον ὑπάρχειν τὸ

---

1 ἐπινοῆσαι K: ἐστὶ νοῆσαι LMt τεχνιτῶν K 2 τὸν ἴδιον λόγον ἡ ὕλη κἂν ὑπέστη καθ' ἑαυτήν K τοῦ] τοῦτο L 4 λεκτέον ὡς δύο LM: ὡς δύο λεκτέον Kt cum Aristotele 5 δ' ὡς t 7 δόξειεν ἂν L: δόξει ἂν K: δόξει Mt *ἂν ἔστι (x rubro addendum) K 8 -ναντία — οὔ om. K ante ἔστι δὲ omisit Philoponus Aristotelea ὅλον εἴ τις λέγοι — ἀνάρμοστον 9 τὸ πάσχειν M: τῷ πάσχειν t γίνονται recte L ἀρχαι (ita scriptum ut syllaba αι simillima sit compendio ω h. e. ῶν) M: ἀρχῶν t). 10 τὰ γὰρ ἐναντία ἔστι τὰ K 11 τὰ ἐναντία ἀρχαί (αί parum clare M) KM: ἀρχαὶ τὰ ἐναντία L: τὰ ἐναντία ἀρχάς t καθ' αὑτὰς L ἐναντιώτητες K 13 τρι (h. e. τρίτην) M: τριττήν t περὶ] πϊρϊ K 14 ἐναντίαν LKM: ἐναντίον emendavit t 15 τι μὲν LK: τινα μὲν τρόπον Mt γ' ἀρχὰς K τὰ ὑποκείμενα L τι δὲ LK: τινα δὲ Mt 16 τῇ παρουσίᾳ καὶ (om. τῇ) ἀπουσίᾳ Mt 18. 19 ἐναντίων — τινά om. K 21 αἱ K: om. LMt 22 post πλείους add. τῶν ἐναντίων t: fort. πλείους ⟨δὲ τῶν ἐναντίων⟩ πλείω LKM: πλείους t fort. δυοῖν 23 δύο μόνον LK: μόνον (om. δύο) M: μόνον δύο t: δύο (om. μόνον) Aristot. 24. p. 166, 1 οὔτε — αὐτοῖς om. K οὔτ' ἀῦ Aristoteles

www.libtool.com.cn

εἶναι αὐτοῖς· εἰ γὰρ καὶ δύο ἀρχαὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἀλλ' οὖν, ἐπειδὴ εἶ-
τὸ εἶναι τῇ ὕλῃ οὐ ταὐτόν (κατὰ ἄλλο γὰρ ἔχει τὸ ὕλῃ εἶναι, καὶ κατὰ
ἄλλο τὸ ἐστερῆσθαι τοῦ εἴδους) * * * καὶ πείθει τοῖς παραδείγμασιν· ἄλλο
γάρ ἐστι, φησί, τὸ ἀνθρώπῳ εἶναι καὶ ἄλλο τὸ ἀμούσῳ. διὸ καὶ μετὰ τὸ
5 δέξασθαι τὴν μουσικὴν ἄνθρωπος μὲν ἔτι ἐστίν, ἄμουσος δ' οὐκέτι· ὑπεξί- 25
σταται γὰρ τῷ εἴδει ἡ στέρησις.

p. 191a3 Πόσαι μὲν οὖν αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, εἴρηται.

Οὐκ εἶπε φυσικῶν μόνον, ἵνα μὴ καὶ τὰ οὐράνια περιλάβῃ, ἀλλὰ
10 τῶν περὶ γένεσιν φυσικῶν· ἐν γὰρ τοῖς οὐρανίοις οὐκ ἔστιν ἐν ἀρχῆς 30
λόγῳ ἡ στέρησις. ἀλλὰ μόνον τὸ εἶδος καὶ τὸ ὑποκείμενον. τὸ μὲν οὖν
περὶ γένεσιν διὰ τοῦτο εἶπε, τῶν φυσικῶν δὲ διὰ τὰ προαιρετά· οὐ
θεωρεῖται γὰρ ἐπ' αὐτῶν οὔτε ὕλη οὔτε εἶδος, εἰ μὴ κατὰ ἀναλογίαν,
οἷον τοῦ συλλογισμοῦ ὕλη μὲν αἱ προτάσεις εἶδος δὲ τὸ συμπέρασμα. καὶ
15 τὰ ἐναντία δύο εἶναι. εἰκότως· τὸ γὰρ ἐναντίον τινὶ ἐναντίον, οὐδὲν δ'
ἐστὶν αὐτὸ ἑαυτῷ ἐναντίον. τρόπον δέ τινα ἄλλον οὐκ ἀναγκαῖον·
τὸ γὰρ εἶδος ἀποπληροῦν τὴν χώραν τῆς στερήσεως ἀπὸν μὲν ποιήσει τὴν
φθοράν, παρὸν δὲ τὴν γένεσιν. ἱκανὸν ἄρα καὶ τὸ ἕτερον τῶν ἐναντίων 35
μετὰ τῆς ὕλης εἰς τὸν τῆς ἀρχῆς λόγον παραλαμβανόμενον.

20 p. 191a7 Ἡ δ' ὑποκειμένη φύσις ἐπιστητὴ κατὰ ἀναλογίαν.

Ἐντεῦθεν τίς ὁ τρόπος τῆς γνώσεως τῆς ὕλης ὑποτίθεται, ὅτι κατὰ 40
ἀναλογίαν, εἴπομεν δ' ὅτι ὁ Πλάτων καὶ τῷ ἐξ ἀφαιρέσεως τρόπῳ
κέχρηται. οὕτως αὕτη πρὸς οὐσίαν ἔχει καὶ τόδε τι καὶ τὸ ὄν.
εἰπὼν πρὸς οὐσίαν καὶ τόδε τι, ἀνῆλθεν ἐπὶ τὸ καθολικώτερον εἰπὼν
25 καὶ τὸ ὄν· ὑποκειμένη γὰρ ἡ ὕλη τῇ οὐσίᾳ, δι' αὐτῆς δηλονότι καὶ
τοῖς συμβεβηκόσιν ὑπόκειται. καὶ συλλογίσῃ αὐτὸ οὕτως· ἡ ὕλη τῇ οὐσίᾳ

1 ἀρ K: αἱ ἀρχαὶ L 2 ὕλη] ὕλῃ (LKM)t 3 ἐστερεῖσθαι K post εἴδους indicavi lacunam (excidit οὐ παντελῶς δύο sim.) 4 φησιν ἔστι Mt τῷ ἀνθρώπῳ et τῷ ἀμούσῳ K 7 αἱ M superscr. K: om. (L)t cf. Aristotelis libri et Themist. p. 149,5 7. 8 περὶ — εἴρηται om. K 8 καὶ πῶς πόσαι, εἴρηται ex Arist. t 9 περιλάβῃ LK: παραλάβῃ (sed M praepositionis incerto compendio) Mt 11 μὲν οὖν om. L: οὖν om. M 12 περὶ LKM: τῶν περὶ t εἶπεν M 14 οἷον τοῦ LK: om. Mt 15. 16 τὸ γὰρ ἐναντίον — ἑαυτῷ ἐναντίον om. K 15 οὐδὲν δ' Mt: οὐδὲν (om. δ') L 16 ἄλλον] ἀλλὰ M 18 ἄρα] γὰρ L 19 τῆς (ante ὕλης) om. Mt 20 post φύσις addit οὐκ M: del. M² ἐπιστητὴ κατὰ ἀναλογίαν om. K 21. 22 ὑποτίθεται, ὅτι κατὰ ἀναλογίαν in ras. K 22 εἴπομεν p. 162,5 23 πρὸς οὐσίαν — καὶ τὸ ὄν om. K καὶ τόδε L: καὶ τὸ τόδε Mt Aristoteles at cf. v. 24

24 ἀνῆλθεν LK: ἀνήγαγεν Mt at cf. p. 158,27. 164,7 al. τοῖς καθολικῷ K 25 ὑποκειμένη γὰρ κτλ.] cf. Themist. p. 149,16 ὑποκείμενον K δι' ἑαυτῶν L 26 συλλογίσῃ LK: συλλογίσαις M: συλλογίσαιο t

www.libtool.com.cn

ὑπόκειται, ἡ οὐσία τοῖς συμβεβηκόσιν ὑπόκειται, καὶ ἡ ὕλη ἄρα τοῖς συμ- e 1v
βεβηκόσιν ὑπόκειται.

p. 191a12 Μία μὲν οὖν ἀρχὴ αὕτη, οὐχ οὕτως μία οὖσα οὐδὲ ἓν ὡς τὸ τόδε τι.

Ἀπαρίθμησιν πάλιν τῶν ἀρχῶν ποιεῖται. ἔστιν οὖν τέως ἡ ὕλη ἀρχὴ μία, ἀλλ' εἰ καὶ λέγεται μία, οὐχ οὕτως ἔχει τὸ εἶναι ἕν τι καὶ ἀριθμητὴ ὥσπερ τὸ τόδε τι, τοῦτο δ' ἐστὶ τὸ σύνθετον (τοῦτο γάρ ἐστι καὶ τὸ μερικὸν καὶ τὸ κυρίως ἀριθμητόν)· εἰ γὰρ καὶ τῷ συνθέτῳ ὑπάρχειν ἐλέγομεν τὸ τόδε τι ἐκ τῆς ὕλης, ἀλλ' οὖν μᾶλλον τόδε τι καὶ ἀριθμητὸν τὸ σύνθετον. καὶ θαυμαστόν γε οὐδέν, ἐπεὶ ⟨εἰ⟩ καὶ τὸ παθητικὰ εἶναι τὰ σώματα ἐκ τῆς ὕλης ἔχει (διὰ γὰρ τὴν τῆς ὕλης ἐπιτηδειότητα τοιαῦτά ἐστι τὰ σώματα), ἀλλ' οὖν αὐτὴ καθ' αὑτὴν θεωρουμένη ἡ ὕλη πάντῃ ἐστὶν ἀπαθής. δυνατὸν δὲ καὶ τὸ οὐχ οὕτως μία οὖσα οὐδὲ ἓν ὡς τὸ τόδε τι ἐπὶ τοῦ εἴδους λαμβάνειν, ἵνα τόδε τι λέγῃ τὸ εἶδος (ἑκάστου γὰρ τὸ εἶναι κατὰ τὸ εἶδος), ἵνα τὸ ἕν καὶ τὸ τόδε τι ἐπὶ τοῦ εἴδους μᾶλλον φέρῃ. τοῦτο δὲ διότι τὸ μὲν εἶδος ἕν ἐστιν ἀεὶ καὶ τὸ αὐτὸ οὐδεμίαν ἀλλοίωσιν ἐπιδεχόμενον, ἡ δ' ὕλη | ποικίλως ἀλλοιοῦται καὶ μεταβάλλεται κατὰ τὴν e 2r
διάφορον ὑποδοχὴν τῶν εἰδῶν. τῷ οὖν τὸ μὲν εἶδος τὸ αὐτὸ μένειν, τὴν δ' ὕλην ποικίλως ἀλλοιοῦσθαι, ταύτῃ μᾶλλον τῆς ὕλης ἓν τὸ εἶδος εἶπεν· ἀνωτέρω δ' ἡμεῖς κατὰ ἄλλον τρόπον μᾶλλον εἶναι τόδε τι τὴν ὕλην τοῦ εἴδους, καθὸ οὐ δεῖται ἡ ὕλη ἑτέρου ὑποκειμένου πρὸς τὸ εἶναι, ὥσπερ τὸ εἶδος τῆς ὕλης, ἀλλ' αὐτάρκης ἐστὶ καθ' ἑαυτὴν ὑποστῆναι. εἴρηται δὲ καὶ ἐν τοῖς ἔμπροσθεν κατὰ τίνα μὲν τρόπον ἡ ὕλη μᾶλλον τόδε τι, κατὰ τίνα δὲ πάλιν τὸ εἶδος. μία δὲ ἡ ὁ λόγος. τὸ ῏ καὶ τὸ ῎ ἀμφότερα ἄρθρα ἅμα ἐστί, λόγον δ', ὡς πολλάκις εἴρηται, τὸ εἶδός φησιν. εἰπὼν οὖν τὴν ἀρχὴν τὴν ὑλικήν, λέγει καὶ τὴν εἰδικήν, καί φησιν ὅτι ἐστὶ καὶ τὸ εἶδος μία ἀρχή. ἔταξε δὲ τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ, καθότι ὁ λόγος ὡς μὲν ἀρχὴ θηλυκόν ἐστιν, ὡς δὲ λόγος ἀρσενικόν. διὰ τοῦτο οὖν τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ ἔταξε τό τε θηλυκὸν καὶ τὸ ἀρσε-

---

3. 4 οὐχ—τόδε τι om. K 3 οὕτως L: οὕτω Mt at cf. v. 13 οὐδὲ ἓν M: οὐδὲ οὕτως ἓν ὂν t: οὐδὲ ἓν ὂν (si modo recte nihil adnotatum ad vocem ὂν) L: οὐδὲ οὕτως ἓν vel οὐδὲ οὕτως ὂν Aristotelis libri 4 τὸ om. M 5 ποιεῖται πάλιν τῶν ἀρχῶν Mt ἔστιν (ν del.) M: ἔστι t ἡ ὕλη τέως K 6 ἀριθμητὴ LK: ἀριθμητὸν Mt 8. 9 ἐλέγομεν ὑπάρχειν K ἐλέγομεν p. 160,24 sqq. 9 μᾶλλον (τὸ add. K) τόδε τι LK: τόδε τι μᾶλλον Mt 10 ἐπειδὴ Mt εἰ addidi 11 διὰ] δεῖ K ἐπιτιδειότητα K ἐστι] γὰρ K 12 ἑαυτὴν Mt 12. 13 πάντι (sic) εἶναι ἀπαθής· δυνατὸν δὲ ἴσως καὶ K 13 οὕτω t οὐδὲν ὡς K τὸ (ante τόδε) om. Mt 14 λαβεῖν K τι om. Mt ἑκάστω K 18 τῷ] τὸ K οὖν τὸ μὲν LK: μὲν οὖν τὸ Mt 20 ἀνωτέρω p. 137,27 sqq. 22 αὐταρκές (sic) LK ἑαυτῆς compend. M 23 ἔμπροσθεν p. 164,25 23. 24 κατά τινα utrobique K 24 δὲ ἡ Lt: δὲ ἢ K: δὲ (om. ἡ) M cf. p. 6,16 et Arist. libri (cod. E δε ηι pr., δὲ ἡ rec.) τὸ ἡ καὶ τὸ ὁ t 25 ἅμα K: om. LMt 26 τὴν (ante ὑλικήν) om. L εἰδικήν L: ἰδικήν KMt καί (ante φησιν) om. L 27 δὲ om. superscr. L τὸ αὐτὸ (at cf. v. 29) K 28. 29 ἀρσενικόν—θηλυκὸν καὶ τὸ om. L

www.libtool.com.cn

νικόν, τὸ μὲν θηλυκὸν πρὸς τὴν ἀρχὴν τὸ δὲ ἀρσενικὸν πρὸς τὸν λόγον, 2r
ὡς ἂν εἰ ἔλεγεν 'ἡ δ' ἑτέρα ἀρχὴ ὁ λόγος ἐστί, τουτέστι τὸ εἶδος'. 11

p. 191a15 Πρῶτον μὲν οὖν ἐλέχθη ὅτι ἀρχὴ τὰ ἐναντία.

Ἐντεῦθεν ἀνακεφαλαιοῦται πάντα τὰ εἰρημένα. καὶ πῶς ἔχουσιν 15
5 αἱ ἀρχαὶ πρὸς ἀλλήλας. ὅτι αἱ μὲν αὐτῶν εἰσι καθ' αὑτὸ ἀρχαί, αἱ δὲ κατὰ συμβεβηκός· καὶ ἡ μὲν ὕλη καὶ ἡ στέρησις ἀριθμῷ μὲν ἓν λόγῳ δὲ δύο, τὸ δὲ εἶδος καὶ τῷ λόγῳ καὶ τῷ ἀριθμῷ ἕν· καὶ ἡ μὲν θηλείᾳ ἀναλογεῖ τὸ δὲ ἄρρενι, καὶ ὅσα ἄλλα περὶ αὐτῶν εἶπε.

p. 191a19 Πότερον δ' οὐσία τὸ εἶδος ἢ τὸ ὑποκείμενον, οὔπω
10 δῆλον.

Τὴν περὶ τούτων θεωρίαν ἐν τῇ Μετὰ τὰ φυσικὰ ὑπερτίθεται, ἔνθα ζητεῖ εἴτε οὐσία ἐστὶ τὸ εἶδος εἴτε μή, καὶ ὅπως τὸ εἶδος ἀρχή, καὶ εἴτε 20
πᾶν ἄφθαρτον εἴτε ἔστι τι καὶ φθαρτόν, καὶ εἰ μὴ ἅπαν εἶδος ἄφθαρτον, πῶς ἅπαν ἀρχή. καὶ ἵνα συντόμως εἴπωμεν τὰ ἐκεῖσε αὐτῷ περὶ τούτου
15 εἰρημένα, φησὶν ὅτι ἑκάτερον ἔχει τι πλεονέκτημα κατὰ τοῦ λοιποῦ εἰς τὸ εἶναι μᾶλλον οὐσία· μᾶλλον μὲν γὰρ οὐσία τοῦ εἴδους ἡ ὕλη, διότι ἡ μὲν ὕλη αὐθυπόστατόν τι πρᾶγμά ἐστι, τὸ δ' εἶδος ἄνευ ὕλης εἶναι οὐ δύναται, τῆς ὕλης μηδὲν δεομένης τοῦ εἴδους εἰς τὸ εἶναι· μᾶλλον δὲ πάλιν τὸ εἶδος οὐσία ἤπερ ἡ ὕλη, διότι ἡ μὲν κοσμεῖται καὶ τάττεται καὶ ὁρίζε- 25
20 ται τῇ παρουσίᾳ τοῦ εἴδους, τὸ δ' ὁρίζει καὶ κοσμεῖ, καὶ ὅτι ἕκαστον τῶν ὄντων οὐ κατὰ τὴν ὕλην ἀλλὰ κατὰ τὸ εἶδος χαρακτηρίζεται. ὥστε κατά τι μὲν μᾶλλον οὐσία ἡ ὕλη ἤπερ τὸ εἶδος, κατά τι δὲ πάλιν μᾶλλον οὐσία τὸ εἶδος ἤπερ ἡ ὕλη.

p. 191a20 Ἀλλ' ὅτι αἱ ἀρχαὶ τρεῖς καὶ πῶς τρεῖς.

25 Τὸ πῶς τρεῖς ἀντὶ τοῦ ποῖαι τρεῖς, ὅτι [ἡ] ὕλη εἶδος στέρησις. καὶ 30
τίς ὁ τρόπος αὐτῶν. εἴπομεν ὅτι αἱ μὲν καθ' αὑτὸ ἀρχαὶ αἱ δὲ κατὰ

---

2 δὲ ἀρσενικὸν] δ' ἄρθρον K 3 ὅτι ἀρχὴ τἀναντία om. K ἀρχὴ LM: ἀρχαὶ recte ex Arist. t τὰ ἐναντία M: τἀναντία (L)t 4 ἀνακεφαλεοῦται M 5 αἱ (ante ἀρχαὶ) om. L εἰσὶν ἀρχαὶ καθ' αὑτό L 6. 7 λόγῳ δὲ — ἀριθμῷ ἕν K: om. LMt 7 καὶ ἡ] καὶ εἰ K 7. 8 θήλει, ἀναλο K 8 τὸ δὲ ἄρρενι t: τοδἄρενι K: το δὲ (δ' L) ἄρρεν LM 9. 10 τὸ εἶδος — δῆλον om. K 11 sqq. cf. Simplic. p. 234,2 sqq. 11 Μετὰ τὰ φυσικὰ Z 3 12. 14 καὶ ὅπως — ἅπαν ἀρχή ex Themist. p. 149,19, unde conicias post καὶ εἰ excidisse μὲν ἅπαν εἶδος ἄφθαρτον, πῶς οὐκ ἀΐδιον ἅπαν, εἰ δὲ 14 εἴπομεν K 14. 15 εἰρημένα περὶ τούτου K 17 αὐθυπόστατόν (sic) M 19 ἤπερ M: εἴπερ (item v. 22 et 23) K 20 ὅτι om. K 21 ὄντων] οὔτων K ἀλλὰ om. superscr. L 22 μᾶλλον (post πάλιν) om. L 24 αἱ om. K καὶ πῶς τρεῖς om. K 25 Τὸ πῶς τρεῖς om. t ἡ delevi 26 μὲν] ἀρχαὶ L

www.libtool.com.cn

συμβεβηκός, καὶ ὅτι ἡ μὲν ὕλη τὸ ὑποκείμενον τὸ δὲ εἶδος τὸ κοσμοῦν e 2r
καὶ ὁρίζον αὐτήν, ὥσπερ τὸ τοῦ ἀνδριάντος εἶδος τὸν χαλκόν.

p. 191a23 Ὅτι δὲ μοναχῶς οὕτως λύεται καὶ ἡ τῶν ἀρχαίων ἀπορία, λέγομεν μετὰ ταῦτα.

Τεκμήριόν ἐστι τῶν καλῶς καὶ ἐπιστημονικῶς ἀποδεδομένων λόγων, ὅταν τοιοῦτοι ὦσιν οἱ ἀποδοθέντες περὶ τοῦ πράγματος λόγοι, ὡς καὶ τὴν αὐτοῦ τοῦ πράγματος φύσιν ἱκανῶς παραστῆσαι καὶ τὰς φερομένας πρὸς αὐτὸ ἀπορίας ἐπιλύσασθαι. τοιοῦτοί εἰσι καὶ οἱ ἀποδοθέντες λόγοι περὶ τῶν ἀρχῶν τῶν φυσικῶν πραγμάτων ὑπὸ Ἀριστοτέλους· τάς τε γὰρ ἀρχὰς τὰς κοινοτάτας τῶν φυσικῶν πραγμάτων ἱκανῶς ἡμῖν παρέστησε, καὶ τὰς φερομένας ἀπορίας πρὸς αὐτὰ δι' αὐτῶν ἐπιλυσόμεθα, ὅπερ καὶ νῦν ὁ Ἀριστοτέλης ποιεῖ. φέρονται δὲ ἀπορίαι περὶ τῶν φυσικῶν πραγμάτων, ὧν ἤδη ἐμνήσθημεν ἐν τοῖς πρὸς Ἀναξαγόραν λόγοις, εἰσὶ δ' αὗται αἱ τὴν γένεσιν ἀναιροῦσαι.

Ζητοῦντες γάρ, φησίν, οἱ πάλαι τὴν τῶν πραγμάτων ἀλήθειαν, ὑπὸ ἀπειρίας διαλεκτικῆς ἐξετράπησαν τῆς ἀληθείας καὶ ἐνόμισαν μηδ' ὅλως εἶναι γένεσιν. εἰ γὰρ γίνοιτό τι, φασίν, ἢ ἐξ ὄντος γίνεται ἢ ἐκ μὴ ὄντος· ἀλλ' οὔτε ἐξ ὄντος δυνατὸν γενέσθαι (πῶς γὰρ ἂν τὸ ὂν γένοιτο; ἔσται γὰρ πρὶν γενέσθαι), οὔτε ἐκ μὴ ὄντος (ἀδύνατον γὰρ ἐκ μὴ προϋποκειμένου τινὸς γενέσθαι τι). καὶ κοινὴ δόξα ἐστὶν αὕτη πάντων τῶν φυσικῶν τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι· δεῖ γὰρ τὸ γενησόμενόν τι πρὶν γενέσθαι δύναμίν τινα καὶ ἐπιτηδειότητα ἔχειν εἰς τὸ γενέσθαι· εἰ γὰρ πρὶν γένοιτό τι μὴ δύναιτο γενέσθαι, οὐδ' ἂν γένοιτο. ἀνάγκη οὖν πρὶν γενέσθαι ἔχειν δύναμιν τοῦ γενέσθαι· τὸ δὲ δυνάμενον γενέσθαι ὄν τί ἐστι, καὶ αὐτὴ ἡ δύναμις· οὐδὲν ἄρα ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται. ἔοικεν οὖν μηδ' ὅλως εἶναι ἡ γένεσις. διὰ τοῦτο οὖν τὴν γένεσιν ἀναιροῦντες, ἐκκρίσει καὶ συγκρίσει καὶ θέσει τοῖς τοιούτοις τὰ πράγματα ἐποίουν. ἐκ δὲ ταύτης, φησί, τῆς ἀρχῆς ὁρμώμενοι, καὶ τὸ πλῆθος ἀνῄρουν ἐκ τῶν ὄντων· "ἑνὸς γὰρ ἀτόπου δοθέντος", ὡς αὐτός φησι, μυρία ἕψεται. ἐξ οὗ γὰρ ἀνῄρουν τὴν γένεσιν τῷ μὴ δύνασθαι τὸ μὴ ὂν ὑποκεῖσθαι τοῖς γινομένοις ἐξ οὗ γίνονται (εἰ γὰρ ὑποκέοιτο αὐτοῖς τὸ μὴ

---

1 συμβεβυκός t 2 ὁρίζων K 3 lemma om. K 4 λέγομεν M: λέγοιμεν L: λέγωμεν t
7 τοῦ iterat K 7. 8 πρὸς αὐτὸ φερομένας Mt 9 ὑπὸ (ὑπ' t) LKt: ὑπὲρ M
ἀριστοτέλ[ου] M 9. 10 ἀρχὰς τὰς (τε pro τὰς L) κοινοτάτας LK: κοινοτάτας ἀρχὰς Mt
10 παρέστησαν concinnius Mt 11 πρὸς αὐτὰς Mt καὶ om. L 13 ἐμνήσθημεν p. 89,3 sqq. 94,18 sqq. 14 ἀναιροῦσι L 16 διαλεκτικῆς] τοῦ διαλέγεσθαι Themist. p. 150,2 17 γίγνοιτό t ἡ (pro ἢ) utrobique K 18 γένοιτο LKM: γίνοιτο t 19 γὰρ om. K μὴ om. superscr. L 21. 22 γίνεσθαι — εἰς τὸ om. K
23 γένοιτό τι KM: γίνοιτό τι (L)t 24 δύναμιν τινὰ τοῦ L 25 αὐτὴ L: αὕτη KMt at cf. p. 52,3 26 διὰ τοῦτο κτλ.] cf. Themist. p. 150,7 27 ἐκκρίσει LK: ἐνκρίσει (sic) M: διακρίσει t 29 φησι] cf. Phys. A 2 p. 185a11 vel 3 p. 186a9 (cl. Philop. p. 30,5. 59,11. 174,26) 30 τῷ] τὸ K 31 γίνονται LK: γίνοιντο Mt ὑποκέοιντο M

www.libtool.com.cn

ὄν, συμβήσεται τὸ μὴ ὂν εἶναι), ἐκ τούτου καὶ τὸ πλῆθος ἀνῄρουν. | εἰ γὰρ 62r
ἔστι πλῆθος, ἔστι καὶ ἑτερότης, εἰ δὲ τοῦτο, ἔστι καὶ τὸ μὴ ὄν· οὐκ ἔστι
γὰρ Σωκράτης ὅπερ Πλάτων. ὥστε ἐστὶ Σωκράτης μὴ ὄν· οὐ γάρ ἐστι
Πλάτων. ἔστι δὲ καὶ ὄν· Σωκράτης γάρ ἐστι. τὸ αὐτὸ ἄρα καὶ ὂν καὶ μὴ
5 ὂν ἔσται, ὅπερ ἀδύνατον. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ πλῆθος εἶναι ἐν τοῖς
οὖσιν ἀδύνατον. ἓν ἄρα τὸ ὂν καὶ ἀκίνητον. ἐκεῖνοι μὲν οὖν ἐκ τούτων
ἀνῄρουν τὴν γένεσιν δι' ἀπειρίαν τῆς διαλεκτικῆς μεθόδου· καλῶς μὲν γὰρ 5
περὶ γενέσεως ζητοῦντες ἐκ διαιρέσεως προήγαγον τὸν λόγον καὶ διαιρέ-
σεως τῆς κατ' ἀντίφασιν, λέγοντες ὅτι εἰ γίνεταί τι ἢ ἐξ ὄντος γίνεται
10 ἢ ἐκ μὴ ὄντος (ἀντίφασις γὰρ τὸ ὂν καὶ τὸ μὴ ὄν), κακῶς δ' ὅτι ἀτελῶς
ἐχρήσαντο τῇ διαιρέσει· οὐδὲ γὰρ τὸ ὂν ἑνός τινος πράγματός ἐστι σημαν-
τικόν, ὁμοίως δὲ οὐδὲ τὸ μὴ ὄν. ἔδει οὖν καὶ τούτων ἐπιδιαίρεσιν ποιή-
σασθαι, καὶ οὕτως πάντα τὰ μόρια τῆς διαιρέσεως ἐπισκοπῆσαι, εἰ ἐνδέ-
χεται κατά τι αὐτῶν γενέσθαι τὴν γένεσιν· ὁμώνυμος γὰρ φωνὴ καὶ τὸ 10
15 ὄν, ὁμοίως δὲ καὶ τὸ μὴ ὄν. ἁπλῶς μὲν γὰρ ὂν οὐδέν ἐστιν· οὐδὲ γὰρ ἔστι
κοινή τις φύσις τοῦ ὄντος, ἀλλ' ἔστιν ὁμώνυμος φωνὴ κατὰ πλειόνων γενῶν
κατηγορουμένη· ἡ γὰρ οὐσία ἐστὶ τὸ ὂν ἢ ποσὸν ἢ ποιὸν ἢ τι τῶν ἄλλων.
ὁμοίως οὐδὲ τὸ μὴ ὂν ἕν τι καὶ ἁπλοῦν σημαίνει, ἀλλ' ἤτοι τὸ ἁπλῶς μὴ
ὄν, ὅπερ μηδὲν τῶν ὄντων ἐστίν, ἢ τὸ τὶ μὴ ὄν· ἡ γὰρ οὐσία τὶ μὴ ὄν·
20 οὐδὲ γὰρ ἐστιν ὅπερ τὸ ποσὸν ἢ τὸ ποιόν. ὁμοίως καὶ τῶν ἄλλων ἕκαστον
καὶ ὂν ἐστι καὶ μὴ ὂν κατὰ ἄλλο καὶ ἄλλο, ἄλλο μὲν ὄν τι ἄλλο δὲ μὴ ὄν. 15

Ἐκεῖνοι μὲν οὖν διὰ τὴν ἀπειρίαν τῆς διαιρετικῆς μεθόδου εἰς ταύτην
τὴν ἀπορίαν ἐξέκλιναν, ὥστε τὰ ἐναργῆ οὕτως ἀνελεῖν βιαζόμενοι ὑπὸ τοῦ
λόγου, τήν τε γένεσιν φημι καὶ τὸ πλῆθος. ἐπιλύεται δὲ ὁ Ἀριστοτέλης
25 τὰς ἀπορίας ἐκ τῶν ἀποδεδομένων λόγων περὶ τῶν ἀρχῶν· εἴρηται γὰρ
ὅτι τῶν ἀρχῶν αἱ μέν εἰσι καθ' αὑτὸ ἀρχαί ἡ ὕλη καὶ τὸ εἶδος, ἡ δὲ
κατὰ συμβεβηκός ἡ στέρησις. καὶ ἐκ τοῦ καθ' αὑτὸ οὖν καὶ ἐκ τοῦ κατὰ
συμβεβηκὸς ἐπιλύεται τὴν ἀπορίαν. καὶ ἐκ τοῦ δυνάμει καὶ ἐκ τοῦ ἐνεργείᾳ. 20
εἰ μὲν γὰρ ἁπλῶς ἐγίνετό τι, δῆλον ὅτι καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἐγί-
30 νετο ἄν· νῦν δὲ τὸ γινόμενον τί ἐστιν (οὐδὲν γὰρ ἁπλῶς γίνεται)· εἰ δὲ
τὸ γινόμενον τί ἐστιν, δῆλον ὅτι καὶ ἐκ τινὸς μὴ ὄντος γίνεται· ὡς γὰρ

1. 2 γαρ ἐστιν L: [illegible] 2 στερότης K 4. 5 ἄρα καὶ μὴ ὂν, καὶ ὂν ἔσται M: 5 εἶναι] εἶναι K 5. 6 πλῆθος ἐν τοῖς οὖσιν εἶναι. ἀδύνατον M: 6 ἐν ἄρα τὸ ὂν K: ἄρα τὸ ὂν ἓν L: ἄρα τὸ ὂν (om. ἓν) M: [illegible] ἐκ τούτων om. superscr. M 9 κατ' ἀντίφασιν in textu, κατ' ἀντιθεσιν in marg. M 9. 10 ἢ ἐξ ὄντος γίνεται K 11 ὄντος om. K 12 ἐπιδιαίρεσιν scripsi: ἐπὶ διαίρεσιν libri 14 ὁμώνυμος et 15 ὁμώνυμος K καὶ om. K

15 [illegible] (om. superscr.) L 16 ἐν L K: [illegible] M: 17 κατηγορούμ K
ἡ γαρ L: ἡ γαρ K M: 18 [illegible] K 20 [illegible] K ἢ τὶ ποσὸν om. K
22 διαιρετικῆς L K: διαλεκτικῆς (et 23 [illegible]) M: 23 ἀπορίαν L K: ἀπορίαν M: [illegible] M: 24 στερ. L K: στερ. M
25. 26 [illegible] L 25 [illegible] et 26 [illegible] 27. 28 τοῦ [illegible] L 28 [illegible] (om.) M: 29 ἐκ τοῦ L K: ἐκ (om. τοῦ) M 30 [illegible] (om.) K: om. L M: 31 post δῆλον [illegible] M

www.libtool.com.cn

τὸ ἁπλῶς ὂν ἐξ ἁπλῶς μὴ ὄντος γίνεται, οὕτω καὶ τὸ τὶ ὂν ἐκ τινὸς μὴ e 2v
ὄντος γίνεται. τὸ μὲν οὖν ἁπλῶς ὂν ἀδύνατον γενέσθαι· γένοιτο γὰρ ἂν ἐκ
τοῦ πάντῃ μὴ ὄντος, καὶ ἐνταῦθα ὑγιὴς ὁ παρ' αὐτῶν λεγόμενος λόγος.
ἐπειδὴ δὲ τὸ γινόμενον οὐχ ἁπλῶς γίνεται ἀλλὰ τὶ, καὶ τὸ ἐξ οὗ γίνεται
5 τὶ μὴ ὂν ἔσται· τὸ δὲ τὶ μὴ ὂν καὶ τὶ ὄν ἐστι, τοῦτο δὲ σύνθετόν 25
ἐστιν ἐξ ὕλης καὶ εἴδους· πᾶν γὰρ τὸ ἐνεργείᾳ ὂν τοιοῦτον. ὅταν οὖν λέ-
γωμεν ὅτι γίνεται τὸ γινόμενον ἐξ ὄντος, οἷον τὸ πῦρ ἐξ ἀέρος, ἐκ καθ'
αὐτὸ μὲν ὄντος τοῦ ἀέρος δηλονότι λέγομεν γίνεσθαι τὸ πῦρ (καθ' αὐτὸ
γὰρ ὂν ὁ ἀήρ), ἀλλ' οὐ καθ' αὐτὸ ὡς ἐξ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός·
10 καθ' αὐτὸ γὰρ ἔμπροσθεν ἐλέγομεν εἶναι ἀρχὴν τοῦτο ὃ μέρος γίνεται τοῦ
γινομένου, ὡς ἡ ὕλη καὶ τὸ εἶδος.. εἰ οὖν ὁ ἀὴρ οὐ γίνεται μέρος τοῦ
πυρός, δῆλον ὅτι οὐ καθ' αὑτὸ ἐξ ὄντος τοῦ ἀέρος γίνεται τὸ πῦρ, ἀλλ' ὅτι 30
συνέβη τὸ ἐξ οὗ καθ' αὑτὸ γίνεται, λέγω δὴ τὴν ὕλην, τὸ τοῦ ἀέρος εἶδος
ἔχειν. οὐδὲν γὰρ συμβάλλεται εἰς τὴν τοῦ πυρὸς γένεσιν τὸ ἀέριον εἶδος·
15 γίνεται γοῦν οὐδὲν ἧττον καὶ ἐξ ὕδατος καὶ γῆς καὶ ἐκ πάντων τῶν συνθέ-
των πῦρ. εἰ μὲν οὖν ἐκ τῆς ὕλης θεωροῦμεν γινόμενον, ἐκ ταύτης ὡς ἐκ
καθ' αὑτὸ ὄντος γίνεται (καθ' αὑτὸ γὰρ ὂν ἡ ὕλη καὶ καθ' αὑτὸ ὡς ἐξ
ὄντος· μέρος γὰρ αὐτοῦ γίνεται ἡ ὕλη. καὶ οὐδέν γε ἄτοπον· οὐ γὰρ ὅπερ
ἐστὶν ἡ ὕλη τοῦτο γίνεται, ἀλλὰ ἄλλο μέν ἐστιν, ἄλλο δὲ γίνεται), ἀλλ' 35
20 ἐκεῖνοι τὴν ἐκ τῆς ὕλης γένεσιν οὐδ' ἐνενόουν, ἀλλ' ἐκ τῶν μερικῶν γε-
νέσεων τὰς ἀπορίας ἔφερον, ὅτι φαίνεται ὁ ἀὴρ γινόμενος πῦρ· εἰ οὖν
ἔστιν ὁ ἀήρ, οὗτος δὲ γίνεται πῦρ, τὸ ὂν ἄρα γίνεται. φαμὲν οὖν ἡμεῖς
πρὸς τὴν αὐτῶν ἀπορίαν ἀπαντῶντες, ὅτι εἰ καὶ ἐξ ἀέρος γίνεται, ἀλλ' οὐχ
ᾗ ἀὴρ οὕτως ἐξ αὐτοῦ γίνεται, ἀλλὰ κατὰ συμβεβηκός, ἐπειδὴ συνέβη τὸ
25 ὑποκείμενον τὸ ἀέριον εἶδος ἔχειν· ὥστε εἰ καὶ ἐξ ὄντος γίνεται τὸ γινό-
μενον, ἀλλ' οὐχ ᾗ ὄν ἐστιν, ἀλλ' ᾗ συμβέβηκε τὸ ἐξ οὗ καθ' αὑτὸ γίνε-
ται [τουτέστιν ἡ ὕλη] ὂν εἶναι, τουτέστιν εἰδοπεποιῆσθαι. πάλιν καὶ ὅταν 40
ἐκ μὴ ὄντος λέγωμεν γίνεσθαι, οὐχ ᾗ μὴ ὄν ἐστιν οὕτως γίνεται ἐξ αὐτοῦ
γινόμενον· οὐ γὰρ ἡ στέρησις τοῦ πυρὸς μέρος αὐτοῦ γίνεται. λέγομεν
30 οὖν τὸ πῦρ ἐκ μὴ ὄντος γίνεσθαι, ἀλλ' οὐχ ἁπλῶς ἐκ μὴ ὄντος, ἀλλ' ἐκ
τινὸς μὴ ὄντος (γίνεται γὰρ ἐξ οὐ πυρός), ἀλλ' οὐ καθ' αὐτὸ ἐκ τοῦ οὐ

---

2 post ἂν addit καὶ L 3 πάντι (sic) K 4 ἁπλῶς ⌐$^{\alpha\iota}$ (h. e. γίνεται) λέγεται K 5 τὶ ὄν K: τὸ τὶ ὄν LMt 6. 7 λέγομεν KM 8 μὲν LK: μὴ Mt 10 καὶ καθ' αὑτὸ γὰρ M ἔμπροσθεν p. 154,18 sqq. 164,3 sqq. 12 ἐξόντας K 13 τὸ τοῦ LK: τὴν τοῦ Mt 14 τὸ ἀέριον ὕδωρ L 16 θεοροῖμεν K γινόμενον (γινόμ$^{\epsilon}$) K: τὸ γινόμενον L: γινομένην Mt ὡς (post ταύτης) Mt: καὶ LK 19 ἄλλο μὲν γάρ (om. ἀλλὰ) L 20 οὐδ' ἐνενόουν M: οὐδὲ (ἐ ex ἐν) ἓν ἐνόουν K: οὐδὲν ἐνενόουν L: οὐδ' ἐννόουν t 21 ἐφέρομ$^{\nu<}$ M γενόμενος L 22 οὗτος δὲ LMt: αὐτὸς δὲ K 23 ἀπατῶντες K ἀλλ' οὖν (sic) οὐχ K 24 οὕτως] οὔτε L 25. 26 τὸ γινόμενον K: τὰ γινόμενα LMt 26 ἀλλ' ᾗ M 26. 27 τῷ ἐξ οὗ καθ' αὑτὸ γίνεται, τούτεστι τῇ ὕλῃ t: malui τουτέστιν ἡ ὕλη inducere quam rescribere τουτέστι τὴν ὕλην 27 εἰδοπεποιεῖσθαι K 28 οὐχ ἡ K: οὐχὶ M οὕτως K: οὕτω L: οὔτε Mt 29 γινόμενον LM: γίνεται K: τὸ γινόμενον coniecit t 31 γὰρ ἐξοῦ πυρός K

www.libtool.com.cn

πυρὸς γίνεται, ἀλλὰ καθ' αὑτὸ μὲν ἐκ τοῦ ὑποκειμένου, ἐπειδὴ δὲ τοῦτο e 2v
ἔχει τὴν στέρησιν τοῦ πυρός, ὅπερ ἐστὶ καθ' αὑτὸ μὴ ὄν, λέγομεν τὸ πῦρ
ἐκ μὴ ὄντος γίνεσθαι, κατὰ συμβεβηκὸς δὲ ἐκ τοῦ μὴ ὄντος. κἂν τὴν προ- 45
σεχῆ δὲ γένεσιν σκοπήσωμεν, ἔστι δηλονότι ἐν τῷ ἀέρι ἡ τοῦ πυρὸς στέ-
5 ρησις· ἔστι γὰρ ὁ ἀὴρ οὐ πῦρ, τουτέστι τὶ μὴ ὄν. γίνεται οὖν ἐκ τοῦ τὶ
μὴ ὄντος οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, μόνως δὲ καθ' αὑτὸ ἐκ
τοῦ ὑποκειμένου καὶ τῆς ὕλης γίνεται. ἀλλ' εἰ καὶ ἐκ καθ' αὑτὸ ὄντος τῆς
ὕλης γίνεται καὶ καθ' αὑτὸ ὡς ἐξ ὄντος, ⟨οὐ⟩ συνάγεται ἄτοπον τὸ τὸ γινόμενον
ἤδη εἶναι πρὶν γενέσθαι· οὐδὲ γὰρ τοῦτο γίνεται ὅπερ ἤδη ἐστίν, ἀλλὰ
10 ἄλλο μέν ἐστιν ἄλλο δὲ γίνεται. ὥσπερ ὁ χαλκὸς γινόμενος ἀνδριὰς οὐ
τοῦτο γίνεται ὅπερ ἦν, ἀλλὰ ἄλλο μέν ἐστιν ἄλλο δὲ γίνεται, οὕτως καὶ 50
ἐπὶ πάντων τῶν φύσει γινομένων, ὅταν τὴν ἐκ τῆς ὕλης καὶ τοῦ τριχῇ
διαστατοῦ γένεσιν αὐτῶν θεωρήσωμεν, τοῦτο συμβαίνει. ἔστιν οὖν ἐπὶ
πάσης γενέσεως καὶ ἐκ τῆς πρώτης καὶ ἐκ τῆς προσεχοῦς καὶ τὸ ἐξ ὄντος
15 καὶ τὸ ἐκ μὴ ὄντος, καὶ τοῦτο οὐκ ἔστιν ἀντίφασις· οὐ γὰρ κατὰ τὸ αὐτὸ
ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος, ἀλλ' ἐξ ὄντος μέν, | ἐπειδὴ ἕτερόν τί ἐστιν, ἐκ e 3r
μὴ ὄντος δέ, ἐπειδὴ τοῦτο οὐκ ἔστιν ὃ γίνεται. ἀλλ' ἐπὶ μὲν τῆς ἐκ τῆς
ὕλης γενέσεως ἐκ καθ' αὑτὸ μὲν ὄντος γίνεται, οὐχὶ δὲ ἐκ καθ' αὑτὸ μὴ
ὄντος (οὐ γὰρ μέρος γίνεται ἡ στέρησις τοῦ γινομένου, ὥσπερ ἡ ὕλη), ἐπὶ
20 δὲ τῆς προσεχοῦς γενέσεως, οἷον ὅταν γίνηται ἐξ ἀέρος πῦρ, οὔτε ὡς ἐκ
καθ' αὑτὸ ὄντος γίνεται, οὔτε ὡς ἐκ καθ' αὑτὸ μὴ ὄντος (οὔτε γὰρ ὁ ἀὴρ
οὔτε ἡ στέρησις τοῦ πυρὸς μέρος γίνεται τοῦ πυρός), ἀλλὰ καὶ ἐξ ὄντος 5
καὶ ἐκ μὴ ὄντος καὶ κατὰ συμβεβηκὸς γίνεται ἐκ τοῦ ἀέρος τὸ πῦρ, ἐξ ἄλλου
δέ τινος ὄντος γίνεται καθ' αὑτὸ τῆς ὕλης κατὰ τὸν εἰρημένον τρόπον.
25 Καθ' ἕνα μὲν οὖν τρόπον οὕτως ἐπιλύεται τὰς ἀπορίας, ἐκ τοῦ καθ'
αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός, ἅπερ ἐν τῷ τῶν ἀρχῶν λόγῳ παρείληφεν·
εἶπε γὰρ τῶν ἀρχῶν τὰς μὲν εἶναι καθ' αὑτὸ τὴν ὕλην καὶ τὸ εἶδος, τὴν
δὲ κατὰ συμβεβηκὸς τὴν στέρησιν. ὥστε ἐξ οὗ γίνεται οὐ πάντως ἐκ καθ'
αὑτὸ ὄντος γίνεται, ἀλλὰ καὶ ἐκ τοῦ κατὰ συμβεβηκὸς ὄντος. ἐλύθησαν 10
30 οὖν αἱ ἀπορίαι ἐκ τοῦ περὶ τῶν ἀρχῶν ἀποδεδομένου λόγου, ἐπιλύεται δ'
αὐτὰς καὶ ἐκ τοῦ δυνάμει καὶ ἐκ τοῦ ἐνεργείᾳ. ἐπεὶ γάρ ἐστι τῶν πραγμά-
των τὰ μὲν δυνάμει τὰ δὲ ἐνεργείᾳ, ὅταν λέγωμεν ἐξ ὄντος γίνεσθαι, ἐκ

1 ἐπεὶ δὲ l. 4 δῆλον K ἡ om. K 5 τί μὴ ὄν K: τὸ μὴ ὄν LMt τὶ (post τοῦ) om. Mt 6. 7 ἐκ τῆς ὕλης καὶ τοῦ ὑποκειμένου L 7 ὕλης λέγεται. ἀλλ(ε)ὶ καὶ μὴ (om. ἐκ) καθ' K 8. 9 καὶ καθ' αὑτὸ ὡς — τοῦτο γίνεται om. K 8 οὐ addidi τὸ τὸ l.: τὸ Mt 10 fort. ὥσπερ γὰρ ὁ at cf. p. 38,25 11 ἦν LK: ἐστιν Mt 12. 13 ἢ καὶ τοῦ τριχῇ διαστατοῦ K 14 post προσεχοῦς addit ὕλης t at cf. p. 164,11 15. 17 καὶ τοῦτο — γίνεται ex Themist. p. 152,15 17 ἐπεὶ] ἐπὶ K 18 οὐχ ἡ l. 19 τοῦ γινομένου Kl.: τοῦ ἀντικειμένου Mt 20 γίνηται t: γίνεται KM: γένηται l. πῦρ, οὔτε ἐκ (h. e. plane οὔτε ὡς ἐκ) M: omisit tamen ὡς t 22 ἐξόντος K 23 καὶ (ante κατὰ) recte om. l. 24 γίνεται ὄντος fort. recte Mt 26 κατὰ συμβεβηκὸς K λόγων compend. M παρείληφεν K 27 εἶπε κτλ.] cf. Arist. c. 7 p. 190b24 sqq. 30 τῶν om. Mt 31 ἐκ τοῦ (ante ἐνεργείᾳ) om. K

www.libtool.com.cn

δυνάμει μὲν ὄντος λέγομεν ἐνεργείᾳ δὲ μὴ ὄντος. ὁμοίως καὶ ὅταν ἐκ τοῦ e 3r
μὴ ὄντος, οὐκ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἀλλ' ἐκ τοῦ ἐνεργείᾳ μὲν
μὴ ὄντος δυνάμει δ' ὄντος· δυνάμει γάρ ἐστιν ἡ ὕλη πάντα τὰ φυσικὰ
εἴδη, ἐνεργείᾳ δ' οὐδέν, διότι οὐδὲ χωρὶς τῶν εἰδῶν ὑπάρξειέν ποτε. οὐκ 15
5 ἔστι δὲ ταὐτὸν τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, καὶ τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ
συμβεβηκός· ἔστι γὰρ καὶ δυνάμει εἶναι καὶ καθ' αὑτό, καὶ δυνάμει καὶ
κατὰ συμβεβηκός, ὁμοίως δὲ καὶ ἐνεργείᾳ καὶ καθ' αὑτό, καὶ ἐνεργείᾳ καὶ
κατὰ συμβεβηκός. ὅταν γὰρ εἴπω ὅτι ὁ ἰατρὸς ἰατρεύει, ἐνεργείᾳ εἶπον καὶ
καθ' αὑτό, ὅταν δὲ ὁ ἰατρὸς ἰατρεύσει, δυνάμει εἶπον καὶ καθ' αὑτό· καὶ
10 πάλιν ὅταν μὲν εἴπω ὅτι ὁ ἰατρὸς οἰκοδομεῖ, ἐνεργείᾳ εἶπον καὶ κατὰ συμ-
βεβηκός (οὐ γὰρ ᾗ ἰατρὸς οἰκοδομεῖ, ἀλλ' ᾗ συνέβη οἰκοδόμον ὄντα αὐτὸν
καὶ ἰατρὸν εἶναι· τοῦ οἰκοδόμου οὖν καθ' αὑτὸ οἰκοδομοῦντος λέγεται κατὰ 20
συμβεβηκὸς ὁ ἰατρὸς οἰκοδομεῖν, διότι ἕν εἰσι τῷ ὑποκειμένῳ ὁ ἰατρὸς καὶ
ὁ οἰκοδόμος), ὅταν δὲ εἴπω ὅτι ὁ ἰατρὸς οἰκοδομήσει, δυνάμει εἶπον καὶ
15 κατὰ συμβεβηκός. ὥστε ἐκ μὲν τῆς ὕλης καθ' αὑτὸ μὲν ὄντος γίνεται τὰ
γινόμενα, δυνάμει δ' ὄντος καὶ οὐκ ἐνεργείᾳ, διότι καθ' ἑαυτὴν οὐχ ὑφέ-
στηκεν ἡ ὕλη ἐνεργείᾳ ἐκτὸς εἰδῶν, ἀλλὰ κατὰ τὸν ἴδιον λόγον δυνάμει
ἐστὶ πάντα ἐνεργείᾳ δὲ οὐδέν, ἐπειδὴ ἐνεργείᾳ ὑπάρχειν λέγεται τὸ εἰδο-
πεποιημένον. πάλιν καὶ ἐκ τῆς στερήσεως ἐξ ἐνεργείᾳ μὲν μὴ ὄντος γίνε- 25
20 ται, δυνάμει δ' ὄντος. τίς οὖν ἡ διαφορὰ τῆς ὕλης πρὸς τὴν στέρησιν, εἴ
γε ἐξ ἀμφοῖν ἐκ δυνάμει μὲν ὄντων γίνεται, ἐνεργείᾳ δὲ μὴ ὄντων; ὅτι ἐπὶ
μὲν τῆς ὕλης τὸ μὲν ὂν καθ' αὑτό ἐστι (καθ' αὑτὸ γὰρ ὂν ἡ ὕλη, τὸ δὲ
μὴ ὂν κατὰ συμβεβηκός, διότι συνέβη τὴν στέρησιν αὐτὴν ἔχειν), ἐπὶ δὲ
τῆς στερήσεως ἔμπαλιν ἐπὶ μὲν τοῦ μὴ ὄντος τὸ καθ' αὑτό, ἐπὶ δὲ τοῦ
25 ὄντος τὸ κατὰ συμβεβηκός· καθ' αὑτὸ γὰρ μὴ ὂν ἡ στέρησις, κατὰ συμ-
βεβηκὸς δὲ ὄν, διότι συνέβη αὐτὴν ἐν τῇ ὕλῃ εἶναι. ὥστε εἰ τὸ γινόμενον
γίνεται ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος, οὐκ ἄρα τὸ γινό- 30
μενον ἦν πρὶν γενέσθαι· οὐ γὰρ ἦν ἐνεργείᾳ. καὶ πάλιν ὅταν ἐκ μὴ ὄντος
λέγωμεν γίνεσθαι τὸ ὄν, οὐκ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος λέγομεν, ἀλλ'
30 ἐκ τοῦ ἐνεργείᾳ ⟨μὲν⟩ μὴ ὄντος δυνάμει δὲ ὄντος. ὥστε καὶ διὰ τοῦ δυνάμει
καὶ τοῦ ἐνεργείᾳ ἐπιλέλυνται αἱ ἀπορίαι, καὶ τούτου δὲ τοῦ τρόπου τῆς ἐπι-
λύσεως οἱ ἀποδεδομένοι περὶ τῶν ἀρχῶν λόγοι αἴτιοι· ἡ γὰρ στέρησις ἐνυ-

---

1 post λέγομεν add. γίνεσθαι Mt ὁμοίος (sic) K δὲ καὶ L 2 μηδαμῶς ὄντως K 2. 3 μὲν μὴ ὄντος] μὲν μὴ ὄν K 4 ὑπάρξειεν L: scribe ὑπάρξειεν ἄν 4. 5 οὐκ ἔστι LK: οὐκέτι Mt 5 τὸ extremum om. superscr. M 7. 8 ὁμοίως — συμβεβηκὸς om. K 9 post δὲ add. ὅτι Mt ἰατρεύσει K: ἰατρεύσῃ LMt καὶ (post εἶπον) om. K 9. 10 καὶ πάλιν] πάλιν δ' K 10 ὅτι om. K 11 ἀλλ' ᾗ] ἀλλ' ἢ M: ἄλλα (sic) K οἰκοδόμον αὐτὸν ὄντα K 11. 12 malim ἰατρὸν ὄντα αὐτὸν καὶ οἰκοδόμον cl. p. 175,10 13 καὶ ὁ ἰατρὸς (priore loco) fort. recte K ἕν εἰσι K: ἓν M: ἐν (L)t τῷ ὑποκειμένῳ LM: τὸ ὑποκείμενον K: τῷ αὐτῷ ὑποκειμένῳ t 14 ὅτι om. Mt οἰκοδομήσῃ M 16 καθ' αὐτὴν (sic) K 17. 18 δυνά (sic) ἐστὶ K 21 μὲν om. superscr. M ὅτι K: ὅπερ LMt: fort. ὅτιπερ cf. ad p. 4,2 26 αὐτῇ L 27 γίνεται om. L 28 οὐ γὰρ ἡ ἐνεργεία K 29 λέγωμεν Lt: λέγομεν KM 30 μὲν addidi 31 ἐπιλύονται Mt καὶ τούτου κτλ.] cf. Themist. p. 152,27 τούτο (sic) K

www.libtool.com.cn

πάρχουσα τῇ ὕλῃ δυνάμει αὐτὴν εἶναι ποιεῖ καὶ οὐκ ἐνεργείᾳ. ἐπειδὴ γὰρ e 3r
τὸ δεχόμενον τὸ εἶδος τοῦτο καὶ τὴν στέρησιν πέφυκε δέχεσθαι, καὶ οὐκ ἂν 25
δέξαιτο τὴν στέρησιν τὸ μηδὲ τὸ εἶδος πεφυκὸς δέχεσθαι, ὡς εἴρηται ἐν
Κατηγορίαις, διὰ τοῦτο ἐπειδὴ ἔστιν ἐν τῇ ὕλῃ ἡ στέρησις, πέφυκε δήπου
5 καὶ τὸ εἶδος εἶναι ἐν αὐτῇ. ἐπειδὴ οὖν πέφυκε μὲν ἐν αὐτῇ εἶναι, οὔπω
δὲ ἔστιν (ἀδύνατον γὰρ ἅμα εἶναι τὴν στέρησιν καὶ τὸ εἶδος), διὰ τοῦτο
δυνάμει λέγεται εἶναι καὶ οὐκ ἐνεργείᾳ. πρόδηλον δὲ δήπου ἐκεῖνο, ὅτι καὶ
τὴν στέρησιν ἐνταῦθα λαμβάνομεν μεταβάλλουσαν εἰς τὸ εἶδος, καὶ οὐχ ὡς
ἐν Κατηγορίαις τὴν ἕξιν μόνην εἰς τὴν στέρησιν, οὐκέτι δὲ καὶ ἔμπαλιν· 40
10 τοῦτο δὲ διότι ἐκεῖ μὲν ἕξιν καὶ στέρησιν ἐν εἰδοποιηθέντι πράγματι
ἐλαμβάνομεν γινόμενα, ἐνταῦθα δὲ περὶ τὸ ἀνείδεον καὶ πρῶτον ὑποκείμενον τὸ εἶδος γινόμενον καὶ τὴν στέρησιν θεωροῦμεν.

p. 191a24 Ζητοῦντες γὰρ οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλή- 48
θειαν.

15 Πρώτους φησὶ κατὰ φιλοσοφίαν οὐ τῷ ἀξιώματι πρώτους, ἀλλὰ τῷ
χρόνῳ, τὴν δὲ ἀλήθειάν φησι καὶ τὴν φύσιν ἀντὶ τοῦ τὴν ἐν τῇ 50
φύσει ἀλήθειαν. ἐξετράπησαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες
ὑπὸ ἀπειρίας. ὑπὸ ἀπειρίας, φησί, διαλεκτικῆς ἐκ τῆς ἐπὶ τὴν ἀλή-
θειαν ὁδοῦ ἐξετράπησαν· εἰ γὰρ ᾔδεισαν διαστέλλεσθαι τὸ ὂν ποσαχῶς λέ-
20 γεται καὶ τὸ μὴ ὄν, καὶ ἔτι τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός, καὶ τὸ
δυνάμει καὶ τὸ ἐνεργείᾳ, οὐκ ἂν ἐνόμισαν ἀδύνατον εἶναι γενέσθαι τι καὶ
ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος. ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι· ὑπο-
κεῖσθαι γάρ τι δεῖ. δεῖ ἀεὶ τῷ γινομένῳ ὑποκεῖσθαί τι ἐξ οὗ γίνεται,
τὸ δὲ μὴ ὂν οὐ δυ|νατὸν ὑποκεῖσθαι τῷ ὄντι· ἐν ταὐτῷ γὰρ ἂν εἴη τὸ e 3v
25 ὂν καὶ τὸ μὴ ὄν. καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες. τῷ
δοθέντι, φησίν, ἀτόπῳ ἀεὶ τὰ ἐπισυμβαίνοντα αὔξοντες (ἑνὶ γὰρ δοθέντι
ἀτόπῳ μυρία ἀκολουθεῖ), καὶ τὸ πλῆθος ἐκ τῶν ὄντων ἀναιροῦσιν ἓν εἶναι
μόνον λέγοντες τὸ ὄν, οἵτινες ἦσαν οἱ περὶ τὸν Παρμενίδην καὶ Μέλισσον.
ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν διὰ τὰ εἰρημένα. τὴν
30 δόξαν τήν τε λέγουσαν μὴ εἶναι γένεσιν καὶ τὴν τὸ πλῆθος ἀναιροῦσαν ἐκ 5
τῶν ὄντων, διὰ τὸ νομίσαι τὸ μὴ ὂν μηδαμῇ μηδαμῶς δύνασθαι ὕπαρξιν

---

1 αὐτῇ L ποιεῖ post ἐνεργείᾳ colloc. Mt 2 alterum τὸ om. L πέφυκε δέχεσθαι om. K 4 Κατηγορίαις c. 10 p. 12a26 sqq. 5 ἐπεὶ οὖν L μὲν εἶναι ἐν αὐτῇ Mt 6 γὰρ ex corr. L 7 εἶναι om. Mt κἀκεῖνο L 8 μεταβάλλουσαν μὲν K καὶ οὐχ] οὐ γὰρ L 9 ἐγκατηγορίαις K καὶ om. L 16 τοῦ τὴν K: τοῦ (om. τὴν) LMt τῇ om. superscr. L 17 ἀποσθέντες K 18 ὑπὸ ἀπειρίας (altero loco) scripsi: ὑπο ἀπορίας LM: omittit (adhibita distinctione post ἀπωσθέντες) t et, si silentio fides, K 21. 22 ἢ ἐξ ὄντος ἢ ἐκ K 22. 23 ἔκ τε — τι δεῖ om. K 23 τι (post ὑποκεῖσθαί) K: ἀεὶ LM: ἀεὶ τὸ t 24 οὐ δύναται Mt 25 δὴ] δεῖ L αὔξοντας ante corr. L: om. K 28 ἦσαν] ἔστησαν K 29 ταύτην — εἰρημένα om. K

www.libtool.com.cn

ἔχειν· διὰ γὰρ τοῦτο οὔτ' ἂν γενέσθαι τι ἐκ τοῦ μὴ ὄντος, μήτε πλῆθος e 3v
εἶναι ἐν τοῖς οὖσι διὰ τὸ τὸ αὐτὸ συμβαίνειν καὶ ὂν εἶναι καὶ μὴ ὄν.

p. 191a34 Ἡμεῖς δὲ λέγομεν ὅτι τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι, ἢ τὸ μὴ ὂν ἢ τὸ ὂν ποιεῖν τι ἢ πάσχειν.

Ἡμεῖς, φησίν, ἐπιλυόμενοι τὴν ἀπορίαν φαμὲν ὅτι τὸ ὂν καὶ μὴ ὂν 13
διττῶς λέγεται, ἢ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, ἢ δυνάμει καὶ ἐνεργείᾳ. καὶ τίθησι τοῦ πρώτου τρόπου παράδειγμα τοιοῦτον. λέγομεν, φησί, 15
τὸν ἰατρὸν ἰατρεύειν, λέγομεν δὲ πάλιν τὸν ἰατρὸν οἰκοδομεῖν, ἀλλὰ τὸ μὲν ἰατρεύειν τὸν ἰατρὸν καθ' αὑτό φαμεν (καθὸ γὰρ ἰατρὸς ἰατρεύει), τὸ δὲ
10 τὸν ἰατρὸν οἰκοδομεῖν κατὰ συμβεβηκός, διότι συνέβη τῷ ἰατρῷ οἰκοδόμῳ εἶναι· οὐ γὰρ ᾗ ἰατρὸς οἰκοδομεῖ, ἀλλ' ᾗ οἰκοδόμος. ὥσπερ δὲ ἐπὶ τοῦ ποιεῖν τι τὸν ἰατρὸν τὸ μέν ἐστι καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτως καὶ ἐπὶ τοῦ πάσχειν· λέγομεν γὰρ τὸν ἰατρὸν ἀνίατρον γενέσθαι, λέγομεν δὲ πάλιν λευκαίνεσθαι τὸν ἰατρόν, ἀλλ' ἀνίατρος μὲν γίνεται καθ' αὑτό
15 (καθὸ γὰρ ἰατρός ἐστιν ἀνίατρος γίνεται), λευκαίνεται δὲ οὐ καθὸ ἰατρὸς 20
ἀλλὰ καθὸ μέλας, διότι συνέβη τῷ ἰατρῷ μέλανι εἶναι· διὰ τοῦτο τοῦ μέλανος λευκαινομένου ὁ ἰατρὸς κατὰ συμβεβηκὸς λέγεται λευκαίνεσθαι. ὥσπερ οὖν ἐπὶ τοῦ ἰατροῦ ἔχει, οὕτω καὶ ἐπὶ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος· λέγομεν γὰρ ἐξ ὄντος γίνεσθαι καὶ ἐκ μὴ ὄντος, ἀλλ' οὐ καθ' αὑτὸ οὔτε
20 ἐξ ὄντος οὔτε ἐκ μὴ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός· οὐδὲν ἄτοπον τὸ γίνεσθαι τὸ ὂν ἐξ ὄντος ἐξ ἄλλου ὄντος ἄλλο ὄν (πολλαχῶς γὰρ τὸ ὄν), ἀλλ' οὐ καθὸ ὄν ἐστιν, ἀλλὰ καθὸ κατὰ συμβεβηκὸς ὄν. ὁμοίως δὲ καὶ ἐκ μὴ 25
ὄντος οὐχ ᾗ μὴ ὄν, ἀλλ' ᾗ κατὰ συμβεβηκὸς μὴ ὄν. τὸ αὐτὸ μὲν γὰρ ὂν ἐκ τοῦ αὐτοῦ ὄντος οὐδὲ κατὰ συμβεβηκὸς γένοιτ' ἄν, οἷον ὕδωρ ἐξ
25 ὕδατος, ἐξ ἄλλου μέντοι ὄντος ἄλλο ὂν γένοιτο ἂν κατὰ συμβεβηκός. εἴρηται δὲ ἡμῖν περὶ τούτου ἀκριβέστερον ἤδη. ἡ μὲν οὖν διάνοια τῶν ῥητῶν αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν, ἐπειδὴ εἴρηται ἐν τοῖς ἔμπροσθεν ὅτι ἐπὶ μὲν τῆς στερήσεως φέρομεν ἀμφότερα τὰ προσρήματα καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε, ἐπὶ δὲ τῆς ὕλης ἀμφότερα μέν, ἀλλ' οὐκ ἐπὶ τοῦ αὐτοῦ, ἀλλ' 30
30 ἐπ' ἄλλου μὲν τὸ ἐκ τοῦδε (ἐκ γὰρ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου φαμὲν τὸν ἄνθρωπον γενέσθαι, οὐ τὸ σπέρμα καὶ τὸ καταμήνιον ἄνθρωπον

---

3. 4 ὅτι — πάσχειν om. K 3 ἐκ om. cum vulg. Arist. (habet cod. E) t 3. 4 γίγνεσθαι t 5 ἀπορίαν] ἀπόφασιν M. nimirum vox ἀπορία saepissime $\overset{\cdot\pi}{\alpha}$ vel $\overset{o}{\overset{\pi}{\alpha}}$ etiam sine signo compendii scribitur 6. 7 ἐνεργία K 7 λέγομεν γάρ φησι K 10 τὸν om. K οἰκοδόμῳ Mt: οἰκοδόμον L: καὶ οἰκοδόμῳ K 11 οὐ γὰρ ᾗ K 12 τι post ἰατρὸν ponit L 15 οὐ καθὸ] οὐ καθ' ἃ L 16 τοῦ om. L 18 τοῦ (ante μὴ) om. K 19 γενέσθαι K 20 distinctionem ante οὐδὲν om. (LM)t: οὖν post οὐδὲν inserit K: probabilius rescribas οὐδὲ vel οὐδὲν ⟨δὲ⟩ τὸ om. K 20. 21 γενέσθαι Mt 22 καθὸ (post ἀλλὰ) om. superscr. M 23 ἀλλ' ᾗ] ἀλλὰ K 25 ἄλλο ἂν γένοιτο ἂν K 26 ἀκριβέστερον ἤδη om. K 27 ἐν τοῖς ἔμπροσθεν p. 144, 27 sqq. 31 γίνεσθαι L

www.libtool.com.cn

γενέσθαι, τὸν δὲ χαλκόν φαμεν ἀνδριάντα γενέσθαι οὐκ ἐκ τοῦ χαλκοῦ 6 3r
τὸν ἀνδριάντα) * * * ἐπεὶ οὖν καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε φέρομεν
ἐπὶ τῆς ὕλης καὶ ἐπὶ τῆς στερήσεως, διὰ τοῦτο νῦν αὐτὸς καὶ ἐπὶ τοῦ
ὄντος καὶ ἐπὶ τοῦ μὴ ὄντος ἀμφοτέροις ἐχρήσατο τοῖς προσρήμασιν. νῦν
5 γὰρ λέγομεν, φησίν, ὅτι τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος· ἰδοὺ ἐπὶ τοῦ 35
ὄντος καὶ τοῦ μὴ ὄντος τὸ ἐκ τοῦδε. πάλιν δὲ καὶ τὸ τόδε ἐπήγαγεν ἐπὶ
τῶν αὐτῶν· ἢ τὸ μὴ ὂν γάρ φησιν ἢ τὸ ὂν ποιεῖν τι ἢ πάσχειν.
εἰπὼν δὲ ὅτι τὸ ἐξ ὄντος ἢ μὴ ὄντος γίνεσθαι, ἐπὶ τὸ καθολικώτερον
προάγει τὸν λόγον· ἢ τὸ μὴ ὂν γάρ φησιν ἢ τὸ ὂν ποιεῖν τι ἢ πά-
10 σχειν. ἐπὶ πλέον γὰρ τοῦ γίνεσθαι τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ γὰρ
τὸ γίνεσθαι πάσχειν τί ἐστιν, αἱ δὲ κατὰ τὰς ἄλλας κατηγορίας μεταβολαὶ
γενέσεις μὲν οὐκ εἰσί, ποιήσεις δέ τινες καὶ παθήσεις μόνον· μόνη γὰρ ἡ
κατὰ τὴν οὐσίαν μεταβολὴ γένεσις. ἀλλ' ἐπειδὴ λέγεται καὶ κοινότερον ἡ 40
γένεσις ἐπὶ πάσης μεταβολῆς (λέγομεν γὰρ καὶ λευκὸν γίνεσθαι, ἢ ἄνω ἢ
15 κάτω γίνεσθαι), διὰ τοῦτο πάλιν προϊὼν ἐπὶ τὸ καθολικώτερον προῆλθεν·
εἰπὼν γὰρ ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν ποιεῖν τι ἢ πάσχειν ἐπήγαγεν ἢ
ὁτιοῦν τόδε γίνεσθαι, ἵνα μὴ μόνον ἐπὶ τῆς κατ' οὐσίαν γενέσεως,
ἀλλὰ καὶ ἐπὶ τῆς κατὰ ποσὸν καὶ ποιὸν καὶ ἐπὶ τῆς κατὰ τόπον ἀκούσω-
μεν τῶν εἰρημένων.

20 p. 191 b 2 Ὥστε ἐπειδὴ τοῦτο διχῶς λέγεται.

Τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν· λέγεται γὰρ ἢ καθ' αὑτὸ ποιεῖν ἢ 45
κατὰ συμβεβηκός, ὁμοίως δὲ καὶ τὸ πάσχειν ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός·
ἀμφότερα γὰρ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν τοῦ αὐτοῦ ἐστι παραδείγματα,
τοῦ καθ' αὑτὸ λέγω καὶ τοῦ κατὰ συμβεβηκός. ὥσπερ οὖν ἐπὶ τοῦ ἰατροῦ
25 τὸ ποιεῖν ἢ τὸ πάσχειν διχῶς λέγεται ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός,
οὕτως καὶ τὸ ἐξ ὄντος γίνεσθαι ἢ ἐκ τοῦ μὴ ὄντος, καὶ τὸ τὸ μὴ ὂν γίνε-
σθαι ἢ τὸ ὂν διχῶς ἂν λέγοιτο ἢ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός.

1 τὸν δὲ] οὐδὲ τὸν l. οὐκ (καὶ οὐκ Mt) ἐκ τοῦ χαλκοῦ KMt: ἐκ τοῦ χαλκοῦ δὲ L
1. 2 superscriptis vocabulis ἀνεν. μουσικόν etc. commendat coniecturam τὸν δὲ ἄνθρωπόν φαμεν μουσικὸν γενέσθαι καὶ οὐκ ἐκ τοῦ ἀνθρώπου τὸν μουσικόν M². patet L et M² absurda quidem sustulisse, nec tamen emendasse locum lacuna (nam deest quod deesse non debuit ἐπ' ἄλλου δὲ τὸ τόδε) et interpolatione graviter laborantem 2 ἐπεὶ οὖν καὶ τὸ ἐκ K 7 τι καὶ πάσχειν l. 8 εἰπὼν Kt: εἰπεῖν LM τὸ (post ὅτι) om. K μὴ] ἐκ μὴ v. 5 (cf. v. 26) et p. 175,8, at videtur hic Philoponus Themistium (p. 150,16) sequi ἐπὶ τὸ K: ἐπὶ τι LMt at cf. v. 15 et p. 166,24 9 προάγει LK: ἀνάγει Mt 10 ἐπὶ πλέον πολὺ καὶ in ras. K γὰρ (post καὶ) om. superscr. L 12 παθήσεις K 13 τὴν om. l. 16 ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν ita hic libri at cf. v. 7. 9. 26 sq. p. 175,4 ἢ (ante πάσχειν) om. K 20 ὥστε Mt 21 l. τὸν - πάσχειν om. K: fort. (διχῶς λέγεται) τὸ τὸν καὶ τὸ τὸν τοῦ τὸν l πάσχειν (post αὐτὸ) om. K 22 τὸ deleverim 23 αὐτὸ ἀλλ' K παραδείγματα K 24 λέγω post συμβεβηκός traic. Mt κατὰ συμβεβηκός K τὸν καὶ K τὸ τὸ πάσχειν πάσχειν τὸ K 26 τὸ (ante ἐξ) om. K τὸ τὸν om. ἐστιν ὄντος K

www.libtool.com.cn

p. 191b6 Ἐπεὶ δὲ μάλιστα λέγομεν κυρίως τὸν ἰατρὸν ποιεῖν τι e 3v
ἢ πάσχειν.

Εἰπὼν ὅτι διχῶς λέγεται τὸ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος γίνεσθαι, ὥσπερ 51
καὶ τὸ ἐξ ἰατροῦ γίνεσθαί τι, διαστέλλεται νῦν ποῖον μάλιστα τῶν δύο σημαινομένων κυριώτατον λέγεται ἐπὶ τοῦ προκειμένου. καί φησιν· ὥσπερ κυρίως μάλιστα λέγεται ὁ ἰατρὸς ποιεῖν τι ἢ πάσχειν, ὅταν ᾗ ἰατρὸς ποιῇ τι ἢ πάσχῃ (οἷον ἰατρεύει ἢ ἀνίατρος γίνεται), οὕτως, φησί, καὶ τὸ ἐξ ὄντος ἢ μὴ ὄντος γίνεσθαί τι ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν γίνεσθαι κυρίως ἂν λέγοιτο, ὅταν μὴ ὂν ᾗ μὴ ὂν γίνηταί τι, τουτέστιν ὅταν ὑπομένον | καὶ μένον ἕτε- e 4r
ρόν τι γίνηται. τότε οὖν κυρίως ἐκ μὴ ὄντος γίνοιτο ἄν τι, ὅταν ὑπομένον τὸ μὴ ὂν οὕτως δέχοιτο τὸ ὄν, ὅπερ ἐστὶν ἀδύνατον· οὐκέτι δὲ κυρίως ἐκ μὴ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός, ὅταν ὑποχωρῇ τὸ μὴ ὂν τῷ ὄντι. οἱ οὖν πρότεροι τὰ διττὰ ταῦτα σημαινόμενα μὴ διελόντες ἐνόμισαν, φησίν, ὅταν λέγηταί τι ἐκ μὴ ὄντος γίνεσθαι, κυρίως ἐκ μὴ ὄντος γενέσθαι· οὐδὲν γὰρ ἄλλο τί ἐστι σημαινόμενον τοῦ ἐκ μὴ ὄντος ἢ τὸ κυρίως. διὰ 5
τοῦτο καί, φησίν, ἀπέστησαν τοῦ ὅλως γένεσιν εἶναι ὑποτίθεσθαι, καὶ ἀπεφήναντο μηδὲν γίνεσθαι. δῆλον ὅτι καὶ τὸ μὴ ἐξ ὄντος γίνεσθαι τοῦτο σημαίνει. [ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν γίνεσθαι κυρίως ἂν λέγοιτο, ὅταν μὴ ὂν γίνηταί τι ᾗ μὴ ὄν.] οὐ μόνον τὸ κυρίως μὴ ὂν τοῦτο σημαίνει τὸ ᾗ μὴ ὄν, ἀλλὰ καὶ τὸ κυρίως ὂν τὸ ᾗ ὄν. ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες ἀπέστησαν. μὴ διελόντες τὸ ὂν εἰς τὸ κατὰ συμβεβηκὸς καὶ 17
τὸ καθ' αὑτό. μηδὲν τῶν ἄλλων, τουτέστι μὴ εἶναι πλῆθός τι, ἀλλ' ἓν εἶναι μόνον τὸ ὂν καὶ μηδὲν εἶναι τῶν ἄλλων τι τῶν παρὰ τὸ ὄν. ταῦτα δὲ εἶεν ἂν τὰ τινὰ μὴ ὄντα, ἅπερ οὐκ εἶναί φασιν.

---

1 lemma (ἐ)πεὶ δὲ μάλιστά nec plura K μάλιστα λέγομεν κυρίως L: μάλιστα κυρίως λέγομεν M: λέγομεν κυρίως μάλιστα t 4 νῦν iterat in principio novae paginae L
4. 6 τῶν δύο—μάλιστα om. K 6 κυρίως compend. M: καθὼς t ᾗ] ἢ K 7 τι om. K ἰατρεύει M: ἰατρεύῃ et mox γίνηται fort. recte t 8. 9 ἢ τὸ ὂν—γίνηταί τι K: omittunt (addito ἐστι post γίνεσθαί τι) LMt cf. ad v. 18sq. 9 ᾗ et γίνηταί scripsi: ἢ et γίναιταί K καὶ μένον libri: fort. τὸ μὴ ὄν 10 γίνηται L: γίνεται K: γένηται Mt γένοιτο Mt ὑπομένων K 12 κατὰ scriptum compendio simillimo ei quo vox κυρίως significatur M: κυρίως t ὑποχωρήσῃ L 13 διττὰ] διαιτὰ L ταῦτα] πάντα K 14 λέγεται K γενέσθαι LKM: λέγεσθαι coniecit t 14. 15 οὐδὲν LKM: οὐδὲ t at cf. v. 23 et ad p. 151,26 15 τί ἐστι LKM: immo τι εἶναι cum t
15. 16 διατοῦτο οὖν φησιν K 16. 17 ἀπέφηναν αὐτὸ L 17 μηδὲν] μὴ δὲ LM post δῆλον addit δὲ et ante ἐξ om. μὴ t 18. 22 τοῦτο σημαίνει—μηδὲν τῶν ἄλλων om. K 18 τοῦτο σημαίνει ἢ τὸ ὂν ἢ τὸ μὴ ὂν γίνεσθαι M: ἢ τὸ ὂν τοῦτο σημαίνει ἢ τὸ μὴ ὂν γίνεσθαι L: ἢ τὸ ὄν, ἢ τὸ μὴ ὂν γίνεσθαι, τοῦτο σημαίνει t 18. 19 ἢ τὸ ὂν—γίνηταί τι ᾗ μὴ ὄν huc delata ex v. 8 (ubi ea recte servavit K) uncis inclusi
18 καὶ κυρίως ἂν t 18. 19 ὅταν μὴ ὂν γίνηταί τι ᾗ μὴ ὄν scripsi: ὅταν μὴ ὂν ἢ, γένηται τὸ ἢ μὴ ὄν M: ὅταν μὴ ὂν ἢ γίνηταί τι εἶναι ἢ μὴ ὄν L: ὅταν ᾗ ὂν, ἢ ᾗ μὴ ὂν γίνηται t 19 post οὐ μόνον inserit γὰρ t 22 μηδὲν τῶν ἄλλων] μηθὲν οἴεσθαι γίγνεσθαι μηδὲ εἶναι τῶν ἄλλων Aristoteles 23 μηδὲν KM: μηδὲ (L)t περὶ τὸ ὄν L 24 τὰ τινὰ—φασιν om. K

www.libtool.com.cn

p. 191 b 15 Ἐκ γὰρ τῆς στερήσεως, ὅ ἐστι καθ' αὑτὸ μὴ ὄν, οὐκ e 4 r
ἐνυπάρχοντος γίνεταί τι.

Λέγομεν, φησί, καὶ ἡμεῖς ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ἀλλ' οὐ καθ' 20
αὑτὸ ἐκ μὴ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός· γίνεται γὰρ ἐκ τῆς στερήσεως,
5 ἥτις ἐστὶ καθ' αὑτὸ μὴ ὄν, ἀλλ' οὐ καθ' αὑτὸ ἐκ τῆς στερήσεως γίνε-
ται (οὐκ ἐνυπάρχει γὰρ ἐν τῷ γινομένῳ ἡ στέρησις), ἀλλὰ κατὰ συμβεβη-
κός· καθ' αὑτὸ γὰρ μόνως ἐκ τῆς ὕλης. δύναται δὲ καὶ ἐκ μὴ ὄντος ἐκ
τῆς ὕλης γίνεσθαι λέγεσθαι, διότι κατὰ συμβεβηκὸς μὴ ὂν ἡ ὕλη διὰ τὸ
ἐνυπάρχειν αὐτῇ τὴν στέρησιν. οὕτως δὲ δύναται καὶ ἐνυπάρχειν τὸ μὴ ὂν
10 τοῖς γινομένοις, ἀλλ' οὐ τὸ καθ' αὑτὸ μὴ ὂν ἀλλὰ τὸ κατὰ συμβεβηκὸς 25
μὴ ὄν, ἡ ὕλη, ᾧ συμβέβηκε τὸ μὴ ὄν. θαυμάζεται δὲ τοῦτο καὶ ἀδύ-
νατον οὕτως δοκεῖ, γίνεσθαι ἐκ μὴ ὄντος. ἐπειδὴ εἶπεν ὅτι 'λέγομεν
ἐκ μὴ ὄντος καὶ ἡμεῖς γίνεσθαι, ἐκ μὴ ὄντος δ' οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ
συμβεβηκός', τοῦτο, φησίν, αὐτὸ θαυμαστὸν δοκεῖ εἶναι καὶ ἀδύνατον, τὸ
15 γίνεσθαί τι ἐκ μὴ ὄντος, ἀλλ' οὐκέτι ἀδύνατον δόξειεν εἶναι κατὰ τὰς ἡμε-
τέρας ὑποθέσεις. ὡσαύτως δὲ οὐδὲ ἐξ ὄντος οὐδὲ τὸ ὂν γίνεσθαι,
πλὴν κατὰ συμβεβηκός. τοῦτο συνεχὲς πρὸς τὸ ἄνω "ἡμεῖς δέ φα-
μεν γίνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ τοῦ μὴ ὄντος, ὅμως μέντοι γίνεσθαι 30
καὶ ἐκ μὴ ὄντος κατὰ συμβεβηκός", εἶτα ἐφεξῆς ὡσαύτως δὲ οὐδ'
20 ἐξ ὄντος οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός. ὥσπερ,
φησίν, ἐκ τοῦ μὴ ὄντος λέγομεν γίνεσθαι, ἀλλ' οὐ καθ' αὑτὸ ἐκ τοῦ
μὴ ὄντος ἀλλὰ κατὰ συμβεβηκός, οὕτως καὶ ἐκ τοῦ ὄντος κατὰ συμβε-
βηκὸς γίνεται τὰ γινόμενα. τοῦτο δ' ἐπὶ τῆς προσεχοῦς γενέσεως· γίνε-
ται γὰρ ἐξ ὄντος τοῦ ἀέρος τὸ πῦρ, ἀλλὰ κατὰ συμβεβηκός, ἐξ ὄντος
25 δέ, διότι συνέβη ἀέρα εἶναι τὸν εἰς πῦρ μεταβάλλοντα. πῶς δὲ κατὰ συμ- 35
βεβηκὸς εἴπομεν, διὰ τὸ μηδὲν συντελεῖν τὸ ἀέριον εἶδος εἰς τὴν τοῦ πυρὸς
γένεσιν (γίνεται γοῦν καὶ ἐκ τῶν ἄλλων πάντων), καὶ ὅτι οὐ γίνεται μέρος
τοῦ πυρὸς ὁ ἀὴρ ἀλλ' ὑπεξίσταται. οἷον εἰ ἐκ τοῦ ζῴου ζῷον γίγνοιτο
καὶ τινὸς ζῴου τὶ ζῷον. ὅτι τὸ ὂν ὅταν λέγωμεν ἐξ ὄντος γίνεσθαι, οὐ

---

1 lemma om. K 6 ἐνυπάρχον Mt 7 δὲ] γὰρ L 9 αὐτὴ K οὕτως K: οὕτος L: οὕτω Mt οὐ δύναται L καὶ ἐνυπάρχειν LK: ὡς ἐνυπάρχον Mt 11 ᾧ] fort. ᾗ 11. 12 καὶ — ὄντος om. K 12 οὕτω Mt γίγνεσθαί τι Aristoteles εἶπαν (sic) K 12. 13 λέγομεν καὶ ἡμεῖς ἐκ μὴ ὄντος K 13 ἀλλὰ] καλὰ K 14 θαύμαστον K post δοκεῖ εἶναι addit (ex v. 15) κατὰ τὰς ἡμετέρας ὑποθέσεις L τὸ om. K 16 δὲ οὐδὲ L: δ' οὐδ' K: οὐδὲ Mt 16. 17 οὐδὲ τὸ ὂν — συμβεβηκός om. K 17 ἡμεῖς δὲ καὶ αὐτοί Arist. 18 τοῦ om. Aristoteles 19 καὶ ἐκ K: ἐκ τοῦ L: ἐκ Mt Aristot. οἷον κατὰ Arist. 20 ἐξ ὄντως K οὐδὲ τὸ ὂν — συμβεβηκός om. K 21 φησίν om. L 25 εἰς τὸ πῦρ L 26 εἴπομεν p. 171, 6 sqq. 27 ἐκ om. superscr. K 28 οἷον εἰ Mt: οἷον (om. εἰ) LK τοῦ (post ἐκ) om. Arist. et ipse Philoponus p. 179,14 at cf. p. 180,8 γίνοιτο Mt 29 καὶ τινὸς ζῴου τὶ ζῷον om. K καὶ τινὸς LM: καὶ ἔκ τινος t Aristoteles (praeter cod. E) ὅτι τὸ ὂν ὅταν LK: ὅτι τὸ ζῶον (om. ὅταν) M: ὅτι ὅταν τὸ ὂν t λέγομεν K

www.libtool.com.cn

καθὸ ὄν ἐστιν ἐξ οὗ γίνεται οὕτως λέγομεν ἐξ αὐτοῦ γίνεσθαι αὐτό, ἀλλὰ e 4r
κατὰ συμβεβηκὸς ἐξ ὄντος, πιστοῦται νῦν διὰ τῶν παραδειγμάτων. λέγομεν
γάρ, φησί, ζῷον ἐκ ζῴου γίνεσθαι, ἐκ ζῴου δὲ νῦν λέγομεν, ὡς ἐξ ὑλι- 40
κοῦ αἰτίου· περὶ τούτου γὰρ νῦν ὁ λόγος. οὐδὲ γὰρ ὡς ἐξ ἀνθρώπου ἄν-
5 θρωπον, ὡς ἐκ ποιητικοῦ αἰτίου, ἀλλ' ὡς ἐξ ἵππου μὲν σφῆκας, ἐκ ταύρου
δὲ μελίσσας· ἵπποι μὲν σφηκῶν γενέσεις, ταῦροι δὲ μελισσῶν. ὅταν οὖν
λέγωμεν ζῷον ἐκ ζῴου γίνεσθαι, οἷον ἐξ ἵππων σφῆκες, οὐ δήπου τοῦτο
λέγομεν, ὅτι ᾗ ζῷον ὁ ἵππος μεταβάλλει εἰς ζῷα τοὺς σφῆκας (οὐδὲ γὰρ
ὑπόκειται τοῖς σφηξὶν ὡς ὕλη ὁ ἵππος), ἀλλὰ τοῦτο λέγομεν, ὅτι ἔκ τινος
10 ᾧ συμβέβηκε ζῴῳ εἶναι ἄλλο τι γίνεται ᾧ καὶ αὐτῷ ζῴῳ εἶναι ὑπάρχει. 45
οὕτως οὖν καὶ εἰ γίνοιτο ὕδωρ ἐξ ἀέρος, τὸ ὂν ἐξ ὄντος γίνεσθαι λέγομεν,
οὐχ ὅτι τὸ ἤδη ὂν γίνεται, οὐδ' ὅτι τὸ γινόμενον ἔστι πρὶν γενέσθαι, ἀλλ'
ὅτι ἔκ τινος οὗ τὸ ὂν κατηγορεῖται, κατὰ συμβεβηκὸς γίνεται ἕτερόν τι ὄ
καὶ αὐτὸ ὂν ὑπάρχει. εἰπὼν δὲ εἰ ἐκ ζῴου ζῷον γίνοιτο, ἐπειδὴ οὐ-
15 δὲν ἁπλῶς ὡς ζῷον γίνεται, ἀλλὰ τὸ γινόμενον πάντως τὶ ζῷόν ἐστιν,
ἐπήγαγε καὶ τινὸς ζῴου τὶ ζῷον. γίνοιτο γὰρ ἂν οὐ μόνον ἐκ τι-
νὸς ζῴου κύων, ἀλλὰ καὶ ἐκ ζῴου· οὐχ ᾗ γὰρ ζῷον· ὑπάρχον
γὰρ ἤδη τοῦτο. ὥσπερ γὰρ ἀληθές ἐστι τὸ εἰπεῖν ὅτι γίνεται ἐξ ἵππου 50
κύων τυχὸν ἢ σφῆκες ἢ ἕτερόν τι, οὕτως ἐστὶν ἀληθὲς εἰπεῖν ὅτι καὶ ἐκ
20 ζῴου γέγονε κύων. ἀλλ' εἰ καὶ λέγομεν ἐκ ζῴου ζῷον γεγονέναι, οὐχ ᾗ
ζῷον λέγομεν τὸ ἐξ οὗ γίνεται, οὕτως γεγονέναι ἐξ αὐτοῦ τὸ ζῷον. εἰ γὰρ
ᾗ ζῷον τὸ ἐξ οὗ οὕτως γίνεται, οὐδ' ἂν ἐγένετο· ἤδη γὰρ ὑπάρχον ἐν
τῷ ἐξ οὗ τὸ ζῷον. δῆλον ἄρα ὅτι οὐχ ᾗ ζῷον τὸ ἐξ οὗ, οὕτως ἐξ αὐ-
τοῦ γίνεται ζῷον, ἀλλὰ κατὰ συμβεβηκὸς ἐκ ζῴου, ὥσπερ εἴπομεν. |

25 p. 191 b 23 Εἰ δέ τι μέλλει γίνεσθαι ζῷον μὴ κατὰ συμβεβηκός, e 4v
οὐκ ἐκ ζῴου ἔσται.

Εἰ γίνεται, φησίν, ἐκ τινὸς ζῴου μὴ κατὰ συμβεβηκὸς ἐξ ἐκείνου ἀλλὰ
καθ' αὑτό, οὐκ ἐκ ζῴου ἔσται γινόμενον ἀλλ' ἐκ μὴ ζῴου, οἷον ἐκ τοῦ

---

1 αὐτοῦ LKM: αὑτοῦ t 2 λέγωμεν K 3 ἐκ τοῦ ζώου priore loco L 4 γὰρ νῦν] νῦν γὰρ K 6 μελίσας K γένεσις K et Simplic. p. 239,19 ubi recte γὰρ (pro μὲν) ὅταν μὲν οὖν Mt 7 λέγομεν K γίνεται K ἵππων compend. M: ἵππου t σφῆκες LK: σφῆκας Mt 8 ᾗ] εἰ L 9 τοῖς] ταῖς L σφιξιν ante corr. L 9. 14 ὅτι—ὑπάρχει ad verbum fere ex Themist. p. 152,3 sqq. 11 οὖν ἀεὶ γένοιτο ὕδωρ K 12 ἤδη om. superscr. M: post ὂν ponit Themistius 13 ὄ] ὂν L 13. 14 ᾧ καὶ αὐτῷ τὸ ὂν Themistius 14 γίγνοιτο K 14. 15 οὐδὲν K: οὐδ' LMt 15 ὡς om. L 16 καὶ τινὸς] καὶ ἐκ τινὸς K at cf. p. 178,29 16. 18 γίνοιτο—τοῦτο om. K 16 μὲν γὰρ ἂν Aristoteles 17 ὁ κύων et ἀλλ' οὐχ ᾗ ζῷον Arist. ὑπάρχον LM: ὑπάρχει t ex Aristotele 18 ἤδη om. superscr. M ὅτι] οὐ K ἐξ ἵππου om. L 19 ἐστὶν] εἶναι K 20 post καὶ λέγομεν addit ὅτι K γεγονέναι (post ζῷον) eiusmodi compendio scriptum in M ut proclivi errore legas, quod visus est sibi legere t, γενόμενον 21 εἰ LK: οὐ Mt 22 οὕτως K: ὄντος LMt ὑπάρχει K 22. 23 ἐν τῷ] ἓν τὸ L 23 ζῶον τὸ ἐξ Kt: τὸ ζῶον ἐξ M: ζῶον ἐξ L οὕτως] ὄντος L 25. 26 γίνεσθαι—ἔσται om. K 27 γίνεται] γὰρ K fort. ζῴου ⟨ζῷον⟩

www.libtool.com.cn

σπέρματος ἢ ἐκ τῆς ὕλης. ὥσπερ οὖν, φησίν, ἐπὶ τούτων ἔχει, οὕτως καὶ ἐπὶ τοῦ ὄντος εἰ γίνοιτό τι ἁπλῶς ὄν, οὐκ ἐξ ὄντος γενήσεται (ἤδη γὰρ ἔστιν), ἀλλ' ἐκ τοῦ πάντῃ μὴ ὄντος. ἀλλ' οὐδὲ ἐκ μὴ ὄντος ἁπλῶς δυνατὸν γενέσθαι· τὸ γὰρ κυρίως ἐκ μὴ ὄντος εἴπομεν σημαίνειν τὸ ᾗ μὴ ὄν, τὸ δὲ καθ' αὑτὸ εἴρηται τὸ μέρος γινόμενον τοῦ ὑποκειμένου· ἀδύνατον ἄρα γενέσθαι τὸ ἁπλῶς ὄν, ἀλλὰ τὸ τὶ ὂν γίνεται ἐκ τινὸς μὴ ὄντος οὐ καθὸ μὴ ὄν (οὐδὲ γὰρ ὑπομένει τὸ ὂν τὸ μὴ ὄν), ἀλλ' ᾗ κατὰ συμβεβηκὸς μόνον. ζητήσεις δ' εἰ καλῶς εἴρηται τὸ ἐκ τοῦ ζῴου ζῷον γίνεσθαι, οἷον εἰ ἐξ ἵππου κύων γίνοιτο ἢ σφῆκες ἢ ἐκ ταύρων μέλισσαι· οὐδὲ γὰρ ἐκ ζῴων ὄντων ταῦτα γίνεται, ἀλλ' ὥσπερ καὶ ἐξ ἄλλης τινὸς ὕλης φθαρέντος τοῦ ζῴου καὶ τῆς ὕλης αὐτοῦ ἀναλυθείσης καὶ οὕτως ἄλλο εἶδος προσλαβούσης ζῴου. ὥστε ἐπὶ τούτων πάντων οὐχ ὡς ἐκ ζῴου ζῷον γέγονεν, ἀλλ' ἐκ μὴ ζῴου ζῷον. ὥστ' ἐπὶ τούτων περιττὴ [ἡ] ἐπεξεργασία τὸ λέγειν ὅτι οὐχ ᾗ ζῷον γέγονεν (ἐνυπῆρχε γάρ), ἀλλ' ᾗ τὶ ζῷον, οἷον ἵππος. καὶ γὰρ ἀληθῶς καὶ ᾗ ζῷον ἐκ τούτων γέγονεν· οὐ γὰρ ἐκ ζῴου γέγονεν. εἰ δὲ λέγοι τις ὅτι ποτὲ γέγονε ζῷον, τί μᾶλλον ἐπὶ τούτου ἐρεῖς ἢ ἐφ' ἡστινοσοῦν ἄλλης ὕλης; ἕκαστον γὰρ δύναταί ποτε ὕλη γεγενῆσθαι ζῴου. εἰ οὖν δεῖ πρὸς τὰ νῦν λεγόμενα οἰκειοτέροις χρήσασθαι παραδείγμασι, χρησόμεθα τοῖς ἐκ σκωλήκων καὶ καμπῶν γινομένοις πτηνοῖς· κάμπαι γάρ τινες πρότερον οὖσαι καὶ σκώληκες μὴ φθαρεῖσαι ἐξ εἴδους εἰς εἶδος μεταβάλλουσι. καὶ ἔστιν ἐνταῦθα γένεσις ἐκ ζῴου εἰς ζῷον· μεῖναν γὰρ ζῷον γέγονεν ἕτερον ζῷον. καὶ δῆλον ὅτι ἐνταῦθα οὐχ ᾗ ζῷον ἡ γένεσις. ἦν γὰρ ζῷον μηδὲν παρατρέψαν τῆς τοῦ ζῴου οὐσίας· τὸν γὰρ αὐτὸν ὁρισμὸν τοῦ ζῴου καὶ ὅτε ἦν κάμπη ἢ σκώληξ ἐπεδέχετο, καὶ μετὰ ταῦτα ὅτε γέγονε πτηνόν. γέγονεν οὖν οὐκ ἐκ ζῴου ζῷον οὐδ' ᾗ ζῷον, ἀλλ' ἐκ τινὸς ζῴου τὶ ζῷον. τινὸς δὲ ὅταν εἴπω, τὸ εἶδος λέγω· οἷον ἐκ τοιοῦδε εἴδους ζῴου τοιόνδε εἶδος ζῴου. εἰ δὲ ᾗ ζῷόν ἐστιν ἐγένετο, ἐξ οὗ ζῴου ἂν ἐγένετο (οὐδὲ γὰρ ἔστι πρὶν γενέσθαι), οἷον ὡς οἱ ἐκ τῶν σπερμάτων γινόμενοι σκώληκες· γίνονται γὰρ ᾗ ζῷα, ἀλλ' οὐκ ἐκ ζῴων.

---

2 γένοιτο K 2. 3 post ἤδη γὰρ ἔστιν addit ἀλλ' ἐκ τοῦ τὶ μὲν ὄντος τὶ δὲ μὴ ὄντος· ἡ γὰρ ὕλη ἐστὶ μὲν αὐτὸ δὴ τοῦτο ὁ (h. e. ὁ) ἐστὶν· ἄνος δὲ οὐκ ἔστιν L 3 ἀλλ' ἐκ] ἀλλ' οὐκ L. ceterum cf. Themist. p. 152,11 sqq. πάντι (sic) K 4 εἴπομεν p. 177,5 sqq. 7 ἀλλ' ἢ LM: ἀλλ' εἰ K: ἀλλὰ t 8 μόνον om. K ζητήσεις Kt: ζητήσει LM 8. 9 γίνεσθαι ζῶον L 9 εἰ om. superscr. M ἐξ ἵππου γίνοιτο κύων K: κύων ἐξ ἵππου γίγνοιτο Aristotelis libri γένοιτο L ταύρου t 10 ἐκ om. Mt ἐξ om. L 11 καὶ ἐκ τῆς ὕλης L ἀναλυθήσης K 12 προλαβούσης L τούτων πάντων KMt: πάντων τούτων L 13 ἡ delevi 14 τὸ LKM: τοῦ t 14. 15 ἐν ὑπῆρχε γάρ· ἀλλήτι ζῶον K 16 λέγοι L: λέγει KMt γέγονε ζῶον LK: ζῶον γέγονε M: ζῶον γέγονε t 17. 18 γὰρ ποτὲ δύναται γεγενῆσθαι ὕλη Mt 18 γεγενεῖσθαι K λεγόμενα om. Mt 19 χρησώμεθα K σκωλύκων K 20 κάμπται K πρῶτον L 24 ἦν] ἡ M 25 οὖν K: om. LMt 28 ἐγίνετο priore loco K οὐ ζώω L post alterum ἐγένετο addit ἐν L οὐδὲν γάρ K 29 γίνονται scripsi: γίνεται libri

www.libtool.com.cn

p. 191b26 Ἔτι δὲ καὶ τὸ εἶναι ἅπαν ἢ μὴ εἶναι οὐκ ἀναιροῦμεν. e 4v

Ἐπειδὴ εἶπεν 'οὔτε ἐξ ὄντος γίνεται οὔτε ἐκ μὴ ὄντος', δοκεῖ δὲ τοῦτο τὸ ἀξίωμα τῆς ἀντιφάσεως ἀναιρεῖν, οὐκ ἀναιροῦμεν, φησί, τοῦτο· λέγομεν γὰρ καὶ ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος, καὶ οὐκ ἀντιφάσει περίπιπτομεν. οὐ γὰρ κατὰ ταὐτὰ ἢ ἐξ ὄντος καὶ μὴ ὄντος λέγομεν, ἢ μήτε ἐξ ὄντος μήτε ἐκ μὴ ὄντος· ἐξ ὄντος μὲν γάρ, ἐπειδὴ ἕτερόν τί ἐστιν ἐξ οὗ γίνεται, ἐκ μὴ ὄντος δέ, ἐπειδὴ μὴ ἔστι τοῦτο ὃ γίνεται. καὶ συντόμως εἰπεῖν, διὰ τὴν στέρησιν οὔτε ἐξ ὄντος ᾗ ὂν γίνεται, διότι συνυπάρχει τῇ ὕλῃ ἡ στέρησις καὶ ταύτῃ ἐκ μὴ ὄντος (καθ' αὑτὸ γὰρ μὴ ὂν ἡ στέρησις), οὔτε ἐκ μὴ ὄντος ᾗ μὴ ὄν, διότι οὐκ ἔστι συνουσιωμένη ἡ στέρησις τῇ ὕλῃ, ἀλλ' ὑποχωρεῖ τὸ εἶδος ἐπιόν.

p. 191b27 Εἷς μὲν δὴ τρόπος οὗτος, ἄλλος δὲ ὅτι ἐνδέχεται τὰ αὐτὰ λέγειν κατὰ τὴν δύναμιν καὶ ἐνέργειαν.

Ἐλέγξας ἐκ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς τὰς περὶ τῆς γενέσεως φερομένας ἀπορίας, νῦν ἐλέγχει καὶ ἐκ τοῦ δυνάμει καὶ ἐκ τοῦ ἐνεργείᾳ. λέγομεν γὰρ ἐξ ὄντος γίνεσθαι τὰ γινόμενα ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος, τοιοῦτον δ' ἡ ὕλη, ὥστε εἰ λέγομεν ἐξ ὄντος γίνεσθαι, οὐ φαμεν εἶναι τὸ γινόμενον πρὶν γενέσθαι· οὐ γὰρ ἐκ τοῦ ἐνεργείᾳ ὄντος φαμὲν τὸ ἐνεργείᾳ ὂν γίνεσθαι, ἀλλ' ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος. οὕτως κἂν ἐκ μὴ ὄντος λέγωμεν, οὐκ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος φαμέν, ἀλλ' ἐκ τοῦ ἐνεργείᾳ μὲν μὴ ὄντος δυνάμει δὲ ὄντος. ὥστε διὰ τούτων οὔτε τὴν γένεσιν ἀναιροῦμεν, καὶ τὰς ἀπορίας δι' ὧν ἀναιρεῖσθαι ἐδόκει ἡ γένεσις ἐπιλυόμεθα.

p. 191b29 Τοῦτο δ' ἐν ἄλλοις διώρισται δι' ἀκριβείας.

Ἐν τῷ Θ τῆς Μετὰ τὰ φυσικά· ὅλον γὰρ τὸ βιβλίον ἐκεῖνο εἰς τοῦτο ἀνάλωσε, λέγων τί ποτέ ἐστι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ὥστε (ὅπερ ἐλέγομεν) αἱ ἀπορίαι λύονται δι' ἃς ἀναγκαζόμενοι ἀναιροῦσι

---

1 ἅπαν—ἀναιροῦμεν om. K ἅπαν iterat post εἶναι M ἢ LM: ἢ τὸ ex Arist. vulgata t 2 εἶπεν ὅτι οὔτε Mt τοῦτο] οὕτο (sic) K: an οὕτω? 4 ἐκ om. K οὐκαντιφασὶ K 5 ταῦτα K καὶ μὴ LK: καὶ ἐκ μὴ Mt ἢ μήτε] εἰ μήτε L 6 μήτε ἐκ K: μήτε δὲ ἐκ LMt ἐπειδὴ (ante ἕτερόν) LK: ὅτι Mt at cf. Themist. p. 152,15 sqq. 8 ᾗ] ἢ K συνυπάρχον Mt 11 τοῦ εἴδους ἐπιόντος L: possis etiam (cl. p. 177,12. 185,29 al.) τῷ εἴδει ἐπιόντι, sed neutrum necessarium videtur 12. 13 ἄλλος—ἐνέργειαν om. K 12 δ' ὅτι t 13 καὶ L: καὶ τὴν Mt Arist. 14 ἐκ τοῦ om. K κατὰ συμβεβηκότος K 15 ἐκ alterum om. Mt 16 et 19 μὲν L: om. KMt 17 δ' ἡ LK: δὴ ἡ M: δὲ ἡ t 19 ὂν Kt: εἶναι ὂν LM 20 λέγομεν K μηδαμῇ om. superscr. L 23 ἡ γένεσις] ἐγένετο L 24 μετ' ἀκριβείας L 25 Θ t: θῆτα LK: θήτα M 26 ὥσθ' Kt 27. p. 182,1 αἱ ἀπορίαι—ἔνια om. K

www.libtool.com.cn

τῶν εἰρημένων ἔνια. τῶν εἰρημένων, τῶν φυσικῶν πραγμάτων, ἔνια e 4r
ἀναιροῦσι, τὰ γενητὰ καὶ τὰ φθαρτά. αὕτη γὰρ ἂν ὀφθεῖσα ἡ φύσις 47
πᾶσαν ἔλυσεν αὐτῶν τὴν ἀπορίαν. αὐτὴ ἡ φύσις ἡ τοῦ καθ' αὑτὸ
καὶ τοῦ κατὰ συμβεβηκὸς καὶ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ ἀναφανεῖσα·
5 εἰ γὰρ ἐπέστησαν τῇ διαιρέσει ταύτῃ τῶν πραγμάτων, λελυκότης ἦσαν ἂν
τὰς ἀπορίας δι' ἃς τὴν γένεσιν ἀνῄρουν. 50

p. 191b35 Ἡμμένοι μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, ἀλλ' οὐχ ἱκανῶς.

Ἀποδεδωκὼς τὸν περὶ τῆς ὕλης λόγον καὶ δείξας ὅτι ταύτῃ μόνον
10 λύοιντο ἂν αἱ τῶν παλαιῶν περὶ τῆς τῶν φυσικῶν πραγμάτων γενέσεως
ἀπορίαι, νῦν βούλεται δεῖξαι ὅτι τῶν πρὸ αὐτοῦ οὐδεὶς διηρθρωμένως οὕτως
τὸν περὶ αὐτῆς ἀποδέδωκε λόγον. φησὶν οὖν ὅτι ταύτης τῆς ὕλης, ἧς ἡμεῖς
τὸν λόγον ἀποδεδώκαμεν, ἥψαντο μὲν καὶ ἔνιοι τῶν πρὸ ἡμῶν, οὐχ ἱκα- e 5r
νῶς δέ. ὅσοι μὲν γὰρ ἓν τὸ στοιχεῖον ὑποτιθέμενοι εἰδοποιηθέν τοῦτο
15 ἔλεγον ἢ τῶν τεσσάρων ἓν ἢ ἕτερόν τι μεταξὺ τούτων, οὐδ' ὅλως εἰς ἔν-
νοιαν ἦλθον τῆς ὕλης, Πλάτων δ' ἦλθεν εἰς τὴν ἔννοιαν τὴν περὶ τῆς
ὕλης. εἰ γάρ, φησί, τιθηνὴν αὐτὴν καὶ δεξαμενὴν τῶν εἰδῶν ἑτέραν αὐτὴν
πάντων τῶν εἰδῶν εἶναί φησι, σαφῶς οὖν λέγει αὐτὸ τοῦτο· 'δέχεται γάρ',
φησί, 'πάντα καὶ μορφὴν οὐδενί ποτε τῶν εἰσιόντων τὴν αὐτὴν εἴληχεν οὐ- 5
20 δαμῇ οὐδαμῶς'. ὥστε ἥψατο τῆς φύσεως τῆς ὕλης, ὅτι τὸ ἀνείδεόν ἐστι
καὶ πᾶσιν ὑποκείμενον, οὐχ ἱκανῶς δὲ τὸν περὶ αὐτῆς ἀποδέδωκε λό-
γον· οὐ γὰρ διέκρινεν αὐτὴν τῆς στερήσεως, ὥσπερ ἡμεῖς. ἡμεῖς μὲν γάρ
φαμεν, ὅτι εἰ καὶ τῷ ὑποκειμένῳ ταὐτόν ἐστι τῇ στερήσει, ἀλλ' οὖν τῷ
λόγῳ διακρίνεται, καὶ διεκρίναμεν αὐτὴν καὶ ἐκ τῆς ἡμετέρας χρήσεως,
25 καὶ ὅτι ἡ μὲν ὕλη ὑπομένει τὸ εἶδος ἐπιὸν ἡ δὲ στέρησις οὐχ ὑπομένει,
ὁ δὲ Πλάτων εἰ καὶ φαίνεται λέγων καὶ αὐτὸς τρεῖς ἀρχὰς τό τε μέγα καὶ 10
τὸ μικρὸν καὶ ἔτι τὸ ἕν, ὅπερ τὸ εἶδος ἔλεγεν, ἀλλ' οὖν τὸ μέγα καὶ τὸ
μικρὸν ἐπὶ τῆς ὕλης ἅμαξω ἔφερεν (ὀνόματα γὰρ δύο καθ' ἑνὸς πράγματος

2 γενητὰ t γὰρ ἀναφανθεῖσα K 3 πᾶσαν KM: ἅπασαν Lt αὐτῶν om. K ἀπορίαν KM: ἀγνοίαν L: ἀνοίαν t ἔλυσεν αὐτῶν πᾶσαν τὴν ἀγνοίαν vel ἅπασαν ἔλυσεν αὐτῶν ταύτην τὴν ἀγνοίαν Aristotelis libri 4 καὶ τὸ κατὰ K 5 τῶν πραγμάτων ταύτῃ Mt 7 lemma om. K ἡμμένοι t αὐτῶν M 10 λύοντο K παλαιῶν L.K: ἀρχαίων Mt 10. 11 ἀπορίαι ante περὶ colloc. Mt 11 οὕτως compend. K: ὄντως LMt at cf. p. 184.10 12 περὶ αὐτῶν L ἧς K: om. LMt

13 μὲν L: δὲ K: μεντοι Mt ἕνα ἕτερον K 15 τῇ τι τῶν L 15. 16 εἰς ἔννοιαν οὐδ' ὅλως ἦλθε περὶ τῆς ὕλης ἐπεὶ Πλάτων δ' L 16 ἦλθεν] ἦθεν K τὴν post εἰς' om. K 17 τιθηνὴν [illegible] κτλ. cf. p. 183,30 et ad p. 5.9 18 εἶναι K: om. L: ὡς Mt ὧν L: ἂν K: om. M δέχεται κτλ. Tim. p. 50B ubi δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδαμῶν ποτὲ οὐδενὶ τῶν εἰσιόντων τὴν αὐτὴν εἴληχεν κτλ. 20 ἔστι' ἔνεστι K 22 alterum τῷ om. K 23 τι ὑποκειμένον hic et p. 183,3. 4 sq. K 25 ἐπιόν post ὕλη Mt 26 καὶ αὐτὸς om. K 27 ἔτι] τί L. 28 ὀνόματα K

www.libtool.com.cn

κατηγορεῖ· τὴν γὰρ ὕλην μέγα καὶ μικρὸν ἐκάλει). ὥστε οὐχ ὁμοίως e 5r
ἡμῖν τὴν τριάδα τῶν ἀρχῶν εἰσέφερεν· ἡμεῖς μὲν γὰρ τὴν ὕλην καὶ τὴν
στέρησιν εἰ καὶ τῷ ὑποκειμένῳ τὸ αὐτὸ λέγομεν, ἀλλ' οὖν τῷ λόγῳ διά-
φορα εἶναί φαμεν, αὐτὸς δὲ τὸ μέγα καὶ τὸ μικρὸν οὐ μόνον τῷ ὑποκει-
5 μένῳ ἔλεγεν, ἀλλὰ καὶ τῷ λόγῳ, ὀνόματι δὲ μόνον τὴν διαφορὰν εἶναι, 15
ὡς ἔχει ἐπὶ τῶν πολυωνύμων πραγμάτων. εἰ δέ τις εἴποι μὴ ταὐτὸν ση-
μαίνειν τῷ Πλάτωνι τὸ μέγα καὶ τὸ μικρόν, ἀλλ' ἐπὶ διαφόρων κατηγορεῖ-
σθαι, οὐ δήπου δείξει ὅτι τὸ μὲν ἕτερον ἐπὶ τῆς ὕλης ἔφερε τὸ δὲ λοιπὸν
ἐπὶ τῆς στερήσεως, ἀλλ' εἰ καὶ συγχωρήσομεν ἕτερον σημαίνειν τῷ Πλά-
10 τωνι τὸ μέγα καὶ ἕτερον τὸ μικρόν, ἀλλ' οὖν πάντως δύο ὑλῶν ἂν εἶεν
σημαντικά, ὥστε οὐδὲν ἧττον οὐ διακέκριται τῆς ὕλης ἡ στέρησις. τὸ μὲν
γὰρ νομίζειν, ὅτι οὐδ' ὅλως εἶναι ἐνόμιζεν ὁ Πλάτων τὴν στέρησιν, εὔηθες· 20
οὗτος γοῦν ἐστιν ὁ λέγων εἶναί τι μὴ ὄν, ὃ μὴ παρ' ἔλαττόν ἐστι τοῦ
ὄντος, καὶ εἰ μηδὲν εἶδός φησιν ἔχειν τὴν ὕλην, ᾔδει δήπου τὴν στέρησιν
15 τῶν εἰδῶν ἐνοῦσαν αὐτῇ, ὥστε οὐκ ἠγνόει ὅτι ἔστιν ἡ στέρησις. πάλιν
γοῦν φησιν αὐτὸς εἶναι μὲν πάντα κατὰ τὸ εἶδος, γίνεσθαι δὲ κατὰ τὴν με-
τάληψιν, φθείρεσθαι δὲ κατὰ ἀποβολήν, ὥστε τὸ ἀποβάλλον τὸ εἶδος στέ-
ρησιν ἔχει τοῦ εἴδους. εἰ οὖν ἔστι μὲν ἡ στέρησις, μηδὲν δέ φησι περὶ
αὐτῆς, ἤτοι διὰ τὸ τὴν αὐτὴν εἶναι νομίζειν τῷ εἴδει ἢ τὴν αὐτὴν τῇ ὕλῃ·
20 ἀλλὰ τῷ μὲν εἴδει οὐκ ἂν εἶναι τὴν αὐτὴν ἐνόμισεν (ἦν γὰρ ἂν ἅμα τὰ 25
ἐναντία), ὥστε εὔλογον τῇ ὕλῃ τὴν αὐτὴν εἶναι νομίζειν. εἰ δὲ τὴν αὐτὴν
τῇ ὕλῃ, ἢ καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ τὴν αὐτήν, ἢ λόγῳ μὲν
ἑτέραν ὑποκειμένῳ δὲ μόνῳ τὴν αὐτήν. εἰ μὲν οὖν ἑτέραν τῷ λόγῳ αὐτὴν
ὑπελαμβάνεν, ὥσπερ καὶ ἡμεῖς, ἔδει αὐτὸ τοῦτο διορίσαι καὶ διαστείλασθαι,
25 εἰ δὲ μὴ φαίνεται τοῦτο ποιῶν, δῆλον δήπου ὅτι καὶ τῷ ὑποκειμένῳ καὶ
τῷ λόγῳ τὴν αὐτὴν ὑπελάμβανεν εἶναι αὐτὴν τῇ στερήσει.

Ὁ μὲν οὖν Ἀριστοτέλης ταῦτα. ὁ δὲ Πλάτων ὅτι μὲν τὴν ὕλην οὐ ταὐτὸν 30
εἶναι τῇ στερήσει ὑπετίθετο, σαφῶς οὕτως οὐκ ἔστιν αὐτὸν εὑρεῖν λέγοντα, ὅτι
δὲ ἑτέραν ᾔδει οὖσαν τῆς ὕλης τὴν στέρησιν, σαφὲς ἐκ τῶν εἰρημένων· εἰ
30 γὰρ λέγει τὴν ὕλην μητέρα καὶ τιθηνὴν καὶ δεξαμενὴν τῶν εἰδῶν καὶ μηδὲν
εἶδος ἔχειν τῶν εἰσιόντων, δῆλον ὅτι στέρησιν εἶχε τῶν εἰδῶν. ὅταν οὖν
δέχηται τὰ εἴδη, οὐ δήπου ἅμα καὶ τὴν στέρησιν αὐτῶν ὧν δέχεται ἔχειν

---

1 κατηγόρει corrigendum putavit t 5 ἔλεγεν ἓν fort. recte Mt malim ὀνόματος μόνω K 6 εἴπη M 7 τῷ Πλάτωνι] πλάτων L 8 οὐ δείπου δεῖξαι K ἔφερε LKM: φέρει t 9. 10 τὸ πλάτωνι K: τὸν πλάτωνα L 13 οὖν Mt λέγων κτλ.] cf. Plat. Soph. p. 258 A sq. (supra p. 82, 26) εἶναί om. K 14 φησιν Tim. p. 50 D sq.

ἤδει (ει corr.? M) LM: ἤ K: ἤδη t 15 αὐτὴ K ἠγνόει ὅ τι ἔστιν. ὅτι ἔστι στέρησις K ὅτι recepi ex K: τίς L: εἰ Mt 16 φησιν] nescio ubi. cf. p. 184, 3 sqq. ὁ αὐτὸς K εἶναι μὲν αὐτὸς L 17 κατὰ τὴν ἀποβολήν recte Mt fort. τὸ ἀποβαλὸν 18 δέ om. L post περὶ delet τῆς M 19 τὸ νομίζειν τὴν αὐτὴν εἶναι Mt 19. 20 utrobique τὸ (pro τῷ) K 20 ἂν alterum om. LK 21 τὴν αὐτὴν (post ὕλῃ) et v. 23 (post μόνῳ) K: ταυτὴν utrobique (L)Mt 24 et 26 ὑπελάμβανον K 24 καὶ (post ὥσπερ) om. K 28. 29 ὑπετίθετο—τὴν στέρησιν om. L 29 ἕτερον K 30 καὶ μηδὲν κτλ.] v. ad p. 182, 18

www.libtool.com.cn

δύναιτ' ἄν· συμβήσεται γὰρ τὸ αὐτὸ ἅμα καὶ εἶναι καὶ μὴ εἶναι· ὥστε e 5r
ἐν τῷ δέχεσθαι τὰ εἴδη ἀποβάλλει τὴν τούτων στέρησιν, εἰ δὲ τοῦτο, 35
ἑτέρα ἂν εἴη παρὰ τὴν στέρησιν. καὶ εἴ φησιν εἶναι πάντα κατὰ τὸ εἶδος,
γίνεσθαι μὲν κατὰ τὴν μετάληψιν τοῦ εἴδους, φθείρεσθαι δὲ κατὰ τὴν τού-
5 του ἀποβολήν, τὸ δ' ἀποβάλλον τὸ εἶδος ἡ ὕλη, καὶ ἡ ἀποβολὴ τοῦ εἴδους
οὐδὲν ἕτερόν ἐστιν ἢ στέρησις εἴδους, πρὶν ἄρα ἀποβάλῃ τὸ εἶδος ἐκεχώ-
ριστο αὐτῆς ἡ στέρησις· ὥστε ἕτερον εἶναι τὴν ὕλην τῆς στερήσεως ἐνό-
μιζεν. εἰ δὲ μὴ σαφῶς οὕτως ἐπὶ λέξεως λέγει ὥσπερ ὁ Ἀριστοτέλης,
ὅτι ἕτερόν ἐστι τῷ λόγῳ ἡ στέρησις τῆς ὕλης, οὐδὲν θαυμαστόν· αὐτὸς 40
10 γάρ ἐστιν ὁ Ἀριστοτέλης ὁ εἰπών, ὅτι οὐκ ἂν ἡμεῖς οὕτως διηρθρωμένην
περὶ τῶν πραγμάτων ἔχειν τὴν γνῶσιν ἠδυνήθημεν, μὴ παρὰ τῶν παλαιο-
τέρων τὰς ἀρχὰς καὶ τὰ σπέρματα τῆς ζητήσεως εἰληφότες· καὶ οὐδέν γε
θαυμαστὸν τῶν ἄλλων ἡμῖν τὰς ἀφορμὰς τῆς τῶν πραγμάτων γνώσεως δε-
δωκότων αὐτοὺς ἡμᾶς τὰ παρ' ἐκείνων πλατύνειν καὶ διαρθροῦν.

15 p. 191b36 Πρῶτον μὲν γὰρ ὁμολογοῦσιν ἁπλῶς γίνεσθαί τι ἐκ μὴ ὄντος, ᾗ Παρμενίδην ὀρθῶς λέγειν.

Ὅτι ἥψαντο μὲν τοῦ περὶ τῆς ὕλης λόγου οὐχ ἱκανῶς δέ, πρῶτον μὲν οὖν 45
δείκνυσιν ἐκ τοῦ ἀποδέχεσθαι τοὺς Παρμενίδου λόγους. εἰ γὰρ συνεχώρουν
τὸ ὂν ἓν σημαίνειν, τοῦτο δὲ ἀγένητον εἶναι, ἔλεγον δὲ καὶ γίνεσθαί τινα,
20 ἀνάγκη πᾶσα ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γίνεσθαι· τὸ γὰρ ὁπωσοῦν ὂν ἓν
εἶναι καὶ ἀγένητον. καὶ πάλιν, εἰ συνεχώρουν τὸ παρὰ τὸ ὂν οὐκ ὂν εἶναι,
τὸ ὂν δὲ ἀγένητον εἶναι, τὸ γινόμενον ἄρα ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἔλεγον
γίνεσθαι. ὥστε διὰ μὲν τοῦ τὸ γινόμενον ἐκ μὴ ὄντος λέγειν γίνεσθαι,
ἐπειδὴ τὸ μὴ ὂν τὴν ὕλην ἐκάλουν (ἐκ γὰρ τοῦ μηδαμῇ μηδαμῶς ὄντος 50
25 κοινὴ δόξα τῶν φυσικῶν μηδὲν ἂν γίνεσθαι), εἰς ἔννοιαν τῆς ὕλης ἦλθον
ἥτις οὐδέν ἐστι τοιοῦτον οἷον τὰ γινόμενα, διὰ δὲ τὸ ἁπλῶς μὴ ὂν καλεῖν
τὴν ὕλην οὐ κατωρθωμένην ἔσχον αὐτῆς τὴν ἔννοιαν· οὐ γάρ ἐστιν ἁπλῶς
μὴ ὄν, ἀλλὰ πῇ μὴ ὄν (κατὰ συμβεβηκὸς γὰρ μὴ ὂν διὰ τὸ τὴν στέρησιν
ἔχειν), καὶ ἐνεργείᾳ μὲν μὴ ὂν δυνάμει δ' ὄν. ἁπλῶς δὲ μὴ ὂν ἔλεγον

---

1 αὐτὸ om. K 2 ὑποβάλλει L 3 ἕτερα K 4 μετάλ/ο L 6 ἀποβάλῃ M²t: ἀποβάλλει LKM 6. 7 κεχώριστο αὐτοῦ K 7 εἶναι om. K τῆς στερήσεως τὴν ὕλην Mt 9 ἡ στέρησις τῆς ὕλης LK: ἡ ὕλη τῆς στερήσεως Mt 9. 10 ἔστι γὰρ αὐτὸς ὁ L 10 εἰπών] notum est Aristotelem ubique τῶν ἀρχαίων opiniones magni facere ad inveniendum verum, neque certum locum respicere Philoponus videtur. velim in primis conferas Metaph. A 10. α 1. Λ 8 p. 1074a38—b14 al. διηρθρωμένην οὕτως L 11 μὴ παρὰ K: μήπως L: μὴ Mt 11. 12 παλαιῶν Mt 12 εἰληφότων ut vid. ante corr. L 12. 13 θαυμαστὸν οὐδὲν (om. καὶ et γε) L 14 αὐτοὺς] αὐτῶν L τὰ om. L ἐπιδιαρθροῦν K 15. 16 ἁπλῶς—λέγειν om. K 15 τι om. Aristotelis libri (praeter I) 16 ᾗ M 17 οὖν om. Kt 19. 21. 22 ἀγέννητον t 20 ἓν om. L 22. 23 γίνεσθαι ἔλεγον inverso ordine K 23 τοῦ] οὖν K: fort. τὸ 24 ἐκάλει K τοῦ om. superscr. M 25 ἦλθον τῆς ὕλης Mt 26 διὰ δὲ τοῦ ἁπλῶς K καλεῖν LK: λέγειν Mt 26. 28 καλεῖν—ἁπλῶς μὴ ὄν iterat K 27 κατορθωμένην K

www.libtool.com.cn

τὴν ὕλην, ᾗ συνεχώρουν ταῖς Παρμενίδου προτάσεσι τῇ τε λεγούσῃ τὸ ὂν e 5r
ἓν σημαίνειν καὶ τῇ λεγούσῃ τὸ | παρὰ τὸ ὂν οὐκ ὄν· εἰ γὰρ ἓν τὸ ὂν e 5v
ἔλεγεν ὁ Παρμενίδης, πᾶν δ' εἴ τι παρὰ τοῦτο μὴ ὂν εἶναι οὐ τὶ μὴ ὂν
ἀλλ' ἁπλῶς μὴ ὄν, ἀνάγκη πᾶσα τὸν ἀποδεχόμενον τὴν δόξαν ταύτην τὴν
5 λέγουσαν τὸ ὂν ἓν εἶναι καὶ ἀγένητον, λέγοντα δὲ γένεσιν εἶναι, ἐπειδὴ ἐκ
τοῦ ὄντος οὐδὲν δύναται γενέσθαι (ἀμετάβλητον γὰρ τοῦτο), ἐκ τοῦ ἀντι-
κειμένου αὐτῷ λέγειν γίνεσθαι, τοῦτο δ' ἐστὶ τὸ ἁπλῶς μὴ ὄν, κἂν μὴ
διαρρήδην τοῦτο λέγῃ. ὥστε οὐ σῴζει Πλάτων τὴν τῆς ὕλης φύσιν ἁπλῶς 5
μὴ ὂν αὐτὴν λέγων ἐξ ἧς γίνεται τὰ γινόμενα, ἥτις πῇ μὲν ἔστι πῇ δ'
10 οὔ· δυνάμει μὲν γὰρ ἔστιν ἐνεργείᾳ δ' οὔ, καὶ καθ' αὑτὸ μὲν ὂν κατὰ
συμβεβηκὸς δὲ οὐκ ὂν διὰ τὸ ἔχειν τὴν στέρησιν, ἥτις ἐστὶ καθ' αὑτὸ οὐκ
ὄν. εἴρηται δὲ καὶ περὶ τούτων ἱκανῶς ἐν τοῖς ἔμπροσθεν, ὅτι τὸ ὂν ὁ
Πλάτων τὸ νοητὸν ἔλεγεν, καὶ ὅτι οὐ τὸ μηδαμῇ μηδαμῶς ὂν εἰσῆγεν, ἀλλὰ
τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν.

15 p. 192a1 Εἶτα φαίνεται αὐτοῖς, εἴπερ ἐστὶν ἀριθμῷ μία, καὶ δυ- 10
νάμει μόνον μίαν εἶναι.

Οὐ γὰρ φαίνονται διαστελλόμενοι ταῦτα, ὥσπερ ὁ Ἀριστοτέλης. καὶ
ἄλλως εἰ ἔλεγον ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γενέσθαι τὰ γινόμενα ἐκ τῆς ὕλης
λέγοντες κατὰ τὸν εἰρημένον τρόπον, δῆλον ὅτι διὰ τὸ ἕν τι λαμβάνειν τὴν
20 ὕλην μετὰ τῆς στερήσεως, ἥτις ἡ στέρησις ἁπλῶς μὴ ὄν ἐστι.

p. 192a2 Τοῦτο δὲ διαφέρει πλεῖστον.

Οὐ τὸ τυχὸν διαφέρει τὸ λέγειν καὶ ἀριθμῷ καὶ λόγῳ μίαν εἶναι τοῦ 17
λέγειν ἀριθμῷ μὲν μίαν εἶναι λόγῳ δὲ δύο διὰ τὴν στέρησιν, ἀλλὰ πολλὴ
τούτων ἐστὶν ἡ διαφορά. πόση δ' ἡ διαφορὰ ἐπιφέρει· καὶ τὴν μὲν
25 ἐγγὺς οὐσίαν πως, τὴν ὕλην, τὴν δὲ στέρησιν οὐδαμῶς. ἐγγὺς
οὐσίαν τὴν ὕλην φησίν, ὅτι τε μέρος γίνεται τῆς οὐσίας καὶ ὅτι, ὥσπερ ἡ 20
οὐσία ὑπόκειται ταῖς λοιπαῖς κατηγορίαις, οὕτως καὶ ἡ ὕλη ταῖς οὐσίαις.
διὰ τοῦτο οὐσία πως ἡ ὕλη, ἡ δὲ στέρησις οὐδαμῶς, ἐξισταμένη καὶ
ὑποχωροῦσα τοῖς εἴδεσιν.

---

1 ᾗ scripsi: ἢ K: εἰ ἢ L: οἳ corr. ex οἷ vel ex ηἷ M: οἳ t τε om. L 2. 8 εἰ γὰρ—λέγῃ] cf. Themist. p. 153,23 sqq. 3 δ' εἴ τι LMt: δέ τι K 4 ἀλλὰ πλῶς κὴ ὄν K 5 καὶ ἀγένητον om. add. L² ἀγέννητον t 6 inter τοῦ et ὄντος delet μὴ M 7 αὐτῷ K: αὐτὸ LMt 8 διαρρίδην et λέγῃ (ex λέγει) K 9 ἐξῆς K 12 δὲ om. L τούτου Mt ἱκανῶς om. K τοῖς] τῷ L ἔμπροσθεν p. 81,31 sqq. 14 τὴν στερ̄ K 15. 16 αὐτοῖς—εἶναι om. K 16 μόνον μίαν LM et Arist. cod. I: μίαν μόνον t: μία μόνον Arist. at cf. Simplic. p. 244,23 17 διαστελλόμενα K 18 γίνεσθαι K 20 ἡ στέρησις deleverim 21 lemma om. K 22 διαφ̄ M: διαφέρειν L τοῦ] τὸ M 23 μίαν μὲν ἀριθμῷ εἶναι Mt 25 οὐσίαν—οὐδαμῶς om. K οὐσίαν πως (cf. Simplic. p. 246,23) L et Arist. cod. I: καὶ οὐσίαν πῶς Mt 26 φασὶν K 28 πῶς libri

www.libtool.com.cn

p. 192a6 Οἱ δὲ τὸ μὴ ὂν τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως, ἢ τὸ εὖ· συναμφότερον ἢ τὸ χωρὶς ἑκάτερον.

Ἡμεῖς μέν, φησίν, οὕτως χωρίζομεν τῆς ὕλης τὴν στέρησιν, ἐκεῖνοι δὲ τὴν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν λέγουσιν, εἴτε δ' ἕν τι σημαίνει αὐτοῖς ἀμφότερα τὰ ὀνόματα εἴτε διάφορα, ὅμως γοῦν ὕλης σημαντικὰ αὐτοῖς ἐστι τὸ μέγα καὶ τὸ μικρόν. ὥστε, φησίν, ἑτέρως ἡμεῖς τρεῖς ἀρχὰς ὑποτιθέμεθα καὶ ἑτέρως ἐκεῖνοι· ἡμεῖς μὲν γὰρ τρία πράγματά φαμεν ὕλην εἶδος στέρησιν, ἐκεῖνοι δ' ὀνόματα μὲν τρία, πράγματα δὲ δύο· τὸ γὰρ μέγα καὶ τὸ μικρὸν τῆς ὕλης αὐτοῖς ἐστι σημαντικόν, εἴτε μία αὐτοῖς εἴη ἡ ὕλη εἴτε δύο. μέχρι μὲν γὰρ δεῦρο προῆλθον, ὅτι δεῖ τινα ὑποκεῖσθαι φύσιν. μέχρι μέν, φησί, τοῦ ὑποθέσθαι φύσιν τινὰ ὑποκειμένην τοῖς εἴδεσι πᾶσι καλῶς αὐτοῖς προῆλθεν ὁ λόγος, τὸ δ' ἑξῆς οὐκέτι· ταύτην γὰρ τὴν φύσιν οὐ μίαν ἀριθμῷ μόνον φασίν, ἀλλὰ καὶ λόγῳ, καὶ οὐχ ὡς ἡμεῖς δύο τῷ λόγῳ. ἀναλαμβάνει δὲ τὰς δείξεις ἐφεξῆς, ὅτι ἑτέρα τῆς ὕλης ἡ στέρησις.

p. 192a13 Ἡ μὲν γὰρ ὑπομένουσα συναιτία τῆς μορφῆς τῶν γινομένων ἐστίν, ὥσπερ μήτηρ.

Καλῶς καὶ Πλατωνικῶς τὸ συναιτία· τὸ γὰρ κυρίως αἴτιον ἐξῃρῆσθαι δεῖ τοῦ ἀποτελέσματος, ὥσπερ τὸ ποιητικὸν καὶ τὸ παραδειγματικόν, συναίτιον δ' ἡ ὕλη, ὡς συντελοῦσα εἰς τὴν γένεσιν καὶ μέρος γινομένη τοῦ πράγματος. μήτηρ δέ, διότι ὥσπερ ἡ μήτηρ δέχεται τὸ σπέρμα καὶ φυλάττει καὶ τελεσφορεῖ, οὕτω καὶ ἡ ὕλη δέχεται τὰ εἴδη καὶ φυλάττει καὶ εἰς τὸ τέλειον ἄγει τῇ ἑαυτῆς χορηγίᾳ, ἀεὶ τῇ παρ' ἑαυτῆς προσθήκῃ ὑποβάθραν τῷ εἴδει ποιοῦσα τῆς τελείας παρουσίας.

p. 192a14 Ἡ δὲ ἑτέρα μοῖρα τῆς ἐναντιώσεως πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν οὐδ' εἶναι τὸ παράπαν.

Ὥσπερ ἀπολογίαν ὑπὲρ Πλάτωνος ταύτην προσέθηκεν, ἀποδιδοὺς τὴν

---

1. 2 τὸ μέγα — ἑκάτερον om. K 3 χωρίζωμεν K 5 ὅμως γοῦν LK: οὐδὲν πρὸς τὸν λόγον· εἰ (sic M: εἰ t) γὰρ Mt at cf. Themist. p. 154,14 6 εἶναι K ὥστε ἑτέρως φησὶν Mt 7 ὑποτιθέμεθα om. K μὲν om. K 8 μὲν om. L γὰρ om. K 9 ὕλης αὐτῆς ἐστι L εἴη LK: ἐστιν Mt 10. 11 δεῦρο — φύσιν om. K 13 μόνον ἀριθμῷ Mt 14 τὰς δόξας L 16. 17 -μένουσα — μήτηρ om. K 16 τῆς μορφῆς (cf. Simplic. p. 248,21) M: τῆς μορφῆς L: τῇ μορφῇ t Arist. 18 πλατωνικῶς] πλάτωνι ἡ K αἴτιον LK: ὂν Mt 21 μήτηρ δὲ διότι om. in mrg. add. L ὥσπερ ἡ L: ὡς KMt 23 ἑαυτοῦ priore loco L χορηγεία K προσθέσει L 23. 24 ὑπὸ βάθραν et mox τὰ τῆς K 25 δὲ MK: δ' Lt μοῖρα bis scripserat K 25. 27 ἐναντιώσεως — παράπαν om. K 26 τῷ] τὸ L ἐνατενίζοντι t 28 ταύτην προσέθηκεν LK: προσέθηκε ταῦτα Mt

www.libtool.com.cn

αἰτίαν διὰ τί μὴ διέκρινε τὴν ὕλην τῆς στερήσεως. εἰ γὰρ ἀποβλέψειέ τις, e 5r
φησίν, εἰς τὸ κακοποιὸν τῆς στερήσεως, δόξειεν ἂν μηδ' εἶναι τὸ παράπαν· 46
ἢν δὲ δοκεῖ τις μηδ' εἶναι, πῶς ἂν διακρίνειε τοῦ ὄντος; διακρίσεως γὰρ
δεῖ καὶ διαστολῆς ἐν τοῖς οὖσιν, οὐκ ἐν τοῖς μὴ οὖσι. κακοποιὸν δέ φησι
5 τὴν στέρησιν, διότι τῆς φθορᾶς αὕτη ἐστὶν αἰτία, ὥσπερ τὸ εἶδος τῆς γε-
νέσεως καὶ τοῦ εἶναι, ἑκάστῳ δὲ τὸ εὖ καὶ τὸ ἀγαθὸν κατὰ τὸ εἶναι. ἐπεὶ
οὖν ἡ κοινὴ πάντων ἀρχὴ τἀγαθόν ἐστι, δῆλον ὅτι πᾶν ὅπερ ἔστιν ἀγαθόν
ἐστιν· οὐδὲν γὰρ δύναται εἶναι μὴ μετέχον τοῦ ἀγαθοῦ. τὸ εἶναι ἄρα 50
ἑκάστῳ ἀγαθόν, ἐπειδὴ τὸ εἶναι ἐκ τῆς πρώτης ἀρχῆς, αὕτη δὲ τἀγαθόν.
10 εἰ δὲ τὸ εἶναι ἀγαθόν, τὸ μὴ εἶναι κακόν· εἰ δὲ τὸ μὴ εἶναι κακόν, τὸ
τοῦ μὴ εἶναι αἴτιον κακοποιὸν ἂν εἴη. ἐπεὶ οὖν οὐδὲ εἶναι δύναται τὸ
μὴ μετέχον τοῦ ἀγαθοῦ, κακοποιὸς ἄρα οὖσα ἡ στέρησις οὐδ' ἂν εἴη ὅλως,
εἴ γε τὸ ὂν πάντως καὶ ἀγαθόν. διὰ τοῦτο οὖν, φησί, δόξει μηδὲ εἶναι
ὅλως ἡ στέρησις, πάλιν δ' αὖ εἶναι καὶ αὐτὴν ἀνάγκη, ἐπειδὴ οὐκ ἄνευ
15 ταύτης ἡ γένεσις· τῷ γὰρ ὄντι, ὡς ὁ Θεμίστιός φησι, "θαυμαστὸν μὲν εἰ
ἔστι φθείρουσα | τὸ εἶναι, θαυμαστὸν δὲ εἰ μὴ ἔστι ποιοῦσα τὸ γίνεσθαι· e 6r
οὐ γὰρ ἂν γίνοιτό τι μὴ φθειρομένου τινός, ἀλλ' ἦν ἅπαντα ἀίδια."

p. 192a 16 Ὄντος γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ.

Πῶς κακοποιὸς ἡ στέρησις διὰ τούτων κατασκευάζει. ὄντος γάρ, 8
20 φησί, θείου τινός, λέγει δὲ τοῦ εἴδους τοῦ ἐνύλου· οὐχ ὡς ἄν τις γὰρ
ὑπολάβοι περὶ τοῦ πρώτου φησὶ τοῦ θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ·
τούτῳ γάρ φησιν ἐναντίον εἶναι, τῷ πρώτῳ δὲ οὐδὲν ἐναντίον. θεῖον οὖν 10
φησι τὸ ἔνυλον εἶδος, θεῖον δ' ὡς παρὰ θεοῦ προϊόν, ἀγαθοῦ δέ, διότι
τὸ εἶναι ἑκάστῳ ἀγαθόν. τὴν μὲν στέρησιν ἐναντίον φαμὲν τῷ εἴδει, διότι
25 τοῦ μὴ εἶναι αἰτία ἡ στέρησις, εἰ δὲ τῷ ἀγαθῷ ἐναντίον ἡ στέρησις, κα-
κὸν ἄρα ἡ στέρησις. ἡ δὲ ὕλη οὐκ ἐναντία τῷ εἴδει· ἐφίεται γὰρ αὐτοῦ,
φησίν, ὡς αἰσχρὸν καλοῦ καὶ θῆλυ ἄρρενος. ὡς γὰρ μετέχουσα τῆς αἰ-
σχρότητος, λέγω δὴ τῆς στερήσεως, οὕτως ἐφίεται τοῦ καλοῦ· κοσμεῖται
γὰρ ὑπ' αὐτοῦ. εἰ τοίνυν ἐφίεται τοῦ εἴδους ἡ ὕλη, οἱ ἄρα ἓν τὴν ὕλην 15
30 καὶ τὴν στέρησιν νομίζοντες τὴν στέρησιν λέγουσι τοῦ εἴδους ἐφίεσθαι, εἴ
γε ταὐτὸν ἡ ὕλη καὶ ἡ στέρησις· τὸ ἐναντίον ἄρα τοῦ ἐναντίου ἐφίεται.
τὸ δ' ἐφιέμενον τοῦ ἐναντίου τῆς αὐτοῦ φθορᾶς ἐφίεται· φθαρτικὰ γὰρ

---

2 δόξαν ἂν μηδ' εἶναι αὐτὴν τὸ K 3 ἢν] εἰ K μηδ' LK: μὴ Mt 5 αὐτή ex αὐτῇ K 6 ἑκάστῳ κτλ.] cf. Themist. p. 154,26 7 τὸ ἀγαθόν (post ἀρχὴ) K ὅπερ] ὅτιπερ K 9 πρώτης L: προτέρας KMt δὲ τὸ ἀγαθόν K 11 οὐδὲ scripsi: οὐδὲν libri τὸ om. K 12 οὐδ' ἂν LK: οὐδὲν ἂν Mt 13 τὸ ὂν πάντως LK: πᾶν τὸ ὂν Mt οὖν om. Mt μηδὲν εἶναι K 15 Θεμίστιος p. 154,27 17 γένοιτό Mt καὶ φθειρομένου Themistius (at καὶ om. ed. Ald.) 18 ἀγαθοῦ] θαυμαστοῦ K καὶ (ante ἐφετοῦ) om. L καὶ ἐφετοῦ om. K 19 Πῶς — στέρησις om. K 21 ὑπολάβοι M φησὶ τοῦ] fort. φησὶ τὸ 23 ἀγαθοῦ] ἀγαθὸν K 24 fort. τὴν μὲν ⟨οὖν⟩ 25 ἐναντίον] ἐναντία K 26. 27 γάρ φησιν αὐτοῦ Mt 32 αὐτοῦ scripsi: αὐτοῦ L: ἑαυτοῦ KMt 32. p. 188,1 φθαρτικὰ — ἄρα τῆς ἑαυτοῦ φθορᾶς ἐφίεται om. Mt

www.libtool.com.cn

ἀλλήλων τὰ ἐναντία· αὐτό τι ἄρα τῆς ἑαυτοῦ φθορᾶς ἐφίεται, ὅπερ 6r
ἀδύνατον· οὐδὲν γὰρ τῆς ἑαυτοῦ φθορᾶς ἐφίεται. καίτοι εἰ ἐφετὸν τὸ εἶδος
διότι καὶ τοῦ εἶναι αἴτιον, τὸ δ' εἶναι ἀγαθόν, ἀνάγκη πᾶσα ἢ αὐτὸ ἑαυ-
τοῦ ἐφίεσθαι ἢ τὸ ἐναντίον αὐτοῦ ἐφίεσθαι, τὴν στέρησιν λέγω ἢ τὴν ὕλην·
5 ἀλλ' οὔτε αὐτὸ ἑαυτοῦ ἐφίεται (ἀνενδεὲς γὰρ ἑαυτοῦ, ἐφίεται δέ τις τοῦ
ἀπόντος καὶ ὃ μὴ ἔχει) οὔτε ἡ στέρησις (τῆς ἑαυτῆς γὰρ ἂν φθορᾶς 20
ἐφίοιτο)· λείπεται ἄρα τὴν ὕλην ἐφίεσθαι τοῦ εἴδους· εἰ δὲ ἡ ὕλη τοῦ εἴ-
δους ἐφίεται, ταὐτὸν δὲ τῇ στερήσει ἡ ὕλη, τῆς ἑαυτῆς φθορᾶς ἐφίοιτο
ἄν. καὶ ἄλλως εἰ ταὐτὸν ἡ ὕλη τῇ στερήσει, πῶς σῴζοιτο ἂν τὸ τινὸς
10 εἴδους αὐτὴν μεταλαμβάνειν; εἰ μὲν γὰρ ἡ τοῦ ἀνθρώπου ὕλη ταὐτὸν τῇ
ἀνθρωπείᾳ στερήσει, καὶ ἁπλῶς εἰ ἡ τὶς ὕλη τῇ τινὶ στερήσει ταὐτόν, φθει-
ρομένης τῆς στερήσεως τοῦ ἀνθρώπου ἐν τῇ γενέσει τοῦ ἀνθρώπου φθαρείη
ἂν καὶ ἡ τοῦ ἀνθρώπου ὕλη· τὸ δὲ φθαρὲν πῶς ἂν δέξαιτο τὸ εἶδος; οὐκ ἐν 25
ὕλῃ ἄρα τὸ τοῦ ἀνθρώπου εἶδος. καὶ εἰ ἡ τὶς ὕλη ⟨τῇ⟩ τινὶ στερήσει ταὐτόν,
15 καὶ ἡ ἁπλῶς ὕλη τῇ ἁπλῶς στερήσει ταὐτόν· καὶ ἔμπαλιν εἰ ἡ ἁπλῶς τῇ
ἁπλῶς, καὶ ἡ τὶς τῇ τινὶ. εἰ τοίνυν ἡ ἁπλῶς ὕλη ταὐτὸν τῇ ἁπλῶς στε-
ρήσει, δῆλον ὅτι κἂν τινὸς μὲν εἴδους μεταλάβοι, τινὸς δὲ μή, φθείροιτ' ἂν
καὶ οὐκ ἂν εἴη ἄφθαρτος. ὥστε εἰ ταὐτὸν τῇ ὕλῃ ἡ στέρησις, οὔτε ἄφθαρ-
τος ἂν εἴη, οὔτε τὰ εἴδη ἐν ὕλῃ σχήσουσι τὸ εἶναι διὰ τὸ φθαρτὴν αὐτὴν
20 εἶναι· ὡς γὰρ ἡ στέρησις ὑπεξίσταται τῷ εἴδει, οὕτως καὶ ἡ ὕλη ταὐτὸν
οὖσα τῇ στερήσει. θεῖον μὲν οὖν τὸ εἶδος, ὡς παρὰ θεοῦ προϊόν, ἀγα- 30
θὸν δέ, ἐπειδὴ τὸ εἶναι ἑκάστῳ ἀγαθόν, δι' αὐτὸ δὲ καὶ ἐφετόν· καὶ πᾶσι
γὰρ ἐφετὸν τὸ ἀγαθόν. πῶς δέ φησι τὸ εἶδος μὴ εἶναι ἐνδεές, τὸ δὲ
ἐνδεὲς τῆς ὕλης ὑπάρχει; οὐχ ὅτι οὐ δεῖται τῆς ὕλης πρὸς τὸ εἶναι, ἀλλ'
25 ὅτι ἡ μὲν ὕλη αἰσχρὰ οὖσα καὶ ἀόριστος δεῖται τοῦ ὁρίζοντος καὶ εἰδο-
ποιοῦντος, τὸ δὲ εἶδος αὐτὸ κάλλος ὂν καὶ ὅρος οὐ δεῖταί τινος εἰς τοῦτο·
τὸ γὰρ ἐνδεὲς δεῖ πρῶτον εἶναι, εἶτα ἐνδεὲς ἢ ἀνενδεὲς εἶναι. ἡ μὲν οὖν
ὕλη κἂν μὴ δεῖται τοῦ εἴδους εἰς τὸ εἶναι ὅσον ἐπὶ τῷ αὐτῆς λόγῳ, ἀλλ' 35
οὖν οὖσα ἐνδεής ἐστι καὶ δεῖται τοῦ ὁρισθῆναι καὶ κοσμηθῆναι, τὸ δ'
30 εἶδος ἔστι καὶ οὐκέτι δεῖταί τινος τοῦ εἰς τάξιν ἢ εἰς ὅρον ἄγοντος. οὐ

---

2 εἰ (K)t: om. LM 3 καὶ om. L αὐτὸ Lt: αὐτὸ* M: τὸ K 4 ἐφίεται altero loco K λέγω, τῆς ὕλης M: λέγωντῆνὕλην K: λέγων (ceteris omissis) L: λέγω, τῆς ὕλης t (ἢ τὴν ὕλην) 5 γὰρ αὐτοῦ K 7 ἐφίοιτο LM: ἐφίοντο K: ἐφίετο t εἰ δὲ ἡ Mt: ἡ δ' ἡ K: ἡ δὲ L 7. 8 τοῦ εἴδους ἐφίεται LK: ἐφίεται τοῦ εἴδους Mt 8 τῆς στερήσεως Mt ἑαυτῆς K: ἑαυτοῦ t ad quod nihil adnotatum ex LM 9 εἰ LK: εἰ μὴ Mt πῶς ἂν σώζοιτο Mt at cf. Themist. p. 155,19 10 ἡ μὲν γὰρ ἡ K 11 καὶ ἁπλῶς om. K εἰ ἡ τὶς t: εἰτίς (η) M: εἰ τὶς ἡ L: ἡ τὶς K 11. 12 φερομένης (θει) L 13 δέξετο K 14 εἴδους K τῇ addidi 15 εἰ ἡ Mt: εἴη K: ἡ L 16 ἡ τὶς τῇ Mt: εἴ τις τῇ L: εἰ τὶς K εἰ τοίνυν εἰ ἡ ἁπλῶς L 22 καὶ (ante πᾶσι) delet t 23 πῶς γάρ L τὸ δὲ LK: ὃ Mt 24 ὑπάρχειν K οὐχ ὅτι δὲ οὐ L 26 ὅρος K 27 ἢ] καὶ K εἰ μὲν K 28 τῷ LMt: τὸ K αὐτῆς scripsi: αὐτῆς LK: ἑαυτῆς Mt

www.libtool.com.cn

καθ' αὑτὸ δὲ φησι τὴν ὕλην αἰσχράν, ἀλλὰ κατὰ συμβεβηκός· αἰσχρότης e 6r
μὲν γὰρ ἡ στέρησις, αἰσχρὸν δ' ἡ ὕλη διὰ τὸ μετέχειν τῆς στερήσεως.
αἰσχρὸν δὲ κατὰ συμβεβηκός· οὐ γὰρ τῷ ἑαυτῆς λόγῳ (ἡ γὰρ στέρησις
τῷ ἑαυτῆς λόγῳ αἰσχρόν), ἀλλ' ὅτι συνέβη ἐν στερήσει τῶν εἰδῶν αὐτὴν
5 εἶναι. καὶ εἰ πέφυκε τὰ εἴδη ἐπιδέχεσθαι, οὐκ ἂν εἴη καθ' αὑτὴν αἰσχρά· 40
οὐ γὰρ ἄν ποτε τὸ ἐναντίον ἐδέξατο. ὡσαύτως δὲ καὶ θῆλυ κατὰ συμ-
βεβηκός, ἐπειδὴ παθητικὸν μὲν τὸ θῆλυ, ποιητικὸν δὲ τὸ ἄρρεν καὶ εἰ-
δοποιόν· καὶ ἡ ὕλη δὲ παθητικόν, ποιεῖ δ' εἰς αὐτὴν τὸ εἶδος.

p. 192a25 Φθείρεται δὲ καὶ γίνεται ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ.

10 Δείκνυσι δὲ ἐντεῦθεν ὅτι καὶ ἀγένητος καὶ ἄφθαρτος ἡ ὕλη, ἀγένητος 46
δὲ οὐ κατ' αἰτίαν, ἀλλὰ κατὰ χρόνον· καὶ τοῦτο δῆλον μὲν καὶ ἐξ αὐτῶν
τῶν ἐπιχειρημάτων ἐξ ὧν δείκνυσιν αὐτὴν καὶ ἀγένητον καὶ ἄφθαρτον,
δῆλον δὲ καὶ ἐκ τῶν ἀλλαχοῦ αὐτῷ εἰρημένων (περὶ γὰρ τοῦ πρώτου λέ-
γων φησὶν "ἐκεῖθεν γὰρ τοῖς πᾶσι τὸ εἶναί τε καὶ ζῆν, τοῖς μὲν τρανέστε-
15 ρον τοῖς δὲ ἀμυδρότερον", ὥστε καὶ τῇ ὕλῃ. καὶ πάλιν "ἐκ τοιαύτης ἄρα 50
ἀρχῆς ἐξήρτηται ὅ τε οὐρανὸς καὶ ὁ κόσμος", ὥστε καὶ τὸ τοῦ κόσμου
ὑποκείμενον) * * * ἐκ τῶν ἐπιχειρημάτων αὐτῶν, ὅτι τὴν κατὰ χρόνον γέ-
νεσιν ἀναιρεῖ τῆς ὕλης. τί γάρ φησιν; ὅτι εἰ μὴ εἴη ἀγένητος ἀλλὰ γί-
νοιτο, ὑποκεῖσθαί τι δεῖ πρῶτον ἐξ οὗ γίνεται καθ' αὑτὸ καὶ μὴ κατὰ
20 συμβεβηκός, καὶ ταύτῃ τῇ ὑποθέσει δείξας ἄτοπόν τι ἑπόμενον, ἀναιρεῖ μὲν
ταύτην, εἰσάγει δὲ τὴν ἐναντίαν. εἰ δὲ λέγει ὅτι εἰ γενητὴ εἴη ἡ ὕλη, δεῖ
τι αὐτῆς πρότερον ὑποκεῖσθαι, δῆλον ὅτι κατὰ χρόνον γενητὴν ὑποτίθεται,
εἴ γε καὶ | προϋποκεῖσθαί τι αὐτῆς ἀνάγκη· ταύτην δὲ τὴν ὑπόθεσιν ἀναι- e 6v
ρεῖ· τὸ ἄρα κατὰ χρόνον γενητὸν εἶναι τὴν ὕλην ἀναιρεῖ, οὐ τὸ κατ' αἰτίαν·
25 τὸ δὲ τῷ κατὰ χρόνον γενητῷ ἀντικείμενον τὸ κατὰ χρόνον ἐστὶν ἀγένη-
τον· κατὰ χρόνον ἄρα ἀγένητον εἶναι βούλεται τὴν ὕλην οὐ κατ' αἰτίαν.
ἔστιν οὖν, φησί, καὶ ἀγένητος καὶ ἄφθαρτος, φθείρεσθαι δὲ καὶ γίνεσθαι
λέγοιτο ἂν κατὰ συμβεβηκός· ἐπεὶ γὰρ ἡ στέρησις ἐν τῇ ὕλῃ οὖσα τῇ πα- 5

---

1 αἰσχρόν K 3 ἑαυτῆς] ἐν αὐτῆς K 4 αὐτὴν L: αὐτὸν K: αὐτὴ M: αὐτῇ t
5 δέχεσθαι K αἰσχρον M 8 καὶ om. Mt παθητικὰ L 9 ἔστι μὲν — οὔ om. K ἔστι δὲ ὡς (om. οὔ) L 10 δείκνυσι δὲ LK: δείκνυσιν Mt ἀγέννητος, γεννητός sim. constanter invitis libris manuscriptis t, idque hinc non amplius adnotabo
11 αἰτίαν] οὐσίαν L 14 φησίν] cf. De cael. A 9 p. 279a28 ὅθεν καὶ τοῖς ἄλλοις ἐξήρτηται, τοῖς μὲν ἀκριβέστερον τοῖς δ' ἀμαυρῶς, τὸ εἶναί τε καὶ ζῆν 14. 15 τρανότερον Mt cf. ad p. 97,2 15 πάλιν] Metaph. Λ 7 p. 1072b13 ubi ἤρτηται et ἡ φύσις (pro ὁ κόσμος)
17 ἐκ LM: καὶ ἐκ K: δῆλον δὲ καὶ ἐκ t: lacunam indicavi 18. 19 γένοιτο L
21 εἰσάγοι K γενητὴ εἴη K: γενητὴ L: εἴη γενητὴ Mt 22 τι om. L αὐτῆς LM: αὐτοῖς K: αὐτῇ t. eadem varietas v. 23 24 γενητὴν K 25 τὸ δὲ τῷ scripsi: τῶ δὲ τῶ LK: τῷ δὲ Mt ἀντικειμένω K τὸ κατὰ χρόνον ἐστὶν ἀγένητον LK: τὸ κατ' αἰτίαν ἐστὶ γενητὸν Mt 26 ἀγένητον LK: γενητὸν Mt

www.libtool.com.cn

ρουσίᾳ τοῦ εἴδους φθείρεται καθ' αὑτό, λέγοιτο ἂν καὶ αὐτὴ κατὰ συμβε- e 6v
βηκὸς φθείρεσθαι· εἰ γὰρ ἀνείδεος ἡ ὕλη, τὸ δ' ἀνείδεον τοῦτο στερητικόν
ἐστι τῶν εἰδῶν, ἐπειδὴ τῶν εἰδῶν παραγινομένων φθείρεται τὸ ἀνείδεον
τῆς ὕλης (εἰδοποιεῖται γάρ), διὰ τοῦτο καὶ αὐτὴ κατὰ συμβεβηκὸς λέγεται
5 φθείρεσθαι· οὐ γὰρ αὐτὸ τὸ εἶναι αὐτῆς καί, ἵνα οὕτως εἴπω, οὐχ ἡ φύσις
καὶ ἡ οὐσία αὐτῆς φθείρεται, ἀλλὰ μόνον τὸ ἀνείδεον. ὥσπερ καὶ τοῦ κη-
ροῦ καθ' αὑτὸ ἀσχηματίστου ὄντος, ὅταν σχηματισθῇ, τὸ μὲν ἀσχημάτιστον 10
αὐτοῦ ἔφθαρται (καὶ ταύτῃ λέγοιτο ἂν καὶ ὁ κηρὸς ἐφθάρθαι κατὰ συμβε-
βηκός), οὐ μέντοι αὐτὴ ἡ τοῦ κηροῦ οὐσία ἔφθαρται, οὕτως καὶ ἐπὶ τῆς
10 ὕλης ἔστιν εἰπεῖν· ὅτι γὰρ ἡ στέρησις ἐν αὐτῇ οὖσα καθ' αὑτὸ φθείρεται,
λέγοιτο ἂν καὶ αὐτὴ κατὰ συμβεβηκὸς φθείρεσθαι, γίνεσθαι δὲ πάλιν, ὅταν
ἀποβαλοῦσα τὸ εἶδος προσλάβῃ τὴν στέρησιν. τῷ γὰρ τὴν στέρησιν ἐν
αὐτῇ γενέσθαι καὶ αὐτὴ ἂν γίνεσθαι λέγοιτο κατὰ συμβεβηκός, ἐπεὶ καὶ
τῷ ἑαυτῆς λόγῳ ἀνείδεός ἐστιν· ὥσπερ ἂν εἰ τὸν ἀμφορέα φθείρεσθαι λέγοι
15 τις φθαρέντος τοῦ ἐν αὐτῷ οἴνου, ἢ τὸν λευκὸν ἵππον φθαρέντος τοῦ λευ- 15
κοῦ, γίνεσθαι δὲ πάλιν ἐγγινομένου.

Οὕτω μὲν οὖν φθείρεσθαι καὶ γίνεσθαι λέγοιτο ἂν ἡ ὕλη οὐ καθ'
αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, καθ' αὑτὸ δέ, φησί, καὶ ἀγένητόν ἐστι
καὶ ἄφθαρτον. καὶ ἵνα τοῦτο δείξῃ, ἀποδίδωσι τὸν τῆς ὕλης ὁρισμὸν
20 ἐξ οὗ δείκνυσιν ἀδύνατον αὐτὴν ἢ γενέσθαι ἢ φθαρῆναι· ὕλην γάρ,
φησί, λέγω τὸ πρῶτον ὑποκείμενον ἑκάστῳ, ἐξ οὗ γίνεταί τι
ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός. τὸ πρῶτον μὲν εἶπε διὰ τὸ 20
τριχῇ διαστατόν· ἔστι γὰρ καὶ τοῦτο ὑποκείμενον πᾶσι τοῖς λοιποῖς
ἀλλ' οὐ πρῶτον, καὶ ἕτερον ἑτέρῳ μεριχώτερόν ἐστιν ὑποκείμενον ἀλλ' οὐ
25 πρῶτον, πρῶτον δ' ὑποκείμενον πᾶσιν ἡ ὕλη. τὸ δὲ ἐξ οὗ ἐνυπάρχοντος,
ὅτι γίνεται καὶ ἐκ τῆς στερήσεως τὰ γινόμενα, ἀλλ' οὐκ ἐνυπάρχοντος,
ἀλλὰ κατὰ συμβεβηκός, ἐκ τῆς ὕλης δὲ καθ' αὑτό· ἐνυπάρχον γάρ. καὶ
ἔχεις ἐντεῦθεν ἐκ τίνος καθ' αὑτὸ γίνεται τὰ γινόμενα. τοῦ ὅρου οὖν τῆς 25
ὕλης οὕτως ἔχοντος, δείκνυσι τέως ὅτι ἀγένητος οὕτως· εἰ γὰρ γίνεται, ἔκ
30 τινος ὑποκειμένου γενήσεται (οὐδὲν γὰρ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γί-
νεται), τοῦτο δ' ἐστὶν ἡ τῆς ὕλης φύσις, ὃ πρῶτόν ἐστιν ὑποκείμενον· ὥστε
ἔσται ὕλη πρὶν γενέσθαι ὕλην. καὶ πάλιν εἰ φθείρεται, εἴς τι φθαρήσεται,
εἰς ὃ δὲ ἔσχατον φθείρονται τὰ φθειρόμενα ἡ ὕλη ἐστίν· ὥστε ἐφθαρμένη

---

2 στερητικόν] στέρησις K 3 παραγενομένων L 4 αὐτὴ LK: αὕτη Mt 6 ἡ οὐσία αὐτὴ K 8..9 καὶ ταύτῃ — ἔφθαρται om. K 8 ἐφθάρθαι] ἔφθαρται L 9 αὐτὴ ἡ τοῦ κηροῦ L: ἡ τοῦ κηροῦ αὐτὴ Mt οὕτω M: om. t 10 καθ' αὐτὴ (sic) K 11 δὲ om. L 12 ἀποβαλοῦσα LK: ἀποβάλλουσα Mt 13 αὐτὴ (post καὶ) LK: αὕτη Mt γίνεσθαι ἂν K γίνησθαι M 14 τῷ] τὸ K ὥσπερ ἂν ἢ M ὥσπερ κτλ.] cf. Themist. p. 156,7. Simplic. p. 253,20 16 ἐγγενομένου K 17. 18 ἀγένητός et ἄφθαρτος K 20 prius ἢ om. L 20. 21 ὕλην γάρ, φησί, λέγω LM: λέγω γὰρ ὕλην Kt Aristot. 21. 22 ἑκάστῳ — συμβεβηκός om. K 21 ἑκάστῳ LM: ἑκάστου t 24 ἀλλ' οὐ πρῶτον (priore loco) L: ἀλλ' οὐ πρώτως Mt: ἀλλὰ K 27 κατὰ συμβεβηκό K ἐνυπάρχον LM: ἐνυπαρ K: ἐνυπάρχοντος t 30 γεννήσεται t 32 ἔσται LK: ἔστιν Mt 33 ἐφθαρμένα K

www.libtool.com.cn

ἔσται πρὶν φθαρῆναι. εἰ γὰρ εἰς ὃ φθείρεται τοῦτο ὕλη ἐστί, πρὶν δὲ e 6v
φθαρῆναι ὕλη ἦν, πρὶν φθαρῆναι ἄρα ἐφθαρμένη ἔσται καὶ μετὰ τὸ φθα- 30
ρῆναι πάλιν ἔσται. καὶ πάλιν περὶ ἐκείνης τῆς ὕλης ἐξ ἧς γίνεται καὶ εἰς
ἣν φθείρεται ἐρωτητέον εἰ ἀγένητος εἴη καὶ ἄφθαρτος ἢ οὔ· εἰ μὲν γὰρ
5 καὶ αὐτὴ γίνοιτο καὶ φθείροιτο, καὶ αὐτῆς δηλονότι δεῖ προϋποκεῖσθαι ἑτέ-
ραν, καὶ ἢ ἐπ' ἄπειρον οὕτως δεῖ προϊέναι, ὅπερ ἄτοπον, ἢ στῆναι εἴς τι
ἀγένητον καὶ ἄφθαρτον. ἐκεῖνο οὖν ἔσται ἡ πρώτη ὕλη. καὶ διὰ τί ἐπὶ
τῆς πρώτης τοῦτο ἐλέγομεν; περὶ γὰρ τῆς πρώτης ἡμῖν ὁ λόγος.

Οὕτως οὖν δείκνυται ἡ ὕλη καὶ ἀγένητος οὖσα καὶ ἄφθαρτος ἀξιώματος
10 τούτου κειμένου, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος. εἰ δέ τις 35
μὴ συγχωρήσειε τῷ ἀξιώματι; καὶ γὰρ κατ' αὐτὸν τὸν Ἀριστοτέλην τὰ εἴδη
οὐκ ἐκ τῶν κράσεων ὄντα ἔξωθεν ἐπιγίνεται ταῖς κράσεσιν· οὐ γὰρ ἡ τῶν
στοιχείων κρᾶσις ποιεῖ τὴν ἄλογον ψυχὴν ἢ ὅλως τὰς ζωάς, ὁπότε οὐδὲ
τὰ λοιπὰ εἴδη, τὸ τῆς σαρκὸς λέγω καὶ τὸ τοῦ ὀστοῦ καὶ τὰ τοιαῦτα, ἀλλ'
15 ἔξωθεν ἐκ τῆς ὅλης δημιουργίας ἐπιγίνεται ταῖς κράσεσιν οὐκ ὄντα πρότε-
ρον. δῆλον δήπου ὅτι καὶ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ἐπιγίνεται, οὐχ
ὡς ἐξ ὑλικοῦ λέγω αἰτίου· οὐ γὰρ προϋποκείμενόν τι ὑλικὸν αἴτιον οὕτω 40
τραπὲν ἐποίησε τὴν ἄλογον ψυχήν, ἡ δὲ κρᾶσις ἐπιτήδειον μόνον ποιεῖ τὸ
σῶμα εἰς τὸ δέξασθαι αὐτήν, οὐ μέντοι ἡ κρᾶσις ψυχή ἐστιν. ὥσπερ γὰρ
20 ὁ τὰς χορδὰς τῆς λύρας κατασκευάζων ἐπιτηδείας αὐτὰς ποιεῖ εἰς τὸ κα-
ταδέξασθαι τὸ εἶδος τῆς ἁρμονίας, καὶ οὐχ αἱ χορδαὶ ἁρμονίαι εἰσίν, ἀλλ'
ἔξωθεν ὑπὸ τοῦ τεχνίτου ἡ ἁρμονία ταῖς χορδαῖς ἐπιτίθεται, οὕτως καὶ ἐπὶ τῆς
τῶν σωμάτων τῶν ζῴων κράσεως ἔχει· τῇ γὰρ ἐπιτηδειότητι τῆς κράσεως
ἔξωθεν αἱ ζωαὶ ἐπιτίθενται ὑπὸ τῆς δημιουργίας· οὐ γὰρ δὴ τὸ χεῖρον τοῦ 45
25 κρείττονος εἴη ἂν αἴτιον καὶ τῆς ψυχῆς τὸ ἄψυχον καὶ τῆς ζωῆς τὸ ἄζωον.
ὥστε εἰ τὰ τοιαῦτα μὴ ἀίδια ὄντα, ἀλλὰ γινόμενα καὶ ἀπογινόμενα, μὴ ἔκ
τινος προϋποκειμένης ὕλης τὴν οὐσίαν καὶ τὴν εἰς τὸ εἶναι ὕπαρξιν δέχε-
ται, πῶς ἄν τις παραδέξαιτο τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γί-
νεσθαι, ἀλλ' ὡς ἐκ προϋποκειμένου ὑλικοῦ αἰτίου; ταῦτα δέ φημι ὡς πρὸς
30 τὴν πρώτην τῆς ὕλης ὑπόστασιν, ὅτι οὐδὲν κωλύει ἐκ τοῦ μηδαμῇ μηδα-
μῶς ὄντος αὐτὴν ὑποστῆναι, εἴ γε καὶ νῦν τὰ εἴδη πάντα αὐτὴν τὴν οὐ- 50
σίαν αὐτῶν οὐκ ἔκ τινος προϋποκειμένου ἔχουσι· τὸ γὰρ σύνθετόν ἐστι τὸ
γινόμενον ἐκ τῆς ὕλης. νῦν μέντοι ἐπὶ τῶν κατὰ μέρος γινομένων, ὅτι ἡ
ὕλη ἑκάστου οὔτε γίνεται οὔτε φθείρεται, σαφές. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦ-

---

1 τοῦτο ἡ ὕλη Mt 2 ἐφθαρμένη ἄρα Mt 3 καὶ ἐξ ἧς K 5 καὶ (ante αὐτὴ) om. L αὐτὴ] αὕτη M γένοιτο L καὶ αὐτῆς om. L αὐτῆς KM: αὐτῇ (cf. ad p. 189,22) t δηλονότι om. Mt 6 καὶ εἰ ἐπ' L 9 οὖσα om. Mt 12 ὄντα] οὔτο (sic) K 13 ἀνάλογον K 14 τὸ τῆς scripsi: τὸ LMt: τῆς K τὸ τοῦ L: τοῦ K: τὸ Mt 15 γίνεται L ὄντα Kt: ὄντος LM 16 ὅτι om. LM μηδαμῶς] μηδαμῶν K ἐπιγίνεται M: γίνεται t 18 κράσις LMt: διάκρισις K 20 ὁ om. superscr. K λύρας] ὕλης K 21 καὶ οὐκ εἰσὶν αἱ χορδαὶ ἁρμονίαι Mt 22 τοῦ K: om. LMt 23 τὴν γὰρ ἐπιτηδειότητα Mt 24 δὴ] δεῖ M 26 μὴ (ante ἔκ) om. M: οὐκ inser. M²t 28 τὸ om. K 29 fort. ἀλλ' ⟨ἢ⟩ ὡς 32 αὐτῶν libri

www.libtool.com.cn

τον ὡς πρὸς τὸν παρόντα λόγον, πλειόνων εἰς τὸν τόπον ὄντων ἐπιχειρη- e 6r
μάτων.

Ζητήσειε δ' ἄν τις ἐν τούτοις εἰκότως, πῶς τῆς ὕλης ὁρισμὸς ἀποδέ-
δοται· εἰ γὰρ μὴ ἔστιν ἑλεῖν ἐπιβλητικῶς τὴν τῆς ὕλης οὐσίαν, καὶ διὰ
5 τοῦτο τὴν γνῶσιν αὐτῆς κατ' ἀναλογίαν ἢ ἐξ ἀπο|φάσεως ἴσχομεν, πῶς e 7r
νῦν ὁρισμὸν τῆς ὕλης ἀποδίδωσιν; οἱ γὰρ ὁρισμοὶ καταφατικοί. τῆς δὲ ὕλης
οὐκ ἔστι τι καταφῆσαι. φαμὲν οὖν ὅτι ὁ νῦν ἀποδεδομένος τῆς ὕλης ὁρι-
σμὸς οὐ τῆς οὐσίας αὐτῆς ἐστι δηλωτικός (οὐ γὰρ καταφάσκει τι αὐτῆς),
ἀλλὰ τῆς σχέσεως αὐτῆς ἣν ἔχει πρὸς τὰ εἴδη· καὶ ὥσπερ τῶν γενῶν οἱ
10 ὁρισμοὶ οὐκ ἄλλο τι αὐτῶν καταφάσκουσιν, ἀλλὰ μόνον τὴν σχέσιν λέγουσιν
ἣν ἔχουσι πρὸς τὰ ὑπ' αὐτά (ὅταν γὰρ εἴπω "γένος ἐστὶ τὸ κατὰ πλειόνων 5
καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον", οὐ τίς ἡ οὐσία τοῦ
γένους εἶπον, ἀλλὰ τίνα σχέσιν ἔχει πρὸς τὰ ὑπ' αὐτό· καὶ ἔστιν οὐ κυρίως
οὗτος ὁρισμός, ὑπογραφὴ δὲ μᾶλλον), οὕτως καὶ ἐπὶ τῆς ὕλης φαμὲν ὅτι
15 οὐχ ὁρισμός ἐστιν ὁ νῦν αὐτῆς ἀποδεδομένος, ἀλλὰ μᾶλλον ὑπογραφή, δη-
λῶν ποίαν σχέσιν ἔχει πρὸς τὰ ὑλικὰ πράγματα.

Ὡς δὲ κατὰ δύναμιν οὐ καθ' αὑτό. τουτέστιν ὡς κατὰ τὴν οἰκείαν
δύναμιν καθ' αὑτὴν ἄφθαρτός ἐστιν· ἀεὶ γάρ ἐστι δυνάμει πάντα. τὴν μὲν 10
γὰρ στέρησιν οὐκ ἀεὶ ἔχει, τὸ μέντοι δυνάμει πάντα εἶναι ἀεὶ ἔχει, τοῦτο
20 δέ ἐστιν αὐτῆς ἡ φύσις.

p. 192a34 Περὶ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, πότερον μία ἢ πολλαὶ καὶ τίς ἢ τίνες εἰσί, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσασθαι.

Περὶ τῆς ἀρχῆς, φησί, τῆς κατὰ τὸ εἶδος, λέγει δὲ τοῦ χωρι- 16
25 στοῦ εἴδους καὶ αἰτίου τοῖς ἐνταῦθα εἴδεσι τοῦ εἶναι, οὐ περὶ τοῦ ἐν τοῖς
πολλοῖς· περὶ τούτου γὰρ τοῦ φυσικοῦ διαλαβεῖν ἐστι. πότερον δὲ ἕν ἐστι
τοῦτο ἢ πλείονα, καὶ εἰ ἕν τί ποτε τοῦτό ἐστι, καὶ εἰ πλείονα τίνα ταῦτα
καὶ πόσα, τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσασθαι, διὸ
ὑπερτίθεται ἐν ἐκείνοις τὸν περὶ τούτων λόγον. διαλέγεται δὲ περὶ αὐτῶν
30 ἐν τῷ Λ τῆς Μετὰ τὰ φυσικά, πότερον ἕν ἐστι τοῦτο ἢ πολλά, καὶ εἰ 20
πολλὰ πόσα ταῦτα, καὶ ὅπως τὰ πολλὰ πρὸς τὸ ἓν ἔχουσιν, ὅτι πάντα ἐκεῖθεν

---

1 τὸν (post πρὸς) om. superscr. L 3 ζητήσειν L 3. 4 ἀποδέδοται KMt: ἀποδίδοται L 7 οὐκ ἔστι τι L: οὐδέν ἐστι KMt καταφῆναι scripsi: καταφῆναι (LKM)t ἀποδεδομένως K 7. 8 τῆς ὕλης ὁρισμὸς KMt: ὅρος τῆς ὕλης L 9 οἱ om. L 11 γένος κτλ.] Ar. Top. A 5 p. 102a31. cf. p. 129,15 τὸ] τῷ K 13 ἀλλὰ τίνα σχέσιν ἔχει K: ἀλλά τινα σχέσιν (om. ἔχει) LMt αὐτό K: αὐτὰ LMt οὐ] ἡ L κυρίως K: κύριος LMt 14 ὁ ὁρισμὸς Mt ὑπογράφει K 15 αὐτῆς om. K 15. 16 δηλῶν K: δῆλον L: δηλοῦσα Mt 18. 19 τὴν μὲν γὰρ στέρησιν K: τῇ μὲν γὰρ στερήσει LMt 20 δέ om. M αὐτῆς] αὐ K 21. 23 πότερον—διορίσασθαι om. K 23 ἔργον om. M διορίσαι Aristoteles 25 εἶναι iterat operarum errore t 26. 27 ἐστι τοῦτο om. Mt 27 τίνα] τίνα καὶ L 28 πρότης (sic) K 30 Λ̄ M: λάβδα L: λάμβδα K: τριακοστῷ t. ceterum cf. Bonitzii Ind. Arist. p. 98a29 sq. 31 πάντα κτλ.] cf. p. 189,13 sqq.

www.libtool.com.cn

ἤρτηται· "οὐκ ἀγαθόν" γάρ φησι "πολυκοιρανίη". ὥστε οἶδε καὶ αὐτὸς e 7r
κατὰ Πλάτωνα καὶ τὰ χωριστὰ καὶ ἐξῃρημένα εἴδη καὶ αἴτια τῶν ἐνταῦθα,
καὶ οὐ μάτην ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ὅτι τὸ "τὰς ἀρχὰς ἀεὶ δεῖ μέ-
νειν" περὶ τούτων ἔλεγε τῶν εἰδῶν. περὶ δὲ τοῦ φυσικοῦ εἴδους, ὅπερ ἐστὶ
5 γενητὸν καὶ φθαρτόν, ἐν τῷ ἐφεξῆς λόγῳ διαλέξεται καὶ ἐν ταῖς ἄλλαις
πάσαις φυσικαῖς πραγματείαις, οἷον περὶ τῶν εἰδῶν τῶν ζῴων ἢ τῶν με- 25
τεώρων καὶ τῶν ἄλλων ἁπλῶς φυσικῶν. ὅτι μὲν οὖν εἰσὶν ἀρχαί. ἐδεί-
ξαμεν ἐν ἀρχῇ τοῦ λόγου, ὅτι εἰ τὰ φυσικὰ πράγματα σύνθετα, τῶν δὲ
συνθέτων τὰ ἁπλᾶ ἀρχαί, τὰ φυσικὰ ἄρα πράγματα ἀρχὰς ἔχει. καὶ τί-
10 νες καὶ πόσαι τὸν ἀριθμόν. ὅτι ἡ ὕλη καὶ τὸ εἶδος καὶ ἡ στέρησις,
καὶ ὅτι πῇ μὲν τρεῖς αἱ ἀρχαὶ αἱ ἀπηριθμημέναι, πῇ δὲ δύο αἱ κυρίως
καθ' αὑτὸ ἀρχαί, ἡ ὕλη καὶ τὸ εἶδος· ἡ γὰρ στέρησις οὐ καθ' αὑτὸ ἀρχή,
ἀλλὰ κατὰ συμβεβηκός.

---

1 φησι Metaph. Λ 10 p. 1076a4 ex Hom. B 204 πολυκοιρανία L 2 πλάτω K: πλάτωνος L ἐξηρημένα K: ἐξηρτημένα LMt 3 ἐλέγομεν] immo hoc negaverat p. 133,25 sqq. τὸ om. K τὰς ἀρχὰς κτλ.] c. 6 p. 189a19 5 διαλέγεται L 6 πραγματείαι (sic) invenit in M neque correxit t 8 ἐν ἀρχῇ τοῦ λόγου K: τοῦ λόγου L: τῷ λόγῳ Mt ἐν ἀρχῇ p. 4,12 sqq. εἰ καὶ τὰ Mt 9 ἄρα om. K ἀρχὰς] ἀρχαὶ K 11 δύο αἱ κυρίως K: κυρίως δύο LMt 13 τέλος σὺν θεῷ τοῦ πρώτου τῶν φυσικῶν ἀριστοτέλους | σύνοψις τοῦ πρώτου βιβλίου ἕως ἐνταῦθα subscribit L

www.libtool.com.cn

ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ ΕΙΣ ΤΟ Β̄ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ. e 7r

p. 192b8 Τῶν ὄντων τὰ μέν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας. 31

Προκείμενον ἦν ἐξ ἀρχῆς τῷ Ἀριστοτέλει ἐκθέσθαι τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων, καὶ ἐν μὲν τῷ πρώτῳ λόγῳ διελέχθη περὶ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀλλὰ περὶ μὲν τῆς ὕλης πολὺν κατέτεινε λόγον, τάς τε τῶν παλαιοτέρων ψευδεῖς περὶ αὐτῆς δόξας ἀνακαθαιρόμενος καὶ τὴν ἑαυτοῦ 35 ἐκθέμενος, καὶ εἰπὼν ὅτι ἐστὶν ὕλη τὸ πρῶτον ὑποκείμενον ταῖς οὐσίαις, καὶ ὅτι μία μέν ἐστι τῷ ἀριθμῷ λόγῳ δ' οὐ μία, καὶ ὅτι ἐρχόμεθα εἰς ἔννοιαν αὐτῆς τῷ κατ' ἀναλογίαν τρόπῳ χρώμενοι, καὶ ὅτι αὐτὴ ἐφίεται τοῦ εἴδους ὡς αἰσχρὸν καλῶ καὶ θῆλυ ἄρρενος, ἀλλ' αἰσχρόν ἐστι καὶ θῆλυ οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός· περὶ δὲ τοῦ εἴδους βραχέα διαλεχθεὶς ὅτι ἐστὶ θεῖον καὶ ἐφετὸν καὶ ἀνενδεές, οὐ μέντοι τί ποτέ ἐστι τὸ εἶδος εἰρηκώς, ἐπήγαγε πρὸς τῷ τέλει ὅτι περὶ μὲν τοῦ χωριστοῦ εἴδους 40 καὶ ἀιδίου τῆς πρώτης ἐστὶ φιλοσοφίας διαλαβεῖν, περὶ δὲ τοῦ γενητοῦ καὶ φθαρτοῦ ἐν τοῖς ἑξῆς ἐροῦμεν. πρόκειται οὖν αὐτῷ ἐν τούτῳ τῷ βιβλίῳ περὶ τοῦ εἴδους διαλαβεῖν, ἀλλ' ἐπειδὴ τὸ εἶδος τὸ ἑκάστου ἡ φύσις ἐστὶν ἡ ἑκάστου (ἥ τε γὰρ φύσις ἡ ἑκάστου οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἑκάστου εἶδος, καὶ τὸ εἶδος οὐδέν ἐστιν ἄλλο ἢ ἡ φύσις ἡ ἑκάστου), διὰ τοῦτο βουλόμενος περὶ τοῦ εἴδους διδάξαι ζητεῖ τί ποτέ ἐστιν ἡ φύσις· ἐὰν γὰρ εὕρωμεν τί ἐστιν ἡ φύσις, εὑρηκότες ἂν εἴημεν τί ἐστι τὸ εἶδος. ζητεῖ οὖν 45

---

1 De titulo cf. praefat. εἰς τὸ δεύτερον τῶν φυσικῶν σὺν θῳ L: ἀρχὴ τοῦ δευτέρου τῶν φυσικῶν τῆς ἐξηγήσεως M: om. K: φυσικῆς ἀκροάσεως βιβλίον δεύτερον t 3 lemma om. K 5 διελέχθη scripsi: διειλέχθη (cf. ad g 5r25) LMt: διηλέχθη K 7 περὶ αὐτῆς ψευδεῖς Mt 7. 8 καὶ τὴν ἑαυτοῦ ἐκθέμενος iterata del. K 9 οὐ μία] οὐδεμία K 10 ἀναλογίαν] ἐναντίας L αὐτὴ LK: αὕτη Mt 12 καθ' αὑτὸ L: καθ' αὐτὸ K: κατ' αὐτὸ Mt βραχέα K: βραχέως L: om. Mt 14 πρὸς τῷ τέλει c. 9 p. 192a36 15 ἐστὶ φιλοσοφίας LK: φιλοσοφίας ἐστὶ Mt δὲ om. K 18 ἢ τὸ] ἡ τὸ K 19 οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ φύσις (om. ἡ) ἑκάστου L

www.libtool.com.cn

ἐν ἀρχῇ τί ποτέ ἐστιν ἡ φύσις, εἶτα περὶ τῶν παρωνύμως ἀπὸ τῆς φύσεως e 7r
λεγομένων, τί τὸ ἔχον φύσιν τί τὸ φύσει τί τὸ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ
ἡ φύσις οὐ μόνον εἰδι|κόν ἐστιν αἴτιον, ἀλλὰ καὶ ποιητικὸν καὶ τελικόν, ὡς e 7v
αὐτὸς προϊὼν ἐρεῖ ὅτι ἔρχεται πολλάκις τὰ τρία εἰς ταὐτὸν τὸ εἶδος τὸ
5 ποιητικὸν τὸ τελικόν, διὰ τοῦτο ἐπανατρέχει εἰς τὴν τῶν ἀρχῶν διαίρεσιν
καὶ διαιρεῖ ποσαχῶς αἱ ἀρχαὶ καὶ ἀποδίδωσι τριττὴν τὴν τῶν ἀρχῶν διαί-
ρεσιν οὖσαν, ὅτι τῶν ἀρχῶν αἱ μέν εἰσι προσεχεῖς αἱ δὲ διὰ μέσων, καὶ
αἱ μὲν καθ' αὑτὸ αἱ δὲ κατὰ συμβεβηκός, καὶ αἱ μὲν ἁπλαῖ αἱ δὲ συμ- 5
πεπλεγμέναι, πᾶσαι δὲ αἱ μὲν δυνάμει αἱ δὲ ἐνεργείᾳ. ἔνθα καὶ παρεισ-
10 κυκλεῖ πάλιν τὸν περὶ τῆς ὕλης λόγον καὶ διαλέγεται περὶ αὐτῆς, διαλέ-
γεται δὲ καὶ περὶ τῶν λοιπῶν πάντων αἰτίων ἐνταῦθα καὶ περὶ τύχης καὶ
αὐτομάτου, καὶ ἐρεῖ πῶς ἐστιν αἴτια ὧν λέγεται εἶναι αἴτια, ἐπειδὴ καὶ
λέγονταί τινα ἐκ ταὐτομάτου γίνεσθαι καὶ ἀπὸ τύχης. ἔστιν οὖν ὡς συντό-
μως εἰπεῖν τῶν δύο βιβλίων ὁ σκοπὸς περὶ ὕλης καὶ εἴδους, ἀλλὰ τὸ μὲν
15 πρότερον μᾶλλον περὶ ὕλης ἢ περὶ εἴδους, τὸ δὲ δεύτερον μᾶλλον περὶ εἴ-
δους ἢ περὶ ὕλης, καὶ περὶ τῶν λοιπῶν πάντων αἰτίων τῶν φυσικῶν τῶν 10
ἢ καθ' αὑτὸ λεγομένων αἰτίων ἢ κατὰ συμβεβηκός. καὶ τέως ἐν ἀρχῇ περὶ
τοῦ εἴδους. καὶ ἐπειδή, ὡς εἶπον, τὸ εἶδος ἑκάστου οὐδὲν ἕτερόν ἐστιν ἢ
ἡ φύσις ἡ ἑκάστου, διαλέγεται πρότερον τί ἐστι φύσις. ἵνα οὖν εὕρῃ τί
20 ἐστι φύσις, λαμβάνει τίνι διαφέρει τὰ φυσικὰ πράγματα τῶν μὴ φυσικῶν·
ᾗ γὰρ ἂν διαφορᾷ διαφέρῃ τῶν μὴ φυσικῶν τὰ φυσικά, ταύτῃ ἂν εἴη
φυσικά. οὕτω καὶ ἐν τῇ Περὶ ψυχῆς θέλων λαβεῖν τί ἐστιν ἡ ψυχή, ἐζή-
τησε τίνι διαφέρει τὰ ἔμψυχα τῶν ἀψύχων, καὶ καθ' ὃ διαφέρουσι τοῦτο 15
εἶπεν εἶναι ψυχήν. τίνι οὖν διαφέρει τὰ φυσικὰ τῶν μὴ φυσικῶν; ὅτι τὰ
25 μὲν φυσικὰ φαίνονται τῆς κινήσεως ἑαυτῶν καὶ τῆς ἠρεμίας τὴν ἀρχὴν ἐν
ἑαυτοῖς ἔχοντα· τά τε γὰρ ζῷα ὅταν κινῆται οὐκ ἔξωθεν ὑπό τινος κινεῖ-
ται, ἀλλ' ἐν ἑαυτοῖς ἔχει τὸ κινοῦν, καὶ τὰ ἄψυχα δέ· οἷον οἱ λίθοι ἀφιέ-
μενοι οὐχ ὑπὸ τοῦ ἀφιέντος ἐπὶ τὸ κάτω κινοῦνται (ἐκεῖνος γὰρ μόνον
ἀφῆκεν), ἀλλ' ἡ ἐν αὐτοῖς φυσικὴ ῥοπὴ κατήνεγκεν αὐτούς· οὕτω καὶ τὸ
30 πῦρ ἀφεθὲν κάτωθεν ὑπὸ τῆς ἐν αὐτῷ φύσεως ἠνέχθη ἐπὶ τὸ ἄνω· εἶτα 20
ἐνεχθέντα εἰς τὰς οἰκείας ὁλότητας καὶ τοὺς οἰκείους τόπους ὑπὸ τῆς ἐν
αὐτοῖς φύσεως ἠρεμεῖ. οὐ μόνον δὲ τῆς κατὰ τόπον κινήσεως τὰ φυσικὰ
ἐν ἑαυτοῖς ἔχουσι τὴν ἀρχήν, ἀλλὰ καὶ τῆς κατὰ ἀλλοίωσιν καὶ αὔξησιν·

---

1 τί ποτέ ἐστιν ἡ φύσις ἐν ἀρχῇ Mt 2 ἔχον φύσει (om. φύσιν, τί τὸ) K 3 ἰδικόν K
4 ἐρεῖ c. 7 p. 198a24 τὸ (ante εἶδος) om. Mt 6. 7 οὖσαν διαίρεσιν K 9. 10 παρεισκυκλοῖ L at cf. r 1v22 11. 16. 17 αἰτιῶν K 11 καὶ (post τύχης) om. L
12 αἴτια utrobique t: αἴτιον L: αἰτία K: αἴτια priore et ἐναντία altero loco M 14 καὶ εἴδους] καὶ εἶδος L 14. 15 fort. τοῦ μὲν πρώτου et τοῦ δὲ δευτέρου 15 περὶ ὕλης μᾶλλον Mt περὶ (inter ἢ et εἴδους) om. Mt 18 οὐδὲν ἕτερόν ἐστιν ἢ et 19 ἡ ἑκάστου (post φύσις) K: om. LMt 19 πρότερον K: πρῶτον LMt 20 ἐστιν ἡ φύσις K
21 διαφορᾶς K διαφέρῃ LK: διαφέρει M: διαφέροι t 21. 22 τοῦτο ἂν εἴη ἡ φύσις K: τοῦτο ἂν εἴη φύσις Themist. p. 157,16 22 τῇ] τῷ K Περὶ ψυχῆς A 2 p. 403a24 sqq.
24 εἶπεν om. Mt 25 αὐτῶν K 27 οἷον οἱ scripsi: οἷον K: οἱ LMt 29 αὐτούς L: αὐτὰ K: αὐτά Mt 33 ἔχωσι K

www.libtool.com.cn

τό τε γὰρ αὔξον ἔσωθέν ἐστιν ὕλῃ χρώμενον τῇ τροφῇ καὶ τὸ κατὰ ποιό- e 7r
τητα μεταβάλλον ἐκ μελάνων λευκοὺς ποιοῦν ἢ ψυχροτέρους ἢ θερμοτέ-
ρους, ἢ ὑγραῖνον ἢ ξηραῖνον. ὅτι γὰρ οὐχ ὑπό τινος ἔξωθεν αἰτίας, ἀλλ'
ὑπὸ τῆς φύσεως ὕλῃ χρωμένης τῇ τροφῇ ἀλλοιούμεθα καὶ αὐξανόμεθα,
5 πρόδηλον· καὶ ἐξαιματοῦσα δὲ τὴν τροφὴν καὶ μεταβάλλουσα πρὸς ἕκαστον 25
τῶν μορίων ἀλλοιώσει χρῆται. οὕτω μὲν οὖν πάντα τὰ φυσικὰ ἐν ἑαυτοῖς
ἔχει τὴν κίνησιν, τὰ δὲ μὴ φυσικά, οἷον τὰ ἀπὸ τέχνης, τὸ τῆς κινήσεως
αἴτιον ἔξωθεν ἔχει. τῆς γὰρ κλίνης ἔξωθεν τὸ αἴτιον, ὁ τέκτων· οὐ γὰρ
ἐν τῷ ξύλῳ ἡ ποιήσασα τὴν κλίνην αἰτία, ἀλλ' ἔξωθεν. ὁμοίως καὶ τὸ
10 κινῆσαν τὴν οἰκίαν εἰς τὸ τοιόνδε εἶδος ἔξωθεν, ὁ οἰκοδόμος. εἰ τοίνυν
ταύτῃ διαφέρει τὰ φυσικὰ τῶν μὴ φυσικῶν τῷ τὰ μὲν ἀρχὴν ἔχειν ἐν ἑαυ-
τοῖς κινήσεως καὶ στάσεως, τὰ δὲ τεχνητὰ ἔξωθεν, ἔοικε τοῦτο εἶναι ἡ 30
φύσις ἀρχὴ κινήσεως καὶ στάσεως. οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἀρχὴ ἡ
φύσις, ἀλλὰ καὶ στάσεως· κινεῖ μὲν γὰρ ἵνα εἰς τὸ εἶδος ἀγάγῃ, ἵστησι
15 δὲ ἵνα φυλάξῃ ἐν τῷ εἴδει. ἀποδιδοῦσιν οὖν ἔνθεν τὸν ὁρισμὸν τῆς φύσεως,
ὅτι ἔστιν ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως
καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. ἠρεμία δέ μοι νοείσθω νῦν οὐ
μόνον ἡ ἀντιδιαιρουμένη τῇ κινήσει, ἀλλὰ καὶ ἡ στάσις· οὐ μόνον γὰρ τῆς
μετὰ τὴν κίνησιν ἠρεμίας ἡ φύσις αἰτία, ἀλλὰ καὶ τῶν ὁπωσοῦν ἄνευ τοῦ 35
20 κινεῖσθαι ἑστώτων ἀεί, ὡς ἐπὶ τῶν κέντρων καὶ τῆς τῶν πόλων στάσεως
ἐροῦμεν. ὁ μὲν οὖν ὁρισμὸς τοιοῦτος. ἀρχὴ δὲ οὐ μόνον κινήσεως ἡ φύσις
ἀλλὰ καὶ ἠρεμίας, διότι τέλους τινὸς στοχάζεται ἡ φύσις· οὐ γὰρ ἁπλῶς
δι' αὐτὸ τοῦτο ἵνα κινῆται τὰ κινούμενα διὰ τοῦτο κινεῖ, ἀλλ' ἵνα εἴς τι
τέλος καὶ εἶδος ἔλθῃ. ἐπεὶ οὖν τούτου στοχάζεται, εἰκότως ὅταν ἀγάγῃ εἰς
25 τοῦτο ἵστησι τὸ κινούμενον τετυχηκὸς τοῦ τέλους, ἵνα φυλάξῃ ἐν τούτῳ,
δι' ὃ καὶ ἐκίνησε. τὸ δὲ πρώτως προσέθηκε, διότι καὶ ἡ λογικὴ ψυχὴ 40
κινεῖ τὸ ζῷον καὶ ἔστιν ἡ τοιαύτη ἀρχὴ τῆς κινήσεως οὐκ ἔξωθεν, ἀλλ'
ἐν αὐτῷ τῷ κινουμένῳ, ἀλλ' οὐ πρώτως κινεῖ ἡ λογικὴ ψυχή, ἀλλὰ διὰ
τῆς ἀλόγου, καὶ οὐδὲ αὕτη πρώτως κινεῖ τὸ ζῷον, ἀλλὰ τῷ τὴν φύσιν
30 κινεῖν. αὕτη οὖν ἡ πρώτως κινοῦσα· ἐκίνησε μὲν γὰρ ἡ αἴσθησις ἐπί τι,
ἤτοι ἡ ὄψις ἢ ἡ ἀκοὴ ἢ τῶν ἄλλων τις (ἑωρακότες γάρ τι κινούμεθα ἐπ'
αὐτό), ἀλλ' οὐ πρώτως ἡ ὄψις ἐκίνησε τὸ ζῷον (λέγω δὲ πρώτως τὸ
προσεχῶς), ἀλλ' ἡ ὄψις μὲν τὴν ὄρεξιν κινεῖ, αὕτη δὲ τὰς φυσικὰς δυνά- 45

---

2 ante ἐκ nonnulla inte:cidisse videntur ποιοῦν scripsi: ποιῶν libri 3 αἰτίας ἔξωθεν L 4 ἀλλοίομεν καὶ αὔξομεν K 5 ἐξαιματοῦσα in ras. L 6 κέχρηται L τὰ φυσικὰ πάντα L 13 οὐ γὰρ K: ἀλλ' οὐ LMt, quod si verum est, deleas oportet in praecedentibus καὶ στάσεως 15 ἐντεῦθεν fort. recte K τὸν ὁρισμὸν in ras. L 16 πρώτως (cf. v. 26. p. 198.1. 204,25) t et, si silentio fides, L: πρώτω KM cf. h 5r26. Diels ad Simplic. p. 266,4 20 τῶν πόλων] ὅλων (sic) K 21 ὅρος K τοιοῦτος LK: οὗτος Mt 22 διότι] δι' ἣν ὅτι M 23 ἵνα κινεῖται K 24 τούτου] τοῦτο K 26 διὸ καὶ M πρώτως (L)Mt: πρώτω K 28 τῷ κινούμενον K 29 et 33 αὕτη scripsi = αὐτὴ libri 29 πρῶτον L 30 γὰρ] οὖν L ἡ (post γὰρ) om. K 31 ἢ ἡ Mt = ἢ L: ἡ K 32 οὐ πρώτω K

www.libtool.com.cn

μεις, αὗται δὲ τὸ ζῷον. εἰ τοίνυν μηδ' ἡ ἄλογος ψυχὴ πρώτως κινεῖ τὸ e 7v
ζῷον, πολλῷ μᾶλλον οὐδὲ ἡ λογική· ὥστε κἂν κινῇ ἡ ψυχὴ καὶ ἡ λογικὴ
καὶ ἡ ἄλογος, καὶ ἔστι τὸ κινητικὸν τοῦτο αἴτιον ἐν τῷ κινουμένῳ, ἀλλ'
ἐπειδὴ οὐ πρώτως κινεῖ, τουτέστι προσεχῶς, διὰ τοῦτο οὐκ ἔστι φύσις ἡ
5 ψυχή. καὶ ἡ ναῦς δὲ τὸ κινοῦν ἐν ἑαυτῇ ἔχει, τὸν κυβερνήτην ὃς αὐτὴν
κινεῖ, ἀλλ' οὐ φύσις ὁ κυβερνήτης· οὐ γὰρ πρώτως κινεῖ, ἀλλὰ διὰ τοῦ
πηδαλίου, τὸ δὲ πηδάλιον ἔξωθεν κινεῖ. καὶ οὐδ' ἡ ἀρχὴ τῆς κινήσεως
καὶ ἡ αἰτία ἐν τῷ πηδαλίῳ, ἀλλ' ἐν τῷ κυβερνήτῃ, καὶ κινεῖ δι' ὀργάνου 50
τοῦ πηδαλίου τὴν ναῦν. εἰ δὲ καὶ ἡ φύσις δι' ὀργάνων κινεῖ, ἀλλ' ἐνυπάρ-
10 χει τούτοις ἃ καὶ πρώτως κινεῖ, ὁ δὲ κυβερνήτης οὐκ ἔστιν ἐν τοῖς πη-
δαλίοις, ἀλλ' ἔξωθεν αὐτὰ κινεῖ, καὶ τὴν ναῦν δ' ἔξωθεν κινεῖ, εἴ γε διὰ
τοῦ πηδαλίου, τοῦτο δ' ἔξωθεν.

Μήποτε δὲ δυνατὸν λέγειν, ὅτι καὶ ἡ ψυχὴ τῶν ζῴων καθό ἐστι ζῷα
φύσις ἐστίν. εἰ γὰρ τῆς τῶν ζῴων κινήσεως ᾗ ζῷά ἐστιν ἡ ψυχὴ αἰτία
15 πρώτως καὶ οὐ κατὰ συμβεβηκὸς καὶ ἔστιν ἐν αὐτοῖς, καὶ μὴ μόνον τὰ
ἄψυχα φυσικά, ἀλλὰ καὶ τὰ ζῷα καὶ ἁπλῶς τὰ ἔμψυχα, ἔοι|κεν ἄρα φύσις e 8r
εἶναι καὶ αὐτή, εἰ μὴ μέλλοιμεν οὐ φυσικὰ λέγειν τὰ ἔμψυχα ᾗ ἔμψυχά
ἐστι. ψυχὴν δ' οὐ τὴν λογικήν, ἀλλὰ τὴν λοιπὴν πᾶσαν· αὕτη γάρ ἐστιν
ἡ προσεχῶς κινοῦσα τὰ φυσικά. καὶ μήποτε δυνατὸν διὰ ταύτην εἰρῆσθαι
20 τὸ πρώτως· κινεῖ γὰρ καὶ ἡ διάνοια ἐν τῷ κινουμένῳ οὖσα, ἀλλ' οὐ
πρώτως, ἀλλ' ἐν τῇ λογικῇ ψυχῇ. τὸ δὲ καθ' αὑτὸ καὶ οὐ κατὰ συμ-
βεβηκὸς προσέθηκε, διότι καὶ ὁ νοσῶν ἰατρὸς ὑγιάσοι ἂν ἑαυτόν, ἀλλ' 5
οὐχ ᾗ νοσῶν τὴν ἀρχὴν τῆς κινήσεως τῆς εἰς ὑγείαν ἐν ἑαυτῷ ἔχει, ἀλλὰ
κατὰ συμβεβηκὸς ᾗ συμβέβηκε τὸν νοσοῦντα καὶ ἰατρὸν εἶναι. ὅτι γὰρ οὐχ
25 ᾗ νοσῶν ἐστιν οὐδ' ᾗ ὑγιαζόμενος τὴν ἀρχὴν τῆς ὑγιάνσεως ἐν ἑαυτῷ
ἔχει, δῆλον ἐξ ὧν οὐκ ἀεὶ ταῦτα συντρέχουσιν ἀλλήλοις· οὐ γὰρ πᾶς
ὑγιαζόμενος ἐν ἑαυτῷ ἔχει τὴν ἀρχὴν τῆς ὑγιάνσεως, ὥστε κατὰ συμβε-
βηκὸς ὁ ἰατρὸς ὑγιάζει ἑαυτόν. ὁμοίως κἂν ἕτερός τις τῶν ἐπιστημόνων
κινῇ ἑαυτὸν εὑρίσκων αὐτὸς θεωρήματα. 10

30 Ὁ μὲν οὖν ὅρος τῆς φύσεως οὗτος. ἐπιστάσεως δὲ ἄξιον, ὅτι οὗτος ὁ ὁρι-
σμὸς οὐκ ἔστι τοῦ τί ἐστιν ἡ φύσις σημαντικός, ἀλλὰ τῆς ἐνεργείας τῆς φύσεως·
οὐ γὰρ τί ἐστιν ἡ φύσις ἐμάθομεν διὰ τοῦ μαθεῖν ὅτι ἀρχή ἐστι κινήσεως καὶ
ἠρεμίας, ἀλλὰ τί ποιεῖ. ἵνα οὖν καὶ τῆς οὐσίας αὐτῆς τὸν ὁρισμὸν ἀποδῶμεν,
λεκτέον οὕτως, ὅτι ἐστὶν ἡ φύσις ζωὴ ἤτοι δύναμις καταδεδυκυῖα διὰ τῶν σω-
35 μάτων, διαπλαστικὴ αὐτῶν καὶ διοικητική, ἀρχὴ κινήσεως οὖσα καὶ ἠρεμίας

---

2 κινῇ M ἡ extremum om. superscr. L 3 κινητικὸν] κινοῦν L 6 ἀλλ' οὐ — πρώτως κινεῖ K: om. LMt 8 καὶ κινεῖ] fort. ὃς κινεῖ 9 ὀργάνου t 13 μήποτε δὲ L: ἢ μήποτε δὲ K: ἢ μήποτε (om. δὲ) Mt 14 ᾗ ζῷά ἐστιν ἡ ψυχὴ K 15 τὰ om. superscr. L 16 ἄρα] γὰρ K 17 καὶ αὐτή K: αὕτη (om. καὶ) LMt 18 fort. λογικὴν ⟨λέγω⟩ 19 διὰ ταῦτα L 21 οὐ] μὴ p. 196,17. h 5r26. Aristoteles at cf. p. 198,1 22 ὑγιάσῃ ἂν M. de futuri cum ἄν usu cf. m 6r6, o 3v27, q 5r32 al., Diels ad Simplic. p. 5,5 23 ᾗ νόσων et ὑγίειαν K 24 ᾗ συμβέβηκε K 27 ἐν αὐτῷ L 28 ἑαυτόν LK: αὐτόν M: αὐτόν t 29 κινῇ σαυτὸν L 30 οὖν om. LM ὅρος K 31 τοῦ τ[] τοῦτο L 35 αὐτῶ K καὶ ἠρεμίας οὖσα Mt

www.libtool.com.cn

ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός. ὅτι e 8r
δὲ οὐ μόνον τῶν ἐμψύχων ἐστὶ διοικητικὴ ἡ φύσις, ἀλλὰ καὶ τῶν ἀψύχων, 15
δῆλον (ἔχει γὰρ ἕκαστον δύναμιν φυσικὴν συνεκτικὴν τοῦ εἶναι· ἔφθαρτο
γὰρ ἂν καὶ εἰς τὸ μὴ ὂν μετέστη μηδενὸς ὄντος τοῦ συνέχοντος), ἀλλὰ
5 δῆλον ὅτι ὥσπερ τὸ εἶδος ἐν τοῖς ἐμψύχοις τρανέστερον, οὕτω καὶ ἡ τῆς
φύσεως πρόνοια. δῆλον οὖν καὶ ἐντεῦθεν, ὅτι συμπεριλήψεται ὁ ὅρος καὶ
τὴν τῶν ἐμψύχων φύσιν, ἥτις ἐστὶν ἡ ψυχή· ἡ γὰρ τῶν ἐμψύχων ζωὴ
οὐδὲν ἄλλο ἐστὶν ἢ ψυχή.

Ἀπορήσειε δ' ἄν τις πρὸς τὸν ὁρισμὸν τῆς φύσεως, πῶς φαμεν αὐτὴν
10 εἶναι ἀρχὴν κινήσεως καὶ ἠρεμίας· εἰ γὰρ καὶ τὰ οὐράνια σώματα φυσικά, 20
ἐκεῖνα δὲ στάσεως ἐν ἑαυτοῖς ἀρχὴν οὐκ ἔχει (ἀεικίνητα γάρ ἐστιν), ἔοικε
μὴ κοινὸς εἶναι πάσης φύσεως ὁ ὁρισμὸς οὗτος. ἀλλὰ καὶ αἱ ὁλότητες τῶν
στοιχείων ἀκίνητοι. τὸ γὰρ πῦρ ἐν τῷ οἰκείῳ τόπῳ οὐ κινεῖται, ἀλλὰ μό-
νως ἕστηκεν· ἡ γὰρ ἐγκύκλιος αὐτοῦ κίνησις καὶ ἔτι τοῦ προσεχοῦς ἀέρος
15 οὐ φυσική, ἀλλ' ὑπὲρ φύσιν, διὰ τὸ συμπεριάγεσθαι τῇ περιφορᾷ τῶν οὐ-
ρανίων. ὅτι δὲ τῷ οἰκείῳ λόγῳ ἀκίνητοί εἰσιν αἱ ὁλότητες, δῆλον ἐκ τῶν
λοιπῶν δύο στοιχείων, ὕδατος λέγω καὶ γῆς, ἅπερ ὡς ὅλα ἀκίνητά ἐστιν. 25
ὥστε εἰ αἱ ὁλότητες ἀκίνητοι, πῶς φαμεν τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως
καὶ ἠρεμίας; φαμὲν οὖν πρὸς τοῦτο, ὅτι μάλιστα μέν ἐστι καὶ ἐπὶ τῶν
20 οὐρανίων οὐ μόνον κινήσεως ἡ ἐν αὐτοῖς φύσις αἰτία, ἀλλὰ καὶ στάσεως·
ἕστηκε γὰρ ἡ ὁλότης τὰ κέντρα οἱ πόλοι, τῆς δὲ στάσεως ταύτης ἡ φύσις
τῶν οὐρανίων αἰτία. ἄλλως τε ἐπειδὴ ἡ φύσις εἴς τι τέλος ἀφορῶσα κινεῖ,
ἵνα τύχῃ τούτου, καὶ τυχοῦσα ἵστησιν ἐν ἐκείνῳ, τὰ δὲ οὐράνια ἀεὶ ἐν
τέλει ἐστὶ καὶ ἀεὶ ἐν ἀρχῇ (καθ' ἕκαστον γὰρ νῦν καὶ ἀρχή ἐστι καὶ ἀπο- 30
25 κατάστασις· ὁ γὰρ ἥλιος ἐν Κριῷ νῦν ὢν καὶ ἀποκατάστασιν ἔχει τῆς ἐξ
αὐτοῦ περιόδου ἐπὶ τὸ αὐτὸ καὶ ἀρχὴν πάλιν ἑτέρας περιόδου, καὶ οὕτω
καθ' ἕκαστον σημεῖον ἔχει, καὶ τοῦτο καὶ ἐπὶ τῶν μερῶν καὶ ἐπὶ τῶν
ὅλων σφαιρῶν ἔστιν εἰπεῖν)· ὥστε εἰ ἐκεῖνα ἀεὶ ἐν τέλει ἐστὶ καὶ οὐκ ἐξί-
σταται τούτου, ἠρεμοίη ἂν κατὰ τοῦτο, καθὸ οὐδέποτε τοῦ ἐν τέλει εἶναι
30 ἐξίσταται. ὥστε ἡ ἐν αὐτοῖς φύσις οὐ μόνον κινήσεως αὐτοῖς ἐστιν αἰτία,
ἀλλὰ καὶ τῆς τοιαύτης ἠρεμίας τοῦ ἀεὶ ἐν τέλει εἶναι καὶ ἐν τούτῳ ἠρε- 35
μεῖν. καὶ ἐπὶ τῶν λοιπῶν δὲ στοιχείων, λέγω δὴ τῆς ὁλότητος τοῦ πυρὸς
καὶ γῆς καὶ τῶν λοιπῶν, εἰ καὶ μὴ κινεῖται ὡς ὅλα ὑπὸ τῆς ἐν αὐτοῖς
φύσεως κατὰ τόπον, ἀλλ' οὖν τὴν ἀλλοιωτικὴν κίνησιν κινοῦνται θερμαινό-
35 μενα ἢ ψυχόμενα, ἔτι τε βλαστάνουσα ἡ γῆ· εἰ γὰρ καὶ μὴ αἱ ὁλότητες

---

2 δὲ om. superscr. K 3 τοῦ om. K 4 μὴ et proximum ὅτι superscr. M ὄν] οὐ K 5 ἐν τῶν ἐμψύχων (sic) K 5. 6 τῆς φύσεως] φύσις L 7 γὰρ τῶν] γὰρ τὰ L 8 ψυχή in ras. L 9 αὐτὴν Mt: αὐτὴν K: αὐτὸν L 10 φυσικὰ σώματα Mt 12 εἶναι] ἐστιν K 13. 14 μόνον t 21 πόλοι (litterae ολοι in ras.) L 22 εἰς (om. τι) L 24 καθέκαστ et mox ἡ ἀρχὴ K 27 μερικῶν K 28. 29 οὐκ ἐξίσταται K: οὐκ ἐξίστανται LMt 29 ἂν κατὰ] ἀνὰ κ' (= καὶ) τὰ K 30 ὥστε εἰ ἐν αὐτοῖς K 31 τῆς] τοῖς K 33 καὶ τῆς γῆς Mt καὶ (post εἰ) om. superscr. L 35 ἔτι τε LK corr. M: ἔστι τὲ ut vid. ante corr. M: ἔστι δὲ (sic) t

www.libtool.com.cn

μίαν ἀλλοιώσιν ἀλλοιοῦνται ἀθρόον, ἀλλὰ τοῖς μέρεσι πᾶσα μεταβάλλει ἡ e 8r
ὁλότης ἄλλου ἄλλως ἀλλοιουμένου. εἰ δέ τις εἴποι 'ἀλλὰ τὰ στοιχεῖα ἔξω-
θεν ἔχει τῆς ἀλλοιώσεως τὸ αἴτιον, τὸν ἥλιον λέγω', ἴστω ὅτι οὐδὲ τὰ ζῷα
ἄνευ τοῦ ἡλίου κινηθείη ἂν τὰς φυσικὰς κινήσεις, ἐπεὶ μηδὲ εἶναι δύναν-
ται, ἀλλ' ἔστιν ὡς ἐν τοῖς ζῴοις τὸ αἴτιον ἐντός, εἰ καὶ βοηθεῖται ὑπὸ τῆς
τροπῆς τῆς ἔξωθεν τοῦ ἡλίου, οὕτω καὶ ἐν τοῖς στοιχείοις· εἰ γὰρ καὶ τὸ
ἔμφυτον θερμὸν καὶ αἱ ἄλλαι φυσικαὶ κινήσεις ἀλλοιότεραι γίνονται κατὰ
τὰς τῶν καιρῶν τροπάς, ἀλλ' ὅμως τῶν ἀλλοιωτικῶν τοῦ ζῴου κινήσεων
τὴν φύσιν αἰτιώμεθα. κἂν μὴ συγχωρήσῃ δέ τις τῆς ἀλλοιωτικῆς τῶν
στοιχείων κινήσεως ἐν αὐτοῖς εἶναι τὴν αἰτίαν, τῆς γοῦν τοπικῆς ἐν αὐτοῖς
προφανῶς ἐστι τὸ αἴτιον· οὐ γὰρ πασῶν τῶν ἐν ἑκάστῳ κινήσεων ἡ φύσις
αἰτία. δυνατὸν δὲ τοῦ ὁρισμοῦ καὶ οὕτως ἀκούειν, ὅτι ἐστὶν ἀρχὴ κινήσεως
καὶ ἠρεμίας, οὐ πάντως ὅτι ἐν ᾧ ἐστιν ἀρχὴ κινήσεως, ἐν τούτῳ ἐστὶ καὶ
ἠρεμίας ἢ ἔμπαλιν, ἀλλ' ὅτι καὶ τῆς κινήσεως καὶ τῆς ἠρεμίας τῆς ἐν
τοῖς φυσικοῖς ἡ φύσις ἐστὶν αἰτία, εἴτε ἄμφω ἐστὶν ἐν τῷ αὐτῷ εἴτε θάτερον. καὶ ἄλλως λέγομεν καὶ ταῖς ὁλότησι τῶν στοιχείων κατὰ τὰ μέρη τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως καὶ ἠρεμίας· πάντα γὰρ τὰ μέρη τῶν στοιχείων πέφυκε κινεῖσθαι καὶ ἠρεμεῖν, ὥσπερ καὶ τὸν οὐρανόν φαμεν ὅλον κατὰ τὰ μέρη κινεῖσθαι. τινὲς δέ φασι τὴν τῶν γενητῶν καὶ φθαρτῶν φύσιν ὁρίσασθαι τὸν φιλόσοφον, οὐ πᾶσαν ἁπλῶς φύσιν, ὅπερ οὐκ εὔλογον ἔμοιγε φαίνεται· περὶ τῶν κοινῶς γὰρ πᾶσι τοῖς φυσικοῖς παρακολουθούντων ἐστὶ τὸ προκείμενον βιβλίον.

Τί μὲν οὖν ἐστι φύσις, εἴρηται. φύσιν δὲ ἔχον ἐστί, φησίν, ὅσα τὴν τοιαύτην ἀρχὴν ἐν ἑαυτοῖς ἔχει, τουτέστιν ἀρχὴν κινήσεως καὶ ἠρεμίας· ταῦτα δέ ἐστι, φησίν, οὐσίαι, καὶ δηλονότι αἱ σωματικαὶ καὶ ἔνυλοι. καὶ κατασκευάζει αὐτὸ τοῦτον τὸν τρόπον· τὰ ἔχοντα φύ|σιν ὑπόκειται τῇ e 8v
φύσει (ἡ γὰρ φύσις ἐν ὑποκειμένῳ ἐστί), τὰ ὑποκείμενα συμβεβηκότα εἶναι οὐ δύνανται (οὐδὲν γὰρ τῶν συμβεβηκότων ὑποκείμενον), τὰ δὲ μὴ ὄντα συμβεβηκότα οὐσίαι εἰσίν, ὥστε τὰ ἔχοντα φύσιν οὐσίαι εἰσί. κατὰ φύσιν δέ ἐστι, φησί, τό τε ἔχον φύσιν· λέγομεν γὰρ ὅτι τὸ πῦρ κατὰ φύσιν ἐστὶν οὐ κατὰ τέχνην, ὁμοίως καὶ ἄνθρωπον καὶ ἵππον καὶ πάντα τὰ φυ-

---

ἀθρόον, ἀλλ' οὖν τοῖς K 2 ἀλλ' οὐ ἀλλ' ὡς ἀλλ' οἰουμένου K ἀλλοιωμένου L εἴπῃ M
τῆς ἀλλοιώσεως τὸ (τὸν K) LK: τὸ τῆς ἀλλοιώσεως Mt 5 ἔστιν malim abesse
ντός om. Mt εἰ om. L 6 οὕτω δὲ καὶ K καὶ (post γὰρ) om. L 7 ἀλλοιό-
τερα K 8 τῶν prius om. K 9 συγχωρήσει ante correct. K 10 ἐν prius om. K
0. 11 προφανῶς ἐν αὐτοῖς K 11. 12 κινήσεων—ἀρχὴ om. K 13. 14 οὐ πάντως—
στὶ καὶ ἐρημίας exhibet K: om. LMt 15 τοῖς αὐτοῖς φυσικοῖς t 16 ὁλότησιν t
7 τὴν corr. ex τῶν M 18 post πέφυκε addit καὶ K καὶ (post ὥσπερ) om. L
1 ἐμοί γε K 22 τὸ προκείμενόν ἐστι βιβλίον Mt 23 ἔχον LK: ἔχοντα obscuro com-
endio M: ἔχοντά t 23. 24 τὴν τοιαύτην ἀρχὴν ἐν ἑαυτοῖς LK: ἐν αὐτοῖς τὴν τοιαύτην
ρχὴν Mt 25 fort. ταῦτα δέ εἰσι cl. p. 204,14 δῆλον ὅ et mox καὶ αἱ ἔνυλοι L
6 ὑπόκεινται K 27 ἐν ὑποκειμένῳ] ἐνυποκείμενοι K τὰ δὲ ὑποκείμενα Mt 28 δύ-
αται K ὑποκείμενα K 29 εἰσίν] ἐστὶν K ὥστε—εἰσί om. K 31 ἄνθρωπος
καὶ ἵππος coniecit t ἵππον] εἶπον L

www.libtool.com.cn

σικά· λέγονται δέ, φησί, κατὰ φύσιν καὶ αἱ καθ' αὑτὸ φυσικαὶ καὶ τελειω- e 8v
τικαὶ τῶν φύσιν ἐχόντων ἐνέργειαι, οἷον τῷ πυρὶ ἡ ἐπὶ τὸ ἄνω φορὰ καὶ 6
τῇ γῇ ἡ ἐπὶ τὸ κάτω. ταῦτα γάρ, φησίν, οὔτε φύσις ἐστίν, οὔτε φύσιν
ἔχει· φύσις μὲν γὰρ οὐκ ἔστι, διότι ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας,
5 ταῦτα δὲ κινήσεις μέν εἰσι κινήσεως δ' αἴτια οὐκ εἰσίν· ἀλλ' οὐδὲ φύσιν
ἔχει, εἴ γε τὰ μὲν ἔχοντα φύσιν ὑποκείμενά εἰσι, ταῦτα δὲ ἐν ὑποκει-
μένῳ ἐστὶ καὶ οὐχ ὑποκείμενα· ὥστε ἐπὶ πλέον τοῦ ἔχοντος φύσιν τὸ κατὰ
φύσιν. τὸ δὲ φύσει λέγεται, φησί, καὶ ἐπὶ τοῦ κατὰ φύσιν, λέγεται δὲ καὶ 10
ἐπὶ τοῦ ἔχοντος φύσιν· ἀρχόμενος γοῦν φησιν, ὅτι φύσει δὲ λέγομεν τά
10 τε ζῷα καὶ τὰ μέρη αὐτῶν. ὁ μὲν οὖν Ἀριστοτέλης οὕτω, ταύτῃ δὲ
εἰς ταὐτὸν ἄξει τὸ φύσει τῷ κατὰ φύσιν, εἴ γε ἀμφότερα ἐπὶ τῶν αὐτῶν
λέγεται. ἔστι δὲ ἀκριβέστερον εἰπεῖν, ὅτι τὸ μὲν κατὰ φύσιν ἐπὶ μόνων
τῶν τελειωτικῶν ἐνεργειῶν λέγεται, τὸ δὲ φύσει καὶ ἐπὶ τῶν τελειωτικῶν,
τῶν ἀπὸ φύσεώς φημι, ἐνεργειῶν, ἐν αἷς τὸ κατὰ φύσιν, καὶ ἐπὶ τῶν οὐ-
15 σιῶν, καὶ ἁπλῶς τῶν ἐχόντων φύσιν καὶ ἀπὸ φύσεως καὶ μὴ ἔξωθεν γι- 15
νομένων, κἂν παρὰ τὸν σκοπὸν τῆς φύσεως γίνεται· ὡς καὶ φυσικὸν λέγο-
μεν θάνατον καὶ νοσῶδες φύσει σῶμα καὶ τὸ γῆρας πάλιν φυσικὸν λέγομεν
καὶ φύσει, ἅπερ οὐ κατὰ σκοπὸν τῆς φύσεως γίνεται, ἀλλὰ δι' ἀσθένειαν
τῶν σωμάτων καὶ παρὰ φύσιν.

20 Ζητοῦσιν δὲ περὶ τοῦ παρὰ φύσιν καθόλου, οἷον ἐπὶ τῶν τεράτων καὶ
ἐπὶ τῶν φερομένων ἐκ τοῦ παντὸς κούφων σωμάτων παρὰ φύσιν ἐπὶ τὸ
κάτω, πότερον φύσει αὐτὰ καλεῖν δεῖ ἢ οὔ, καὶ εἰ μὴ φύσει εἰσὶ τὰ παρὰ
φύσιν, πότερον τέχνῃ ἐστὶν ἢ αὐτοματῷ ἢ λογισμῷ ἢ νῷ ἢ τινι ἁπλῶς 20
ἄλλῳ παρὰ τὴν φύσιν. καὶ οἱ πολλοὶ μὲν καὶ κλεινοὶ τῶν ἐξηγητῶν τοῦ
25 φιλοσόφου φασὶ καὶ τὰ παρὰ φύσιν φύσει εἶναι· οὐ γὰρ δὴ τὰ τέρατα τέχνῃ
ποιεῖ ἢ λογισμὸς ἢ νοῦς· μόνῃ ἄρα φύσει καὶ ταῦτα γίνεται. φαμὲν οὖν
ἡμεῖς πρὸς τοῦτο, ὅτι ἐπειδὴ ἡ φύσις τέλος ἔχει τὸ ἀγαθὸν καὶ πρὸς τοῦτο
ἀφορᾷ, διὸ καὶ ὡρισμένα ἔχει τὰ ἔργα (ἀεὶ γὰρ δύο ὀφθαλμοὺς θέλει ποιῆσαι
τῷ ἀνθρώπῳ καὶ χεῖρας δύο καὶ τῶν ἄλλων ἕκαστον, ὡς ἔχει). τὰ δὲ παρὰ
30 φύσιν ἀόριστά ἐστιν, οὐκ ἂν εἶεν φύσει τὰ παρὰ φύσιν, εἴ γε τὰ μὲν φύσει 25
ὡρισμένα ἐστί, τὰ δὲ παρὰ φύσιν ἀόριστα. ἔπειτα ἐπειδὴ μιμεῖται ἀεὶ τὴν
φύσιν ἡ τέχνη, ἴδωμεν ἐπὶ τῶν τεχνητῶν τὸ τέχνῃ καὶ τὸ παρὰ τέχνην
ὅπως ἔχει, καὶ ὡς ἂν εὕρωμεν ἐπὶ τῶν τεχνητῶν, οὕτως ἀποφαινώμεθα

1. 2 καὶ αἱ τελειωτικαὶ Mt 2 ἡ] ἢ K ἐπὶ τὰ ἄνω L 5 εἰσὶ] ἐστιν K
εἰσὶν· ἔστιν ... (2 litt. eras.) K 6. 7 ὑποκείμενα ἐστὶν· ταῦτα δὲ ἐνυπόκειμεναι ἐστὶν K
7 ἐστὶ· εἶσι L ὥστε κτλ.] cf. Themist. p. 139.27 8 ἔχοντος p. 192b9 δὲ λέγο-
μεν] δὲ φαμεν εἶναι cf. p. 200.22. 201.20 νοῦ μὲν Arist. libri 10 οὖν om. Mt
13. 14 τὸ δὲ ... τελειωτικῶν, τῶν in eras. K 14 φησὶ K 15 καὶ τῶν ἀπὸ K
16 κἂν] καὶ L γινόμενα Mt 17 καὶ πάλιν L 17. 18 λέγομεν καὶ φύσει K: λέγομεν
θάνατον καὶ φύσει LMt 20 ζητοῦσιν K: ζητοῦντες L. ut compendi. M: ζητοῦμεν t
22 φύσει, αὐτὰ K φύσει αὐτὰ L: φύσει αὐτὰ Mt φύσει ἐστὶν K 23 ἢ τινι LK:
ἢ Mt 24 τὴν om. L 25 καὶ καὶ L τέρατα L 26 ἢ νοῦς K 28 ὡρι-
σμένον K τὸ ἔχει ἀεὶ Mt 30 ἐστὶν om. K εἶεν L 31 ὡρισμένα K
τὰ K ut compendi. K τὸ] ἀεὶ L 32 ἀποφαινώμεθα t: ἀποφαινόμεθα LKM

www.libtool.com.cn

καὶ ἐπὶ τῶν φυσικῶν. φημὶ οὖν ὅτι τέχνην καλεῖν εἰώθαμεν τήν τε ἐπι- e 8v
στήμην αὐτήν, οἷον τεκτονικὴν ἢ ἄλλην τινά, καὶ τὸ ἀποτέλεσμα τῆς τέχνης· φαμὲν γὰρ πολλάκις θεασάμενοι καλῶς εἰργασμένην εἰκόνα, ὅτι πολλὴν ἔχει τὴν τέχνην. ἐπεὶ οὖν τὸ κατὰ τέχνην εἰργασμένον τέχνην καλοῦμεν, δῆλον 30
5 ὅτι τὸ μὴ κατὰ τέχνην εἰργασθέν, ἀλλ' ὡς ἔτυχεν οὐχ ὑπὸ τεχνίτου, παρὰ τέχνην καλοῦμεν. εἰ τοίνυν τὸ παρὰ τέχνην οὐ τέχνῃ γέγονεν, ὡς δ' ἔχει ἐπὶ τῆς τέχνης οὕτως ἔχει καὶ ἐπὶ τῆς φύσεως, καὶ τὸ παρὰ φύσιν ἄρα οὐ φύσει ἔσται. οὕτω μὲν οὖν δόξει εὐλόγως τὰ παρὰ φύσιν μὴ εἶναι φύσει.

10 Μήποτε δὲ μηδὲ ταῦτα ἁπλῶς παρὰ φύσιν εἰσίν, ἀλλὰ τῇ μὲν μερικῇ φύσει οὐ φύσει ἀλλὰ παρὰ φύσιν, τῇ δὲ καθόλου καὶ φύσει καὶ κατὰ φύσιν· ἡ μὲν γὰρ μερικὴ φύσις ἑνὸς εἴδους στοχάζεται καὶ μίαν στέρησιν 35
φεύγει, ἡ δ' ὁλικὴ φύσις καὶ παντὸς εἴδους στοχάζεται καὶ πᾶσαν στέρησιν φεύγει. διὰ τοῦτο τῇ μὲν τοῦ ἀνθρώπου φύσει τὸ τέρας οὔτε φύσει ἐστὶν
15 οὔτε κατὰ φύσιν, τῇ δ' ὅλῃ φύσει, ἐπεὶ μηδὲν ἐν τῷ παντὶ παρὰ φύσιν (οὐδὲν γὰρ κακὸν ἐν τῷ παντί), οὐκ ἔστι παρὰ φύσιν, ἀλλὰ φύσει καὶ κατὰ φύσιν· γίνεται γὰρ καὶ ταῦτα ὑπὸ τῆς ὁλικῆς φύσεως μεταβαλλούσης τὴν ὑποκειμένην ὕλην καὶ ἀνεπιτήδειον ποιούσης πρὸς τὸ καταδέξασθαι τῆς μερικῆς φύσεως τὸ εἶδος. οἷόν τι λέγω· εἰ τὸ περιέχον τοιῶσδε κραθὲν
20 ὑπὸ τῆς κυκλοφορίας τῶν οὐρανίων δράσειέ τι εἰς τὴν ὕλην τοῦ γινομένου 40
ἀνθρώπου, ὥστε ἀνάρμοστον γενέσθαι πρὸς τὸ καταδέξασθαι τὸ εἶδος ὅπερ ἡ φύσις ἐπιτιθέναι πέφυκεν, ἀποτεύξεται μὲν ἡ ἀνθρωπεία φύσις τοῦ σκοποῦ διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα, ἕτερον δὲ γενήσεται εἶδος, ὅπερ παρὰ φύσιν μέν ἐστι τῇ μερικῇ φύσει, ὡς δὲ πρὸς τὴν ὅλην φύσιν κατὰ φύσιν καὶ
25 φύσει· οὐδὲν γὰρ αὐτῇ παρὰ φύσιν, ἐπειδὴ μηδὲ ἡ φθορὰ παρὰ φύσιν, εἴ γε ἡ γένεσις κατὰ φύσιν, τῆς δὲ γενέσεως κατὰ φύσιν οὔσης, καὶ ἡ φθορὰ ἐξ ἀνάγκης κατὰ φύσιν ἔσται, εἴ γε ἡ ἄλλου γένεσις ἄλλου ἐστὶ φθορά. 45
παραδείγματι δέ τινι χρήσομαι, ἐξ οὗ σαφὲς ἡμῖν ἔσται τὸ συμβαῖνον ἐπὶ τῶν παρὰ φύσιν γινομένων· ὑποκείσθω γάρ τις κιθαρῳδὸς ἁρμόσας λύραν
30 κατά τινα τῶν ἁρμονιῶν, εἶτα ἀναχρουέσθω τι μέλος, ἔξωθεν δέ τις ἐπιχαυνούτω τινὰς ἢ πάσας τὰς χορδάς, ἤ γοῦν, ἵνα ἐγγυτέρω γενώμεθα τοῦ παραδείγματος, ὑγρότητι ἢ ξηρότητι τοῦ περιέχοντος παθοῦσαι μεθαρμοζέσθωσαν αἱ χορδαί, εἶτα ὁ κιθαρῳδὸς κινείτω τὰς χορδὰς τοῖς δακτύλοις οὕτως, ὡς μέλος τι τεχνικὸν ἀποτελέσαι ἄν, εἴ γε ἦσαν ἡρμοσμέναι κατὰ 50

---

1 καλεῖν iteratum delet K 5 εἰργασθὼν (sic) K 5. 6 ὑπὸ τοῦ τεχνίτου καλοῦμεν παρὰ τέχνην L 10 εἰσίν] ἐστὶν K 11 καὶ (ante φύσει) om. L 13. 14 ἡ δ' ὁλικὴ — φεύγει om. Mt 15 μηδὲν ἐν L: μὴ δ' ἐν M: μηδὲν (om. ἐν) Kt παντὶ παρὰ τὴν φύσιν L 18 ὑποκειμένης (compend.) et ἀνεπιτηδείαν K 18. 19 τῆς μερικῆς φύσεως τὸ (τὸ om. L) εἶδος LK: τῆς φύσεως τῆς μερικῆς τὸ εἶδος Mt 20 οὐρανῶν Mt δράσει ἔτι K 25 αὕτη L ἐπεὶ Mt 28 χρήσομαι compend. M: χρήσεται t ἐξ οὗ K 29 γινομένων ex κινουμένων corr. M 30 ἁρμονίων K ἀναχρούεσθαι t 31 ἢ γοῦν ex ἤγουν corr. M ἐγγυτέρῳ t 32 παθοῦσα (L)t 34 οὕτω L ἀποτελέσαιαν K

www.libtool.com.cn

λόγον αἱ χορδαί. ὥσπερ οὖν ἐνταῦθα ὁ μὲν κιθαρῳδὸς κρούει ὡς πέφυκε e 8r
τὴν λύραν, ἡ μέντοι ὑποκειμένη τῶν χορδῶν ὕλη τὸ μὲν μέλος ὃ προὔθετο
ὁ κιθαρῳδὸς οὐκ ἀποτελεῖ, ἄτεχνον δέ τινα καὶ ἀρρύθμιστον καὶ ἀόριστον
ἦχον, οὕτως ἔχει καὶ ἐπὶ τῆς φύσεως· τῆς γὰρ ὑποκειμένης ὕλης τῷ
5 εἴδει τῷ ἀνθρωπείῳ ἢ ἄλλῳ τινὶ ζῴῳ ὑπὸ τῆς περιφορᾶς καὶ συμπλοκῆς
τῶν οὐρανίων ἀνεπιτηδείου γινομένης, συμβαίνει τὴν γινομένην περὶ αὐτὴν
ὑπὸ τῆς φύσεως ἐνέργειαν | ἡμαρτημένην γενέσθαι, καὶ ὥσπερ τὸν ἦχον f 1r
τὸν γινόμενον ὑπὸ τοῦ κιθαρῳδοῦ ἐκ τῆς ἀναρμόστου κιθάρας οὔ φαμεν
τέχνῃ γενέσθαι οὐδὲ κατὰ τέχνην, καίτοι ὑπὸ τεχνίτου γενόμενον, οὕτω καὶ
10 ἐπὶ τῆς φύσεως οὔ φαμεν φύσει γενέσθαι, ἐπεὶ μηδὲ κατὰ τὸν ὡρισμένον
τῆς φύσεως λόγον γέγονε, πρὸς μέντοι τὴν τοῦ παντὸς φύσιν φύσει φαμὲν
γενέσθαι, διότι κατὰ φύσιν τῷ παντὶ τὸ ἄλλα φθείρειν ἐν τῷ γεννᾶν ἄλλα. 5
οὕτως οὖν διὰ τὴν τοῦ ὅλου κίνησιν ἔφθειρε μὲν τὴν ὑποκειμένην ἁρμο-
νίαν τῆς κράσεως τῆς ὕλης τοῦ ζῴου, ἄλλην δ' ἐποίησεν, ἥτις διὰ τὴν
15 ἀνεπιτηδειότητα ἑαυτῆς οὐ κατεδέξατο τὸ εἶδος τὸ φυσικόν, ἀλλ' ἕτερον τι
ἀρρύθμιστον καὶ ἀόριστον, ὡς ἂν ἔτυχεν ἐπιτηδειότητος ἔχουσα ἡ ὕλη.

Τῶν ὄντων τὰ μέν ἐστι φύσει, τὰ δὲ δι' ἄλλας αἰτίας. οὐχ ἁπλῶς πάντων τῶν ὄντων, ἀλλ' ἤτοι τῶν γινομένων καὶ φθειρομένων, ἢ καὶ πάντων τῶν φυσικῶν τε καὶ περὶ τὰ φυσικὰ γινομένων· καὶ γὰρ τὰ
20 ἀπὸ τέχνης καὶ ἀπὸ ταὐτομάτου περὶ τὰ φυσικὰ συνίσταται. δι' ἄλλας 10
δὲ αἰτίας εἶπεν, οἷον τέχνην τύχην προαίρεσιν αὐτόματον λογισμὸν νοῦν.

p. 192b9 Φύσει δέ φαμεν εἶναι τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν.

Τὰ μέρη προσέθηκε, διότι οὐχ ὡς ἔχει ἐπὶ τῶν τεχνητῶν, οὕτως 16
ἔχει καὶ ἐπὶ τῶν φυσικῶν. ἐπὶ μὲν γὰρ τῶν φυσικῶν πάντως καὶ τὰ ὅλα
25 καὶ τὰ μέρη φύσει (καὶ γὰρ καὶ ἔστι τὸ ὅλον ζῷον φύσει καὶ χεῖρες καὶ
πόδες ὁμοίως, καὶ οὐ μόνον τὰ ἀνομοιομερῆ ἀλλὰ καὶ τὰ ὁμοιομερῆ, καὶ
οὐ μόνον ταῦτα ἀλλὰ καὶ τὰ στοιχεῖα ἐξ ὧν ταῦτα συνέστηκε, καὶ ἁπλῶς
τῶν φύσει ὅ τι ποτέ ἐστιν εἴτε μέρος εἴτε στοιχεῖον πάντως φύσει ἐστίν), 20
ἐπὶ δὲ τῶν τεχνητῶν εἰ καὶ τὰ ὅλα τέχνῃ ἐστίν, οἷον οἰκία κλίνη ἀβάκιον,

---

1. 2 ὡοπέφυκε et ὑποκειμένοι K 3 ἀρύθμιστον K 4 ἔχει om. L 5 περὶ φορᾶς K 6 γενομένης fort. recte K γινομένην περὶ αὐτὴν LK: περὶ αὐτὴν γινομένην Mt 7 ὑπὸ recte videtur omittere K 9 γινόμενον ante corr. M: γινόμενον ('superscr. nescio quid') L οὕτω] ἔντω K, ubi haec et quae sequuntur usque ad φύσει γενέ- in erasis 10 ἐπειδὴ K 11 λόγον compendio non satis perspicuo M: λόγως (sic) t 13. 14 ἁρμονίην K 15 ἑαυτῆς LK: αὐτῆς Mt 16 ἀρύθμιστον K ἔχουσα KMt: ἴσχουσα L 17 τὰ δὲ δι' ἄλλας αἰτίας om. K 20 καὶ τὰ ἀπὸ ταυτομάτου K et excerpta cod. Paris. 1853 21 δὲ om. K 22 δὲ φαμὲν εἶναι LKM: μὲν e vulg. Arist. t at cf. p. 200,9 τά τε—αὐτῶν om. K 23 τεχνιτῶν K 25 φύσει· καὶ γὰρ καὶ ἔστιν K: φύσει καὶ ἐστὶ καὶ L: φύσει ἐστὶ, καὶ Mt 28 ὅ τι ποτέ—πάντως φύσει om. add. mrg. K 29 ὅλλα K τέχνη K: τεχνητά LMt ἀβάκιον t: ἀκάκιον K: ἀββάκιον LM. item p. 203,16

www.libtool.com.cn

ἀλλ' οὐχὶ καὶ τὰ τυχόντα μέρη ἤτοι στοιχεῖα· οὐ γὰρ δὴ ξύλα καὶ f 1r
λίθοι μέρη ὄντα τῆς οἰκίας, μᾶλλον δὲ στοιχεῖα, τέχνη εἰσίν, ἀλλὰ φύσει.
τούτων μὲν γὰρ ἕκαστον ἐν ἑαυτῷ ἔχει ἀρχὴν κινήσεως καὶ
στάσεως· τῶν φυσικῶν δηλονότι, κινήσεως μὲν τῆς ἐπὶ τὸ εἶδος εἰς ὃ
5 κινεῖται, στάσεως δὲ τῆς εἰς τὸ εἶδος ἐφ' ὃ ἐκινήθη. καὶ τὰ μὲν ζῷα
φανερῶς πάσης κινήσεως ἐν αὑτοῖς τὴν ἀρχὴν ἔχει (καὶ γὰρ γενέσεως καὶ
αὐξήσεως καὶ τῆς κατὰ τόπον μεταβολῆς), τὰ δὲ φυτὰ τὰς μὲν ἄλλας ἔχει, 25
τῆς δὲ μεταβατικῆς τῆς κατὰ τόπον ἐστέρηται, ὥσπερ τὰ ἁπλᾶ τῶν σω-
μάτων μόνην ἐξ ἑαυτῶν ἔχει τὴν μεταβατικήν. οὐ μόνον δὲ κινήσεως αἰ-
10 τίαν ἐν ἑαυτοῖς ἔχει τὰ φυσικά, ἀλλὰ καὶ στάσεως, πλὴν τῶν οὐρανίων·
ταῦτα γὰρ κινήσεως μὲν ἐν ἑαυτοῖς ἀρχὴν ἔχει, στάσεως δ' οὔ, εἰ μὴ τὸν
εἰρημένον τρόπον.

p. 192b16 Κλίνη δὲ καὶ ἱμάτιον καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστίν.

15 Γένος φησὶ πάλιν αὐτὴν τὴν οὐσίαν ὡς ὑποκείμενον, οὐχ ὡς κατὰ 31
πλειόνων κατηγορούμενον. τὰ οὖν τεχνητὰ πάντα εἴδη, οἷον οἰκία ἀβάκιον,
καθὸ μὲν ἕκαστον τοιοῦτόν τι λέγεται, οἷον οἰκία ἢ κλίνη, ὅπερ αὐτῷ συμ-
βέβηκεν ἀπὸ τέχνης οὐκ ἀπὸ φύσεως, οὐδεμίαν ἔμφυτον ὁρμὴν ἔχει
μεταβολῆς· ἔχει μὲν γὰρ καὶ αὐτὰ αἰτίαν τῆς μεταβολῆς, ἀλλ' οὐκ ἔμ-
20 φυτον, ἀλλ' ἔξωθεν τὸν ἐργασάμενον τεχνίτην, ἐν αὑτοῖς δὲ οὐδεμίαν ἔχει 35
τῆς κατὰ τὸ εἶδος κινήσεως αἰτίαν. ἠρεμεῖ γὰρ ἀεὶ τὸ εἶδος τὸ ἐκ τῆς
τέχνης ἐπιτεθέν, ᾗ δὲ τούτων ἕκαστον συμβέβηκε φυσικόν τι ἔχειν τὸ ὑπο-
κείμενον, ἢ λίθους ἢ ξύλα ἤ τι τοιοῦτον, κατὰ τοῦτο ἀρχὴν ἔχει κινήσεως
ἐν αὑτοῖς· φέροιτο γὰρ ἂν ἐπὶ τὸ κάτω ὑπὸ τῆς ἐν αὐτοῖς φυσικῆς αἰτίας
25 καὶ σήποιτο.

---

1 post ἀλλ' addit οὖν K οὐχὶ LK: οὐ Mt 2 τέχνη εἰσίν (ἐστὶν K) LK: τεχνητά εἰσιν Mt 3 μὲν om. Mt 3. 4 ἀρχὴν κινήσεως καὶ στάσεως om. K ἀρχὴν ἔχει κινήσεως ἐν ἑαυτῷ καὶ στάσεως traic. Mt. ceterum cf. Aristotelis libri 5 ἐφ' ὃ (ὃ ex corr.) M 6 κινήσεως (κινη in ras.) K αὑτοῖς] αὐτοῖς L: αὐτ̄ K: ἑαυτοῖς Mt γενέσεως K 7 τῆς om. K τὰς] τὰ K 8 μετὰβατικ̄ K ὥσπερ καὶ τὰ L 11 αὑτοῖς K ἔχει ἀρχήν Mt 12 εἰρημένον p 198,10 sqq. 13 καὶ εἴ τι τοιοῦτον om. K 14 ἐστί M 15 πάλιν] cf. p. 25,14 sqq. αὐτὸ L: αὐτῶν cod. Paris. 1853 15. 16 ὡς κατηγορούμενον κατὰ πλειόνων Mt at cf. p. 129,15. 192,11 18 ὁρμὴν] ἀρχὴν (cf. Themist. p. 158,9. Simplic. p. 265,15. Aristotelis cod. E ante corr.) L at cf. p. 204,4 20 ἐργασάμενον LK: εἰργασμένον Mt αὑτοῖς t: αὐτοῖς LKM 21. 22 ἠρεμεῖ — ἐπιτεθέν ex Themist. p. 158,10 21 ἠρεμεῖν t εἶδος τὶ ἐκ K 22 ἐπιτιθὲν L ᾗ] ἡ K: εἰ L 23 τοῦτο] τοῦ K 24 αὑτοῖς Mt: αὐτοῖς L: ἑαυτῷ K 24. p. 104,1 ὑπὸ — γηΐνοις om. superscr. L 24 τῆς ἐν αὑτοῖς φυσικῆς M

www.libtool.com.cn

p. 192b19 Ἢι δὲ συμβέβηκεν αὐτοῖς λιθίνοις ἢ γηΐνοις ἢ μικτοῖς ἐκ τούτων. f1r

Μικτοῖς φησιν ἐκ τῶν ἁπλῶν, πυρὸς γῆς καὶ τῶν λοιπῶν. τῷ δὲ ἔχει κατὰ τοσοῦτον προσυπακουστέον κατὰ κοινοῦ τὸ ὁρμὴν μεταβολῆς ἔμφυτον. 43

p. 192b26 Διὸ καὶ χωρίζεταί ποτε ἀλλήλων.

Συντόμως κατεσκεύασεν ὅτι κατὰ συμβεβηκὸς ὁ νοσῶν ἰατρὸς αἴτιος ἑαυτῷ τῆς ὑγείας γίνεται· εἰ γὰρ καθ' αὑτὸ ὁ νοσῶν ἑαυτὸν ὑγίαζεν, οὐδέποτε ἂν ἐχωρίσθη τοῦ νοσοῦντος τὸ ὑγιάζον (τοιοῦτον γάρ ἐστι τὸ καθ' αὑτό), νῦν δὲ χωρίζεται ταῦτα ἀπ' ἀλλήλων· οὐ γὰρ πᾶς νοσῶν ὑγιάζει ἑαυτόν. 45

p. 192b27 Ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων.

Ποιουμένων φησὶν ἀντὶ τοῦ δημιουργουμένων ἀπὸ τέχνης. 51

p. 192b32 Φύσιν δ' ἔχει ὅσα τοιαύτην ἀρχὴν ἔχει, καὶ εἰσὶ ταῦτα πάντα οὐσίαι.

Εἰπὼν τί ἐστι φύσις λέγει τί τὸ φύσιν ἔχον. καί φησιν ὅτι ὅσα ἐν ἑαυτοῖς ἀρχὴν τοιαύτην ἔχει οἵαν εἰρήκαμεν, λέγω δὴ κινήσεως καὶ ἠρεμίας, τίνα δὲ ταῦτά ἐστιν ἐπήγαγεν εἰπὼν ὅτι οὐσίαι. πόθεν δ' ὅτι οὐσίαι, διὰ τῆς προσθήκης ὑπέμνησεν εἰπὼν ὅτι ὑποκείμενόν τί ἐστι τούτων ἕκαστον, οὐδὲν δὲ τῶν συμβεβηκότων ἐστὶν ὑποκείμενον, ἀλλὰ μόνον ἡ οὐσία. εἶτα πόθεν ὅτι ὑποκείμενον, δείκνυσιν εἰπὼν ὅτι ἐν ὑποκειμένῳ ἡ φύσις ἐστίν. εἰ τοίνυν ἡ φύσις ἐν ὑποκειμένῳ, ὑπόκειται δὲ τὸ ἔχον φύσιν, τὸ δὲ ὑποκείμενον οὐσία ἐστί, τὸ ἔχον ἄρα φύσιν οὐσία ἐστίν. ὅτι δὲ ἐν ὑποκειμένῳ ἡ φύσις, ἐκ τοῦ ὁρισμοῦ ἔχει δεδειγμένον· ἀρχὴ γὰρ κινήσεως καὶ ἠρεμίας ἐν ᾧ ὑπάρχει πρώτως καὶ καθ' αὑτό. εἰ δὲ ἔν τινι πάντως ὑπάρχει ὅπερ καὶ τῆς κινήσεως ἀρχή ἐστι καὶ τῆς ἠρεμίας, δῆλον ὅτι ἐν f1v

---

1 Ἢι om. (rubr. addend.) K λιθίνοις K 1. 2 ἢ γηΐνοις—τούτων om. K 1 γηΐνοις εἶναι t: num εἶναι post τούτων invenit Philoponus? cf. Aristotelis libri 3 μικτοῖς δὲ l. φησι M: τοῦ τὸ l. 4 ἔχει l.K: ἔχειν M: ἔχει καὶ κατὰ Aristotelis cod. E κατὰ κοινοῦ τὸ κοινοῦ K ὁ ποιητὴ ποιεῖ ἀπ' (cf. v. 10) Aristotelis libri (praeter P) 8 ὑγιάζει K καθ' αὑτό M: 12 lacuna om. K 13 fort. ὑπὸ 14. 15 ὅτι—τόδε om. K 14 τὴν τοιαύτην ἔχει ἀρχὴν t ut cf. p. 212.11. 199,23 sq. εἰσὶ l.M: ἐστι t 14. 15 πάντα ταῦτα Aristotelis cod. E cf. p. 212.12 15 οὐσίαι M: τοῦτα (l.) et Aristoteles 16 φύσις l.K: φύσει M: 16. 17 ἑκάστοις K 20 δὲ om. l. μόνον K: μᾶλλον l.M: 21 ὅτι (post πόθεν) l.K: τί M: 23 ἄρα post φύσιν ponit K 24 δεδειγμένον K 25 καθ' αὑτὸ (sic) K

www.libtool.com.cn

ὑποκειμένῳ ἐστίν, οὐχ οὕτως δὲ ὡς τὰ συμβεβηκότα λέγεται ἐν ὑποκει- f 1v
μένῳ εἶναι, ἀλλ' ὡς εἶδος ἐν ὕλῃ συμπληροῦν μίαν οὐσίαν μετὰ τοῦ ὑπο-
κειμένου. κατὰ φύσιν δὲ ταῦτά τε καὶ ὅσα τούτοις ὑπάρχει καθ' 10
αὐτά. λοιπὸν τί τὸ κατὰ φύσιν, ὅτι τά τε ἔχοντα τὴν φύσιν, τουτέστιν
5 αἱ οὐσίαι, καὶ ὅσαι αὐτῶν τῶν οὐσιῶν εἰσι καθ' αὐτὸ ἐνέργειαι, οἷον τοῦ
πυρὸς ἡ ἐπὶ τὸ ἄνω φορὰ τὸ θερμαίνειν τὸ φωτίζειν, καὶ ἐπὶ τῶν ἄλλων
ὡσαύτως.

p. 192b36 Τοῦτο γὰρ φύσις μὲν οὐκ ἔστιν, ⟨οὐδ' ἔχει φύσιν⟩,
φύσει δὲ καὶ κατὰ φύσιν ἐστίν.

10 Εἰπὼν τί ἐστι τὸ κατὰ φύσιν, ἵνα μή τις εἴπῃ 'διὰ τὶ γὰρ μὴ καὶ 15
τοῦτο φύσις ἐστί;' δείκνυσιν ὅτι οὐκ ἔστιν οὔτε φύσις οὔτε φύσιν ἔχον. ὅτι
μὲν φύσις οὐκ ἔστι, δῆλον ἐντεῦθεν· ἡ φύσις ἀρχή ἐστι κινήσεως καὶ ἠρε-
μίας, ταῦτα δὲ πάντα κινήσεις τινές εἰσιν, οὐκ ἀρχαὶ κινήσεως οὐδ' ἠρε-
μίας, οὐκ ἄρα φύσις τὰ τοιαῦτα. ἀλλὰ μὴν οὐδὲ φύσιν ἔχει· τὰ γὰρ φύσιν
15 ἔχοντα ὑποκείμενά εἰσι καὶ οὐσίαι, ταῦτα δὲ ἐν ὑποκειμένῳ, οὐκ ἄρα οὐδὲ
φύσιν ἔχει, ἀλλ' ἔστι κατὰ φύσιν καὶ φύσει. * * * δεικνὺς ὅτι καὶ τὸ φύσει
λέγεται καὶ ἐπὶ τοῦ κατὰ φύσιν· φαμὲν γὰρ φύσει τὸ πῦρ φωτίζειν· 20
ὅτι δὲ καὶ ἐπὶ τῶν ἐχόντων φύσιν λέγεται τὸ φύσει, ἔδειξεν ἐν ἀρχῇ εἰ-
πὼν "τῶν ὄντων τὰ μέν ἐστι φύσει", περὶ τῶν ἐνυποστάτων πραγμά-
20 των λέγων, ἅπερ ἐστὶ τὰ φύσιν ἔχοντα, καὶ πάλιν "φύσει φαμὲν εἶναι
τά τε ζῷα καὶ τὰ μέρη αὐτῶν." εἴπομεν δ' ὅτι κυρίως τὸ κατὰ φύσιν
ἐπὶ τῶν φυσικῶν ἐνεργειῶν λέγεται, τὸ δὲ φύσει καὶ ἐπὶ τούτων καὶ ἐπὶ
τῶν ἐχόντων φύσιν.

p. 193a3 Ὡς δὲ ἔστιν ἡ φύσις, πειρᾶσθαι δεικνύναι γελοῖον.

25 Αὐτὸς εἶπεν ἐν τοῖς Ἀποδεικτικοῖς, ὅτι τεσσάρων ὄντων προβλημάτων 28
τῶν περὶ ἑκάστου πράγματος ζητεῖσθαι ὀφειλόντων, τοῦ εἰ ἔστι τοῦ τί ἐστι
τοῦ ὁποῖόν τι ἐστι τοῦ διὰ τί ἐστι, προηγεῖται πάντων τὸ εἰ ἔστιν· ἐπεὶ
οὖν ἔδειξε τί ἐστιν ἡ φύσις μὴ πρότερον δείξας εἰ ἔστιν ὅλως, τοῦτο αὐτὸ 30
ἀπολογεῖται διὰ τούτων, ὅτι τὸ πειρᾶσθαι δεικνύναι ὅτι ἔστιν ἡ φύσις

---

1 ὑποκειμένης compendiose K 1. 2 ἐν ὑποκείμενον K 3 δὲ om. Mt τε om. L 3. 4 καὶ ὅσα—αὐτά om. K 5 τῶν L: om. KMt ἐνεργεία M 6 ἐπὶ τὰ ἄνω Mt ἄλλων om. t 8 ἔστιν Kt: ἔστι LM οὐδ' ἔχει φύσιν addidit ex Arist. t 9 φύσει—ἐστίν om. K ἐστίν L: om. M: ἐστί t 10 εἴποι K 10. 11 γὰρ καὶ μὴ τοῦτο K 11 ἔστιν οὔτε K: ἔστι (om. οὔτε) LMt 12 ἀρχὴ κινήσεώς ἐστι Mt 13 τινὲς κινήσεις L 13. 14 οὐδ' ἠρεμίαι KM 14. 16 τὰ γὰρ—ἔχει om. L 15 ἐν ὑποκείμ/ε K 16 ante δεικνὺς lacunam signavi 17 τὸ πῦρ Mt: τῷ πυρὶ τὸ L: τὸ πυρὸς φῶς K 21 εἴπομεν p. 200,12 sqq. 24 lemma om. K δ' ἔστιν t 25 Ἀποδεικτικοῖς] Anal. Post. B 1? cf. Simplic. p. 271,26 27 ὁ ποῖόν L 28 πρότερον K: πρώτως L: πρῶτον Mt

www.libtool.com.cn

γελοῖόν ἐστιν, οὕτως ἐναργοῦς οὔσης αὐτῆς τῆς ὑποστάσεως, ἐν οἷς δὲ τὸ f 1v
εἶναι φανερὸν οὐ δεῖ πειρᾶσθαι δεικνύναι ὅτι ἔστιν, ἀλλὰ περὶ τὸ τί ἐστι
καὶ τὰ λοιπὰ κατατείνειν τοὺς λόγους. οὕτω γοῦν καὶ ὅτι ἔστιν ὁ χρόνος
καὶ ὁ τόπος ἐναργὲς πᾶσι, τί ποτε μέντοι ταῦτά ἐστιν ἔργον εὑρεῖν. ὥσπερ
5 οὖν ὁ πειρώμενος ἀποδεικνύναι ὅτι τὸ πῦρ καίει αἰσθήσεως δεῖται, οὕτως
ὁ ἀποδεικνὺς ὅτι ἔστιν ἡ φύσις λογισμοῦ δεῖται· φανερὸν γὰρ ὅτι πολλά 35
ἐστι τὰ ὑπὸ φύσεως διοικούμενα ἐν τοῖς οὖσιν, οὐ δεῖ δὲ τὰ φανερὰ ἀπο-
δεικνύειν, οὐδὲ ὅλως πάντων ζητεῖν ἀπόδειξιν, εἰ μὴ τῶν ἀμφιβόλων. ὡς
γὰρ αὐτὸς ἔδειξεν ἐν τοῖς Ἀποδεικτικοῖς, ἀδύνατον πάντων εἶναι ἀπόδειξιν·
10 εἰ γὰρ ἦν πάντων ἀπόδειξις, οὐδενὸς ἂν ἦν ἀπόδειξις· ἀεὶ γὰρ τὰς ἀρχὰς
δι' ὧν ἀπεδείξαμεν ἀποδεικνύναι σπουδάζοντες ἐπ' ἄπειρον ἥξομεν, καὶ
ἐπεὶ τὸ ἄπειρον ἀδιεξίτητον, οὐδὲν ἀποδειχθήσεται τῶν ἀρχῶν μὴ ἀπο-
δειχθεισῶν τῶν πρώτων. οὐκ ἄρα παντὸς ζητητέον ἀπόδειξιν· εἰσὶ γὰρ 40
πολλὰ ἅπερ κρείττονα πάσης ἀποδείξεως τὴν πίστιν ἐκ τῆς ἐναργείας πα-
15 ρέχεται, οἷον τὰ χρώματα ὅτι ἔστι καὶ τὰ σώματα. τοιοῦτον καὶ τὸ κατὰ
τὴν φύσιν ἐστί, καὶ ὁ τῶν τοιούτων ἀποδείξεις παρέχειν βουλόμενος τοῦ
ἐσφάλθαι αὐτῷ τὸ κριτήριον τῆς διανοίας ἔλεγχον παρέχεται, μὴ δυνάμενος
διακρῖναι τί μέν ἐστιν ἀσαφέστερον, τί δὲ σαφέστερον, καὶ τὶ μὲν οἴκοθεν
ἔχει τὴν πίστιν, τί δ' οὐκ οἴκοθεν ἀλλ' ἐξ ἑτέρων ἀρχῶν τὰς ἀποδείξεις
20 ἔχει. ἀνάγκη γὰρ τὸν τοιοῦτον διὰ τῶν ἀσαφῶν τὰ σαφῆ κατασκευάζειν, 45
οἷος ἦν Ἀντιφῶν πειραθεὶς δι' ἀποδείξεως δεῖξαι, ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ
ἀλλήλοις ἐστὶν ἴσα, ὃς καὶ ἐν τῷ τετραγωνισμῷ τοῦ κύκλου ἑαυτὸν παρε-
λογίσατο· τὰ γὰρ τῷ αὐτῷ, φησίν, ἴσα τὸν αὐτὸν τόπον κατέχει, τὰ τὸν
αὐτὸν τόπον κατέχοντα καὶ ἀλλήλοις ἴσα, τὰ τῷ αὐτῷ ἄρα ἴσα καὶ ἀλλή-
25 λοις ἐστὶν ἴσα. οὕτω γὰρ σαφὲς πρᾶγμα δι' ἀσαφεστέρων πολλῶν ἐπει-
ράθη δεικνύναι· τί ποτε γάρ ἐστιν ὁ τόπος καὶ ὁποίαν σχέσιν ἔχει πρὸς τὰ
ἐν τόπῳ, πολλῶν καὶ μακρῶν χρεία ἐστὶν εἰς τὸ μαθεῖν ἀποδείξεων. ἐοί- 50
κασιν οὖν οὗτοι, φησί, τυφλοῖς ἐκ γενετῆς πειρωμένοις ἀποδεικνύναι ὅτι ἔστι
τὰ χρώματα· ὥσπερ γὰρ οὗτοι, εἰ ἑώρων, οὐκ ἂν ἐδεήθησαν τῆς διὰ λό-
30 γων ἀποδείξεως, κρείττονα πάσης ἀποδείξεως τὴν δι' αἰσθήσεως πίστιν
ἔχοντες (οὐ γὰρ λόγῳ, ἀλλ' αἰσθήσει τῶν χρωμάτων τὸ εἶναι κρίνεται),
οὕτω καὶ οἱ τὰ φανερὰ ἀποδεικνύειν σπουδάζοντες, εἰ τὸ κριτήριον τῆς δια-
νοίας ἐρρωμένον εἶχον, οὐκ ἂν τὰ φανερὰ διὰ τῶν ἀφανῶν κατεσκευάζον.

---

1 γέλοιον K αὐτῆς οὔσης Mt 3 οὕτω γοῦν καὶ ὅτι] ὅτι γοῦν L 4 μέντοι ἐστὶ ταῦτα Mt 5 οὖν om. K 9 Ἀποδεικτικοῖς] Anal. Post. A 3 p. 72b5 sqq. cf. Bonitzii Index p. 79b25 11 σπουδάζομ (sic) omissis ἐπ' ἄπειρον ἥξομεν K 14 πάσης ἀποδείξεως κρείττονα L ἐναργείας K: ἐνεργείας LMt 16 τὴν L superscr. K: om. Mt 17 αὐτὸ L δυνάμενος L: δυνάμ/ K: δυνάμενον Mt 20 τῶν corr. ex τὸν K τὰ σαφῆ] τὰς ἀφῆ K 21 ἀντιφωνῶν ante corr. L 22 ἀλλήλων compend. K ὃς καὶ κτλ.] cf. p. 31,9 sqq. 25 οὕτος γὰρ σαφὲς οὕτω πρᾶγμα διασαφεστέρων K πολλῶν LK: πολλῶ Mt 26 ἀποδεικνύναι K ὁποῖαν K 28 φησί K: om. LMt γενέτης K πειρώμενοι M 32 εἰ Mt: ἂν L: εἰ δ' ἂν K: fort. εἰ δὴ cf. ad h 6v40 33 κατεσκέβαζον K

www.libtool.com.cn

καὶ ὥσπερ τοῖς τυφλοῖς λόγους μὲν συμβαίνει λέγειν, | πρᾶγμα δὲ νοεῖν f 2r
μηδέν (οὐδέποτε γὰρ ἐπιστήσεται ἡ διάνοια αὐτῶν τῇ τῶν χρωμάτων φύσει),
οὕτως καὶ τοὺς πηροὺς καὶ διεστραμμένους τὸ κριτήριον τῆς ψυχῆς εἰ
πειραθείημεν διὰ τῶν συλλογισμῶν πείθειν, λόγους μὲν αὐτοὺς διδάξομεν,
5 πράγματα δὲ οὐδαμῶς. ὥστε ἀκολουθοῦντας ἡμᾶς τῇ φύσει τῶν πραγμά-
των δεῖ θέσθαι τοῦτο ἄνευ λόγου, μᾶλλον δὲ κρεῖττον παντὸς λόγου, ὅτι ἔστιν
ἡ φύσις. φανερὸν γὰρ ὅτι τοιαῦτα τῶν ὄντων ἐστὶ πολλά. τοι- 5
αῦτα, ἃ φύσει ἐστίν. ὅτι δὲ ἐνδέχεται τοῦτο πάσχειν, τουτέστιν
ὅτι ἐνδέχεταί τινα διεστραμμένον ἢ τὰς αἰσθήσεις ἢ τὸν λογισμὸν μὴ γινώ-
10 σκειν τίνα τῶν πραγμάτων ἐστὶν αὐτόπιστα καὶ τίνα δεόμενα ἀποδείξεως.
τούτου οὖν παράδειγμα ἐκτίθεται ἐκ γενετῆς τυφλὸν λόγοις ἀποδεικνύειν
πειρώμενον, ὅτι ἔστι τὰ χρώματα. ὁ οὖν τοιοῦτος περὶ ὀνομάτων μὲν δια-
λέξεται, νοήσει δ' οὐδέν· οὐ γὰρ λόγοις γινώσκεσθαι τὰ χρώματα, ἀλλ'
αἰσθήσει πέφυκε.

15 p. 193a9 Δοκεῖ δὲ ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις 10
εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' αὑτό.

Εἰπὼν τί ποτέ ἐστιν ἡ φύσις, διαλεχθεὶς δὲ καὶ περὶ τῶν παρωνύμως
ἀπὸ τῆς φύσεως λεγομένων τί τὸ ἔχον φύσιν τί τὸ φύσει τί τὸ κατὰ φύσιν, 15
ἐντεῦθεν ζητεῖ πότερον μοναχῶς ἡ φύσις λέγεται ἢ πλεοναχῶς. καί φησιν
20 ὅτι τριχῶς λέγεται ἡ φύσις· λέγεται γὰρ καὶ τὸ πρῶτον ἑκάστῳ ὑποκεί-
μενον φύσις, ὡς τοῖς περὶ Ἀντιφῶντα δοκεῖ καὶ τοῖς παλαιοτέροις τῶν φυ-
σικῶν, οἵτινες τὴν ὕλην ἑκάστου φύσιν ἑκάστου εἶναι ἔλεγον· λέγεται καὶ
τὸ εἶδος ἑκάστου φύσις, ὡς τῷ Ἀριστοτέλει καὶ τῷ ὀρθῷ λόγῳ δοκεῖ· λέ-
γεται δὲ κατὰ τρίτον σημαινόμενον καὶ ἡ γένεσις καὶ ἡ ὁδὸς ἡ ἐπὶ τὸ
25 εἶδος φύσις. δοκεῖ οὖν, φησίν, ἡ ὕλη τισὶ μᾶλλον εἶναι φύσις· κατεσκεύαζε 20
γοῦν Ἀντιφῶν τοῦτο τοῦτον τὸν τρόπον, ὅτι τὸ ἐν ἑκάστῳ ὑποκείμενον καὶ
μὴ ἄλλοτε εἰς ἄλλο μεταβάλλον τοῦτό ἐστιν ἡ ἑκάστου φύσις, τὰ δὲ ἄλλα
καθ' ἃ μεταβάλλει γινόμενα καὶ φθειρόμενα πάθη τούτου εἰσὶ καὶ οὐ φύ-
σις. οὕτως οὖν τοῦ μὲν ἀνδριάντος φύσις οὐ τὸ σχῆμα, ἀλλ' ὁ χαλκός,
30 καὶ τῆς κλίνης τὸ ξύλον, διότι τὸ μὲν σχῆμα πάθος τί ἐστι γινόμενον καὶ

---

1 post τυφλοῖς delet litteras πραγμ M 3 πηροὺς scripsi cl. Themist. p. 160,17: πονηροὺς libri 4 παραθείημεν K λόγῳ L 5 πράγ^μ^τι K: πράγματι L οὐδ' ἀμῶς K 6 δεῖ δ' ἔσθαι (sic) K ἄνευ λόγον in M invenit neque correxit t 7 πολλὰ τῶν ὄντων ἐστί traic. Mt 8 φύσει LK: φύσεως Mt at cf. Themist. p. 160,6 sq. ἐστίν om. K τοῦτο πάσχειν om. K 10 τίνα τῶν LK: τινὰ τῶν Mt ἐστὶν LK: ἃ ἐστιν Mt καὶ τίνα LK: καὶ μὴ Mt 11 ante ἐκ γενετῆς add. τὸν (L)t γενέτης K 13. 14 ἄλλα (in exitu versus) σθήσει πέφυκεν K 15 lemma om. K ἡ οὐσία L: ἡ οὐσία ἡ Mt at cf. p. 212,5 16 post πρῶτον addit ὑποκείμενον (cf. v. 20) M ἀρρύθμιστον καὶ M ἑαυτό t 17 ποτέ om. K 20 πρῶτον Mt: α' K: πρώτως L 24 δὲ om. Mt 25 οὖν] τε K 25. 26 κατεσκεύαζε γοῦν LK: κατεσκευάζεν οὖν Mt 29 μὲν corr. ex μηδὲν L 30 τί om. K

www.libtool.com.cn

ἀπογινόμενον, ὁ δὲ χαλκὸς καὶ τὸ ξύλον ἀεὶ μένει. σημεῖον δὲ τοῦ τὸ f 2r
ξύλον φύσιν εἶναι τῆς κλίνης ὁ Ἀντιφῶν ἔλεγεν, ὅτι ἐὰν κατορύξῃς κλίνην
καὶ σαπῇ, εἶτα τὴν γεννητικὴν δύναμιν ἡ σηπεδὼν λάβοι, οὐκ ἂν βλαστήσειε κλίνην, ἀλλὰ ξύλον, ὡς δὴ τοῦ μὲν σχήματος τῆς κλίνης πάθους τινὸς
5 ὄντος, φύσεως δὲ τοῦ ξύλου, ὅπερ ἐστὶν ἡ ὕλη τῆς κλίνης· τὸ γὰρ ἐν ἑκάστῳ γεννητικὸν καὶ κινητικὸν τοῦτό ἐστιν ἡ φύσις ἑκάστου. ὃ δὲ ἐπὶ τῶν τεχνητῶν συμβαίνει, τοῦτο καὶ ἐπὶ τῶν φυσικῶν, ἐπειδὴ μιμεῖται τὴν φύσιν ἡ τέχνη. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν εὕρομεν ὅτι φύσις ἑκάστου ἐστὶν οὐ τὸ εἶδος, ἀλλ' ἡ ὕλη, διὰ τὸ τὴν μὲν ὑπομένειν, τὴν ὕλην, τὸ δὲ εἶδος
10 οὔ, οὕτω δήπου καὶ ἐπὶ τῶν φυσικῶν ἂν εἴη ἡ μὲν ἑκάστου ὕλη φύσις, πάθος δὲ τὸ εἶδος. ὥστε εἰ καὶ ἡ τῆς κλίνης ὕλη, τὸ ξύλον λέγω, μὴ ἔστιν ἁπλοῦν τι πρᾶγμα, ἀλλὰ σύγκειται ἐξ ὑποκειμένου καὶ εἴδους, καὶ πέπονθε τὸν αὐτὸν λόγον ὅνπερ τὸ ξύλον πρὸς τὴν κλίνην, τὸ μὲν ὑποκείμενον καὶ ἡ ὕλη τοῦ ξύλου φύσις αὐτοῦ ἂν εἴη, εἴτε ὕδωρ εἴη τοῦτο εἴτε γῆ εἴτε ὁτι-
15 δήποτε ἄλλο, τὸ δὲ τοῦ ξύλου εἶδος πάθος τι τῶν γινομένων καὶ ἀπογινομένων, διότι μεταβάλλοι ἂν τὸ ὑποκείμενον, τὸ ξύλον, εἰς ἕτερον εἶδος, οἷον ἡ γῆ. ὥστε εἰ τὸ μὲν ὑπομένει, τὰ δ' εἴδη μεταβάλλουσιν εἰς ἄλληλα, τὸ δὲ ὑπομένον φύσις ἂν εἴη μᾶλλον ἢ τὸ μεταβάλλον, ἔοικε καὶ τῶν φυσικῶν ἡ ὕλη μᾶλλον εἶναι φύσις ἢ τὸ εἶδος. διὰ τοῦτο γοῦν, φησίν, ὅπερ
20 ἑκάστῳ ἔδοξεν ὑλικὸν εἶναι αἴτιον τῶν πραγμάτων, εἴτε ἓν εἴτε πλείω, τοῦτο τὴν φύσιν εἶναι τῶν ὄντων ἔθετο, καὶ τοῦτο μὲν ὑπομένειν, τὰ δ' εἴδη ἄλλοτε ἄλλο ἐπιγίνεσθαι. εἰ οὖν καέντος τοῦ ξύλου ὑπομένει ἡ τέφρα ἥτις ἐστὶ γῆ, ἔοικεν ἡ γῆ φύσις εἶναι τῶν ξύλων, καὶ τῶν τηκτῶν μετάλλων τὸ ὕδωρ, διότι ἐν τῇ τήξει ὑπομένει τὸ ὕδωρ. καὶ τὸ ὕδωρ δ' εἰ
25 μὴ ἔστιν ἁπλοῦν, ἀλλ' εἰ τυχὸν ὑποκείμενον ἔχει τὸν ἀέρα, οὗτος ἂν αὐτοῦ εἴη φύσις, διότι ἐν τῇ φθορᾷ τοῦ ὕδατος οὗτος ὑπομένει. ὥστε ὅσοι μὲν ἓν τὸ ὑλικὸν αἴτιον εἰρήκασιν, εἴτε ἀέρα εἴτε ὕδωρ εἴτε ὁτιδηποτοῦν ἄλλο, τοῦτο εἶναι καὶ τὴν φύσιν τῶν ὄντων ἀπεφήναντο, ὅσοι δὲ πλείω, πλείονα.

30 Ὅτι μὲν οὖν ἡ ὕλη φύσις, οὕτω δεδείχθω, ὅτι δὲ τὸ εἶδος φύσις μᾶλλον τῆς ὕλης, διὰ πλειόνων ἐπιχειρημάτων ἀποδείκνυσι, καὶ πρῶτον μὲν ἐκ τοῦ κατὰ τὰς τέχνας παραδείγματος. τότε, φησίν, ἕκαστον τῶν τεχνητῶν λέγεται εἶναι καὶ ἔχειν τὴν ἑαυτοῦ τέχνην, ὅταν ἐνεργείᾳ ᾖ τοιοῦ-

---

1. 2 δὲ τοῦτο ξύλον φύσις εἶναι K 3. 4 βλαστάσειε t 4 κλίνην LK: κλίν$^{\eta}$ M: κλίνη t ἀλλὰ] ἢ ἄλλο K τῆς κλίνης (post σχήματος) K: τῆς ὕλης L: τῆς γῆς M: om. fort. recte t 6 γεννητικὸν M ἡ φύσις ἡ ἑκάστου K 9 οὐ om. superscr. L² 10 οὔ] οὐκ t post φύσις addit αὐτοῦ ἐστὶν K 11 ἡ τῆς ὕλης κλίνης ὕλη L 16 μεταβάλοι Mt 17 εἴδη] ἤδη t 18 δὲ ὑπομένον K: ὑποκείμενον (om. δὲ) LMt ἔοικε δὲ καὶ Mt 20 ἔδιξεν K αἴτιον εἶναι Mt 22 ἄλλο Kt: ἄλλω M: ἄλλα L καέντος τοῦ ξύλου] καὶ ἐν τῷ ξύλῳ L 24 διότι ἐν τῇ ξέει ὑπομένει τὸ ὑγρόν K 25 εἰ τύχοι K 26 ὅσον K 27 ἓν K: om. LMt εἰρήκασι t ὁτιδηποτοῦν L: ὁτιδήποτε οὖν K: ὁτιδήποτε (om. οὖν) Mt 28 ὄντων LK: ἄλλων Mt 30 οὖν Kt: om. LM 31 καὶ K: om. LMt πρῶτον L: α' K: πρώτου Mt 32 παραδείγματα K

www.libtool.com.cn

τον οἷον καὶ λέγεται, οὐχ ὅταν δυνάμει. λέγεται γὰρ τὴν τέχνην τοῦ f 2r
ἀνδριάντος ἔχειν ἢ τῆς κλίνης οὐ τὸ δυνάμει ἀνδριὰς ἢ τὸ δυνάμει κλίνη,
οἷον ὁ χαλκὸς ὃς ἐστιν ὕλη τοῦ ἀνδριάντος, ἢ τὸ ξύλον ὅπερ ἐστὶν ὕλη
τῆς κλίνης· οὐ γὰρ ἐπειδὴ τὸ ξύλον δυνάμει ἐστὶ κλίνη, τὴν τέχνην φαμὲν
5 αὐτὸ ἔχειν τὴν τῆς κλίνης, ἀλλ' ὅταν ἀπολάβῃ τὸ τῆς κλίνης εἶδος, τότε
λέγεται ἔχειν τὴν τῆς κλίνης τέχνην. ὡσαύτως καὶ ὁ χαλκὸς ὅταν ἀπο-
λάβῃ τὸ εἶδος τοῦ ἀνδριάντος, τότε ἔχει τὴν τέχνην τὴν ἀνδριάντος, οὐχ 50
ὅταν δυνάμει ᾖ ἀνδριάς, καὶ τὴν γραμματικὴν δὲ τέχνην ἀπειληφέναι λέ-
γεται οὐχ ὁ δυνάμει γραμματικὸς ὤν, ἀλλ' ὁ ἐνεργείᾳ. ὥσπερ οὖν ἐπὶ τῶν
10 τεχνητῶν οὐ τῆς ὕλης κατηγορεῖται ἡ τέχνη (τὸ γὰρ δυνάμει ὕλη ἐστὶ τοῦ
ἐνεργείᾳ), ἀλλὰ τοῦ εἴδους, οὕτω δήπου καὶ ἐπὶ τῶν φυσικῶν οὐ τῆς ὕλης
κατηγορηθήσεται ἡ φύσις, ἀλλὰ τοῦ εἴδους· εἰ γὰρ λέγεται ἀνθρώπου φύσις
καὶ ἵππου φύσις, οὐ δήπου τὸ δυνάμει ἄνθρωπος ἢ τὸ δυ|νάμει ἵππος ἔχοι f 2v
ἂν τὴν τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου φύσιν, ἀλλ' ὁ ἐνεργείᾳ ἄνθρωπος καὶ
15 ἀπειληφὼς τὸ τοῦ ἀνθρώπου εἶδος. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. εἰ δὲ τοῦτο,
τὸ εἶδος ἂν εἴη ἡ φύσις ἡ ἑκάστου. δεύτερον ἐπιχείρημα τίθησι τοιοῦ-
τον. τότε, φησίν, ἕκαστον λέγεται εἶναι τοιοῦτον, ὅταν ἀπολάβῃ τὴν ἑαυτοῦ
φύσιν, λέγεται δὲ ἄνθρωπος εἶναι ὁ ἀπειληφὼς τὸ τοῦ ἀνθρώπου εἶδος·
ἔοικεν ἄρα τὸ εἶδος φύσις εἶναι ἑκάστου. καὶ ἔστιν ὁ συλλογισμὸς ἐν τρίτῳ 5
20 σχήματι οὕτω· τότε λέγεται ἕκαστον εἶναι, ὅταν ἔχῃ τὸ ἑαυτοῦ εἶδος·
τότε λέγεται ἕκαστον εἶναι, ὅταν ἔχῃ τὴν ἑαυτοῦ φύσιν· τὶ ἄρα εἶδος φύσις
ἐστί. καὶ ἔστιν ἐνταῦθα τὸ μερικὸν οὐ δι' ἑαυτό, ἀλλὰ διὰ τὸ καθόλου
ἀληθεῦον. συλλογίσαιο δ' ἂν καὶ οὕτως· οὗ τῇ παρουσίᾳ τὰ φύσει ὄντα
ἐστὶ τοῦτό ἐστι φύσις, τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει ὄντα ἐστί, τὸ
25 εἶδος ἄρα φύσις ἐστί. τοῦτο δὲ τὸ ἐπιχείρημα τῷ πρώτῳ ταὐτόν ἐστι·
κἀκεῖ γὰρ ἔλεγεν ὅτι, ὥσπερ τὸ τεχνητὸν ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος 10
τότε ἔχει τὴν ἑαυτοῦ τέχνην, οὕτω καὶ τὸ φυσικὸν ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ
εἶδος τότε ἔχει τὴν φύσιν, καὶ ἐνταῦθα δὲ τὸ αὐτὸ λέγεται, ὅτι ἕκαστον
λέγεται τοιοῦτον εἶναι, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος. ἀλλ' οἱ ἐξηγηταὶ
30 διαιροῦσι τὰ ἐπιχειρήματα, καίτοι οὐδ' αὐτὸς ὁ Ἀριστοτέλης φαίνεται σα-
φῶς διαιρῶν ταῦτα, ἀλλ' ὡς ἓν προάγων. τὸ δὲ τρίτον ἐπιχείρημα, ὃ τί-
θησιν, ἀπάντησίς ἐστι τοῦ ἐπιχειρήματος, δι' οὗ τὴν ὕλην φύσιν λέγουσι·
δι' ὧν γὰρ κατεσκεύασαν ὅτι ἡ ὕλη φύσις, διὰ τῶν αὐτῶν καὶ αὐτὸς κατα- 15
σκευάζει, ὅτι τὸ εἶδος φύσις. ὅσον γάρ, φησίν, ἐπὶ τῷ ἐπιχειρήματι, δι'

---

2 ἀνδριὰς K 3 ὁ om. K 6. 7 ἀπολάβῃ (η ex οι corr.) K 7 τὴν (post τέχνην) KMt: τοῦ L: fort. τὴν τοῦ 7. 8 οὐχ ὅτε δυνάμει ἡ K 10 ὕλη ἐστὶ] ὕλης ἐστὶν K 11 ἀλλὰ LK superscr. (γρ.) M²: ἀλλ' οὐ Mt 12 ἡ φύσις om. Mt 14 ὁ ἐνεργείᾳ καὶ ἄνθρωπος καὶ K 15 τοῦ ἀνθρώπου τὸ εἶδος L ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων Mt 16 alterum ἡ om. K δεύτερον δὲ L 19. 21. 25 ἄρα] γὰρ K 19 ἔστιν] ὅτι K 20 εἶναι om. K 22 καὶ ἔστιν καὶ ἐνταῦθα K 23 ἀληθεύων K συλλογίσαιο κτλ.] ex Themist. p. 163,15 cf. Simplic. p. 276,22 24 τοῦτό ἐστιν φύσις· τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει ὄντα ἐστίν iterat K 26 κἀκεῖ] καλεῖ L 33 κατεσκεύασαν t: κατεσκεύασεν LKM at cf. p. 215,26. ad p. 210,22 34 ὅσον] ὃς L

www.libtool.com.cn

οὐ ἐδείξατε τὴν ὕλην φύσιν, δειχθήσεται καὶ τὸ εἶδος οὐδὲν ἧττον φύσις· f 2v
εἰ γὰρ διότι ἐκ κλίνης οὐ γέγονε κλίνη ἀλλὰ ξύλον, ὅπερ ἦν ὕλη τῆς κλίνης,
διὰ τοῦτο, ὡς ὑπομένουσαν τὴν ὕλην τῆς κλίνης ἐν τῷ γινομένῳ, τὴν ὕλην
φύσιν εἶναί φασιν, ἐπειδὴ γίνεται καὶ ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ ἔστι τὸ
5 εἶδος ὁ ἄνθρωπος, τοῦτο ἂν εἴη φύσις. εἰ γὰρ ἐπειδὴ μὴ τὸ γινόμενον ἐκ
τῆς κλίνης κλίνη ἐστὶν ἀλλ' ἦν τῆς κλίνης ὕλη τὸ ξύλον, διὰ τοῦτο ἡ
ὕλη φύσις ἐστίν, ἐπειδὴ καὶ τὸ ἐξ ἀνθρώπου γινόμενον ἄνθρωπός ἐστι καὶ 20
οὐχ ἡ τοῦ ἀνθρώπου ὕλη, δῆλον ἄρα ὅτι τὸ εἶδός ἐστιν ἡ φύσις· τοῦτο
γάρ ἐστι τὸ γινόμενον, ὥσπερ ἐπὶ τῆς κλίνης ἡ ὕλη. συμβαίνει οὖν ὅσον
10 ἐκ τῶν λόγων τούτων ἢ ἀμφότερα εἶναι φύσιν, καὶ τὸ εἶδος καὶ τὴν ὕλην,
ἢ μηδὲ ἕτερον· ὥστε ἢ καὶ ἡμῖν συγχωρησάτωσαν τὸ εἶδος φύσιν δεικνύ-
ουσιν, ἢ μηδὲ αὐτοὶ τὴν ὕλην φύσιν λεγέτωσαν· διὰ τῶν αὐτῶν γὰρ ἀμφο-
τέροις ἡ ἐπιχείρησις. ἀμφότερα μὲν οὖν φύσιν λέγειν ἀδύνατον· οὐ γὰρ
δὴ ἐπ' ἄλλων μὲν ἡ ὕλη φύσις ἂν εἴη, ἐπ' ἄλλων δὲ τὸ εἶδος· δεῖ γὰρ 25
15 καθ' ἓν καὶ τὸ αὐτὸ ἐπὶ πάντων εἶναι τὴν φύσιν· τίς γὰρ ἡ ἀποκλήρωσις
τούτοις μὲν τὴν ὕλην φύσιν εἶναι, ἄλλοις δὲ τὸ εἶδος; ἔοικεν οὖν ὅσον ἐπὶ
τούτοις μηδέτερον εἶναι φύσις· οὔτε γὰρ ἄμφω δυνατὸν διὰ τὰ νῦν εἰρη-
μένα, οὔτε θάτερον μόνον διὰ τὴν ἐπιχείρησιν· ὅσον γὰρ ἐπ' αὐτῇ, ἀμφό-
τερα ἔσται, τοῦτο δὲ ἀδύνατον· οὐδὲν ἄρα τούτων φύσις. ἀλλ' ἡμεῖς φαμεν
20 ὅτι τῷ ὄντι οὐκ ἔστι φύσις τὸ τεχνητὸν εἶδος, καὶ διὰ τοῦτο, ἐπεὶ μὴ φύσις
ἐστίν, οὐδὲ γίνεται ἐκ τῆς κλίνης κλίνη, τὸ μέντοι ξύλον εἶδος ὂν φυσικὸν 30
καὶ οὐχ ὕλη εἰκότως ξύλον ποιεῖ· ὥστε εἰ ἐκ τούτου στοχάζονται ὅτι ἡ
ὕλη φύσις, ἐκ τοῦ τὸ γινόμενον μὴ τὸ εἶδος εἶναι ἀλλὰ τὴν ὕλην, ὡς ἐπὶ
τῶν τεχνητῶν ἔχει, ἐπειδὴ δέδεικται καὶ ἡμῖν ὅτι τὸ εἶδός ἐστι τὸ γινό-
25 μενον ἐξ εἴδους (εἶδος γὰρ ὁ ἄνθρωπος καὶ ὁ ἵππος καὶ οἱ καρποὶ πάντες,
γίνεται δὲ ἄνθρωπος ἐξ ἀνθρώπου καὶ σῖτος ἐκ σίτου καὶ ἐπὶ τῶν λοιπῶν
ὁμοίως), τὸ εἶδος ἂν εἴη φύσις καὶ οὐχ ἡ ὕλη· τοῦτο γάρ ἐστι τὸ γεν-
νητικὸν καὶ τὸ γεννώμενον. ὥστε τοῦτο μόνον ἂν εἴη φύσις καὶ ἐξ ὧν 35
ἐκεῖνοι κατασκευάζειν ἐπεχείρησαν, ὅτι ἡ ὕλη φύσις· διὰ τοῦτο γὰρ καὶ ἡ
30 κλίνη οὐ γεννᾷ κλίνην ἀλλὰ ξύλον, ἐπειδὴ ἡ μὲν κλίνη οὐκ ἔστι φυσικὸν εἶδος
ἀλλὰ τεχνητόν, τὸ δὲ ξύλον τῆς μὲν κλίνης ὕλη ἐστὶν ὡς τεχνητή, αὐτὸ δὲ
καθ' αὑτὸ φυσικόν ἐστιν εἶδος, ὥσπερ ἄνθρωπος καὶ σῖτος καὶ τὰ λοιπά.

Τρίτον τῆς φύσεώς ἐστι σημαινόμενον τὸ ἐπὶ τῆς γενέσεως καὶ τῆς

---

1 post δειχθήσεται distinguit t 2 ἐκ om. L ἦν L: ἦν K: ἐστιν ἡ Mt
4 φασιν LK: φατὲ fort. recte Mt γίνεται] γὰρ K ἔστι om. superscr. K
6 ἀλλ' ἦν LM: ἀλλὰ ἡ K: ἀλλ' ἡ t 7 ἐστὶ M ἐπειδὴ καὶ αὐτὸ ἐξ K ἐστι (post ἄνθρωπος) om. Mt 8 ἡ τοῦ ἀνθρώπου ἡ ὕλη K post ὅτι ras. (ut videtur, bis scripserat ὅτι) K 10 φύσις K 11 ἢ (post ὥστε) K: om. LMt 12 αὐτοὶ φύσιν τὴν ὕλην L 14 δὴ φύσις ἂν εἴη ἐπ' ἄλλων ἡ ὕλη (om. μὲν) L 15 καθ' ἓν LK: ἓν (om. καθ') Mt αὐτὸ om. K 17 φύσις LK: φύσιν Mt 19 ἄρα] γὰρ K
20 ἐπειδὴ L 21 ἐκ] ἐπὶ K 22 στοχάζονται t: στοχάζεται (Antiphon?) LKM at cf. v. 29 et ad p. 209,33 23 τοῦ τὸ] τοῦτο K 24 ἔχειν K 25 γὰρ καὶ ὁ Mt πάντες compend. K: πάντων LMt 26 δὲ] εἰ K ἐπὶ om. K 27 εἴη φύσις K: εἴη ἡ φύσις LMt

www.libtool.com.cn

ὁδοῦ τῆς ἐπὶ τὸ εἶδος (τὴν γὰρ βλάστην καὶ ἔκφυσιν τῶν καρπῶν φύσιν f 2v
καλεῖν εἰώθαμεν), ἐξ οὗ πάλιν δείκνυται, ὅτι τὸ εἶδός ἐστι φύσις, οὐχ ἡ
ὕλη. πᾶσα γὰρ γένεσις παρωνύμως ἀπὸ τοῦ εἴδους ἐφ' ὃ κινεῖται τὴν
ἐπωνυμίαν ἔχει· λεύκανσιν γὰρ λέγομεν τὴν ἐπὶ λευκότητα ὁδόν, ἐκ τοῦ
5 τέλους ἐφ' ὃ ἡ κίνησις ὀνομάζοντες τὴν ὁδόν, καὶ οὐκ ἐξ οὗ κεκίνηται
μέλανσιν. ὁμοίως δὲ καὶ τὴν ἐπὶ θερμότητα ὁδὸν θέρμανσιν. καὶ ἐπὶ τῆς
γενέσεως οὖν τῶν φυτῶν ἀπὸ τοῦ τέλους ἡ γένεσις κληθήσεται. ἐπεὶ οὖν
ἐπὶ φύσιν σπεύδει, οὐκ ἠδυνήθη δὲ παρωνύμως ὠνομάσθαι φύσανσις διὰ
τὴν κακοφωνίαν, ὁμωνύμως τῷ τέλει φύσις ἐκλήθη. δῆλον οὖν καὶ ἐντεῦ-
10 θεν, ὅτι τὸ εἶδος φύσις· εἰ γὰρ ἐπὶ εἶδος κινεῖται, αἱ δὲ κινήσεις ἐκ τῶν
τελῶν καλοῦνται, καλεῖται δ' ἡ κίνησις αὕτη φύσις, δῆλον ὅτι ἐπειδὴ εἰς
φύσιν ὁδεύει, ὁδεύει δὲ ἐπὶ εἶδος, τὸ εἶδος ἄρα φύσις. καθόλου γάρ, ὡς
εἶπον, πᾶν τὸ γινόμενον τοῦτο καλεῖται ἐφ' ὃ τὴν γένεσιν ἔχει, καὶ οὐκ
ἀφ' οὗ· βάθρον γὰρ λέγεται ὑπὸ τοῦ τέκτονος γενέσθαι καὶ οὐ ξύλον,
15 ὅταν σχηματίζηται εἰς βάθρον, καὶ ὅταν τὸ ὕδωρ μεταβάλλῃ εἰς ἀέρα, ἀέρα
φαμὲν γίνεσθαι καὶ οὐχ ὕδωρ, καὶ ἐξαέρωσιν τὸ τοιοῦτον παρωνύμως λέ-
γομεν. οὕτως οὖν εἰ τὴν τῶν φυτῶν γένεσιν φύσιν φαμέν, δῆλον δήπου
ὅτι τὸ εἶδος φύσις ἐστίν, εἴ γε ἐκ τοῦ τέλους πᾶσαι αἱ γενέσεις προσα-
γορεύονται.

20 Τριχῶς οὖν τῆς φύσεως λεγομένης, τῆς μὲν πρώτης καὶ κυριώτατα
τοῦ εἴδους, κατὰ δεύτερον δὲ λόγον τῆς ὕλης, καὶ τρίτον τῆς γενέσεως τῆς
ἐπὶ τὸ εἶδος, δυνατὸν οὖν ἐπὶ ἑκάστου τούτων τὸν ὁρισμὸν τῆς φύσεως
ἀποδοῦναι. ἔστι γὰρ καὶ ἡ ὕλη ἀρχὴ κινήσεως καὶ ἠρεμίας τὸν τρόπον
τοῦτον. τοῦ γὰρ εἴδους ἀδιαιρέτου ὄντος κατὰ τὸν ἑαυτοῦ λόγον ἡ ὕλη
25 διαιρέσεως αὐτῷ καὶ διαστάσεως αἰτία γίνεται, ἡ δὲ | διάστασις κίνησίς f 3r
ἐστιν, ἐπειδὴ δὲ διίστησι μὲν τὸ εἶδος, οὐκ ἐπ' ἄπειρον δὲ διίστησιν ἀλλὰ
μέχρι τινός, διὰ τοῦτο καὶ στάσεώς ἐστιν ἀρχή. καὶ τὸ εἶδος δὲ ἀρχή ἐστι
κινήσεως καὶ ἠρεμίας. ἐπεὶ γὰρ οὐ πάντα τὰς αὐτὰς κινεῖται κινήσεις,
ἀλλὰ ἄλλα ἄλλας (τὰ μὲν γὰρ πάσας κινεῖται τὰ δέ τινας, καὶ τὰ μὲν
30 ταύτας τὰ δὲ ἄλλας), τούτου δὲ οὐχ ἡ ὕλη αἰτία (κοινὴ γὰρ πάντων ἡ
ὕλη), εὔδηλον δήπου ὅτι τῆς διαφορᾶς τῶν κινήσεων τὸ εἶδός ἐστιν αἴτιον.
εἰ δὲ κινήσεως αἴτιον τὸ εἶδος, καὶ στάσεως δηλονότι· οὐκ ἔστι γὰρ κίνη-
σις ἄπειρος μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ. καὶ ἡ ὁδός δ' ἡ ἐπὶ τὸ εἶδος
δύναται λέγεσθαι ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἀρχὴ δ' οὐχ ὡς αἰτία

---

1 ἔκφυνσιν M cf. ad p. 216,30 3 ἐφῷ K 5 ἡ om. L ὀνομάζοντο K κεκίνησται t 6 τὴν om. L θέρμασιν K 7 φυτῶν] φυσικῶν L ἡ γένε (sic) K 8 ὠνόμασθαι (sic) K φύσανσιν L 9 καὶ om. L 10 κινεῖται LK: κινοῦνται Mt 12 ἐπὶ τὸ εἶδος L ἄρα] γὰρ K 13 πᾶν τὸ γινόμενον κτλ.] cf. Themist. p. 163,29 sqq. τοῦτό καλεῖ· τὸ ἐφ' K 17. 18 οὕτως — εἴ γε om. L 17 οὕτω Mt 21 τῆς τε ὕλης (om. καὶ) α' τῆς γενέσεως K 22 οὖν om. fortasse recte K ἐπὶ ἑκάστου τοῦτον (om. τὸν) ὁρισμὸν L 23 ἡ om. superscr. M 26 ἐπειδὴ δὲ ἔστι μὲν K δὲ (post ἐπειδὴ) om. L 29 ἄλλα] ἀλλὰ K τὰ μὲν (ante γὰρ) K: τὸ μὲν LMt 30 ταῦτα K τοῦτο L γάρ ἐστι L 31 εἰ δῆλον K δὲ δήπου L τὸ om. K 32 οὐκ ἔτι στιν γὰρ (sic) K 34 οὐχ ὡς] ὡς οὐκ L

www.libtool.com.cn

κινήσεως (αὐτὸ γὰρ κίνησίς ἐστιν), ἀλλὰ κατὰ μέρη, ὡς ἔχουσα ἐν ἑαυτῇ f 3r
καὶ τὸ πρῶτον τῆς κινήσεως μόριον, αὐτὴν λέγω τὴν πρώτην βλάστην, καὶ
τὸ τέλος τῆς κινήσεως, ἐν ᾗ τὸ φυτὸν ἀπολαβὸν τὸ τέλειον ἑαυτοῦ εἶδος
ἠρέμησε λοιπὸν καὶ οὐκέτι ὡς γινόμενον ἐκινήθη.

Δοκεῖ δὲ ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι
τὸ πρῶτον ἐνυπάρχον ἀρρύθμιστον καθ' αὑτό, τουτέστιν ἡ ὕλη·
τοῦτο γάρ ἐστι τὸ κατὰ τὸν ἑαυτοῦ λόγον ἀρρύθμιστον. ἡ γὰρ ὑποκειμένη
ἑκάστῳ ὕλη, κἂν προσεχὴς ᾖ καὶ εἰδοποιημένη, ἀλλ' οὖν ἀρρύθμιστός
ἐστιν, ὡς πρὸς τὸ ἐπιγινόμενον εἶδος, οἷον τὰ ξύλα ὡς πρὸς τὸ τοῦ ἀβα-
κίου καὶ τὸ τῆς κλίνης ἀρρύθμιστόν ἐστιν. ζητῆσαι δ' ἄξιον πῶς ἀνωτέρω
εἰπὼν ὅτι φύσιν ἔχειν ἐκεῖνα λέγεται "ὅσα τοιαύτην ἀρχὴν ἔχει, καὶ εἰσὶ
ταῦτα πάντα οὐσίαι" (διὰ γὰρ τούτων οὐσίας μὲν δηλονότι τὰ τῇ φύσει
ὑποκείμενα εἶναι λέγει, τὴν δὲ φύσιν οὐκ οὐσίαν, ἀλλ' ἐν ὑποκειμένῳ τῇ
οὐσίᾳ τὸ εἶναι ἔχειν), νῦν φησι δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν
φύσει ὄντων, ὡς εἰς ταὐτὸν ἄγων τῇ φύσει τὴν οὐσίαν. λέγω οὖν ὅτι
ἄνω μὲν οὐσίαν ἐκάλει αὐτὸ τὸ αὐθυπόστατον σῶμα, νῦν δὲ τὸ εἶδος καθ'
ὃ ἑκάστη τῶν μερικῶν οὐσιῶν τὸ εἶναι ἔχει· τὸ γὰρ εἶναι ὕδατι οὐ καθό
ἐστι σῶμα ὑπάρχει, ἀλλὰ καθὸ τοιάνδε ἰδέαν ἤγουν φύσιν ἔχει. οἶδε γὰρ
αὐτὸς ὁ Ἀριστοτέλης πολλαχῶς τὸ τῆς οὐσίας ὄνομα· τριττὴν γὰρ εἶναί
φησι τὴν μὲν κατὰ τὴν ὕλην, ὡς εἴ τις λέγοι οὐσίαν κλίνης τὰ ξύλα καὶ
χαλκὸν τοῦ ἀνδριάντος, τὴν δὲ κατ' εἶδος, ὡς ὅταν εἴπωμεν οὐσιῶσθαι τὸ
πῦρ κατὰ τὸ θερμὸν καὶ ξηρόν, ἢ τὸ συναμφότερον, ὡς ὅταν εἴπωμεν σύν-
θετον εἶναι τὴν οὐσίαν τοῦ ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος. ἐνταῦθα
γοῦν τὴν φύσιν οὐσίαν εἶπε τὴν κατὰ τὸ εἶδος, καθ' ἣν ἕκαστον τὸ εἶναι
ἔχει, πρότερον δὲ τὸ αὐθυπόστατον, τουτέστι τὸ σῶμα τὸ ἁπλῶς ὕλης λόγον
ἔχον πρὸς τὰ τῶν στοιχείων εἴδη, ἢ καὶ τὸ εἰδοποιημένον σῶμα καὶ
σύνθετον· ἐν τούτῳ γὰρ ἡ φύσις ἵδρυται.

p. 193a14 Ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην.

Οὔ φησι τὸ σχῆμα εἶναν φύσιν· κατὰ συμβεβηκὸς γὰρ ὑπάρχειν τὸ

---

1 κατὰ τὰ μέρη K: κατὰ μέρος L ἔχουσαν M 2 λέγω τὴν βλάστην τὴν πρώτην Mt 5 ἡ (ante φύσις) om. K 6 τὸ om. K πρώτων ante corr. K ἐνυπάρχον ἑκάστῳ p. 207,16 et Aristoteles ἀρύθμιστον constanter K 8 ἢ LK: ὕλη Mt εἰδιοπεποιημένη et 26 εἰδιοπεποιημένον K 9 ante τοῦ addit εἶδος K
9. 10 ἀκακίου K: ἀββακίου L 10 ἀῤῥύθμιστά t ζητήσει superscr. L² ἀνωτέρω p. 192b32 11 ὅσα] ἃ K 11. 12 εἰσὶν πάντα ταῦτα K at cf. p. 204,14 sq. 13 ἐν ὑποκειμέ L: ἐν ὑποκείμ K 15 εἰς om. superscr. K λέγω* (littera erasa) K
16 ἐκάλλει K 17 ἔχ'' (h. e. ἔχειν) M 18 ἔχει LK: ἔχειν Mt 20 φησι ex gr. Metaph. Z 10 p. 1035a2 vel Λ 3 p. 1070a9 λέγει Mt 24 οὐσίαν om. K ἣν] ἢ K
25 πρότερον K: πρῶτον LMt 26 εἴδη] ἤδη K 27 ἵδρυται M 28. 29 τὴν κατὰ—τέχνην om. K 29 διαίρεσιν M 30 φησι] φύσιν K ὑπάρχον L

www.libtool.com.cn

σχῆμα, καὶ πάθος τι εἶναι τοῦ ὑποκειμένου καὶ τῆς ὕλης γινόμενον καὶ f 3r
ἀπογινόμενον καὶ ἄλλοτε ἄλλο ὑπάρχον, τὴν δ' ὕλην εἶναι τὴν φύσιν διὰ
τὸ διαμένειν ἀεὶ ταῦτα πάσχουσαν καὶ ἄλλοτε ἄλλο σχῆμα καὶ πάθος δε- 30
χομένην. εἰπὼν δὲ ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τί τοῦτο
5 φήσας ἐπήγαγε τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην, τὸ εἶδος
λέγω τῆς κλίνης; ὅτι διατίθεται ὡς ἂν τοῖς τῆς τέχνης νόμοις δοκῇ. γρά-
φεται δὲ καὶ τὴν κατὰ ῥυθμὸν διάθεσιν· κατά τινα γὰρ συμμετρίαν
τῆς τῶν μερῶν πρὸς ἄλληλα ἀναλογίας τὸ εἶδος ἀποτελεῖται τῆς κλίνης.
εἰ δὲ εἴη τὴν κατὰ νόμον, σημαίνει τὴν θέσει καὶ μὴ φύσει διάθεσιν·
10 ὡς γὰρ δοκεῖ τῷ τεχνίτῃ, διατίθησι τῶν τεχνητῶν τὰ σχήματα οὐ φύσει 35
ὄντα, ἀλλ' ἐπινοίᾳ καὶ νόμῳ προαιρέσεως γινόμενα.

p. 193ᵃ17 Εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι τὸ αὐτὸ τοῦτο πέπονθεν.

Ὃ ἄν τις ἠπόρησε πρὸς τοὺς λέγοντας τὴν ὕλην εἶναι τὴν φύσιν, τοῦτο 43
15 καὶ ἀπορεῖ καὶ ἐπιλύεται. εἶπε γὰρ ἄν τις 'εἰ τοῦτό φατε ὕλην τὸ ἐπι-
διαμένον, καὶ διὰ τοῦτο τὰ μὲν ξύλα ὡς ἐπιδιαμένοντα φύσις τὸ δ' εἶδος 45
ὡς φθειρόμενον οὐκέτι, οὐδὲ τὰ ξύλα φύσις ἂν εἴη τῆς κλίνης οὐδ' ὁ
χαλκὸς τοῦ ἀνδριάντος· καὶ γὰρ τὰ ξύλα φθειρόμενα εἰς γῆν τυχὸν ἀνα-
λύεται κἀκεῖνο ἐπιδιαμένει, τὸ δ' εἶδος τοῦ ξύλου ἀφανίζεται, οἷον ἐν τῇ
20 καύσει, καὶ ὑπολιμπάνεται ἡ τέφρα ἥτις γῆ ἐστιν. ὁμοίως καὶ ὁ χαλκὸς
φθειρόμενος εἰς ὕδωρ ἀναλύεται, ἐπεὶ καὶ τηκόμενος ὑγρὸς γίνεται. ὥστε
οὐδ' ὁ χαλκὸς τοῦ ἀνδριάντος ὕλη, οὐδὲ τῆς κλίνης τὰ ξύλα.' φησὶν οὖν
ὅτι τοῦτο ἀληθές ἐστι· τοῦ μὲν γὰρ ἀνδριάντος ἢ τῆς κλίνης ὕλη τὸ ξύλον 50
ἢ ὁ χαλκός, αὐτῶν δὲ πάλιν τούτων ἑτέρα τίς ἐστιν ὕλη. ὥστε τῆς μὲν
25 κλίνης καὶ τοῦ ἀνδριάντος φύσις τὸ ξύλον καὶ ὁ χαλκός, τούτων δ' αὐτῶν
πάλιν ἕτερόν τί ἐστι φύσις· διό, φησί, τῶν φυσικῶν οἱ μὲν τὴν γῆν
ἐνόμισαν εἶναι φύσιν τῶν ὄντων, οἱ δὲ τὸ ὕδωρ, οἱ δὲ ἄλλο τι τῶν
στοιχείων ἢ ἓν ἢ πλείονα, ὅπερ ἄν τις ὡς ὕλην ὑποκεῖσθαι τοῖς γινομένοις
ἐνόμισε. |

---

1. 2 γινόμενον καὶ ἀπογινόμ K: γινομένης καὶ ἀπογινομένης LMt 2 ἄλλο ὑπάρχον LK: ἄλλω ὑπάρχειν Mt 3 πάσχουσαν K: πασχούσης LMt 3. 4 δεχομένην K: δεχομένα L: δεχομένης Mt 5 φήσας t: φησὶν LM: φ K ἐπίγαγε K 6 λέγων Brandis *Scholl.* p. 346ᵇ43 ὡς ἅτοῖς et δοκεῖ K 8 μερῶν LK: μελῶν Mt 12 ταυτὸ (K)t 14 Ὃ om. (rubr. addend.) K 15. 16 τὸ διαμένον et διαμένοντα L 17 οὐκέτι LK: οὐκ ἔστιν Mt 19 διαμένει L 22 οὖν om. L 24 ἑτέρα KM: ἕτερα (L)t 25 τὸ ξύλον καὶ ὁ χαλκός in ras. K post χαλκός iterant αὐτῶν δὲ τούτων (sic) πάλιν ἑτέρα (sic ut videtur M: ἕτερά t) τις ἐστιν ὕλη· ὥστε τῆς μὲν κλίνης — χαλκός Mt τούτων in ras. K 26 διό K: διότι LMt 28 τῶν (sic) γινομένοις compendiose K

www.libtool.com.cn

p. 193a26 Καὶ τούτων μὲν ὁτιοῦν ἀίδιον· οὐ γὰρ εἶναι μεταβολὴν f3v
αὐτοῖς ἐξ αὐτῶν.

Ὅπερ ἄν τις ἐνόμισεν ὑποκεῖσθαι ὡς ὕλην τοῖς ἄλλοις, τοῦτο καὶ ἀίδιον εἶναι ὑπέθετο ἐξ ἀνάγκης· δεῖ γὰρ τὴν πρώτην ἀρχὴν ἀίδιον εἶναι καὶ ἀμετάβλητον, τὰ δὲ ἄλλα πάντα τὰ ἐκ ταύτης γενητὰ εἶναι καὶ φθαρτά. καὶ οἱ πλείους δὲ τὰς ὑλικὰς ἀρχὰς ὑποτιθέμενοι, ἀιδίους καὶ αὐτοὶ ταύτας ὑπέθεντο· καὶ μεταβάλλειν μὲν καὶ τὰ πάθη καὶ τὰς διαθέσεις εἰς τὰ ἐξ αὐτῶν συγκείμενα, αὐτὰ μέντοι ἀμετάβλητα εἶναι εἰς ἄλληλα. οὐδὲν γὰρ τῶν τεσσάρων στοιχείων Ἐμπεδοκλῆς, ἅπερ πρώτας ἀρχὰς ὑπετίθετο, μεταβάλλειν ἔλεγεν εἰς ἄλληλα· ἀμετάβλητα γὰρ εἶναι.

p. 193a28 Ἕνα μὲν οὖν τρόπον ἡ φύσις οὕτω λέγεται, ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς.

Συμπεραίνεται τὰ εἰρημένα, ὅτι καθ' ἕνα τρόπον φύσις λέγεται εἶναι ἡ πρώτη ἑκάστῳ τῶν φυσικῶν ὑποκειμένη ὕλη. τὸ γὰρ τῶν ἐχόντων ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς σημαίνει τῶν φυσικῶν· ταῦτα γάρ ἐστι τὰ ἔχοντα ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς. τίθησι δὲ ἐφεξῆς καὶ τὸ δεύτερον σημαινόμενον, τὸ κατὰ τὸ εἶδος, ὅπερ καὶ κυρίως ἐστὶ φύσις.

p. 193a31 Ὥσπερ γὰρ τέχνη λέγεται τὸ κατὰ τέχνην καὶ τὸ τεχνητόν.

Τὸ πρῶτον ἐπιχείρημα, ὅτι ὥσπερ ἐπὶ τῶν τεχνητῶν τότε λέγεται ἕκαστον ἀπολαβεῖν τὴν ἑαυτοῦ τέχνην, ὅταν ἀπολάβῃ τὸ τεχνητὸν εἶδος, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν τότε ἔχει ἕκαστον τὴν ἑαυτοῦ φύσιν, ὅταν ἀπολάβῃ τὸ φυσικὸν εἶδος· οὐ γὰρ τὰ ξύλα τὰ ἀρρύθμιστα καὶ ὁ χαλκός, ἐπειδὴ δυνάμει πλοῖόν εἰσιν ἢ ἀνδριάς, ἔχει πω τὸ τοῦ ἀνδριάντος ἢ τὸ

---

1 τούτω K ὁτιοῦν εἶναι ἀίδιον t Aristoteles (praeter pr. E) 1. 2 οὐ γὰρ — αὐτῶν om. K 2 ἐξ αὐτῶν t: ἐξ αὐτῶν L: om. M 3 Ὅπερ] ·ᾱπερ (litt. rubr. addend., ut saepe) K 4 ὑπετίθετο L 6 ὑποτιθέμενοι LM: ὑποθέμενοι Kt 7 ὑπέθετο K καὶ (post μὲν) Mt: κατὰ LK εἰς om. K 9 Ἐμπεδοκλῆς] cf. Zeller I⁴ p. 694,3 10 ἔλεγεν· εἰς ἄλληλα γὰρ ἀμετάβλητα εἶναι t 11 μὲν οὖν Kt: οὖν (om. μὲν) LM 11. 13 ἡ φύσις — μεταβολῆς om. K 11 οὕτως ἡ φύσις Aristotelis cod. E 12 αὐτοῖς] αὐτοῖς LM: ἑαυτοῖς t 16 αὐτοῖς] αὐτοῖς LK: ἑαυτοῖς Mt 17 αὐτοῖς t: αὐτοῖς LKM 18 σημαίνον L τὸ (ante εἶδος) om. K 20. 21 τὸ κατὰ — τεχνητόν om. K 20 τὴν τέχνην Arist. cod. E 21 τεχνητόν LM: τεχνικὸν recte ex Arist. t 22 λέγεται iterat M 23 ἑαυτῶν LM 24 post καὶ tres litterae erasae K 25 alterum τὰ om. L 26 πλοῖον LKM: κλίνη emendavit t

www.libtool.com.cn

τῆς κλίνης εἶδος, ἀλλὰ τὸ σχῆμα καὶ ἡ μορφή· τοῦτο γάρ ἐστι τὸ κατὰ f 3ᵛ τέχνην γενόμενον. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν ἔχει· οὐ γὰρ τὸ δυνάμει σὰρξ τοῦτο ἔχει τὴν φύσιν τῆς σαρκός, ἀλλὰ τὸ ἐνεργείᾳ γενόμενον σάρξ, εἰ δὲ ἅμα τῷ τὸ εἶδος λαβεῖν καὶ τὴν ἑαυτοῦ φύσιν ἕκαστον λαμβάνει, τὸ εἶδος ἂν εἴη σάρξ. πρὶν ἂν λάβῃ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. ἐπειδὴ λέγομεν εἶδος τὸ ἐπὶ τῆς μορφῆς, καθ' ὃ δυσειδεῖς ἢ εὐειδεῖς τινάς φαμεν, διὰ τοῦτο προσέθηκε τὸ κατὰ τὸν λόγον, καθ' ὃν ὁριζόμενοι ἀποδιδόαμεν τὸ τί ἐστιν ἕκαστον. ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωριστὸν ὂν ἀλλ' ἢ κατὰ τὸν λόγον. τοῦτο τὸ εἶδος, φησίν, ὅπερ φαμὲν φύσιν εἶναι, οὔ φαμεν χωριστὸν τῇ ὑποστάσει εἶναι, ἀλλὰ μόνον τῷ ὁριστικῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ. τὸ δὲ ἐκ τούτων φύσις μὲν οὐκ ἔστι, φύσει δέ, οἷον ἄνθρωπος. τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον οὐκέτι λέγεται φύσις, ὥσπερ ἑκάτερον τῶν ἁπλῶν, ἀλλὰ φύσει.

p. 193ᵇ6 Καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης· ἕκαστον γὰρ τότε λέγεται ὅταν ἐντελεχείᾳ ᾖ, μᾶλλον ἢ ὅταν δυνάμει.

Τὸ δεύτερον ἐπιχείρημα. ἕκαστον τότε λέγεται εἶναι, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος· ἕκαστον τότε λέγεται εἶναι, ὅταν ἀπολάβῃ τὴν ἑαυτοῦ φύσιν· τὸ ἀπειληφὸς ἄρα τὸ ἑαυτοῦ εἶδος ἀπείληφε τὴν ἑαυτοῦ φύσιν. ἔστι δὲ τὸ ῥητὸν τοῦτο πρὸς τὸ ἀνωτέρω συνεχές· εἰπὼν γὰρ ὅτι 'ἡ μορφὴ καὶ τὸ εἶδος φύσις', ἐπήγαγε καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης, τουτέστιν ἡ μορφή. τὰ δὲ ἄλλα διὰ μέσου "τὸ δὲ ἐκ τούτων φύσις μὲν οὐκ ἔστι, φύσει δέ, οἷον ἄνθρωπος".

p. 193ᵇ8 Ἔτι γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου, ἀλλ' οὐ κλίνη ἐκ κλίνης.

Τὸ τρίτον ἐπιχείρημα. δι' ὧν κατεσκεύασαν αὐτοὶ ὅτι ἡ ὕλη φύσις, διὰ τούτων αὐτὸς κατασκευάζει ὅτι μᾶλλον τὸ εἶδος ἢ ἡ ὕλη, ὥσπερ εἰρήκαμεν. ἔτι ἡ φύσις ἡ λεγομένη ὡς γένεσις ὁδός ἐστιν εἰς φύσιν.

---

1. 8 ἀλλὰ — ἕκαστον] cf. Themist. p. 162,14 sqq. 2 τὴν τέχνην K γινόμενον L 3 ἔχει prius om. Mt 4 τῷ Mt: μὲν τῷ L: om. K 5 σάρξ] φύσις Themistius 7 τινὰς ἢ εὐειδεῖς φαμεν L προστέθεικε Mt 8 ἑκάστου K ἡ μορφὴ] praeponit Aristotelea ὥστε — ἀρχὴν t 9. 14 οὐ χωριστὸν — φύσει om. K 9 τὸν om. M 10 χωριστὸν L: τὸ χωριστὸν Mt at cf. Themist. p. 163,3 12 μὲν] φαμὲν L ὁ ἄνθρωπος L cf. ad v. 23 15. 16 Καὶ μᾶλλον—λέγεται et μᾶλλον ἢ ὅταν δυνάμει om. K 17 ἕκαστον γὰρ Mt 19 ἄρα] γὰρ K 20 πρὸς τῷ L ἀνότερον K συνεχές K: προσεχές LMt: an συνεχές, ⟨οὐ πρὸς τὸ προσεχές⟩ cl. p. 49,14. h 5ʳ18? 21 αὐτὴ K: αὐτὴ L 23 ἄνθρωπος K: ὁ ἄνθρωπος LMt 24. 25 ἀλλ' οὐ κλίνη ἐκ κλίνης om. K 26. 28 τὸ τρίτον — εἰς φύσιν om. K 26 δι' ὧν L: δι' ὧν γὰρ Mt 27 ἡ L: om. Mt 28 ἔτι δ' ἡ Aristoteles

www.libtool.com.cn

ὅτι καὶ ἐκ τοῦ τρίτου σημαινομένου τῆς φύσεως, τοῦ ἐπὶ τῆς ἐκφύσεως, f 3v
δείκνυται μᾶλλον κυριώτερον τὸ εἶδος φύσις ὂν ἢ ἡ ὕλη.

p. 193b13 Οὐ γὰρ ὥσπερ ἡ ἰάτρευσις λέγεται οὐκ εἰς ἰατρικὴν ὁδός, ἀλλ' εἰς ὑγείαν.

Οὐχ ὥσπερ, φησίν, ἡ ἰάτρευσις ὁδὸς μέν ἐστιν εἰς ὑγείαν, καλεῖται 50
δὲ οὐκ ἀπὸ τοῦ τέλους ἀλλ' ἀπὸ τοῦ ποιοῦντος τῆς ἰατρικῆς, οὕτω καὶ
ἐπὶ τῆς γενέσεως τῆς ἐπὶ τὸ εἶδος ἔχει, ἀλλ' ὥσπερ ἡ ὑγίανσις ἐκ τοῦ
τέλους ὀνομάζεται, οὕτω δὲ καὶ ἡ φύσις ἀπὸ τοῦ εἰς φύσιν ἄγειν ὠνο-
μάσθη. ἄγει δὲ εἰς εἶδος· τὸ εἶδος ἄρα φύσις. ἀλλ' οὐδὲ τὸ τὴν ὑγίαν-
σιν καλεῖσθαι καὶ ἀπὸ τοῦ ποιοῦντος ἰάτρευσιν ἐναντίον τι ἔχει τοῖς παρ'
αὐτοῦ λεγομένοις, ἁρμόζει δὲ μᾶλλον· ἐπὶ μὲν γὰρ τῶν κατὰ τέχνην,
ἐπειδὴ ἄλλο ἐστὶ τὸ | ἀποτελοῦν καὶ ἄλλο τὸ ἀποτελούμενον, εἰκότως f 4r
ἐξ ἑκατέρου ἐκλήθη ἡ γένεσις καὶ ἡ ὁδὸς ἡ ἐπὶ τὸ εἶδος (οἷον ἡ ἐπὶ
ὑγείαν ὁδὸς καὶ ἀπὸ τοῦ ποιοῦντος ἰάτρευσις καὶ ἀπὸ τοῦ τέλους ὑγίανσις),
ἐπὶ δὲ τῶν φυσικῶν πραγμάτων, ἐπειδὴ ταὐτόν ἐστιν ὡς ἐπὶ τὸ πολὺ
τὸ ποιοῦν τῷ γινομένῳ (ὡς καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ 'πολλάκις τὸ ποιητικὸν
καὶ τὸ εἰδικὸν καὶ τὸ τελικὸν εἰς ταὐτὸν ἔρχεται· ἄνθρωπος γὰρ ἄνθρωπον
γεννᾷ'), εἰκότως μίαν ἔσχεν τὴν ἐπωνυμίαν ἡ γένεσις. εἴτε οὖν ἐκ τοῦ ποιοῦν- 5
τος ἐκλήθη εἴτε ἐκ τοῦ γινομένου, ἐπειδὴ ταὐτὸν τὸ ποιοῦν τῷ γινομένῳ,
πλὴν τῶν ἐκ σήψεως καὶ ὅσα ἐπινοίᾳ ἀνθρώπων νοθεύεται, ὡς ἐπὶ ἡμιό-
νων ἔχει (καὶ τούτων δὲ τοῖς ποιοῦσι ταὐτόν πως τὸ γινόμενον), οὐδὲν
ἧττον δείκνυται ὅτι ἐπὶ τοῦ εἴδους φέρεται μᾶλλον τὸ ὄνομα ἢ ἐπὶ τῆς ὕλης.

p. 193b15 Ἀνάγκη μὲν γὰρ ἀπὸ ἰατρικῆς οὐκ εἰς ἰατρικὴν εἶναι τὴν ἰάτρευσιν.

Ὃ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ αἱ γενέσεις καὶ αἱ ὁδοὶ καὶ ἀπὸ τῶν 11
τελῶν καλοῦνται καὶ ἀπὸ τῶν ἀφ' οὗ γίνονται ὡς ποιητικοῦ αἰτίου, τὴν
μὲν ἰάτρευσιν ἀπὸ ἰατρικῆς φαμεν ὁδόν, οὐκ εἰς ἰατρικήν· οὐ γὰρ τὴν
ἐπὶ τὴν ἀρχὴν ὁδὸν σημαίνει, ἀλλὰ τὴν ἀπὸ τῆς ἀρχῆς· ὥστε καὶ ἡ
ἰάτρευσις τὴν ἀπό τινος μὲν ἐπί τι ὁδὸν σημαίνει καλουμένην ἀπὸ τοῦ ἀφ'
οὗ, ὥσπερ καὶ ἡ φύσις. ἀλλ' οὐχ οὕτως ἡ φύσις, λέγω δὴ τὴν ἔκφυσιν· 15

---

1 ἐκ (cf. p. 211,2) K: ἐπὶ LMt τοῦ ἐπὶ] τὸ ἐπὶ K 2 ἢ om. L 3 ἡ om. M
3. 4 οὐκ — ὑγείαν om. K 4 ὁδὸν L ὑγίειαν Aristoteles 5 ὑγιείαν (sic) K
8. 9 ὠνομάσθη] ὠνομάσθαι L 9 εἰς τὸ εἶδος t ἄρα] γὰρ K τὸ (ante τὴν) K: om. LMt 10 τι ἔχει L: τι ἔχειν K: ἔχει (om. τι) M: ἐστὶ t 12 ἀποτελοῦν] ἀποτελούμενον ante corr. M 13 ἡ (post οἷον) om. L 16 ἐφεξῆς] cf. c. 7 p. 198a24 sqq. ἐρεῖ ἐφεξῆς Mt 17 τὸ ἰδικὸν (sic) K: εἰδικὸν (om. τὸ) LMt 18 ἔσχεν K: ἔχε (sic) M: ἔχει (L)t 20 ἐπινοίᾳ LK: ἐπίνοια Mt 23. 24 οὐκ — ἰάτρευσιν om. K
23 οὐκ ἂν εἰς L 25 Ὃ om. (rubr. addend.) K 25. 26 καλοῦνται bis exhibent (post ὁδοὶ et post τελῶν) LK 27 μὲν] μὲν γὰρ L 28 ὁδὸν iterat initio versus L
30 et p. 217,4 ἔκφυνσιν M cf. ad p. 211,1

www.libtool.com.cn

καὶ αὐτὴ γὰρ ὁδὸς οὖσα ἀπό τινος εἴς τι, οὐκ ἐκ τοῦ ἀφ' οὗ ἔσχε τὴν f 4r
ἐπωνυμίαν, ἀλλ' ἐκ τοῦ εἰς ὅ. οὐχ οὕτως δ' ἡ φύσις ἔχει πρὸς τὴν φύσιν. οὐχ ὥσπερ ἡ ἰάτρευσις ἔχει πρὸς τὴν ἰατρικήν, οὕτως ἡ φύσις, λέγω δὴ τὴν ἔκφυσιν, πρὸς τὴν φύσιν· ἡ μὲν γὰρ ἰάτρευσις οὐ τὴν ἐπὶ ἰατρικήν, ἀλλὰ τὴν ἀπὸ ἰατρικῆς σημαίνει ὁδόν, ἡ μέντοι φύσις οὐ τὴν ἀπὸ φύσεως, ἀλλὰ τὴν ἐπὶ φύσιν σημαίνει ὁδόν.

p. 193ᵇ16 Ἀλλὰ τὸ φυόμενον ἔκ τινος εἴς τι ἔρχεται ᾗ φύεται· εἰς τί οὖν φύεται;

Τὸ ᾗ δύναται καὶ παραδιαζευκτικὸς εἶναι, ἵνα ᾗ οὕτω 'τὸ γινόμενον 21
ἔκ τινος εἴς τι ἔρχεται ἤγουν φύεται' (ταὐτὸν γὰρ ἀμφότερα), δύναται δὲ καὶ ἐπίρρημα εἶναι προσγραφομένου τοῦ ῑ ἀντὶ τοῦ καθὸ φύεται· καθὸ γὰρ φύεται, εἴς τι ἔρχεται. εἰς τί οὖν φύεται; φησίν, οὐχὶ εἰς τὸ ἐξ οὗ, τουτέστιν εἰς τὴν ὕλην, ἀλλ' εἰς τὸ εἰς ὅ, τουτέστι τὸ εἶδος. εἰ τοίνυν καθὸ φύεται εἰς εἶδος ἔρχεται, ἔοικεν ἐκ τοῦ τέλους οὕτως ὠνομάσθαι, ὥσπερ ἡ ὑγίανσις καὶ ἡ λεύκανσις· εἰ δὲ τοῦτο, τὸ εἶδος ἄρα φύσις ἂν 25
εἴη, ὥσπερ οὖν καὶ τὸ τῆς ὑγιάνσεως τέλος ὑγεία καὶ τὸ τῆς λευκάνσεως λευκότης.

p. 193ᵇ18 Ἡ δὲ μορφὴ καὶ ἡ φύσις διχῶς λέγεται· καὶ γὰρ ἡ στέρησις εἶδός πώς ἐστιν.

Δείξας ὅτι τὸ εἶδος μᾶλλον φύσις, βούλεται εἰπεῖν ποσαχῶς τὸ εἶδος λέγεται, καί φησιν ὅτι διχῶς· λέγεται γὰρ πάλιν πως, φησί, καὶ ἡ στέρησις εἶδος, ἤτοι στέρησιν λέγων τὸ χεῖρον τῶν ἐναντίων (πολλαχοῦ γὰρ καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ τὸ μὲν κρεῖττον τῶν ἐναντίων εἶδος καλεῖ, 30
τὸ δὲ χεῖρον στέρησιν· διὸ καὶ τὴν ἐκ μέλανος μὲν εἰς λευκὸν μεταβολὴν ἁπλῶς γένεσιν καλεῖ τινὰ δὲ φθοράν, τὴν δ' ἐκ λευκοῦ εἰς μέλαν ἁπλῶς μὲν φθορὰν τινὰ δὲ γένεσιν), ᾗ οὖν τοῦτό φησιν, ᾗ καὶ τὴν κυρίως στέρησιν εἶδος καὶ μορφὴν ἐκάλεσε διὰ τὸ διάθεσιν εἶναί τινα τοῦ ὑποκειμένου. εἰ μὲν γὰρ μὴ πάντα τὰ ὄντα εἴδη ἐστὶν ἀλλ' ἔστι τινὰ καὶ ἀνείδεα, δῆλον ὅτι οὐκ εἶδος ἡ στέρησις, εἰ δὲ πᾶν τὸ ὁπωσοῦν ὂν εἶδος καλοῦμεν

---

1 αὐτὴ LM: αὕτη K: αὕτη t 2 οὕτω Mt δὲ ἡ K 2. 3 πρὸς τὴν φύσιν om. K 3 ὥσπερ] ὡς L οὕτω LK 4 ἰάτρευσις Mt: ἰατρικὴ LK 5 ἰατρικῆς ὁδὸν σημαίνει Mt 6 ἐπὶ LK: ἐπὶ τὴν Mt φύσιν] φύσει K 7 φυόμενος L 7. 8 ἔκ τινος—οὖν φύεται om. K 7 ᾗ] ἡ L: ἤγουν M: ᾗ t 8 εἰς τί οὖν φύεται om. M εἰς τί] εἴς τι (L)t 9 ᾗ Lt: ἡ KM καὶ om. Mt 10 ἡγοῦν K ἀμφο τ' K 12. 13 εἰς τὸ utrobique om. Aristoteles (praeter I) 13 εἰς (ante τὴν) om. fort. recte K 14 οὕτω LMt 15 ἄρα] γὰρ K 16 οὖν om. K ὑγίεια L 18 ἡ δὲ LKM: ἡ δέ γε e vulgato Aristotele t 18. 19 διχῶς—ἐστιν om. K 19 et 21 πῶς M 21 πάλιν om. K 22 πολλαχοῦ] cf. p. 91,33 23 ἐν τῇ πραγματείᾳ ταύτῃ L καλλεῖ K 25 δ' ἐκ LK: δὲ (om. ἐκ) Mt 27 ἐκάλεσσεν K 29 ὂν LK: om. Mt

www.libtool.com.cn

εἰς ταὐτὸν ἄγοντες τῷ ὄντι τὸ εἶδος, δῆλον ὅτι ἐπειδὴ οὐκ ἔστι τῶν μη- f 4r
δαμῇ μηδαμῶς ὄντων ἡ στέρησις ἀλλὰ τῶν πῇ ὄντων, καὶ πῇ εἶδος ἂν
εἴη. διάκειται γὰρ καὶ μεμόρφωταί πως κατ' αὐτὴν τὸ ὑποκείμενον· δια- 36
τίθησι γάρ πως καὶ ἡ τυφλότης τὸ ὑποκείμενον καὶ πᾶσα στέρησις. ἐπειδὴ
5 οὖν πᾶσαν διάθεσιν τοῦ ὑποκειμένου ἔστιν ὅτε μορφὴν τοῦ ὑποκειμένου
καὶ εἶδος λέγομεν, διὰ τοῦτο αὐτὸ τοῦτο ἐπεσημήνατο.

p. 193ᵇ20 Εἰ δέ ἐστιν ἡ στέρησις καὶ ἐναντίον τι περὶ τὴν ἁπλῆν γένεσιν ἢ μὴ ἔστιν, ὕστερον ἐπισκεπτέον.

Περὶ τὴν ἁπλῆν γένεσίν φησιν ἀντὶ τοῦ τὴν οὐσιώδη. ἐν μὲν γὰρ 40
10 τῷ πρώτῳ λόγῳ, ὅτι ἐξ ἀντικειμένων ἡ γένεσις ἔδειξεν ἡ οὐσιώδης· ἐξ
ἀσυνθεσίας γάρ φησι τὴν σύνθετον οὐσίαν καὶ ἐξ ἀναρμοστίας, ἅπερ στέ-
ρησις οὐκ ἐναντίον ἐστίν. εἰ τοίνυν αἱ στερήσεις, ἐξ ὧν αἱ οὐσίαι γίνον-
ται, ἐναντίαι εἰσὶ τοῖς γινομένοις, ὕστερον ἐπισκεψόμεθα· καὶ ὑπερτίθεται
τοῦτο ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς βιβλίῳ, ἐν ᾧ δείκνυσιν ὅτι πάντως
15 πᾶσα γένεσις ἐξ ἐναντίων, καὶ τίνα τὰ ἐναντία καὶ πόσα ἐξ ὧν αἱ γενέσεις.
ὡς οὖν ἢ μὴ ἀποδείξας ἐν τούτοις ὅτι ἐξ ἐναντίων, ἀλλὰ μόνον ἐξ ἀντι- 45
κειμένων, ἢ μὴ ἱκανῶς ἀποδείξας, ὑπερτίθεται τοῦτο ἐν τῷ Περὶ γενέσεως
καὶ φθορᾶς βιβλίῳ.

p. 193ᵇ22 Ἐπεὶ δὲ διώρισται ποσαχῶς λέγεται ἡ φύσις, μετὰ
20 τοῦτο θεωρητέον τί διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ.

Εἰπὼν ὅτι τριχῶς ἡ φύσις λέγεται, καὶ τὸ εἶδος καὶ ἡ ὕλη καὶ ἡ
γένεσις ἡ ἐπὶ τὸ εἶδος, καὶ ὅτι μᾶλλον κυριώτερον τὸ εἶδος φύσις, καὶ 50
αἱ ἄλλαι δὲ δύο ἥ τε ὕλη καὶ ἡ γένεσις διὰ τὸ εἶδος ἔχουσι τὸ φύσεις
εἶναι, ἡ μὲν ὕλη διὰ τὸ ἐπιτηδεία εἶναι εἰς τὸ δέξασθαι τὸ εἶδος ἡ δὲ
25 γένεσις ὡς εἰς αὐτὸ ἄγουσα, ἐπειδὴ ἡ φυσιολογία μόριόν ἐστι τοῦ θεωρη-
τικοῦ μέρους τῆς φιλοσοφίας, τὸ δὲ θεωρητικὸν διαιρεῖται εἰς φυσιολογίαν

---

3 μεμώρφωται L 4 τυφλώτης K 6 λέγωμεν K ἀπεσημήνατο L 7 εἰ δ' ἔστην K 7. 8 καὶ ἐναντίον — ἐπισκεπτέον om. K 10 τῷ πρώτῳ λόγῳ c. 5 p. 188ᵇ8 sqq. πρώτῳ λόγῳ] ἀλόγῳ K 11. 12 στέρησις L: στερήσ K: στερήσεις Mt 12 καὶ οὐκ L ἐναντίον LK: ἐναντία Mt 13 ἐναντίαι] ἐναντίον K 14 πάντων compend. K 16 τούτων compend. K 17 ἡ μὴ ἱκανῶς ἀποδείξαι K 19 lemma om. K ἐπειδὴ δὲ L ποσαχῶς ἡ φύσις λέγεται et 20 τίνι διαφέρει Aristoteles 21 καὶ ἡ ὕλη ante καὶ τὸ εἶδος traic. Mt: omittit (iterato λέγεται post καὶ τὸ εἶδος) K 22 μᾶλλον καὶ K at cf. p. 216,2 κυριώτερον scripsi: κυριω ιῳ L: κυριω ιτ K: κυριώτατα (cf. p. 211,20) Mt 24 εἰς τὸ LK: τὸ (om. εἰς) M: om. t 25 ἡ φύσις λογία K 26 διαιρεῖται κτλ.] cf. p. 1,6 φυσιολογίαν (corr. ex φύσις λογίαν) K: φυσιο λ L: φυσιολο γ M: φυσιολογικὸν t

www.libtool.com.cn

εἰς μαθηματικὴν εἰς θεολογίαν, βούλεται ἐντεῦθεν διακρῖναι τὸ φυσιολογικὸν f 4r
τοῦ μαθηματικοῦ καὶ τοῦ θεολογικοῦ· ἐπιστήμονος γάρ ἐστι τὸ διαλαβόντα
περὶ τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἀπο|κρίνειν τὰ δοκοῦντα μὲν f 4v
ὑποβεβλῆσθαι, μὴ ὑποβεβλημένα δέ. ἐπεὶ οὖν αἱ ἐπιστῆμαι αὐτῆς γνώσεις
5 τινές εἰσιν, αἱ δὲ γνώσεις εἰδῶν εἰσι γνώσεις (κἂν γὰρ ἔστι τῶν ἀνειδέων
γνῶσις, καὶ ταύτην ἐκ τῆς τῶν εἰδῶν γνώσεως γινώσκομεν· ἢ γὰρ κατὰ
ἀναλογίαν ἢ κατὰ ἀφαίρεσιν, ὡς εἴρηται πρότερον, τὸ ἀνείδεον γινώσκομεν),
διὰ τοῦτο οὖν εἰκότως τὴν διάκρισιν τῶν ἐπιστημῶν τούτων ποιεῖται. δια-
κρίνει δ' οὐ πάσας ἀλλήλων, ἀλλὰ τῆς φυσιολογίας μόνης τὰς λοιπάς, 5
10 οὐκέτι δὲ καὶ τὰς ἄλλας ἑαυτῶν. καὶ διακρίνει πρῶτον τὴν μαθηματικὴν
ἐπιστήμην τῆς φυσιολογίας, καί φησιν ὅτι οὐ ταύτῃ διακρίνεται ἡ φυσιο-
λογία τῆς μαθηματικῆς, ᾗ δοκεῖ τοῖς πολλοῖς. καὶ ἐντεῦθεν δείκνυσι τὸ
ἀναγκαῖον τῆς διακρίσεως τῶν ἐπιστημῶν τούτων· εἰ γὰρ ἡ δοκοῦσα αὐτῶν
διάκρισις ὅμως οὐκ ἔστι διάκρισις, δῆλον δήπου ὅτι ἀναγκαῖος ὁ τῆς δια-
15 κρίσεως λόγος αὐτῶν. νομίζουσι δὲ διακρίνεσθαι φυσιολογίαν μαθηματικῆς,
τῷ τὴν μὲν φυσιολογίαν περὶ τὰς οὐσίας τῶν πραγμάτων καταγίνεσθαι, 10
μαθηματικὴν δὲ περὶ τὰ πάθη καὶ τὰ σχήματα, τοῦτο δέ, φησίν, οὐκ ἔστιν
ἀληθές· καὶ οἱ φυσιολόγοι γὰρ φαίνονται μὴ μόνον περὶ τῶν οὐσιῶν δια-
λεγόμενοι, ἀλλὰ καὶ περὶ σχημάτων καὶ παθῶν. αὐτὸς γοῦν ἐν τῇ Περὶ
20 οὐρανοῦ οὐ μόνον περὶ τῆς οὐσίας τῶν οὐρανίων ἀπέδειξεν, ὅτι ἐστὶν ἑτέ-
ρας τινὸς παρὰ τὰ τέσσαρα στοιχεῖα, ἀλλ' ὅτι καὶ σφαιρικὸν ἔχει κατὰ
φύσιν τὸ σχῆμα, καὶ ὅτι κυκλοφορικόν, καὶ περὶ τῶν στοιχείων δὲ διε-
λέχθη οὐ μόνον ποίας ἕκαστόν ἐστιν οὐσίας, ἀλλ' ὅτι καὶ σφαιρικὰ πάντα, 15
ἐν οἷς χαριέστατα γραμμικῶς ἀποδείκνυσι καὶ περὶ τοῦ ὕδατος καὶ τῆς
25 γῆς ὅτι σφαιρικά. ὥστε εἰ καὶ οἱ φυσιολόγοι διαλέγονται οὐ μόνον περὶ
τῶν οὐσιῶν, ἀλλὰ καὶ περὶ τῶν συμβεβηκότων ταῖς οὐσίαις, ἔοικε μὴ δια-
κρίνεσθαι ταύτῃ τοῦ φυσιολόγου ὁ μαθηματικός. τίνι οὖν διακρίνεται; φημὶ
οὐ τῷ περὶ διαφόρων διαλέγεσθαι, ἀλλὰ τῷ τρόπῳ τῆς διδασκαλίας, ὅτι ὁ
μὲν μαθηματικὸς διαλέγεται περὶ τῶν σχημάτων καὶ τῶν συμβαινόντων
30 αὐτοῖς μηδὲν προσεπινοῶν ἐν ὁποιαδηποτοῦν ὕλῃ ταῦτα ὑπάρχει, ἀλλὰ χω- 20
ρίσας αὐτὰ πάσης ὕλης τῇ διανοίᾳ οὕτω τὰ συμβαίνοντα αὐτοῖς θεωρεῖ,
ὁ μέντοι φυσικὸς ἐπινοῶν τὸ σχῆμα καὶ τὰ λοιπὰ τῶν παθῶν, ὡς ἐν ὕλῃ
αὐτὰ θεωρεῖ· ἢ γὰρ ἐν οὐρανῷ ἢ ἐν ἡλίῳ ἢ ἐν γῇ ἢ ἐν ἄλλῳ τινὶ τῶν

---

1 εἰς μαθηματικὴν εἰς θεολογίαν L: εἰς θεολογίαν (om. εἰς μαθηματικὴν) K: εἰς μαθημα (litterae τ adhaeret compendiose ικ)· εἰς θεολο M: εἰς μαθηματικὸν, εἰς θεολογικὸν t τὸ] τὸν K
4 ἐπιστήμαι ita scriptum in M non correxit t αὐτῆς non intellego: num αὗται (cf. v. 8. 13)?
5 κἂν LK: εἰ Mt 6 ταύτην] ταύτης K: an ταῦτα? γὰρ om. K 7 πρότερον p. 162,4 sqq. 8 post εἰκότως delet ἕκαστον M διάκρισιν KM: διαίρεσιν (L)t
11 ὅτι οὐταυτὴ K 12 τοῖς λοιποῖς K 14 ὅμως om. L: fort. ὄντως οὐκ ἂν ἔστι K ἀναγκαίως L 15 αὐτῶν λόγος K 16 τὴν μὲν L: τῇ μὲν K: τὴν (om. μὲν) Mt 19 ἐν τῇ om. L 19. 20 Περὶ οὐρανοῦ A 3 p. 270b20 sqq. B 4. Γ 3 sqq.
22. 23 κυκλοφορητικόν et διηλέχθη K 23 ἐστιν om. L σφαιρικ`αντα (sic) K
25 σφαιρικὴ ut vid. L εἰ om. K 26 ταῖς οὐσίαις LK: τῆς οὐσίας Mt 28 διαφορῶν K 32 τὰ σχήματα K

www.libtool.com.cn

φυσικῶν σωμάτων. ὁ γοῦν Θεοδόσιος ἐν τοῖς Σφαιρικοῖς διδάσκων τὰ συμ- f 4v
βαίνοντα πάθη τῇ σφαίρᾳ οὐδὲν προσλογίζεται ὕλην, ἀλλὰ χωρίσας πάσης
οὐσίας τὸ σφαιρικὸν σχῆμα οὕτω τὰ συμβαίνοντα αὐτῷ ἐπισκέπτεται, ὅτι
ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ κύκλον ποιεῖ, καὶ ὅσα ἄλλα. ὁ δὲ Αὐτόλυκος 25
Περὶ κινουμένης σφαίρας γράψας καὶ ὅσα συμβαίνει τῇ κινουμένῃ σφαίρᾳ,
μερικώτερός ἐστι τοῦ Θεοδοσίου καὶ μᾶλλον τῷ φυσικῷ προσεγγίζων (ἡ
γὰρ κίνησις ἐγγύς πως ἐστι τῆς οὐσίας)· εἰ γὰρ καὶ μὴ ἐπινοεῖ οὐσίαν τινὰ
ἐν τῇ κινουμένῃ σφαίρᾳ, ἀλλ' οὖν σύνθεσίν τινα λαμβάνει τοῦ σχήματος
καὶ τῆς κινήσεως, καὶ ταύτῃ ἐγγύς πως ἐστι τῆς οὐσίας. ἔτι τούτου μερι-
κώτερα τὰ Εὐκλείδου Φαινόμενα καὶ ἁπλῶς πᾶσα ἀστρονομία· ἐνταῦθα γὰρ
καὶ ἡ οὐσία αὐτὴ συνεπινοεῖται. οὐρανοῦ γὰρ κίνησιν καὶ ἡλίου καὶ τῶν 30
λοιπῶν ἀστέρων προσλογίζεται· οὐ γὰρ ἁπλῶς κίνησιν σφαίρας ἐπισκοπεῖ,
ἀλλὰ τῆς ἀπλανοῦς ἢ τῆς Κρονίας ἢ ἄλλης τινός, καὶ τὴν σχέσιν αὐτῶν
τὴν πρὸς ἀλλήλας. καὶ ἔστι τὸ μὲν ἀκρότατον τῆς μαθηματικῆς εὐδιά-
κριτον καὶ κεχωρισμένον τῆς φυσιολογίας (οἷά ἐστι τὰ Θεοδοσίου Σφαιρικά,
τὰ Εὐκλείδου ιγ' βιβλία, τὰ ἀριθμητικά· παντελῶς γὰρ ἐν τούτοις ὕλης
οὐδεμία μνήμη), τὸ δὲ περιπέζιον αὐτῆς πως ἐγγύς ἐστι τῆς φυσιολογίας·
καὶ γὰρ ὁ ἀστρονόμος ὡς ἡλίου σχῆμα θεωρεῖ καὶ ὡς ἡλίου κίνησιν καὶ 35
μεγέθη αὐτῶν, καὶ ὁ φυσιολόγος δ' ὡσαύτως. τίς οὖν ἡ διαφορά; ὅτι εἰ
καὶ περὶ τῶν αὐτῶν διαλέγονται καὶ ὡς τοῖς αὐτοῖς ὑπαρχόντων, ἀλλ' ὁ
μὲν φυσιολόγος ὅτι τὰ τοιαῦτα σχήματα καὶ αἱ κινήσεις αἱ τοιαῦται οἰκεῖα
καὶ συμφυῆ τῇ τοιαύτῃ οὐσίᾳ, λέγω δὴ τῇ πέμπτῃ (διὰ τοῦτο γὰρ σφαι-
ρικά τε καὶ κυκλοφορικά, ἐπειδὴ μήτε ἐξ ἑνὸς μήτε ἐκ πάντων τῶν στοι-
χείων, ἀλλ' ἑτέρου τινὸς τοῦ πέμπτου σώματός εἰσι, καὶ ὅτι βέλτιον αὐ-
τοῖς τὸ τοιοῦτον σχῆμα καὶ ἡ κίνησις), ὁ δὲ μαθηματικὸς ἁπλῶς κινούμενον 40
ἥλιον θεωρεῖ, μὴ προσλογιζόμενος εἴτε προσφυὴς ἡ κίνησις αὐτοῦ ἢ τὸ
σχῆμα τῇ οὐσίᾳ, ἢ μή, ὥστε κἂν ὁποίας ποτὲ ἢ οὐσίας τὰ οὕτως ἐσχη-
ματισμένα καὶ κινούμενα, τὰ αὐτὰ ἂν συμβαίνειν. ἀλλ' οὐδὲ εἰ βέλτιον
αὐτοῖς ἢ μὴ τὸ τοιοῦτον οἶδεν, ἀλλ' ἐν αὐτοῖς μὲν θεωρεῖ τὰς κινήσεις
καὶ τὰ σχήματα, οὕτω δὲ κἂν εἰ πύρινα ἦν τὰ κινούμενα ἢ ἄλλης τινὸς
οὐσίας, ἀμέλει τὰ δεδειγμένα ἐν τῇ καθολικωτέρᾳ μαθηματικῇ ἐπιστήμῃ
προσαρμόζουσι τούτοις· οἷον ὅτι, ἐπειδὴ δέδεικται ὅτι πᾶσα σφαῖρα τοιῶσδε
τεμνομένη τάδε πάσχει, καὶ ἐπὶ τῆς προκειμένης ἄρα σφαίρας τὸ αὐτὸ
τοῦτο ἁρμόσει. οὕτως ἐκτὸς ὕλης αὐτὰ σκοποῦσι, κἂν ὡς ἐν τοῖς οὐρα- 45

---

1 σωμάτων LK: πραγμάτων Mt τοῖς σφαιρικοῖς LK: τῇ σφαιρικῇ Mt 4 αὐτόκλυτος K 6 μετωρικώτερός (sic) M 7 γὰρ (post εἰ) om. ut vid. L 10 κἀνταῦθα L 15 οἷά εἰσι Mt 16 ιγ' LK: δεκατρία Mt τῆς ὕλης Mt 17 ἐγγὺς πῶς K 19 ὡσαύπως errore typogr. t 19. 20 ὅτι εἰ καὶ LK: ὅτι καὶ M: ὅτε καὶ (sublata distinctione post διαφορά) t 21 τὰ (ante τοιαῦτα) et 22 τῇ (ante τοιαύτῃ) K: om. LMt at cf. Themist. p. 165,21 sqq. αἱ (post κινήσεις) om. Mt 21. 22 οἰκεῖαι καὶ συμφυεῖς K 23 κυκλοφορητικὰ K 25 ἡ deleverim 27. 28 ὥστε — συμβαίνειν (verba κἂν — οὕτως evan. L) LK: om. Mt 29 μὲν libri: fort. μόνον 30 τὰ prius om. L πύρινα K: πύρρια M: πυρινὰ (L)t ἄλλης ἡστινοσοῦν K 33 ἄρα σφαίρας] γὰρ σφαῖραι K 34 ἐν KMt: om. L

www.libtool.com.cn

νίοις θεωρῶσι γινόμενα. καὶ ὁ μὲν φυσικὸς τὸ ποιὸν μόνον τῆς κινήσεως f 4v
ἐπισκοπεῖ, ὁ δὲ μαθηματικὸς καὶ τὸ ποσόν. ὥσπερ οὖν καὶ ἐν τοῖς Ἀπο-
δεικτικοῖς δείξας ὅτι ἡ ἀπόδειξις τῶν καθόλου ἐστὶ καὶ οὐδέν ἐστι τῶν
μερικῶν ἀποδεικτικόν, ἠπόρησε μήποτε οὖν ἡ ἀστρονομία οὐκ ἔστιν ἀπο-
5 δεικτική· ὅσα γὰρ περὶ ἐκλείψεως ἡλίου καὶ σελήνης καὶ τῆς τῶν ἄλλων
ἀστέρων κινήσεως λέγεται, περὶ μερικῶν τινων λέγεται περὶ ἡλίου ἢ σε-
λήνης ἢ ἄλλου τινὸς τῶν ἀστέρων ἢ τῆσδε τῆς σφαίρας. ἐπιλυόμενος οὖν 50
τὴν ἀπορίαν φησὶν ὅτι, εἰ καὶ περὶ μερικῶν ποιεῖται τοὺς λόγους ὁ ἀστρο-
νόμος, ἀλλ' οὐχ ὡς περὶ μερικῶν, ἀλλ' ὡς καθολικῶν τινων τὰ συμβαί-
10 νοντα αὐτοῖς ἐξετάζει· δεικνὺς γάρ, φέρε εἰπεῖν, ὅτι ἡ σύνοδος μὲν ἡλίου
καὶ σελήνης ποιεῖ ἡλιακὴν ἔκλειψιν, καὶ ἡ τοιάδε αὐτῶν σχέσις σεληνιακήν,
οὐχ οὕτω ταῦτα ἀποδείκνυσιν, ὅτι ἐπειδὴ εἷς ἥλιός ἐστιν καὶ μία σελήνη,
ταῦτα οὕτω συμβαίνει, ἀλλ' εἰ καὶ μύριοι ἦσαν ἥλιοι καὶ σελῆναι τοσαῦται,
τὰ αὐτὰ ἂν συνέβη. | ὥσπερ οὖν ἐν τούτοις περὶ μερικῶν ποιούμενος τὸν f 5r
15 λόγον ὁ ἀστρονόμος καὶ ἕνα ἥλιον ἐξετάζων καὶ μίαν σελήνην, οὐχ ὡς
περὶ μερικῶν ἀλλ' ὡς καθολικῶν τινων ποιεῖται τοὺς λόγους, οὕτω κἂν ὡς
ἡλιακὴν σφαῖραν ἢ κίνησιν ἐξετάζῃ, οὐχ ἁπλῶς ὡς τῇ ἡλιακῇ οὐσίᾳ ὑπάρ-
χουσαν ἐξετάζει, ἀλλ' ἁπλῶς τοιῶσδε κινουμένῃ σφαίρᾳ τὰ συμβαίνοντα
ἐξετάζει, χωρίζων τῇ ἐπινοίᾳ τὰ σχήματα καὶ τὰς κινήσεις τῆς οὐσίας. 5
20 καὶ οὗτοι μέν, φησίν, οὐδὲν ἄτοπον ποιοῦσι χωρίζοντες τῇ ἐπινοίᾳ τὰ πάθη
τῶν οὐσιῶν· πεφύκασι γὰρ κατ' ἐπίνοιαν τοῦ ὑποκειμένου διαιρεῖσθαι. εἰ
μὲν γὰρ χωρίζοντες ὑπόστασιν αὐτοῖς ἐδίδοσαν, ψεῦδος ἂν αὐτοῖς καὶ ἀδύ-
νατον ἠκολούθησεν, ἐπειδὴ δὲ τῇ ἐπινοίᾳ μόνον τὴν διάκρισιν αὐτῶν ποιοῦν-
ται πεφυκότων γε τῇ ἐπινοίᾳ χωρίζεσθαι, οὐδὲν ἄτοπον ἕψεται τῇ τοιαύτῃ
25 διακρίσει. οὗτοι μὲν οὖν, φησίν, οὐδὲν ἄτοπον ποιοῦσιν, οἱ δὲ τὰ εἴδη,
φησί, χωρίζοντες, ἅπερ οὐδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πέφυκε, καὶ μὴ 10
μόνον τῇ ἐπινοίᾳ χωρίζοντες ἀλλὰ καὶ ὑπόστασιν αὐτοῖς καθ' αὑτὰ παρέ-
χοντες, οὗτοι μάλιστα ἁμαρτάνουσι τὰ ἀδύνατα ὑποτιθέμενοι· τὰ μὲν γὰρ
πάθη οὐδὲν συντελοῦντα εἰς τὸν τῆς οὐσίας λόγον, ἀλλ' ἴδιον ἔχοντα τὸν
30 τοῦ εἶναι ἑαυτῶν λόγον καὶ χωριζόμενα τῇ ἐπινοίᾳ κατὰ τοῦτο τῶν οὐσιῶν,
οὐδὲν ἄτοπον εἰ χωρίζοιτο ὑπὸ τῶν μαθηματικῶν τῇ ἐπινοίᾳ οὐ τῇ ὑπο-
στάσει, τὰ μέντοι φυσικὰ εἴδη, οἷον τὸ ἀνθρώπου τὸ ἵππου τὸ λίθου καὶ
τῶν λοιπῶν, οὐδὲ κατ' ἐπίνοιαν τῆς ὑποκειμένης ὕλης χωρισθῆναι δύ-
νανται· ὅταν γὰρ ἐπινοήσω τὸ εἶδος τῆς σαρκός, εὐθὺς μετὰ τῆς τοιᾶσδε 15

---

1 θεωροῦσι K 2. 3 Ἀποδεικτικοῖς] Anal. Post. A 31 p. 87b38 sqq. 5 γὰρ Kt: om. LM 6 λέγεται (altero loco) LK: διαλέγεται Mt 7 τῆς φαῖρας K 8 περὶ] τῶν K 10 δεικνὺς γάρ] δείκνυς γὰρ (K)t: δείκνυσι (om. γὰρ) LM 12 ἐπειδὴ εἷς ἥλιός ἐστιν Kt: εἷς ἥλιός ἐστιν ἐπειδὴ LM καὶ om. L 13 οὕτω ταῦτα L 16 περὶ et ἀλλ' ὡς καθολικῶν om. L 17 ἐξετάζῃ] ἐξετάζει K ἁπλῶς ὡς LK: ὡς ἁπλῶς ὡς M: ὡς ἁπλῶς t: ἁπλῶς induxerim 21 κατένοιαν (sic) K 23 ἐπεὶ K δὲ om. L 24 γε M: τὲ L: om. Kt cf. p. 224,4 26 post ἐπίνοιαν repet. φησι Mt 30 ἑαυτῶν LK: αὐτῶν Mt fortasse τοῦτον 31 χωρίζοιντο K ὑπὸ K: ἐπὶ L: ἀπὸ Mt τῶν μα$^{\theta\tau}$ K 32 ἀνθρώπου τὸ ὑπὸ τοῦ λίθου K 33. 34 δύναται K

www.libtool.com.cn

κράσεως τῶν στοιχείων ἐπινοῶ τὸ ὑγρὸν αὐτῆς τὸ αἱματῶδες τὸ μαλακόν, f 5r
καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. δῆλον δέ, φησίν, ἐκ τῶν ὁρισμῶν· σφαιρικοῦ μὲν γὰρ σχήματος ἢ κινήσεως ἢ ἄλλου τινὸς τῶν παθῶν, οἷον καμπυλότητος ἢ εὐθύτητος, τὸν ὁρισμὸν ἀποδιδούς τις οὐδὲν μεμνήσεται τῆς
5 ὕλης, σαρκὸς δὲ ἢ ὀστοῦ ἤ τινος ἄλλου τῶν φυσικῶν εἰ θελήσει τις ἀποδοῦναι τὸν ὁρισμόν, πάντως μεμνήσεται τῆς ὑποκειμένης ὕλης, ὅτι ἢ τοσῆσδε ὑγρότητος ἢ θερμότητος μετέχουσα καὶ μαλακότητος καὶ τῶν τοιού- 20
των, ἅπερ τὴν ὑποκειμένην κρᾶσιν τῶν στοιχείων τῷ εἴδει τῆς σαρκὸς δηλοῖ. εἰ δὲ ἀδύνατον κατ' ἐπίνοιαν χωρὶς ὕλης λαβεῖν τὰ οὐσιώδη
10 εἴδη, σχολῇ γε δήπου καθ' ὑπόστασιν αὐτὰ καθ' αὑτὰ ὑποτίθεσθαι εἶναι.

p. 193ᵇ24 Καὶ γὰρ ἐπίπεδα καὶ στερεὰ ἔχει τὰ φυσικὰ σώματα καὶ μήκη καὶ στιγμάς, περὶ ὧν σκοπεῖ ὁ μαθηματικός.

Ὁ φυσικός, φησί, περὶ τῶν φυσικῶν σωμάτων διαλέγεται, ἐν δὲ τοῖς 25
φυσικοῖς σώμασιν ἐπίπεδα καὶ στερεά εἰσι καὶ γραμμαὶ καὶ σημεῖα, περὶ
15 τούτων δὲ σκοπεῖ καὶ ὁ μαθηματικός· ἐοίκασιν οὖν περὶ τὰ αὐτὰ ἀμφότεραι αἱ ἐπιστῆμαι καταγίνεσθαι. ἔτι δὲ ἡ ἀστρολογία ἑτέρα ἢ μέρος τῆς φυσικῆς. ἀστρολογίαν φησὶν ἣν ἰδίως νῦν ἀστρονομίαν καλοῦμεν· οὐ διεκέκριτο γὰρ παρὰ τοῖς παλαιοῖς τὰ ὀνόματα, ἀλλ' ἐπὶ τῶν αὐτῶν 30
ἄμφω ἐφέροντο. εἰπὼν δὲ καθόλου περὶ τῆς μαθηματικῆς, εἰδικώτερον
20 ἀστρονομίας ἐμνήσθη, διότι πολλὴ συγγένεια αὐτῇ πρὸς τὴν φυσικήν· οὐ γὰρ παντελῶς ἄνευ ὕλης δοκεῖ τὰ συμβεβηκότα τοῖς οὐρανίοις ἐπισκέπτεσθαι, ὡς ἤδη εἴπομεν.

p. 193ᵇ26 Εἰ γὰρ τοῦ φυσικοῦ τὸ τί ἐστιν ἥλιος ἢ σελήνη εἰδέναι, τῶν δὲ συμβεβηκότων καθ' αὑτὰ μηδέν, ἄτοπον.

25 Τὴν δοκοῦσαν τοῖς πολλοῖς διάκρισιν τῶν ἐπιστημῶν τούτων δείκνυ- 36
σιν οὐκ ἀληθεύουσαν, ἣν δὲ ἡ διάκρισις ὅτι ἡ μὲν φυσικὴ περὶ τῶν οὐσιῶν, ἡ δὲ μαθηματικὴ περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων. τὸ οὖν νομίζειν, φησίν, ὅτι οὐδαμῶς φυσικοῦ ἐστι τὸ διαλέγεσθαι περὶ τῶν καθ' αὑτὰ συμ-

---

3 τινὸς] οὔτινος K 5 ἤ τινος ἄλλου LK: ἢ ἄλλου τινὸς Mt θελήσοι K
6 ἢ scripsi: ἡ (LMK)t 6. 7 τόσης δὲ K 9 εἰ δὲ K: εἰδῶν οὖν M: εἰδῶν οὖν (L)t: fort. εἰ δ' οὖν 10 σχολή K καθ' ὑπόστασιν LK: καὶ ὑπόστασιν M: καὶ ὑποστάσει t 11. 12 καὶ στερεὰ—μαθηματικός om. K 13 τῶν om. K 14 γραμμαὶ (L)t: γραμμὴ KM 16 δὲ ἡ KM: δὲ (om. ἡ) L: δ' ἡ t: ἡ Aristoteles 16. 17 ἢ μέρος τῆς φυσικῆς om. K 16 ἢ μέρος M 17 ἀστρολογίαν κτλ.] cf. p. 227,15 φησὶν LK: καλεῖ Mt 18 διεκέκρι (αι compend.) K: διεκρίνετο L τοὺς παλαιοὺς L ἀλλ' K: ἀλλ' ἦν (L)Mt 19 ἐφέροντο scripsi: ἔφετρ L: ἔφερον K: om. Mt ἰδικώτερον K
20 αὐτῇ Mt: αὐ τῆ K: αὐτῆς L 22 ἤδη om. Mt 23. 24 τὸ τί—ἄτοπον om. K
23 τὸ τί] τοῦτό L 24 δὲ om. M 26 ἀληθῆ οὖσαν K

www.libtool.com.cn

βεβηκότων ταῖς οὐσίαις, πρῶτον μὲν καὶ αὐτόθεν ἄτοπον, εἰ μὴ διαλέξεται f 5r
περὶ βαρύτητος καὶ κουφότητος ὁ φυσικός, ἢ περὶ ἀπείρου καὶ πεπερα- 40
σμένου σχημάτων τε τῶν φυσικῶν σωμάτων (εἰ γὰρ περὶ μηδενὸς τούτων
διαλέξεται, συμβήσεται αὐτῷ περὶ μαθηματικοῦ σώματος εἶναι τὸν λόγον·
5 πῶς δὲ καὶ γνώσεται τὴν ἑκάστου οὐσίαν, καὶ τίνι διενηνόχασιν ἀλλήλων;
οὔτε γὰρ ἐπὶ τῶν ἁπλῶν ἱκανὸν εἰς τὸ γνῶναι τὴν ἑκάστου φύσιν τὸ λέ-
γειν ἐξ ὕλης καὶ εἴδους αὐτὰ συγκεῖσθαι, οὔτε ἐπὶ τῶν συνθέτων τὸ λέγειν
ἁπλῶς ὅτι ἐκ τῶν τεσσάρων στοιχείων συνεστήκασιν), ἄλλως τε καὶ φαί-
νονται, φησί, πάντες οἱ περὶ φύσεως διαλεγόμενοι καὶ περὶ τοῦ σχήματος 45
10 τοῦ κόσμου καὶ τῶν καθ' ἕκαστα πραγματευσάμενοι. ὥστε οὔτε ἐκ τοῦ
λόγου οὔτε ἐκ τῆς ἐναργείας εὔλογον τὸ νομίζειν, ὅτι οὐκ ἔστι φυσικοῦ τὸ
περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων τοῖς φυσικοῖς πράγμασι διαλέγεσθαι,
ἀλλὰ περὶ μόνων τῶν οὐσιῶν· οὐκ ἄρα αὕτη διάκρισίς ἐστι τοῦ φυσικοῦ
πρὸς τὸν μαθηματικόν.

15 p. 193b31 Περὶ τούτων μὲν οὖν πραγματεύεται καὶ ὁ μαθηματι-
κός, ἀλλ' οὐχ ἧ φυσικοῦ σώματος πέρας ἕκαστον. 50

Ἐντεῦθεν αὐτὸς τὴν ἀληθῆ διάκρισιν τῶν ἐπιστημῶν τούτων ἐκτίθε-
ται, ὅτι εἰ καὶ περὶ τῶν αὐτῶν ἀμφότεροι, ἀλλ' ὁ μὲν φυσικὸς ἐν ὕλῃ
θεωρεῖ τὰ τοιαῦτα ὑπάρχοντα, ὁ δὲ μαθηματικὸς χωρίσας αὐτὰ τῶν ὑπο-
20 κειμένων αὐτὰ καθ' αὑτὰ ἐπισκέπτεται χωρὶς πάσης οὐσίας, μηδὲν φρον-
τίζων εἴτε ἐκ τῆς αὐτῆς οὐσίας τοῖς γενητοῖς ἡ ὑποκειμένη αὐτοῖς φύσις
εἴτε ὁθενδήποτε, καὶ εἴτε φυσικὸν τοῖς ὑποκειμένοις τὸ σχῆμα εἴτε μή. |

p. 193b34 Χωριστὰ γὰρ τῇ νοήσει κινήσεώς ἐστιν. f 5v

Οὐδὲν ἀδύνατον, φησί, ποιεῖ ὁ γεωμέτρης χωρίζων τῶν ὑποκειμένων
25 τὰ τοιαῦτα πάθη καὶ σχήματα· πεφύκασι γὰρ κατ' ἐπίνοιαν χωρίζεσθαι·
ὅπερ οὖν αὐτοῖς πεφυκός ἐστι, τοῦτο ποιεῖ. κινήσεως δέ φησιν ἀντὶ τοῦ
τῆς φυσικῆς αὐτῶν ὕλης, ἤτοι τοῦ ὑποκειμένου· ἐν τούτῳ γὰρ ἡ αἰτία τῆς
κινήσεως. εἴρηται δ' ἡμῖν πρότερον, ὅπως οὐ μόνον τὸ φυσικὸν σῶμα, 5
ἀλλὰ καὶ ἡ ὕλη δοκεῖ κινήσεως αἰτία εἶναι.

---

1 αὐτόθεν] ἀλλο (ἄλλοθεν?) L 2 καὶ (post ἀπείρου) LK: τὲ καὶ Mt 3 fort. σχη-
μάτων τε καὶ παθῶν τῶν 4 μαθηματικοῦ] παθητικοῦ K πράγματος L 5 ἕκα-
στον K 6 ἱκανόν ἐστιν Mt 7 αὐτὴν L 9 φησί om. Mt 10 ὥστε] ὥτε K
11 ἐναργείας t: ἐνεργείας LKM εὔλογον K: ἄλογον LMt τὸ (post φυσικοῦ) om. L
12 αὐτὸ K τοῖς] τῆς K 13 αυτη (sic) K 15 μὲν om. L 15. 16 καὶ—ἕκαστον
om. K 16 πέρας. ἕκαστον om. L 19. 20 χωρίσας αὐτὰ τῶν ὑποκείμ K 21 ἡ
ὑποκείμ et mox τοῖς ὑποκειμ sine accentu K φύσις om. L 22 εἴτε καὶ μή Mt
24 Οὐδὲν om. L χορίζων K 25 γὰρ] οὖν M 26 οὖν om. M 27 αὐτῶν K
28 πρότερον p. 211,23 φυσικὸν om. L σῶμα] an σχῆμα? 29 εἶναι om. K

www.libtool.com.cn

p. 193ᵇ35 Λανθάνουσι δὲ τοῦτο ποιοῦντες καὶ οἱ τὰς ἰδέας λέγοντες. f5ᵛ

Ὅπερ οἱ μαθηματικοὶ ποιοῦσι πεφυκὸς γίνεσθαι (τί δὲ ποιοῦσι; τὸ χωρίζειν τὰ πάθη τῶν οὐσιῶν κατ' ἐπίνοιαν, πεφυκότα οὕτω χωρίζεσθαι), τοῦτο καὶ οἱ τὰς ἰδέας τιθέμενοι ποιοῦσι, λανθάνοντες ἑαυτοὺς ὅτι οὐδαμῶς χωρίζεσθαι πεφύκε τὰ οὐσιώδη εἴδη τοῦ ὑποκειμένου ἑαυτοῖς, ὥσπερ τὰ σχήματα καὶ τὰ πάθη· τὸ γὰρ ἧττον ὄντα χωριστὰ ἀντὶ τοῦ οὐδαμῶς ὄντα χωριστά. καὶ ἔτι τὸ ἄτοπον ἐπαύξουσιν ὅτι οὐ μόνον κατ' ἐπίνοιαν χωρίζουσι τὰ εἴδη, ὥσπερ τὰ σχήματα καὶ τὰ πάθη οἱ μαθηματικοί, ἀλλὰ καὶ ὕπαρξιν αὐτοῖς καθ' αὑτὰ διδόασι τοῖς μηδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πεφυκόσιν. ὅτι δὲ οὐδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πέφυκε τὰ οὐσιώδη εἴδη τοῦ ὑποκειμένου ἑαυτοῖς καὶ τῆς ὕλης, ὥσπερ τὰ σχήματα καὶ τὰ πάθη, δῆλον, φησίν, ἐκ τῶν ὁρισμῶν ἑκατέρων· τρίγωνον μὲν γὰρ καὶ κύκλον καὶ σφαῖραν καὶ πάντα τὰ τοιαῦτα δυνατὸν ὁρίσασθαι μὴ ἐπιμνησθέντα ὕλης (κύκλος μὲν γάρ ἐστι σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἄρτιον δ' ἀριθμὸς διαιρούμενος δίχα· καὶ πάντα τὰ τοιαῦτα ἔστιν ὁρίσασθαι μηδαμῶς ὕλης ἐπιμνησθέντα, ὡς δὴ πεφυκότων τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ χωρίζεσθαι, εἰ καὶ μὴ τῇ ὑποστάσει), σάρκα δὲ καὶ ὀστοῦν καὶ νεῦρον καὶ πᾶν εἶδος οὐσιῶδες ἀδύνατον ὁρίσασθαι μὴ ἐπιμνησθέντα τῆς ὕλης τῆς ὑποκειμένης, ὡς δὴ μὴ πεφυκότων μηδὲ τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ χωρίζεσθαι. τῆς γὰρ σαρκὸς ἐχούσης τὸ εἶναι τῷ μαλακὴν φέρε εἰπεῖν καὶ ὑγρὰν εἶναι καὶ ἐνεργείας ἔχειν τοιάσδε ἢ τοιάσδε, πῶς ἐγχωρεῖ τὰ τοιαῦτα πάντα ὕλης χωρίσαντα αὐτὰ καθ' αὑτὰ ἢ φαντασθῆναι ἢ λογισθῆναι ἢ ὁρισμὸν αὐτῶν ἀποδοῦναι; αὐτὸ γὰρ τὸ εἰπεῖν ὑγρὸν καὶ θερμὸν τὴν κρᾶσιν τῶν ὑποκειμένων στοιχείων, ἅπερ ἐστὶ τῆς σαρκὸς ὕλη, εἰπεῖν ἐστιν. οὐ γὰρ ὥσπερ ἐπινοῶ σχῆμα μηδὲν προσεπινοῶν ἐν ποίᾳ ὕλῃ ἐστὶ τὸ τοιοῦτον, οὕτω καὶ σαρκὸς εἶδος ἢ ὀστοῦ δύναμαι ἐπινοῆσαι· εὐθὺς γὰρ τὸ ξηρὸν καὶ λευκὸν τοῦ ὀστοῦ ἐπινοῶ καὶ ὅσα ἄλλα αὐτῷ προσυπάρχει. κἂν ὁρίσασθαι θελήσω τὴν σάρκα, ἐρῶ τυχὸν ὅτι ἐστὶ σῶμα θερμὸν καὶ ὑγρὸν αἱματῶδες μαλακὸν τοιάσδε ἐνεργείας ἔχον, εὐθὺς δὲ τοῦτο εἰπὼν τὴν ὑποκειμένην ὕλην εἴρηκα. ἀλλ' οὐδὲ τῶν ἁπλῶν ἔστι τι ἐπινοῆσαι ἄνευ ὕλης· εὐθὺς γὰρ τῷ ἐπινοῆσαι ὕδωρ, τὸ ὑγρὸν αὐτοῦ τὸ χυτὸν ἐπινοῶ τὸ ψυχρόν,

---

1 ante λανθάνουσι exhibet *ὁ (h. e. οὐ) K 1. 2 ποιοῦντες—λέγοντες om. K 3 οἱ μαθηταὶ K 5 εἰδέας ὑποτιθέμενοι K 8 ἔτι] ἐπὶ K αὔξουσι Mt 9 οἱ μα atque ita saepe K 11 ὅτι δὲ K: ὅτι (L)Mt 12 ἑαυτοῖς om. K 13 δῆλον LK: καὶ δῆλον Mt ἐκ τῶν ὁρισμῶν iterat M κύκλον] 8 (errore ex compendio ○ orto) K 14 ἐπιμνησθέντος K 15 μὲν om. K 16 ἄρτι M δ' K: om. LMt ἀριθμὸν διαιρούμενον L 22 ὑγρὴν K τοιᾶσδε utrobique K ἢ τοιάσδε om. Mt 25 σαρκὸς ἢ ὕλη t 27 εἶδος ἢ ὀστοῦ LK: καὶ ὀστοῦ εἶδος Mt δύναμιν K 29 ἐρῶ K: ἑτέρως (L)Mt 30 εὐθὺς δὲ LK: εὐθὺς (om. δὲ) om. Mt 32 τῷ] τὸ K τὸ χυτὸν KM: τυχὸν L: τὸ τυχὸν t καὶ τὸ ψυχρόν Lt

www.libtool.com.cn

τοῦτο δ' ἐπινοήσας τὸ σύνθετον ἐπενόησα, καὶ οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ f 5ᵛ
χυτόν τι ἐπινοῆσαι ἢ ὑγρόν. πόσον οὖν ἔστιν ἄτοπον τὰ μηδὲ κατ' ἐπί-
νοιαν χωρίζεσθαι πεφυκότα καὶ καθ' ὑπόστασιν χωρίζειν;

Τὰ μὲν οὖν παρὰ Ἀριστοτέλους καὶ ἡ τὸ πιθανὸν ἔχουσιν εἴρηται,
5 καὶ ὅτι πρὸς Πλάτωνα αὐτῷ ἡ ἀπόστασις δῆλον. ἐγὼ δέ φημι ὅτι εἰ μὲν
τοῦτο αὐτῷ ἐνεκάλει τὸ καθ' ὑπόστασιν χωρίζειν ἰδίᾳ τὰ εἴδη τῶν φυ- 35
σικῶν, εἶχε τὸ εὔλογον ἡ ἔγκλησις (ἀδύνατον γὰρ τὰ ἐν ὑποκειμένῳ τὸ
εἶναι ἔχοντα αὐτὰ καθ' αὑτά ποτε ὑποστῆναι), εἰ δὲ τοῦτό φησιν ὅτι ἀδύ-
νατον τῷ λόγῳ ἢ τῇ ἐπινοίᾳ χωρίσαι τῆς ὕλης τὸ εἶδος, οὐκ εὔλογον
10 ἔμοιγε εἶναι δοκεῖ· εἰ γὰρ καὶ δυσφάνταστά εἰσιν αὐτὰ καθ' αὑτὰ τὰ οὐ-
σιώδη εἴδη, ἀλλ' οὖν ὁ λόγος καὶ ταῦτα χωρίζειν πέφυκε. λέγομεν γοῦν
ὅτι τὸ εἶδος ἕτερόν ἐστι τῆς ὕλης, καὶ ἡ αὐτὴ μένουσα καὶ μία ὕλη δέχε-
ται ἀνὰ μέρος διάφορα, ὡς δὴ ἑτέρων ὄντων παρ' αὐτὴν τῶν εἰδῶν. καὶ
τί λέγω ἡ ὕλη; τὸ δεύτερον γοῦν κατ' αὐτὸν ὑποκείμενον, τοῦτο δ' ἐστὶ 40
15 τὸ τριχῇ διαστατόν, ἕτερόν ἐστι σαρκὸς καὶ ὀστοῦ καὶ τῶν λοιπῶν πάντων
εἰδῶν, ἄποιον ὂν καθ' αὑτό. πῶς οὖν φησι μηδὲ κατ' ἐπίνοιαν δύνασθαι
χωρίζεσθαι τοῦ ὑποκειμένου τὰ εἴδη; αὐτὸς γοῦν ἐν τῇ Περὶ γενέσεως
φησι τὴν σάρκα καὶ τὸ ὀστοῦν καὶ πάντα τὰ φυσικὰ τριχῶς λέγεσθαι,
ποτὲ μὲν ἐπὶ τῆς ὕλης, ποτὲ δὲ ἐπὶ τοῦ εἴδους, ποτὲ δὲ ἐπὶ τοῦ συναμ-
20 φοτέρου, ὡς δὴ χωρίσας κατ' ἐπίνοιαν τὰ εἴδη τῆς ὕλης. ὡς γὰρ τοῦτο
ποιήσας, οὕτω φησὶ τριχῶς λέγεσθαι τὴν σάρκα καὶ τῶν ἄλλων ἕκαστον· 45
ποτὲ μὲν γὰρ ἐπὶ τῆς ὕλης φέρεσθαι τὸ τῆς σαρκὸς ὄνομα, ποτὲ δὲ ἐπὶ
τοῦ εἴδους, ποτὲ δὲ ἐπὶ τοῦ συναμφοτέρου. καὶ αὐτὸς δ' ἐφεξῆς χωριστὰ
εἶναι εἴδη τῶν φυσικῶν ὑποτίθεται, περὶ ἃ καὶ καταγίνεσθαί φησι τὸν
25 θεολόγον· ὥστε δόξειεν ⟨ἂν⟩ οὐ καλῶς λέγειν, ὅτι τὰ εἴδη οὐκ εἰσὶ χω-
ριστὰ τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ, εἰ μὴ τὰ εἴδη οὕτω λέγοι ὡς οὐσίας, εἰ
δὲ τὰ εἴδη τὰς οὐσίας λέγοι, αἱ δὲ φυσικαὶ οὐσίαι σύνθετοι ἐκ τοῦ ὑπο-
κειμένου καὶ τοῦ εἴδους, ἀδύνατόν ποτε χωρὶς ὕλης τὰς τοιαύτας οὐσίας 50
ἐπινοῆσαι. τοῦτο δὲ δοκοῦσι ποιεῖν οἱ τὰς ἰδέας ὑποτιθέμενοι· λέγουσι γὰρ
30 αὐτοάνθρωπον καὶ αὐτόιππον, ἅμα δὲ τῷ ἐπινοῆσαι ἄνθρωπον ἐν ὑποστά-
σει εἶδος ἐν ὕλῃ ἐνόησα καὶ τὸ ἐξ ἀμφοῖν σύνθετον. ὥστε ἐπειδὴ οἱ τὰς
ἰδέας ὑποτιθέμενοι οὐχ ἁπλῶς ἀνθρώπου λόγον ἢ ἵππου λόγον ὑπετίθεντο

---

1 καθ' αὐτὸν M 2 ἢ Mt: ἡ K: om. L πῶς οὖν K 4 καὶ ἡ τὸ πειθανὸν ἔχων K 5 ἡ ἀπόστασις δῆλον om. K ἀπόστασις M 6 ἐνεκάλλει (sic) K: ἐνεκαλεῖτο LMt χωρίζειν LK: ἐγχωρίζειν Mt ἰδίᾳ τὰ εἴδη K: τὰ εἴδη (om. ἰδίᾳ) L: τὰ ἴδια εἴδη Mt 9 οὐκ εὔλογον κτλ.] at cf. p. 138,24 10 ἐμοί γε K 12 καὶ αὐτὴ (h. e. αὐτὴ om. ἡ) K μὲν οὖσα L 13 διάφορα εἴδη fortasse recte K 16 ὂν L: ὂν K: οὖν Mt 17 Περὶ Γενέσεως A 5 p. 321ᵇ19 ad quem locum cf. Philopon. f. 24ʳ39 sqq. Ald. 18 λέγεται Mt 20 ὡς δὴ LK: πῶς δὴ Mt τοῦτο] τοῦ K 21 φησὶ λέγεσθαι τριχῶς L 22 ἐπὶ τῆς ὕλης post ὄνομα traic. Mt 23 ἐφεξῆς p. 194ᵇ12 cf. infra p. 244,1 sqq. 24 εἴδη K: τὰ εἴδη LMt 25 ἂν addidit t 26 λέγοι LK: λόγοι M: λέγει t 27 λέγοι L: λε K: λέγει Mt 29 εἰδέας et 32 εἰδέας K 30 et p. 226,1 αὐτὸ ἄνθρωπον καὶ αὐτὸ ἵππον (sic) K 30 ὑπονοῆσαι K

www.libtool.com.cn

χωρὶς τῆς ὕλης, ἀλλ' αὐτοάνθρωπον καὶ αὐτόιππον, καλῶς εἴρηκεν ὅτι τὰ f 5v
τοιαῦτα εἴδη, τουτέστι τὰς συνθέτους οὐσίας, οὐκ ἔστιν οὐδὲ κατ' ἐπίνοιαν
χωρίσαι τῆς ὕλης, ἀλλὰ κἂν τις ἐπινοῆσαι | ταῦτα θελήσῃ κἄν τε ὁρίσα- f 6r
σθαι, εὐθὺς ἀνάγκη καὶ τὴν ὕλην ὑπολαμβάνειν. οὕτως οὖν, ὡς εἶπον,
5 ἀκουστέον αὐτὸν λέγειν εἴδη τὰς οὐσίας, οὐχ ὡς αὐτῷ δοκοῦν τοῦτο, ἀλλ'
ὡς συναγόμενον ἐκ τῶν τὰς ἰδέας ὑποτιθεμένων· λέγοντες γὰρ αὐτοάνθρωπον
καὶ αὐτόιππον, τί ἄλλο ἢ οὐσίαν ἀνθρώπου καὶ οὐσίαν ἵππου καὶ τῶν
λοιπῶν ὑποτίθενται; λέγουσι δὲ τὰς τοιαύτας οὐσίας χωρὶς τῆς ὕλης ἐν
ὑποστάσει ἰδίᾳ εἶναι, ἅπερ μηδὲ κατ' ἐπίνοιαν ἐκ τῆς ὕλης δυνατὸν ἐπινοῆσαι, 5
10 ὡς εἰρήκαμεν· τὰ ἄρα μηδὲ κατ' ἐπίνοιαν χωριστὰ τῆς ὕλης καθ' ὑπό-
στασιν χωρίζουσι τῆς ὕλης, ὅπερ ἄτοπον.

p. 194a4 Ἔτι δὲ ἀριθμὸς καὶ γραμμὴ καὶ σχῆμα ἄνευ κινήσεως.

Τουτέστιν ἄνευ ὕλης· ἐλέγομεν γὰρ αἰτίαν τῆς κινήσεως τὴν ὕλην εἶναι·
διίσταται γὰρ ἐπ' αὐτῇ τὸ εἶδος ἀδιάστατον ὄν. σὰρξ δὲ καὶ ὀστοῦν 10
15 καὶ ἄνθρωπος οὐκέτι, ἀλλὰ ταῦτα ὥσπερ σιμὴ ῥίς. οὐχ ὥσπερ
ὁριζόμενοι τὸ εὐθὺ ἢ τὸ καμπύλον ἢ τὸν κύκλον οὐ προσχρώμεθα τῇ ὕλῃ,
οὕτω καὶ ἐπὶ σαρκὸς καὶ ὀστοῦ καὶ τῶν λοιπῶν· ἀλλ' ὥσπερ σιμότητα
ὁριζόμενοι παραλαμβάνομεν καὶ τὸ ὑποκείμενον τὴν ῥῖνα (λέγομεν γὰρ
ὅτι σιμότης ἐστὶ κοιλότης ἐν ῥινί), οὕτω δὲ καὶ σάρκα ὁριζόμεθα καὶ
20 ὀστοῦν καὶ τὰ λοιπὰ τὸ ὑποκείμενον συμπαραλαμβάνοντες ἐν τῷ ὁρισμῷ.
ὥσπερ δ' εἰ μὴ τὴν σιμότητα, ἀλλ' ἁπλῶς τὴν κοιλότητα ὁριζόμεθα, οὐ 15
μεμνήμεθα παντελῶς ὕλης, οὕτω καὶ τὰ συμβεβηκότα ὁριζόμενοι οὐ παρα-
ληψόμεθα ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον.

p. 194a7 Δηλοῖ δὲ καὶ τὰ φυσικώτερα τῶν μαθημάτων.

25 Ὅτι, φησί, τὰ φυσικὰ εἴδη οὔτε ἐπινοῆσαι οὔτε ὁρίσασθαι δυνατὸν ἄνευ
ὕλης, δηλοῦσι καὶ τῶν μαθημάτων ὅσα ἐγγύς πώς εἰσι φυσιολογίας, ἀστρο-
νομία λέγω καὶ ὀπτικὴ καὶ ἁρμονική. ἥ τε γὰρ ὀπτικὴ τὰ συμβαίνοντα 20

---

4 παραλαμβάνειν fort. recte K 5 αὐτὸν K 6 εἰδέας K 6. 7 αὐτο ἄνθρωπον καὶ αὐτο ἵππον K 8 χωρὶς τῆς K: χωριστὰς LMt 9 ἅπερ LK: om. M: ἃς t: fort. ἅσπερ ἐκ τῆς LKM: ἄνευ τῆς t: scribendum ἐκτὸς (cf. p. 220,34. ad q 5r53) 10 ἄρα] γὰρ K 12. 14 Ἔτι δὲ—ὄν om. K 12 Ἔτι δὲ M: ἔστι δὲ (L)t καὶ ἀριθμὸς καὶ t 13 λέγομεν L at cf. p. 211,23. 223,28 14. 15 καὶ ὀστοῦν—ῥίς om. K 15 σιμὴ ῥίς LM: ῥὶς σιμή ex Aristotele t 16 ὁριζόμενοι t: ὁριζόμενος LM: ὁρίζομεν K εὐθὺ K κύκλον LK: κύβον Mt 17 οὕτω δὲ καὶ K τὴν σιμότητα K 19 κοιλότης LK: κοίλανσις Mt 20 τῶ ὑποκειμ K συμπαραλαμβάνον K 21 ὁρισόμεθα K 22 μεμνήμεθα LK: μεμνημ/ (sup. η accent. delet.) M: μεμνημένοι (post ὕλης repetito ὁριζόμεθα) t 24 τῶν μαθημάτων LM: τῶν μαθηματικῶν t: om. K 25 φησί] φύσ K ἐπινοῆσαι LK: ἐπινοήσαι M: ἐπινοήσασθαι t 26 δηλοῦσι δὲ καὶ L πως L: πῶς K: που Mt 27 ἥτε γὰρ K: εἶτα γὰρ L

www.libtool.com.cn

περὶ τὰς ὄψεις ἐπισκοποῦσα, τάς τε τῶν εὐθειῶν καὶ τῶν ἐξ αὐτῶν συνι- f 6r
σταμένων καὶ ἐκπεμπομένων κώνων ἐκπομπὰς καὶ ἀνακλάσεις καὶ γωνίας
καὶ ὅσα ἄλλα γεωμετρικῶς ἐπὶ αὐτῶν ἐξετάζει, τῆς γεωμετρίας τὰ τοιαῦτα
πάθη χωρὶς ὕλης ἐπινοούσης, ἡ ὀπτικὴ ὑφεστώσας λαμβάνει τὰς τοιαύτας
5 γραμμὰς καὶ τὰ παρακολουθοῦντα αὐταῖς πάθη οὐκ ἄνευ κινήσεως καὶ
ὕλης· ὁμοίως καὶ ⟨ἡ⟩ ἀστρονομία τὰ ἐν τῷ οὐρανῷ σχήματα καὶ ὅσα ἄλλα
ἐπὶ τῆς κινήσεως αὐτῶν μαθηματικῶς δείκνυσιν, ἐπειδὴ ἐνεργείᾳ ὑφέστη- 25
κότα ταῦτα λαμβάνει, μετὰ τῆς ὕλης αὐτὰ θεωρεῖ· πάλιν τε αὖ γεωμετρίας
καὶ ἀριθμητικῆς ἁπλῶς διπλάσιον ἡμιόλιον καὶ τὰ τοιαῦτα χωριστῶς σκο-
10 πούσης, ἐπειδὴ ὁ ἁρμονικὸς ἐνεργείᾳ ὑπάρχοντας τοὺς τοιούτους θεωρεῖ
λόγους, οὐδὲ ἐπινοῆσαι αὐτοὺς ἄνευ ὕλης δύναται. εἰ οὖν καὶ ὅσα τῷ λόγῳ
χωρίζειν δυνατόν, ὅταν ἐνεργείᾳ ὑφεστηκότα λαμβάνηται, οὐδὲ τῷ λόγῳ
χωρίζεται, πόσῳ μᾶλλον τὰ μηδὲ τῇ ἐπινοίᾳ χωρίζεσθαι δυνάμενα οὐκ
εὔλογον δήπου τῇ ὑποστάσει χωρίζειν; ταῦτα δέ ἐστι τὰ οὐσιώδη εἴδη. 30
15 ἀστρολογίαν δὲ κοινότερον οἱ παλαιοὶ ἐκάλουν, ἣν ἡμεῖς νῦν εἰδικώτερον
ἀστρονομίαν καλοῦμεν. φυσικώτερα δὲ εἶπε τῶν μαθημάτων ταῦτα,
διότι ἅπερ μαθηματικῶς δείκνυται, ταῦτα οὗτοι ὡς ἐν φυσικοῖς θεωροῦσι
σώμασιν.

p. 194a9 Ἀνάπαλιν γὰρ τρόπον τινὰ ἔχουσι τῇ γεωμετρίᾳ.

20 Ὅ φησι διὰ τούτων τοῦτό ἐστιν, ὅτι γεωμετρία μὲν λαβοῦσα ἐκ τῶν 35
φυσικῶν σωμάτων τὰς γραμμάς (πέρατα γὰρ φυσικῶν σωμάτων αἱ γραμ-
μαί), οὐχ ὡς περὶ φυσικῶν σωμάτων οὕτως σκοπεῖ περὶ αὐτῶν, ἀλλὰ
χωρίσασα αὐτὰς τῷ λόγῳ τῶν φυσικῶν σωμάτων οὕτως σκοπεῖ περὶ αὐ-
τῶν ὡς μαθηματικῶν, οὐχ ὡς φυσικῶν, ἀστρονομία δὲ καὶ ἁρμονικὴ καὶ
25 ὀπτικὴ ἀνάπαλιν ἔχουσι τῇ γεωμετρίᾳ· λαμβάνουσαι γὰρ τὰ ἀποδεδειγμένα 40
τῇ γεωμετρίᾳ οὐκέτι οἷς ἔλαβον μαθηματικοῖς οὖσιν ὡς μαθηματικοῖς
κέχρηνται, ἀλλ' ὡς φυσικοῖς, οὐ χωριστὰ αὐτὰ ἐπινοοῦσαι ἀλλ' ἐν ὕλῃ.
ὥστε εἰ αὗται αἱ ἐπιστῆμαι, ἐπειδὴ τὰ τῇ ἐπινοίᾳ χωριστὰ ὡς ὑφεστη-
κότα ἔλαβον, εὐθὺς καὶ τὴν ὕλην ἐπενόησαν (ἡ μὲν γὰρ τὰ οὐράνια σώ-

---

2 καὶ ἐκπεμπομένων om. K 3 ἐξετάζειν K post τῆς interpolat γὰρ t 4 ὕλης om. Mt τὰς τοιαύτας λαμβάνει Mt 5 αὐταῖς K 6 ἡ addidit t τὰ om. M 7 αὐτῶν K 7. 8 ταῦτα ὑφεστηκότα Mt 8 μετὰ LK: καὶ μετὰ Mt 8. 9 γεωμετρίας τε καὶ L 9 διπλασίον K χωριστὰ L 10 ἐπειδὴ om. t 11 καὶ οὐδὲ Mt εἰ οὖν κτλ.] cf. Themist. p. 167,1 sqq. 12 λαμβάνηται ὑφεστηκότα K 13 χωρίζεται Kt Themistius: χωρίζηται LM. adamat quidem Philoponus εἰ cum coniunctivo iunctum, hic tamen praecedens λαμβάνηται librarios codicum LM fefellisse videtur πόσω γε μᾶλλον L 15 παλαιοὶ κοινότερον (om. οἱ) K. ceterum cf. p. 222,17 sqq. ἣν νῦν ἡμεῖς Mt ἰδικώτερον K 16 φυσικῶ K 18 σώμασιν εἶναι L 22 οὐχ ὥσπερ φυσικῶν (om. σωμάτων, οὕτως) σκοπεῖ (om. περὶ αὐτῶν) ἀλλὰ K 23 αὐτὰς t: αὐτὰ LKM 25 ὑποδεδειγμένα Mt 26 ἔλαβεν t 27 κέχρηνται t: κέχρηται LKM ἐπινοοῦσαι t: ἐπινοοῦντες LKM 28 αἱ om. Mt 29 συνεπενόησαν K

www.libtool.com.cn

ματα, ἡ δὲ τὰς χορδάς, ἡ δὲ τὰς ὄψεις), σχολῇ γε τὰ φυσικὰ εἴδη χωρι- f 6r
σθείη ποτ' ἂν τῶν ὑποκειμένων, ὅπερ ποιοῦσιν οἱ τὰς ἰδέας ὑποτιθέμενοι.

p. 194ª12 Ἐπειδὴ ἡ φύσις διχῶς, τό τε εἶδος καὶ ἡ ὕλη, ὡς ἂν εἰ περὶ σιμότητος τί ἐστι σκοποῖμεν, οὕτω θεωρητέον.

Διακρίνας τὸν μαθηματικὸν τοῦ φυσιολόγου εἰπὼν ὅτι ὁ μὲν μαθη-
ματικὸς ἐπισκέπτεται τὰ ἐν τοῖς φυσικοῖς εἴδη, ἀλλ' οὐχ ὡς φυσικὰ
ἀλλ' ὡς μαθηματικά, χωρίζων αὐτὰ τῶν ὑποκειμένων, ὁ δὲ φυσικὸς ὡς
ἀχώριστα αὐτὰ σκοπεῖ καὶ μετὰ τῆς ὕλης, ἀκολούθως ἐνταῦθα σκοπεῖ πό-
τερον φυσικοῦ ἐστι τὸ περὶ ἀμφοτέρων διαλέγεσθαι ἢ οὔ. ἐπεὶ γὰρ καὶ
δέδεικται ἔμπροσθεν ὅτι ἡ φύσις καὶ κατὰ τῆς ὕλης λέγεται καὶ κατὰ τοῦ
εἴδους, πότερον, φησί, περὶ ἀμφοτέρων ὁ φυσικὸς διαλέξεται, καὶ ἀποδιδοὺς
τοὺς ὁρισμοὺς τῶν φυσικῶν πραγμάτων ἐκ θατέρου τὸν ὁρισμὸν ἀποδώσει
ἢ ἐξ ἀμφοῖν; καί φησιν ὅτι τὸ μὲν εἶναι τῶν πραγμάτων χαρακτηρίσει
κατὰ τὸ εἶδος καὶ μάλιστα τὸν ὁρισμὸν ἐκ τοῦ εἴδους ἀποδώσει, οὐ πα-
ραλείψει δὲ οὐδὲ τὴν ὕλην ἀλλὰ συμπεριλήψεται καὶ ταύτην. ἐζήτησε δὲ
τοῦτο αὐτὸ καὶ ἐν | τῇ Περὶ ψυχῆς πραγματείᾳ· τριχῶς γάρ, φησί, τῶν f 6v
ὁρισμῶν ἀποδιδομένων, ἢ ἐκ τοῦ εἴδους ἢ ἐκ τῆς ὕλης ἢ ἐκ τοῦ συναμ-
φοτέρου (οἷον ὡς ἐπὶ θυμοῦ ἐκ μὲν τῆς ὕλης ὅτι ἐστὶ ζέσις τοῦ περὶ καρ-
δίαν αἵματος, ἐκ δὲ τοῦ εἴδους ὅτι ὄρεξις ἀντιλυπήσεως, ἐκ δὲ τοῦ συναμ-
φοτέρου ζέσις τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως), τριχῶς
οὖν, φησί, λεγομένου τοῦ ὁρισμοῦ, ὁ φυσικὸς οὔτε ἐκ τῆς ὕλης μόνης ὁριεῖ-
ται οὔτε ἐκ τοῦ εἴδους μόνου, ἀλλ' ἐκ τοῦ συναμφοτέρου· ἀλλ', ὡς εἶπον,
τὸ μὲν εἶναι τῶν πραγμάτων ἀποδώσει κατὰ τὸ εἶδος, οὐ παραλείψει δὲ
οὐδὲ τὴν ὕλην. ὅσον μὲν γάρ, φησίν, ἐπὶ τῇ τῶν ἀρχαίων φυσιολογίᾳ
δόξειεν ⟨ἂν⟩ τοῦ φυσικοῦ εἶναι περὶ τῆς ὕλης μόνον διαλέγεσθαι· τῆς μὲν
γὰρ ὕλης πολὺ ἐφρόντισαν πάντες οἱ παλαιοί, τοῦ δὲ εἴδους οἱ μὲν οὐδένα
ἐποιήσαντο λόγον, ὅσοι δὲ καὶ ἐμνήσθησαν εἰδικοῦ αἰτίου ἐπὶ βραχὺ τούτου
ἐφρόντισαν, οὗτοι δέ εἰσι Δημόκριτός τε καὶ Ἐμπεδοκλῆς. ὁ μὲν γὰρ Δη-
μόκριτος ὕλην λέγων τὸ ὑποκείμενον ταῖς ἀτόμοις εἰδοποιοὺς αἰτίας ἔλεγε

---

2 ὑποκειμένων t: ὑποκειμ. K: ὑπ' ἐκεῖνο LM εἰδέας K 3 lemma om. K ἐπειδὴ LM: ἐπειδὴ δὲ t: hoc vel ἐπεὶ δὲ Aristotelis libri (praeter pr. E) cf. p. 234,1 4 τί om. M ἐστιν t σκοποῖμεν M: σκοπῶμεν L: ἐσκοποῦμεν t 5 καὶ εἰπὼν Mt 6 τὰ ἐπὶ τοῖς K 7 τῆς ὑποκειμένων (sic) K 8 αὐτὰ K 8. 9 σκοπεῖ πότε φυσικόν K 10 ἔμπροσθεν c. 1 p. 193ª9 sqq. καὶ κατὰ τῆς ὕλης λέγεται L: λέγεται καὶ κατὰ τῆς ὕλης Mt: λέγεται καὶ κατὰ τῆς ὕλης λέγεται K 10. 11 τὸ εἶδος K 11 πότερον ἄρα M: πότερον ἄρα t φησί, περὶ ἀμφοτέρων om. K 12 ἐκ θατέρου] ἑκατέρου L 14. 15 παραλείψει L: παραλήψει KMt 16 Περὶ ψυχῆς A 1 p. 403ª29 sqq. 17 ἀποδιδομένω K 18 ἐπὶ τοῦ θυμοῦ K 18. 19 περὶ καρδίαν LK: περικαρδίου (cf. i 4 r 23) Mt. eadem varietas in Arist. libris l. c. ª30 19. 20 ἐκ δὲ τοῦ συναμφοτέρου — ἀντιλυπήσεως LK: om. Mt 22 μόνου] μόνον K 23 παραλείψει LM: παρὰ λείψει K: παραλήψει t 24 γὰρ om. et mox τῇ om. superscr. K 25 δόξειεν Kt: δόξεις L: δόξει M ἂν addidit t τοῦ] ἐκ τοῦ M 26 πολὺ] πολλοὶ M

www.libtool.com.cn

τὰ σχήματα τῶν ἀτόμων· τὰς μὲν γὰρ σφαιρικὰς εἰδοποιεῖν τὸ πῦρ, τὸ δὲ f 6v
ὕδωρ τυχὸν τὰς κυβικάς, καὶ ἄλλο ὑπ' ἄλλων σχημάτων εἰδοποιεῖσθαι. 11
ὁμοίως δὲ καὶ Ἐμπεδοκλῆς τὸ νεῖκος καὶ τὴν φιλίαν εἰδοποιοὺς αἰτίας τῶν
ὄντων ἔλεγεν· εἰ γὰρ καὶ ποιητικὰς ἐλάμβανεν αἰτίας τὸ νεῖκος καὶ τὴν
5 φιλίαν, ἀλλ' οὖν εἰδοποιεῖσθαι δι' αὐτῶν τόν τε σφαῖρον διὰ τῆς φιλίας
καὶ τὸν κόσμον τοῦτον διὰ τοῦ νείκους. ὥστε ποιητικὸν αἴτιον λέγοντες,
οὐ πάντῃ τοῦ εἴδους ἠμέλησαν· ποιοῦσι γὰρ ταῦτα οὐ τὴν ὕλην, ἀλλὰ τὰ
εἴδη. Ἀναξαγόρου δέ, καίπερ καὶ αὐτοῦ τὸν νοῦν αἰτιασαμένου τῆς εἰδο- 15
ποιΐας τῶν ὄντων, ὅμως οὐκ ἐμνήσθη, ἴσως διὰ τὰ εἰρημένα περὶ αὐτοῦ
10 ἐν τῷ Φαίδωνι, ὅτι εἰ καὶ ᾐτιάσατο τὸν νοῦν τῆς γενέσεως τοῦ παντός,
ἀλλ' οὖν ἐν τῇ ἀποδόσει τῆς τῶν κατὰ μέρος γενέσεως οὐκέτι τῷ νῷ
ἐχρήσατο, ἀλλ' εἰς ὑλικὰς πάλιν κατέπεσεν αἰτίας· τὰς γὰρ ὁμοιομερείας
σαρκὸς καὶ ὀστοῦ καὶ τῶν λοιπῶν ᾐτιάσατο, ἅπερ ὡς ὑλικὸν ὑπετίθετο
αἴτιον. ὅσον μὲν οὖν ἐπὶ τῇ τῶν ἀρχαίων δόξῃ, περὶ τῆς ὕλης δόξειεν ἂν
15 εἶναι τοῦ φυσικοῦ διαλέγεσθαι, ὅτι δὲ περὶ ἀμφοτέρων δεῖ τὸν φυσικὸν
ποιεῖσθαι τοὺς λόγους, δείκνυσι διὰ πλειόνων ἐπιχειρημάτων· καὶ πρῶτόν 20
γε ἐκ τῆς ἀναλογίας τῆς τέχνης πρὸς τὴν φύσιν, ἐπειδὴ καὶ εἰκών ἐστι τῆς
φύσεως ἡ τέχνη. εἰ τοίνυν ὁρῶμεν, ὅτι τῆς αὐτῆς τέχνης ἐστὶν εἰδέναι
καὶ τὴν ὕλην καὶ τὸ εἶδος (ὁ γὰρ οἰκοδόμος οὐ μόνον τὸ εἶδος τῆς οἰκίας
20 οἶδεν, ἀλλὰ καὶ τὴν ὕλην τὴν ἐπιτηδείαν εἰς τὸ καταδέξασθαι τὸ τῆς οἰ-
κίας εἶδος, καὶ ὁ τέκτων εἰδὼς τὰ εἴδη τῶν σκευῶν, κλίνης θρόνου καὶ
τῶν λοιπῶν, οἶδε καὶ ποία ὕλη πρὸς ποῖον εἶδος ἐπιτηδεία ἐστίν), εἰ τοίνυν
τοῦ αὐτοῦ τεχνίτου ἐστὶ καὶ τὸ εἶδος καὶ τὴν ὕλην τὴν οἰκείαν τῷ εἴδει 25
γνῶναι, καὶ τοῦ φυσικοῦ ἄρα τοῦ αὐτοῦ καὶ ἡ τοῦ εἴδους καὶ ἡ τῆς ὕλης
25 [προσήκει] ἐπίσκεψις.

Δεύτερον ἐπιχείρημα. τῆς αὐτῆς, φησίν, ἐστὶ τέχνης καὶ τὸ τέλος εἰ-
δέναι καὶ ὅσα τοῦ τέλους ἕνεκα γίνεται· εἰδὼς γὰρ ὁ οἰκοδόμος ὁποῖόν τί
ἐστι τὸ τῆς οἰκίας εἶδος, ὅπερ σκοπὸν τῆς τέχνης καὶ τέλος ποιεῖται, οἶδε
καὶ τὴν ὁδὸν δι' ἧς ἐπὶ τὸ τέλος τοῦτο ἀφίξεται. καὶ ὁ ἰατρὸς εἰδὼς τὴν
30 ὑγείαν, οἶδε καὶ τὴν ὁδὸν τὴν ἐπὶ τὴν ὑγείαν· εἰ γὰρ εἰδείη μὲν ὁ τεχνίτης
τὸ τέλος τὴν ὁδὸν δὲ ἀγνοοῖ, οὐδέποτε ἀφίξεται εἰς τὸ τέλος. εἰ δὲ τοῦ 30

---

4 ἐλάμβανεν scripsi: ἐλάμβανον libri 5 διὰ τῆς] διτῆς K 6 κόσμον διὰ τοῦτον τοῦ νίκους K 7. 8 τὴν ὕλην ἀλλὰ (2 litterae eras. K) τὰ εἴδη LK: τὰ εἴδη ἀλλὰ τὴν ὕλην Mt 8 καὶ (post καίπερ) om. Mt 8. 9 εἰδιοποιΐας K 10 Φαίδωνι Platonis p. 97 C sqq. cf. Zeller I⁴ p. 893,2 εἰτιάσατο K: ᾐτήσατο M τὸν om. Mt

11 τῶν om. Mt 13 ἅπερ LMt: ἅσπερ recte K 14 ὕλης] ὕληκ K ης 15 δὲ et τὸν φυσικὸν om. K ἀμφωτέρων K 17 γε] μὲν K 21 τέκτων] τούτων K θρόνου om. K 23 prius καὶ om. superscr. L τὴν ὕλην] τῆς ὕλης (alterum ς ex ν factum) K 24 τῷ φυσικῷ t τοῦ αὐτοῦ LK: om. Mt at cf. p. 234,17 καὶ ἡ τῆς ὕλης καὶ ἡ τοῦ εἴδους L prius ἡ om. K
25 προσήκει delevi 26 ἐπιχείρημα] ἐπὶ K 27 ὅσα ἄλλα Mt 28 οἰκίας K: οἰκείας LMt οἶδα L 30 ὑγίαν et ὑγίειαν K 31 τὴν ὁδὸν δὲ LK: τὴν δὲ ὁδὸν Mt ἀγνοοῖ scripsi: ἀγνοεῖ libri εἰ δὲ KMt: εἰ δὲ καὶ L τοῦ] τὸ M

www.libtool.com.cn

αὐτοῦ καὶ τὸ οὗ ἕνεκα (τουτέστι τὸ τέλος) εἰδέναι καὶ τὸ ἕνεκα τούτου f 6v
(τουτέστι τὴν ὁδὸν τὴν ἐπὶ τὸ τέλος), ἕνεκα δὲ τοῦ εἴδους ἡ ὕλη καὶ ὁδὸς
ἐπὶ τὸ εἶδος ἡ τῆς ὕλης ἐπιτηδειότης, καὶ ὁ φυσικὸς ἄρα ἀμφότερα εἴσε-
ται καὶ τὸ τέλος καὶ τὸ ἕνεκα τούτου, τοῦτο δέ ἐστιν ἡ ὕλη· ὥστε ἀμ-
5 φότερα τοῦ φυσικοῦ ἐπισκέψασθαι. ἀλλ' ἐπειδὴ τὸ τέλος διττόν, τὸ μὲν
οὗ τὸ δὲ ᾧ (οἷον τὸ μὲν εἶδος τῆς θύρας ὡς οὗ τέλος· τούτου γὰρ ὁ
τεχνίτης στοχάζεται, τοῦτο δὲ καὶ σκοπὸν καλοῦσι. τὸ δὲ ᾧ· γίνεται γὰρ 35
ἡ θύρα οὐ δι' αὐτὸ τοῦτο, ἵνα τοιόνδε τὸ εἶδος γένηται, ἀλλ' ἵνα ταῖς τοῦ
ἀνθρώπου χρείαις ἐπαρκέσῃ, ὥστε τῷ ἀνθρώπῳ τέλει πως ὄντι γίνεται ἡ
10 θύρα, ἵνα φυλάξῃ τὸν οἶκον), καὶ ὁ εἰδὼς οὖν τὸ ὡς οὗ τέλος, τουτέστι
τὸ τῆς θύρας εἶδος, οἶδεν εὐθὺς καὶ τὰ ἕνεκα τούτου, τοῦτο δέ ἐστιν ἡ
ὕλη, καὶ ὁ τὸ ὡς ᾧ τέλος εἰδὼς (οἷον ὁ ἄνθρωπος ὁ εἰδὼς ὅτι εἰς τὴν
αὐτοῦ χρείαν γέγονε· τοῦτο γὰρ τελικώτατον τῆς θύρας τέλος ἡ τοῦ ἀν-
θρώπου χρεία), καὶ ὁ τὸ τοιοῦτον οὖν τέλος εἰδὼς οἶδε καὶ τὰ ἕνεκα τού- 40
15 του γινόμενα· ὁ γὰρ εἰδὼς ὅτι δεῖ ἀσφαλῶς ἔχειν τὰ σκευάρια, οἶδεν ὅτι
πρὸς τὸ τυχεῖν τούτου δεῖ τινος στερεοῦ καὶ ἀντιτύπου σώματος τοῦ εἴρ-
γοντος τοὺς ἐπηρεάζειν βουλομένους. ὥστε κἂν διχῶς λέγηται τὸ τέλος, ὁ
εἰδὼς ὁποιονοῦν τῶν τελῶν καὶ τὰ πρὸς τὸ τέλος εἴσεται, ὧν ἐστι καὶ ἡ
ὕλη· ὥστε καὶ τοῦ φυσικοῦ οὐ μόνον τὰ εἴδη γνῶναι, ἀλλὰ καὶ τὴν ὕλην.
20 Ἐπὶ τούτοις οὖν ὥσπερ ἀπορίαν τινὰ ἐπιφερομένην ἐπιλύεται. ἠπόρησε
γὰρ ἄν τις, ὅτι εἰ τοῖς τεχνητοῖς ἀξιοῖς ἐξομοιοῦν τὰ φυσικά, ἐπειδὴ ὁρῶ- 45
μεν ὅτι αἱ μὲν τῶν τεχνῶν τὴν ὕλην κατασκευάζουσιν, αἱ δὲ τὸ εἶδος ἐπι-
τιθέασι τῇ ὕλῃ, καὶ ἐπὶ τῶν φυσικῶν ἄρα ἑτέρας ἂν εἴη τὸ γνῶναι τὴν
ὕλην τῶν φυσικῶν ἐπιστήμης, ἑτέρας δὲ τὸ εἶδος. ἡ μὲν γὰρ κυβερνητικὴ
25 οἶδε τὸ εἶδος τὸ πηδαλίου ὁποῖον δεῖ εἶναι, καὶ ἐπιτάττει τῷ ναυπηγῷ ὅτι
'βούλομαι ὄργανον κατασκευασθῆναί μοι εἰς τὸ περιάγειν τὴν ναῦν, καὶ διὰ
τοῦτο δεῖ αὐτὸ τυχὸν κυλινδροειδὲς εἶναι, ἵνα εὐχερῶς περιάγηται, δεῖ δὲ
καὶ κάτωθεν εἰ τύχοι πλάτος ἔχειν, ἵνα πλείονι προσπίπτον ὕδατι τῇ πρὸς 50
αὐτὸ ἀντερείσει ὠθῇ τὴν ναῦν.' τὸ μὲν οὖν εἶδος ἐπιτάττει ὁ κυβερνήτης,
30 τὴν δὲ ὕλην ἐκ ποίων ποτὲ ξύλων εἶναι δεῖ οὐκέτι οἶδεν, ἀλλὰ παρα-
χωρεῖ τὴν ταύτης εἴδησιν τῷ ναυπηγῷ. ἀλλὰ καὶ ὁ ναυπηγὸς εἰδὼς τὸ
εἶδος τὸ τοιόνδε τοῦ πηδαλίου, τὴν ἐργασίαν τῆς ὕλης ἄλλῳ ἐπιτάττει·
ἁπλῶς μὲν γὰρ τὴν ὕλην εὐτρεπίζει ἡ δρυτομικὴ τῇ τεκτονικῇ, εὐεργὸν δὲ
ταύτην ποιεῖ ἡ πριστική, εἶτα τὸ εἶδος ἐπιτίθησιν ἡ ναυπηγική· καὶ τῷ
35 οἰκοδόμῳ ἄλλη μὲν τέχνη τὴν ὕλην ἁπλῶς εὐτρεπίζει ἡ λατομική, ἄλλη |

---

1 τὸ οὗ] τοῦ οὗ K τούτου om. K 2 εἴδους LK: τέλους Mt 4 τὸ (ante τέλος) om. L ἑνακά του (h. e. ἕνεκά του) K 6 τούτου] τούτον (sic) K 8 τοιόνδε τι εἶδος K 9 ἐπαρκέσει M τέλει Mt: τέλος LK 13 fortasse αὐτοῦ 15 τὰς κωάρια εἶδεν ὅτι K 16. 17 τοῦ εἴργοντος marg. M²: τοὺς εἴργοντας M: om. L 17 διχῇ L 18 τὸ (post πρὸς) om. K 19 εἴδει K 21 τεχνιτοῖς K 25 τὸ εἶδος τοῦ πηδαλίου fort. recte K δεῖ] δὲ M 28 τύχῃ M πλάτ' (h. e. πλάτως) K προσπίπτων K 30 δεῖ ξύλων εἶναι K 32 ἄλλα K 33 δρυτοτομικη (omisso articulo et accentu) K cf. p. 238,11 ἔνεργον K 35 τέχνης L

www.libtool.com.cn

δὲ εὔεργον ποιεῖ, ὡς ἡ τοὺς λίθους ἐπιτηδείους εἰς οἰκοδομίαν παρασκευάζει f 7r
ἀποξέουσα καὶ εἰς θέσιν εὔθετον παρασκευάζουσα· καὶ ἄλλη μὲν τὸν χαλκὸν
προευτρεπίζει, οἷον ἡ περὶ τὴν τοῦ μετάλλου συναγωγὴν ἀσχολουμένη, ἄλλη
δὲ εἶδός τι τῷ χαλκῷ ἐπιτίθησιν, οἷον ἡ χαλκευτική. διὰ τί οὖν μὴ καὶ
5 ἐπὶ τῆς φυσικῆς ἄλλης μέν ἐστι τὸ περὶ τῆς ὕλης διαλέγεσθαι, ἄλλης δὲ
τὸ περὶ τοῦ εἴδους; φησὶν οὖν ἐπιλυόμενος τὴν ἀπορίαν, ὅτι ἐπὶ μὲν τῶν 5
τεχνητῶν οὐκ ἐνυπάρχει ἐν αὐτοῖς ἡ ὕλη αὐτῶν, ἀλλ' ἔξωθεν αὐτὴν πα-
ραλαμβάνομεν καὶ ἡμεῖς αὐτὴν ἐπινοοῦμεν· καὶ διὰ τὸ μὴ ἐξισχύειν τὴν
φύσιν τὴν ἡμετέραν ἅμα πάντα ποιεῖν, ἄλλη μὲν τέχνη περὶ τὴν ὕλην
10 καταγίνεται ἄλλη δὲ περὶ τὸ εἶδος, ἐπὶ δὲ τῆς φύσεως οὐκ ἔξωθεν χορη-
γεῖται ἡ ὕλη τῇ φύσει, ἀλλ' αὐτὴ καὶ τὴν ὕλην ἑαυτῇ εὐτρεπίζει καὶ τὸ
εἶδος ἐπιτίθησιν. ὕλην δέ φημι τὴν προσεχῆ· ἡ γὰρ ἀνθρώπου φύσις εἰ
καὶ μὴ αὐτὴ τὰ στοιχεῖα ποιεῖ, ἀλλ' οὖν αὐτὴ κίρνησιν αὐτὰ οὐκ ἔξωθεν
λαβοῦσα, ἀλλ' ἐν ἑαυτῇ ἔχουσα, τοῦτο δέ ἐστιν ἡ προσεχὴς ὕλη τοῦ ζῴου. 10
15 καὶ τοῦτο ἐπὶ ἑκάστης τῶν κατὰ μέρος φύσεων. εἰ τοίνυν ἡ φύσις καὶ τὸ
εἶδος ποιεῖ καὶ τὴν προσεχῆ τοῦ εἴδους ὕλην, καὶ ὁ τὰ εἴδη ἄρα τὰ φυ-
σικὰ ἐπισκεπτόμενος ἐπισκέψεται καὶ τὴν ὑποβεβλημένην αὐτοῖς ὕλην· εἰ
γὰρ ἐπειδὴ μὴ ποιεῖ ἡ χαλκευτικὴ τέχνη τὴν ὕλην (οἷον τὸ μέταλλον
αὐτό), ἀλλ' ἑτέρα ἐστὶν ἡ τοῦτο ἐργαζομένη, διὰ τοῦτο οὐδὲ γινώσκει αὐτὸ
20 ὁ χαλκεὺς (οὐδὲ γὰρ οἶδε τὴν τοῦ μετάλλου φύσιν, ὅπου τε καὶ ὅπως κα-
τασκευάζεται), ἀκόλουθον δήπου, ἐπειδὴ ἡ φύσις καὶ τὴν προσεχῆ ἑαυτῇ
ὕλην καὶ τὸ εἶδος ποιεῖ, καὶ τὸν φυσικὸν ἀμφότερα εἰδέναι. ὥστε ὁ μὲν 15
ἁπλῶς φυσικὸς τὴν ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς εἶδος ἐπισκέψεται, ἐπειδὴ
καὶ ἡ ἁπλῶς φύσις τὴν ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς εἶδος δημιουργεῖ, ὁ
25 δὲ τὶς φυσικὸς τὴν τινὰ ὕλην καὶ τὸ τὶ εἶδος, ἐπειδὴ καὶ ἡ τὶς φύσις τὸ
τὶ εἶδος καὶ τὴν τινὰ ὕλην δημιουργεῖ.

Δόξειε δὲ ἂν ἐναντίον εἶναι τοῖς ἄνω εἰρημένοις τὸ νῦν προβληθέν· εἰ γὰρ οὐχ ἡ αὐτὴ τέχνη καὶ τὴν ὕλην καὶ τὸ εἶδος ποιεῖ, πῶς ἄνω ἐλέγομεν ὅτι τῆς αὐτῆς ἐστι τέχνης καὶ τὴν ὕλην καὶ τὸ εἶδος εἰδέναι; ἰδοὺ
30 γοῦν ἡ κυβερνητικὴ τὸ μὲν εἶδος τοῦ πηδαλίου οἶδε, τὴν δὲ ὕλην ἐκ ποίων 20
δεῖ αὐτὸ ξύλων εἶναι οὐκέτι. φημὶ οὖν ὅτι καὶ τὸ πρότερόν ἐστιν ἀληθὲς καὶ τὸ δεύτερον· ἐπειδὴ γὰρ τοῦ αὐτοῦ πλείους εἰσὶν ὕλαι, αἱ μὲν προσε-

---

1 εὔεργον K ὡς ἡ] ὅσοι M ἡ] ἡ K οἰκοδομην (sine accentu) K cf. ad h 6r38 παρασκευάζει] παρασκευάζουσα L 2 εἴσθεσιν K 3 εὐτρεπίζει K ἀσχολουμ̄ν̄ M: ἀσχολουμένην t 3. 4 ἀλλ' ἡ δὲ K 4 τὸ εἶδος (om. τι) L 6 τὸ] τῆς K 9 ἅμα πάντα] ἅπαν̄τ̄ K 10. 11 ἐξοθεν χορεγεῖται K 11 ἑαυτῇ om. Mt 12 φησ̄ι L 14 ἐν αὐτῇ L 15 ἐπὶ LK: οὖν Mt 16 προσεχῆν K ἄρα K: om. LMt 17 ὑποβλημένην L 17. 18 εἰ γὰρ — τὴν ὕλην om. Mt 20 οὐ γὰρ εἶδεν K 21 ἑαυτῇ LK: αὐτῇ Mt 23 καὶ τὴν ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς εἶδος K 23. 26 ἐπισκέψεται — ὕλην δημιουργεῖ om. L 23 ἐπισκέψεται K: ἐπισκέπτεται Mt 27 δόξει Mt ἂν K: om. LMt 28 ποιεῖν M 28. 29 πῶς ἄνω λεγενμὲν K 29 ἐστι om. L 30 τοῦ om. K ποιῶν K 31 ξύλων αὐτὸ Mt εἶναι K: om. LMt

www.libtool.com.cn

χεστέραι αἱ δὲ πορρώτεραι (οἷον τοῦ ἀνθρωπείου σώματος ἔστι μὲν προσε- f 7r
χεστάτη ὕλη τοῦ ὅλου σώματος τὰ ἀνομοιομερῆ, ὡς αὐτός φησιν, ἔστι δὲ
πρὸ τούτων ὕλη τὰ ὁμοιομερῆ· ταῦτα γὰρ ἐν ὕλης τάξει ὑπόκειται τοῖς
ὀργανικοῖς· καὶ πρὸ τῶν ὁμοιομερῶν οἱ χυμοί, καὶ πρὸ τῶν χυμῶν τὰ
5 στοιχεῖα, καὶ πρὸ τῶν στοιχείων τὸ τριχῇ διαστατόν, καὶ πρὸ τούτου ἡ 25
πρώτη ὕλη), τὴν μὲν οὖν προσεχεστάτην ὕλην ἀνάγκη πᾶσα ἕκαστον εἰδέ-
ναι τεχνίτην (ὅ τε γὰρ τέκτων οἶδε τὴν προσεχεστάτην τῶν σκευῶν ὕλην,
καὶ αὐτὸς αὐτὴν δημιουργεῖ ἀποξέων τοιῶσδε ἢ τοιῶσδε τὰ ξύλα καὶ
τέμνων κατὰ μόρια, καὶ τὰ ἄλλα τὰ πρὸς ὑποδοχὴν τοῦ εἴδους εὐτρεπίζων,
10 ἅτινα τὸν αὐτὸν λόγον ἐπέχουσι πρὸς τὸ εἶδος, ὅνπερ τὰ τοῦ ζῴου μόρια
πρὸς τὸ τοῦ ζῴου εἶδος· τῇ γὰρ τούτων συνθέσει ἐπιγίνεται τὸ εἶδος. καὶ
ἐπὶ τῶν ἄλλων τεχνῶν ὁμοίως· καὶ γὰρ ἡ κυβερνητικὴ ὥσπερ οἶδε τὸ τοῦ 30
πηδαλίου εἶδος, οὕτως οἶδε καὶ τὴν ὕλην· οἶδε γὰρ ἁπλῶς ὅτι ἐκ ξύλων
δεῖ τοῦτο εἶναι, τὸ δὲ ἐκ ποίων ξύλων τοῦ ναυπηγοῦ ἐστιν εἰδέναι, ἐπειδὴ
15 αὐτοῦ ἐστι καὶ τὸ ἐργάσασθαι τὸ εἶδος· ὡς οὖν τὸ εἶδος ἐργαζόμενος,
οἶδε ποία ὕλη δεκτικὴ αὐτοῦ ἐστι), τὴν μὲν οὖν προσεχῆ ἑαυτῷ ὕλην πᾶς
τεχνίτης οἶδε, τὴν δὲ πορρωτέρω οὐκ ἐξ ἀνάγκης· διὰ τοῦτο ὁ χαλκεὺς
τὴν μὲν φύσιν τοῦ σιδήρου καὶ τοῦ χαλκοῦ οἶδε, καὶ ποῖος χαλκὸς πρὸς
ποῖον εἶδος πεποίηται, οὐ μέντοι καὶ ὅπως μεταλλεύεται οἶδεν, ὅπερ ἐστὶ 35
20 πορρωτέρω ὕλη, ἀλλὰ τοῦτο τῆς περὶ τὸ μέταλλον ἐνεργούσης τέχνης ἐστίν.
εἰ τοίνυν πᾶσα τέχνη τὴν μὲν προσεχῆ ὕλην οἶδε, τὴν δὲ πορρωτέρω
οὐκέτι, ἀλλ' ἑτέρας ἐστὶ τὸ ταύτην εἰδέναι, καὶ τὰ πρότερα ἄρα ἀληθῆ ἦν
ὅτι τῆς αὐτῆς τέχνης καὶ τὸ εἶδος γνωρίζειν καὶ τὴν ὕλην τὴν προσεχῆ,
καὶ τὰ δεύτερα ὅτι ἄλλη περὶ τὸ εἶδος ἐνεργεῖ καὶ ἄλλη περὶ τὴν ὕλην,
25 οὐ τὴν προσεχῆ ἀλλὰ τὴν πόρρω. ὅθεν καὶ αὐτὸς ὁ Ἀριστοτέλης εἰπὼν
ὅτι τῆς αὐτῆς ἐστιν ἐπιστήμης εἰδέναι καὶ τὸ εἶδος καὶ τὴν ὕλην,
ἐπήγαγε μέχρι του· οἶδε γὰρ ὁ ἰατρός, ὅτι ἐκ τῶν τέσσαρων στοιχείων 40
τὰ σώματα καὶ ὅτι ὕλη αὐτῶν ἐστι ταῦτα, οὐ μέντοι ᾗ ἰατρὸς εἴσεται ὅτι
οὐκ ἔστι ταῦτα ἡ πρώτη ὕλη, ἀλλ' ἔστι καὶ πρὸ τούτων ἑτέρα ὕλη τῶν
30 σωμάτων ἡ ἀνείδεος.

Μετὰ δὲ τὸ ἀπορῆσαι ταῦτα τίθησι τρίτον ἐπιχείρημα ὁ Ἀριστοτέλης, ὅτι τοῦ αὐτοῦ φυσικοῦ ἀμφότερα γνῶναι. ἡ ὕλη γάρ φησι καὶ τὸ εἶδος τῶν πρός τί ἐστιν (ἡ γὰρ ὕλη εἴδους ἐστὶν ὕλη, καὶ οὐχ ἡ τυχοῦσα ὕλη

---

1 ἀνθρωπίνου Mt 2 τοῦ ὅλου ὡς ὅλου K ἐφεξῆς φησιν K φησιν velut De gen. anim. A 1 p. 715ᵃ9 3 γὰρ ὡς ἐν Mt 4 prius πρὸ om. L τούτων τῶν ὁμοιομερῶν K 5 τριχῶς διάστατον K 6. 7 τεχνίτην εἰδέναι Mt 7 ὁ γὰρ (om. τε) L 8 διμιουργεῖ et mox τοιῶς ἢ τοιῶς et τέμνον K 9 alterum τὰ delendum videtur τοῦ om. Mt 10 ὅνπερ Mt: ἅπερ L: ἄπερ K 12 ὥσπερ LK: ὡς Mt τὸ om. K 14 τοῦτο δεῖ K 14. 15 ἐπειδὴ καὶ τὸ ἐργάσασθαι τὸ εἶδος αὐτοῦ ἐστιν Mt 15 ὡς οὖν LKM: ὡς ὁ t 17 δὲ K: om. LMt 19 ὅπέρ ἐστιν t 20 πορρωτέρω LM: οἷον πορρωτέρω K: ἡ πόρρωτέρω t περὶ τὸ μέταλλον] περὶ μᾶλλον L 21 τὴν δὲ] τὰ δὲ K 26 καὶ (ante τὸ εἶδος) om. cum Aristotele K 27 μέχρι του t: μέχρί του M: μέχρι ποῦ K: μέχρι τοῦδε L 28 ὕλη ἐστὶν αὐτῶν Mt 30 ἀνίδεος M 31 δὲ om. K 33 ἡ γὰρ ὕλη (ante εἴδους) LK: ἡ ὕλη γὰρ Mt at cf. Themist. p. 170,1

www.libtool.com.cn

τοῦ τυχόντος ἐστὶν εἴδους, ἀλλὰ τὶς ὕλη τινός ἐστιν εἴδους), εἰ δὲ τῶν πρός f 7r
τι ἡ ὕλη καὶ τὸ εἶδος, ὁ δὲ τὸ ἕτερον τῶν πρός τι εἰδὼς καὶ τὸ λοιπὸν 45
οἶδεν (ἅμα γὰρ τὰ πρός τι γινώσκονται), δῆλον ἄρα ὅτι τοῦ αὐτοῦ ἐστι
φυσικοῦ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους διαλαβεῖν. ταῦτα εἰπὼν διακρίνει τὸν
5 φυσικὸν καὶ τοῦ θεολόγου, καί φησιν ὅτι ὥσπερ ὁ ἰατρὸς ἐπισκεπτόμενος
τὰς ὄψεις καὶ περὶ αὐτῶν ποιούμενος τὸν λόγον, οὐ περὶ πάσης αὐτῶν
ἐνεργείας ᾗ ἰατρὸς διαλέξεται, ἀλλ' αὔταρκες τὸ μαθεῖν ἡγεῖται, ὅτι πεφύ-
κασι μὲν ὑπὸ τῶν τοιῶνδε χρωμάτων διακρίνεσθαι, συγκρίνεσθαι δὲ ὑπὸ
ἄλλων, καὶ εἴ τινα ἄλλην ἐνέργειαν ἔχουσιν ἢ πάθος προσεχὲς τῷ ἰατρῷ, 50
10 καὶ οὐδὲν ἄλλο περὶ αὐτῶν ἐπισκέψεται (οἷον πῶς πεφύκασιν ἐκ τῶν ὀφθαλ-
μῶν ἐξιέναι, καὶ τίς ἡ ἐνέργεια αὐτῶν ἡ περὶ τὰ ὁρατά, διὰ τί πόρρωθεν
ἐλάττονα ὁρῶσι καὶ τὰ καθ' ὕδατος μείζονα, τίς τε ἡ ἐνέργεια αὐτῶν ἡ
περὶ τὰ κάτοπτρα, καὶ πότερον ἀνακλᾶσθαι πεφύκασιν ἢ οὔ, καὶ πρὸς ἴσας
γωνίας ἢ οὔ, καὶ ὅσα ἄλλα μυρία οἱ ὀπτικοὶ περὶ αὐτῶν ἐπισκέπτονται),
15 ὁμοίως δὲ καὶ ὁ χαλκεὺς τὰς τοῦ χαλκοῦ ἐνεργείας μέχρι τινὸς ἐπισκέ-
ψεται (ὅτι τυχὸν δεῖ εἰς τὴν τῶν κυμβάλων κα|τασκευὴν τὸν εὔηχον παρα- f 7v
λαβεῖν, εὔηχος δὲ ὁ τοιόσδε, καὶ ἐν ἑκάστῳ εἴδει τὸν προσήκοντα· εἰ
μέντοι ἔχει τινὰ δύναμιν εἰς θεραπείαν ἢ καιόμενος ἢ ἁπλούμενος, καὶ
πόθεν ἔχει τὸ εὔηχον ἐν τῷ μετέχειν πνεύματος, καὶ ὅσα ἁπλῶς μὴ συμ-
20 βάλλεται πρὸς τὴν ὑποκειμένην αὐτῷ τέχνην, οὐκ ἐπισκέψεται), οὕτως οὖν,
φησί, καὶ ὁ φυσικὸς ἀποδιδοὺς τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων, ταύτας
ἀποδώσει ἃς φυσικῷ ἀποδιδόναι οἰκεῖον. αὗται δέ εἰσιν ὅσαι μὴ ἄνευ τῆς 5
ὕλης. κἂν γὰρ μὴ μόνον προσεχῆ αἴτια ἀποδιδῷ, ἀλλὰ καὶ πρῶτα καὶ
ἐξῃρημένα τῶν γινομένων, ἀλλ' οὖν οὐδὲ ταῦτα ἄνευ ὕλης· ἀποδώσει γὰρ
25 τυχὸν οὐ μόνον τὸν πατέρα αἴτιον τῆς τοῦ ἀνθρώπου γενέσεως καὶ τὴν ἐν
αὐτῷ φύσιν, ἀλλὰ καὶ τὴν τοῦ ἡλίου περιφοράν (καὶ ὁ ἥλιος δῆλον ὅτι
οὐκ ἔστι χωριστὸν ὕλης πρᾶγμα, ἀλλ' ἐν ὕλῃ τὸ εἶναι ἔχον), εἰ δέ τινά
εἰσιν ἕτερα χωριστὰ ὕλης αἴτια τῶν φυσικῶν εἴτε εἰδικὰ εἴτε ποιητικὰ εἴτε
τελικά, τίνα τε ταῦτά ἐστι καὶ πόσα καὶ ὅπως ἔχουσι πρὸς ἄλληλα, οὐκέτι 10
30 φυσικοῦ ἀλλὰ θεολόγου ἐστὶν ἐπισκέψασθαι. ταύτῃ οὖν ὁ θεολόγος τοῦ
φυσικοῦ διαφέρει, τῷ τὸν θεολόγον περὶ τῶν παντάπασι χωριστῶν τῆς ὕλης
εἰδῶν διαλέγεσθαι, τοῦ φυσικοῦ περὶ μόνων τῶν ἐν ὕλῃ τὸ εἶναι ἐχόντων
διαλεγομένου.

---

3 δῆλον γὰρ ὅτι K ὅτι om. M 5 καὶ τοῦ K: ἐκ (at cf. p. 239,25) τοῦ LM: τοῦ t 7 ἡγεῖται τὸ μαθεῖν Mt 8 τοιούτων L συγκρίνεσθαι om. K
10 φύκασιν K 12 ἐλλάττονα K 13 πρότερον M 14 ὀπτοικοὶ K
15 τίνος K 16 τὸν] τὸ K 17 τοιοῦτος L 18 ἡ ἁπλούμενος (sic) K: ὀπτούμενος L: om. Mt 19 ἐν τῷ] ἕν τῷ (LM)t: ὅτι K 19. 20 συμβάλ-λοντα L 20 αὐτοῦ K cf. p. 240,12 21 φησί om. Mt 22 ἀποδιδόναι LK: ἀποδοῦναι Mt 23 αἰτία K 24 γὰρ deletum M: om. t 25 ἀνθρωπείου L
26 αὐτῷ K ὁ om. K 27. 28 τινὰ ἔστιν ἕτερα χωριστὰ K 28 ἰδικὰ K
29 τε] δὲ M εἰσὶν καὶ πόσα καὶ πῶς ἔχουσι πρὸς ἀλλήλα (sic) K 31 φυσικοῦ LK: φυσιολόγου Mt

www.libtool.com.cn

Ἐπεὶ δὲ ἡ φύσις διχῶς, τό τε εἶδος καὶ ἡ ὕλη. τὸ ἕτερον f 7v σημαινόμενον παρῆκε τὸ κατὰ γένεσιν, ἐπειδὴ ἐκείνη ὁδός ἐστι καὶ μεταβολὴ ἐπὶ τὴν φύσιν παρωνύμως ἀπ' αὐτῆς κληθεῖσα, ὡς ἀπὸ τῆς λευκότητος ἡ λεύκανσις. ἐπεὶ οὖν διχῶς, φησίν, ἡ φύσις, οὕτως ὁριεῖται τὰ φυσικὰ ὁ φυσικός, ὥσπερ ὁρίζεται τὸ σιμόν, τὸν ὁρισμὸν μὲν καὶ τὸ εἶναι τῇ σιμότητι κατὰ τὴν κοιλότητα ἀποδιδούς, μεμνημένος δὲ καὶ τοῦ ὑποκειμένου τῆς ῥινός· λέγομεν γὰρ ὅτι κοιλότης ἐν ῥινί. ὥστε οὐ κατὰ τὴν ὕλην τὸ εἶναι τῶν φυσικῶν ἀποδώσει ἀλλὰ κατὰ τὸ εἶδος, ὥσπερ καὶ τῇ σιμότητι τὸ εἶναι κατὰ τὴν κοιλότητα, οὔτε ἀμνημονήσει τῆς ὕλης, ὡς οὐδὲ ἐνταῦθα τῆς ῥινός.

p. 194a15 Καὶ γὰρ δὴ καὶ περὶ τούτου ἀπορήσειεν ἄν τις.

Ἐπειδὴ εἶπεν ὅτι περὶ ἀμφοτέρων ὁ φυσικὸς διαλέξεται, βούλεται δεῖξαι ὅτι ἀναγκαίως τὸν περὶ τούτου προχειρίζεται λόγον ἔχοντα ἀπορίας εὐλόγους. τὸ δὲ ἢ περὶ τοῦ ἐξ ἀμφοῖν ἐν ἐπικρίσει ἐπήγαγεν, ἀντὶ τοῦ ἢ δηλονότι περὶ τοῦ ἐξ ἀμφοῖν. εἰ δὲ περὶ τοῦ ἐξ ἀμφοῖν ὁ φυσικὸς διαλέξεται, δῆλον ὅτι καὶ περὶ ἑκατέρας τῶν ἁπλῶν· καὶ εἰ περὶ ἑκατέρας διαλέξεται ὁ φυσικός, ἆρα εἷς καὶ ὁ αὐτὸς φυσικὸς περὶ ἀμφοτέρων διαλέξεται, ἢ ἄλλος μὲν περὶ τῆς ὕλης ἄλλος δὲ περὶ τοῦ εἴδους;

p. 194a18 Εἰς μὲν γὰρ τοὺς ἀρχαίους ἀποβλέψαντι δόξειεν ἂν εἶναι τῆς ὕλης.

Ὅσον, φησίν, ἐπὶ τοῖς ἀρχαίοις φυσικοῖς δόξειεν ἂν εἶναι τῆς φυσικῆς ἐπιστήμης τὸ περὶ τῆς ὕλης διαλέγεσθαι· ἐκεῖνοι γὰρ ταύτης μὲν πολὺν ἐποιήσαντο λόγον, τοῦ δὲ εἴδους ἢ οὐδένα ἢ ἐπὶ βραχὺ ἐφρόντισαν.

p. 194a21 Εἰ δὲ ἡ τέχνη μιμεῖται τὴν φύσιν.

Ἔνθεν τὸ πρῶτον ἐπιχείρημα ἐκ τῆς ὁμοιότητος τῆς τέχνης πρὸς τὴν φύσιν. καλῶς δὲ προσέθηκεν ὅτι οἶδεν ὁ τεχνίτης τὴν ὕλην οὐχ ἁπλῶς, ἀλλὰ μέχρι του· ὁ γὰρ ἰατρὸς μέχρι τῶν στοιχείων ἀνελθὼν καὶ ταῦτα

---

1 τό τε εἶδος καὶ ἡ ὕλη om. K 2 παρῆκε post γένεσιν traicit L τὴν γένεσιν K 5 καὶ om. L 6 ἀποδίδωσι L μεμνημένος scripsi: μεμνημ K: μεμνημένοι M: μεμνημένοις (L)t 7 οὐ libri: fortasse οὔτε 11 τούτου διχῶς Aristotelis vulgata at cf. Themist. p. 167,13. Simplic. p. 299,28 ἀπορήσειεν ἄν τις om. K 13 τούτου LK: τούτων Mt 14 ἐν ἐπικρίσει ἐπήγαγεν LK: ἐπήγαγεν ὡς ἐν ἐπικρίσει Mt 16 ἑκατέρου et τῶ (vel τῶν) ἑκατέρου L 17 εἷς K 19. 20 ἀποβλέψαντι — ὕλης om. K 19 ἀποβλέψαντι Lt: ἀποβλέψειεν M 21 Ὅσον] ·ὅ (littera rubr. addenda) K ἂν om. K 22 μὲν γὰρ ταύτης L 24 μιμεῖται τὴν φύσιν om. K 27 ἐλθὼν K

www.libtool.com.cn

λέγων ὕλην εἶναι τῶν σωμάτων, οὐκέτι περαιτέρω χωρεῖ. ὡσαύτως δὲ καὶ f 7v
ἐπὶ τῶν ἄλλων τεχνῶν.

p. 194a27 Ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος τῆς αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα.

Τὸ δεύτερον ἐπιχείρημα. τὸ δὲ οὗ ἕνεκα καὶ τὸ τέλος ἐκ παραλ- 40
λήλου ἀντὶ τοῦ 'τὸ οὗ ἕνεκα, ὅπερ ἐστὶ τέλος'. οὗ δὲ ἕνεκά ἐστιν ἐν τοῖς
φυσικοῖς τὸ εἶδος· τούτου γὰρ ἕνεκεν πάντα πράττει ἡ φύσις, ἐξ ἀρχῆς
μὲν ἵνα γεννήσῃ μετὰ ταῦτα δὲ ἵνα φυλάξῃ, ἕνεκα δὲ τοῦ τέλους ἐστὶν
ὕλη ὄργανα καὶ εἴ τι παραπλήσιον. ὧν γὰρ συνεχοῦς τῆς κινήσεως
οὔσης ἔστι τι τέλος, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα. μικρὸν δεῖ
τὴν λέξιν μεταρρυθμίσαι 'ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τι
ἔσχατον, τοῦτο τέλος καὶ τὸ οὗ ἕνεκα'. ὁ δὲ νοῦς τῶν προκειμένων οὗτος·
ἐπειδὴ εἶπε τὸ οὗ ἕνεκα τέλος, αὐτὸ τοῦτο προέθετο δεῖξαι. ὅταν οὖν, 45
φησί, κινούμενόν τι συνεχῶς εἶτα ἀφικόμενον εἴς τι ἔσχατον παύσηται
τῆς εἰς τὸ πρόσθεν ὁδοῦ, τοῦτο τῆς κινήσεως τέλος ἐστί, καὶ τούτου ἕνε-
κεν ἡ κίνησις γέγονεν. ὥστε τό τε οὗ ἕνεκα τέλος, καὶ τὸ τέλος οὗ ἕνεκα.
νόει δέ μοι τὴν κίνησιν ἀνεμποδίστως προϊοῦσαν καὶ περατουμένην καθ'
αὑτὴν οὐδεμιᾶς ἔξωθεν αἰτίας τινὸς αὐτὴν ἐπισχούσης· εἰ γὰρ διακοπείη,
οὐκ ἔστι τέλος τῆς κινήσεως ἡ στάσις ἐκείνη καθ' ἣν διεκόπη. οἷόν τι
λέγω· εἰ ἐπιθήσει φάρμακον ἰατρός, εἶτα μεταξὺ ἐμπόδιόν τι γένηται καὶ 50
χεῖρον σχοίη τὸ πάθος, εἶτα πάλιν ἐπιθεὶς ἕτερον φάρμακον ὑγιάσει, τὸ
τέλος τούτου, τὴν ὑγείαν λέγω, οὐκ ἐρεῖς τέλος εἶναι, οὐδὲ οὗ ἕνεκα τῆς
προτέρας κινήσεως. ἀλλ' οὐδὲ τὴν χείρονα διάθεσιν τέλος εἶναι τῆς προτέ-
ρας κινήσεως τοῦ φαρμάκου· οὔτε γὰρ σκοπὸν τοῦτο εἶχεν, οὔτε ἐξ αὐτοῦ,
ἔκ τινος δὲ συμπτώματος ἔξωθεν ἡ χείρων διάθεσις γέγονεν. ὅταν οὖν
ἀδιάκοπος γένηται ἡ κίνησις ἡ ἐπὶ τὴν ὑγείαν, τὸ τέλος τῆς κινήσεως ταύ-
της καὶ εἰς ὃ ἔσχατον ἀπε|παύσατο τοῦτό ἐστι τὸ οὗ ἕνεκα ἡ κίνησις f 8r

---

1 ὕλην om. superscr. K 3. 4 καὶ τὸ τέλος—ἕνεκα om. K τούτων LM: τούτου t
5 δεύτερον] ω (h. e. ἄρα vel ἄρα, errore ex forma ώ h. e. β' orto; cf. ad p. 249,5) K
6 ἀντὶ τοῦ τὸ οὗ L: ἀντὶ τοῦτο οὗ K: ἀντὶ τοῦ οὗ M: τὸ μὲν οὖν οὗ t ὅπερ ἐστὶν τέλος. οὗ δὲ ἕνεκα K: om. LMt 7 ἕνεκεν] ἕνεκα L πράττειν K 9 ἡ ὕλη Mt 10 ἔστι τι K: ἔστι (om. τι) LMt μικρὸν κτλ.] cf. Alexander ap. Simplic. p. 302,18. Diels *z. Textgesch.* p. 31 11 μεταρυθμίσαι K ὧν] ὡς L τῆς om. L 11. 12 ἔστι τι ἔσχατον LK: ἔστιν ἔσχατόν τι Mt 12 προυποκειμένων L οὕτως primitus K 13 ἐπεὶ K 13. 18 ὅταν—ἐπισχούσης] cf. Themist. p. 168,8 sqq. 16 οὗ ἕνεκεν priore loco L 18 αὑτὴν] ἑαυτὴν Mt 20 ὁ ἰατρός K ante ἐμπόδιόν addit καὶ L τι om. K γένηται LK: γένοιτο Mt. ceterum haec omnia barbare sunt composita; sed quid ipsi Philopono, quid librariis debeatur videant alii 22 τούτου] τοῦτο K ὑγιείαν (sic) et mox ἐρεῖ τις K οὐδὲ τὸ οὗ ἕνεκα t 24 ἐξ αὐτοῦ (αὗ L) LM: ἐξαυτοῦ K: ἐξ αὑτοῦ t: fortasse ἐξ αὐτῆς (scil. ἐκ τῆς προτέρας κινήσεως τοῦ φαρμάκου) 26 ἀδιάκοπος M²t: ἀδιακοπον M: ἀδιάσκοπος L: ἀδιασκόπως K γένηται] γεγονεῖται K 27 ὃ] τὸ M

www.libtool.com.cn

πᾶσα γέγονε, τοῦτο δέ ἐστιν ἡ ὑγίεια· εἰ γὰρ μὴ διακοπῇ, ἡ τοῦ ἰατροῦ f 8r
ἐνέργεια οὐχ ἵσταται μέχρις ἂν εἰς τὴν ὑγίειαν φθάσῃ. ἐπεὶ οὖν καὶ τῆς κινήσεως τῆς κατὰ τὴν γένεσιν, εἰ μή τις ἐμποδίσοι, τέλος ἐστὶ τὸ εἶδος εἰς ὃ ἄγει, τοῦτο ἂν εἴη καὶ οὗ ἕνεκα.

5 p. 194a30 Διὸ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν "ἔχει τελευτήν, ἥσπερ οὕνεκ' ἐγένετο".

Ποιητὴν τὸν Εὐριπίδην λέγει. ὅτι, φησί, καλῶς ὡρισάμεθα τὸ τέλος 6
καὶ τὸ οὗ ἕνεκα 'τὸ ἔσχατον τῆς συνεχοῦς καὶ ἀδιακόπου κινήσεως', πιστοῦται καὶ Εὐριπίδης ἐκ κοινῆς μὲν ἐννοίας τοῦτο λαβὼν ὅτι τῆς συνε-
10 χοῦς κινήσεως τὸ ἔσχατον τέλος οὗ ἕνεκά ἐστι, γελοίως δὲ τὴν κοινὴν ταύτην ἔννοιαν καὶ καθολικὴν ἐφαρμόσας τοῖς κατὰ μέρος. ἐπεὶ γὰρ συνεχοῦς τινος τῆς ζωῆς τέλος ἐστὶν ὁ θάνατος, ἐνόμισε τοῦτο τέλος καὶ οὗ ἕνεκα εἶναι· ὅθεν ἐπειδὴ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται 10
πάντα, ὑπενόησε διὰ τοῦτο γίνεσθαι τὸν ἄνθρωπον ἵνα ἀποθάνῃ. τὸ δέ,
15 φησίν, οὐχ οὕτως ἔχει· οὐ γὰρ πᾶν ἁπλῶς τέλος καὶ οὗ ἕνεκά ἐστιν, ἀλλὰ τὸ μὲν οὗ ἕνεκα πᾶν τέλος, τὸ δὲ τέλος οὐ πάντως οὗ ἕνεκα, ἀλλὰ τὸ βέλτιστον τέλος τοῦτο οὗ ἕνεκα· βέλτιον δὲ τὸ εἶναι τοῦ μὴ εἶναι· οὐκ ἄρα οὗ ἕνεκα ὁ θάνατος. ἀλλ' οὐδὲ συνεχοῦς τῆς ἀπὸ τῆς γενέσεως κινήσεως ἔσχατόν τι καὶ τέλος ἐστὶν ὁ θάνατος· κινεῖται γὰρ ἡ φύσις ἕως τῆς τε-
20 λείας ἀκμῆς τοῦ ζῴου, καὶ ἀγαγοῦσα εἰς τὸ τέλειον ἵστησι. τοῦτο οὖν 15
τέλος τῆς συνεχοῦς κατὰ τὴν γένεσιν κινήσεως· τὸ δὲ μετὰ τοῦτο, ἐπειδὴ μὴ πέφυκε στέγειν διόλου τὸ εἶδος ἡ ὕλη, ἐπὶ τὸ ἀσθενέστερον χωρεῖ τὸ ζῷον οὐχ ὑπὸ τῆς φύσεως, ἀλλ' ὅτι ἐξ ἐναντίων συνέστηκε τὸ ζῷον, τῆς φύσεως μηκέτι ἐξισχούσης εἰς ἁρμονίαν ἀγαγεῖν τὰ ἐναντία ἐπικρατέστερον
25 γίνεται θάτερον, καὶ οὕτω κατὰ μικρὸν τῆς ἁρμονίας διαλυομένης τὸν θάνατον συμβαίνει γίνεσθαι. βούλεται γὰρ οὐ πᾶν εἶναι τὸ ἔσχατον τέλος, ἀλλὰ τὸ βέλτιστον. βούλεται οὐχ ὁ ποιητής, ἀλλ' ἡ τῶν 20
πραγμάτων φύσις. ἐπεὶ οὖν τὸ βέλτιστον τοῦτο τέλος καὶ οὗ ἕνεκα, καὶ τῆς γενέσεως ἄρα τὸ βέλτιστον τέλος. βέλτιστον δὲ ἡ ἀκμή· ἐν αὐτῇ γὰρ
30 γενόμενον τὸ ζῷον πάσας ἐνεργεῖ τὰς φυσικὰς ἐνεργείας, καὶ μάλιστα τὰς

---

1 διακοπῇ M: διὰ κοπῇ K: διασκοπῇ L: διακοπείη t 2 οὐκ LK ὑγείαν L
3 τῆς κατὰ] τὴν κατὰ K εἰ μὴ τὶ ἐμποδίσει K 4 ἂν εἴη LK: ἐστι Mt 5. 6 γελοίως — ἐγένετο om. K 5 προσήχθη et 6 ἥσπερ οὗ ἕνεκα L 7 Εὐριπίδην] cf. p. 237, 29. h 6v2 at v. Nauck Trag. gr. fr. praef. p. X. Meineke Com. gr. fr. V p. 123 (395). Bonitz Index Ar. p. 607b26 ὅτι φησὶ ὅτι καλῶς ὁρισάμεθα K 8 τὸ ἔσχατον τῆς συνεχοῦς K: om. LMt ante ἀδιακόπου interpolant ὅτι ἐπὶ τῆς Mt 9 τοῦτε K
10 τέλος καὶ οὗ recte Mt 11 γὰρ LK: γοῦν Mt 12 τοῦτο τὸ K καὶ τὸ οὗ L 14 γίγνεσθαι t 16 πάντως (compend. incert. M) LKM: πᾶν t 18 γεννήσεως L 19 τι] τε K 22 μὴ LK: om. Mt ἡ ὕλη LK: τῇ ὕλῃ Mt
23 vel ὅτι ⟨ἐπεὶ⟩ ἐξ vel mox τῆς ⟨δὲ⟩ φύσεως ἐναντίου K 24 ἐξισχύουσα L
25 οὕτω] τοῦτο K διαλυόμ̣ K 26. 27 τὸ ἔσχατον — βέλτιστον om. K

www.libtool.com.cn

γεννητικάς, ὅπερ καὶ κυρίως τέλος τῆς φύσεως τὸ ἀγαγεῖν εἰς τοῦτο τὸ f 8r
ζῷον, ὥστε γεννῆσαι ἕτερον οἷον αὐτό· ἐπεὶ γὰρ πάντα τοῦ ἀγαθοῦ ἐφίε-
ται, ἀγαθὸν δὲ ἑκάστῳ τὸ εἶναι, ὅσα μὴ ἠδυνήθη κατ' ἀριθμὸν μεῖναι τὰ
αὐτά, ἠγάπησε τὴν κατ' εἶδος ἀιδιότητα. ἐπεὶ οὖν τοῦτό ἐστι τὸ βέλτιστον, 25
5 μέχρι τοσούτου κινεῖ ἡ φύσις τὸ ζῷον κατὰ συνέχειαν, μέχρις ἂν εἰς τοῦτο
ἀγάγῃ, ὥστε τὰς τοιαύτας ἐνεργεῖν ἐνεργείας, τὸ δὲ ἐντεῦθεν λοιπὸν παύε-
ται μὲν ἡ προτέρα κίνησις ἅτε τοῦ σκοποῦ τυχοῦσα, ἀρχὴν δὲ λαμβάνει
ἡ παρὰ φύσιν καὶ ἐπὶ φθοράν, καθ' ὃν εἴπομεν τρόπον.

p. 194a33 Ἐπεὶ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν ἁπλῶς
10 αἱ δὲ εὐεργόν, καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπάρ-
χόντων.

Μεταξὺ τῆς συντάξεως τῶν παρόντων χωρίων πολλὰ παρεμβαλὼν 33
ἀσαφεστάτην ἐποίησε τὴν λέξιν. δεῖ οὖν, ἵνα ἡ συνέχεια τῶν ῥητῶν φυ-
λαχθείη, ὑπερβιβάσαι ἡμᾶς τὰς λέξεις, καὶ ἑκάστῳ τόπῳ τὸ οἰκεῖον
15 ἀποδοῦναι. τὸ μὲν οὖν καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρ- 35
χόντων τοῖς ἀνωτέρω συνταχτέον οὕτως· "ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος
τῆς αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα· ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα", εἶτα
σύναψον· καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων μέχρι
τοῦ εἴρηται δὲ ἐν τοῖς Περὶ φιλοσοφίας. ἡ μὲν οὖν σύνταξις τούτου
20 τοῦ χωρίου αὕτη, ὁ δὲ νοῦς· ἐπεὶ διττὸν τὸ τέλος τό τε οὗ καὶ τὸ ᾧ, εἰ-
πὼν τὸ τέλος τὸ ὡς οὗ διὰ τοῦ εἰπεῖν "ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα"
προσέθηκε καὶ τὸ ἕτερον τοῦ τέλους σημαινόμενον, λέγω δὴ τὸ ᾧ, διὰ τοῦ 40
εἰπεῖν καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων. ὅθεν
σαφέστερον ποιῶν ἐπήγαγεν ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος· δι-
25 χῶς γὰρ τὸ οὗ ἕνεκα. εἰρῆσθαι δέ φησι τὴν διαίρεσιν ταύτην τοῦ οὗ
ἕνεκα καὶ ἐν τοῖς Περὶ φιλοσοφίας, λέγει δὲ τοῖς Ἠθικοῖς, ἅπερ Περὶ
φιλοσοφίας ἐκάλεσε, διότι τὸ φιλόσοφον ἦθος δι' αὐτῶν παραδίδοται. αὕτη
μὲν οὖν ἡ σύνταξις, τὰ δὲ μεταξὺ τὰ μέν ἐστι πρὸς κατασκευὴν τοῦ ὅτι τὸ οὗ
ἕνεκα τέλος, τὰ δὲ πρὸς ἔλεγχον τοῦ Εὐριπίδου. τῷ δὲ ἐπεὶ καὶ ποιοῦ-
30 σιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν ἁπλῶς αἱ δὲ εὐεργὸν συναπτέον τὸ 45

---

2 γὰρ om. K 3 δὲ ἐν ἑκάστῳ Mt 6 ἐνεργεῖν ἐνεργείας K: ἐνεργεῖ μὲν ἐνεργείας L: ἐνεργείας ἐνεργεῖ μέν Mt 6. 7 πάβεται K 9. 11 τὴν ὕλην — ὑπαρχόντων om. K 12 παρελὼν K 15. 16 ὑπάρχον K 16 οὕτως] οὐ τῶ K 17 ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα om. L 18. 19 μέχρι τοῦ t: μέχρις οὗ M: μέχρις (om. οὗ) K: μέχρι τοῦδε L 19 τούτου om. K 22 τὸ (ante ᾧ) om. superscr. L 23 ὑπαρχόντων Mt: γενομένων L: γενομένα (sic) compend. K ὅθεν οὐ L 26 καὶ om. K ἐν τοῖς Περὶ φιλοσοφίας] v. Bonitz Index p. 98a32 sqq. Ἠθικοῖς Nicom. A 1 at cf. Spengel ad Themist. p. 169, 5 ἅπερ LK: ἃ Mt 27 ἐκάλεσε om. Mt 28 πρὸς κατασκευὴν scripsi: πρὸσκατασκευὴ K: προσκατασκευὴ L: προκατασκευὴ Mt 28. 29 ὅτι ἐστὶν τὸ (om. οὗ) ἕνεκα K 30 et p. 238, 11 εὔεργον K

www.libtool.com.cn

δύο δὲ καὶ αἱ ἄρχουσαι τῆς ὕλης καὶ γνωρίζουσαι τέχναι καὶ f 8r
τὰ ἑξῆς. ἔστι δὲ ἐντεῦθεν ἡ ἀπορία ἣν εἴπομεν, ὅτι μήποτε ὥσπερ τῶν
τεχνῶν αἱ μὲν περὶ τὴν ὕλην καταγίνονται αἱ δὲ περὶ τὸ εἶδος, οὕτω καὶ
ἐπὶ τῆς φυσικῆς ἐπιστήμης ἔχει, καὶ ἄλλη μὲν ἡ τοῦ εἴδους γνωριστικὴ
5 ἄλλη δὲ ἡ τῆς ὕλης. καὶ ὅτι ὡς ἀπορίαν προφέρει ταῦτα, δείκνυσιν ἐφεξῆς
ὥσπερ λύσιν ἀπορίας ἐπενεγκὼν ἐν οἷς φησιν "ἐν μὲν οὖν τοῖς κατὰ τέχνην
ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα", τὴν αἰτίαν τῆς διαφορᾶς λέγων 50
τοῦ τὴν μὲν τέχνην μὴ πάντως τὴν αὐτὴν περὶ ἀμφότερα καταγίνεσθαι, τὴν
δὲ φύσιν περὶ ἀμφότερα. ἔστιν οὖν ἡ ὅλη τοῦ ῥητοῦ διάνοια τοιαύτη· τῶν
10 τεχνῶν αἱ μὲν ποιοῦσι τὴν ὕλην, αἱ δὲ ἄρχουσιν αὐτῆς· καὶ τῶν τὴν ὕλην
ποιούντων ἡ μὲν ἁπλῶς ὕλην ποιεῖ, ὡς ἡ δρυτομική, ἡ δὲ εὐεργόν· καὶ
τῶν ἀρχουσῶν τῆς ὕλης (ἄρχουσι δὲ τῆς ὕλης ὅσαι περὶ τὸ εἶδος κατα-
γίνονται τέχναι· ἐπιτάττει γὰρ ὁ ναυπηγὸς τῷ δρυτόμῳ ὁποῖα ξύλα αὐτῷ
εὐτρεπίσει, καὶ τῷ πρίστῃ εὐερ|γὰ αὐτῷ ταῦτα ποιῆσαι καὶ ᾗ εὐεργά), τῶν f 8v
15 ἀρχουσῶν οὖν τῆς ὕλης, αἵ τινες καὶ ἀρχιτεκτονικαὶ καλοῦνται, ἡ μὲν τὸ
εἶδος ἐπιτίθησιν ἡ ναυπηγική, ἡ δὲ χρῆται αὐτῷ ἡ κυβερνητική. καλῶς
δὲ εἴπομεν καὶ τὴν κυβερνητικὴν ἀρχιτεκτονικήν. καὶ γὰρ μᾶλλον ἀρχι-
τεκτονικὴ αὕτη τῆς ναυπηγικῆς· αὐτὴ γὰρ τῇ ναυπηγικῇ ἐπιτάττει, ὁποῖον
δεῖ αὐτὴν ποιῆσαι τὸ τοῦ πηδαλίου εἶδος. διαφέρουσι δὲ ἀλλήλων αἱ περὶ 5
20 τὸ εἶδος αὐτὸ καταγινόμεναι τέχναι, αἵ τινες καὶ ἀρχιτεκτονικαί εἰσι, τῷ
τὴν μὲν ποιητικὴν εἶναι εἴδους τὴν ναυπηγικήν, τὴν δὲ γνωστικὴν μόνον
οὐ ποιητικήν, καὶ τὴν μὲν κεχρῆσθαι αὐτῷ τὴν δὲ μή. ὥστε τέσσαρές
εἰσι περὶ τὸ αὐτὸ καταγινόμεναι, ὧν αἱ μὲν δύο περὶ τὴν ὕλην καταγίνον-
ται, αἱ δὲ δύο περὶ τὸ εἶδος. ἐπεὶ οὖν ταῦτα εἰπὼν οὐ προσέθηκε τὸ
25 λοιπὸν τῇ ἀπορίᾳ, τοῦτο δὲ ἦν ὅτι μήποτε οὖν καὶ ἐπὶ τῶν φυσικῶν οὐ
τῆς αὐτῆς ἐστι φυσικῆς ἐπιστήμης περὶ τὴν ὕλην καὶ τὸ εἶδος καταγίνε-
σθαι, ἄλλα ἄλλης μὲν περὶ τὸ εἶδος ἄλλης δὲ περὶ τὴν ὕλην, διὰ τοῦτο 10
ἀσάφειαν ἐνεποίησεν, ὅτι ἀπορίας ἕνεκεν ταῦτα ἐξέθετο, ἀλλὰ τῷ τὴν ἐπί-
λυσιν ἐπαγαγεῖν. ὥσπερ εἴρηται, δήλην ἐποίησε τὴν ἑαυτοῦ διάνοιαν. εἰπὼν
30 δὲ ὅτι καὶ ἡ κυβερνητικὴ ἀρχική ἐστι, μετά τινος προσδιορισμοῦ τοῦτο
εἶπεν, εἰπὼν ἀρχιτεκτονική πως. προσέθηκε δὲ τό πως, διὰ τὸ μὴ
τεκταίνεσθαι τὴν κυβερνητικήν· ἄρχει μὲν γὰρ μᾶλλον τῆς ναυπηγικῆς, οὐ
τεκταίνεται δέ. πρὸς τὸ τεκταίνεσθαι οὖν τό πως, οὐ πρὸς τὸ ἄρχειν.

---

1 αἱ om. K 3 οὕτω] ἔντω K 5 προφέρει ταῦτα K: προφέρονται ταῦτα L: ταῦτα προφέρει Mt 6 φησιν p. 194b7 7 ποιοῦμεν ἡμεῖς Mt αἰτίας L 8 τοῦ LKM: τὸ t ἀμφοτέρα (LM)t 9 διάνοια τοῦ ῥητοῦ Mt 11 δρυτοτὸμικὴ K cf. ad p. 230,33 14 εὐτρεπίσῃ K τῷ πρίστῃ LK: πρός τι M: πρὸς τὶ t εὔεργα utrobique K αὐτῶ K ᾗ om. K 17 post ἀρχιτεκτονικὴν add. εἶναι Mt 18 αὐτὴ] αὕτη K 19 αὐτὴν om. Mt τοῦ iterat initio novae paginae M 20 αὐτὸ L: αὐτῆς KMt 21 τοῦ εἴδους K 24. 25 τὸ λοιπὸν (λεῖπον K) τῇ ἀπορία LK: τῇ ἀπορίᾳ τὸ λοιπὸν Mt 25 οὖν om. K 26. 27 καταγενέσθαι Mt 27 ἀλλὰ καὶ L 28 ἀπορίας ταῦτα ἐξέθετο ἕνεκεν Mt 29 ἀγαγεῖν L 30 ὅτι καὶ L: καὶ ὅτι Mt: ὅτι (om. καὶ) K ἀρχική] ἀρχητεκτονικὴ K προσδιορισμένου L 31 εἶπεν om. L ἀρχιτεκτονικὴν πῶς K δὲ om. L

www.libtool.com.cn

p. 194ᵇ5 Ὁ μὲν γὰρ κυβερνήτης ποιόν τι τὸ εἶδος τοῦ πηδαλίου f 8ᵛ
γνωρίζει καὶ ἐπιτάττει, ὁ δ' ἐκ ποίων ξύλων καὶ ποίων κινή- 16
σεων ἔσται.

Ἀμφότεραι μὲν οὖν περὶ τὸ εἶδος καταγίνονται, οὐκ ἀγνοοῦσι δὲ οὐδὲ
5 τὴν ὕλην, ἀλλ' ἡ μὲν κυβερνητικὴ μᾶλλον οἶδε τῆς ὕλης τὸ εἶδος καὶ ἐπι-
τάττει τοῦτο τῷ ναυπηγῷ, ἡ δὲ ναυπηγικὴ μανθάνει μὲν παρὰ τοῦ κυβερ-
νήτου τὸ εἶδος, οἴκοθεν δὲ τὴν ὕλην ἐπινοεῖ. ἀντιλαμβάνουσιν οὖν παρ'
ἀλλήλων ἡ μὲν ναυπηγικὴ παρὰ τῆς κυβερνητικῆς τὸ εἶδος, ἡ δὲ κυβερ- 20
νητικὴ παρὰ τῆς ναυπηγικῆς τὴν ὕλην. τὸ δὲ ἐκ ποίων κινήσεων ἀντὶ
10 τοῦ ἐκ ποίων φυσικῶν ῥοπῶν καὶ δυνάμεων· οὐ γὰρ τὸ τυχὸν ξύλον εἰς
τὴν κατασκευὴν τοῦ πλοίου ἢ τοῦ πηδαλίου παραλήψεται.

p. 194ᵇ7 Ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην
τοῦ ἔργου ἕνεκα, ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα.

Ἡ ἐπίλυσις τῆς ἀπορίας, ὅτι ἐν μὲν τοῖς κατὰ τέχνην ἔξωθεν ὁ τεχνί- 25
15 της παραλαβὼν τὴν ὕλην, οὕτως αὐτῇ τὸ εἶδος ἐπιτίθησι, καὶ διὰ τοῦτο
ἄλλης τέχνης ἐστὶ τὴν ὕλην καὶ ἄλλης τὸ εἶδος εἰδέναι, ἐν δὲ τοῖς φυσικοῖς
οὐκ ἔξωθεν τῇ φύσει ἡ ὕλη δίδοται, ἀλλ' ἐν αὐτῇ ὑπάρχει καὶ ὑπ' αὐτῆς
δημιουργεῖται. εἰ δὲ τοῦτο, ὁ ἄρα τῆς τοιαύτης φύσεως ἐν ἐπιστήμῃ γενό-
μενος καὶ τὸ εἶδος εἴσεται καὶ τὴν ὕλην· ἀμφοτέρων γὰρ ἡ φύσις ἐργάτις,
20 καὶ οὐκ ἐγχωρεῖ μὴ ἄμφω ἐγνωκότα ἐν ἐπιστήμῃ τῆς φύσεως γενέσθαι,
εἴ γε ἀμφοτέρων ἐργάτις ἡ φύσις. 30

p. 194ᵇ8 Ἔτι τῶν πρός τι ἡ ὕλη.

Τὸ τρίτον ἐπιχείρημα, ὅτι ἀμφότερα τοῦ φυσικοῦ γνῶναι.

p. 194ᵇ9 Μέχρι δὴ πόσου δεῖ τὸν φυσικὸν εἰδέναι τὸ εἶδος;

25 Ἐντεῦθεν διακρίνει τοῦ θεολόγου τὸν φυσικόν. περὶ μὲν οὖν τῆς ὕλης, 37
φησίν, οὕτως ὁ φυσικὸς ἐπισκέψεται ὡς εἰρήκαμεν, τὸ δὲ εἶδος μέχρι
πόσου ἐπισκέψεται; τουτέστιν, ἐπειδὴ τοῦ αὐτοῦ πράγματος ἔστι λαβεῖν
πλείονα εἴδη (ἔστι γὰρ τοῦ Σωκράτους, ὡς ἀνθρώπου, εἶδος καὶ τὸ ζῷον

ὁ δ' Kt: ὁ δὲ L: ὁ δὲ τέκτων M ποίων ξύλων LKM: ποίου ξύλου ex Aristotele t
μὲν om. L ἀγνωοῦσι K οὐδὲ K: καὶ LMt 6 ναυπηγῷ K: κυβερνήτῃ LMt
2 οὖν] γὰρ t κατὰ τὴν τέχνην t at cf. p. 238,6 12. 13 ἡμεῖς—οὖσα om. K
5 παρὰ λαμβάνων K αὐτὴ K 16 τὴν ὕλην om. Mt 19 ἴσεται K 22 lemma
m. K 24 δὴ] μὲν δεῖ (om. δεῖ in proximis) M δεῖ—εἶδος om. K δεῖ τὸν
υσικὸν L: τὸν φυσικὸν δεῖ t 25 οὖν om. Mt 26 φησίν compend. K: om. LMt
πισκέψεται ὁ φυσικὸς Mt ὡς LK: ὥσπερ Mt 27. 28 πλείονα λαβεῖν ἐστιν εἴδη Mt
ῦ] τὸ L

www.libtool.com.cn

λογικὸν θνητὸν καὶ πρὸ τούτου οὐσία ἔμψυχος αἰσθητική· εἰσὶ δέ τινα καὶ f 8v
χωριστὰ εἴδη τῶν φυσικῶν, εἴτε οἱ ἀριθμοὶ κατὰ τοὺς Πυθαγορείους εἴτε
τὰ πρὸ τῶν πολλῶν, καὶ τούτων εἴτε κατὰ Πλάτωνα τὰ αὐτὰ καθ' αὑτὰ 41
ὑφεστῶτα, λέγω δὴ τὸ αὐτοάνθρωπος καὶ αὐτοζῷον, εἴτε τοὺς λόγους τῶν
5 πραγμάτων τοὺς ἐν τῷ δημιουργῷ), ἆρα, φησί, περὶ παντὸς εἴδους ἁπλῶς
ὁ φυσικὸς διαλέξεται, ἢ μέχρι τινὸς προάξει τὴν διδασκαλίαν; φησὶν οὖν
ὅτι οὐκ ἔστι φυσικοῦ περὶ παντὸς εἴδους διαλεχθῆναι, ἀλλὰ μέχρι τινὸς
προκόψει ὁ φυσικός· καὶ ὥσπερ ὁ χαλκεὺς οὐ πάσας τὰς τοῦ χαλκοῦ ἐπι- 45
σκέψεται ἐνεργείας, φέρε εἰπεῖν εἴ τι πρὸς ἰατρικὴν συμβάλλεται, ἀλλ' ὅτι
10 τυχὸν τηκτός ἐστι καὶ ἐλατός, καὶ ὅσα πρὸς τὰ ὑποβεβλημένα αὐτῷ συν-
τελεῖ πράγματα· καὶ ὁ ἰατρὸς περὶ νεύρου σκοπῶν τὰς συμβαλλομένας
αὐτῷ ἐνεργείας εἰς τὴν ὑποκειμένην αὐτοῦ τέχνην σκοπήσει, φέρε εἰπεῖν
ὅτι κινήσεως αἴτιόν ἐστιν, οὐ μέντοι ζητήσει εἰ ἔστι τι εἶδος αὐτοῦ παρὰ
τῷ δημιουργῷ, ἢ ἐξ ὕλης καὶ εἶδος συνέστηκεν, ἀλλ' ὅτι τῶν ἄλλων τυχὸν
15 ξηρότερόν ἐστιν ἢ ψυχρότερον· οὕτω καὶ ὁ φυσικὸς οὐ περὶ παντὸς ἁπλῶς 50
εἴδους διαλέξεται, ἀλλὰ μέχρι τινός, τοῦτο δέ ἐστιν ὅσον μὴ τῆς ὕλης κε-
χώρισται. ἐρωτώμενος γὰρ τίνος ἕνεκεν, εἰ τύχοι, ἄνθρωπος ἔστιν, οὐκ
ἐρεῖ ὅτι 'ἔστι τὸ ἐν τῷ δημιουργῷ τοῦ ἀνθρώπου εἶδος, δεῖ δὲ τοῦτο
ἐνεργὸν εἶναι καὶ γόνιμον, διὰ τοῦτο ἔστι καὶ τὸ ἐνταῦθα εἶδος', ἀλλ' ἀρκεῖν
20 ἡγήσεται τὰ μὴ ἄνευ ὕλης αἴτια ἀποδοῦναι, ὅτι ἄνθρωπος ἄνθρωπον
γεννᾷ καὶ ἥλιος· τῷ γὰρ ἀπιέναι ἢ προσιέναι ὁ ἥλιος γενέσεως ἢ
φθορᾶς τοῖς τῇδε γίνεται αἴτιος, γεννᾶται δὲ προσεχῶς οὐ τὸ τυχὸν ἐκ
τοῦ τυχόντος, ἀλλὰ τὸ | ὅμοιον ἐκ τοῦ ὁμοίου. ταύτην οὖν τὴν αἰτίαν g 1r
ἀποδιδοὺς ἐρεῖ ὅτι ἄνθρωπος ἄνθρωπον γεννᾷ καὶ ἥλιος, ἄμφω δὲ
25 ἐν ὕλῃ τὸ εἶναι ἔχει. οὐδὲ ἐρεῖ τυχὸν ὅτι ⟨ἐπεὶ⟩ δεῖ μέσα τινὰ εἴδη εἶναι
ἐν τῷ παντὶ (τοιοῦτον δὲ ἡ ψυχὴ ἡ ἡμετέρα ἀνιοῦσα καὶ κατιοῦσα), διὰ
τοῦτο ἔστιν ἐν τῷ κόσμῳ ὁ ἄνθρωπος· θεολόγων γὰρ ταῦτα καὶ τὰ τοι-
αῦτα ἐξετάζειν ἴδιον, οἷον τίνα τε καὶ πόσα τὰ χωριστὰ εἴδη, καὶ τίς ἡ
σχέσις αὐτῶν ἥ τε πρὸς ἑαυτὰ καὶ ἡ πρὸς τὰ τῇδε. ὁ τοίνυν φυσικὸς οὐ 5
30 πᾶσαν αἰτίαν ἀποδώσει ἐρωτώμενος οὔτε εἰδικὴν οὔτε ποιητικήν, ἀλλὰ ταύ-
τας μόνας ὅσαι μὴ ἄνευ ὕλης εἰσί.

---

1 καὶ πρὸς τοῦ L 1. 2 εἰσὶν δὲ καὶ χωριστὰ τινὰ K 2 οἱ ἀριθμοὶ K: ἀριθμοὶ LMt τοὺς om. K 3 Πλάτωνα τὰ] πλάτων (compend.) τὰ τὰ K 4 τὸ ἄνον καὶ αὐτὸ ζῶον K: ὁ αὐτοάνθρωπος καὶ τὸ αὐτοζῶον L 4. 5 scribendum οἱ λόγοι—οἱ ἐν τῶν πραγμάτων om. Mt 5. 7 ἁπλῶς—εἴδους om. K 5. 6 ἁπλῶς ὁ φυσικὸς διαλέξεται L: διαλέξεται ἁπλῶς ὁ φυσικὸς M: traiectionis signa neglexit t 8. 9 πάσας ἐπισκέψεται τὰς τοῦ χαλκοῦ Mt 10 τυχὸν om. Mt ἔλατος K 12 fort. αὐτῷ cl. p. 233,20 ἐπισκοπήσει L 13 εἰ om. superscr. L 14 τυχὸν τῶν ἄλλων Mt 17 ἐρωτεμένοι M 18 fortasse ὅτι ⟨ἐπεὶ⟩ ἔστι τὸ om. K 19 ἐνεργὸν καὶ γνώριμον K 21 τῷ] τὸ K τῷ γὰρ κτλ.] cf. Philoponea ad Θ 6 p. 259b32 ἢ] καὶ utrique K προσιέναι LKM: προιέναι t 23 post αἰτίαν addit τοῦ εἰ (scrib. εἰν) ἄνον K 24 ἐρεῖ ἔτι ὅτι L 25 τὸ τυχὸν L ἐπεὶ addidi εἴδη iterat. eras. K 30 ἰδικὴν K

www.libtool.com.cn

p. 194b16 Διωρισμένων δὲ τούτων ἐπισκεπτέον περὶ τῶν αἰτίων, g1r
ποῖά τε καὶ πόσα τὸν ἀριθμόν ἐστι.

Διαλεχθεὶς περὶ τῶν συναιτίων, ταῦτα δέ ἐστιν ἡ ὕλη καὶ τὸ εἶδος, βούλεται νῦν καὶ περὶ τῶν λοιπῶν δύο διαλεχθῆναι τοῦτε ποιητικοῦ καὶ τοῦ τελικοῦ, ἅπερ κυρίως ἐστὶν αἴτια. ἐπεὶ γάρ, φησί, σκοπὸς ἡμῖν γνῶναι τὰ φυσικὰ πράγματα, οὐ πρότερον δὲ γινώσκομέν τι πρὶν ἂν τὰς ἀρχὰς καὶ τὰ αἴτια πάντα τούτου γνῶμεν, ἀνάγκη καὶ τῶν φυσικῶν πραγμάτων πάντα τὰ αἴτια γνῶναι, εἴ γε τῆς γνώσεως αὐτῶν ἐφιέμεθα. ἐπεὶ οὖν βούλεται περὶ τῶν λοιπῶν αἰτίων εἰπεῖν τοῦτε ποιητικοῦ καὶ τοῦ τελικοῦ, ἀναλαμβάνει καθόλου τὸν περὶ ⟨τῶν⟩ αἰτίων λόγον, καί φησιν ὅτι παντὸς πράγματος τέσσαρά ἐστι τὰ αἴτια, ἡ ὕλη τὸ εἶδος τὸ ποιητικὸν αἴτιον τὸ τελικόν· οἷον οἰκίας ὕλη μὲν λίθοι καὶ πλίνθοι καὶ ξύλα, εἶδος δὲ τὸ τοιόνδε σχῆμα, ποιητικὸν δὲ αἴτιον ὁ οἰκοδόμος, τελικὸν ἡ χρεία τοῦ ἀνθρώπου δι' ἣν γίνεται (λέγω δὴ τὸ εἶναι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων)· καὶ ἐπὶ πάντων ὁμοίως. καλεῖ δὲ τὴν μὲν ὕλην ἐξ οὗ, τὸ δὲ εἶδος καθ' ὅ, τὸ δὲ ποιητικὸν αἴτιον ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸ δὲ τελικὸν δι' ὅ. εἰσὶ δὲ καὶ ἕτερα δύο αἴτια τῶν γινομένων τό τε ὀργανικὸν καὶ τὸ παραδειγματικόν, ἅπερ καὶ ὁ Πλάτων ἐν τοῖς αἰτίοις ἀπαριθμεῖται, ἀλλ' ὁ Ἀριστοτέλης ὡς φυσικὸς οὐ προσποιεῖται ταῦτα, τὸ μὲν παραδειγματικὸν διότι τοῦτο κρεῖττόν ἐστιν ἢ κατὰ φύσιν (οὐ γὰρ πρὸς παράδειγμα ἡ φύσις ἀποβλέπουσα ποιεῖ· εἰ γὰρ ἔχει τοὺς λόγους τῶν γινομένων, ἀλλ' οὐ γνωστικῶς ὥσπερ ὁ τέκτων, ζωτικῶς δὲ μόνον, διότι πεποίωται κατ' αὐτούς), τὸ δὲ ὀργανικὸν αἴτιον συμπεριλαμβάνει τῷ ὑλικῷ. ἔστι μὲν γὰρ οἷον ὄργανον τῆς φύσεως τὸ ἔμφυτον θερμόν, ἀλλὰ τοῦτο, ὡς εἶπον, συναναλαμβάνει τοῖς ὑλικοῖς, ἐπειδὴ ὅλως τὰ τέσσαρα στοιχεῖα, ἐν οἷς αἱ τέσσαρες ποιότητες, ὑλικὸν αἴτιον οἷδε τῶν γινομένων· ποῖον δ' ἂν ὄργανον τοιοῦτον αὐτῆς τῆς τῶν τεσσάρων στοιχείων γενέσεως παραληφθείη; ὁ μὲν οὖν Πλάτων θεολογῶν ποιητικὸν μὲν αἴτιον τὸν δημιουργὸν λέγων, ὀργανικὸν εἶναι τὴν ὕλην φησίν, ὁ μέντοι Ἀριστοτέλης φυσιολογῶν εἰκότως ταύτην μὲν ποιητικόν φησιν εἶναι αἴτιον, ὀργανικὸν δὲ ἀνάλογον οὐκ ἔχει· καὶ γὰρ τὰ ὄργανα καθόλου χωριστὰ εἶναι θέλει καὶ τῶν ποιητικῶν καὶ

---

1 lemma om. K 2 πόσα τε τὸν ἀριθμὸν καὶ ποῖα ἐστί M ἐστιν t 5 φησί om. Mt 6 τὰς αὐχὰς K 9. 10. et p. 242,9 αἰτιῶν K 10 τὸν] τῶν K τῶν addidi λόγων K 11 τέσσαρά ἐστι κτλ.] cf. p. 5,6 sqq. 11. 12 καὶ τὸ τελικόν K 12 τὸ om. K 18 ἅπερ LK: ἃ Mt 21 εἰ γὰρ καὶ ἔχει fort. recte Mt 22. 23 διότι — αὐτοὺς om. L 22 πεποίωται K: πεποίηται Mt 23 ἔστι μὲν γὰρ K: εἰ μὲν γὰρ L: εἴπερ Mt 24. 25 fort. συμπεριλαμβάνει 25 τοῖς ὑλικοῖς] τὴν ὑλικὴν K οἷς] αἷς K 26 ἂν om. L 27 τοιοῦτον αὐτῆς L: αὐτῆς τοιοῦτον K: αὐτῆς (om. τοιοῦτον) Mt 28 ποιητικὸν μὲν K: μὲν ποιητικὸν L: ποιητικὸν (om. μὲν) Mt λέγων KL. λέγει Mt 29 εἶναι τὴν ὕλην φησίν LK: δὲ τὴν ὕλην (marg. φύσιν M²) Mt 30 ποιητικὴν compend. K ὀργανικῶ fort. recte L 31 καθόλου τὰ ὄργανα K

www.libtool.com.cn

τῶν ἀποτελεσμάτων, τὸ δὲ ἔμφυτον θερμὸν οὐ κεχώρισται τῆς δημιουρ- g 1r
γούσης φύσεως, ἀλλὰ καὶ αὐτὸ τῶν ὑποκειμένων ἐστὶ τῇ φύσει, ἐν ᾧ
ὀχουμένη δημιουργεῖ τὸ ζῷον. δυνατὸν δὲ παράδειγμα ἐπὶ τῶν φυσικῶν
αὐτὴν τὴν φύσιν εἰπεῖν, εἴ γε τὸ ὅμοιον τοῦ ὁμοίου γεννητικὸν καὶ σκοπὸς
τῇ φύσει τῇ ἐν τῷ πατρὶ ἢ τῇ μητρὶ τὸ ποιῆσαι ὅμοιον αὐτῇ, ἀλλ' οὔτε
γνωστικῶς, ὅπερ εἶπον, εἰς ἑαυτὴν ὡς πρὸς παράδειγμα ἀφορᾷ, κεχωρί-
σθαι τε θέλει κατ' οὐσίαν τοῦ ποιητικοῦ τὸ παράδειγμα. ταῦτα εἰπών,
ἐφεξῆς ὅσα παρακολουθεῖ τοῖς αἰτίοις παραδίδωσι, καὶ πρῶτον ὅτι πολλῶν
ὄντων τῶν αἰτίων συμβαίνει τοῦ αὐτοῦ πλείονα εἶναι αἴτια καθ' αὑτό, τὰ
ἀπηριθμημένα τέσσαρα. πάντα γὰρ καθ' αὑτὸ αἴτιά εἰσιν, ἀλλ' οὐ κατὰ
τὸ αὐτό· ἄλλως γὰρ ἡ ὕλη αἴτιον, καὶ ἄλλως τὸ ποιητικόν. καὶ ἐπὶ τῶν
λοιπῶν ὡσαύτως. ἔτι, φησί, τινὰ ἀλλήλων ἐστὶν αἴτια, οἷον οἱ πόνοι τῆς
εὐεξίας εἰσὶν αἴτιοι, ἀλλὰ καὶ ἡ εὐεξία τῶν πόνων· ἀλλ' οὐ κατὰ τὸν
αὐτὸν τρόπον, ἀλλ' οἱ μὲν πόνοι τῆς εὐεξίας αἴτιοι ὡς ποιητικοί, ἡ δὲ
εὐεξία τῶν πόνων αἰτία ὡς τελική. διὰ γὰρ τὸ τυχεῖν εὐεξίας καὶ ὑγείας
πονοῦμεν· 'διὰ τί' γὰρ 'βαδίζεις;' ἐρωτηθείς, λέγω 'ἵνα ὑγιάνω'. ἔτι, φησί,
τὸ αὐτὸ τῶν ἐναντίων δύναται εἶναι αἴτιον· ὁ γὰρ κυβερνήτης παρὼν μὲν
αἴτιος γίνεται τῆς σωτηρίας τῆς νεώς, ἀπὼν δὲ ἀπωλείας αὐτῇ αἴτιος γί-
νεται. καί φασιν ὅτι οὐ καθ' αὑτὸ ὁ κυβερνήτης ἀπὼν ἀπωλείας αἴτιος
γίνεται τῇ νηί, ἀλλὰ κατὰ συμβεβηκός· κἂν σωθείη γὰρ ἡ ναῦς ἀπόντος
τοῦ κυβερνήτου. διό, φασίν, οἰκειότερον παράδειγμα ἂν εἴη τὸ κατὰ τὸν
ἥλιον, ὃς παρὼν μὲν φωτὸς γίνεται αἴτιος ἀπὼν δὲ σκότους, καὶ ἀμφότερα
καθ' αὑτό· εἰ γὰρ κατὰ συμβεβηκὸς ἀπὼν σκότους αἴτιος ἐγίνετο καὶ μὴ
καθ' αὑτό, κἂν ἀπὼν ἦν ὅτε οὐκ ἐγένετο σκότους αἴτιος· τοιαῦτα γὰρ τὰ
κατὰ συμβεβηκὸς αἴτια. φημὶ δὲ ὅτι εἰ καὶ ἡ τοῦ κυβερνήτου ἀπουσία οὐ πάν-
τως ἀπωλείας τῇ νηὶ αἰτία γίνεται, οὐ παρὰ τοῦτο νομιστέον κατὰ συμβεβηκὸς
αὐτὴν αἰτίαν εἶναι τῆς ἀπωλείας, ἐπεὶ καὶ ἡ παρουσία αὐτοῦ οὐ πάντως
σωτηρίας αἰτία γίνεται, καὶ οὐ παρὰ τοῦτο, ἡνίκα ἂν σῴζῃ, οὐ καθ' αὑτὸ
ἀλλὰ κατὰ συμβεβηκὸς σῴζει. οὕτως οὖν, κἂν ἀπόντος τοῦ κυβερνήτου
ποτὲ σωθείη ἡ ναῦς, κατὰ τύχην ἐροῦμεν τὴν σωτηρίαν γενέσθαι, ὥσπερ
τὴν ἀπώλειαν τὴν ἐπὶ τῆς παρουσίας τοῦ κυβερνήτου βίᾳ γενέσθαι φαμέν
(αἱ γὰρ τέχναι τῶν ὡς ἐπὶ τὸ πολύ), τῆς μέντοι ἀπωλείας τῆς ἐπὶ τῇ

---

1 τὸ δέμφοτον K οὐκ ἐχώρισται K 3 ὀχουμένη οὕτω δημιουργεῖ K 4 τοῦ τὸ L 5 αὐτῇ libri 6 πρὸς om. L 7 ποιητικοῦ αἰτίου Mt 9 πλείον (sic) K 10 ἀπηρριθμημένα M 13. 15 ἀλλ' οὐ — πόνων om. L 16 ὑγιάνω (cf. p. 268,24) M: ὑγιαίνω (cf. Ar. p. 194b34) K: ὑγιανῶ t et, si silentio fides, L 18 τῇ νεῶς (sic) LK: τῶν νεῶν Mt αὐτῇ scripsi: αὐ L: om. K: αὐταῖς Mt 19. 20 καὶ φασιν — αἴτιος γίνεται om. K 19 φασιν] cf. Simplic. p. 319,10 24 ἦν (ἢ K) ὅτε οὐκ LK: ἦν, οὐκ ἂν Mt ἐγίνετο fort. recte L 25. 26 οὐ πάντως om. t 26 ἀπωλείας τῇ νηῖ αἰτία (incertum utrum αἰτία an αἴτια M; αἴτια, si silentio fides, L) γίνεται LKM: αἴτια τῇ νηῖ γίνεται ἀπωλείας t 27 αὐτὴν] αὐτὸν L 28 ἡ νίκη ἂν L 30 ποτὲ om. Mt γίνεσθαι K 30. 31 ὥσπερ καὶ τὴν Mt 31 παρουσίας] σωτηρίας L 32 τῶν] τῶς (sic) K ἀπολείας τῇ ἐπὶ K 32. p. 243,1 τῇ ἀπουσίᾳ] fort. τῆς ἀπουσίας

www.libtool.com.cn

ἀπουσίᾳ τοῦ κυβερνήτου γινομένης καθ' αὑτὸ ἂν εἴη αἰτία ἡ ἀπουσία αὐ- g 1r
τοῦ· ὥστε καθ' αὑτὸ ὁ κυβερνήτης τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ τῶν ἐναντίων 50
αἴτιος γίνεται, σωτηρίας φημὶ καὶ ἀπωλείας.

p. 194b18 Εἰδέναι δὲ οὐ πρότερον οἰόμεθα πρὶν ἂν λάβωμεν τὸ
5 διὰ τί περὶ ἕκαστον. |

Τὸ διὰ τί ἀντὶ τοῦ τὰς περὶ ἕκαστον αἰτίας, ὧν ἕνεκεν ἔστιν· g 1v
ἐρωτώμενοι γὰρ 'διὰ τί ἄνθρωπος ἔστιν;' ἀποδίδομεν ἢ τὸ ποιητικὸν ἢ τὸ
τελικὸν ἢ ἕν τι τῶν ἄλλων ἢ πάντα. δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιη-
τέον καὶ περὶ γενέσεως καὶ φθορᾶς καὶ περὶ πάσης τῆς φυσικῆς
10 μεταβολῆς, τουτέστι τὰ αἴτια γενέσεως καὶ φθορᾶς καὶ καθόλου πάσης
φυσικῆς μεταβολῆς. ὥστε καὶ ἐντεῦθεν ἔχεις, ὅτι περὶ τῶν κοινῶς παρα-
κολουθούντων τοῖς γινομένοις καὶ φθειρομένοις ἐστὶν ὁ λόγος. ὅπως εἰ- 5
δότες αὐτῶν τὰς ἀρχὰς ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζη-
τουμένων ἕκαστον. εἰδότες γὰρ ὅτι πάντων τῶν φυσικῶν αἱ τέσσαρές
15 εἰσιν αὗται αἰτίαι, ἕκαστον τῶν ζητουμένων εἰς τὰς ἀρχὰς ταύτας ἀνάγο-
μεν· οἷον ζητοῦντες περὶ κλίνης λέγομεν ὅτι ποιητικὴ μὲν αὐτῆς ἡ τεκτο-
νικὴ τέχνη, εἶδος δὲ τὸ τοιόνδε σχῆμα, ὑλικὸν αἴτιον τὰ ξύλα, τελικὸν ἡ
τοῦ ἀνθρώπου χρεία.

p. 194b23 Ἕνα μὲν οὖν τρόπον αἴτιον λέγεται τὸ ἐξ οὗ γίνεταί
20 τι ἐνυπάρχοντος.

Τὸ ὑλικὸν αἴτιόν φησι· τοῦτο γὰρ καλεῖ τὸ ἐξ οὗ· λέγομεν γὰρ ἐκ 11
ξύλων τὸ ἀβάκιον, καὶ ἐξ ὕλης καὶ εἴδους τὰ πράγματα. εἰ δὲ ἐλέγομεν
ἐν τῷ προτέρῳ λόγῳ, ὅτι τὸ ἐξ οὗ τῇ στερήσει μᾶλλον οἰκεῖόν ἐστι τῇ
δὲ ὕλῃ τὸ τόδε, οὐκ ἐναντία φαμέν· ἐκεῖ μὲν γὰρ διαιροῦντες τῷ λόγῳ
25 τὴν στέρησιν ἀπὸ τῆς ὕλης, διὰ τὸ ὑπομένειν τὸ τόδε αὐτῇ προσήπτομεν,
νῦν δὲ ἐπειδὴ τοῖς τέτρασιν αἰτίοις ἴδιον ἀφορίσαι βουλόμεθα πρόσρημα,
οἰκειότερον δήπου πάντων τὸ ἐξ οὗ τῇ ὕλῃ ἁρμόσει· αὕτη γάρ ἐστιν ἡ 15
μεταβάλλουσα καὶ ἀλλοιουμένη, οὔτε δὲ τὸ ποιητικὸν αἴτιον οὔτε τὸ τελι-
κὸν οὔτε τὸ εἶδος κινεῖται. ἐνυπάρχοντος δέ φησιν ἀντὶ τοῦ ἐν τῷ
30 πράγματι αὐτῷ τῷ γινομένῳ ὄντος τοῦ ὑλικοῦ αἰτίου καὶ στοιχείου αὐτοῦ

---

1 γενομένης K 2 ἐναντίον K: ἐναντί (sic) M 4. 18 om. K 4 lemma plenius exhibet praemissis ἐπεὶ γὰρ τοῦ εἰδέναι χάριν τὰ φυσικὰ ἡ πραγματεία t οἰόμεθα LM: οἰόμεθα ἕκαστον ex Aristotele t 9 περὶ alterum om. Aristotelis cod. E 11 καὶ ἐντεῦθεν κτλ.] cf. p. 151,17 (1,22. 2,13. 199,21. 243,11. i 4v 29) 13 τὰς ἀρχὰς αὐτῶν Aristot. cod. E εἰς ἑαυτὰς M 14. 15 αἱ τέσσαρές εἰσιν αὗται αἰτίαι L: αἰτίαι αὗται αἱ τέσσαρές εἰσιν Mt 15 τῶν ζητουμένων L: om. Mt 16 ποιητικὴ L: ποιητικὸν fort. recte Mt 19. 20 αἴτιον—ἐνυπάρχοντος om. K 19 αἴτιον λέγεται Lt: λέγεται αἴτιον M 21 λέγομεν γὰρ K: λέγομεν (om. γὰρ) L: οἷον λέγομεν Mt 22 ἀβάκιον K: ἀββάκιον LMt ἐλέγομεν p. 145,2 sqq. 26 τέτρασιν] cf. ad p. 2,16 27 fort. οἰκειότατον 28 ἀλλουμένη L 28. 29 οὔτε τὸ τελικὸν οὔτε K: οὐδὲ τὸ τελικὸν οὐδὲ LMt 30 ὑλικοῦ marg. M²: τελικοῦ M

www.libtool.com.cn

γινομένου, καὶ οὐχ ὥσπερ τὸ ποιητικὸν ἔξωθεν ὄντος· ἔξωθεν γὰρ ὁ τεχνί- g l v
της τοῦ τεχνητοῦ καὶ ὁ πατὴρ τοῦ υἱοῦ καὶ ἡ περιφορὰ τῶν οὐρανίων τῶν γενητῶν πάντων, ἡ δὲ ὕλη ἐν αὐτοῖς ἐστι. καὶ τὰ τούτων γένη. ἐπειδὴ τὰς προσεχεῖς ὕλας ἀποδέδωκε, διὰ τοῦτο προσέθηκε καὶ τὰ τού-
5 των γένη, τουτέστι καὶ τὰ τούτων καθολικώτερα, ἤτοι γένη τὰ ὑποκείμενά 20
φησι· τοῦ γὰρ ἀνδριάντος προσεχὴς μὲν ὕλη ὁ χαλκός, ἐπειδὴ δὲ καὶ τούτῳ ὑπόκειται ἕτερόν τι, οἷον τὸ ὕδωρ, καὶ τὸ ὕδωρ ἄρα ὕλη τοῦ ἀνδριάντος· ἀλλὰ καὶ τὸ τριχῇ διαστατόν, ὅπερ ὑπόκειται τῷ ὕδατι, καὶ ἡ πρώτη ὕλη, ἥτις προσεχῶς τῷ τριχῇ διαστατῷ ὑπόκειται. εἴτε οὖν ἐξ ὕδατός τις ἡγοῖτο
10 εἶναι τὸ τοῦ χαλκοῦ μέταλλον εἴτε ἐκ γῆς, οὗ δὰν ᾖ ὕλη ὁ χαλκός, τούτου καὶ τὰ τῷ χαλκῷ ὑποκείμενα εἴτε προσεχῶς εἴτε καὶ διὰ μέσων πλειόνων ὕλη ἂν εἴη.

p. 194ᵇ26 Ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα. 25

Ἄλλον τρόπον, φησίν, ἀρχή ἐστι τὸ εἶδος. παράδειγμα δὲ εἶπεν,
15 οὐχ ὡς οἱ τὰς ἰδέας ὑποτιθέμενοι, οὐδ' ὡς οἰόμενος φυσικοῦ εἶναι παραδειγματικὸν ἀποδιδόναι αἴτιον (οὐ γὰρ πρὸς παράδειγμα ὁρῶσα ἡ φύσις ποιεῖ, ἐπειδὴ μὴ γινώσκουσα ποιεῖ, ἀλλ' ἀνεπιστάτως τοὺς λόγους τῶν γινομένων ἔχουσα), ἀλλ' ἐπειδὴ οἱ πρὸς παράδειγμα ποιοῦντες ὡρισμένα ποιοῦσι μήτε ὑπερπίπτοντες μήτε ἐνδεέστερον τοῦ παραδείγματος ἐργαζό-
20 μενοι τὸ ἀποτέλεσμα, καὶ τὰ ὑπὸ φύσεως δὲ γινόμενα ὡρισμένα ἐστίν (ὥρι- 30
σται γὰρ τὸ ἀνθρώπου εἶδος τὸ βοὸς τὸ συκῆς τὸ ἀμπέλου καὶ τῶν λοιπῶν, καὶ μέχρι τοσούτου κινεῖ ἡ φύσις τὴν ὕλην μέχρις ἂν εἰς τὸ εἶδος ἔλθῃ), διὰ τοῦτο τὸ εἶδος παράδειγμα εἶπε. τοῦτο δέ ἐστιν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη. οἷον τοῦ ἀνδριάντος εἶδος οὐχ ὁ χαλκός
25 (τοῦτο γὰρ ὕλη), ἀλλ' ἡ ἀνδρείκελος μορφή, τούτου δὲ γένος ἡ εἰκών (πᾶς μὲν γὰρ ἀνδριὰς εἰκών, οὐ πᾶσα δὲ εἰκὼν ἀνδριάς), εἰκόνος δὲ γένος ἂν εἴη τὸ τεχνητόν· καὶ ἐπὶ φυσικῶν δὲ εἶδος μὲν ἂν εἴη ὁ ὁριστικὸς λόγος τοῦ πράγματος, γένη δὲ τούτου τὰ μέρη αὐτοῦ, ὡς αὐτὸς εὐθέως 35
ἐρεῖ. γένος γὰρ τοῦ λόγου τοῦ ἀνθρώπου τὸ ζῷον τὸ λογικὸν καὶ τὸ θνη-

---

1 ὥσπερ τοῦ ποιητικοῦ L 2 καὶ (ante ὁ) om. superscr. K 3 καὶ τὰ τούτων γένη om. K 4 προσεχῆς K 5 γένη τὰ scripsi: γενητὰ (γεννητὰ, ut solet, t) libri at cf. ad p. 25,17 6 ἐπεὶ K δὲ K: om. LMt 8 ἀλλὰ — πρώτη in eras. K τὸ corr. ex τῶ M τριχῶς K καὶ ἡ] καὶ τῇ K 9 ἡγεῖτο K 10 δὰν] δ' ἂν libri cf. ad m l v 25 11 καὶ τὰ] κατὰ K μέσον K 13 ἄλλο (ut Aristotelis cod. l) t, ubi nihil enot. ex LKM: patet tamen Philoponum ἄλλον legisse idque reposui 15 οὐχ ὡς κτλ.] cf. Themist. p. 170,27 sqq. οἱ om., superscr. K οἰόμενοι ut vid. M 17 ἐπειδὴ μὴ K: ἐπει.... (oblitter.) L: ἐπεὶ μηδὲ Mt ἀναπιστάτως K 20 ὑπὸ LKM²: ὑπὲρ Mt ὁρισμένα K εἰσίν ut vid. L 21 τὸ ἀμπέλου om. K 22 τοσοῦτον K 23 τὸ om. K 24 οὐχ' ὁ ἀλκὸς K 25 ἀνδρίκελος Mt 26 δὲ γένος om. K 29 καὶ τὸ λογικὸν καὶ K

www.libtool.com.cn

τόν· ἐπὶ πλέον γὰρ ἕκαστον τούτων τοῦ ἀνθρωπείου λόγου. εἴρηται δὲ ὅτι g 1ᵛ
τὰ γένη οἷον ὕλη ἐστὶ τῶν ὁρισμῶν.

p. 194ᵇ27 Οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἕν, καὶ ὅλως ὁ ἀριθμὸς καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

Παράδειγμα τίθησι τοῦ εἰδοποιὰ εἶναι αἴτια μὴ μόνον τὸ προσεχὲς εἶδος, ἀλλὰ καὶ τὰ γένη αὐτοῦ τά τε ἐγγὺς καὶ τὰ πορρωτέρω. τῆς οὖν διὰ πασῶν ἁρμονίας εἶδος ἂν εἴη τὰ δύο πρὸς ἕν· ἔστι δὲ ἡ διὰ πασῶν ἁρμονία ἐν ᾗ ἡ ὑπάτη δὶς ἔχει τὴν νεάτην, τουτέστι διπλασίονα αὐτῆς φθόγγον ἔχει. ἔστιν οὖν εἶδος ταύτης τὰ δύο πρὸς ἕν· ὃν γὰρ λόγον ἔχει τὰ δύο πρὸς ἕν, τοῦτον τὸν λόγον ἡ ὑπάτη πρὸς τὴν νεάτην. ἀλλὰ καὶ τὸ γένος τῶν δύο πρὸς ἓν εἰδοποιοῖ ἂν τὴν διὰ πασῶν, τοῦτο δέ ἐστι τὸ διπλάσιον· ἐπὶ πλέον γὰρ τοῦτο τῶν δύο πρὸς ἕν· ἐπὶ πάντων γὰρ ἁρμόζει τῶν διπλασίων ἀριθμῶν. ἀλλὰ καὶ τούτου γένος ὁ ἀριθμός· ἐπὶ πλέον γὰρ τοῦ διπλασίου ὁ ἀριθμός· εἴ τι μὲν γὰρ διπλάσιον, τοῦτο καὶ ἀριθμός, οὐκ εἴ τι δὲ ἀριθμός, τοῦτο διπλάσιον. τὸ δὲ καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ ἐξήγησίς ἐστι τοῦ τίνα λέγει τὰ τοῦ λόγου γένη. φησὶν οὖν ὅτι τὰ μέρη τοῦ ὁρισμοῦ, ταῦτα γένη αὐτοῦ φημι. ἐπεὶ γὰρ ὡς ἐν παραδείγματι τοῦ εἴδους τοῦ τε προσεχοῦς καὶ γένους τούτου παρέλαβε τὰ δύο πρὸς ἓν ὡς εἶδος καὶ τὸν ἀριθμὸν ὡς γένος, ἐπ' αὐτοῦ τοῦ προκειμένου μεταφέρων τὸν λόγον ἐπήγαγε καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

p. 194ᵇ29 Ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως. |

Τὸ ποιητικὸν αἴτιον· ὅταν γὰρ ἐρωτήσωμεν τίς τοῦ πολέμου αἴτιος, g 2ʳ
ἐροῦμεν ὅτι ὁ βουλεύσας, καὶ τίς αἴτιος τοῦ υἱοῦ, ὅτι ὁ πατήρ. τὴν πρώτην δὲ εἶπεν, ὅτι δοκοῦσι καὶ τὰ ὄργανα κινεῖν, ἀλλ' οὐ πρῶτα κινεῖ. οὐκ οὖν ποιητικὰ αἴτια ταῦτα· τὸ γὰρ ποιητικὸν τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἡ πρώτη. ὥσπερ δὲ κινήσεως ἀρχὴ τὸ ποιητικόν, οὕτω καὶ ἠρεμήσεως·

---

1 τούτ t ὅτι] ὁ K εἴρηται p. 130,11 sqq. 2 ὅλη (β) οἷον (α) M 3. 4 τὰ δύο — λόγω om. K 5 προσεχεῖ K 8 νεάτην L: νέτην (α) K: νεάτην (η) M: νήτην t 10 νεάτην LKM: νήτην t 11 εἰδοποιοῖ ἂν] εἰδειποιοῖ (ο) ἂν K: εἰδοποιεῖαν compend. M: εἰδοποιοῖ (sine ἂν) t, ubi nihil enot. ex L 11. 12 διπλασίον t 15 οὐχ K δὲ ἀριθμός L: ἀριθμὸς (om. δὲ) K: ἀριθμὸς δὲ Mt 16. 17 τὰ μέρη — ταῦτα γένη K: τὰ γένη — ταῦτα μέρη LMt 18 τοῦ τε LMt: τούτου K καὶ γένους K: τοῦ γένους LM: γένους t: fort. καὶ τοῦ γένους 20 λόγον] λόγων compend. K 21. 22 τῆς μεταβολῆς — ἠρεμήσεως om. K 21 ἢ τῆς L: ἢ ἡ τῆς Mt 23 ἐρωτήσωμεν LKM: ἐρωτησώμεθα t: scribendum ἐρωτηθῶμεν cl. p. 242,16. 243,7. 258,19. ad p. 254,4 24 ὁ βασιλεύσας ante corr. K αἴτιος om. Mt 25 δοκοκοῦσι K πρῶτα K: πρῶ (τ) L: πρώτως Mt at cf. Themist. p. 171,9 κινεῖ K: κινεῖν LMt 25. 26 οὔκουν libri 27 δὲ (K)t: om. LM τὸ om. K

www.libtool.com.cn

ὁ γὰρ συμβουλεύσας εἰρήνην, οὗτος τῆς ἠρεμήσεως τῆς τοιαύτης αἴτιος. g 2r
καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίνεται τοῦ τέλους. ταῦτα 5
πάντα, φησίν, ἕνεκά τού ἐστι καὶ διὰ τὸ τέλος ἔχει τὸ εἶναι, ὅσα κινήσαν-
τός τινος μεταξύ ἐστι τοῦ κινητικοῦ τούτου αἰτίου καὶ τοῦ τελικοῦ, τουτέστι
5 πάντα τὰ μεταξὺ τοῦ ποιητικοῦ αἰτίου καὶ τοῦ τελικοῦ πάντα τοῦ τέλους
ἕνεκα γίνονται, κἂν ἄλλο ἐξ ἄλλου τῶν μεταξὺ γίνηται. οἷον ὑπὸ τῶν πό-
νων ἡ ἰσχνασία· οὐ γὰρ μόνον οἱ πόνοι διὰ τὴν ὑγείαν, ἀλλὰ καὶ ἡ
ἰσχνασία· ὥστε πάντων τούτων τέλος ἡ ὑγεία. ἀλλὰ καὶ αὐτή, εἰ τύχοι,
διὰ τὸ ἀναγινώσκειν· διὰ τοῦτο γὰρ ὑγιαίνειν βουλόμεθα, ἵνα ἀναγινώσκω- 10
10 μεν. ἀλλὰ καὶ τοῦτο δι' ἕτερόν τι· διὰ γὰρ τὴν εὐδαιμονίαν. καὶ ἔστι
πάντων τοῦτο τελικώτατον αἴτιον, καὶ τὰ ἄλλα πάντα τούτου ἕνεκεν γέ-
γονε. διαφέρει δὲ ἀλλήλων ὡς ὄντα τὰ μὲν ἔργα τὰ δὲ ὄργανα.
διαφέρει, φησί, τὰ πρὸς τὸ τέλος τῷ τὰ μὲν ἔργα εἶναι, οἷον βάδισιν ἴσχναν- 23
σιν κάθαρσιν, ὄργανα δὲ φάρμακα φλεβότομα καὶ τὰ λοιπά.

15 p. 195a4 Συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι.

Ἀπαριθμησάμενος τὰ αἴτια βούλεται λοιπὸν ὅσα παρακολουθεῖ τοῖς 25
αἰτίοις παραδοῦναι. καὶ πρῶτόν φησιν, ὅτι τοῦ αὐτοῦ πολλὰ ἔσονται αἴτια
καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός, οὐ μὴν κατὰ τὸν αὐτὸν λόγον· οἷον τοῦ
20 ἀνδριάντος αἴτιος καὶ ὁ χαλκὸς καὶ ὁ ἀνδριαντοποιός, οὐ κατ' ἄλλο τι ἢ καθὸ
ἀνδριάς, ἀλλ' ὁ μὲν ὡς ποιητικὸν αἴτιον, ὁ δὲ ὡς ὑλικόν.

p. 195a15 Ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους.

Ἀνακεφαλαιοῦται τὰ εἰρημένα ἐν συντόμῳ, ὅτι τέσσαρές εἰσι τῶν
25 ἀπηριθμημένων αἰτίων οἱ τρόποι, τὸ ὑλικὸν αἴτιον τὸ εἰδικὸν τὸ ποιητικὸν 30

---

2 κινήσαντα M ἄλλου — τέλους om. K 2. 3 πάντα ταῦτα K 3 διά τι τέλος L ἔχειν K 3. 4 κινήσαντός om. L 4 κινητικοῦ (K)t: κινητοῦ LM
5 τέλου K 6 γίνονται et γίνηται] compend. ΓΑΙ K ἄλλου τοῦ μεταξὺ L
7. 8 ἰσχασία priore loco, ἰσχασία altero loco L: ἰσχνανσία utrobique t 7 ὑγῖειαν (sic) et v. 8 ὑγεῖα K 8 αὐτὴ LKM: αὕτη recte t 11 τοῦτο K: τούτων LM: τοῦτον t τούτου om. K 12 διαφέρη K δ' ἀλλήλων t 13. 14 διαφέρει — λοιπά om. K 13 τῷ τὰ] ταῦτα L 14 φλεβότομα LM: φλεβοτομία t 15. 16 λεγομένων — εἶναι om. K 17 ἀπαρριθμησάμενος M: ἀπαρηθμησάμενος t 18 τοῦ om. L 20 αἴτιος om. K ἢ καθὸ K: ἢ καθ' αὐτὸ L: ἢ καθ' αὐτὸ τὸ Mt
22. 23 εἰς — φανερωτάτους om. K 22 τέτταρας L: τέσσαρας Mt 22. 23 τρόπους πίπτει] πίπτει τόπους Arist. cod. E 24 τέσσαρές (L)t: δ' K: τέσσαρα M 25 ἀπηριθμημένων M αἰτιῶν K τὸ (ante ὑλικὸν) Kt: om. LM

www.libtool.com.cn

τὸ τελικόν. εἶτα πλείονα τοῦ ὑλικοῦ τίθησι παραδείγματα, ὅτι τὰ στοιχεῖα g 2r
ὡς ὕλη αἰτιά ἐστι τῶν συλλαβῶν, καὶ τὸ ὑποκείμενον αἴτιόν ἐστι τοῖς σκευαστοῖς ὡς ὕλη (οἷον θυμίαμασι καὶ τοῖς τοιούτοις, καὶ ἁπλῶς τοῖς τεχνητοῖς πᾶσι), καὶ τὰ τέσσαρα στοιχεῖα ὕλη ἐστὶ τῶν συνθέτων σωμάτων, καὶ τὰ μέρη ὑλικὰ αἴτιά ἐστι τοῦ ὅλου, καὶ αἱ προτάσεις αἴτιαι τοῦ συμπεράσματος ὡς ὕλη.

Τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη. τοῦτο τῷ ἀνωτέρω ἐστὶ συνεχὲς ἅπαντα δὲ τὰ νῦν αἴτια εἰς τέσσαρας τρόπους πίπτει τοὺς φανερωτάτους, εἶτα συναπτέον τὸ προκείμενον τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον καὶ τὰ ἑξῆς. τὰ δὲ μεταξὺ παραδείγματά ἐστι τοῦ ὑλικοῦ αἰτίου. ἀλλ' ἐπειδὴ πολλὰ παρέθετο παραδείγματα, διὰ τοῦτο ἀναλαμβάνει πάλιν τὸν λόγον, ἀπαριθμεῖται δὲ πάλιν τοὺς τέσσαρας τρόπους τοὺς εἰρημένους τῶν αἰτίων.

Τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος. ὡς τὸ τί ἦν εἶναι ἀντὶ τοῦ ὡς τὸ εἶδος· κατὰ τοῦτο γάρ ἐστιν ἑκάστῳ τὸ εἶναι. τὸ οὖν εἶδος τοῦτο λέγεται καὶ ἡ σύνθεσις ἡ τῶν μερῶν, λέγεται καὶ ἡ ὁλότης αὐτῶν, λέγεται καὶ αὐτὸ τοῦτο τὸ ἐπικείμενον αὐτοῖς εἶδος.

p. 195a21 Τὸ δὲ σπέρμα καὶ ὁ βουλεύσας καὶ ὁ ἰατρὸς καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἢ στάσεως ἢ κινήσεως.

Τὸ σπέρμα ποιητικὸν αἴτιον, φησί, διότι τοὺς φυσικοὺς λόγους ἐν ἑαυτῷ ἔχει, καὶ τὸ μὲν καταμήνιον ὑπέστρωται αὐτῷ ὡς ὕλη, οἱ δὲ τοῦ εἴδους λόγοι ἐκ τούτου προῖασιν εἰς ἐκεῖνο. ἔμπροσθεν δὲ τὸ σπέρμα ὡς ὕλην ἐλάβομεν ὡς πρὸς τὴν τῶν γονέων φύσιν, ᾗ τό τε σπέρμα καὶ τὸ καταμήνιον ὡς ὕλη ὑπέστρωται. καὶ ἄλλως εἰ ἡ φύσις ὡς ποιοῦσα ἐν τῷ κινουμένῳ ἐστίν, εἴη ἂν τὸ σπέρμα ὕλη τῷ ἐν αὐτῷ λόγῳ, ὥσπερ καὶ τὸ ζῷον ὑπόκειται ὡς ἐν ὕλης τάξει τῇ ἐν αὐτῷ φύσει ἐν ταῖς φυσικαῖς μεταβολαῖς αὐξήσει καὶ ἀλλοιώσει καὶ ταῖς λοιπαῖς.

---

1 εἰ τὰ πλείονα K 3 σκευαστοῖς K: σκευαστικοῖς LMt 5 ὑλικά ἐστιν αἴτια Mt αἴτιαι K: αἰτίαι LMt 7 τὰ μὲν—μέρη om. K 8. 9 ἅπαντα—φανερωτάτους] cf. p. 246,22 sq. 8 νῦν αἴτια] συναίτια K 9 εἶτα] ὅτι K 12 ἀπαριθμεῖται M 12. 13 πάλιν τοὺς εἰρημένους δ' τρόπους τῶν αἰτιῶν K 14. 15 εἶναι—εἶδός om. K 14 τό τε] ἦν τότε M 15 ὡς τὸ τὶ] ὡ (sic) τὸ τί K 17 ὑποκείμενον L et ante corr. M 18 αὐτοῖς K: αὐτῷ LMt: an αὐτῇ? 19. 21 καὶ ὁ βουλεύσας—κινήσεως om. K 19 καὶ ὁ βουλεύσας καὶ ὁ ἰατρὸς L: καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας Mt Arist. 20 πάντοθεν M 24 προῖασιν (sic) K: προῖεσαν LMt 25 τὸ (post καὶ) om. K

26 ἡ φύσις ἡ ὡς L ποιοῦσα LK: οἷ' π/ (?) M: ποῖον t 27 τῷ—λόγῳ LMt: τῶν—λόγων K 29 σὺμεταβολαῖς K

www.libtool.com.cn

p. 195ª23 Τὸ δὲ ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων. g 2r

Τὸ δέ ἐστιν αἴτιον, φησίν, ὡς τέλος τῶν ἄλλων, καὶ ὡς ἀγαθὸν καὶ 51
οὗ ἕνεκα πάντα γίνεται. τὸ γὰρ τελικὸν αἴτιον τὸ βέλτιστον καὶ τὸ ἀγαθὸν
θέλει εἶναι· πᾶν γὰρ δ γίνεται διὰ τὸ ἀγαθὸν γίνεται. εἶτα ἐπειδὴ μὴ
5 πάντα τὸ τέλος ἀγαθὸν ἔχει, μηδέν, φησί, τοῦτο διαφερέτω, εἴτε ὄντως
ἐστὶν ἀγαθὸν τὸ τέλος, εἴτε φαινόμενον· προφανὲς γὰρ τοῦτο, ὅτι πάντα
ἀγαθοῦ τινος ἕνεκα γίνεται, εἰ καὶ περὶ τὴν αἵρεσιν τοῦ ὄντως ἀγαθοῦ
ἔστιν | ὅτε πλάνη γίνεται, πλὴν ὅτι πάντα σκοπὸν καὶ τέλος τίθεται τοῦτο. g 2v

p. 195ª26 Τὰ μὲν οὖν αἴτια ταῦτα καὶ τοσαῦτα τῷ εἴδει ἐστί·
10 τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μὲν πολλοί, κεφαλαιούμενοι δὲ
καὶ οὗτοι ἐλάττους.

Ἐπεξελθὼν τὸν περὶ τῶν καθ' αὑτὸ αἰτίων λόγον, ἐπειδὴ ἐν ταῖς
ἀποδόσεσι τῶν αἰτίων οὐ μόνον τὰ καθ' αὑτὸ αἴτια εἰώθαμεν ἀποδιδόναι, 5
ἀλλ' ἔστιν ὅτε καὶ τὰ κατὰ συμβεβηκός (λέγομεν γὰρ τὸν φαλακρὸν ᾠκο-
15 δομηκέναι ἢ τὸν σιμὸν φιλοσοφεῖν), διὰ τοῦτο μέλλων παραδιδόναι καὶ τὰ
κατὰ συμβεβηκὸς ἀναλαμβάνει καθόλου τὸν περὶ τῶν αἰτίων λόγον καὶ
διαίρεσιν αὐτῶν ποιεῖται καθολικήν. τῶν γὰρ αἰτίων, φησί, τὰ μέν ἐστι
καθ' αὑτὸ τὰ δὲ κατὰ συμβεβηκός, καὶ τὰ μὲν προσεχῆ τὰ δὲ πόρρῳ, καὶ
τὰ μὲν ἁπλᾶ τὰ δὲ συμπεπλεγμένα. καθ' αὑτὸ μὲν οὖν αἴτιον τοῦ ἀν-
20 δριάντος ὁ ἀνδριαντοποιός, κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρὸς ἢ ὁ μουσικός· 10
καὶ προσεχὲς μὲν καθ' αὑτὸ ὡσαύτως ὅδε ὁ ἀνδριαντοποιὸς τοῦδε τοῦ ἀν-
δριάντος, πόρρω δὲ ὁ τεχνίτης· καὶ ἐπὶ τῶν κατὰ συμβεβηκὸς προσεχὲς
μὲν αἴτιον ὁ λευκός, πόρρω δὲ ὁ κεχρωσμένος· καὶ ἁπλοῦν μὲν ὁ τεχνί-
της ἢ ὁ ἀγαλματοποιὸς ἢ ὁ φαλακρός, συμπεπλεγμένον δὲ ὁ φαλακρὸς
25 ἀγαλματοποιὸς ἢ ὁ τεχνίτης ἀγαλματοποιός· ἐπὶ μὲν γὰρ τοῦ προτέρου
συνέπλεξα τὸ καθ' αὑτὸ τῷ κατὰ συμβεβηκός, ἐπὶ δὲ τοῦ ὑστέρου τὸ
προσεχὲς τῷ πόρρω. τριῶν οὖν ἀντιθέσεων οὐσῶν, μορίων δὲ δηλονότι ἕξ, 15
καθ' ἕκαστον τούτων συμπλεκόμενον τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ διπλα-

---

1 τὸ δ' ὡς t: τὰ δ' ὡς (τὰ δὲ ἄλλα ὡς cod. E) Aristotelis libri at cf. Simplic. p. 321, 17 sq. καὶ — ἄλλων om. K τὸ ἀγαθὸν M 6 γὰρ LMt: γοῦν K πάντα LK: πᾶν Mt 7 τοῦ om. K ὄντως L: ὄντος KMt 8 πλὴν om. K 9 lemma om. K τῷ εἴδει ἐστί LM: ἐστι τῷ εἴδει ex Arist. t 10 μὲν εἰσι πολλοί Aristoteles cf. p. 254,24 συγκεφαλαιούμενοι t 12 ἐπεξελθόντων περὶ M τὸν om. K λόγων KM 13 αἰτιῶν, ut fere semper in eis quae sequuntur, K 14. 15 ᾠκοδομημε K 16 συμβεβηκὸς αἴτια L τὸν] τῶν K λόγων ante corr. M 21 προσεχὴς L 22. 23 πρὸς ἐχωρμεναίτιος K 24. 25 ἢ ὁ ἀγαλματοποιός· σύνθετος δὲ ἤτοι συμπεπλεγμένος καὶ ὁ τεχνίτης ἀγαλματοποιός· ἐπὶ L 25 ἢ ὁ τεχνίτης ἀγαλματοποιός om. K τοῦ] τὸν K 26 συνέπλέξετο (sic; om. τὸ καθ' αὑτὸ) K 27 δὲ om. K 28 συμπεκόμενον K

www.libtool.com.cn

σιάζει τὸν ἀριθμόν, ὡς γίνεσθαι τὰ πάντα μόρια τῶν αἰτίων δώδεκα. ἔστι g 2v
γὰρ καθ' αὑτὸ ἐνεργείᾳ μὲν οἷον ὁ ἀνδριαντοποιὸς οἰκοδομεῖ, δυνάμει δὲ ὁ
ἀνδριαντοποιὸς οἰκοδομήσει· πάλιν κατὰ συμβεβηκὸς ἐνεργείᾳ μὲν ὁ φα-
λακρὸς οἰκοδομεῖ, δυνάμει δὲ ὁ φαλακρὸς οἰκοδομήσει· καὶ ἐπὶ τῶν ἄλλων
5 δὲ ὡσαύτως. δώδεκα οὖν γινομένων τμημάτων καθ' ἕκαστον αἴτιον, ἐπεὶ
τέσσαρα τὰ γένη τῶν αἰτίων, τὸ ποιητικὸν τὸ εἰδικὸν τὸ τελικὸν τὸ ὑλικόν, 20
τῶν δώδεκα τρόπων τῶν αἰτίων συμπλεκομένων πρὸς τὰ τέσσαρα γένη τῶν
αἰτίων ὁ πᾶς ἀριθμὸς αἰτίων γίνεται μη'.

Ἀπορήσειε δ' ἄν τις πρὸς τὸν συναχθέντα ἀριθμὸν τῶν αἰτίων, ὅτι
10 εἰ θελήσομεν καθ' ἕκαστον τῶν αἰτίων τοὺς δώδεκα τρόπους ἐκθέσθαι,
οὐχ εὑρήσομεν εὐοδοῦντα ἡμῖν τὸν λόγον. ἔστω γὰρ ἐπὶ τοῦ ποιητικοῦ ἡ
ζήτησις· εἰπὼν γὰρ ὅτι ὁ ἀνδριαντοποιὸς αἴτιος τοῦ ἀνδριάντος, εὐθὺς καὶ
καθ' αὑτὸ εἶπον καὶ ἁπλοῦν καὶ προσεχές· ὥστε οὐ δυνατὸν τρεῖς ἀντι-
θέσεις ποιῆσαι κεχωρισμένας ἀλλήλων, καὶ μὴ ἐπικοινωνοῦσαν ἄλλῃ ἄλλην. 25
15 πάλιν τὸ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον εἰ μὲν καθ' αὑτὸ μόνον τὸ ση-
μαινόμενον τῶν αἰτίων καὶ μὴ κατὰ τὰς τῶν φωνῶν συμπλοκὰς ἐκλαμ-
βάνοις, ἀδύνατον ὅλως ἁπλοῦν εἶναί τι κατὰ σημαινόμενον αἴτιον (ἅμα γὰρ
τῷ εἰπεῖν 'ἀνδριαντοποιός' καὶ καθ' αὑτὸ εἶπον αἴτιον καὶ προσεχές· πῶς
οὖν ἁπλοῦν; ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων), εἰ δὲ κατὰ τὴν τῶν φωνῶν
20 προφορὰν τὸ ἁπλοῦν λαμβάνομεν καὶ τὸ σύνθετον, ὥσπερ οὖν καὶ Ἀριστο-
τέλει δοκεῖ (ὡς διὰ τῶν ὑποδειγμάτων ἔδειξε· συμπλέκοντες γάρ φαμεν 30
Πολύκλειτος ἀνδριαντοποιός), πάλιν οὐδὲν ἧττον καὶ ἐν τοῖς ἁπλοῖς
καὶ ἐν τοῖς συνθέτοις συνεπινοεῖται καὶ τὸ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός,
καὶ τὸ προσεχὲς ἢ πόρρω. ἐπὶ μὲν οὖν τῶν ἁπλῶν ἐδείξαμεν, ἐπὶ δὲ τῶν
25 συνθέτων, οἷον ἐὰν εἴπω Πολύκλειτος ἀνδριαντοποιός· ἅμα γὰρ ἐν
τούτῳ θεωρεῖται καὶ τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός (ὁ μὲν γὰρ
ἀνδριαντοποιὸς καθ' αὑτὸ αἴτιος τοῦ ἀνδριάντος, ὁ δὲ Πολύκλειτος κατὰ
συμβεβηκός), καὶ ἔτι τὸ προσεχές. ἐνδέχεται δὲ καὶ ἅμα πάντα εὑρεθῆ- 35
ναι, οἷον εἰ οὕτως εἴπω 'ἄνθρωπος ἀγαλματοποιός'· ἐν μὲν γὰρ τῷ ἄν-
30 θρωπος ἔστι καὶ τὸ πόρρω καὶ τὸ κατὰ συμβεβηκός, ἐν δὲ τῷ ἀγαλματο-
ποιὸς τὸ προσεχὲς καὶ τὸ καθ' αὑτό. οὐκ ἄρα ἐνδέχεται διακεκριμένα ταῦτα
εὑρεῖν ἀλλήλων.

---

2 ἐνεργείᾳ μὲν scripsi: μὲν ἐνεργεία LMt: ἐνέργεια (sic; om. μὲν) K 2. 3 ἀνδριαντοποιὸς libri: immo οἰκοδόμος utroque loco 3 ἐνέργεια K 5. 7. 10 δώδεκα] ιω corruptum ex ια h. e. ιβ, ut recte ipse K scripsit v. 1 et p. 250,19. 30) K cf. ad p. 235,5. 268,7 6 ἰδικόν K τὸ ὑλικόν ante τὸ τελικόν ponit K 7 τῶν ιω τρεπόντων αἰτίων συμπεκόμ K 8 ἀριθμὸς τῶν αἰτιῶν K 11 οὐχ εὑρήσομεν t: οὐκ εὑρήσομεν K: οὐχ εὑρίσκομεν LM ἔστω K: ἔστιν L: ἔστι Mt 13 εἶπον] εἰπὸν sic) K 14 ἄλλην ἄλλη K 15 καταυτὸ K 16 τὰς om. K 18 εἶπον] εἰπὼν K 20. 21 ἀριστοτέλει K: ἀριστο τλ' M: ἀριστοτέλης (L)t 21 ὑπομνημάτων K 23 ἢ τὸ κατὰ συμβεβηκός et 24 ἢ τὸ πόρρω K 25 συνθέτων, οὐκ· οἷον interpolat t 26 κατά] τοιοῦτον L 28 καὶ (ante ἔτι) om. K 29 οὕτως LKt: οὕτος M γὰρ τῷ] γὰρ τὸ K

www.libtool.com.cn

Φαμὲν οὖν πρὸς τὴν ἀπορίαν, ὅτι οὐχ ὡς διῃρημένου ὑπάρχοντος τοῦ g 2ᵛ ἀριθμοῦ τῶν τριῶν ἀντιθέσεων τῶν τρόπων τῶν αἰτίων, οὕτως αὐτὰς ἐκτίθεται ὁ Ἀριστοτέλης (τοῦτο γὰρ τῷ ὄντι ἀδύνατον), ἀλλὰ τὰς ἰδιότητας τῶν αἰτίων ἡμῖν ἐκθέσθαι βουληθείς· κἂν γὰρ μυριάκις μὴ ἔστιν ἕκαστον τούτων κατ' ἰδίαν θεωρῆσαι, ἀλλ' οὖν τῷ λόγῳ χωρίζονται ἀπ' ἀλλήλων. ὅταν γὰρ εἴπω 'ἀνδριαντοποιόν', εἰ καὶ ἕν τι πρᾶγμα εἶπον τῷ ὑποκειμένῳ, ἀλλ' οὖν τῷ λόγῳ οὐκ ἔστιν ἕν. τῷ γὰρ ἀνδριαντοποιῷ οὐ ταὐτὸν τὸ αἰτίῳ εἶναι καὶ προσεχεῖ αἰτίῳ· εἰ γὰρ ταὐτὸν ἦν αἴτιον εἰπεῖν καὶ προσεχές, πᾶν αἴτιον προσεχὲς ἂν ἦν. τὸ δὲ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον, ἵνα συμπλέκωμεν ἢ τῷ καθ' αὑτὸ τὸ κατὰ συμβεβηκὸς ἢ τῷ προσεχεῖ τὸ πόρρω, κἂν ἄμφω ἢ καθ' αὑτὰ ὑπάρχει ἢ κατὰ συμβεβηκός. ὥστε ἰδιότητας αἰτίων παραδέδωκεν ἡμῖν διὰ τούτων, καὶ οὐχ ἁπλῶς χωρίζεσθαι δυνάμενον ἀριθμὸν αἰτίων. καὶ οὐδέν γε διαφέρει τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ συμπλέκειν ταῖς ἄλλαις τρισὶν ἀντιθέσεσιν, ἢ ἄλλην τινὰ συμπλέκειν μετὰ τῶν λοιπῶν τῇ κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· ἁπλῶς γὰρ τὰς συμπλοκὰς αὐτῶν τὰς πρὸς ἀλλήλας ζητοῦμεν.

Τῷ λόγῳ οὖν ἑκάστην ἰδιότητα τῶν λοιπῶν χωρίσας, καθ' αὑτὸ κατὰ συμβεβηκὸς προσεχὲς πόρρω ἁπλοῦν σύνθετον, εὑρίσκει τούτων τὰς διαφορὰς ἕξ, ὧν ἑκάστη συμπλεκομένη τῷ δυνάμει καὶ ἐνεργείᾳ δώδεκα αἰτίων ἀριθμὸν ποιεῖ. εἰ δέ τις μὴ λόγῳ μόνῳ θεωρεῖν ταύτας τὰς διαφορὰς βούλεται, ἀλλὰ τὰς ἐν ὑπάρξει δυναμένας ἀποδίδοσθαι ζητοίη, εὕροι ἂν οὕτως· τῶν γὰρ καθ' αὑτὸ αἰτίων ἢ προσεχῶν ὄντων ἢ πορρωτέρω, καὶ τῶν κατὰ συμβεβηκὸς ὁμοίως, γίνονται τέσσαρα μόρια ἁπλᾶ τὰ ὑποκείμενα, ἀνδριαντοποιὸς καθ' αὑτὸ προσεχές, τεχνίτης καθ' αὑτὸ πορρωτέρω, ὁ λευκὸς κατὰ συμβεβηκὸς προσεχές, ὁ κεχρωσμένος κατὰ συμβεβηκὸς πορρωτέρω. καὶ τούτων πλείονα ἁπλᾶ γίνεσθαι ἀδύνατον. εἰ δὲ ταῦτα συμπλέκειν ἀλλήλοις βουληθείημεν, γένοιντ' | ἂν αἱ πᾶσαι ἐκ τούτων συμπλοκαὶ g 3ʳ ἓξ κατὰ τὴν ἐν Εἰσαγωγῇ παραδεδομένην ἡμῖν μέθοδον· εἰ γὰρ λάβοιμεν τὸν τρία ἀριθμὸν μονάδι τῶν τεσσάρων λείποντα, καὶ πολλαπλασιάσωμεν τὸν τρία ἐπὶ τὸν τέσσαρα, καὶ τῶν γενομένων δώδεκα τὸν ἥμισυν λάβωμεν,

---

1 ὅτι om. K διῃρημένως K 3 ὁ om. Mt 4 ἠβουλήθη (sic) K 5 καθ' ἰδίαν K 6 ὅταν γὰρ K: ὅταν οὖν LMt fort. ἀνδριαντοποιός 8 τὸ] τῷ K προσεχεῖ] πρὸς ἔχει K 9 τὸ (post καὶ) om. K 10 προσέχει K 11 κἂν L καὶ Mt fort. ὑπάρχοι 13 δυνάμ K: δυναμένων t γε om. K 16 αὐτῶ et ζητῶμεν K 17 χωρισάμενος ut vid. L 18 εὑρίσκω L 19 ἐξ M τῷ K τῶν M: τὸ L καὶ τῶ ἐνεργείᾳ K 19. 20 ποιεῖ ante δώδεκα traicit K: om. M 20 τὸν ἀριθμὸν Mt μόνον K 21 βούλοιτο recte (L)t ἀποδιδόσθαι hic et p. 25, 19 K 24. 26 ὁ λευκὸς — πορρωτέρω om. Mt 24. 25 ὁ δὲ λευκὸς et mox προσεχὲς et πορρωτέρω ἐστι L 26 τούτ t γενέσθαι K 27 δυνηθείημεν an corr. M γένοιτ' L 28 Εἰσαγωγῇ Porphyrii c. 11 p. 5ᵃ36 Brandis εἰσαγωγαῖς K fort. λάβωμεν 29 λίπον K πολλαπλασιάσωμεν L: πολλαπλασιάσομεν K πολυπλασιάσομεν M: πολυπλασιάσαιμεν t 30 δώδεκα] ιω̄ (cf. ad p. 249,5) K: τέσσαρα L τὸν ἥμισυ L: τοημισυ (sic) K λάβωμεν L: λάβομεν K: λάβοιμεν Mt

www.libtool.com.cn

τουτέστι τὸν ἑξ, τοσαύτας μόνας εὑρήσομεν τῶν αἰτίων τὰς συμπλοκὰς g 3r
γινομένας. εἰσὶ δὲ αἱ ὑποκείμεναι τεχνίτης ἀνδριαντοποιός (αὕτη καθ' αὑτὸ
προσεχές τε ἅμα καὶ πόρρω), ἀνδριαντοποιὸς λευκός (καθ' αὑτὸ ἅμα καὶ
κατὰ συμβεβηκὸς καὶ προσεχές), ἀνδριαντοποιὸς κεχρωσμένος (προσεχὲς
καὶ πόρρω, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός), τεχνίτης λευκός (πάλιν
προσεχὲς καὶ πόρρω, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός· ὥστε ἡ τετάρτη
καὶ ἡ τρίτη αἱ αὐταὶ μέν, διαφέρουσι δὲ ὅτι ἐν μὲν τῇ τρίτῃ τὸ μὲν καθ'
αὑτὸ ἦν τὸ προσεχὲς ὁ ἀνδριαντοποιὸς τὸ δὲ συμβεβηκὸς τὸ πόρρω ὁ
κεχρωσμένος, ἐν δὲ τῇ τετάρτῃ ἀνάπαλιν τὸ μὲν καθ' αὑτὸ πόρρω ὁ
τεχνίτης τὸ δὲ κατὰ συμβεβηκὸς προσεχὲς ὁ λευκός), πέμπτη συμπλοκὴ
κεχρωσμένος τεχνίτης (καθ' αὑτὸ ἅμα καὶ κατὰ συμβεβηκὸς καὶ πόρρω),
ἕκτη κεχρωσμένος λευκός (κατὰ συμβεβηκὸς προσεχὲς ἅμα καὶ πόρρω).
δεῖ οὖν εἰς τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς διελόντας καὶ εἰς τὸ προ-
σεχὲς καὶ πόρρω μηκέτι ταῦτα διελεῖν εἰς τὸ ἁπλοῦν καὶ τὸ συμπεπλεγ-
μένον, ἀλλ' εὐθὺς εἰς τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· καὶ οὕτως οὔτε δὶς τὰ
αὐτὰ ληψόμεθα, καὶ σωθήσεται ὁ τῶν δώδεκα τρόπων ἀριθμός.

Ἴσως δὲ ἔτι προσαπορήσειέ τις τῇ διαιρέσει ἐκ τῶν εἰρημένων λαβὼν
τὰς ἀφορμάς, ὅτι τοῦ προσεχοῦς καθ' αὑτὸ διῃρημένου εἰς τὸ ἁπλοῦν καὶ
τὸ συμπεπλεγμένον οὐκ ἔδει τὸ καθ' αὑτὸ πόρρω πάλιν εἰς τὰ αὐτὰ διαι-
ρεθῆναι, εἴ γε τὸ προσεχὲς καθ' αὑτὸ συμπλέκεται ἢ τῷ κατὰ συμβεβηκὸς
ἢ τῷ πόρρω. φημὶ οὖν ὅτι μάλιστα μὲν ὥσπερ τὸ καθ' αὑτὸ συμπλέκε-
ται τῷ κατὰ συμβεβηκός, οὕτω καὶ τὸ πόρρω καθ' αὑτὸ τῷ κατὰ συμ-
βεβηκός, καὶ ἔδει διὰ ταῦτα καὶ τοῦτο διαιρεθῆναι· ἄλλως τε ὅταν λέγωμεν
τὸ καθ' αὑτὸ προσεχὲς συμπλέκεσθαι τῷ πόρρω, οὐ πάντως τοῦτό φαμεν
ὅτι τῷ καθ' αὑτὸ πόρρω συμπλέκεται, ἀλλὰ μάλιστα τῷ κατὰ συμβεβη-
κός, ἵν' οὕτως ᾖ τὸ προσεχὲς καθ' αὑτὸ συμπλεκόμενον τῷ κατὰ συμβε-
βηκός. ⟨τὸ δὲ κατὰ συμβεβηκὸς⟩ ἢ τῷ πόρρω συμπλέκεται ἢ τῷ προσεχεῖ·
ἀλλ' ὅταν τῷ προσεχεῖ συμπλέκηται, οὐκ ἔστιν ἡ συμπλοκὴ πρὸς τὸ
προσεχές (ἄμφω γὰρ ἓν καὶ ταὐτὸν κατὰ τοῦτο), ἀλλὰ πρὸς τὸ κατὰ συμ-
βεβηκὸς μόνον. ὥσπερ οὖν καὶ ὅταν τὸ προσεχὲς καθ' αὑτὸ τῷ πόρρω

---

2 γινομένων L 3 προσεχής τε LK 8 τὸ πόρρω] τῷ πόρρω L 9 ἀνάπασαν (cf. ad p. 252,4) L 11 καὶ (post συμβεβηκὸς) K: om. LMt 12 ἕκτη] ἐκ τῇ K κεχρωσμένου K 13 δεῖ οὖν—καὶ εἰς Mt: δεῖ οὖν ἐπὶ τῆς τὸν (l. τῶν) κατὰ συμβ^ε διαιρέσεως διελόντας (om. καὶ) εἰς K: δεῖ οὖν εἰς τὰ καθ' αὑτὸν κτλ. (consentit in ceteris cum M) L · 14 καὶ τὸ πόρρω K δελεῖν K 17 ἴσως δέτι K ἴσως—προσαπορήσειέ τις] cf. ad p. 16,10 18 εἰς] εἰ K 19 ἔδειτο (sup. ο accent. eras.) K 19. 21 καθ' αὑτὸ πόρρω—ἢ τῷ πόρρω om. K 19 εἰς τὰ αὐτὰ L: εἰς τὸ αὐτὸ M: εἰς τὸ αὐτὸ t 20 εἴγε] εἴτ\\\\ L 21 ἢ τῷ πόρρω] οὕτω καὶ τὸ πόρρω L 21. 22 φημὶ—πόρρω om. marg. add. L 21 ὥσπερ τὸ LK: ὥσπερ τῷ Mt 21. 22 συμπλέκεται τῶ K: συμπλέκεται τὸ LMt 22 τὸ (post καὶ) corr. M²: τῶ M τῷ (post αὐτὸ) KMt: τὸ L 23 ἀλλ' ὥστε ὅταν λέγομεν K 25 ὅτι τὸ L συμπλέκεσθαι, ἀλλὰ K 26 ᾖ] ἡ K: ἢ L 27 τὸ δὲ κατὰ συμβεβηκὸς addidi 29 καὶ ταυτὸν (ex καὶ τούτων corr.) K: καταυτὸ L: καὶ ταυτὸ Mt 30 ὅταν προσεχὲς καὶ καθ' K τῷ] τὸ L

www.libtool.com.cn

καθ' αὑτὸ συμπλέκηται, ἡ συμπλοκὴ οὐ πρὸς τὸ καθ' αὑτὸ ἀλλὰ πρὸς g 3r
τὸ πόρρω, οὕτως οὖν καὶ τὸ πόρρω καθ' αὑτὸ ὅταν λέγωμεν συμπεπλέχθαι
ἢ πρὸς τὸ κατὰ συμβεβηκὸς ἢ πρὸς τὸ προσεχές, τῷ κατὰ συμβεβηκὸς ἢ 26
προσεχεῖ ἢ πόρρω λέγομεν συμπεπλέχθαι (καὶ πάλιν ἐπὶ τούτου ἡ συμ-
5 πλοκὴ ἡ πρὸς τὸ κατὰ συμβεβηκὸς πόρρω οὐκ ἔστι πρὸς τὸ πόρρω, ἀλλὰ
πρὸς τὸ κατὰ συμβεβηκὸς μόνον), εἰ δὲ καὶ τῷ καθ' αὑτὸ προσεχεῖ συμ-
πλέκεται, ὡς προσεχεῖ οὐχ ὡς καθ' αὑτό. εὐλόγως ἄρα ἐπί τε τοῦ προσε-
χοῦς καθ' αὑτὸ καὶ ἐπὶ τοῦ πόρρω λαμβάνομεν τὴν κατὰ τὸ ἁπλοῦν καὶ 30
τὸ συμπεπλεγμένον διαίρεσιν, τοῦ συμπεπλεγμένου σημαίνοντος κοινῇ μὲν
10 τὴν πρὸς τὸ κατὰ συμβεβηκὸς συμπλοκὴν ἐπ' ἀμφοτέρων, ἰδίᾳ δὲ ἐπὶ μὲν
τοῦ προσεχοῦς τὴν πρὸς τὸ πόρρω, τὸ πόρρω τοῦτο εἴτε καθ' αὑτὸ εἴη
εἴτε κατὰ συμβεβηκός, ἐπὶ δὲ τοῦ πόρρω τὴν πρὸς τὸ προσεχές, εἴτε
πάλιν καθ' αὑτὸ εἴη εἴτε κατὰ συμβεβηκός· εἰς γενικώτερα γὰρ κατέληξεν
ἡ διαίρεσις, οὐκ εἰς εἰδικώτατα.

15 Οἱ μὲν οὖν τρόποι τῶν αἰτίων τοσοῦτοι. ὁσαχῶς οὖν τὰ αἴτια λέγε-
ται, τοσαυταχῶς καὶ τὰ αἰτιατά· καὶ ἐπὶ τῶν αἰτιατῶν γὰρ εὑρήσεις τὰ 35
μὲν καθ' αὑτὸ τὰ δὲ κατὰ συμβεβηκός, καὶ τὰ μὲν προσεχῆ τὰ δὲ πόρρω,
καὶ τὰ μὲν ἁπλᾶ τὰ δὲ συμπεπλεγμένα, πάντα δὲ ταῦτα τὰ μὲν δυνάμει
τὰ δὲ ἐνεργείᾳ. αἰτιατὰ δέ φησιν εἶναι ὑλικόν τε καὶ εἰδικόν· εὔδηλον γὰρ
20 ὡς οὔτε ποιητικὸν οὔτε τελικὸν αἰτιατόν ἐστιν, ἀλλ' εἰδικὸν μὲν οἷον ὁ
ἀνδριάς, ὑλικὸν δὲ οἷον ὁ χαλκός. μᾶλλον δὲ οὐδὲ ἡ ὕλη ἐστὶν αἰτιατόν,
ἀλλὰ μόνως τὸ εἶδος· πᾶν γὰρ τὸ γινόμενον εἰδός τί ἐστι καὶ οὐδὲν ὡς
ὕλη γίνεται· ἡ γὰρ κυρίως ὕλη οὔτε γίνεται ὑπὸ φύσεως οὔτε φθείρεται. 40
ἀλλ' εἰ καὶ μηδὲν ὡς ὕλη γίνεται, ἀλλ' οὖν ἐπειδὴ αἱ προσεχεῖς ὕλαι εἴδη
25 τινά εἰσι καὶ γίνονται πολλὰ καὶ μάλιστα ἐπὶ τῶν τεχνητῶν οὐ δι' αὐτὰ
ἐκεῖνα ἀλλ' ἵνα ἄλλων ὕλη ᾖ (οἷον ὁ χαλκὸς καὶ τὰ λοιπὰ τῶν μετάλλων),
διὰ τοῦτο καὶ τὴν ὕλην αἰτιατὸν εἶπεν, οὐχ ὕλης μένοντος τοῦ γινομένου,
ἀλλ' εἴδους. διότι δὲ συμβέβηκε τὴν προσεχῆ ὕλην εἶδος εἶναι, διὰ τοῦτο
λέγων τὴν ὕλην γίνεσθαι, εἰσὶν οὖν, φησί, καὶ ἐπὶ τούτων πάντες οἱ τρόποι
30 τῶν αἰτίων. ὅταν μὲν γὰρ εἴπω εἰκόνα Σωκράτους γεγονέναι, καθ' αὑτὸ 45
εἶπον αἰτιατὸν καὶ προσεχές, ὅταν δὲ εἰκόνα ἁπλῶς ἢ ὁμοίωμα, καθ' αὑτὸ
καὶ πόρρω· καὶ ὅταν μὲν εἴπω δίπηχυν εἰκόνα ἢ δεκάπηχυν, κατὰ συμβε-

---

1 συμπλέκεται L et ante corr. M ἡ συμπλοκῆ (om. οὐ) πρὸς L 4 πάλιν] πάσαν (sic) L cf. ad p. 251,9 τοῦτου (sic) K 6 μόνον] μέσον L τῷ] τὸ L 7 ὡς προσεχεῖ om. K 8 αὑτὸ δὲ καὶ L 9 σημαίνοντα M: σημαίνοντες t 11 τὸ πόρρω alterum om. K 13 γενικωτέραν L κατέλαξεν L 14 ἰδικώτατα K: fort. εἰδικώτερα 15. 16 ὁσαχῶς δε (sic) φησι τὰ αἰτιατὰ καὶ ἐπὶ κτλ. K 15 ποσαχῶς L et ante corr. M 16 ἐπὶ om. L 18 καὶ om. M 19 ἰδικὸν et 20 ἀλλ' ἀϊδικὸν (corr. ex ἀλλὰ ἰδικὸν) K 20 ὁ om. K 21 μᾶλλον δὲ (om. οὐδὲ) ἡ ὕλης (sic) K 23. 24 ἡ γὰρ—ὡς ὕλη γίνεται om. L 23 φύσιν M 24 μηδὲν ὡς] μηδενὸς K 25 fort. πολλάκις τεχνητῶν K: τεχνιτῶν LMt 27 τὴν ὕλην] τῆς ὕλης K μὲν ὄντος K 28 προσεχεῖ L 29 λέγει corr. M et t 31 αἰτιατοῦ K 32 δίπηχυν scripsi: διπηχυ L: δίπηχη K: διπήχη (cf. p. 257,15) Mt qui post εἰκόνα collocant 32 et p. 253,2 δεκάπηχυν scripsi: δεκαπή χ L: δὲ κάπηχη (δεκαπήχη altero loco) K: δεκαπήχη Mt

www.libtool.com.cn

βηκὸς εἶπον καὶ προσεχές, ὅταν δὲ μικρὰν ἢ μεγάλην, κατὰ συμβεβηκὸς καὶ g 3r
πόρρω, ὅταν δὲ δεκάπηχυν εἰκόνα ἢ μεγάλην εἰκόνα, συμπεπλεγμένον εἶπον
αἰτιατόν· καὶ ὅταν μὲν εἰκόνα γενήσεσθαι, δυνάμει, ὅταν δὲ γενέσθαι, ἐνεργείᾳ.
καὶ ἐπὶ τῆς ὕλης ὡσαύτως, ὡς ὅταν εἴπω χαλκὸν γεγενῆσθαι ἢ μέταλλον, ἢ
5 ἐρυθρὸν χαλκὸν ἢ εὔηχον χαλκόν, καὶ ἐπὶ πάντων οὕτω. ἄλλως δὲ δῆλον 50
ὅτι ἐπὶ τῶν αἰτίων τὸ εἶδος εἰλήφαμεν, καὶ ἄλλως ἐπὶ τῶν αἰτιατῶν· αἴ-
τιον μὲν γὰρ λέγεται τὸ εἶδος, ὅταν ὡς συμπληρωτικὸν τοῦ συνθέτου θεω-
ρῆται, ὡς δὲ ἀποτέλεσμα ὂν τοῦ ποιητικοῦ αἰτίου αἰτιατὸν λέγεται.

Λαβὼν δὲ τῷ εἰρημένῳ τρόπῳ πάντας τῶν αἰτίων τοὺς τρόπους,
10 ἐφεξῆς παρακολουθοῦντά τινα θεωρήματα τοῖς αἰτίοις παραδίδωσι πλείονα.
καὶ πρῶτόν γε τοῦτο, ὅτι ὄντων τῶν ἐνεργείᾳ αἰτίων καὶ τῶν δυνάμει,
ὁμοίως δὲ καὶ τῶν ἐνεργείᾳ αἰτια|τῶν καὶ τῶν δυνάμει, οὐχ ὥσπερ ἔχουσι g 3v
τὰ ἐνεργείᾳ αἴτια πρὸς τὰ ἐνεργείᾳ αἰτιατά, οὕτως ἔχουσι καὶ τὰ δυνάμει
αἴτια πρὸς τὰ δυνάμει αἰτιατά· τὰ μὲν γὰρ ἐνεργείᾳ αἴτια καὶ αἰτιατὰ
15 ἅμα ἢ εἰσὶν ἢ οὐκ εἰσίν (ἅμα γὰρ ὁ ἐνεργείᾳ πρίων ἐστὶ καὶ τὸ ἐνεργείᾳ
πριζόμενον, καὶ ὁ ἐνεργείᾳ οἰκοδομῶν καὶ τὸ ἐνεργείᾳ οἰκοδομούμενον· καὶ
εἰ παύσεται τῆς ἐνεργείας ὁ οἰκοδομῶν, εὐθὺς καὶ τὸ οἰκοδομούμενον παύ-
σεται), ἐπὶ δὲ τῶν δυνάμει οὐχ οὕτως· οὐ γὰρ συμφθείρεται τῷ οἰκοδόμῳ 5
ἡ οἰκία, ἀλλ' ἔστι καὶ μετὰ τὸ φθαρῆναι τὸν οἰκοδόμον· καὶ ὁ μὲν δυ-
20 νάμει οἰκοδόμος οὐκ ἔστι, τὸ δὲ δυνάμει οἰκοδομούμενον ἔστιν. ἰστέον δὲ
ὅτι δυνάμει νῦν λέγει οὐ τὸ σύνηθες (λέγω δὴ τὸ μήπω μὲν ἠγμένον εἰς
τὴν ἐνέργειαν, δυνάμενον δὲ ἀχθῆναι), ἀλλὰ τὸ πεπαυμένον τῆς ἐνεργείας
καὶ μηκέτι ὂν ἐν κινήσει, οἷον τὴν ᾠκοδομημένην οἰκίαν, δυνάμει οἰκοδο-
μητὸν λέγων αὐτὴν παρὰ τὸ μὴ νῦν οἰκοδομεῖσθαι. ἐπεὶ οὖν [ὅτι] οἶδε
25 καὶ αὐτὸς ὅτι τὸ κυρίως δυνάμει ἅμα ἢ ἔστιν ἢ οὐκ ἔστι μετὰ τοῦ
αἰτίου, ὥσπερ καὶ τὸ ἐνεργείᾳ, εὐθὺς ἐφεξῆς λέγει, ὅτι δεῖ ἀποδιδόναι τὰς 10
μὲν δυνάμεις τῶν δυνατῶν, τὰ δὲ ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. οὕτως ἄρα οἶδεν ὅτι ὡς ἔχουσι τὰ αἴτια, οὕτως ἔχουσι καὶ τὰ αἰτιατὰ ἐπί τε τῶν δυνάμει καὶ τῶν ἐνεργείᾳ.

30 Μετὰ τοῦτό φησιν, ὅτι δεῖ τὰς αἰτίας ἑκάστου ἀποδιδόντα τὰς κυριωτάτας καὶ προσεχεστάτας ἀποδιδόναι· τοῦτο δέ ἐστιν, ἐφ' ᾧ παύεται ἡ ζήτησις τοῦ διὰ τί. οἷον τί τῆς οἰκίας αἴτιον; οὐ δεῖ λέγειν ὅτι ὁ ἄνθρωπος ἢ ὁ τεχνίτης, ἀλλὰ τὸ προσεχέστατον αἴτιον ὅτι ὁ οἰκοδόμος, καὶ ὁ 15

σμικρὰν L 3 αἴτιον K γενήσεσθαι] γενήσεται compend. M δὲ εἰκόνα, γίνεσθαι ἐνέρ-
εια K 5 οὕτως t 7 συμπηρωματικὸν K 7. 8 θεωρεῖται K 10 τοῖς αἰτίοις
εωρήματα K 11 γε om. superscr. L 12 οὐχ om. superscr. M 15 ἢ prius
m. Mt πριων (sic) K: ποιῶν LM: πρίζων t Themist. p. 174,9 16. 17 καὶ τὸ ἐνερ-
είᾳ — ἐνεργείας ὁ οἰκοδομῶν K: om. LMt 18 τῶν] τούτων K 20 οἰκοδόμος] οἰκο-
ομούμενος L 21 νῦν λέγει K: μέν λέγεται LMt δὴ LK: δὲ Mt ἠγμένον L
ἰς LK: πρὸς Mt 22 δυνάμενον διαχθῆναι K 23 ᾠκοδομημένην L: οἰκοδομουμένην
KMt 24 λέγω αὐτὴν K οὖν K: om. LMt ὅτι delevit t οἶδα L 25 εἰ
ἔστιν K 26 λέγων t 28 οὕτος corr. M et t 29 καὶ ἐπὶ τῶν K 30 τού-
των L 30. p. 254,1 δεῖ — ἔχει] cf. Themist. p. 174,13 sqq. 30 ἀποδιδόντας K
31 ἐφῶ (sic) K: ἐφ' ὃ LMt 33. p. 254,1 ὁ οἰκοδομούμενος utrobique L

www.libtool.com.cn

οἰκοδόμος οὐ καθὸ ἄλλο τί ἐστιν, ἀλλὰ καθὸ τὴν οἰκοδομικὴν ἔχει· οὐ γὰρ g 3ᵛ
καθὸ φέρε εἰπεῖν φαλακρός ἐστιν ἢ μουσικὸς ἢ ὅλως ἄνθρωπος. ἔτι, φησί,
δεῖ τὰ μὲν γένη τῶν γενῶν ἀποδιδόναι, τὰ δὲ καθ' ἕκαστον τῶν
καθ' ἕκαστον. οἷον ἐρωτῶντά με τί τοῦ τεχνητοῦ πράγματος αἴτιον, οὐ
5 δεῖ λέγειν ὅτι ὁ οἰκοδόμος οὐδὲ ὁ γεωμέτρης, ἀλλὰ τὸ γενικὸν αἴτιον
ἀποδιδόναι ὅτι ὁ τεχνίτης· τῆς δὲ οἰκίας τί τὸ αἴτιον, ὅτι ὁ οἰκοδόμος,
τῆσδε δὲ τῆς οἰκίας, ὅδε ὁ οἰκοδόμος· καὶ ἁπλῶς εἰ μὲν τὸ αἰτιατὸν
γενικώτατον ᾖ, καὶ τὸ αἴτιον γενικώτατον ἀποδιδόναι, εἰ δὲ μερικώτα- 20
τον ᾖ καὶ καθ' ἕκαστον, καὶ τὸ αἴτιον ὡσαύτως. ἔτι φησὶ τῶν μὲν
10 δυνάμει αἰτιατῶν τὰ δυνάμει αἴτια ἀποδοτέον, τῶν δὲ ἐνεργείᾳ τὰ ἐνεργείᾳ· οἷον τῆς ἐνεργείᾳ οἰκίας τὸν ἐνεργείᾳ οἰκοδόμον, τῆς δὲ δυνάμει τὸν δυνάμει.

Ταῦτα δὲ τὰ θεωρήματα παραδέδωκεν, ἱκανὰ πάνυ ὄντα τεχνῶσαι τὴν ψυχὴν πρὸς τὰς φυσικωτάτας τε καὶ λογικωτάτας τῶν πραγμάτων
15 αἰτιολογίας. καὶ ἐκ τούτων καὶ ἡ ἐν Κατηγορίαις περὶ τῶν πρός τι ἀπορία ἐπελύθη· ἐζητεῖτο γὰρ πῶς ἅμα τῇ φύσει ἐστὶ τὰ πρός τι, εἴ γε ὁ τοῦ 25
κύκλου τετραγωνισμὸς ἐπιστητὸν μέν ἐστιν, ἐπιστήμη δὲ τούτου οὐκ ἔστιν. ἔχεις οὖν ἐντεῦθεν τὴν τούτου ἐπίλυσιν, ὅτι δεῖ οὐ τὰ τυχόντα αἴτια τῶν τυχόντων αἰτιατῶν ἀποδίδοσθαι, ἀλλὰ τὰ σύστοιχα. ὁ γὰρ τοῦ κύκλου τε-
20 τραγωνισμὸς δυνάμει ἐστὶν ἐπιστητὸν οὐκ ἐνεργείᾳ· ἔστιν οὖν τούτου καὶ ἡ δυνάμει ἐπιστήμη, καὶ εἰ ἐνεργείᾳ γένοιτο ἐπιστητόν, πάντως καὶ ἐνεργείᾳ αὐτοῦ ἐπιστήμη ἔσται. καὶ ἡ ἀπορία συνέβη ἐκ τοῦ τοῦ δυνάμει ἐπιστητοῦ ἐνεργείᾳ ζητεῖν τὴν ἐπιστήμην.

Τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μέν εἰσι πολλοί, κεφα- 30
25 λαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. ἕκαστον, φησί, τῶν αἰτίων κατὰ πολλοὺς τρόπους γίνεται· οἷον τὸ ποιητικὸν καὶ τῶν ἄλλων ἕκαστον, τὸ ὑλικόν φημι καὶ εἰδικὸν καὶ τελικόν. ἀριθμῷ δὲ πολλούς φησιν, οἷον τὸ οἰκοδομικὸν ἢ τὸ γεωμετρικὸν ἢ τεκτονικὸν καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ μέρος τεχνῶν, ἀλλὰ ταῦτα πάντα συγκεφαλαιούμενα ἀνά-
30 γονται ὑπὸ τὸ καθ' αὑτὸ αἴτιον. λέγομεν πάλιν τὸ λευκὸν αἴτιον ἢ τὸ φαλακρὸν ἢ τὸ σιμὸν καὶ ἐπὶ πάντων τῶν ὁμοίων, ἀλλὰ πάντα τὰ 35
τοιαῦτα ἀνάγονται ὑπὸ τὸ κατὰ συμβεβηκὸς αἴτιον. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

---

1 τὴν οἰκοδομὴν M 2 ἔτι] ἤτε K 3 δεῖ τε μεν L 4 ἐρωτῶντα με τί LM: ἐρωτῶν τί K: ἐρωτῶντός με τινος t: scribendum (cf. ad p. 245,27) ἐρωτηθέντα με τί 6 τί om. L 8 ἢ LK: εἴη Mt 9 ἢ L: ἢ KM: ἢ t τῶν μὲν] τὴν μὲν L 11 τῆς ἐνεργεία L: τῆς ἐνεργείας K: τῆς ἐν ἐνεργείᾳ Mt 11. 12 τῶν δυνάμει L 13 πάνυ LK: πάντῃ Mt 14 τὴν om. K 15 Κατηγορίαις c. 7 p. 7ᵇ31 cf. Simplic. p. 326, 34 sqq. παρὰ τῶν L 17 ἐπιστήμη δὲ τούτου (τοῦτον K) KM²t: ἐπιστητὸν δὲ (καὶ pro δὲ L) τοῦτο LM 20. 21 ἡ δύναμις ἐπιστήμη L 21 γένηται M 22 τοῦ τοῦ Mt: τοῦτου K: τοῦ L 23 τὴν om. L 24 αἰτιῶν K 24. 25 ἀριθμῷ — ἐλάττους om. K 27 τὸ εἰδικὸς (sic) φημὶ καὶ ὑλικὸν traicit L καὶ τὸ ἰδικὸν καὶ τὸ τελικὸν K ἀριθμῶν L 28 ἢ (om. τὸ) γεωμετρικὸν K fort. ἢ τὸ τεκτονικὸν 29 πάντα ταῦτα K 31. 32 ταῦτα πάντα ἀνάγονται K

www.libtool.com.cn

p. 195a29 Λέγεται γὰρ αἴτια πολλαχῶς, καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως. g 3v

Ὁμοειδῶν, οἷον τῶν ποιητικῶν ἢ τῶν ὑλικῶν· ἕκαστον γὰρ τούτων, φησί, πολλαχῶς λέγεται. ἐκτίθεται δὲ τὴν τοῦ καθ' αὑτὸ καὶ [τὴν] τοῦ κατὰ συμβεβηκὸς ἀντίθεσιν, καὶ τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω συμπεπλεγμένην. ἐκθέμενος γὰρ τὸ καθ' αὑτὸ εὐθὺς συμπλέκει αὐτῷ τὸ προσεχὲς καὶ τὸ πόρρω, καὶ πάλιν τὸ κατὰ συμβεβηκὸς θεὶς πάλιν συμπλέκει αὐτῷ τὸ προσεχὲς καὶ τὸ πόρρω.

p. 195a30 Οἷον ὑγείας ὁ ἰατρὸς καὶ ὁ τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ὁ ἀριθμός.

Τοῦ καθ' αὑτὸ παράδειγμα καὶ τοῦ ἐν τούτῳ προσεχοῦς καὶ τοῦ πόρρω· πόρρω μὲν γὰρ αἴτιον καὶ καθ' αὑτὸ ὁ ἰατρός, προσεχὲς δὲ καὶ πόρρω ὁ τεχνίτης, καὶ ἔτι πορρωτέρω ὁ ποιός, καὶ τῆς διὰ πασῶν ἁρμονίας προσεχὲς μὲν αἴτιον τὰ δύο πρὸς ἕν, πορρωτέρω δὲ τὸ διπλάσιον, καὶ ἔτι πορρωτέρω ὁ ἀριθμός. καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὸ καθ' ἕκαστον, τουτέστι τὰ περιέχοντα τὰ προσεχῆ αἴτια· ταῦτα γὰρ εἶπε καθ' ἕκαστα, τὰ προσεχῆ, διὰ τὸ μὴ δύνασθαι εἰς μερικώτερα διαιρεθῆναι.

p. 195a32 Ἔτι δὲ ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτου γένη.

Δείξας ἐπὶ τοῦ καθ' αὑτὸ τὸ προσεχὲς καὶ τὸ πόρρω, βούλεται καὶ ἐπὶ τοῦ κατὰ συμβεβηκὸς τὸ αὐτὸ δεῖξαι, καὶ πρὶν τοῦτο δείξει, πρότερον τὴν διαφορὰν δείκνυσι τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός. οἷον ἀνδριάντος ἄλλως Πολύκλειτος καὶ ἄλλως ἀνδριαντοποιός. ὁ μὲν γὰρ ἀνδριαντοποιὸς | καθ' αὑτὸ αἴτιος τοῦ ἀνδριάντος, ὁ δὲ Πολύκλειτος g 4r κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τὸν ἀνδριαντοποιὸν Πολύκλειτον εἶναι. δῆλον δὲ ὅτι οὕτως ἐνταῦθα λέγεται τῷ ἀνδριαντοποιῷ συμβεβηκέναι ὁ Πολύκλειτος, ὥσπερ ἐν Κατηγορίαις τῷ δεσπότῃ ὁ ἄνθρωπος. καὶ τὰ πε-

---

1 πολαχῶς K qui καὶ αὐτῶν—ὑστέρως om. 3. 4 γάρ φησι τούτων Mt 4 ἐντίθεται K τὴν alterum delevi 5 προσεχῶς L συμπεπλεγμένως compendiose K
9 ὑγιείας Mt Aristoteles ὁ ante ἰατρὸς om. Arist. cod. E (add. rec. E), et ante τεχνίτης om. Arist. codd. EF 10 καὶ ὁ ἀριθμὸς om. K: ὁ om. primitus Arist. cod. E
12 μὲν om. L αὐτὸν ὁ μὲν ἰατρός L δὲ om. L 13 ὁ ποιός scripsi: ὁποῖος LMt: ποιος (sic) K 16 τὰ περιέχοντα LK: om. Mt 16. 17 τὰ προσεχῆ αἴτια—διαιρεθῆναι om. K 17 μερικώτερα L: μερικώτατα Mt 18 δ' ὡς Lt τὸ] τὰ L καὶ τὰ τούτου γένη om. K τούτου LM: τούτων ex Aristotele t 19 τὰ προσεχὲς L 20 δείξει LK: δείξῃ Mt 21 οἷον LMt: οἷον τὸ τοῦ K 21. 22 ἀνδριάντος K: ἀνδριαντοποιὸς LMt
22 ἄλλος utrobique Mt 25 δῆλος K δὲ ὅτι LK: δέ ἐστιν (cf. ad p. 256,3) M: δέ ἐστιν ὅτι t οὕτως ἐνταῦθα LKM: ἐνταῦθα οὕτω t 26 Κατηγορίαις] cf. c. 7 p. 7a29
δεσπότῃ] πό L

www.libtool.com.cn

ριέχοντα δὲ τὸ συμβεβηκός. εἰπὼν δὲ τὴν διαφορὰν τοῦ καθ' αὑτὸ g 4r
καὶ τοῦ κατὰ συμβεβηκός, βούλεται λοιπὸν εἰπεῖν τὸ προσεχὲς καὶ τὸ πόρρω. 5
ἔστι γὰρ προσεχὲς μὲν κατὰ συμβεβηκὸς αἴτιον τοῦ ἀνδριάντος ὁ ἄνθρωπος,
πορρωτέρω δὲ τὸ ζῷον ἢ τὸ ἔμψυχον· οὐ καθ' αὑτὸ γὰρ ὁ ἄνθρωπος
5 αἴτιος τοῦ ἀνδριάντος ἀλλὰ κατὰ συμβεβηκός, διότι συμβέβηκε τῷ ἀνδριαντοποιῷ ἀνθρώπῳ εἶναι.

p. 195b1 Ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πορρώτερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς λέγοιτο αἴτιος τοῦ ἀνδριάντος.

10 Ἢ εἰς κατασκευὴν τοῦ προτέρου τοῦτο ἐπήγαγεν, ὅτι ἐστὶ τοῦ συμβε- 10
βηκότος τὸ μὲν προσεχὲς τὸ δὲ πόρρω, ἵνα τὸν δέ ἀντὶ τοῦ γάρ ἀκούσωμεν, ἢ βούλεται διὰ τούτων δεῖξαι, ὅτι καὶ τῶν τῆς αὐτῆς τάξεως συμβεβηκότων τὰ μὲν οἰκειότερα μᾶλλόν ἐστι τοῖς καθ' αὑτὸ αἰτίοις, τὰ δὲ ἧττον, ἵνα τὸ πορρώτερον καὶ ἐγγύτερον ἀντὶ τοῦ οἰκειότερον καὶ ἀνοικειό-
15 τερον ἀκούσωμεν. ὅθεν καὶ τὰ παραδείγματα τὰ τοιαῦτα ἔθηκε τὸν λευκὸν καὶ τὸν μουσικόν, ὧν οὐδέτερον περιεκτικώτερόν ἐστιν, ἀλλὰ τὸ μὲν μουσικὸν οἰκειότερον, ὅπερ οὐδενὶ ἄλλῳ συμβαίνει ἢ τῷ ἀνθρώπῳ, ὅπερ καθ' 15
αὑτὸ τῷ μουσικῷ συμβέβηκεν, ἧττον δὲ οἰκεῖον τὸ λευκόν· καὶ γὰρ ἄλλοις πολλοῖς παρὰ τὸν ἄνθρωπον.

20 p. 195b3 Παρὰ πάντα δὲ τὰ οἰκείως λεγόμενα.

Ὅτι καὶ ἔστι τρίτη ἀντίθεσις τοῦ τρόπου τῶν αἰτίων ἡ κατὰ τὸ δυνάμει καὶ κατὰ τὸ ἐνεργείᾳ, ἑτέρα οὖσα τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμ- 20
βεβηκός· οἰκείως γὰρ λεγόμενα εἶπε τὸ καθ' αὑτό.

p. 195b6 Ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια τοῖς
25 εἰρημένοις.

Ὅσα, φησίν, ἐπὶ τῶν αἰτίων εἴπομεν, τὰ αὐτὰ καὶ ἐπὶ τούτων ἐροῦμεν ὧν τὰ αἴτια αἴτιά εἰσι, λέγω δὴ τὰ αἰτιατά. τὰ δὲ ἑξῆς· ὁμοίως δὲ

---

1 δὲ recte om. K 3 ἔστι] ὅτι M 4 πορρωτέρων L 6 εἶναι om. K
7 ἄλλα] ἄλλω M 7. 9 πορρώτερον — ἀνδριάντος om. K 8 εἰ om. L λέγοιτο om. L: post αἴτιος traiciunt Aristotelis libri 10 ἢ εἰς L: ἢ M: εἰς (K)t τούτου K 11. 12 ἀκούσομεν K 12 διὰ om. L 15 τὰ alterum om. K 17 ἀνοικειότερον (sic) K οὐδενὶ ἂν ἄλλῳ συμβαίη K 17. 18 ὅπερ καθ' αὑτὸ K: ὥσπερ καθ' αὑτὸ LM: ὥσπερ καὶ αὐτῷ t 20. p. 257,26 Παρὰ — αἰτίων om. K 20 Παρὰ πάντα] cf. Diels *z. Textgesch.* p. 18 δὲ LM: δὲ καὶ ex Aristotele t 21 καὶ ἔστι L: ἔστι καὶ Mt ἡ t: ἢ LM 22 κατὰ (post καὶ) et mox τοῦ (ante κατὰ) exhibet L: om. Mt 22. 23 συμβεβηκότος L 24 αἴτια τὰ αἴτια t: αἴτια τὰ L: αἰτιατὰ M 27 αἴτια εἰσί Mt: αἰτιατὰ εἰσὶ L τὰ δὲ L: τὸ δὲ Mt

www.libtool.com.cn

τοῖς εἰρημένοις λεχθήσεται ταῦτα· ὁ ἀνδριαντοποιὸς αἴτιος τοῦ ἀνδριάντος, g 4r
ὁ δὲ ἀνδριὰς αἰτιατόν ἐστιν, ὅπερ ὡς εἶδος δοκεῖ αἴτιον, πλὴν ἐπεὶ ἐκ τοῦ
ἀνδριαντοποιοῦ ὡς αἰτίου γέγονε, δοκεῖ αἰτιατὸν εἶναι. καὶ ἐνταῦθα γοῦν
τοὺς προειρημένους τρόπους, τὸν καθ' αὑτὸ τὸν κατὰ συμβεβηκὸς τὸν πόρρω
5 τὸν προσεχῆ τὸν συμπεπλεγμένον τὸν ἁπλοῦν, εὑρήσεις χώραν ἔχοντας,
καὶ ἔτι τῶν ὑλικῶν αἰτίων οὕτω † ἐξελάβειν ἐφ' ὧν τὰ αἴτια αἰτιά εἰσιν.
οἷον τοῦδε τοῦ ἀνδριάντος ἢ ἀνδριάντος ἢ ὅλως εἰκόνος· τοῦ εἴ- 25
δους ὡς αἰτιατοῦ παραδείγματος. προσεχέστατον μὲν οὖν αἴτιον ὅδε ὁ ἀν-
δριὰς (οἷον ὁ Ὅμηρος), πορρωτέρω δὲ ἀνδριὰς ἁπλῶς, καὶ τούτου πορρώ-
10 τερον ἡ εἰκών· τὸν δὲ χαλκὸν εἰς παράδειγμα τοῦ ὑλικοῦ αἰτίου ὡς
αἰτιατοῦ τέθεικεν, εἴπομεν δὲ ὅτι οὐδὲν ὡς ὕλη γίνεται, ἀλλὰ τὸ αὐτὸ γι-
νόμενον εἶδός ἐστι. καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. ἐπειδὴ 30
τῶν καθ' αὑτὸ αἰτιατῶν παραδείγματα εἶπε, φησὶν ὅτι καὶ τὸ κατὰ συμ-
βεβηκὸς τὸν αὐτὸν ἀποδώσομεν τρόπον ἐπὶ τῶν αἰτιατῶν, ὡς ὅταν εἴπω
15 τριπήχη γενέσθαι εἰκόνα ἢ μεγάλην, καὶ τὰ ὅμοια.

p. 195b10 Ἔτι δὲ συμπλεκόμενα κἀκεῖνα καὶ ταῦτα λεχθήσεται.

Τὴν ἑτέραν τῶν ἀντιθέσεων τὴν κατὰ τὸ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον
προστίθησι νῦν. ταῦτα οὖν, φησί, τὰ ἁπλῶς εἰρημένα συμπεπλεγμένα 35
λεχθήσεται, φημὶ δὴ τὰ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός· συμπλέκεται γὰρ
20 ταῦτα ἀλλήλοις καὶ ταῦτα πρὸς τὸ προσεχὲς καὶ τὸ πόρρω.

p. 195b12 Ἀλλ' ὅμως ἅπαντά ἐστι τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς.

Ἀπαριθμεῖται πάλιν τὰ εἰρημένα, ὅτι ἕξ εἰσιν· οἱ τρόποι καθ' ἕκαστον 40
τῶν αἰτίων κατὰ τὰς εἰρημένας τρεῖς ἀντιθέσεις, λέγονται δὲ διχῶς κατὰ
25 τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, ὥστε συμβαίνειν δώδεκα τοὺς τρόπους εἶναι
καθ' ἕκαστον τῶν αἰτίων. ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος,
ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος. δοκεῖ μὲν
λέγων ἢ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, τὴν τοῦ προσεχοῦς καὶ

---

1 ταῦτα L: καὶ ταυτὰ M: καὶ ταῦτα t 1. 6 ὁ ἀνδριαντοποιὸς—ἐξελάβειν L: om. Mt 6 ἔτι L: immo ἐπὶ οὕτω ἐξελάβειν (sic) L: fortasse ὡσαύτως ἔξεστι λαβεῖν αἴτια εἰσίν Mt: αἰτιατά εἰσιν L 7 οἷον—εἰκόνος] cf. Aristotelis libri 8 αἰτιατοῦ scripsi: αἴτια τοῦ libri ὁ om. L 9 δὲ hic et v. 11 om. L 11 εἴπομεν p. 252,22 13 αἰτιατῶν corr. ex αἰτίων M καὶ τὸ LM: καὶ τῶν t 15 scribendum τρίπηχυν cf. ad p. 252,32 16 κἀκεῖνα καὶ ταῦτα λεχθήσεται L: καὶ ταῦτα λεχθήσεται κἀκεῖνα M: καὶ ταῦτα κἀκεῖνα λεχθήσεται ex Arist. t 17 τὸ ἁπλοῦν λεχθήσεται καὶ L 18 προστίθησι νῦν L: προτίθησιν αὖ Mt 21 ἅπαντα ταῦτά ἐστι ex Arist. t 24 αἰτίων] αἰτίων ἢ γὰρ ὡς τὸ καθέκαστον ἢ ὡς τὸ γένος τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω ἀντίθεσιν M 26 ἢ γὰρ κτλ.] hinc rursus K ubi lemma •γὰρ ὡς τὸ καθέκαστον (omissis 26. 27 ἢ ὡς τὸ γένος—συμβεβηκότος) 28 τὴν om. superscr. K

www.libtool.com.cn

τοῦ πόρρω ἀντίθεσιν λέγειν, τῷ δὲ ἐπαγαγεῖν ἢ ὡς τὸ συμβεβηκὸς ἐδή- g 4r
λωσεν ὅτι τοῦ καθ' αὑτὸ ἦν ἡ προτέρα ἀντίθεσις ἢ ἀντιδιέστειλε τὸ κατὰ 45
συμβεβηκός. ἀλλ', ὡς καὶ ἔμπροσθεν εἶπον, τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω ἀντίθεσιν συνέπλεξεν ἑκατέρῳ, καὶ τῷ καθ' αὑτό φημι καὶ τῷ κατὰ
5 συμβεβηκός, ἐφεξῆς δὲ προστίθησι καὶ τὴν τοῦ ἁπλοῦ καὶ τοῦ συμπεπλεγμένου, καὶ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ.

p. 195b16 Διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστι καὶ ὧν αἴτια.

Ὅτι τὰ μὲν ἐνεργείᾳ πάντως ὡσαύτως ἔχουσι τά τε αἴτια καὶ τὰ αἰ- 51
10 τιατά (ἅμα γὰρ ἢ εἰσὶν ἢ οὐκ εἰσί), τὰ δὲ δυνάμει οὐ πάντως, ἀλλὰ δυνατὸν τὸ ἕτερον μὲν εἶναι τὸ δὲ ἕτερον οὔ. εἴπομεν δὲ περὶ ποίου δυνάμει λέγει. ἡ δὲ λέξις· διαφέρει, φησί, τὰ δυνάμει τῶν ἐνεργείᾳ, ὅτι τὰ μὲν ἐνεργείᾳ αἴτια καὶ προσεχῆ (τοῦτο γὰρ αὐτὸ σημαίνει τὸ καθ' ἕκαστον, τὸ προσεχές) ἅμα ἢ εἰσὶν ἢ οὐκ εἰσὶ τούτοις ὧν ἐστιν αἴτια. |

15 p. 195b21 Δεῖ δὲ ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ ἀκρότατον ζητεῖν. g 4v

Ὅτι τὸ αἴτιον ζητοῦντας δεῖ τὸ ἀκρότατον ζητεῖν, τουτέστι τὸ προσεχέστατον· τεχνικὸν γὰρ τὸ αἴτιον ἀποδιδόντας μὴ τὸ τυχὸν ἀποδιδό- 5
ναι, ἀλλὰ τὸ κυριώτατον, κυριώτατον δὲ τὸ προσεχέστατον. οἷον διὰ τί ὁ ἄνθρωπος οἰκοδομεῖ ἐρωτηθέντας οὐ δεῖ λέγειν ὅτι τεχνίτης ἐστίν, ἀλλ'
20 ὅτι οἰκοδόμος· διὰ τί δὲ ὁ οἰκοδόμος, διότι ἔχει τὴν οἰκοδομικὴν τέχνην. περαιτέρω δὲ προβαίνειν εὔηθες· πρῶτον γὰρ καὶ προσεχέστατον αἴτιον τῆς οἰκίας ἡ οἰκοδομικὴ τέχνη.

p. 195b25 Ἔτι τὰ μὲν γένη τῶν γενῶν, τὰ δὲ καθ' ἕκαστον τῶν καθ' ἕκαστον.

25 Ἕτερον θεώρημα καὶ αὐτὸ τεχνικὸν πάνυ· ἀπαιτούμενον αἰτίαν τινός, 11
εἰ μὲν τὸ γενικώτατον εἴη, γενικὴν καὶ τὴν αἰτίαν ἀποδιδόναι. οἷον τίς αἴτιος τῆσδε τῆς εἰκόνος; ὁ δεῖνα ζωγράφος. ἁπλῶς δὲ εἰκόνος; ζωγράφος,

---

1 τῶ δ' ἐπαραγαγεῖν K 2 ἡ (sic) ἀντιδιέστειλεν K: ἀντιδιέστειλε γὰρ L: ἀντιδιαστείλας Mt 4 ἐν ἑκατέρω K καὶ τὸ καθ' αὑτὸ L καὶ τὸ κατὰ ante corr. L 5 προστίθησι K: προτίθησι LMt 7. 8 ὅτι—αἴτια om. K 10 καὶ ἅμα γὰρ K 11 μὲν om. K τὸ ἕτερον δὲ οὔ Mt εἴπομεν p. 253,20 sqq. ποιοῦ K 12 τὰ (priore loco) K: τὸ (L)Mt τῶν LK: καὶ τὸ Mt 13 αὐτὸ LK: αὐτῷ Mt 15 Δεῖ δὲ] Εἰ δὲ K omissis ἀεὶ—ζητεῖν δ' ἀεὶ t 16 Ὅτι] *ὸ ἀκρότατον ζητεῖν ὅτι K Ὅτι—ζητεῖν om. L qui mox προσεχέστερον 19 τεχνίτης scripsi: ὁ τεχνίτης L: τέχνη τίς (K)Mt 20 ὅτι] ἔστιν L δὲ ὁ L: δὶς K: δὲ (om. ὁ) Mt cf. Themist. p. 174,17 quo hic utitur Philoponus 21 περετέρω K 23. p. 259,8 Ἔτι—τῶν αἰτίων om. K 23. 24 καθέκαστα utrobique e vulg. Arist. t 25 ἀπαιτούμενον L: ἀπαιτούμενοι Mt 26 τὸ LMt: fortasse τοῦτο vel τὸ αἰτιατὸν (cl. p. 254,6) 27 ὁ δεῖνα ζωγράφος L: ὁ δεῖνα ὁ ζωγράφος Mt

www.libtool.com.cn

οὐχ ὁ δεῖνα ἀλλ' ἁπλῶς. καὶ τὰς μὲν δυνάμεις τῶν δυνατῶν, τὰ δὲ g 4ᵛ ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. ἕτερον θεώρημα ὅτι τῶν δυνάμει 15 αἰτιατῶν αἴτια ἀποδοτέον τὰ δυνάμει, οἷον τῆς οἰκοδομηθησομένης οἰκίας τὸν οἰκοδομήσοντα οἰκοδόμον, τῶν δὲ ἐνεργείᾳ αἰτιατῶν τὰ ἐνεργείᾳ αἴτια, 5 τῆς οἰκοδομουμένης τὸν οἰκοδομοῦντα.

p. 195ᵇ28 Ὅσα μὲν οὖν τὰ αἴτια καὶ ὃν τρόπον αἴτια, ἔστω ἡμῖν διωρισμένα ἱκανῶς. λέγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον τῶν αἰτίων.

Διαλεχθεὶς περὶ τῶν καθ' αὑτὸ αἰτίων καὶ τῶν κατὰ συμβεβηκός, καὶ 20 10 διαστειλάμενος αὐτὰ ἀπ' ἀλλήλων καὶ ἀκριβῶς τὸν περὶ αὐτῶν διεξελθὼν λόγον, ἐπειδὴ τῶν κατὰ συμβεβηκὸς αἰτίων ἐστὶ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, βούλεται καὶ περὶ αὐτῶν διαλεχθῆναι· καὶ γὰρ πολλά φαμεν καὶ εἶναι καὶ γίνεσθαι ἀπὸ τύχης καὶ ἀπὸ ταὐτομάτου. καὶ ζητεῖ περὶ αὐτῶν, ἵνα ἀνάπαλιν τῇ τάξει τῆς ἀπαριθμήσεως τῶν προβλημάτων εἴπωμεν ὥσπερ 15 καὶ αὐτός, ἐν τίνι τῶν αἰτίων ἀποθετέον τὴν τύχην καὶ τὸ αὐτόματον, 25 πότερον ἐν τῷ ποιητικῷ ἢ ἐν τῷ εἰδικῷ ἤ τινι τῶν ἄλλων, ἔπειτα τί διαφέρουσιν ἀλλήλων ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ τί ποτε ὅλως ἐστὶν ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ τέταρτον εἰ ὅλως ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον, ὅπερ ἔδει τῶν προβλημάτων πρότερον ἐκθέσθαι. ἐν γοῦν τῷ διαιτᾶν περὶ 20 τῶν προβλημάτων τούτων ἀνάπαλιν ἄρξεται, καὶ πρῶτον ζητήσει εἰ ἔστιν ὅλως ἡ τύχη καὶ τὸ αὐτόματον, ἔπειτα τί ποτέ ἐστι ταῦτα, ἔπειτα τί διαφέρουσιν ἀλλήλων, καὶ τέταρτον ἐν ποίῳ τῶν αἰτίων αὐτὰ ἀποθετέον. πρότερον οὖν ζητήσει εἰ ὅλως ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον· ἀπορήσει γοῦν εἰς τοὐναντίον, ὅτι μήποτε οὐκ ἔστιν ὅλως ἡ τύχη καὶ τὸ αὐ- 25 τόματον, ἀλλ' ὀνόματα μόνον ἐστὶ ταῦτα κενὰ ἐν τῇ συνηθείᾳ κατὰ μηδενὸς πράγματος κατηγορούμενα. καὶ γὰρ τῶν λεγομένων ἀπὸ τύχης γίνεσθαι 30 ἔστι, φησίν, εὑρεῖν ὡρισμένα τινὰ αἴτια τῆς γενέσεως. οἷον προῆλθέ τις εἰς ἀγορὰν ἐπί τινα χρείαν, εἶτα ἐλθὼν καταλαμβάνει ἐκεῖσε τὸν φίλον ἐξ ἀποδημίας ἐπανήκοντα, ὃν ἐβούλετο μὲν θεάσασθαι, οὐκ ᾤετο δὲ τηνικαῦτα

---

1. 2 καὶ τὰ ἐνεργοῦντα πρὸς ἐνεργούμενα L at cf. p. 253,27 4 τὸν οἰκοδομήσαντα (correxi οἰκοδομήσοντα) οἰκοδόμον L: ὁ οἰκοδομήσων οἰκοδόμος Mt αἴτια L: αἰτιατὰ Mt 7 καὶ (post δὲ) om. L at cf. v. 11 9 hinc rursus K καὶ τῶν LK: καὶ περὶ τῶν Mt 12 παρὰ L 13 καὶ (ante γίνεσθαι) om. K 14 εἴπομεν K 15 ἀποδοτέον L 16 ἰδικῷ K 17 τί ποτε LK: εἰ ποτε Mt . 18. 21 καὶ τέταρτον εἰ ὅλως — εἰ ἔστιν ὅλως τύχη καὶ αὐτόματον om. Mt 18 καὶ (ante τέταρτον) K: om. L 18. 19 καὶ τὸ αὐτόματον ὅπερ K 19 ἐν K: εἰ L 20 ἀνάπαλιν K: ἀνᾱπ L 21 καὶ τὸ αὐτόματον L ποτέ om. L ἔπειτά τι altero loco t 22 τῶν αἰτίων αὐτὰ ἀποθετέον (ἀποθετέον L) LK: ἀποθετέον ταῦτα τῶν αἰτίων Mt 23 ζητεῖ L εἰ ὅλως ἐστὶν L: ὅλως εἰ ἔστιν K: εἰ ἔστιν ὅλως Mt 23. 24 ἀπορεῖ L 24 τὸ ἐναντίον L ὅτι om. L 25 ὀνόματι K εἰσὶ L 27 φησίν om. L ὡρισμένω τινὶ L 29 ἐβουλεύετο K

www.libtool.com.cn

ἢ ἐξ ἀποδημίας ἐπανήξειν ἢ εἰς ἀγορὰν εὑρίσκεσθαι· οὗτος λέγεται μὲν g 4v
ἀπὸ τύχης τῷ φίλῳ περιτετυχηκέναι, κενὴ δέ τις ἔοικεν αἰτίας εἶναι ἀπό-
δοσις ἡ τύχη. ἔστι γὰρ ἐπί τι ὡρισμένον αἴτιον ἀναγαγεῖν τὴν αἰτίαν
τούτου, τὴν κινήσασαν προαίρεσιν εἰς ἀγορὰν ἐλθεῖν· εἰ γὰρ καὶ μὴ διὰ 35
5 τοῦτο ἡ πρόοδος εἰς ἀγορὰν γέγονεν, ἀλλ' οὐδὲν ἕτερον αἴτιόν ἐστι τῆς τοῦ
φίλου ἐντυχίας, ἢ τὸ βουληθῆναι εἰς ἀγορὰν ἐλθεῖν. εἰ τοίνυν τὴν μὲν
τύχην ἀόριστον εἶναι αἴτιον καὶ οἱ τιθέμενοι λέγουσιν, ἔστι δὲ τῶν ἀπὸ
τύχης λεγομένων γίνεσθαι ὡρισμένον τι αἴτιον ἀποδοῦναι, ἔοικε κενὸν εἶναι
μόνον ὄνομα ἡ τύχη. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ αὐτομάτου. ἐν πολέμῳ γὰρ
10 διψήσας τις ἵππος κατέβαλε τὸν ἐπιβάτην καὶ ἔδραμεν ἐπὶ τὸ ὕδωρ, καὶ
συμβολῆς γενομένης ἡττήθησαν καὶ ἀπώλοντο· λέγεται οὖν ὁ ἵππος ἐκ 40
ταὐτομάτου σεσῶσθαι. λίθος κατηνέχθη ἄνωθεν, καὶ περιθραυσθεὶς τὰ ἐξέ-
χοντα γέγονεν εἰς καθέδραν ἐπιτήδειος· καὶ λέγεται ἐκ ταὐτομάτου γενέ-
σθαι. ἀλλὰ τούτων ἔστιν ὡρισμένα αἴτια ἀποδοῦναι τήν τε φυσικὴν τοῦ
15 λίθου ὁρμὴν τὴν ἐπὶ τὸ κάτω κινήσασαν, καὶ τὴν τοῦ ἵππου δίψαν δι' ἣν
⟨ἐκ⟩ τῆς παρατάξεως ἔφυγεν· ὥστε οὐκ ἔστιν ἡ λεγομένη τύχη καὶ τὸ
αὐτόματον τινῶν αἴτια. ἔπειτα, φησίν, εἰ ἦν τι αἴτιον ἡ τύχη καὶ τὸ αὐτό-
ματον, τί δήποτε οὐδεὶς τῶν πάλαι σοφῶν τῶν γινομένων ἀποδιδοὺς τὰς 45
αἰτίας τὴν τύχην καὶ τὸ αὐτόματον ἐν τοῖς αἰτίοις ἀπηριθμήσατο;

20 Αἱ μὲν οὖν ἀπορίαι αἱ ἀναιροῦσαι ἐκ τῶν αἰτίων τὴν τύχην αὗται,
ἐπιλύεται δὲ αὐτὰς ὁ Ἀριστοτέλης, καὶ τέως τὸν πρότερον λόγον, ἐξ αὐ-
τῶν· ὧν οἱ ἀναιροῦντες τὴν τύχην φασί· τὰ γὰρ εἰς ἀναίρεσιν τῆς τύχης
προφερόμενα τοὐναντίον κατασκευαστικά ἐστι τοῦ εἶναι τινῶν αἰτίαν τὴν
τύχην. εἰ γὰρ δυνατὸν ἀεὶ πάντα τὰ γινόμενα εἴς τινας ὡρισμένας αἰτίας
25 ἀνάγειν, ὡς οἱ ἀποροῦντές φασι καὶ ἡ ἀλήθεια ἔχει, ὅμως δὲ κατὰ κοινὴν 50
ἔννοιαν πάντες ἄνθρωποι τὰ μὲν ἀπὸ τύχης γίνεσθαί φασι τὰ δὲ οὐκ ἀπὸ
τύχης, καίτοι οὐκ ἀποροῦντες καὶ τὰ ἀπὸ τύχης λεγόμενα γίνεσθαι ἀνάγειν
εἰς ὡρισμένας αἰτίας, ἔοικεν ἄρα καὶ ἡ τύχη τινῶν εἶναι αἰτία παρὰ τὴν
ὡρισμένην ἀρχήν· τῷ γὰρ ὄντι εἰ ⟨μὴ⟩ ἀπὸ ὡρισμένης ἀρχῆς ἀνῆγον οἱ
30 ἄνθρωποί τινα ἐπὶ τὴν ἀόριστον αἰτίαν τὴν τύχην καὶ τὸ αὐτόματον, κἂν
ἔδοξάν τι λέγειν οἱ ἀποροῦντες, εἰ δὲ προφανὴς μὲν ἐπὶ τῶν ἀπὸ τύχης
λεγομένων γίνεσθαι ἡ ὡρισμένη αἰτία, ὥσπερ δὲ ὑπ' αὐτῆς τῆς ἀληθείας g 5r
καὶ τῶν κοινῶν ἐννοιῶν ἀναγκαζόμενοι πάντες ἄνθρωποι οὐ τὴν ὡρισμένην
αἰτίαν, ἀλλὰ τὴν τύχην τῶν οὕτω γινομένων αἰτιῶνται, πῶς οὐ τοὐναντίον

---

1 λέγεται corr. ex ἄγεται M 2 κενὰ L 4. 6 εἰ γὰρ — ἐλθεῖν om. L 7 καὶ οἱ τιθέμενοι in ras. K δὲ] καὶ L 8 ὡρισμένον αἴτιον ἀναγαγεῖν τὴν αἰτίαν τούτου τὴν κινήσασαν προαίρεσιν ἀποδοῦναι L 9 δὲ om. Mt 11 ἀπώλλοντο L οὖν] δὲ L 12 τοῦ αὐτομάτου L 15. 16 δι' ἣν ἐκ τῆς (cf. p. 287,25) t: δι' ἣν τῆς KM: δι' ἧς τῆς ἀπὸ L 17 εἰ ἦν] εἶεν K 18 ἀποδοὺς L 21 ἐπιλύεται δἴαυτὰς K 21 λόγους L 23 εἰσι L αἰτίων L 24 τὰ om. L αἰτίας ὡρισμένας Mt 29 μὴ addidit t. ceterum totam hanc argumentationem ex Themist. p. 175, 26 sqq. sumpsit et dilatavit Philoponus (cf. Simplic. p. 329,25 sqq.) ἀρχῆς LK: αἰτίας Mt ἀνίγον K 31 τι λέγειν LK: λέγειν τὶ Mt ἐπὶ om. L 32 ἀπ' αὐτῆς L 33 ὁρισμένην K

www.libtool.com.cn

οὐ ἐβουλήθη κατεσκεύασεν ἡ ἀπορία; ὅθεν καὶ συγγνώμης ἀξιοῦμεν πάντες g 5r
ἄνθρωποι τοὺς πρᾶξίν τινα τῶν ἀπηγορευμένων ἐκ τοιαύτης αἰτίας ἐνεργήσαν-
τας. οἷον δισκεύων τις ὥσε κατὰ τοῦ φίλου τὸν δίσκον μὴ βουλόμενος, ὁ 5
δὲ πληγεὶς τέθνηκε, καὶ συγγνώμης παρὰ πάντων ἀξιοῦται ὁ φονεύσας·
5 ἀπὸ τύχης γὰρ τὸν φόνον γενέσθαι φαμέν, οὐκ ἀπὸ προαιρέσεως. καίτοι
ἔξεστι κἀπὶ τούτων εἰπεῖν ὅτι ἡ προαίρεσις αἰτία τοῦ φόνου (εἰ γὰρ μὴ
προείλετο ἀφεῖναι τὸν δίσκον, οὐκ ἂν ἐπλήγη ὁ φίλος), ἀλλ' ὅμως οὐδεὶς
τὴν προαίρεσιν αἰτιᾶται, ἐπεὶ ἔδωκεν ἂν τὴν τῆς τοιαύτης προαιρέσεως
δίκην· ἀλλὰ τῆς μὲν ἀφέσεως ἡ προαίρεσις, τοῦ φόνου δὲ οὐχ ἡ προαί-
10 ρεσις, ἀλλ' ἡ τύχη. ἔστιν ἄρα καὶ ἡ τύχη τινῶν αἰτία. ἡ μὲν οὖν πρὸς
τὴν προτέραν ἀπορίαν ἀπάντησις αὕτη. 10

Πρὸς δὲ τὴν δευτέραν ἀπορίαν φησίν, ὅτι οὐκ ἐπειδὴ οὐδεὶς τῶν
ἀρχαίων αἰτίαν τινῶν εἶπεν εἶναι τὴν τύχην, παρὰ τοῦτο ἀνῄρηται ἡ τύχη,
ἀλλ' ἐπειδὴ ἔστιν ἡ τύχη, κακῶς οἱ πρότεροι παρῆκαν τὴν αἰτίαν ταύτην
15 καὶ οὐδὲν περὶ αὐτῆς εἰρήκασιν. ἐγκαλεῖ δὲ καὶ τοῖς πρότερον φυσιολόγοις,
ὅτι, καίτοι τινὰ ἀπὸ τύχης λέγοντες γίνεσθαι, οὐδὲν περὶ τύχης διελέχθησαν,
τίς τέ ἐστι καὶ πῶς αἰτία τῶν ἐξ αὐτῆς γινομένων. ὁ γοῦν Ἐμπεδοκλῆς
ἀπὸ τύχης φησὶ τὸν ἀέρα τὴν ἄνω χώραν κατειληφέναι· συγκεχυμένων γὰρ 15
ὄντων πάντων ἅμα ἐν τῷ σφαίρῳ πρότερον, διακριθέντα ὑπὸ τοῦ νείκους
20 ἕκαστον ἐνεχθῆναι εἰς τὸν τόπον ἐν ᾧ νῦν ἔστιν, οὐκ ἀπό τινος προνοίας,
ἀλλ' ὅπως ἔτυχε. λέγει γοῦν περὶ τῆς τοῦ ἀέρος ἐπὶ τὸ ἄνω κινήσεως.

ὡς οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως.

νῦν μὲν γὰρ ὑπὲρ τὴν γῆν εἶναι καὶ τὸ ὕδωρ, ἄλλοτε δ' εἰ τύχοι ἐν ἑτέρᾳ
κοσμοποιΐᾳ, ἡνίκα πάλιν ἀπὸ τοῦ σφαίρου γίνεται κόσμος, ἄλλην τινὰ τάξιν
25 καὶ τόπον ἀπολαβεῖν. καὶ τὰ μόρια δὲ τῶν ζῴων κατὰ τύχην οὕτω τὰ 20
πλεῖστα γενέσθαι φησὶν ὡς ἂν εἰ ἀπὸ προνοίας ἐγένοντο, τοὺς μὲν ἐμπρο-
σθίους ὀδόντας ὀξεῖς πρὸς τὸ τέμνειν ἐπιτηδείους, τοὺς δὲ γομφίους πρὸς
τὸ λεαίνειν. ὥστε κατηγορίας ἄξιοι, διότι ὅλως τινὰ λέγοντες εἶναι ἀπὸ
τύχης οὐδὲν περὶ τῆς τύχης διωρίκασιν. ἀλλ' ὁ μὲν Ἐμπεδοκλῆς μικρῶν
30 τινων τὴν τύχην αἰτιασάμενος, εἰ μηδένα αὐτῆς πεποίηται λόγον, ἥττονος
ἂν εἴη κατηγορίας ἄξιος· εἰσὶ δέ τινες, φησί, λέγει δὲ τοὺς περὶ Δημόκρι-

---

1 οὖ] οὖν K κατεσκέβασεν K 2 ἀπειγορευμένων K 2. 3 ἐνεργοῦν-τας Mt 3 ὥσε] ὡς ἐν K 5 καί τι L 8 ἔδωκεν Mt: δέδωκεν (cf. ad p. 18,23) LK: an δεδώκει? τὴν τῆς Mt: τὴν K: τῆς L 9 ἀλλὰ τῆς κτλ.] cf. Themist. p. 176,18 ἀφίσεως K ὁ προαίρεσιν priore loco L 10 ἄρα] γὰρ K 11 ἀπορίαν L: αἰτίαν KMt 15 προτέροις L 16 παρὰ L διελέχ-θησαν L: διηλέχθησαν KMt 17 ἐστι] ὅτι K γιγνομένων K ὁ μὲν οὖν Mt 18 ἀπὸ τύχης om. L 19 ὄντων] οὔτων K ante πρότερον distinguit t 20 νῦν] οὖν L 21 λέγει γ οὖν K 22 Emped. v. 167 St. 204 K. ὡς οὕτω] cf. Diels ad Simplic. p. 358,11 πολλάκις LM δὶ ἄλλως K 23 καὶ om. t 25 ζῴον (sic) K 26 γίνεσθαι L φησὶν compend. K: φασὶν LMt cf. Arist. p. 196a24 28 λέγοντες εἶναί τινα L 29 διωρίκασιν L: διωρίσασιν K: διωρί-σαντο Mt 30 λόγους L 31 ἂν εἴη om. Mt at cf. Themist. p. 177,17 φασί M

www.libtool.com.cn

τον, οἳ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν θειοτάτων ἐν τοῖς φανεροῖς αἰτίαν g 5r
αὐτὴν ἡγησάμενοι, οὐδὲ ἐπὶ σμικρόν τι περὶ αὐτῆς διελέχθησαν. ἀπείρους
γὰρ κόσμους ὑποτιθέμενος ὁ Δημόκριτος, κατὰ τύχην μὲν ἔλεγεν ἐν τῷδε
τῷ μέρει τοῦ κενοῦ ἀπείρου ὄντος τὸν κόσμον τοῦτον γενέσθαι, ἐν ἄλλῳ
5 δὲ ἄλλον. ἀλλὰ καὶ αὐτῆς τῆς τῶν ὄντων διακοσμήσεως τὴν τύχην αἰτίαν
φησὶν εἶναι· τάς τε γὰρ ἀτόμους κατὰ τύχην κινουμένας συνελθεῖν καὶ
ποιῆσαι ἐξωτέρω μὲν τοῦ κόσμου παντὸς τὸν οὐρανὸν καὶ ἐφεξῆς ὡς ἔχει
τάξεως τὰ λοιπά, καὶ τὴν γῆν δὲ κατὰ τύχην ἑστάναι· τὴν γὰρ τοῦ οὐ-
ρανοῦ δίνην συμπεριάγειν ἑαυτῇ τὸν ἐντὸς ἀέρα. οὗτος δ' ὁ ἀὴρ διὰ τὸ
10 συνεχὴς εἶναι τῇ γῇ πανταχόθεν αὐτῆς ἁπτόμενος τῇ ὀξείᾳ περιδινήσει
οὐκ ἐᾷ αὐτὴν καταπίπτειν, ἀλλ' ἀκίνητον φυλάττει, ὥσπερ οἱ τὰς φιάλας
πεπληρωμένας ὕδατος περιάγοντες καὶ μὴ ἐκχέοντές τι τοῦ ὕδατος διὰ τὴν
ὀξεῖαν περιαγωγήν· ταχυτέρα γὰρ οὖσα ἡ κίνησις καὶ ἡ περιαγωγὴ τοῦ
περιέχοντος τῆς κατὰ φύσιν τοῦ ἐντὸς κινήσεως φθάνει περιελθεῖν πρὶν ἐκεῖνο
15 τῆς οἰκείας ἐκπεσεῖν ἕδρας. ὅθεν καὶ μέμφεται τῷ Δημοκρίτῳ, ὅτι τῶν
μὲν μερικῶν οὐδὲν ἀπὸ τύχης γίνεσθαί φησιν (οὐ γὰρ ἐκ τοῦ τυχόντος τὸ
τυχὸν γίνεσθαι), καὶ ἐν τῇ τῶν κατὰ μέρος ἀποδόσει (οἷον διὰ τί τὰ
θερμὰ διακρίνει καὶ τὰ λευκά; ἢ διὰ τί τὸ μέλι γλυκύ;) τὴν θέσιν καὶ τὴν
τάξιν καὶ τὸ σχῆμα τῶν ἀτόμων αἰτιᾶται, αὐτῆς δὲ τῆς τῶν ὅλων γε-
20 νέσεως τὸ αὐτόματον αἴτιον εἶναί φησι. καίτοι, φησί, τὸ ἐναντίον ἔδει ἐν
μὲν τοῖς οὐρανίοις καὶ ταῖς τῶν στοιχείων ὁλότησι μηδὲν ἀπὸ τύχης μηδὲ
ἀπὸ ταὐτομάτου εἶναι λέγειν, ἐν τοῖς κατὰ μέρος δέ, ἂν ἄρα, τὴν τύχην
καὶ τὸ αὐτόματον αἰτιᾶσθαι. ἐν μὲν γὰρ τοῖς οὐρανίοις οὐδὲν ἐνδεχομένως
γίνεται, οὐδὲ ποτὲ μὲν ἔστι ποτὲ δὲ οὐκ ἔστιν, ἀλλ' ἀεὶ ὡσαύτως ἔχουσι
25 τά τε οὐράνια καὶ αἱ τῶν στοιχείων ὁλότητες, τὰ δὲ κατὰ μέρος οὐκ
ἔχουσι τὸ ἀναγκαῖον· οὐ γὰρ ἀεὶ πενταδάκτυλον ἡ φύσις ποιεῖ, ἀλλ' ἔστιν
ὅτε καὶ ἀποτυγχάνει τοῦ σκοποῦ. εἰ τοίνυν ἡ τύχη καὶ τὸ αὐτόματον οὐ
τῶν ἐξ ἀνάγκης γινομένων, ἀλλὰ τῶν ὡς ἐπ' ἔλαττον, εὐλογώτερον τῶν
κατὰ μέρος αὐτὴν αἰτιᾶσθαι ἅπερ οὐκ ἔχει τὸ ἀναγκαῖον, ἢ τῶν ὁλοτή-
30 των ἐν αἷς ἔστιν ἀεὶ τὸ ἀναγκαῖον· ἀλλ' ὅμως τύχην καὶ τὸ αὐτόματον

---

1 ἐν τοῖς φανεροῖς om. Mt 2 μικρὸν (om. τι) L διελέχθησαν scripsi: διειλέχθησαν L: διηλέχθησαν KMt cf. ad p. 194,5. 261,16. 264,8. 18 al. 3 ἔλεγεν ἐν L: ἔλεγεν K: ἔλεγε Mt 4 ἄλλῳ] ἄλλον L 5 τῶν om. K 6 κατὰ τὴν τύχην L 7 παντὸς τοῦ κόσμου L 9 δίνην Mt: δινὴν K: διαφορὰν L ἑαυτὴ K 10 συνεχὲς K: συνεχ^{εἰ} L τὴν γῆν L αὐτῆς Mt: αὐτὸς K: γὰρ αὐτῆς L 13 ταχυτέρα t: ταχυ$^{\text{τρ'}}$ M: ταχύτερα K: ταχύτερον L 15 μέφεται K 16 γενέσθαι φησὶν L 16. 17 τὸ τυχὸν γίνεσθαι LK: γίνεσθαι τὸ τυχόν Mt 17 τῇ τῶν K: τῷ τῶν L: τῇ (om. τῶν) Mt ἀπόδοσιν L 19 τὰ σχήματα L 20 φασὶ utrobique L τὸ ἐναντίον LK: τοὐναντίον Mt 22 τοῦ αὐτομάτου K ἐὰν ἄρα L 25 τε om. Mt 27 ὅτε καὶ KMt: καὶ ὅτε L 27. 28 οὐ τῶν L: οὐ K: οὐκ ἐκ τῶν Mt 30 ὅμως τύχην καὶ τὸ αὐτόματον LK: ὅμως καὶ τὸ αὐτόματον καὶ τὴν τύχην Mt

www.libtool.com.cn

τῶν τηλικούτων αἰτιασάμενος, οὐδένα λόγον ἡμῖν περὶ τύχης καὶ αὐτομάτου g 5r
κατεβάλλετο.

p. 195b33 Τίνα οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον. |

5 Ἐν τούτοις· τοῖς ἀπηριθμημένοις, πότερον ὡς ποιητικὸν ἤ τι τῶν g 5v
λοιπῶν τριῶν. ἀπαριθμεῖται δὲ τὰ προβλήματα ἀνάπαλιν ὥσπερ εἴρηται. αἴτιον τὸ βούλεσθαι ἀγοράσαι ἐλθόντα. ἀγοράσαι, τουτέστιν εἰς ἀγορὰν διατρῖψαι. Ἀριστοφάνης·

ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;

10 ἐπεὶ εἴ γέ τι ἦν ἡ τύχη, ὡς ἀληθῶς ἦν ἀπορία ἐξ ἐνδόξων προσώ- 5
πων ἔχουσα τὸ εὔλογον, ὅτι μηδεὶς τῶν σοφῶν τὰς αἰτίας τῶν γινομένων ἀποδιδοὺς τύχην καὶ αὐτόματον μετὰ τῶν αἰτίων κατηρίθμησεν, ἀλλ' ἢ νεῖκος καὶ φιλίαν ἢ πῦρ ἢ νοῦν ἤ τι τῶν ἄλλων.

p. 196a11 Ἀλλὰ καὶ τοῦτο θαυμαστόν.

15 Ἔνθεν ἡ ἐπίλυσις τῶν ἠπορημένων, καὶ τέως τὴν προτέραν ἐπιλύεται ἀπορίαν. αὐτό, φησί, τοῦτο ἐξ οὗ τὴν ἀπορίαν κατασκευάζετε θαυμαστὸν ἂν εἴη, τί δή ποτε δυνατὸν ὂν εἰς ὡρισμένας αἰτίας ἀναγαγεῖν τὰ λεγόμενα ὑπὸ τύχης γίνεσθαι, ὅμως οὐ πάντα τὰ γινόμενα εἰς ὡρισμένας αἰτίας 10
ἀνάγουσιν οἱ ἄνθρωποι, ἀλλ' εἶναί τινά φασι καὶ ἀπὸ τύχης γινόμενα.
20 τοῦτο δὲ οὐκ ἂν ἔπασχον (λέγω τὸ σαφοῦς οὔσης τῆς ὡρισμένης αἰτίας, εἰς ἣν δυνατὸν τὰ ἀπὸ τύχης ἀναγαγεῖν, ὅμως τύχην τῶν τοιούτων αἰτιᾶσθαι), εἰ μή τις ἦν παρὰ τὴν ὡρισμένην αἰτίαν ἡ τύχη τὴν μαρτυρίαν ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως ἔχουσα· ὅθεν, ὡς ἔφην, τοὺς κατὰ τοιαύτην αἰτίαν ἁμαρτάνοντας καὶ συγγνώμης πάντες ἀξιοῦμεν. ἃ οὐκ 15
25 ἀγνοοῦντες ὅτι ἔστιν ἐπανενεγκεῖν ἕκαστον ἐπί τι αἴτιον τῶν γινομένων. οὐκ ἀγνοοῦντες πάντες οἱ ἄνθρωποι ὅτι τὰ ἀπὸ τύχης λεγόμενα δυνατὸν ἐπί τι αἴτιον ὡρισμένον ἀνενεγκεῖν, ὥσπερ καὶ οἱ ἀναιροῦντες τὴν τύχην φασίν, ὅμως οὐκ ἀναφέρουσι.

---

1 οὐδέν[α] ἀλόγου K λόγους L 2 κατεβάλετο Mt 3 ἐστὶν K 5 τοῖς ἀπηριθμημένοις L: ἀπηριθμημένα KMt 7 ἀγορᾶς priore loco, ἀγορᾶσθαι altero loco L 8 Ἀριστοφάνης Eqq. 1374 9 δηται (sic) K στράτων t: στράτω L: στρατὼν K: στρατῶν M 10 ἐπείγε τὶ K: ἐπεὶ εἴτε τὶ L ἡ om. Mt δευτέρα ἀπορία L ἐνδόξων] εὐλόγων L 12 τόματον[αὐ] K 12. 13 ἢ νεῖκος scripsi: ἦν εἰκὸς KMt: ἢ εἰκὸς L 13 τι om. L 15 ὑπωρημένων L 16 κατὰσκευάζετε (κατὰ compend.) K: κατασκευάζει L: κατεσκευάζετε Mt 17 ἀνάγειν L 18 τύχην K γίνεσθαι ex λέγεσθαι corr. M τὰ γινόμενα LK: τὰ λεγόμενα Mt 20 λέγω δὴ Mt 21 τὰ ἀπὸ K: τὸ ἀπὸ LMt ἀνάγειν L 24 ἀξιοῦσι L at cf. p. 261,1 24. p. 264,6 ἃ οὐκ—διαλεχθῆναι om. K 25 ἐπενεγκεῖν t 26 τὰ] τὸ L 27 λεγόμενον (om. δυνατὸν) L

www.libtool.com.cn

p. 196a16 Διὸ καὶ ἁμῶς γέ πως ἦν ποιητέον αὐτοῖς μνείαν. g 5v

Τῆς δευτέρας ἀπορίας ἡ ἐπίλυσις, ὅτι ἔδει τοὺς περὶ φυσικῶν αἰτίων διαλεχθέντας κἂν κατὰ μικρὸν γοῦν περὶ αὐτῶν διαλεχθῆναι· οὐ γὰρ διὰ τὸ μὴ διαλεχθῆναι αὐτοὺς περὶ τούτων ἀνῄρηται ἡ τύχη καὶ τὸ αὐτόματον, ἀλλ' ἐπειδὴ κατὰ κοινὴν ἔννοιαν πάντες εἶναι ταῦτα ὁμολογοῦμεν, ἔδει καὶ τοὺς ἀρχαίους κἂν βραχὺ γοῦν περὶ αὐτῶν διαλεχθῆναι. ἀλλὰ μὴν οὐδὲ ἐκείνων γέ τι ᾤοντο εἶναι τὴν τύχην. ἵνα μή τις εἴπῃ ὅτι διελέχθησαν περὶ τύχης καὶ τοῦ αὐτομάτου (τὴν γὰρ φιλίαν ὁ Ἐμπεδοκλῆς καὶ τὸ νεῖκος ταῦτα εἶναι ᾤετο, ἤγουν τὸ πῦρ Ἡράκλειτος, ἢ τὸν νοῦν Ἀναξαγόρας), φησὶν οὖν 'οὐ ταῦτα τύχην ἢ τὸ αὐτόματον ὑπελάμβανον', πρῶτον μὲν ὅτι οὐ διώρισαν αὐτὸ τοῦτο, ἔπειτα τὰ μὲν παρ' αὐτῶν ἀποδιδόμενα αἴτια ὡρισμένα τε καὶ ὡρισμένων ποιητικά (τῆς γὰρ φιλίας ἔργον τὸ συγκρίνειν καὶ τοῦ νείκους τὸ διακρίνειν, καὶ τοῦ κατὰ Ἀναξαγόραν νοῦ ἔργον τὸ βουλεύεσθαι διακρίνειν τὰς ὁμοιομερείας), ἡ δὲ τύχη καὶ τὸ αὐτόματον ἀόριστά τε καὶ ἀορίστων ποιητικά. ἄτοπον οὖν εἴτε μὴ ᾤοντο, εἴτε οἰόμενοι παρελίμπανον· εἴτε γὰρ μὴ ᾤοντο εἶναι τὴν τύχην, ἔδει αὐτὸ τοῦτο εἰπεῖν ὁρῶντας πολλὴν ἐν πᾶσιν οὖσαν τὴν περὶ αὐτῆς δόξαν, εἴτε ᾤοντο μὲν μηδὲν δὲ περὶ αὐτῆς διελέχθησαν, οὐκ ἂν ἐκφύγοιεν τὸ ἔγκλημα. καίτοι μνησθέντες αὐτῆς ἐν τοῖς ἑαυτῶν λόγοις, οὔτε τί ποτέ ἐστιν εἰρήκασιν, οὔτε ποίαν τάξιν ἔχει ἐν τοῖς αἰτίοις.

p. 196a24 Εἰσὶ δέ τινες οἳ καὶ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κόσμων ἁπάντων αἰτιῶνται τὸ αὐτόματον.

Θαυμαστικῶς κεῖται τὸ τοῦδε, ὅτι τῶν τηλικούτων καὶ τῶν τοιούτων καὶ τῶν ἐν τοῖς φανεροῖς θειοτάτων ἄλογον καὶ ἀόριστον αἰτίαν τοῦ εἶναι ἔθεντο. ἀπὸ ταὐτομάτου γάρ φασι γίνεσθαι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν. ἐπειδὴ ἕκαστον τῶν στοιχείων ἰδίαν κίνησιν ἔχει, ἥτις αὐτὸ δια-

---

1 ἁμωσγέπως libri 2 φυσικῶν L: τῶν φυσικῶν Mt 5 ἐπειδὴ L: ἐπεὶ Mt ante ἔννοιαν expunctum αἰτίαν L 6 βραχὺ γοῦν L: πρὸς μικρὸν Mt ἀλλὰ κτλ.] hinc rursus K 7 γέ τι — τύχην om. K εἴποι K 8 διελέχθησαν K: διειλέχθησαν L: διηλέχθησαν Mt ὁ om. L 9. 10 ἡτονοῦν K 11 τὰ μὲν] τὰ ε μ K 13. 14 ἀναξαγονοῦ ἔργον τοῦ L 15. 16 εἴτε μηώϊοντον εἴτε τοιόμενοι K 16 γὰρ μηώϊντο et 18 ώϊντο K 18 δὲ om. L διελέχθησαν L: διηλέχθησαν KMt ἂν L: om. KMt 19 ἑαυτοῦ L 20 οὔτε τί] οὐκ ἔτι K ἔχει τάξιν L ἔχοι M τοῖς L: om. KMt 21 οἳ om. L 21. 22 καὶ τῶν — αὐτόματον om. K κόσμων ἁπάντων (cf. Simplic. p. 331,18) L: κοσμικῶν πάντων Mt et Arist. vulg.: κόσμων πάντων infra p. 293,12 et Arist. cod. E 23 τῶν (ante τοιούτων) om. L 24 θειοτάτων scripsi cl. p. 262,1: θειοτέρων libri τοῦ εἶναι αἰτίαν Mt 25 ἀπαυτομάτου γάρ et mox δινὴν K φησι γενέσθαι L: φασι om. Aristoteles (praeter I qui γίνεσθαί φασι) at cf. Simplic. p. 331,20 27 αὐτὸς L

www.libtool.com.cn

κρίνει τῶν ἄλλων (ἅμα γὰρ τῷ συστῆναι πῦρ κάτω, χωρεῖ εἰς τὸν οἰκεῖον g 5ᵛ
τόπον καὶ διακρίνεται τῶν ἑτερογενῶν· ὁμοίως κἂν ἄνω συστῇ ὕδωρ ἢ
γῆ, εὐθὺς εἰς τὸν οἰκεῖον χωρεῖ τόπον· καὶ τὸ ὕδωρ δὲ πέφυκεν εἰς τὰ 50
κοιλώματα τῆς γῆς συρρεῖν, καὶ ἡ γῆ ὑφίστασθαι τῷ ὕδατι, καὶ ἄμφω
5 ταῦτα τῷ ἀέρι), τὴν τοιαύτην οὖν αὐτῶν κίνησιν, ἐξ ἧς διακρίνονται ἀλλή-
λων, κατὰ τύχην αὐτοῖς γίνεσθαί φασι. καὶ τὴν δίνην δὲ τὴν εἰς τοιαύτην
τάξιν τὸ πᾶν καταστήσασαν ὅπως ἔχει νῦν, ὥστε συμπεριάγεσθαι τῷ οὐ-
ρανῷ τὸν ἀέρα, διὰ τὴν ὀξεῖαν δὲ περιδίνησιν τὴν γῆν ἐν τῷ μέσῳ φυ-
λάττεσθαι, ὁμοίως ἐκ ταὐτομάτου φασὶ γενέσθαι καὶ ἀπὸ τύχης. ὅπερ,
10 φησί, καὶ θαυμάσαι ἐστὶν ἄξιον, ὅπως ἐπὶ ζῴων μὲν | καὶ φυτῶν καὶ g 6ʳ
τῶν μερῶν αὐτῶν οὐδὲν ἀπὸ τύχης φασὶ γενέσθαι οὐδὲ ἀπὸ ταὐτομάτου,
ἐν οἷς ἔστι καὶ τὸ μὴ ἀεὶ ὡσαύτως ἔχειν, τὰ δὲ θειότατα τῶν φανε-
ρῶν καὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα τῷ αὐτομάτῳ ἀνέθεσαν, ὅπερ οὐδὲ τῶν
ὡς ἐπὶ τὸ πολὺ γινομένων ἐστὶν αἴτιον, ἀλλὰ μόνον τῶν ἐπ' ἔλαττον.
15 πολλῆς οὖν ἐμβροντησίας ἂν εἴη τῶν μὲν ἀεὶ ὡσαύτως ἐχόντων τὸ αὐτό-
ματον αἰτιᾶσθαι, τῶν δὲ μὴ ἀεὶ ὡσαύτως ἐχόντων ἀλλ' ἔστιν ὅτε καὶ τοῦ 5
σκοποῦ τοῦ φυσικοῦ ἀποτυγχανόντων, οἷά ἐστι τὰ ἐν γενέσει, τούτων
πρόνοιάν τινα καὶ μὴ τὸ αὐτόματον αἰτιᾶσθαι, εἰ μή τις διὰ τὸ ἀνόητον
τοῦ λόγου ἀπολογούμενος ὑπὲρ αὐτῶν εἴποι ὅτι αὐτόματον ἔλεγον τὴν ὑλι-
20 κὴν αἰτίαν, ὥσπερ καὶ ἡμεῖς φαμεν τὰς πόας ἐκ ταὐτομάτου γίνεσθαι,
ἐπειδὴ μή ἐστι μερικόν τι τῆς γενέσεως αὐτῶν αἴτιον, ἀλλ' ἐκ τῆς ὑλικῆς
αἰτίας τὴν γένεσιν ἔχουσι.

p. 196ᵃ35 Καίτοι γε εἰ οὕτως ἔχει, τοῦτό γε αὐτὸ ἄξιον ἐπιστά- 10
σεως, καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ αὐτοῦ.

25 Εἰ οὕτως ἔχει ταῦτα, φησίν, ἄξιόν ἐστιν αὐτὸ τοῦτο ἐπιστάσεως διὰ
τὸ ἄλογον τοῦ πράγματος, καὶ οὐκ ἔδει αὐτοὺς οὕτως ἀνεξετάστως παρελ-
θεῖν, ἀλλ' εἰπεῖν τι περὶ τοῦ αὐτομάτου τούτου, τί ποτέ ἐστιν ὃ τῶν τη-
λικούτων ἐστὶν αἴτιον. 15

p. 196ᵇ3 Ἐν δὲ τοῖς οὐκ ἀπὸ τύχης πολλὰ συμβαίνοντα ἀπὸ
30 τύχης.

Οὐκ ἀπὸ τύχης φησὶ τὰ ἐν γενέσει καὶ φθορᾷ· ταῦτα γὰρ ἐκεῖνοι

---

1 τῷ] τὸ L κάτω] ἄνω L 2. 3 καὶ διακρίνεται—τόπον om. add. marg. M
2 κἂν] εἰ L στῇ L 3 εὐθεὶς K 4 κυκλώματα et mox ὑφίσταται L
5 τὰ τοιαῦτα οὖν L διακρίνοντα et 6 αὐτῆς γενέσθαι L 7 νῦν] νοῦν L 9 φασὶ]
φ̄ K 10 φησί K: φασὶ LMt ἐπὶ ζῶ L 13 τῶν αὐτομάτων L 14 γιγνομένω
(sic) K μόνον K: μέσον L: μόνων Mt ante ἐπ' add. ὡς Mt ἐφέλαττον
(constanter sic vel ἐφέλλαττον) K 15 ἐμβροτησίας L 17 ἐν τῇ γενέσει L
19 λέγων L 20 τὰς] τοὺς L ποίας Mt 23. p. 266, 17 Καίτοι—πολὺ
om. K 23 καίτοι γε L et Arist. cod. I: καίτοι (om. γε) Mt ἔχοι τοῦτό τε
αὐτὸ L 24 τι om. L αὐτοῦ LM (ita etiam me teste Arist. cod. E): αὐτοῦ τού-
του t cf. Diels *z. Textgesch.* p. 20 25 φασιν L 29 οὐκ om. t 31 φασὶ L

www.libtool.com.cn

οὐκ ἀπὸ τύχης εἶναι ἔλεγον. ἐν οἷς οὖν ἐκεῖνοι λέγουσι μὴ εἶναι ἀπὸ g 6r
τύχης, πολλὰ φαίνονται ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου (οἷά ἐστι τὰ παρὰ
φύσιν τικτόμενα· τὰ γὰρ ἀπὸ τύχης ἐπ' ἔλαττον, τοιαῦτα δὲ τὰ παρὰ
φύσιν), ἐν δὲ τοῖς οὐρανίοις οὐδέν ἐστιν ἐπ' ἔλαττον, ἅπερ ἐκεῖνοί φασιν 20
5 ἀπὸ τύχης.

p. 196ᵇ5 Εἰσὶ δέ τινες οἷς δοκεῖ εἶναι μέντοι ἡ τύχη, ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ ὡς θεῖόν τι οὖσα καὶ δαιμονιώτερον.

Ἕτεροι δέ τινες, φησίν, εἶναι μέντοι τὴν τύχην λέγουσι, θεῖόν τι ἢ δαιμόνιον οὖσαν χρῆμα, ἄδηλον δὲ εἶναι τοῦτο τῇ ἡμετέρᾳ διανοίᾳ, 25
10 καὶ ὁρίζονται ταύτην ἀπὸ τῆς ἑαυτῶν ἀγνοίας, τύχην λέγοντες εἶναι τὸ ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ· τοῦτο δὲ οὐκ ἔστιν εἰπεῖν τί ποτέ ἐστιν ἡ τύχη, ἀλλὰ τί οὐκ ἔστιν. ὥστε σκεπτέον καὶ τί ἑκάτερον. ἐπειδὴ ἔδειξεν ὅτι ἔστι, δεῖ, φησίν, ἐπὶ τὰ λοιπὰ τῶν προβλημάτων μετελθεῖν, καὶ δεῖξαι τί ἐστιν ἑκάτερον καὶ τί διαφέρουσι καὶ ἐν ποίοις τῶν αἰτίων
15 αὐτὰ ἀνακτέον.

p. 196ᵇ10 Πρῶτον μὲν οὖν, ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινόμενα, τὰ δὲ ὡς ἐπὶ τὸ πολύ.

Δείξας ὅτι ἔστιν ἡ τύχη τῷ λῦσαι τὰς φερομένας εἰς αὐτὴν ἀπορίας 33
καὶ τὴν τῶν πραγμάτων φύσιν καὶ τὰς κοινὰς πάντων ἐννοίας μαρτυρά-
20 μενος, μέτεισιν ἐπὶ τὰ προτεθέντα προβλήματα, καὶ ζητεῖ τί ποτέ ἐστιν ἡ 35
τύχη καὶ τὸ αὐτόματον. πρότερον δὲ διδάσκει τί ὑπάρχει αὐτοῖς κοινόν, ἔπειτα τί διαφέρουσιν ἀλλήλων, καὶ ἐπειδὴ ἔστι τι τὸ κοινῶς λεγόμενον αὐτόματον, ὃ κατηγορεῖται κατά τε τύχης καὶ κατὰ τοῦ ἰδίως λεγομένου αὐτομάτου, διαλέγεται καὶ περὶ αὐτοῦ· εἶτα ἐφεξῆς περὶ τοῦ ἰδίως λεγομέ-
25 νου αὐτομάτου. ἵνα οὖν εὕρῃ τί ποτέ ἐστιν ἡ τύχη καὶ τὸ αὐτόματον, ἐπειδὴ πολλαχοῦ σαφέστερά ἐστι τὰ αἰτιατὰ τῶν αἰτίων καὶ ἐκ τῶν αἰτιατῶν γινώσκομεν τὰ αἴτια, διὰ τοῦτο πρῶτον διδάσκει τίνα λέγεται εἶναι ἀπὸ 40
τύχης καὶ ἀπὸ ταὐτομάτου· δῆλον γὰρ ὅτι εἰ ἔγνωμεν τίνα ποτέ ἐστι ταῦτα, ἐκ τούτων καὶ εἰς τὸ ποιητικὸν αὐτῶν αἴτιον ἀναχθῆναι δυνάμεθα.
30 ἵνα οὖν γνῷ τίνα ἐστὶ ταῦτα, λαμβάνει τῶν γινομένων πλείους διαιρέσεις,

---

2 φαίνοντα L οἷα L: οἷ• (charta perforata) M: οἷόν t 6 εἶναι post μέντοι ponit M μέντοι LM: μὲν αἰτία e vulg. Arist. t: scribendum μέν τι ἄδηλον M
8 δέ om. L. μέντοι LM: μέν τι recte t 12 τί (post καὶ) L: τί ἐστιν Mt
14 τί ἐστιν L: τί τέ ἐστιν Mt ποίοις τῶν αἰτίων L: ποίαις τῶν αἰτιῶν Mt
18 hinc rursus K 19 ἐννοίας] αἰτίας L 19. 20 μαρτυράμενος L: μαρτυράμενον KMt 20 προτιθέντα L 22 τι (post ἔστι) om. L 23 τε] τι τῆς L
κατὰ (post καὶ) om. Mt 26 ἐπεὶ Mt αἰτιατὰ] αἴτια K 27 διδάσκει] γινώσκει L εἶναι om. L 28 καὶ τίνα ἀπὸ ταυτομάτου L αὐτομάτου Mt
γνῶμεν L 29. 30 ἐκ τούτων—ταῦτα om. L

www.libtool.com.cn

ἐξ ὧν συνάγει τί ἐστιν ἑκάτερον καὶ τὸν ὁρισμὸν αὐτῶν ἀποδίδωσι. τῶν g 6r
γὰρ γινομένων, φησί, τὰ μὲν ἀεὶ ὡσαύτως γίνεται, τὰ δὲ ὡς ἐπὶ πολύ,
τὰ δὲ ὡς ἐπ' ἔλαττον. ἀεὶ μὲν γὰρ ὡσαύτως γίνεται τὰ οὐρανία· ἀεὶ γὰρ
ὁ ἥλιος κατὰ τήνδε μὲν ἡμέραν ἐν Κριῷ γίνεται, κατὰ τήνδε ⟨δὲ⟩ ἐν
5 Ταύρῳ. καὶ ἐπὶ πάντων ὁμοίως τῶν οὐρανίων. ἐπὶ πολὺ δὲ γίνεται τὰ 45
φυσικά· ὡς ἐπὶ πολὺ γὰρ πενταδάκτυλον ἡ φύσις ποιεῖ. ἔστι δὲ καὶ τὰ
ἀντικείμενα [ἔχοντα] τούτοις τὰ ἐπ' ἔλαττον γινόμενα· ἐπεὶ γάρ ἔστι τινὰ
ὡς ἐπὶ τὸ πλεῖστον γινόμενα καὶ μὴ ἔχοντα ἀναγκαίαν ἀεὶ τὴν ἔκβασιν,
ἅπερ ἐστὶ τὰ φυσικὰ καὶ τὰ τεχνητά (ὡς ἐπὶ τὸ πλεῖστον γὰρ καὶ ἡ φύσις
10 καὶ ἡ τέχνη τοῦ σκοποῦ τυγχάνει), ἐξ ἀνάγκης δεῖ εἶναί τινα καὶ ἐπ'
ἔλαττον, ἃ τὴν ἀναγκαίαν ἐκείνων γένεσιν διακόπτει. παραλιμπάνει δὲ τὰ
ἐπ' ἴσης ὁ Ἀριστοτέλης, ἅ τινα ἐπὶ μόνῃ τῇ προαιρέσει τῇ ἡμετέρᾳ τὸ 50
εἶναι ἔχει, ὡς προδήλου ὄντος ὅτι τὰ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου τῶν
οὐκ ἐφ' ἡμῖν εἰσι, τὰ δὲ ἐπ' ἴσης τῶν ἐφ' ἡμῖν. ἐπεὶ οὖν τὰ ἐξ ἀνάγκης
15 καὶ τὰ ἐπὶ πολὺ καὶ τὰ ἐπ' ἔλαττον τῶν οὐκ ἐφ' ἡμῖν, καὶ τὰ ἀπὸ τύχης
δὲ τῶν οὐκ ἐφ' ἡμῖν, ζητεῖ ἐν ποίῳ τούτων θετέον τὴν τύχην καὶ τὸ αὐ-
τόματον. καὶ οὐκ ἄν τις ἀπορήσειε, διὰ τί μὴ τῶν ἀδυνάτων ἐμνήσθη·
δῆλον γὰρ ὅτι τῶν γινομένων ποιεῖται τὴν διαίρεσιν, τὸ δὲ ἀδύνατον οὐκ
ἂν γένοιτο· ὥστε εἰκότως οὐκ ἐμνή|σθη τῆς ἀδυνάτου ὕλης. ἐν μὲν οὖν g 6v
20 τοῖς ἐξ ἀνάγκης καὶ ἀεὶ γινομένοις οὐκ ἄν τις θείη τὴν τύχην καὶ τὸ
αὐτόματον· οὐδεὶς γὰρ ἂν εἴποι κατὰ τύχην ἐν Κριῷ γίνεσθαι τὸν ἥλιον,
ἢ τὴν σελήνην κατὰ τύχην τοὺς φωτισμοὺς δέχεσθαι, ἀλλ' οὐδ' ἐκ ταὐ-
τομάτου καὶ οὐ κατά τινα λόγον. ἀλλ' οὐδὲ ἐν τοῖς ὡς ἐπὶ τὸ πλεῖστον
θετέον τὴν τύχην καὶ τὸ αὐτόματον· τίς γὰρ ἂν εἴποι ἐκ τύχης ἢ ἐκ ταὐ-
25 τομάτου Σωκράτην πενταδάκτυλον γενέσθαι; λείπεται οὖν ἐν τοῖς ἐπ' 5
ἔλαττον τιθέναι τὴν τύχην καὶ τὸ αὐτόματον· καὶ γὰρ τὰ ἀπὸ τύχης συμ-
βαίνοντα σπάνιά ἐστιν ἢ ἐπ' ἔλαττον, καὶ τὰ σπάνια καὶ ἐπ' ἔλαττον ἀπὸ
τύχης καὶ ἀπὸ ταὐτομάτου. ἔχομεν οὖν ἐκ τῆς διαιρέσεως ταύτης, ὅτι ἡ
τύχη καὶ τὸ αὐτόματον ἐπ' ἔλαττόν ἐστι. πάλιν τῶν γινομένων τὰ μὲν
10 ἕνεκά του γίνεται (τοιαῦτα δέ ἐστι καὶ τὰ φυσικὰ πάντα καὶ τὰ τεχνητά),

---

τε
. τι (h. e. τί τέ) L 2 γὰρ om. t et, ut videtur, primitus M 2. 3 τὰ δὲ ὡς ἐπὶ
τολύ — ὡσαύτως γίνεται om. K 2 ἐπὶ τὸ πολὺ constanter L 3 ὡς om. L

ἀεὶ γὰρ LK: ἀεὶ μὲν γὰρ Mt 4 τήνδε μὲν ἡμ K: τήνδε μὲν τὴν (om. ἡμέραν) L: τὴν
ἡμέραν τήνδε Mt δὲ addidi 5 οὐρανίων· ὡς ἐπὶ τὸ πολὺ δὲ γίνονται L

γὰρ om. L ἡ om. K 7 ἀντικείμενα M: ἀντικείμ K: ἀντικειμένως t et, si
ilentio fides, L: equidem illud recepi et proximum ἔχοντα (quod librario aberranti ad
. 8 deberi videtur) delevi cl. Themist. p. 178,27, ex quo et sequentia sumpsit Philo-
ponus τινὰ om. superscr. L 9 τὰ τεχνητὰ καὶ τὰ φυσικὰ L 10 ἡ τέχνη
: τέχνη KMt δεῖ] δὲ L καὶ τὰ ἐπ' L 11 παραλιμπάνει κτλ.] cf. Simplic.
. 334,19 12 et 14 ἐφίσης K: ἐπίσης ceteri 13 εἶναι] εἰ K 14 οὐκ ἐφη-
μῖν L 16 τούτον K 17 ἀπορήσῃ M 19 γένηται· ὥστε εἰκότος L
9. 20 τοῖς ἐξ ἀνάγκης οὖν L 20 γιγνομένοις K 24 ἐκ τύχης LK: ἀπὸ τύχης
lt at cf. Themist. p. 179,5 27 ἢ] καὶ L 29 τῷ ἐπ' ἔλαττόν L 30 ἕνε-
εἰ K ἐστι τά τε φυσικὰ (cf. p. 268,10) L

www.libtool.com.cn

τὰ δὲ οὐδενὸς ἕνεκα, οἷον ὡς τὸ κινεῖν τὴν χεῖρα διαλεγόμενον ἢ τὸ ἕλκειν g 6v
τῆς κεφαλῆς ἢ τοῦ γενείου τρίχας· ταῦτα γὰρ συνηθείᾳ τινὶ οὐδενὸς ἕνεκα γίνεται. τούτων οὖν ἐν τοῖς ἕνεκά του θετέον αἰτίαν τὴν τύχην, οὐκ ἐν τοῖς οὐδενὸς ἕνεκα γινομένοις, ἐν τοῖς ἕνεκα δέ του ἡ τύχη καὶ τὸ αὐτόματον οὐχ ὡς αὐτῶν ἕνεκά του ποιούντων, ἀλλ' ὡς παρακολουθούντων τοῖς ἕνεκά του. ἔχομεν οὖν ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον καὶ ἐν τοῖς ἕνεκά του διὰ τὴν δευτέραν διαίρεσιν, καὶ ἐν τοῖς ἐπ' ἔλαττον διὰ τὴν προτέραν. διαιρεῖ δὲ καὶ τὸ ἕνεκά του εἴς τε τὰ κατὰ προαίρεσιν καὶ εἰς τὰ μὴ κατὰ προαίρεσιν· κατὰ προαίρεσιν μέν εἰσι τὰ ἐφ' ἡμῖν πάντα, οὐ κατὰ προαίρεσιν δὲ τά τε φυσικὰ καὶ τὰ τεχνητά· ὑπὸ μὲν οὖν τὰ κατὰ προαίρεσιν ἀνάξεις τὴν τύχην, ὑπὸ δὲ τὰ μὴ κατὰ προαίρεσιν τὸ αὐτόματον. τὰ γὰρ τεχνητὰ ἐκ διανοίας μὲν γίνεται, ἐκ προαιρέσεως δὲ οὔ· ἡ γὰρ προαίρεσις αἵρεσίς ἐστι τοῦδε πρὸ τοῦδε, ὁ δὲ τεχνίτης οὐχ αἱρεῖται ὃ βούλεται, ἀλλ' ὅπερ ἂν ἡ τέχνη ἀπαιτῇ, κἂν βουλεύηται δὲ ἔστιν ὅτε, οὐχ ὡς τεχνίτης βουλεύεται· ἡ γὰρ βουλή, ὡς αὐτός φησι, γίνεται δι' ἔνδειαν φρονήσεως. ὥστε ἐὰν παρῇ ἡ τέχνη, βουλῆς οὐ δεῖ. ὥστε οὐδὲ τῶν ἐφ' ἡμῖν ἡ τέχνη· τὰ γὰρ ἐφ' ἡμῖν κατὰ προαίρεσιν, ὡς τὸ λούσασθαι καὶ μή, καὶ τὰ παραπλήσια. τρίτῃ κέχρηται διαιρέσει, μᾶλλον δὲ τὸ ἕνεκά του ἄλλως ἐπιδιαιρεῖ· τῶν γὰρ ἕνεκά του, φησί, τὰ μὲν ἀπὸ διανοίας γίνεται τὰ δὲ ὑπὸ φύσεως, ὑπὸ διανοίας μὲν τά τε κατὰ προαίρεσιν καὶ κατὰ τέχνην (ἐπὶ πλέον γὰρ ἡ διάνοια τῆς προαιρέσεως), ὑπὸ φύσεως δὲ τὰ φυσικά. πάντα δὲ ἕνεκά του· ἥ τε γὰρ φύσις ἕνεκά του ποιεῖ (τυχεῖν γὰρ θέλει τοῦ φυσικοῦ εἴδους), καὶ ἡ διάνοια ὁμοίως. καὶ γὰρ καὶ τὰ κατὰ τέχνην καὶ τὰ κατὰ προαίρεσιν ἕνεκά του γίνεται· οἷον λούομαι ἵνα ὑγιάνω, καὶ ἀναγινώσκω ἵνα ἐλλόγιμος γένωμαι. ἀνάξεις οὖν ὑπὸ μὲν τὰ κατὰ διάνοιαν τὴν τύχην, ὑπὸ δὲ τὰ κατὰ φύσιν τὸ αὐτόματον· τῶν γὰρ κατὰ διάνοιαν καὶ τῶν κατὰ φύσιν ἕνεκά του γινομένων, ὅταν μὲν τοῦ οἰκείου ταῦτα τύχωσι σκοποῦ, οὐδὲν λέγεται συμβεβηκέναι ἀπὸ τύχης ἢ ἀπὸ ταὐτομάτου, ὅταν δὲ ἢ μὴ τοῦ σκοποῦ ταῦτα τύχωσιν ἢ καὶ τυχόντων τῇ προαιρετικῇ καὶ φυσικῇ ὁρμῇ ἔξωθέν τι κατὰ συμβεβηκὸς παρακολουθήσῃ, ὃ μηδαμῶς προέκειτο τῷ σκοπῷ τῆς φύσεως ἢ τῆς προαιρέσεως, τοῦτο

---

2 τρί M: τρίχα K 4 ἕνεκα δέ του KM: ἕνεκά του δὲ (L)t 4. 5 αὐτόματον ἐν τοῖς ἕνεκά του M 5 ἕνεκά τι ποιούντων L παρακολουθουσῶν K: παρακο[illegible]σαν M 6 ἐν om. superscr. K 7 δευτέραν Mt: ὡ (cf. ad p. 249,5) K: κ[illegible]κὴν L 9 οὐ] καὶ οὐ L 12 μὲν om. L 13 οὐκαιρεῖται K 14 τέχνη [illegible] τύχη Mt κἀνβουλέβεται K 14. 15 τεχνι M: τεχνίτας t 15 φησι] cf. Eth. Nic[illegible] Γ 5 p. 1112ᵃ34 sqq. 15. 16 φρονήσως (sic) compend. M et t 16 ἐὰν LK: ἂν [illegible] 17 ἡ] ὁ K 18 κέχριται K διαίρεσις L 19 ἀλλ' ὡς K φησί om. M[illegible] ἀπὸ] fort. ὑπὸ 20 ὑπὸ φύσιν L 20. 21 ὑπὸ διανοίας — φύσεως om. L κατὰ KM: καὶ τὰ κατὰ t 24 τὰ om. L 25 γίνομαι ante corr. L 2[illegible] τῶν κατὰ φύσιν] τὴν τύχην· ὑπὸ δὲ K γινομένω K ὅταν μὲν οὖν M 28 ταῦτα om. L 29 τῶν τυχόντων L: τῶν .... ante corr. M 30 προαιρ[illegible]τικῇ τε καὶ L παρακολουθήσει LK 31 προὔκειτο Mt

www.libtool.com.cn

λέγεται ἢ κατὰ τύχην συμβῆναι εἰ τῇ προαιρετικῇ ὁρμῇ ἐπηκολούθησεν, g 6v
ἢ ἐκ ταὐτομάτου εἰ τῇ φυσικῇ. οἷον προῆλθέ τις λουσόμενος, εἶτα πρὶν λούσασθαι ὑπαντήσας ὃν οὐ προσεδόκησεν ὑπέδειξεν αὐτῷ πιπρασκόμενα βιβλία, ἅπερ ἐζήτει μὲν πάλαι ἀγοράσαι οὐκ ἂν δὲ ἤλπισε νῦν εὑρηκέναι, καὶ περιφρονήσας τοῦ λουτροῦ ἀπῆλθεν ἐπὶ τὴν ὠνὴν τῶν βιβλίων. λέγεται οὖν ἡ ὠνὴ τῶν βιβλίων κατὰ τύχην γενέσθαι· ἐπηκολούθησε γὰρ ὁρμῇ προαιρετικῇ τῇ ἐπὶ τὸ λουτρὸν πρόοδῳ. ἐνταῦθα τοῦ μὲν σκοποῦ ἡ προαί- 35
ρεσις ἀπέτυχεν, ἕτερον δέ τι τέλος τῇ τοιαύτῃ ὁρμῇ κατὰ συμβεβηκὸς ἐπηκολούθησε. πάλιν προελθών τις λούσασθαι κατενεχθέντος λίθου ἐπλήγη, καὶ οὐκ ἂν ἔτι ἐλούσατο. εἰ δὲ προέλθοι τις ἐπὶ τῷ διατρῖψαι εἰς ἀγοράν, εἶτα ἐλθὼν περιτύχοι ἐκεῖ τῷ ἐξ ἀποδημίας ἐλθόντι φίλῳ ὃν οὐκ ἂν ἤλπισε, τῷ σκοπῷ καὶ τῷ τέλει τῆς προαιρέσεως λέγεται κατὰ συμβεβηκὸς ἐπηκολουθηκέναι τὰ ἀπὸ τύχης. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν· οἷον ἔπεσε λίθος ἐξ ὕψους οὐκ ἀσφαλῶς ᾠωρημένος, καὶ κατηνέχθη ὑπὸ τῆς 40
φυσικῆς ὁρμῆς εἰς τὸν οἰκεῖον καὶ κατὰ φύσιν τόπον, καὶ κατενεχθεὶς προσερράγη τισὶ στερεοῖς σώμασι καὶ ἐθραύσθη τὰς ἐξοχάς καὶ γέγονεν εἰς καθέδραν ἐπιτήδειος· ἐκ ταὐτομάτου λέγεται γεγενῆσθαι τοῦτο, τῇ φυσικῇ ὁρμῇ καὶ τῷ σκοπῷ τῆς φύσεως κατὰ συμβεβηκὸς παρακολουθῆσαν. τὸ δὲ γενέσθαι ἑξαδάκτυλον, καὶ ἁπλῶς πάντα τὰ τέρατα, ἐκ ταὐτομάτου μὲν διὰ τὸ ὁρμῇ φυσικῇ ἐπακολουθῆσαι, οὐ τῷ τέλει δὲ τῷ φυσικῷ ἐπηκολούθησεν, 45
ἀλλ' ἐκείνου διαμαρτούσης τῆς φύσεως συνέβη ταῦτα γενέσθαι· ὥστε καὶ ἐκ τούτων ἔχομεν, ὅτι τῶν κατὰ συμβεβηκὸς αἰτίων ἡ τύχη καὶ τὸ αὐτόματον.

Τὰ δεδειγμένα οὖν ἐκ πάντων τούτων συναγαγὼν ὁρίζεται τὴν τύχην, ὅτι ἔστιν αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς ἐπ' ἔλαττον κατὰ προαίρεσιν τῶν ἕνεκά του. ἵνα δὲ σαφέστερος γένηται ὁ ὁρισμός, δεῖ οὕτως εἰπεῖν ὑπερβιβάσαντα τὴν λέξιν, ὅτι 'ἔστιν ἡ τύχη τῶν ἕνεκά του ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἐπ' ἔλαττον γινομένων αἰτία κατὰ συμβεβηκός'. ὁμοίως δὲ καὶ τοῦ αὐτομάτου τὸν ὁρισμὸν ἀποδώσει, λέγων ὅτι 'ἔστι τὸ 50
αὐτόματον τῶν ἕνεκά του ἐν τοῖς κατὰ φύσιν τῶν ἐπ' ἔλαττον γινομένων αἰτία κατὰ συμβεβηκός'. ὡς γὰρ εἶπον, ὅταν μὲν τοῖς κατὰ προαίρεσιν ἄλλα τινὰ ἀπαντήσῃ παρὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν, τούτων τῆς ἐκβάσεως αἰτία λέγεται εἶναι ἡ τύχη, ὅταν δὲ τοῖς κατὰ φύσιν, τὸ αὐτόματον. ἐν τοῖς ἕνεκα δέ του, ὅτι τοῖς ἕνεκά του κατὰ συμβεβηκὸς παρέπεται τῇ φύσει

---

2 εἴτε φυσικῇ K 3 λούσασθαι (sic) K ὃν] ἂν K αὐ M 6 γεγενῆσθαι L γὰρ] οὖν L 6. 7 ὁρμὴ προαιρετικὴ (προαιρετικὴ etiam M) K qui saepissime huiusmodi errores admisit 7 τῇ om. K 8 τῇ om. Mt 10 ἂν om. (L)t 11 περιτύχῃ M 12 τῶν σκοπῶν L κατὰ τὸ συμβεβηκὸς Mt 13 ἐπακολουθηκέναι L ὁμοίως δὲ L 14 ἐωρημένος K 15 τὸν] τὸ L 16 τισὶ] τισις (sic) K στερροῖς Mt ἐθραύθη L 19 τὰ om. Mt 20 ἐπηκολούθησαν L 22 αἰτιῶν libri τὸ om. K 23 ἐκ τούτων πάντων L καὶ τὴν L 24 ἐπ' ἔλαττον om. Aristoteles (at superscr. cod. E) 25 του] οὕτως L 27 αἰτία t: compend. αἰτ$^{\alpha}$' M: αἴτια K: αἰτίων L. eadem varietas v. 30 28 ἀποδώσει] cf. c. 6 30 εἴπων (sic) L 31 ἀπαντῇ M 33 ἕνεκα δέ του KM: ἕνεκά του δὲ (L)t cf. p. 268,4

www.libtool.com.cn

καὶ τῇ προαιρέσει. τούτων δὲ τῶν ὁρισμῶν ἐὰν ἀφέλῃς τοῦ μὲν τὸ 'ἐν τοῖς | g 6ᵛ
κατὰ προαίρεσιν' τοῦ δὲ τὸ 'ἐν τοῖς κατὰ φύσιν', ποιήσεις τὸν τοῦ κοινοῦ g 7ʳ
αὐτομάτου ὁρισμόν, ὃς καὶ κατὰ τῆς τύχης καὶ κατὰ τοῦ ἰδίως λεγομένου αὐτομάτου κατηγορεῖται. τί οὖν διαφέρει ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἄλλων κατὰ συμβεβηκὸς αἰτίων λεγομένων, οἷον τοῦ φαλακροῦ ἢ τοῦ λευκοῦ; λέγεται γὰρ ὁ φαλακρὸς ἢ ὁ λευκὸς οἰκοδομῆσαι ἢ αἴτιος εἶναι τοῦ υἱοῦ, εἰ ὁ πατὴρ τοιοῦτος εἴη καὶ ὁ οἰκοδόμος. ὅτι τῶν ἄλλων κατὰ συμ- 5
βεβηκὸς αἰτίων λεγομένων ἕκαστον ἕτερον ὂν παρὰ τὸ καθ' αὑτὸ αἴτιον ἐκείνῳ ἐπισυμβέβηκε, καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ τέλους τὸ μὲν καθ' αὑτὸ λέγεται αἴτιον τὸ δὲ κατὰ συμβεβηκός (τῆς γὰρ οἰκίας καθ' αὑτὸ μὲν ὁ τέκτων κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρός, ἕτερος δὲ τοῦ τέκτονος ὁ φαλακρὸς τῷ λόγῳ καὶ συμβέβηκεν ὁ φαλακρὸς τῷ τέκτονι), ἐπὶ δὲ τῆς τύχης καὶ τοῦ αὐτομάτου ἔμπαλιν· ἓν γὰρ καὶ ταὐτὸν αἴτιον ἄλλου μὲν τέλους ἐστὶ καθ' αὑτὸ αἴτιον, ἄλλου δὲ κατὰ συμβεβηκός. ἡ γὰρ εἰς ἀγορὰν πρόοδος 10
μία καὶ ἡ αὐτὴ οὖσα καὶ τῷ λόγῳ καὶ τῷ ἀριθμῷ, τῆς μὲν εἰς ἀγορὰν διατριβῆς καθ' αὑτό ἐστιν αἰτία, τοῦ δὲ περιτυχεῖν τῷ φίλῳ κατὰ συμβεβηκός· καὶ ἡ φορὰ τοῦ λίθου ἡ ἐπὶ τὸ κάτω τοῦ μὲν ἐν τῷ οἰκείῳ τόπῳ γενέσθαι καθ' αὑτὸ αἰτία, τοῦ δὲ πλῆξαι τὸν παριόντα ἢ γενέσθαι τὸν λίθον πρὸς καθέδραν ἐπιτήδειον κατὰ συμβεβηκός. ὥστε ἐνταῦθα μὲν δύο τὰ τέλη τὸ δὲ αἴτιον ἕν, ἐκεῖ δὲ ἔμπαλιν δύο μὲν τὰ αἴτια κατὰ τὴν ἑαυτῶν φύσιν ἓν δὲ τὸ τέλος· ἄλλος γὰρ ὁ τοῦ φαλακροῦ λόγος, καὶ ἄλλος 15
ὁ τοῦ οἰκοδόμου. ὥστε τὴν τύχην ἐρεῖς εἶναι γενικώτερον μὲν κατὰ συμβεβηκὸς αἴτιον ἐνεργοῦσαν περί τι περὶ ὃ μὴ προέθετο ἐνεργῆσαι, εἰδικώτερον δὲ καὶ προσεχέστερον μυρία καὶ ἀόριστα· καὶ γὰρ ἡ ἐπὶ λουτρὸν πρόοδος τοῦ αὐτοῦ δύναιτ' ἂν αἰτία εἶναι καὶ ἡ ἐπὶ ἱερὸν καὶ ἄλλα μυρία. ὡσαύτως καὶ ἐπὶ τοῦ αὐτομάτου γενικώτερον μὲν τὴν φύσιν ἀποδώσεις πάλιν κατὰ συμβεβηκὸς ἐνεργοῦσαν περί τι ὃ μὴ σκοπὸς καὶ τέλος ἐστὶ τῶν φυσικῶν λόγων, εἰδικώτερον δὲ ὡσαύτως μυρία καὶ ἀόριστα τὰ αἴτια.

Πρῶτον μὲν οὖν, ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινόμενα. ἡ πρώτη διαίρεσις ἡ εἰς τὰ ἐξ ἀνάγκης καὶ ἀεί, καὶ τὰ ἐπὶ πολύ, καὶ τὰ ἐπ' ἔλαττον.

p. 196ᵇ13 Ἀλλ' ἐπειδὴ ἔστι τινὰ ἃ γίνεται καὶ παρὰ ταῦτα.

Παρὰ τὰ ἐξ ἀνάγκης καὶ τὰ ὡς ἐπὶ πολύ, ταῦτα δέ ἐστι τὰ ἐπ' ἔλατ-

---

1 τῶν ὁρισμῶν LK: τὸν ὁρισμὸν Mt τὸ ἐν Mt: om. L: τὸν τὸ ἐν ex τοῦ τὸ ἐν corr. K
2 προαίρεσιν — κατὰ om. K τὸν] τὸ L: om. K 9 ἐκεῖνω (sic) K 13 ταυ— τὸν L: ταυτὸ K: τὸ αὐτὸ Mt τέλους K: τέλος LMt 16 παρατυχεῖν L
17. 19 καὶ ἡ φορὰ — συμβεκηκός om. L 17 φορὰ scripsi: φθορὰ libri 18 αἴ— τια K 21 αὐτῶν L 23. 24 et 28 ἰδικώτερον LK 24 μυρία] μορια (sic) K
ἐπὶ τὸ λουτρὸν Mt 25 αἴτια K 28 τὰ om. Mt 29. 30 γινόμενα M 30 ἐπ' πολύ scripsi cum L (ubi ὡς ἐπὶ πολὺ et in proximis ὡς ἐπ' ἔλαττον): ἐπίσης (ἐφίσης K) KM
at cf. p. 267,2 sqq. 32 τινὰ om. Arist. cod. E: ἐστι et ἃ om. cod. F 32. p. 271,1 καὶ παρὰ ταῦτα — τύχης τοιαῦτα om. K

www.libtool.com.cn

τον. τά τε γὰρ τοιαῦτα ἀπὸ τύχης καὶ τὰ ἀπὸ τύχης τοιαῦτα. g 7r
ἐπειδή ἔστι, φησί, τὰ ἐπ' ἔλαττον, ἔστι δηλονότι καὶ τὰ ἀπὸ τύχης καὶ
τοῦ αὐτομάτου· ἀντιστρέφουσι γὰρ ταῦτα ἀλλήλοις, καὶ τὰ ἐπ' ἔλαττον ἐκ 25
ταὐτομάτου ἢ ἀπὸ τύχης, καὶ τὰ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου ἐπ' ἔλατ-
5 τον. ἰστέον δὲ ὅτι οὐ πάντως τὰ ἐπ' ἔλαττον ἀπὸ τύχης εἰσὶν ἢ ἀπὸ
ταὐτομάτου· οὐδὲ γὰρ εἴ τις ὄψον τι σπανίως ἐσθίει δι' ἔνδειαν ἢ διὰ τὸ
μὴ ἥδεσθαι αὐτῷ, ἀπὸ τύχης ἂν ὁ τοιοῦτος ἐσθίοι τὸ ὄψον, ὅς γε αὐτὸς
ἑκὼν ὠνησάμενος ἔφαγεν. καὶ οἱ μεγάλοι πάνυ μαργαρῖται τῶν ἐπ' ἔλατ-
τόν εἰσιν εὑρισκομένων, ἀλλ' ὅμως οὐδὲ οὗτοι ἐκ ταὐτομάτου γεγόνασιν
10 ἀλλ' ἀπὸ φύσεως, οὔτε ὁ ἀγρεύσας ἀπὸ τύχης ἤγρευσεν· ἐπὶ τούτῳ γὰρ 30
ἦλθεν, ἐπὶ τῷ μαργαρίτας εὑρεῖν. καὶ πολλὰ τοιαῦτά ἐστιν ἕτερα.

p. 196ᵇ17 Τῶν δὲ γινομένων τὰ μὲν ἕνεκά του γίνεται, τὰ δὲ οὔ·
τούτων δὲ τὰ μὲν κατὰ προαίρεσιν, τὰ δὲ οὐ κατὰ προαίρεσιν,
ἄμφω δὲ ἐν τοῖς ἕνεκά του.

15 Ἡ δευτέρα διαίρεσις ἡ εἰς τὰ ἕνεκά του καὶ εἰς τὰ μηδενὸς ἕνεκα.
ἄμφω δέ, φησί, τήν τε τύχην καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του θετέον.
σημείωσαι δὲ ὅτι, διελὼν τὸ ἕνεκά του εἰς τὰ κατὰ προαίρεσιν καὶ μή, οὐκ 35
ἀνήγαγεν ὑπὸ ταῦτα τὴν τύχην καὶ τὸ αὐτόματον, ἀλλ' εἰς τὸ γένος·
ἄμφω γάρ φησιν ἐν τοῖς ἕνεκά του. ἢ ἐν τοῖς ἕνεκά του ἀκουσόμεθα
20 τὰ κατὰ προαίρεσιν καὶ τὰ μὴ κατὰ προαίρεσιν, ὑφ' ἃ ἀνάγεσθαί φησι
τὴν τύχην καὶ τὸ αὐτόματον, τὴν μὲν εἰς τὰ κατὰ προαίρεσιν, τὸ δὲ εἰς
θάτερα. μὴ κατὰ προαίρεσιν δὲ λέγεται τά τε φύσει καὶ τὰ τέχνῃ γι-
νόμενα.

p. 196ᵇ19 Ὥστε δῆλον ὅτι καὶ ἐν τοῖς παρὰ τὸ ἀναγκαῖον καὶ τὸ
25 ὡς ἐπὶ πολὺ ἔστιν ἔνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του. 40

Λαβὼν ἐκ τῶν διαιρέσεων τῶν δύο ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον καὶ
ἐν τοῖς ἐπ' ἔλαττον καὶ ἐν τοῖς ἕνεκά του, συλλογίσασθαι βούλεται τὸ ἐκ

---

1 post prius τύχης addit καὶ τοῦ αὐτομάτου L τοιαῦτα (altero loco) LM: τοιαῦτα ἴσμεν t 2 ἔστι φησί Mt: ἔστιν φύσις K: φασιν ἐστὶν L δῆλον (om. ὅτι) M 4 καὶ (ante ἐκ) om. L 5 δὲ et οὐ πάντως om. L 6 γὰρ om. L ἢ δι' ἔνδειαν ἢ L 7 ἥδεσθαι αὐτῷ scripsi: εἴδεσθαι αὐτῶ L: δέεσθαι (cf. ad p. 138,4) αὐτῶν (αὐτοῦ t) KMt ἐσθίοι] ἐσθίει L ὅς τε L 8 ὠνησάμενοι M ἔφαγεν] ἔφαμεν K μεγάλοι πάνυ om. t 9 οὐδὲ KM: οὔτε recte (L)t at cf. p. 143,23 αὐτοὶ L 10 ὑπὸ φύσιν L ὁ om. L 12 γιγνομένων et γίγνεται t 12. 14 τὰ μὲν ἕνεκά του—τοῖς ἕνεκά του om. K 12 τὰ δ' οὔ t 13. 14 δὲ οὐ et δὲ ἐν L: δ' οὐ et δ' ἐν Mt 15 τὰ (ante ἕνεκά) Kt: τὸ M: τ̔ L 15. 16 καὶ εἰς—ἐν τοῖς ἕνεκά του om. L 17 σημείωσ̔ L τὸ KM: τὰ (L)t 20 καὶ τὰ μὴ t: καὶ μὴ τὰ LM: καὶ μὴ (om. τὰ) K 21 τὰ (post εἰς) om. L τὸ δὲ t: τὴν δὲ KM: τὰ δὲ L 22 φύσεως L 24 ὅτι om. M τοῖς om. K 24. 25 καὶ τὸ—ἕνεκά του om. K 25 ἐπιπολὺ M: ἐπὶ τὸ πολὺ (L)t 26 ἑακὼν δὲ ἐκ τῶν K

www.libtool.com.cn

τούτων ἀναφαινόμενον, τοῦτο δέ ἐστιν ὅτι τινὰ τῶν ἐπ' ἔλαττον τῶν ἕνεκά g 7r
τού ἐστιν. ἔστι δὲ ἐν τρίτῳ σχήματι ὁ συλλογισμός· ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἐπ' ἔλαττον, ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἕνεκά του, τί ἄρα ἐπ' ἔλαττον ἕνεκά τού ἐστιν. ὥστε οὐ δεῖ θαυμάζειν εἰ τὴν τύχην καὶ τὸ αὐτόματον τῶν ἕνεκά του καὶ τῶν ἐπ' ἔλαττόν φαμεν εἶναι. δόξει δὲ 45
ὁ συλλογισμὸς τὰ αὐτὰ διὰ τῶν αὐτῶν συλλογίζεσθαι· ἔχομεν γὰρ ἐν ταῖς προτάσεσιν, ὅτι τὸ αὐτὸ καὶ ἕνεκά τού ἐστι καὶ ἐπ' ἔλαττον, ὥστε δόξει περιττὸν εἶναι τὸ αὐτὸ ὅπερ ἐν ταῖς προτάσεσιν εἰλήφαμεν, τοῦτο πειρᾶσθαι συμπεραίνεσθαι. φημὶ οὖν ὅτι ἐν ταῖς προτάσεσιν οὐκ εἴληπται τὸ ἐπ' ἔλαττον ἕνεκά του, ἀλλ' ἡ τύχη καὶ τὸ αὐτόματον καὶ ἐπ' ἔλαττον οὖσα καὶ ἕνεκά του, καὶ τοῦτο ἀνὰ μέρος ἐδείχθη· ὁ οὖν συλλογισμὸς συνάγει οὐχ ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του καὶ ἐν τοῖς ἐπ' ἔλαττον, ἀλλ' ὅτι τὸ ἐπ' ἔλαττον ἕνεκά του.

p. 196ᵇ21 Ἔστι δὲ ἕνεκά του ὅσα ἀπὸ διανοίας ἂν πραχθείη καὶ 50
ὅσα ἀπὸ φύσεως.

Ἡ τρίτη διαίρεσις. διελὼν δὲ τὸ ἕνεκά του εἰς τὰ κατὰ προαίρεσιν καὶ μή, κατὰ ἄλλην ἐπιδιαίρεσιν προσεχεστέραν μᾶλλον τὸ αὐτὸ διαιρεῖ· τῶν γὰρ ἕνεκά του τὰ μὲν ἀπὸ διανοίας τὰ δὲ ἀπὸ φύσεως, εἶτα διέλοις ἂν κατὰ τὴν πρώτην διαίρεσιν τὰ ἀπὸ διανοίας, ὅτι τῶν ἀπὸ διανοίας τὰ μὲν κατὰ προαίρεσίν ἐστι τὰ δὲ οὐ κατὰ προαίρεσιν. |

p. 196ᵇ23 Τὰ δὲ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ g 7v
τύχης φαμὲν εἶναι.

Ὅταν, φησί, τὰ ἀπὸ διανοίας ἢ ἀπὸ φύσεως ἂν γεγενημένα μὴ ἐκ διανοίας ἢ ἀπὸ φύσεως προηγουμένως πράττηται, ἀλλὰ τὴν γένεσιν ἔχοι κατὰ συμβεβηκός, τὰ τοιαῦτά φαμεν εἶναι ἀπὸ τύχης καὶ ἀπὸ ταὐτομάτου. οἷον τὸ περιτυχεῖν φίλῳ ἢ κομίσασθαι τὸ ἀργύριον παρὰ τοῦ χρεωστοῦντος διανοίας ἔργον ἐστίν· ὅταν οὖν τοῦτο, ὅπερ διανοίας ἔργον ἐστί, μὴ ἐκ διανοίας γένηται καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς ἔχοι τὴν ἔκβασιν, ἀπὸ τύχης λέγεται γεγενῆσθαι. πάλιν φύσεως ἔργον τὸ ἐκ τοῦ ὁμοίου τὸ ὅμοιον 5

---

2. 3 καὶ τὸ αὐτόματον—ἡ τύχη om. K 3. 5 τί (τὸ L) ἄρα—καὶ τὸ αὐτόματον LK: τινὰ ἄρα ceteris omissis Mt 5 δόξειε L 6 σύλλογος hic et v. 11 (sed σύλλ°/ v. 2) K 8. 9 εἰλήφαμεν—προτάσεσιν L: om. KMt 10. 11 ἀλλ' ἡ—καὶ ἕνεκά του om. L 11 οὖσα KM: εἰσι t 12 συνάγεται L 13 τὸ] fort. τὶ ἕνεκά του ἐστίν Mt 14 ἔστιν K ὅσα LKM Simplic. p. 335,21 et Aristotelis cod. F: ὅσα τε e vulg. Arist. t 16 διελθὼν L τὰ om. L 17 ἐπιδαίρεσιν προσχεστέραν K 18 διέλοις ἂν] διελοῦσαν L 19 τῶν] τὰ L 21 δὲ KM: δὴ (L)t Aristoteles 21. 22 γένηται—εἶναι om. K 23 γεγενημένα LKM: γενόμενα fortasse recte (cf. m 6v30) t 24 προηγουμένω K ἔχοι LM: ἔχοιν K: ἔχη t 25 τὰ om. L φα μὲν M καὶ ἀπὸ τύχης καὶ L 26 κομήσασθαι K 28 ἔχοι LKM: ἔχη t

www.libtool.com.cn

γεννᾶσθαι, οἷον ἐξ ἀμπέλου ἄμπελον καὶ ἐξ ἐλαίας ἐλαίαν· ὅταν οὖν τι τούτων g 7ᵛ
μὴ ἐκ τοῦ ὁμοίου γένηται, ἐκ ταὐτομάτου φαμὲν αὐτὸ γεγενῆσθαι. διὰ
τοῦτο τὰς πόας ἐκ ταὐτομάτου φαμὲν βλαστάνειν, διότι μὴ ἐξ ὁμοίων κατὰ
τὸν νόμον τῆς φύσεως· οὐ γὰρ δὴ πάντως σπέρματα ἐκ τῆς ἐν τῷ προ-
5 τέρῳ χρόνῳ πόας ἐγκαταλιμπανόμενα ἐν τῇ γῇ οὕτως ποιεῖ τὰς παρούσας 10
πόας, ἀλλὰ κἂν μηδὲ ὅλως ἔχῃ σπέρματα βλαστήσειεν ἄν. καὶ δηλοῦσι
τά τε ἀμπελοφόρα χωρία ἀεὶ μὲν εἰς ἅπαν ὑπὸ τῶν γεωργῶν καθαιρόμενα,
ἀεὶ δὲ βλαστάνοντα· καὶ ἡ πατουμένη δὲ καὶ πολὺν χρόνον μὴ βλαστή-
σασα μηδέν, εἰ ἀφεθείη τοῦ πατεῖσθαι, βλαστήσειεν ἂν ἀεὶ πόας. κἂν μὴ
10 φυσικὸν δὲ εἴη τὸ ἀποτελούμενον, ἀλλ' ὡς φυσικῇ ὁρμῇ παρηκολουθηκὸς
ἐκ ταὐτομάτου λέγεται γενέσθαι, ὡς ὁ κατενεχθεὶς λίθος καὶ γενόμενος ἐπι-
τήδειος εἰς καθέδραν (οὐ γὰρ φυσικὸν τοῦτο τέλος), καὶ ὁ ἵππος ὁ διψήσας 15
ἐν τῷ πολέμῳ καὶ καταβαλὼν τὸν δεσπότην καὶ συμβολῆς γενομένης καὶ
τοῦ δεσπότου ἀποθανόντος αὐτὸς σωθείς· λέγεται γὰρ ἐκ ταὐτομάτου σε-
15 σῶσθαι, οὐχ ὅτι φυσικὸν τέλος ἔσχεν ἐκ ταὐτομάτου, ἀλλ' ὅτι φυσικῇ
ὁρμῇ παρηκολούθησεν.

p. 196ᵇ24 Ὥσπερ γὰρ καὶ ὄν ἐστι τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός.

Ὅτι ἔστιν αἰτιά τινα κατὰ συμβεβηκός, διὰ τούτων κατασκευάζει. εἰ 24
20 γάρ ἐστι, φησί, τινὰ τῶν ὄντων κατὰ συμβεβηκὸς ὄντα, δῆλον ὅτι καὶ τὰ 25
τούτων αἴτια κατὰ συμβεβηκὸς ἂν εἶεν αἴτια· καθ' αὑτὸ μὲν γὰρ εἰς τὴν
ἀγορὰν προῆλθε, κατὰ συμβεβηκὸς δὲ τῷ ἀπὸ ξένης ἐλθόντι περιέτυχε
φίλῳ. εἰ οὖν ἔστι τὰ κατὰ συμβεβηκὸς ὄντα, ἔστι δηλονότι καὶ τὰ κατὰ
συμβεβηκὸς τούτων αἴτια, ὁπότε καὶ τῶν καθ' αὑτὸ ὄντων λέγεται εἶναι
25 καὶ κατὰ συμβεβηκὸς αἴτια· τῆς γοῦν οἰκίας καθ' αὑτὸ μὲν ὁ οἰκοδόμος
αἴτιος, κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρός. ἔστι δέ, φησί, τὰ κατὰ συμβε-
βηκὸς αἴτια ἀόριστα· δύναται γὰρ καὶ ὁ λευκὸς καὶ ὁ σιμὸς καὶ ὁ μουσι- 30
κὸς καὶ μυρία ἄλλα, τὸ δὲ καθ' αὑτὸ αἴτιον ὥρισται· ἀεὶ γὰρ τῆς οἰκίας
ὁ οἰκοδόμος αἴτιος καὶ τοῦ πλοίου ὁ ναυπηγός. ὅταν οὖν, φησί, τὰ κατὰ
30 συμβεβηκὸς αἴτια τοῖς ἕνεκά του αἰτίοις παρακολουθήσῃ, τότε λέγεται τὸ
κατὰ τύχην καὶ τὸ ἐκ ταὐτομάτου. ἔχεις οὖν ἐντεῦθεν τὴν ἔννοιαν καθ'
ἣν ἐλέγετο μικρὸν ἔμπροσθεν ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά

---

1 γεννᾶσθαι L et compend. M: γεννάσθαι K: γεννᾶται t ἄμπελον] ἄμπελος L
ἐλαίαν KM: ἐλαίας (L)t 2 et 3 μὲν pro φαμὲν utroque loco L 4 τὸ νόμον K
5 ἐν τῇ K: ἐκ (sic) τῇ L: τῇ (om. ἐν) Mt 6 ἔχῃ LK: ἔχ M: ἔχει t σπέρμα t
7 ἀμπελόφορα K 9 ἀφεθῇ L ἂν om. K ἀεὶ om. L 12 ἵππον L 14. 15 γί-
νεσθαι σεσῶσθαι M 17 ἐστιν K 19 αἰτία K τούτων L: τοῦτο K: τούτου Mt
20 φησί om. superscr. M καὶ τὰ] κατὰ L 21 εἶεν LK: εἴη Mt αἴτια (post εἶεν)
K: ἐναντία M: αἰτία (L)t γὰρ om. L 22 προῆλ et mox περιέτυχον L 24 ὁπότε
καὶ τῶν] ποτὸν καὶ τὸν L 25 καὶ κατὰ LK: καὶ τὰ κατὰ Mt 25. 26 τῆς γοῦν—
αἴτιος om. L 25 ὁ (ante οἰκοδόμος) om. K 29 τοῦ πλειου (sic) L

www.libtool.com.cn

του εἶναι, ὅτι λέγονται ἐν τοῖς ἕνεκά του διὰ τὸ τοῖς ἕνεκά του παρακο- g 7ᵛ
λουθεῖν, τοῖς κατὰ φύσιν, φημί, καὶ τοῖς κατὰ διάνοιαν. ταῦτα μὲν οὖν
αὐτοῖς κοινῶς ὑπάρχει, τὸ ἐν τοῖς ἐπ' ἔλαττον εἶναι τὸ ἐν τοῖς ἕνεκά του
τὸ κατὰ συμβεβηκός, τίς δὲ ἡ πρὸς ἄλληλα αὐτῶν διαφορὰ ἐρεῖ μικρὸν
5 ὕστερον, ἣν ἡμεῖς φθάσαντες εἴπομεν, ὅτι ἡ μὲν τύχη τοῖς κατὰ διάνοιαν
ἀκολουθεῖ, ἤγουν τοῖς κατὰ προαίρεσιν, τὸ δ' αὐτόματον τοῖς κατὰ φύσιν.

p. 196ᵇ33 Ἕνεκα τοῦ ἀπολαβεῖν τὸ ἀργύριον ἦλθεν ἂν κομιζο-
μένου τὸν ἔρανον, εἰ ᾔδει· ἦλθε δὲ οὐ τούτου ἕνεκα, ἀλλὰ
συνέβη ἐλθεῖν καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα.

10 Ὅτι ἐν τοῖς ἕνεκά του ἡ τύχη καὶ τὸ αὐτόματον, αὐτὰ οὐκ ὄντα
ἕνεκά του, δείκνυσιν. ὅτι μὲν οὖν οὐκ εἰσὶν ἕνεκά του ἡ τύχη καὶ τὸ
αὐτόματον, δῆλον· τοῦ γὰρ δεδανεισμένου κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει
ὁ χρεωστούμενος, ἦλθεν ἂν ἐπὶ τούτῳ, ἐπὶ τῷ ἀπολαβεῖν· οὐκ ἦλθεν δὲ
ἐπὶ τούτῳ· οὐκ ἄρα ἡ αἰτία τῆς ἀπολήψεως, ἣν φαμεν εἶναι τὴν τύχην,
15 τῶν ἕνεκά τού ἐστιν, ἀλλὰ τῶν κατὰ συμβεβηκός. ἀλλ' ἐπειδὴ προῆλθε
μὲν τοῦ λούσασθαι ἕνεκεν, ἀπέλαβε δὲ τὸ ἀργύριον περιτυχὼν τῷ δεδανει-
σμένῳ κομιζομένῳ τὸν ἔρανον, λέγεται αἴτιον κατὰ συμβεβηκὸς τῆς ἀπο-
λήψεως ἡ ἐπὶ τὸ λουτρὸν πρόοδος· ἦν δὲ καὶ τῶν ἕνεκά του (τοῦ γὰρ
λούσασθαι ἕνεκεν ἡ πρόοδος)· τὸ κατὰ συμβεβηκὸς ἄρα αἴτιον τῷ καθ'
20 αὑτὸ καὶ ἕνεκά του παρηκολούθησε. τοῦτο δὲ τύχην καλοῦμεν· ἡ τύχη
ἄρα ἐν τοῖς ἕνεκά τού ἐστιν, αὐτὴ κατὰ συμβεβηκὸς οὖσα αἰτία. τὸ δὲ
κομιζομένου γράφεται καὶ κομισόμενος μέλλοντος, ἵνα ἐπὶ τοῦ χρεω-
στουμένου ᾖ· μᾶλλον δὲ τὸ πρότερον. τὸ δὲ συνέβη ἐλθεῖν καὶ ποιῆ-
σαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα ἀντὶ τοῦ ὡσανεὶ τοῦ κομίσασθαι
25 ἕνεκα. τοῦτο δὲ οὔτε ὡς ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον οὔτε
ἐξ ἀνάγκης. τὸ φοιτῶν ἀντὶ τοῦ φοιτῶντος· οὐδὲ γὰρ εἰ σύνηθες ἦν
τῷ χρεωστοῦντι ἢ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ φοιτᾶν εἰς τὸ χωρίον, ἔνθα πε-
ριτυχὼν ὁ χρεωστούμενος ἀπέλαβε τὸ ἀργύριον, ἀπὸ τύχης λέγεται ἡ ἀπό-

---

1 τὸ] τὶ K 2 φημὶ] φῆ L καὶ τοῖς] καὶ τοὺς K 4 ἡ] οἱ L 5 εἴπομεν p. 268, 10 sqq. 7 Οἷον ἕνεκα ex Aristotele t 7. 9 τὸ ἀργύριον — κομίσασθαι ἕνεκα om. K 7. 8 κομιζομένου Mt: κομισόμενος L et Arist. vulg. 8 ἦλθεν δὲ t 9 αὐτῷ ἐλθεῖν Arist. cod. E 10. 12 αὐτὰ — αὐτόματον om. L 11 οὖν] γὰρ K 12 κομιζομ sine accentu K 13 χρεοστούμενος K ἐπὶ τούτῳ recte videtur omittere L ἐπὶ τῶ (τει sic L) ἀπολαβεῖν LK: ἐπὶ τῶ M: om. t 16 ἕνεκεν Mt: ἕνηκεν K: ἕνεκα L 16. 17 δεδανεισμένων L 17 τῆς L et compend. M: δὲ t: om. K 19 ἕνεκεν] ἕνεκα K 20 αὑτὸν L 21 ἐν om. M αὕτη M κατὰ τὸ συμβηβεκὸς αἰτία οὖσα Mt 22 κομισόμενος] κομισάμενος K 23 τὸ δὲ] τὸ γὰρ L 24 κομισαμένου ἕνεκα priore loco L 24. 25 ἀντὶ — ἕνεκα L: om. KMt 25 ὡς L: om. KMt at cf. p. 275, 6 25. 26 φοιτῶν εἰς — ἀνάγκης om. K 25 φοιτῶν εἰς M: φοιτῶν τ εἰς L: φοιτῶν τ' εἰς t 26 τὸ φοιτῶν τ L 27 εἰς χωρίον (om. τὸ) L 28 ἀπέλαβε L: ἀπέλλαβεν K: ἔλαβε Mt ἀπὸ τύχης γὰρ λέγεται Mt

www.libtool.com.cn

ληψις, εἰ μὴ ἄρα ὡς πρὸς τὴν πρόθεσιν τοῦ· ἀπειληφότος, ὅτι | οὐ τοῦτο g 8r
προθέμενος, τὸ ἀπολαβεῖν, ἐφοίτησεν ἐκεῖ· ἀλλὰ κυρίως τὴν τύχην καὶ
μάλιστα τούτων φαμὲν εἶναι αἰτίαν, ἐφ' ὧν μηδὲν εἴωθεν τῶν ἐπὶ πολὺ
εἶναι. εἰ δὲ σύνηθες ἦν τῷ χρεωστοῦντι φοιτᾶν εἰς τὸ χωρίον, οὐκ ἔστι
5 τῶν παραλόγων τὸ ἐλθόντα ἐκεῖ τὸν χρεωστούμενον ἀπολαβεῖν, ἡ δὲ τύχη
παράλογος. τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ φοιτῶν δυνατὸν ἐξακούειν καὶ ἐπὶ
τοῦ ἀπειληφότος· δεῖ γὰρ τὸν περιτυχόντα τῷ χρεωστοῦντι μὴ ἐπὶ τὸ 5
πολὺ φοιτᾶν ἐν τῷ χωρίῳ, ἔνθα αὐτῷ περιέτυχεν· εἰ γὰρ εἰθισμένῳ αὐτῷ
ὡς ἐπὶ τὸ πολὺ ἔν τινι τόπῳ εὑρίσκεσθαι περιτύχοι ὁ χρεωστῶν, οὐ δή-
10 που παράλογον ἦν τὸ ἐλθόντα ἐκεῖ τὸν χρεωστοῦντα ἀποδοῦναι, δεῖ δὲ ἀεὶ
τὴν τύχην παράλογον εἶναι.

p. 197a1 Ἔστι δὲ τὸ τέλος, ἡ κομιδή, οὐ τῶν ἐν αὐτῷ αἰτίων.

Τουτέστιν οὐκ ἔστι τῶν φυσικῶν ἡ κομιδὴ τοῦ ἀργυρίου· φυσικὰ γάρ 12
ἐστι τὰ ἐν ἑαυτοῖς ἔχοντα τὸ αἴτιον, ἡ δὲ κομιδὴ ἔξωθεν ἔχει τὸ αἴτιον,
15 τὴν διάνοιαν τὴν ἐπὶ τὸ λουτρὸν κινήσασαν. τὸ δ' ὅλον, ὅτι ἡ κομιδὴ τοῦ
ἀργυρίου τῶν ἀπὸ τύχης ἐστίν, οὐ τῶν ἀπὸ ταὐτομάτου· τὰ γὰρ ἀπὸ ταὐ-
τομάτου ἐν ἑαυτοῖς ἔχει τὸ αἴτιον, ἐν ἑαυτοῖς δὲ δηλονότι κατὰ συμβεβηκός, 15
ἐπειδὴ καὶ ἡ φύσις κατὰ συμβεβηκὸς αἰτία τῶν ἐκ ταὐτομάτου, ὥσπερ καὶ
ἡ διάνοια κατὰ συμβεβηκὸς αἰτία τῶν ἀπὸ τύχης. ὥστε καὶ τὰ ἀπὸ τύχης
20 ἂν λέγωνται ἀπὸ διανοίας εἶναι, κατὰ συμβεβηκὸς δηλονότι ἀπὸ διανοίας
εἰσίν, οὐ καθ' αὑτό· ὡς γὰρ ἔχει τὸ αἴτιον, οὕτως ἔχει καὶ τὸ αἰτιατόν,
καὶ ἔμπαλιν. ταῦτα εἰπών, ἐφεξῆς διορίζεται τὴν τύχην τὸν ὁρισμὸν ἀθροί-
σας ἐκ τῶν δεδειγμένων.

p. 197a6 Διὸ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη. 20

25 Περὶ τὸ αὐτό, οἷον περὶ τὴν κομιδὴν τοῦ ἀργυρίου· ἀλλ' ἡ μὲν
διάνοια καθ' αὑτό, ἡ δὲ τύχη κατὰ συμβεβηκός.

---

1. 2 ὅτι ὁ τούτου προθέμενος ἀπολαβεῖν L 3 τῶν ὡς ἐπὶ τὸ πολὺ L 4 ἐν τῷ χωρίῳ L
5 et 9 χρεοστούμενον et χρεοστῶν K 6 τὸ (post ἐπὶ) om. K φοιτᾶν L ἐξακούειν
K: ἐξακούει L: ἐξακοῦσαι Mt 8 ἔνθα αὐ M: ἔνθα αὐτῶν L εἰθισμένων L: ἡθι-
σμένῳ K 9 ἔν τινι] ἐστὶ L περιτύχει K 10 ἐλθ^τ M: ἐλθέντα t 10. 11 δεῖ
δὲ εἶναι τὴν τύχην ἀεὶ παράλογον Mt 12 ἔστι M: *στιν K: ἔτι (L)t et Arist. cod. E
post corr. οὐ — αἰτίων om. K αἰτιῶν M 13. 14 γάρ ἐστι ταῦτα τὰ M
14 αὐτοῖς L: αὐτοῖς (ex αὐτοῖς) M 17 αὐτοῖς utrobique L 18. 20 ἐπειδὴ — εἶναι,
κατὰ συμβεβηκός om. K 18 ἐπειδὴ καὶ ἡ φύσις κατὰ συμβεβηκός om. L 20 λέγον-
ται L 21 εἰσίν om. Mt καὶ om. t 22 ὁρίζεται L 24. 26 om. K
24 Διότι t καὶ ἡ τύχη L 26 οἷον περὶ τὴν L: οἷον τὴν Mt

www.libtool.com.cn

p. 197a8 Ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι, ἀφ' ὧν ἂν γέ- g 8r
νοιτο τὸ ἀπὸ τύχης.

Εἰπὼν τί ἐστιν ἡ τύχη, ὅτι κατὰ συμβεβηκὸς αἰτία ἐστὶ τῶν ἐπ' ἔλαττον γινομένων παρακολουθοῦσα τοῖς ἕνεκά του, νῦν βούλεται δεῖξαι ὅτι πάντα ὅσα κατὰ κοινὴν ἔννοιαν λέγονται ὑπάρχειν τῇ τύχῃ, σύμφωνά εἰσι τῷ ἀποδεδομένῳ περὶ αὐτῆς λόγῳ· λέγεται γὰρ ἡ τύχη ἀόριστος καὶ 25 ἄδηλος εἶναι τοῖς ἀνθρώποις (φαμὲν γὰρ ἄδηλα εἶναι τὰ τῆς τύχης), λέγεται δὲ καὶ παράλογος εἶναι καὶ ἀβέβαιος καὶ μηδενὸς εἶναι αἰτία, καὶ ὅσα ἄλλα περὶ αὐτῆς λέγεται, συμφώνως τῷ ἀποδεδομένῳ παρ' ἡμῶν περὶ αὐτῆς λόγῳ λέγεται. ἀόριστος μὲν οὖν λέγεται εἰκότως, ἐπεὶ τῶν κατὰ συμβεβηκὸς αἰτίων τὴν τύχην εἶναι ὡρισάμεθα, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ἀόριστα. τὰ μὲν οὖν καθ' αὑτὸ αἴτια ὥρισται (τῆς γὰρ οἰκίας ὡρισμένον τὸ αἴτιον ὁ οἰκοδόμος, καὶ τῆς νεὼς ὁ ναυπηγός), τὰ μέντοι κατὰ 30 συμβεβηκὸς αἴτια ἀόριστά ἐστι· δύναται γὰρ τῆς οἰκίας κατὰ συμβεβηκὸς αἴτιος εἶναι καὶ ὁ φαλακρὸς καὶ ὁ σιμὸς καὶ ὁ μουσικὸς καὶ ὁ νέος καὶ ἄλλα μυρία, καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον προελθόντα μὴ διὰ τοῦτο καὶ ἡ ἐπὶ τὸ λουτρὸν πρόοδος καὶ ἡ ἐπὶ ἱερὸν καὶ ἄλλα μυρία, καὶ τοῦ ὀρύξαντα θησαυρὸν εὑρεῖν τὸ ἐπὶ φυτείᾳ σκάπτειν καὶ θεμελίους θεῖναι καὶ φρεωρυχεῖν καὶ ἄλλα μυρία. δι' αὐτὸ δὲ τοῦτο καὶ ἄδηλος ἡ τύχη λέγεται ὅτι καὶ ἀόριστος, ἀόριστος δὲ διότι κατὰ συμβεβηκός· τῆς μὲν γὰρ 35 οἰκίας ὥρισται τὸ καθ' αὑτὸ αἴτιον ὁ οἰκοδόμος, τί δὲ τῆς οἰκίας τὸ κατὰ συμβεβηκὸς αἴτιον ἄδηλον ἀνθρώπῳ, ἄδηλον δὲ διότι καὶ ἀόριστον. καὶ παράλογος δὲ εἰκότως ἡ τύχη· ὁ γὰρ λόγος τῶν ἐστώτων ἐστί, ταῦτα δ' ἐστὶν ἢ τὰ ἐξ ἀνάγκης ἢ τὰ ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ τύχη τῶν ἐπ' ἔλαττον. δι' αὐτὸ δὲ τοῦτο πάλιν καὶ ἀβέβαιος· τὸ γὰρ βέβαιον ἢ τῶν ἀεὶ ὡσαύτως ἐστὶν ἢ τῶν ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ἐπ' ἔλαττον οὐ βέβαιον, ἡ τύχη δὲ τῶν ἐπ' ἔλαττον. λέγομεν δὲ ἔστιν ὅτε καὶ τὴν τύχην οὐδενὸς αἰτίαν 40 εἶναι (οὐδὲν γὰρ γίνεσθαι ἀπὸ τύχης), καὶ τοῦτο συμφώνως τῷ περὶ τῆς τύχης ἀποδεδομένῳ λόγῳ· κυρίως γὰρ αἴτια τὰ καθ' αὑτὸ αἴτια, τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια ὁμωνύμως ἢ ψευδωνύμως αἰτιά ἐστι· κατὰ συμβεβηκὸς δὲ αἴτιον ἡ τύχη, οὐδὲ αἴτιον ἄρα κυρίως ἡ τύχη. οὐδενὸς δέ

---

1 οὖν ταῦτα τὰ M 1. 2 ἀνάγκη—τύχης om. K γένοιντο primitus M 2 τὸ L: om. Mt 3 τῶν ex τὸν corr. K 6 ἀποδεδειγμένῳ Mt 6. 7 εἶναι ἀόριστος καὶ ἄδηλος L 8 δὲ om. L 10 λόγους L οὖν εἰκότως λέγεται L 11 αἰτίων L: αἰτιῶν K: αἰτίαν Mt 12 οὖν LK: γὰρ Mt 17 ἡ (ante ἐπὶ ἱερὸν) om. L 18 ὀρύξαντος L φυτείας κάπτειν K θεμελίους θεῖναι (syllaba ους compendio litterae α simillimo) M: θεμελίου σθεῖναι K: θεμελίους εἶναι L: θεμελία (sic) θεῖναι t 19 ἄδη M: ἄδηλον t 20 ὅτι] διότι L 22 ἀνθρώπῳ (ἀνῷ) LK: αὐ M: om. t 23 παραλόγοις L 24 τῶν] τὸν L 27 ἔστιν ὅτε] ὅτι (om. ἔστιν) L 28 τούτῳ primitus K τῷ] τῶν L 29 ἀποδεδογμένῳ M ἑαυτὸ L 30 ψευδονύμως t 30. 31 συμβεβηκὸς (om. δὲ) αἴτιον (ἐστι expunct.) L 31 οὐδὲ ἔτιον ἄρα L δέ (post οὐδενὸς) LK: om. M: γὰρ t

www.libtool.com.cn

φαμὲν αἰτίαν εἶναι τὴν τύχην, διότι τὰ κατὰ τύχην γινόμενα ἀναίτιά φαμεν g 8r
εἶναι διὰ τὸ μὴ ἔχειν καθ' αὑτὸ αἴτιον ὡρισμένον, εἰ δὲ τὰ κατὰ τύχην
ἀναίτια, ἡ τύχη ἄρα οὐδενός ἐστιν αἰτία· εἰ γάρ ἐστι, τῶν κατὰ τύχην
ἐστὶν αἰτία, εἰ δὲ μὴ τούτων ἐστὶν αἰτία, οὐδ' ὅλως ἐστὶν αἰτία τινός.

Ἀόριστα μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι, ἀφ' ὧν ἂν γένοιτο τὸ ἀπὸ τύχης. ἐπειδὴ τῶν ἀπὸ τύχης συμβαινόντων οὐδὲν ἔχον ἐστὶν αἰτίαν ὡρισμένην, δῆλον ὅτι καὶ ἡ τύχη ἀόριστός ἐστι, διὰ τοῦτο δὲ καὶ ἄδηλος ἀνθρώπῳ.

p. 197a11 Πάντα γὰρ ταῦτα ὀρθῶς λέγεται, ὅτι εὐλόγως.

Πάντα, φησίν, ὅσα περὶ τῆς τύχης λέγεται, ὀρθῶς λέγεται, διότι καὶ εὐλόγως, τουτέστιν ἁρμόζει τῷ ἀποδεδομένῳ περὶ αὐτῆς ὁρισμῷ, καὶ ἔστιν ἐκ τοῦ ἀποδεδομένου περὶ αὐτῆς ὁρισμοῦ ἑκάστου τῶν περὶ αὐτῆς λεγομένων τὴν αἰτίαν ἀποδοῦναι· οὗτος δὲ ὁρισμὸς ἄριστος, ᾧτινι ἐφαρμόζει πάντα τὰ περὶ τοῦ πράγμα|τος κατὰ κοινὴν ἔννοιαν λεγόμενα. g 8v

p. 197a14 Ὡς δ' ἁπλῶς οὐδενός.

Κατά τι μέν, φησίν, αἰτία τινῶν ἐστιν ἡ τύχη, κατά τι δὲ οὐδενός· ἁπλῶς μὲν γάρ, τοῦτό ἐστι κυρίως καὶ καθ' αὑτό, οὐδενός ἐστιν αἰτία, κατὰ συμβεβηκὸς δὲ τῶν ἐπ' ἔλαττον γινομένων ἐστὶν αἰτία.

p. 197a19 Η δὲ τύχη ἐν τοῖς γινομένοις παρὰ ταῦτα.

Παρὰ τὰ ἀναγκαῖα καὶ τὰ ὡς ἐπὶ τὸ πολύ, ταῦτα δέ ἐστι τὰ ἐπ' ἔλαττον. ἐπεὶ οὖν τὰ αἴτια τῶν ἐπ' ἔλαττον γινομένων ἀόριστα, καὶ ἡ τύχη ἀόριστος.

p. 197a21 Ὅμως δὲ ἐπ' ἐνίων ἀπορήσειεν ἄν τις, ἄρα οὖν τὰ τυχόντα αἴτια ἂν γένοιτο τῆς τύχης.

Ὃ ζητεῖ διὰ τούτων, τοῦτό ἐστιν· ἐπειδὴ ἡ τύχη τῶν κατὰ συμβεβη-

---

1 αἰτίαν τὴν τύχην εἶναι L 2 αὐτό τι αἴτιον L 4 μὴ LKM: μηδὲ t ὅλως] οὔλως ex οὕτως corr. L 5. 22 Ἀόριστα—ἀόριστος om. K 5. 6 Ἀόριστα—τὸ ἀπὸ τύχης LM: Aristotelea ὅθεν δοκεῖ ἡ τύχη τοῦ ἀορίστου εἶναι καὶ—ἂν γίγνεσθαι substituit t 6 ἔχον ἐστὶν] ἔχει τὴν L 7 ὅτι] ἔστι L 11 ἀποδεδογμένῳ ante correct. M περὶ αὐτῆς ὁρισμῷ L: λόγῳ περὶ αὐτῆς ὁρισμοῦ Mt 12 ὁρισμοῦ M: ὁρισμῷ L: om. t 13 ἀόριστος L

15 δὲ M 16 αἰτία τινῶν Mt: αἰτιῶντ L 17 τοῦτό L: τούτων ὧν Mt αὐτό L: αὐτὸς (M)t 18 κατὰ συμβεβηκὸς—ἐστὶν αἰτία iterat L ἐστὶν αἰτία L: αἰτία ἐστίν Mt 19 plenius lemma καὶ τὸ εἶναί τι φάναι κτλ. t γιγνομένοις t 20 Παρὰ ταῦτα παρὰ t at cf. p. 270,33 ἐπιτοπολὺ L: ἐπιπολὺ Mt ἐστι τὰ L: ἐστιν Mt 22 ὅμως κτλ.] hinc rursus K δ' ἐπ' Mt 22. 23 ἀπορήσειεν—τύχης om. K 22 ἄρα (sic) L: ἄρ' Mt 23 ἂν γένοιτο L: γένοιτ' (γένοιτο t) ἂν Mt cf. Simplic. p. 351,28 24 Ὃ ζητεῖ] *ητεῖ K

www.libtool.com.cn

κός ἐστιν αἰτίων, ἐλέγομεν δὲ εἶναι καὶ ἐν τοῖς κατὰ συμβεβηκὸς αἰτίοις g 8ᵛ
τὰ προσεχέστερα καὶ πορρώτερα, ἆρα ὁμοίως ἅπαντα αἴτιά ἐστι τοῦ
ἀποτελέσματος; οἷόν τι λέγω· προῆλθέ τις εἰς τὴν ἀγοράν, εἶτα πρὶν εἰς 15
τὴν ἀγορὰν ἐμβαλεῖν ὑπαντήσας τινὶ συνέτυχε καὶ προσδιέτριψεν ἐν τῇ
5 συντυχίᾳ χρόνον, εἶτα μετὰ τοῦτο ἐλθὼν εἰς τὴν ἀγορὰν περιέτυχε τῷ
ἔχοντι τὸ ἀργύριον καὶ ἀπείληφεν. ἐπεὶ οὖν ἐστιν αἴτιον κατὰ συμβεβηκὸς
τοῦ περιτυχεῖν τῷ χρεωστοῦντι καὶ αὐτὴ ἡ πρόοδος καὶ ἡ μεταξὺ συντυχία
(εἰ γὰρ μὴ προσδιέτριψε, θᾶττον ἐμβαλὼν εἰς τὴν ἀγορὰν ἴσως οὐ περιέ-
τυχεν ἂν τῷ χρεωστοῦντι) καὶ αὐτὸ τὸ ἐμβαλεῖν εἰς τὴν ἀγοράν, ἔστι δὲ
10 προσεχὲς μὲν τὸ εἰς τὴν ἀγορὰν ἐμβαλεῖν, μέσον δὲ τὸ περιτυχεῖν τῷ φίλῳ, 20
πορρωτέρω δὲ ἡ πρόοδος αὐτή· ἆρα ὁμοίως ὁτιοῦν τούτων αἴτιον εἶναί
φαμεν τῶν ἀπὸ τύχης συμβαινόντων; φαμὲν οὖν ὅτι ὡς πρὸς μὲν τὸ κατὰ
τύχην αἴτια εἶναι οὐδὲν διαφέρει τὸ προσεχὲς εἰπεῖν ἢ πόρρω (ὁμοίως γὰρ
πάντα ταῦτα κατὰ τύχην αἴτια), ὡς δὲ πρὸς τὴν ἔκβασιν διαφέρει πλεῖστον·
15 αἰτιώτερον γὰρ τῆς ἐκβάσεως τὸ προσεχέστερον. τοῦ γὰρ ἀπολαβεῖν τὸ
ἀργύριον ἔστι μὲν καὶ ἡ πρόοδος αὐτὴ αἰτία κατὰ συμβεβηκός (εἰ γὰρ μὴ
προῆλθεν, οὐκ ἂν περιτυχὼν ἔλαβεν), μᾶλλον δὲ αἰτιωτέρα ἡ πρὸς τὸν
φίλον ἐν τῷ μεταξὺ συντυχία (εἰ γὰρ μὴ συνέτυχεν, θᾶττον ἀπελθὼν οὐκ 25
ἂν εὗρε), καὶ ἔτι τούτου αἰτιώτερον ἡ εἰς τὴν ἀγορὰν ἄφιξις. ἀπορεῖται
20 οὖν, φησίν, ἐπὶ τούτων, εἰ δεῖ τὰ τυχόντα ὡς αἴτια ἀποδιδόναι ⟨τῆς τύ-
χης⟩. τύχην δὲ τὸ ἀπὸ τῆς τύχης ἀποβὰν ἀποτέλεσμα ἐκάλεσεν.

p. 197ᵃ23 Οἷον ὑγιείας ἢ τὸ πνεῦμα ἢ ἡ εἰληθέρησις, ἀλλ' οὐ τὸ ἀποκείρασθαι.

Ἔστι γὰρ προσεχέστερον μὲν τῆς ὑγείας ἐν τούτοις ἢ τὸ πνεῦμα ἢ ⟨ἡ⟩
25 εἰληθέρησις, τουτέστιν ἡ ἐκ τοῦ ἡλίου θερμασία, πορρωτέρω δὲ τὸ ἀπο- 30

---

1 αἰτίων Lt: αἰτιῶν MK ἐν] ὡς οὐ L 2 προσεχέστερα K: προσεχεστέρα (LM)t ἅπαντά ἐστιν αἴτια Mt 3 τὴν om. Mt 4 ὑπαντίσας K 6 αἴτιον LK: om. Mt 7 τοῦ L: τῷ K: τὸ Mt χρεοστοῦντι K: στρεωστοῦντι L 8 προσέτρίψε ante correct. M 10 τὴν om. L 11 αὕτη K ἄρα (sic) L: compend. sine accentu (hic et v. 2) K: ἀρ' M: ἄρ' t 12. 13 τῶν ἀπὸ τύχης—εἶναι LK: om. M: ὡς μὲν οὖν πρὸς τὸ ἀπὸ τύχης interpolat t 13 αἴτια K: αὐτοῦ L ἢ τῷ πόρρω L 14 πάντα ταῦτα LK: ταῦτα πάντα Mt αἴτια M: αἰτία (LK)t τὴν om. Mt 16 αὕτη K 17 ἔλαβεν KMt: ἐπέλαβε L: fortasse ἀπέλαβεν cf. ad p. 274,28 αἰτιωτέρα LK: αἰτιω$^{\tau\rho'}$ M: αἰτιώτερον (ex v. 19) t 18 μὴ om. L ὁ ἐπελθὼν L 19 τούτου LK et ante corr. M: τούτων corr. M et t ἀπο$^{\rho\xi'}$ M: ἀποριτικῶς (sic) t 20 εἴδει τὰ K τὰ] τὲ L 20. 21 τῆς τύχης addidi 21 τῆς om. L 22 ὑγείας L 22. 23 ἢ ἡ—ἀποκείρασθαι om. K 22 ἢ ἡ t: η ἢ L: ἢ (om. ἡ) M εἰληθέρησις M: εἰληθέρησις τουτέστι ἡ ἐκ τοῦ ἡλίου θερμασία· πορρω (ex v. 25) L: εἴλησις ex Arist. t 23 ἀποκείρασθαι L: ἀποκείρεσθαι M: ἀποκεκάρθαι ex Aristotele t cf. Themist. p. 183,23 sq. 24 *στιν γὰρ K: ἔτι γὰρ M μὲν om. L ὑγιείας K 25 ἡ prius addidi εἰληθέρησις M: εἰληθέρησις LK: εἴλησις t ἐκ om. Mt

www.libtool.com.cn

κειρασθαι· ἀσθενῶν γάρ τις ἀπεκείρατο οὐ τοῦ ὑγιᾶναι ἕνεκεν, ἀλλὰ τοῦ g 8v
ἀποθέσθαι τὴν κόμην, εἶτα πνεύματος πνεύσαντος ἢ ὑπὸ ἡλίου θερμανθεὶς
τὴν κεφαλὴν οὐ τοῦ ὑγιᾶναι ἕνεκεν, ἀλλὰ προελθὼν τυχὸν ἐπί τινα ἄλλην
χρείαν, ὑπὸ τῆς θέρμης δὲ τοῦ ἡλίου ἢ τοῦ πνεύματος ἀραιωθείσης τῆς
5 κεφαλῆς, διεφορήθη καὶ ὑγίανε μηδὲν τούτων διὰ τὴν ὑγείαν ποιήσας.
ἔστιν οὖν προσεχέστερον τῇ ὑγείᾳ ἡ εἰληθέρησις, οὐ τὸ ἀποκείρασθαι· ὡς
μὲν οὖν πρὸς τὴν ἔκβασιν τὸ προσεχὲς αἰτιώτερον, ὡς δὲ πρὸς τὸ ἀπὸ 35
τύχης ἁπλῶς οὐδὲν διοίσει τὸ προσεχὲς ἢ πόρρω εἰπεῖν.

p. 197a24 Ἔστι γὰρ ἄλλα ἄλλων ἐγγυτέρω τῶν κατὰ συμβεβηκὸς
10 αἰτίων.

Ἡ ἐπίλυσις τῆς ἀπορίας, ὡς ἂν εἰ ἔλεγεν· ἐπειδὴ τῶν κατὰ συμβεβηκὸς αἰτίων ἄλλα ἄλλων εἰσὶν ἐγγυτέρω τοῦ αἰτιατοῦ, ὡς μὲν πρὸς τὸ κατὰ συμβεβηκὸς αἴτια εἶναι οὐδὲν διαφέρει τὸ ἐγγυτέρω τοῦ πορρωτέρω, ὡς δὲ πρὸς τὴν ἔκβασιν τοῦ πράγματος τὸ προσεχέστερον αἰτιώτερον.

15 p. 197a25 Τύχη δὲ ἀγαθὴ μὲν λέγεται, ὅταν ἀγαθόν τι ἀποβῇ, 40
φαύλη δέ, ὅταν φαῦλόν τι.

Ὅταν τοιοῦτον τέλος ἀπαντήσῃ μὴ προελομένῳ, οἷον ἂν προείλετο, ἀγαθὴ τύχη τὸ τοιοῦτον τέλος λέγεται, κακὴ δὲ τύχη τὸ ἐναντίον· εὐτυχὴς δὲ καὶ δυστυχής, ὅταν ἢ μέγα κακὸν ἢ μέγα ἀγαθὸν κατὰ συμβεβηκὸς
20 ἀπαντήσῃ τέλος.

p. 197a27 Διὸ καὶ τὸ παρὰ μικρὸν ἀγαθὸν ἢ κακὸν λαβεῖν μέγα 45
ἢ ἀτυχεῖν ἢ εὐτυχεῖν ἐστιν, ὅτι ὡς ὑπάρχον λέγει ἡ διάνοια·
τὸ γὰρ παρὰ μικρὸν ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ.

Ὅταν τις περιτυχὼν μεγάλῳ κινδύνῳ ἐγγὺς γένηται τοῦ κινδυνεῦσαι

---

1 ἀπεκείρατο LKM: ἀπεκάρθη t ἕνεκα L 2 θερμανθεὶς (θερμαν M) LKM: ἐθερμάνθη t 3 ὑγιαίνειν K 5 τὴν ὑγίειαν et 6 τῇ ὑγίεια (sic) K 6 εἰληθέρησις t ubi nihil enot. ex LKM 7 τὸ (post ἔκβασιν) om. KM αἰστιώτερον K 9 ἔστιν K γὰρ om. M ἐγγυτέρω KM: ἐγγυτέρων L: ἐγγύτερα ex Aristotele t 10 αἰτιῶν hic et v. 12 KM 13 αἰτία K τὸ] τῶ L πορρωτέρου K et ut videtur M 14 προσεχὲς primitus M 15. 20 om. K 15 ἀγαθὴ] ἀγαθ'' (h. e. ἀγαθὸν) M ὅτε ἀγαθόν τι M 16 φαύλη] φαῦλον L 17 οἷον ἂν κτλ.] non invenit Philoponus in Aristotele quae codex E exhibet εὐτυχία δέ ἐστιν ὅταν ὡς προείλετο κτλ. (cf. Diels *z. Textgesch.* p. 36 sqq.), sed utitur Themistii paraphrasi p. 184 6 illa verba explicantis 18 τέλος λέγεται L: λέγεται τέλος Mt κακὴ] κακεῖ L 19 δυστυχεὶς L 20 τέλος] ἄλλος L 21. 22 ἀγαθὸν — ἐστιν om. K 21 ἀγαθὸν ἢ κακὸν LM: κακὸν ἢ ἀγαθὸν t Aristoteles 22 ἀτυχεῖν ἢ εὐτυχεῖν LM: δυστυχεῖν ἢ εὐτυχεῖν e vulg. Aristot. t: εὐτυχεῖν ἢ ἀτυχεῖν Arist. cod. E (ubi etiam μέγα λαβεῖν) et Simplic. p. 344,29 ὑπάρχον KMt: ὑπαρ L 24 τις ὁ M περιπεσὼν L

www.libtool.com.cn

καὶ μεγάλῳ περιπεσεῖν κακῷ, οἷον ναυαγίῳ ἢ ἄλλῳ τινί, εἶτα μικροῦ λεί- g 8v
ποντος εἰ τὸν κίνδυνον ἐκφύγῃ, εὐτυχῆ τὸν τοιοῦτον καλοῦμεν, διότι παρ'
ὀλίγον τῷ κινδύνῳ προσομιλήσας ἐξέφυγεν. ὁμοίως δὲ καὶ δυστυχῆ τὸν
παρὰ μικρὸν μέγα ἀγαθὸν κτησάμενον· οὕτως γὰρ δυστυχής, φαμέν, ἐστὶν 50
5 ὁ δεῖνα, ὥστε εἰς αὐτὸ τὸ τυχεῖν τῶνδε ἢ τῶνδε τῶν καλῶν ἐλθών, εἶτα
δι' ὀλίγον ἀπέτυχεν. ἐπειδὴ γὰρ τὸ παρὰ μικρὸν οὐδὲν δοκεῖ τοῦ τέλους
ἀπέχειν, οὐ λογιζομένη τὸ μικρὸν τοῦτο ἡ διάνοια, ὥσπερ ἐκβεβηκότων
τούτων, οὕτως εὐτυχῆ ἢ δυστυχῆ τὸν πεσόντα καλεῖ· τὸν γὰρ παρὰ μικρὸν
μεγάλῳ κινδύνῳ ὁμιλήσαντα, ὡς ἤδη ἐμπεπτωκότα εἰς τὸν κίνδυνον θεω-
10 ροῦσα ἡ διάνοια διὰ τὸ μὴ λογίζεσθαι τὸ μικρόν, εἶτα ἐκ τοῦ κινδύνου
αὐτὸν ἐκφεύγοντα, οὕτως εὐτυχῆ | καλεῖ. καὶ δυστυχῆ ὁμοίως τὸν παρ' h 1r
ὀλίγον μεγάλων τυχόντα ἀγαθῶν· ὡς γὰρ ἤδη τυχόντα τῶν ἀγαθῶν θεω-
ροῦσα καὶ μὴ λογιζομένη τὸ μικρόν, εἶτα τούτων ἀποτυχόντα δυστυχῆ
καλεῖ. καὶ γὰρ εὐτυχεῖς μὲν εἰώθαμεν λέγειν οὐ τοὺς ἐκ προγόνων πλου-
15 σίους καὶ εὐδαίμονας, ἀλλὰ τοὺς ἐξ ἀφανῶν καὶ ἀτυχῶν ἐξαίφνης εἰς εὐ-
δαιμονίαν μεταβαίνοντας, καὶ δυστυχεῖς ὁμοίως μάλιστα τοὺς ἐξ εὐδαιμονίας
καταπίπτοντας.

p. 297a30 Ἔτι ἀβέβαιος ἡ εὐτυχία εὐλόγως. 5

Ὅτι κατὰ λόγον τοῦ ὁρισμοῦ τῆς τύχης ἀβέβαιος λέγεται ἡ εὐτυχία·
20 τὸ γὰρ βέβαιον ἢ ἐν τοῖς ἀναγκαίοις ἐστὶν ἢ ἐν τοῖς ὡς ἐπὶ τὸ πολύ, ἡ
δὲ τύχη τῶν ἐπ' ἐλαττον, οὐκ ἄρα βέβαιος ἡ τύχη. διὰ τοῦτο καὶ ἡ εὐ-
τυχία ἀβέβαιος.

p. 197a32 Ἔστι μὲν οὖν ἄμφω αἴτια, καθάπερ εἴρηται, κατὰ 10
συμβεβηκὸς δέ, ἡ τύχη καὶ τὸ αὐτόματον.

25 Δείξας καὶ ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον καὶ τί ἐστι, καὶ ἐφαρ-
μόσας τῷ ὁρισμῷ τῷ ἀποδεδομένῳ τῆς τύχης τὰ κατὰ κοινὴν ἔννοιαν
ὑπάρχειν αὐτῇ δοκοῦντα, μετεισιν ἐπὶ τὰ λοιπὰ τῶν προβλημάτων· ταῦτα

---

1 περιπεσὼν L ναβαγίω K 1. 2 λειπόντος (sic) K 2 εἰ KM: om. (L)t
3 δὲ om. L 4 οὕτω t φα μὲν M ἐστὶν] ἔστιν t: εἶναι LKM
5 δεῖνα K 6 ὀλίγων M et compend. K γὰρ (L)t: om. KM 7 et 10 ἡ om. K 7. 8 ἐκβεβηκότων τῶν οὕτως ἢ εὐτυχῆ ἢ L 8 περιπεσόντα L
9. 10 θεωροῦ (sic) L 10 εἶτα τούτων ἀποτυχόντα ἐκ (ex v. 13) M 11 αὐτοῦ L
ἐκφεύγοντα KM: ἐκπεφευγότα L: ἐκφυγόντα fort. recte t 12 ὀλίγων compend. (cf. ad v. 6 et p. 10,32) K ὡς γὰρ—ἀγαθῶν om. L 13 μικρόν] ἀγαθὸν L 15 ἐξέφνης K
17 μεταπίπτοντας L 18. 24 om. K 18 ἀβέβαιος L: ἀβέβαιον Mt at cf. Themist. p. 184,16 Simplic. p. 344,35 19 λόγους L 20 ἐστὶν post ἀναγκαίοις exhibet L: post πολύ traic. Mt 21 βέβαιος L: ἀβέβαιος Mt ἡ τύχη τῶν ἐπ' ἔλαττον εἰ διατοῦτο L 23 αἰτία L 24 δὲ ἡ L: ἡ M: καὶ ἡ recte t ex Aristotele cf. p. 283, 17 sq. 25 καὶ (ante ὅτι) KMt: om. L 27 αὐτῷ L

www.libtool.com.cn

δὲ ἦν τί τε διαφέρουσιν ἀλλήλων ἡ τύχη καὶ τὸ αὐτόματον, καὶ ἐν ποίῳ h 1r
τρόπῳ τῶν αἰτίων ἀνάγονται. πρὸ τούτων δὲ περὶ τοῦ κοινοῦ αὐτομάτου 15
διαλέγεται, καὶ δείκνυσιν ὅτι ἐπὶ πλέον ἐστὶ τῆς τύχης, συλλογισμῷ χρώμενος ἐν τρίτῳ σχήματι τοιούτῳ· ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τὸ
5 αὐτόματον ὑπάρχει, ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει, τὶ ἄρα αὐτόματον τύχη οὐκ ἔστιν. ὁ μὲν οὖν συλλογισμὸς οὗτος, κατασκευάζει δὲ ἀμφοτέρας τὰς προτάσεις ὁ Ἀριστοτέλης, τὴν μὲν καταφατικὴν ἐκ τῆς ἐπαγωγῆς· λέγομεν γὰρ ὅτι αὐτομάτως κατηνέχθη ὁ λίθος, ὅταν μὴ ἀπό τινος προνοίας κατηνέχθη, καὶ αὐτομάτως ἐσώθη ὁ ἵππος,
10 ὅτι κατέβαλε τὸν δεσπότην καὶ ἔφυγε διψήσας ἐκ τῆς φάλαγγος, συνέβη δὲ 20
συμβολῆς γενομένης τὸν δεσπότην τελευτῆσαι· λέγεται οὖν ὁ ἵππος ἐκ ταὐτομάτου σωθῆναι. καὶ τὰ παιδία δὲ ἐκ ταὐτομάτου παθεῖν τι κατὰ τὸν αὐτὸν τρόπον λέγοιτο ἄν, οἷον φέρε εἰ ἀποπλανηθέντα τῆς τροφοῦ μηδενὸς ἄγοντος οἴκαδε ἐπανέλθῃ, οὐ γινώσκοντα ποῦ φέρεται· λέγεται γὰρ
15 ἐκ ταὐτομάτου ἐπανελθεῖν. οὕτως καὶ ἐπὶ τελείων, ὅταν μὴ ἐφιστάνοντος τοῦ λογισμοῦ γίνηται κίνησις, αὐτομάτως φαμὲν κινεῖσθαι τοὺς πόδας·

αὐτομάτοις δὲ πόδεσσι θοῶς ἐπεβήσατ' ἀπήνης. 25

τὴν δ' ἀποφατικὴν κατασκευάζει διὰ συλλογισμοῦ ἐν δευτέρῳ σχήματι, λαμβάνων μέσον ὅρον τὴν εὐτυχίαν· ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων
20 εὐτυχία οὐχ ὑπάρχει, ἐφ' ὧν τύχη ὑπάρχει καὶ εὐτυχία ὑπάρχει, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει. πόθεν δὲ ὅτι ἡ εὐτυχία οὐδενὶ τῶν παίδων ὑπάρχει καὶ τῶν ἀλόγων καὶ τῶν ἀψύχων; δείκνυσι πάλιν τοῦτο διὰ μέσης τῆς εὐδαιμονίας ἐν δευτέρῳ σχήματι· παισὶ καὶ ἀψύχοις καὶ ἀλόγοις εὐδαιμονία οὐχ ὑπάρχει, οἷς ὑπάρχει εὐτυχία 30
25 καὶ εὐδαιμονία ὑπάρχει. παισὶν ἄρα καὶ ἀψύχοις καὶ ἀλόγοις εὐτυχία οὐχ ὑπάρχει. πόθεν δὲ ὅτι παισὶ καὶ ἀψύχοις καὶ ἀλόγοις εὐδαιμονία οὐχ ὑπάρχει; δείκνυσι διὰ μέσης τῆς εὐπραξίας ἐν δευτέρῳ πάλιν· ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων εὐπραξία οὐχ ὑπάρχει, οἷς εὐδαιμονία ὑπάρχει καὶ εὐπραξία ὑπάρχει, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων εὐδαιμονία
30 οὐχ ὑπάρχει. πόθεν δὲ πάλιν ὅτι ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων

---

1 δὲ ἦν L: δῖην K: δ' ἦν Mt ἀλλήλων post αὐτόματον traic. Mt 2 αἰτίων L: αἰτιῶν KMt 3 ἐπὶ om. L τῆς τύχης ἐστὶ Mt 5. 6 ἐπὶ — οὐχ ὑπάρχει om. K 5 σύλλογος K τοιοῦτος L 7 ὁ] εἰς τὸ (sic) K 8. 9 ὅτι αὐτομάτως — κατηνέχθη, καὶ L: om. KMt 9 ὅταν L: immo ὅτι αὐτομάτως ἐσώθη ὁ ἵππος KMt: ὁ ἵππος αὐτομάτως ἐσώθη L 10 κατέβαλε μὲν τὸν L 13 λέγοι ἄν K τῆς τροφοῦ KM: τῶν τροφῶν t 14 οἴκαδε] εἴκαδὲ K ἐπανέλθῃ LK: ἐπανέλθοι Mt 16 γένηται L 17 αὐτομάτοις κτλ.] Apoll. Rhod. 3,1152 ubi θοῆς πόδεσι LK θοως sine accentu KM ἐπεβήσατ' Mt: ἐπεβήσατε K: ἐπιβήσατο L 18 διὰ συλλογισμοῦ] διάστυλλος K 19 λαβὼν L ὅρον K 21 ὅτι ἡ LK: ὅτι ἡ M: ὅτι (om. ἡ) t 22 τῶν (ante ἀψύχων) om. Mt 24 καὶ ἀλόγοις καὶ ἀψύχοις L ἀλόγοις K 25 ἄρα καὶ ἀλόγοις καὶ ἀψύχοις Mt εὐτυχία K: εὐδαιμονία L: εὐδαιμονία Mt 26 καὶ ἀλόγοις καὶ ἀψύχοις Mt 28. p. 282,1 οἷς—εὐπραξία οὐχ ὑπάρχει LK: mittit M: ἐφ' ὧν εὐπραξία, καὶ εὐδαιμονία ὑπάρχει· ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων εὐδαιμονία οὐχ ὑπάρχει· πόθεν δ' ὅτι εὐπραξία οὐχ ὑπάρχει de coniectura supplevit t

www.libtool.com.cn

εὐπραξία οὐχ ὑπάρχει; δείκνυσι τῷ αὐτῷ σχήματι διὰ μέσης τῆς πράξεως· h 1r
ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων πρᾶξις οὐχ ὑπάρχει, ἐφ' ὧν εὐπραξία
καὶ δυσπραγία ὑπάρχει πρᾶξις ὑπάρχει, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ
ἀλόγων οὔτε εὐπραγία οὔτε δυσπραγία ὑπάρχει. δῆλον δὲ ὅτι ἀκριβείας
5 ἕνεκεν καὶ ἐπὶ τῆς εὐτυχίας καὶ εὐδαιμονίας τὰ ἀντικείμενα δεῖ λαβεῖν·
ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων εὐτυχία καὶ δυστυχία οὐχ ὑπάρχει,
οἷς τύχη ὑπάρχει εὐτυχία ἢ δυστυχία ὑπάρχει * * * ὁμοίως καὶ ἐπὶ τῆς
εὐδαιμονίας· ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων εὐδαιμονία ἢ κακοδαι-
μονία οὐχ ὑπάρχει, οἷς εὐτυχία ἢ δυστυχία ὑπάρχει εὐδαιμονία ἢ κακοδαι-
10 μονία ὑπάρχει, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων εὐτυχία ἢ δυστυχία
οὐχ ὑπάρχει. ὁμοίως καὶ ἐπὶ εὐπραξίας. καὶ ὁ μὲν Ἀριστοτέλης μέχρι
τῆς πράξεως ἔστη, λαβὼν ὁμολογούμενον ὅτι ἐπὶ παίδων καὶ ἀψύχων καὶ
ἀλόγων πρᾶξις οὐχ ὑπάρχει, κατασκευάσεις δὲ καὶ τοῦτο διὰ μέσης τῆς
προαιρέσεως· ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων προαίρεσις οὐχ ὑπάρχει
15 (οὐδὲν γὰρ αὐτῶν αἱρεῖται τόδε τι πρὸ τοῦδε), ἐφ' ὧν πρᾶξις ὑπάρχει καὶ
προαίρεσις ὑπάρχει, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων πρᾶξις οὐχ
ὑπάρχει. συνθήσεις οὖν τὸν ὅλον συλλογισμὸν οὕτως· ἐπὶ παίδων καὶ
ἀψύχων καὶ ἀλόγων προαίρεσις οὐχ ὑπάρχει· ἐφ' ὧν προαίρεσις οὐχ
ὑπάρχει οὐδὲ πρᾶξις, ἐφ' ὧν πρᾶξις οὐκ ἔστιν οὐδὲ εὐπραξία, ἐφ' ὧν
20 εὐπραξία οὐκ ἔστιν οὐδὲ εὐδαιμονία, ἐφ' ὧν εὐδαιμονία οὐκ ἔστιν οὐδὲ
εὐτυχία, ἐφ' ὧν εὐτυχία οὐκ ἔστιν οὐδὲ τύχη, ἐπὶ παίδων ἄρα καὶ ἀψύχων
καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει· ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων τὸ
αὐτόματον ὑπάρχει (ὡς ἐδείξαμεν διὰ τῆς ἐπαγωγῆς)· τὶ ἄρα αὐτόματον
τύχη οὐκ ἔστιν, ὅπερ ἐξ ἀρχῆς προέκειτο δεῖξαι. λέγεται δέ, φησί, καὶ ἐπὶ
25 τῶν τυχαίων τὸ αὐτόματον (τοῦτο γὰρ λοιπὸν ἐκ τῆς χρήσεως λαμβάνει,
ὅτι λέγονται καὶ τὰ ἀπὸ τύχης ἐκβαίνοντα ἐκ ταὐτομάτου γίνεσθαι), ἐπὶ
πλέον ἄρα τῆς τύχης τὸ αὐτόματον· εἰ γὰρ πᾶσα μὲν τύχη καὶ αὐτόματον
(ὡς ἡ τῶν ἀνθρώπων χρῆσις δηλοῖ), οὐ πᾶν δὲ αὐτόματον καὶ τύχη (ὡς
ὁ συλλογισμὸς ἔδειξεν), ἐπὶ πλέον ἄρα τῆς τύχης τὸ αὐτόματον. εἰ δέ τις
30 ἀπόδειξιν ζητοίη τοῦ ὅτι καὶ τὰ τυχαῖα λέγονται ἐκ ταὐτομάτου, ἔστω

---

1 fort. δείκνυσιν ⟨ἐν⟩ τῷ 2 πρᾶξις] πράξεις K οὐχ' ὑ (incipit nova pagina) οὐχ' ὑπάρχει M 2. 3 ἐφ' ὧν εὐπραγία ἢ δυσπραγία οὐχ ὑπάρχει L 3 πρᾶξις ὑπάρχει Mt: πράξειν ὑπάρχει K: καὶ πρᾶξις οἷς ὑπάρχει L 4 εὐπραγία KMt: εὐπραξία L 5 εὐτυχίας] τύχης L 7 ante ὁμοίως lacunam indicavi; exciderunt ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει 8. 9 εὐδαιμονία δὲ ἢ κακοδαιμονία (om. οὐχ ὑπάρχει) L 10 οὐχ ὑπάρχει L εὐτυχία καὶ δυστυχία L 11 εὐπραξίας LK: εὐπρα/ (litteris ίας compendiose additis) M: εὐπραγίας t 13 τῆς L: om. KMt 14 προαίρεως (sic) K 15 τι om. L cf. p. 268,13 17 ὅλον συλλογισμὸν] ὁλλ̣ K 19. 20 οὐδὲ εὐπραξία — εὐδαιμονία οὐκ ἔστιν iterat L 20 εὐπραξία LK: compend. (cf. v. 11) M: εὐπραγία t εὐδαιμονία (altero loco) LK: εὐτυχία Mt 21 εὐτυχία (priore loco) K: εὐπραξιατυχία (πραξια del. eadem man.) L: εὐδαιμονία Mt 21. 22 ἄρα καὶ ἀλόγων καὶ ἀψύχων K 23 ἐδίξαμεν K 24 δέ om. L 27. 29 εἰ γὰρ πᾶσα — τῆς τύχης τὸ αὐτόματον om. Mt 27 καὶ (ante αὐτόματον) L: om. K 30 ὅτι] οὔτι L τύχαια K

www.libtool.com.cn

μὴ περὶ πράγματος σημασίας, ἀλλὰ περὶ χρήσεως ἀνθρώπων ζητῶν ἀπόδειξιν, h 1r
χρήσεως δὲ ἀπόδειξις οὐδεμία ἄλλη ἢ ἡ τῶν ἀνθρώπων συνήθεια. πλὴν
φαίνεται ἡ χρῆσις οὐ μόνον | ἐπὶ τῶν κατὰ τύχην φέρουσα τὸ αὐτόματον h 1v
(φαμὲν γὰρ ὅτι ἐκ ταὐτομάτου συνέτυχον τῷ φίλῳ), ἀλλὰ καὶ ἐπὶ τῶν ἐκ
5 ταὐτομάτου τὸ κατὰ τύχην· λέγομεν γὰρ κατὰ τύχην σωθῆναι τὸν ἵππον
ἐκ τῆς φάλαγγος ἕνεκα τοῦ πιεῖν φυγόντα, καὶ ὅτι ἔτυχε πεσόντα τὸν
λίθον ἐπιτήδειον εἰς καθέδραν γενέσθαι· οὐδὲν δὲ πρᾶγμα περὶ χρήσεως
ὀνομάτων ἐπὶ πολὺ διατείνεσθαι, τῆς σημασίας τῶν πραγμάτων μηδὲν βλαπτο-
μένης. μετὰ ταῦτα διακρίνει τὸ ἰδικὸν αὐτόματον τοῦ ἀπὸ τύχης, λέγων 5
10 ἐκεῖνα ἅπερ πολλάκις εἰρήκαμεν, ὅτι ἡ μὲν τύχη τοῖς κατὰ προαίρεσιν γι-
νομένοις ἀκολουθεῖ, τὸ δὲ ἰδίως λεγόμενον αὐτόματον τοῖς κατὰ φύσιν. εἶτα
διακρίνας αὐτὰ ἀπ' ἀλλήλων ζητεῖ τὸ ἔτι λειπόμενον πρόβλημα, ἐν ποίοις
τῶν αἰτίων αὐτὰ κατατακτέον, καὶ δείκνυσιν ὅτι ἐν τοῖς ποιητικοῖς· εἰ γὰρ
ἢ τῶν ἀπὸ φύσεως ἢ τῶν ἀπὸ διανοίας κατὰ συμβεβηκὸς γινομένων αἴτιον
15 ἡ τύχη καὶ τὸ αὐτόματον, διάνοια δὲ καὶ φύσις ποιητικὰ αἴτια, καὶ ἡ τύχη
ἄρα καὶ τὸ αὐτόματον τῶν ποιητικῶν ἂν εἶεν αἰτίων. 10

Ἔστι μὲν οὖν ἄμφω αἴτια, καθάπερ εἴρηται, κατὰ συμβε-
βηκός, καὶ ἡ τύχη καὶ τὸ αὐτόματον. κοινόν, φησί, τοῦτο τῇ τύχῃ
καὶ τῷ αὐτομάτῳ ὑπάρχει τὸ εἶναι αἴτια κατὰ συμβεβηκὸς τῶν ἐπ' ἔλαττον
20 γινομένων οὐ πάντων, ἀλλ' ὅσα ἂν γένοιτο ἕνεκά του· ἔστι γάρ τινα
τῶν ἐπ' ἔλαττον καὶ μάτην γινόμενα, ὡς εἴ τις κινοίη τὴν τρίχα τοῦ γε-
νείου μὴ συνεχῶς· τοῦτο γὰρ οὔτε ἕνεκά τού ἐστι (μάτην γάρ), οὔτε τοῖς
ἕνεκά του γινομένοις παρακολουθεῖ. καὶ τούτων ὅσα ἂν γένοιτο ἕνεκά
του ἀντὶ τοῦ ὅσα ἂν παρακολουθήσειε τοῖς ἕνεκά του γινομένοις· οὐ γὰρ 15
25 τὰ ἐκ ταὐτομάτου γινόμενα ἕνεκά του γίνεται. οὐδὲ γὰρ ἡ κομιδὴ τοῦ
ἀργυρίου ἕνεκά τού ἐστιν, ἀλλ', εἰ ἄρα, οὗ ἕνεκά ἐστι, καὶ τοῦτο κατὰ
συμβεβηκός· τῇ γὰρ προόδῳ ἕνεκα λουτροῦ γενομένῃ ἐπηκολούθησε τοῦτο,
ὥστε ἡ κομιδὴ κατὰ συμβεβηκὸς τέλος καὶ οὗ ἕνεκα τῆς προόδου, καὶ ἡ

---

1 μὴ παρὰ πραγμάτων L 2 δὲ om. M 3 φαίνηται K 5 γὰρ κατὰ τύχην scripsi: κατὰ τύχην γὰρ Mt: γὰρ om. LK τὸν ἵππον τὸν K 6 ἕνεκεν L τύ χ M: ἔτυχεν t 7 ἐπιτήδειον εἰς καθέδραν LK: εἰς καθέδραν β ἐπιτήδειον M: εἰς ἐπιτήδειον καθέδραν t δὲ om. Mt 8. 9 βλαπόμ ε (sic) K 9 ἰδικὸν K: εἰδικὸν LMt 11 αὐτόματον om. Mt 12 αὐτὰ Mt: αὐτὰ K: ταῦτα L ζητεῖτο τι K 13 αἰτιῶν hic et v. 16 KM κατατακτέον Mt: κατακτέον LK at cf. v. 293,4 καὶ δείκνυσιν ὅτι LK: om. M: ὅτι t 14 φύσεων L 15 ποιητικὰ L: ποιητικὴ LMt 17 αἰτία K 17. 18 καθάπερ — αὐτόματον om. K 18 καὶ L: ἡ Mt αὐτόματον, ἐν τοῖς ἐνδεχομένοις γενέσθαι μὴ ἁπλῶς· μηδ' ὡς ἐπὶ τὸ πολὺ· καὶ τούτων ὅσα ἂν γένοιτο ἕνεκά του continuat ex Aristot. L κοινόν] κον'' (sic) M φασι L τῇ τύχῃ om. Mt 19 καὶ τὸ αὐτόματον L 21 μάτην] τ (sic) L 22 γὰρ οὔθ' t 23 τὸ ἄρα ante καὶ τούτων fortasse recte addit L γίνοιτο L 24. 25 οὐ γὰρ τὰ ἐκ ταυτομάτου γι- in erasis K 25 οὐ γὰρ δὲ K 27 γινομένη L 28 τέλος om. L τῆς] τοῦ L

www.libtool.com.cn

πρόοδος κατὰ συμβεβηκὸς ἕνεκα τῆς κομιδῆς, ἥτις καὶ καλεῖται αὐτόματον h 1v
καὶ κατὰ συμβεβηκὸς αἴτιον τῆς κομιδῆς.

p. 197a36 Διαφέρει δὲ ὅτι τὸ αὐτόματον ἐπὶ πλέον ἐστίν.

Εἰπὼν κατὰ τί κοινωνοῦσι, λέγει καὶ τί διαφέρουσι· διαφορὰν δὲ αὐτῶν λέγει οὐ τῆς τύχης καὶ τοῦ ἰδίως λεγομένου αὐτομάτου τοῦ ἀντιδιαστελλομένου τῇ τύχῃ (τοῦτο γὰρ ἐφεξῆς ποιεῖ), ἀλλὰ τοῦ κοινοῦ αὐτομάτου, ὥσπερ ἂν εἰ καὶ ζῴου καὶ ἀνθρώπου τὴν διαφοράν τις ἔλεγεν, ὅτι διαφέρει τὸ ζῷον τοῦ ἀνθρώπου τῷ ἐπὶ πλειόνων κατηγορεῖσθαι τὸ ζῷον. τοῦτο οὖν φησὶ καὶ νῦν, ὅτι ταύτῃ διαφέρει τῆς τύχης τὸ αὐτόματον, ὅτι ἐφ' ὧν μὲν ἡ τύχη κατηγορεῖται ἐπὶ τούτων καὶ τὸ αὐτόματον, ἐφ' ὧν δὲ τὸ αὐτόματον οὐ πάντως τὸ ἀπὸ τύχης· ὥστε δῆλον ὅτι ἐπὶ πλέον τὸ αὐτόματον τῆς τύχης. ὅτι μὲν οὖν ἐφ' ὧν ἡ τύχη ἐπὶ τούτων καὶ τὸ αὐτόματον, λαμβάνει ὡμολογημένον ἐκ τῆς χρήσεως (χρήσεως γὰρ ἤρτηται ἡ τούτου ἀπόδειξις, οὐ λόγου), ὅτι δὲ ἐφ' ὧν τὸ αὐτόματον οὐ πάντως καὶ ἡ τύχη, κατασκευάζει διὰ συλλογισμοῦ, ὃν ἤδη προεξεθέμεθα. ἔστι δὲ οὗτος· ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τὸ αὐτόματον θεωρεῖται, ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τύχη οὐ θεωρεῖται, τὶ ἄρα αὐτόματον τύχη οὐκ ἔστι. τούτων οὖν τῶν δύο προτάσεων τὴν μὲν κατηγορικὴν ἐσχάτην τίθησι καὶ πιστοῦται ἐκ τῆς ἐπαγωγῆς, ὡς ὑπομνήσομεν ἐν τῷ τόπῳ, τὴν δ' ἀποφατικὴν πρότερον κατασκευάζει, εἶτα ἐκτίθεται· κατασκευάσας γὰρ πρότερον ἐπὶ ποίων ἂν ἡ τύχη κατηγοροῖτο τῶν ὁποίαν φύσιν ἐχόντων, τότε λοιπὸν ἐφαρμόζει τὰ εἰρημένα ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, ὅτι μὴ ὑπάρχει αὐτοῖς τύχη, διότι μηδὲ ταῦτα περὶ ἃ ἡ τύχη θεωρεῖται.

p. 197b1 Ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἔστιν ἐν οἷς καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειε καὶ ὅλως πρᾶξις· διὸ ἀνάγκη περὶ τὰ πρακτέα εἶναι τὴν τύχην.

Εἰ ἡ τύχη διῄρηται εἰς εὐτυχίαν καὶ δυστυχίαν, ἐν οἷς ἄρα μήτε

---

1 αὐτόματον compend. M: αὐτομάτως t 3 ὅτι—ἐστίν om. K τὸ LM: μὲν t πλέον LM: πλεῖόν t 4 καὶ τ[] κατὰ τί L δὲ om. superscr. K 5 οὐ] ὅτι L λεγομένου post αὐτομάτου colloc. Mt 6 ἀλλ' οὐ τοῦ L 11 [illegible] om. L 12 ὅτι μὲν] ἔστι μὲν L ἡ om. K 13 εἰ ὡμολογημένον L alterum χρήσεως om. L 14 τούτων Mt ἀπόδοσις ὁ λόγος L 15 συλλογισμ[illegible] (ad διὰ nihil adnot.) L προεξέμεθα L 16 δὲ καὶ οὗτος (corrupta fortasse ex τοιοῦτος) L 16. 17 παίδων utrobique L 17 καὶ ἀψύχων καὶ ἀλόγων LK: καὶ ἀλ[illegible]γων καὶ ἀψύχων Mt τί ἄρα KM: τί ἄρα τὸ L: τὸ ἄρα t 18 ἔσται L 19 ὑπ[illegible]γωγῆς 19. 20 ἐν τῷ τόπῳ p. 287,23 sqq. 20 ἀποφαντικὴν Mt 20. 21 κα[illegible]σκευάσαν γὰρ M 22 ἐφαρμόττει L 23 post ἃ addit καὶ t 25. 27 καὶ ἀπὸ—τύχην om. K 25 ἐν οἷς libri: οἷς Themistius p. 184,24: ὅσοις vel ἐν ὅσοις A: [illegible]stotelis libri 26 διὸ L: διὸ καὶ Mt Aristoteles 27 πρακτὰ Aristoteles (cf. p. 286,1[illegible] at cf. p. 285,11

www.libtool.com.cn

εὐτυχίαν δυνατὸν ὑπάρξαι μήτε δυστυχίαν, ἐν τούτοις δῆλον ὅτι οὐδὲ τύχην. h 1v
θάτερον δὲ τῶν ἐναντίων αὐτὸς εἶπε μόνον, τὴν εὐτυχίαν, ὡς προδήλου ὄντος ὅτι ἐφ' ὧν πέφυκε θάτερον τῶν ἐναντίων εἶναι, ἐπὶ τούτων καὶ τὸ λοιπόν· ὥστε ἐφ' ὧν εὐτυχίαν ἀδύνατον ὑπάρξαι, ἐπὶ τούτων καὶ δυστυχίαν ἀδύνατον. ὅτι μὲν οὖν ἐφ' ὧν εὐτυχία ἐπὶ τούτων καὶ τύχη, πρόδηλον, μαθεῖν δὲ λείπεται ἐπὶ τίνων ἡ εὐτυχία. φησὶν οὖν ὅτι ἐπὶ τούτων εὐτυχία λέγεται ἐφ' ὧν καὶ ἡ πρᾶξις· εὐπραγία γάρ τίς ἐστιν ἡ εὐτυχία. ὅτι δὲ ἐφ' ὧν εὐτυχία ἐπὶ τούτων καὶ πρᾶξις, δείκνυσι διὰ μέσης τῆς εὐδαιμονίας. ἐπάγει οὖν οὕτως· σημεῖον δὲ ὅτι δοκεῖ ἤτοι ταὐτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἢ ἐγγύς, ἡ δὲ εὐδαιμονία πρᾶξις· εὐπραξία γάρ. σημεῖον, φησί, τοῦ τὴν τύχην περὶ τὰ πρακτέα εἶναι, ὡς δὴ πράξεώς τινος οὔσης τῆς τύχης καὶ τῆς μὲν εὐτυχίας εὐπραγίας τῆς δὲ δυστυχίας κακοπραγίας, ὅτι δοκεῖ ἡ εὐτυχία ἢ μηδὲν διαφέρειν τῆς εὐδαιμονίας ἢ ἐγγὺς αὐτῆς εἶναι· ἡ δ' εὐδαιμονία, φησί, πρᾶξίς τίς ἐστιν. εἶτα πόθεν ὅτι πρᾶξις; κατασκευάζει διὰ τῆς εὐπραξίας· ἡ γὰρ εὐδαιμονία, φησίν, εὐπραξία τίς ἐστιν, ἡ δὲ εὐπραξία πρᾶξίς τις, ἡ εὐδαιμονία ἄρα πρᾶξίς τις· εἰ τοίνυν ἡ μὲν εὐτυχία ταὐτὸν τῇ εὐδαιμονίᾳ, ἡ δὲ εὐδαιμονία πρᾶξίς τις, καὶ ἡ εὐτυχία ἄρα πρᾶξίς τις· | ἐστὶ δὲ ἡ εὐτυχία h 2r
τύχη τις, ἡ τύχη ἄρα πρᾶξίς τις. καὶ ἔστιν ἐν τῷ τρίτῳ σχήματι ὁ συλλογισμός· πᾶσα εὐτυχία τύχη, πᾶσα εὐτυχία πρᾶξίς τις, ἡ τύχη ἄρα πρᾶξίς τίς ἐστιν· εἰ τοίνυν ἡ τύχη πρᾶξίς ἐστιν, ἐφ' ὧν ἄρα μὴ ἔστι πρᾶξις, ἐπὶ τούτων οὐδὲ τύχη ἂν εἴη. καὶ αὐτὸς μέν, ὡς ἔμπροσθεν εἶπον, μέχρι τῆς πράξεως προάγει τὸν λόγον, εἰ δὲ ζητεῖς ἐπὶ τίνων ἡ πρᾶξις, φημὶ ἐφ' ὧν καὶ προαίρεσις. εἰ τοίνυν πᾶσα τύχη πρᾶξίς ἐστιν, ἡ δὲ πρᾶξις ἐπὶ τούτων ἐστὶν ἐφ' ὧν προαίρεσις, ἡ τύχη ἄρα ἐπὶ τούτων ἐστὶν ἐφ' ὧν καὶ ἡ προαίρεσις· εἰ δὲ ἡ τύχη ἐπὶ τούτων ἐστὶν ἐφ' ὧν καὶ ἡ προαίρεσις, ἐφ' ὧν ἄρα μὴ ἔστι προαίρεσις ἐπὶ τούτων οὐδὲ τύχη ἐστίν. οὕτως οὖν δείξας ἐν τίσιν ἐστὶν ἡ τύχη, ὅτι ἐν οἷς καὶ ἡ πρᾶξις καὶ ὅτι

---

3 ἐφ' ὧν Mt: ἐφὸν K: ἐφ' ὦ L 4 ὥστε ἐφὼν K 5 ὅτι μὲν] ὁ μὲν K
καὶ ἡ τύχη K 6 ἐπὶ τίνων LK: ὅτι ἐπί τινων M: τὸ ἐπὶ τίνων t 7 λέγεται
εὐτυχία L 8 δὲ om. K ἐφ' ὧν ἡ εὐτυχία Mt δείκνυσι LK: δείκνυσι
δείκνυσι M: δείκνυσι· δείκνυσι δὲ t τῆς L: om. KMt 9 γοῦν L 9. 11 ἤτοι—
γάρ om. K 9 τὸ αὐτὸ L 10 τῇ εὐδαιμονίᾳ LM et Aristotelis cod. F: τῇ εὐδαιμονίᾳ ἡ εὐτυχία e vulg. Arist. t at cf. p. 286,9 ἡ δ' t πρᾶξίς τις ex Aristot. t
εὐπραξία Mt: εὐπραγία L 11 τὴν om. L πρακταῖα K εἶναι ante περὶ
praecicit L 14 αὐτῆς K 15. 16 εἶτα—εὐπραξία τίς ἐστιν iterant LMt et in itetatis τὸ pro πόθεν exhibet (L)t, εὐπραγίας pro εὐπραξίας L 17. 18 εἰ τοίνυν—εὐδαιμονία πρᾶξίς τις om. L 18 δὲ ἡ K: δὲ (om. ἡ) L: δὴ Mt 19 πρᾶξίς τίς ἐστι Mt
ᾧ om. L 20 σύλλογ^{o} K 21 ἐστιν (altero loco) om. L 22 ὡς ἐν τοῖς
ἔμπροσθεν L ἔμπροσθεν p. 282,11 23 προάγει LK: προσηγ^{γ}α (sic) M: προσήγαγε t τοῦ λόγου L ζητεῖ M 24 φημὶ ὅτι ἐφ' L τύχη πρᾶξίς τίς ἐστιν L 24 et 26 δὲ (post ἡ et post εἰ) om. L 25 ἐφ' ὧν καὶ προαίρεσις L
26 ἡ prius om. Mt 28 δεῖξαι M 28. p. 286,1 ὅτι ἐν οἷς καὶ ἡ πρᾶξις καὶ ὅτι—οὐδὲ τύχη om. L 28 καὶ ἡ K: om. Mt

www.libtool.com.cn

πρόοδος κατὰ συμβεβηκὸς ἕνεκα τῆς κομιδῆς, ἥτις καὶ καλεῖται αὐτόματον h 1v
καὶ κατὰ συμβεβηκὸς αἴτιον τῆς κομιδῆς.

p. 197a36 Διαφέρει δὲ ὅτι τὸ αὐτόματον ἐπὶ πλέον ἐστίν.

Εἰπὼν κατὰ τί κοινωνοῦσι, λέγει καὶ τί διαφέρουσι· διαφορὰν δὲ αὐ-
5 τῶν λέγει οὐ τῆς τύχης καὶ τοῦ ἰδίως λεγομένου αὐτομάτου τοῦ ἀντιδιαστελλομένου τῇ τύχῃ (τοῦτο γὰρ ἐφεξῆς ποιεῖ), ἀλλὰ τοῦ κοινοῦ αὐτομάτου, ὥσπερ ἂν εἰ καὶ ζῴου καὶ ἀνθρώπου τὴν διαφοράν τις ἔλεγεν, ὅτι διαφέρει τὸ ζῷον τοῦ ἀνθρώπου τῷ ἐπὶ πλειόνων κατηγορεῖσθαι τὸ ζῷον. τοῦτο οὖν φησὶ καὶ νῦν, ὅτι ταύτῃ διαφέρει τῆς τύχης τὸ αὐτόματον, ὅτι
10 ἐφ' ὧν μὲν ἡ τύχη κατηγορεῖται ἐπὶ τούτων καὶ τὸ αὐτόματον, ἐφ' ὧν δὲ τὸ αὐτόματον οὐ πάντως τὸ ἀπὸ τύχης· ὥστε δῆλον ὅτι ἐπὶ πλέον τὸ αὐτόματον τῆς τύχης. ὅτι μὲν οὖν ἐφ' ὧν ἡ τύχη ἐπὶ τούτων καὶ τὸ αὐτόματον, λαμβάνει ὡμολογημένον ἐκ τῆς χρήσεως (χρήσεως γὰρ ἤρτηται ἡ τούτου ἀπόδειξις, οὐ λόγου), ὅτι δὲ ἐφ' ὧν τὸ αὐτόματον οὐ πάντως
15 καὶ ἡ τύχη, κατασκευάζει διὰ συλλογισμοῦ, ὃν ἤδη προεξεθέμεθα. ἔστι δὲ οὗτος· ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τὸ αὐτόματον θεωρεῖται, ἐπὶ παιδίων καὶ ἀψύχων καὶ ἀλόγων τύχη οὐ θεωρεῖται, τὶ ἄρα αὐτόματον τύχη οὐκ ἔστι. τούτων οὖν τῶν δύο προτάσεων τὴν μὲν κατηγορικὴν ἐσχάτην τίθησι καὶ πιστοῦται ἐκ τῆς ἐπαγωγῆς, ὡς ὑπομνήσομεν ἐν τῷ
20 τόπῳ, τὴν δ' ἀποφατικὴν πρότερον κατασκευάζει, εἶτα ἐκτίθεται· κατασκευάσας γὰρ πρότερον ἐπὶ ποίων ἂν ἡ τύχη κατηγοροῖτο τῶν ὁποίαν φύσιν ἐχόντων, τότε λοιπὸν ἐφαρμόζει τὰ εἰρημένα ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, ὅτι μὴ ὑπάρχει αὐτοῖς τύχη, διότι μηδὲ ταῦτα περὶ ἃ ἡ τύχη θεωρεῖται.

25 p. 197b1 Ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἔστιν ἐν οἷς καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειε καὶ ὅλως πρᾶξις· διὸ ἀνάγκη περὶ τὰ πρακτέα εἶναι τὴν τύχην.

Εἰ ἡ τύχη διῄρηται εἰς εὐτυχίαν καὶ δυστυχίαν, ἐν οἷς ἄρα μήτε

---

1 αὐτόματον compend. M: αὐτομάτως t 3 ὅτι—ἐστίν om. K τὸ LM: τὸ μὲν t πλέον LM: πλεῖόν t 4 καὶ τί] κατὰ τί L δὲ om. superscr. K 5 οὐ] ὅτι L λεγομένου post αὐτομάτου colloc. Mt 6 ἀλλ' οὐ τοῦ L 11 ὅτι om. L 12 ὅτι μὲν] ἔστι μὲν L ἡ om. K 13 εἰ ὡμολογημένον L alterum χρήσεως om. L 14 τούτων Mt ἀπόδοσις ὁ λόγος L 15 συλλογισμῷ (ad διὰ nihil adnot.) L προεξέμεθα L 16 δὲ καὶ οὗτος (corrupta fortasse ex δὲ τοιοῦτος) L 16. 17 παίδων utrobique L 17 καὶ ἀψύχων καὶ ἀλόγων LK: καὶ ἀλόγων καὶ ἀψύχων Mt τί ἄρα KM: τί ἄρα τὸ L: τὸ ἄρα t 18 ἔσται L 19 ὑπαγωγῆς 19. 20 ἐν τῷ τόπῳ p. 287,23 sqq. 20 ἀποφαντικὴν Mt 20. 21 κατασκευᾶσαν γὰρ M 22 ἐφαρμόττει L 23 post ἃ addit καὶ t 25. 27 καὶ τὸ ἀπὸ—τύχην om. K 25 ἐν οἷς libri: οἷς Themistius p. 184,24: ὅσοις vel ἐν ὅσοις Aristotelis libri 26 διὸ L: διὸ καὶ Mt Aristoteles 27 πρακτὰ Aristoteles (cf. p. 286,10) at cf. p. 285,11

www.libtool.com.cn

ἀναγνωστέον 'οὐδέ, ὥσπερ φησὶ Πρώταρχος, εὐτυχία ἢ δυστυχία ὑπάρχει h 2r
τούτοις', εἶτα τὸ εἰ μὴ καθ' ὁμοιότητα αὐτοῦ ἐστιν ἐπίκρισις, πῶς δυνατὸν καὶ ἐπὶ ἀψύχων εὐτυχίαν εἰπεῖν καὶ δυστυχίαν. Πρώταρχον δὲ ἤτοι τὸν ἐν Φιλήβῳ φησὶν ἢ ἕτερόν τινα.

5 p. 197 b 11 Τὸ δὲ πάσχειν ὑπάρχει ἀπὸ τύχης πως καὶ τούτοις, 30
ὅταν ὁ πράττων τι περὶ αὐτὰ πράξῃ ἀπὸ τύχης· ἄλλως δὲ οὐκ ἔστιν.

Δύναταί, φησί, καὶ ἐπὶ ἀψύχων κατὰ ἀναλογίαν λέγεσθαι ἡ τύχη, οὐχ ὥσπερ ὁ Πρώταρχος ἔλεγεν, ὡς ὅταν ὁ πράττων τι περὶ τὰ ἄψυχα πράξῃ
10 ἀπὸ τύχης, τότε κἀκεῖνα πεπονθέναι ἂν λέγοιντο ἀπὸ τύχης. οἷον ὡς ὅταν τις ῥίψας λίθον τοῦ πατάξαι τινὰ ἕνεκα ἐκεῖνον μὲν μὴ πατάξῃ, τὸν δὲ λίθον ποιήσῃ τρίγωνον μὴ τοῦτο βουληθεὶς ποιῆσαι· λέγεται γὰρ οὗτος ἀπὸ τύχης τοῦτο πεποιηκέναι, καὶ διὰ τὸν ἐνεργήσαντα καὶ ὁ λίθος ἀπὸ τύχης 35
τρίγωνος γενέσθαι. μόνως οὖν οὕτως, φησί, δυνατὸν ἐπὶ τῶν ἀψύχων τὸ
15 ἀπὸ τύχης λέγεσθαι. τί οὖν; οὐκ οἶδεν ἡ συνήθεια τὴν εὐτυχίαν ἐπὶ παιδίων; ὅταν γοῦν ἀρτιγενεῖ βρέφει τις τελευτῶν τῶν μὴ προσηκόντων κατὰ γένος τὴν οὐσίαν καταλίπῃ, λέγομεν τὸ παιδίον τοῦτο εὐτυχές, καὶ οὐ δήπου ἐκ ταὐτομάτου φήσαιμεν ἂν τὸ κληρονομῆσαι γεγονέναι τῷ παιδίῳ· οὐδὲ γὰρ ὁρμῇ τινι φυσικῇ τοῦτο παρηκολούθησεν οὔτε τοῦ παιδίου οὔτε
20 τοῦ τὰ χρήματα καταλελοιπότος.

p. 197 b 13 Τὸ δ' αὐτόματον καὶ τοῖς ἄλλοις ζῴοις καὶ πολλοῖς 40
τῶν ἀψύχων.

Ἐνταῦθα τὴν καταφατικὴν τέθεικε πρότασιν, ὅτι τὸ αὐτόματον καὶ ἀψύχοις καὶ παισὶ καὶ τοῖς ἀλόγοις ζῴοις ὑπάρχει. καὶ παραδείγματι πείθει
25 ὅτι φαμὲν τὸν ἵππον ἐκ ταὐτομάτου σωθῆναι τὸν φυγόντα ἐκ τῆς παρα- 45
τάξεως, ἢ διῳῶντα ἢ ἑτέρως ὑπό τινος φυσικῆς ὁρμῆς κινηθέντα. οἷον ὁ ἵππος αὐτομάτως, φαμέν, ἦλθεν, ὅτι ἐσώθη μὲν ἐλθών, οὐ τοῦ

ἢ L: ἡ Mt 5 ὑπάρχει ἀπὸ τύχης LKM: ἀπὸ τύχης ὑπάρχει t et Aristotelis cod. F: ἀπὸ τύχης ὑπάρξει Arist. vulg.: ὑπάρχει tuetur etiam Themistius p. 185, 11 πῶς ibri 5. 7 καὶ τούτοις — ἔστιν om. K 6 δ' οὐκ Mt 11 μὴ πατάξει M

2 ποιήσῃ t: ποιήσει M: ποιήσει LK 14 μόνως LK et incerto compendio M: μόον t φησὶν οὕτως L 15. 16 παιδων L 17 καταλίπῃ L: καταλείπῃ K: καταει M: καταλείπει t 19 τοῦτο t: τοῦ M: τοῦτον K: τὸ τοιοῦτο L παρακολούθησεν rrore typogr. t τοῦ παι L 21 δὲ Lt 21. 22 καὶ τοῖς—ἀψύχων om. K 21. 24 καὶ ολλοῖς—ζῴοις om. L 23 Ἐνταῦθα] cf. p. 284, 18 sqq. τέθηκε K 24 παραείγματος (corr. ut vid. ex παραδείγμ) L 25 τῆς om. L 26 φυσικῆς ὑπό τινος ὁρμῆς ινηθέντος L 26. p. 288, 4 οἷον ὁ ἵππος — ἐλθόντα σωθῆναι om. K 27 αὐτόματος ristoteles ὅτι] ἔστιν L οὐ] καὶ t hoc ipsum sibi in M legere visus

www.libtool.com.cn

σωθῆναι δὲ ἕνεκεν ἦλθεν. δεῖ ὑπερβατῶς ἀναγνῶναι τὴν λέξιν 'ὁ h 2r
ἵππος ἐλθὼν αὐτόματος ἐσώθη, ὅτι ἦλθεν μὲν οὐ τοῦ σωθῆναι δὲ ἕνεκεν
ἦλθεν'· ἦλθε μὲν γὰρ δι' ἄλλο τι ἢ τοῦ πιεῖν ἕνεκα ἢ ἄλλου τινός, συ-
νέβη δὲ ἐλθόντα σωθῆναι. καὶ ὁ τρίπους αὐτομάτως κατέπεσεν·
5 ἔστη μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκεν, ἀλλ' οὐ τοῦ καθῆσθαι ἕνεκεν
κατέπεσεν. εἰ κρεμάμενος ὁ τρίπους πέσοι, καὶ πεσὼν σχοίη τοιαύτην 50
θέσιν ὥστε εἶναι πρὸς καθέδραν τὴν θέσιν ἐπιτηδείαν, ἐκ ταὐτομάτου λέ-
γεται τὴν τοιαύτην θέσιν ἔχειν, ἐπειδὴ ἔπεσε μὲν καὶ ἠνέχθη τῇ φυσικῇ
ὁρμῇ, ἔπεσε δὲ οὐκ ἐπὶ τούτῳ ὥστε καθέδρα γενέσθαι. εἰ γὰρ λίθος πέ-
10 σοι κυβικὸν ἔχων τὸ σχῆμα, οὐκ αὐτομάτως λέγοιτο ἂν κεῖσθαι πρὸς τὸ
καθέζεσθαι· ἐπιτήδειος γὰρ ἦν ἐν τῇ φύσει αὐτοῦ τὸ πάντως, εἰ πίπτοι,
τοῦτον καταπεσεῖν τὸν τρόπον. διὰ τοῦτο οὐδὲ τὸ πῦρ αὐτομάτως λέγεται
ἐπὶ τὸ ἄνω φέρεσθαι· φύσις γὰρ αὕτη τοῦ πυρός. |

p. 197ᵇ18 Ὥστε φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς ἕνεκά του γινομένοις, h 2r
15 ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται ὧν ἔξω τὸ αἴτιον, τότε
ἀπὸ ταὐτομάτου λέγομεν.

Ὅρος τοῦ κοινοῦ αὐτομάτου ἐν τοῖς ἕνεκά του τοῖς τε κατὰ φύσιν καὶ
τοῖς κατὰ προαίρεσιν. ἁπλῶς δὲ ἀντὶ τοῦ καθόλου. ἔστιν οὖν τὸ αὐτό-
ματον ἐν τοῖς ἕνεκά του γινομένοις τοῖς τε κατὰ φύσιν καὶ τοῖς κατὰ προαί-
20 ρεσιν. ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται, οἷον τῆς κομιδῆς τοῦ 5
ἀργυρίου· οὐδὲ γὰρ διὰ τοῦτο προῆλθεν, ἵνα κομίσηται τὸ ἀργύριον, οὐδ'
ὁ λίθος διὰ τοῦτο κατέπεσεν, ἵνα πρὸς καθέδραν γένηται ἐπιτήδειος. ὧν
ἔξω τὸ αἴτιον ἀντὶ τοῦ ὧν ἕνεκά του γινομένων τὸ αἴτιον τοῦ συμβε-
βηκότος ἔξω αὐτοῦ ἐστι. τὸ δὲ ἔξω ἀντὶ τοῦ μὴ πρὸς τὸ τέλος νενευκός,
25 ἀλλ' ἔξω τοῦ ἀποβάντος τὸ αἴτιον αὐτοῦ, καὶ ἄλλου ἕνεκα ὄν· οἷον τοῦ
συντυχεῖν τῷ φίλῳ αἴτιον κατὰ συμβεβηκὸς ἡ εἰς ἀγορὰν πρόοδος, ἀλλὰ
τὸ αἴτιον τοῦτο καὶ ἔξω ἐστὶ τοῦ ἀποβάντος, ἀντὶ τοῦ οὐ πρὸς τὸ ἀποβὰν 10
νένευκε καὶ ἄλλου ἕνεκεν ἐστί, οἷον τοῦ λούσασθαι. ἔστιν οὖν ἡ ὅλη διά-
νοια συνελόντι εἰπεῖν αὕτη· αὐτόματον ἁπλῶς ἐστι τὸ παρακολουθοῦν τοῖς

---

1 δὲ om., ut videtur, L ἦλθε Mt ὑπερβάτως libri ἀναγνῶνται L 2 ἦλθε L δὲ om. superscr. L 3 πιεῖν] ποιεῖν libri 4 τρίπος L: τρόπους K αὐτόματος L Aristoteles 4. 6 κατέπεσεν—κατέπεσεν om. K 4 κατέπεσε L 5 ἔστη L: ἔστι Mt καθῆσθαι (priore loco) LM: καθῆναι t 6 τρίπους K: τρίπος L 7 θέσιν (ante ἐπιτηδείαν) LK: φύσιν Mt 8 θέσιν σχεῖν fort. recte L 9 καθέδρα LK: καθέδραν Mt 9. 13 εἰ γὰρ—πυρός ex Themist. p. 185,25 ad verbum fere translata cf. Simplic. p. 347,16 11 ἦν om. L scribendum ex Themistio καθέζεσθαι ἐπιτηδείως· ἐν τῇ φύσει γὰρ ἦν εἰ πίποι K 13 ἐπὶ τὰ ἄνω Mt αὐτῇ L 14. 16 ὅτι—λέγομεν om. K 14 ὅτι ἔστιν L 15 ὧν] cf. Diels, z. *Textgesch.* p. 17 16 ἀπὸ ταὐτομάτου λέγομεν om. M 17 τε LK: τ (charta perforata) M: τὰ t 18 τοῖς om. L 18. 19 ἁπλῶς δὲ—προαιρεσιν om. Mt 21 ἦλθεν Mt 23. 24 συμβάντος L 25. 26 αἴτιον αὐτοῦ—φίλ om. K 25 αὐτοῦ L: ἢ Mt 27 οὐ om. M: post ἀποβὰν inserit t 27. 28 πρὸς τὸ συμβὰν ἕνεκεν L 29 παρακολου L

www.libtool.com.cn

ἕνεκά του γινομένοις, ὅταν γέγωνται μὴ αὐτοῦ τοῦτου τοῦ συμβάντος ἕνεκα, h 2v
ὧν ἔξω ἐστὶ τὸ τοῦ συμβάντος αἴτιον, διὰ τὸ μὴ ἐν τούτοις εἶναι καθ' αὐτὸ τὴν τοῦ συμβάντος αἰτίαν. ἐν τούτοις γὰρ οὐκ ἔστιν ἔξω τὸ αἴτιον τοῦ συμβαίνοντος, ἐν οἷς καθ' αὐτό ἐστιν ἡ αἰτία τοῦ ἀποτελουμένου, οἷον τὸ αἴτιον τῆς οἰκίας οὐκ ἔξω ἐστὶ τῆς οἰκοδομίας, ἀλλ' ἐν αὐτῇ· πρὸς γὰρ τὴν οἰκίαν ἡ οἰκοδομία νένευκεν.

p. 197 b 20 Ἀπὸ τύχης δὲ τούτων ὅσα ἀπὸ ταὐτομάτου γίνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν.

Ὁρισάμενος τὸ κοινὸν αὐτόματον ὁρίζεται καὶ τὸ ἀπὸ τύχης, ὅτι ταῦτα λέγω ἀπὸ τύχης, ὅσα ἀπὸ ταὐτομάτου τῶν προαιρετῶν γίνεται τούτοις οἵτινες ἔχουσι προαίρεσιν· οἷον τὸ ἀπαιτῆσαι τὸ ἀργύριον τῶν προαιρετῶν ὑπάρχον, ὅταν ἐκ ταὐτομάτου παρακολουθήσῃ τοῖς ἔχουσι προαίρεσιν, ἀπὸ τύχης λέγεται εἶναι. προαιρετῶν δὲ ἀντὶ τοῦ τῶν κατὰ προαίρεσιν γινομένων, ἤτοι τῶν παρακολουθούντων τοῖς κατὰ προαίρεσιν γινομένοις. τῶν προαιρετῶν μὲν οὖν εἶπεν, ὅτι γένοιτ' ἂν ἐκ ταὐτομάτου τινὰ τοῖς ἔχουσι προαίρεσιν οὐ τῶν προαιρετῶν, οἷον εἰ ἐσθίοντος ἐμπέσοι τι τῶν ἐσθιομένων εἰς τὴν ἀρτηρίαν, ἢ βαδίζων πληγῇ τὸν πόδα (τῇ γὰρ φυσικῇ ὁρμῇ ἔξωθέν τι ἐκ ταὐτομάτου ἐπηκολούθησεν), ἢ πεσόντος ἄνωθεν ῥαγείη τὸ ἀπόστημα καὶ θεραπευθείη· ταῦτα γὰρ τοῖς ἔχουσι μὲν προαίρεσιν συμβαίνει, οὐ προαιρετικαῖς δὲ αὐτῶν ἐνεργείαις ἐπακολουθήσαντα. τοῖς δὲ ἔχουσι προαίρεσιν προσέθηκε, διότι λέγονται καὶ τὰ ἄψυχα πάσχειν τι ἀπὸ τύχης, "ὅταν ὁ πράττων τι περὶ αὐτὰ ἀπὸ τύχης τι πράξῃ", ἀλλ' οὐκ ἔχοντα προαίρεσιν πάσχει. διὸ οὐ κυρίως ἀπὸ τύχης τὰ τοιαῦτα λέγεται, ἀλλὰ τὰ οὕτω συμβαίνοντα αὐτοῖς τοῖς ἔχουσι προαίρεσιν, ταῦτα κυρίως ἀπὸ τύχης.

p. 197 b 22 Σημεῖον δὲ τὸ μάτην, ὅτι λέγεται ὅταν μὴ γένηται τὸ ἕνεκα ἄλλου ἐκείνου ἕνεκα.

Σημεῖον, φησίν, ὅτι τὸ αὐτόματον τοιοῦτόν ἐστιν οἷον εἰρήκαμεν, τὸ παρακολουθοῦν τοῖς ἕνεκά του ὅταν μὴ αὐτοῦ ἐκείνου ἕνεκα γένωνται,

---

1 γιμένοις (sic) ὅταν γένονται K τούτου KM: om. (L)t 2. 3 μὴ ἐν αὐτοῖς εἶναι καθ' αὐτὸ τὰ τοῦ συμβάντος αἴτια L 4 συμβαίνοντος] συμβάντος L 5. 6 πρὸς γὰρ τῆς οἰκίας· οὐκ ἔξωθεν ἐστιν τῆς οἰκοδομίας ἕνεκεν L 7. 8 ὅσα—προαίρεσιν om. K 7 ταυτομάτων compend. M 9 ὁρισάμενος M: ὁ ὁρισάμενος t αὐτόμον (sic) K 13 προαιρετὸν K 16 οὐ om. L ἐμπέσοι LK: ἐμπέση Mt 17 πληγὴ K 19 ἀπόστεμα K 20 προαιρετικῶς Mt 20. 21 τοῖς δέχουσι K 21 τὰ om. L 22 ὅταν κτλ.] p. 197 b 12 πράξῃ ἀπὸ τύχης (cf. p. 287,6) vel πράξῃ τι ἀπὸ τύχης Aristotelis libri 23 πάσχει LK: πάσχῃ Mt 26. 27 ὅτι—ἐκείνου ἕνεκα om. K 26 λέγονται L 26. 27 τὸ ἕνεκα (ἓν ἐκ sic L qui distinguit post ἄλλου) ἄλλου ἐκείνου Lt: ἕνεκά του (om. τὸ) ἀλλ' οὐκ ἐκεῖνο M 29 παρακολουθεῖν L ἐκείνου LKM: ἑκάστου t at cf. v. 1 γένωνται K: γίνωνται L: γε/νται M: γένηται t

www.libtool.com.cn

καὶ αὐτὴ ἡ τοῦ ὀνόματος ἐτυμολογία· παρῆκται γὰρ ἀπὸ τοῦ 'μάτην' h 27
(σύγκειται γὰρ παρὰ τὸ 'αὐτό' καὶ τὸ 'μάτην'), μάτην δὲ ἐκεῖνα λέγονται
εἶναι, οἷς οὐκ ἀπαντᾷ τὸ τέλος οὗ ἕνεκα γίνεται. ὅταν γὰρ βαδίσῃ μέν τις
ὑπὲρ τοῦ τὴν γαστέρα λαπάξαι καὶ διαχωρῆσαι, τοῦτο δὲ μὴ συμβῇ,
5 μάτην φαμὲν αὐτὸν βεβαδικέναι. εἰ τοίνυν τοῦτό ἐστι μάτην, τὸ πεφυκὸς 25
μὲν ἄλλου ἕνεκα γίνεσθαι, ἀποτυγχάνον δὲ τοῦ τέλους, καλῶς ἄρα τὸ
αὐτόματον παρὰ τὸ 'αὐτὸ μάτην' εἶναι ἐσχημάτισται. λέγομεν γὰρ ἐκ ταὐ-
τομάτου γενέσθαι τὸν λίθον ἐπιτήδειον πρὸς καθέδραν, ὡς δὴ τοῦ αὐτο-
μάτου αἰτίου αὐτῷ τούτου γενομένου· ἐπεὶ οὖν ἡ ἐπὶ τὸ κάτω φορὰ τοῦ
10 λίθου κατὰ συμβεβηκὸς αἰτία τοῦ τοιούτου σχήματος γέγονε, λέγεται αὐτὴ
αὐτόματον, ὡς αὐτὴ μάτην γεγονυῖα ὡς πρὸς τὸ ἐκβὰν κατὰ συμβεβηκὸς
τέλος. ἐπεὶ γὰρ ἄλλο μὲν ἦν τῆς ἐπὶ τὸ κάτω φορᾶς τὸ φυσικὸν τέλος, 40
τὸ γενέσθαι ἐν τῇ οἰκείᾳ ὁλότητι, ἐπηκολούθηκε δὲ τῇ τοιαύτῃ ὁρμῇ
ἕτερόν τι τέλος κατὰ συμβεβηκός, εἰ θεωρήσῃς τὴν φορὰν ὡς πρὸς τοῦτο
15 τὸ τέλος καὶ λάβῃς ὅτι ἔσται αὐτῆς τοῦτο τὸ τέλος, εἶτα μάθῃς ὅτι οὐ
τοῦ τέλους τούτου ἕνεκεν ἐφέρετο, γνώσῃ ὅτι μάτην ἐκινεῖτο μὴ πρὸς τὸν
σκοπὸν τοῦτον γινομένη, ὃς συνέβη αὐτῆς τέλος εἶναι. εἴτε οὖν ἐκβῇ εἴτε
μὴ ἐκβῇ τὸ φυσικὸν ἢ προαιρετὸν τέλος, ἐπειδὴ συνέβη καὶ ἄλλο τέλος 45
ἔχειν τὴν τοιαύτην κίνησιν, οὐ γίνεται δὲ διὰ τοῦτο, μάτην ἂν εἴη ὡς
20 πρὸς τοῦτο γινομένη· οἷον εἰ τοῦ λαλεῖν τέλος εἴη τὸ σημαίνειν ἀλλήλοις
τὰ ἡμέτερα βουλεύματα, λαλεῖ δέ τις ἄσημα καὶ μὴ πρὸς τοῦτο τὸ τέλος
ὁρῶν, μάτην ὁ τοιοῦτος λαλεῖ. οὕτως οὖν ἐπειδὴ ἡ κίνησις ᾗ ἕπεται τὸ
ἐκ ταὐτομάτου, ὅπερ ἐστὶν αὐτῆς κατὰ συμβεβηκὸς τέλος, οὐ τούτου ἕνεκα
τοῦ τέλους γίνεται, μάτην ἂν εἴη γινομένη, ὡς μὴ προθεμένη τοῦτο αὐτό,
25 κἂν πρὸς ἄλλο μὴ ᾖ μάτην. διαφέρει δὲ τὸ ἀπὸ ταὐτομάτου τοῦ μάτην
ᾖ καὶ τὸ τελικὸν τοῦ ποιητικοῦ, καθάπερ καὶ τὸ ἀπὸ τύχης τῆς τύχης· 50
ὅλως γὰρ ὅταν τοιοῦτόν τι ἀποβῇ τέλος, ὅπερ ἔχει μὲν οἰκεῖα ποιητικὰ
αἴτια, γίνεται δὲ μὴ τῶν ποιητικῶν αἰτίων προϋπαρξάντων, ἀλλ' ἑτέρων

---

1 ἐτοιμολογία K ἀπὸ τὸν μάτην K 5 αὐτόν φαμεν L 6 ἀποτυγχάνων K
καλεῖ ἄρα L 7 αὐτὸ (αὐ M) μάτην Mt: αὐτόματην (accent. in ras.) K: αὐτομάτην L
γὰρ L: om. KMt 8 τοῦ] τοῦτο K 9 τούτου] τοῦτο L γινομένου M 10 αἰτ[illegible]
τοῦτοιτ L 11 αὐτόματοι K: fort. αὐτόματος ὡς αὐτῆ (om. μάτην) L 12 ἄλ[illegible]
μένην K τῆς] τῇ L φορὰς K 13 οἰκία L ἐπηκολούθησε L τῇ alteru[illegible]
om. superscr. L 14 εἰ] ἂν t θεωρήσῃς scripsi: θεωρήσεις (θεωρήσ M) LM: θε[illegible]
ρήσειο K: θεωρήσῃ t 15 τὸ altero loco om. L 17 ὃς KM: ὁ L: ὃν t
αὐταῖς ante correct. L ante τέλος del. τὸ M 20 τοῦ λαβεῖν L ἀλλήλο[illegible]
primitus K 22 ὁ τοιοῦτος μάτην Mt ᾖ] ἡ K: ᾗ L 23 αὐτῆς compend. [illegible]
αὐτὸ L: αὐ M: αὐτοῦ t οὐ] ὁ L ἕνεκεν L 25 ἢ L: ἡ K: εἴη Mt
25. p. 291, 9 διαφέρει—τέλος ad verbum fere translata ex Themist. p. 186, 26 sqq.
25 ἀπὸ ταυμάτου (sic) K 26 ᾖ ex Themistio scripsi: ἢ K: ἢ Mt: om. L ἀπὸ τύχ[illegible]
(om. τῆς τύχης) K 27 ἔχει μὲν Mt: μὲν ἔχει L: ἔχει (om. μὲν) K 28 αἰτίων L
αἰτιῶν KMt

www.libtool.com.cn

τινῶν οἷς καὶ αὐτοῖς ἕτερον οἰκεῖον ἠκολούθει τέλος, τότε τὰ μὲν προϋπαρ- h 2v
ξαντα μάτην λέγεται γεγονέναι, ὅτι μὴ γέγονεν ἐξ αὐτῶν ὃ προέκειτο τέ-
λος, τὰ δὲ ἐπισυμβάντα ἐκ ταὐτομάτου, ὅτι μὴ προϋπαρξάσης ἐγένετο τῆς
οἰκείας ἀρχῆς. οἷον λίθος καταπεσὼν ἐπάταξε τὸν παριόντα· ἐνταῦθα γὰρ
5 τὸ μὲν πατάξαι τέλος, τὸ δὲ πεσεῖν ποιητικὸν αἴτιον | εἴποιμεν ἄν. ἀλλὰ h 3r
καὶ τὸ πατάξαι ἑτέραν εἶχεν οἰκείαν ἀρχὴν οὐ τὸ πεσεῖν, ἀλλὰ φέρε εἰπεῖν
τὸ βληθῆναι ὑπό τινος ὥστε πατάξαι· καὶ τὸ πεσεῖν οὐ τὸ πατάξαι τέλος
εἶχεν, ἀλλ' εἰς τὸν οἰκεῖον ἐνεχθῆναι τόπον· ἀλλήλων δ' ἐγένοντο κατὰ
συμβεβηκὸς τὸ μὲν αἴτιον, τὸ δὲ τέλος.

10 Ζητήσεις δὲ πότερον καὶ τὰ τέρατα ἐκ ταὐτομάτου δεῖ καλεῖν ἢ οὔ.
δόξει γὰρ καὶ αὐτὰ ἐκ ταὐτομάτου· ἡ γὰρ φυσικὴ ὁρμὴ τοῦ οἰκείου
τέλους ἀποτυχοῦσα κατὰ συμβεβηκὸς τούτων αἰτία γέγονε. μήποτε δὲ οὐ 5
δεῖ ταῦτα καλεῖν ἐκ ταὐτομάτου. ἔχει γὰρ οἰκείαν αἰτίαν προηγησαμένην
ἐν ἑαυτοῖς· ἢ γὰρ ψῦξιν ἢ ἔλλειψιν ἢ πλεονασμὸν τῆς ὕλης. ἀλλὰ φήσειέ
15 τις ὅτι καὶ ὁ πεσὼν λίθος ἔνδον εἶχε τὴν βαρύτητα, ἀλλὰ τοῦ πεσεῖν μὲν
αὕτη ποιητική, τοῦ πλῆξαι δὲ οὔ, εἰ μὴ κατὰ συμβεβηκός. ἀλλὰ γὰρ καὶ
ἐπὶ τοῦ λίθου τοῦ εἰς τὴν καθέδραν ἐπιτηδείου γενομένου ἔστι πάντως ἡ
ἐξοχή τις ἢ λίθος ἕτερος, ἐφ' ᾧ προσραγεὶς ἐθραύσθη τὰ περιττά, καὶ
οὕτως ἐπιτηδειότητα εἰς καθέδραν ἔσχεν· ἀλλ' ὅμως ἐκ ταὐτομάτου φαμὲν 10
20 ταῦτα, διὰ τὸ μὴ εἶναι ποιητικόν τι αἴτιον ὡρισμένον τῆς τοιαύτης ἰδέας
τοῦ λίθου. οὕτως οὖν καὶ ἐπὶ τῶν τεράτων φημὶ ὅτι τὸ ψυχρὸν ἢ ὁ
πλεονασμὸς τῆς ὕλης ἢ ἡ ἔνδεια ὑλικά εἰσιν αἴτια, ποιητικὸν δὲ ὡρισμένον
αἴτιον τῶν τεράτων οὐκ ἂν εὕροις· ὥστε καὶ ταῦτα ἐκ ταὐτομάτου.

p. 197b27 Ἐπεὶ εἴ τις λούσασθαι μάτην φαίη, ὅτι οὐκ ἐξέλιπεν
25 ὁ ἥλιος, γελοῖος ἂν εἴη· οὐ γὰρ τοῦτο ἐκείνου ἕνεκα. 15

Ὅτι τοῦτό ἐστι μάτην τὸ μὴ τυχὸν τοῦ οἰκείου τέλους, διὰ τούτων
δείκνυσι. κἂν γάρ, φησί, μὴ τύχῃ τελῶν ἄλλων μὴ ὄντων αὐτῷ οἰκείων, 20
οὐ λέγεται μάτην· οὐδὲ γὰρ εἰ μὴ λουσαμένων ἐξέλιπεν ὁ ἥλιος, μάτην
ἐλουσάμεθα, ἐπεὶ μηδὲ τέλος τοῦ λουτροῦ ἡ τοῦ ἡλίου ἔκλειψις, ἀλλ' ἡ

---

4 καὶ τὸν L 7 ὥσται K: ὥστε τὸ (sublata ante καὶ τὸ πεσεῖν distinctione) perperam Themistii libri 10 τὸ πότερον K 11 δόξειε L 12 ἀποτυχοῦσα om. L
12. 16 μήποτε—δὲ οὔ] compilat Philoponus Themist. p. 187,22—27 13 γὰρ ἔχει γὰρ L προηγισαμένην et mox ψύξην K 14 φύσειέ K: φησί Themistius: fort. φήσειε 15 ὁ L: om. KMt pro ἔνδον proclivi errore legas in M ὄγκον quod delet t βαρύτατον L 16 αὕτη L: αὐτῇ K: αὐτὴ Mt 17 τοῦ (ante εἰς) om. L τὴν om. K 17. 18 πάντως ἡ ἐξοχή LM 18 ἐθραύθη L 19 ἐπιτηδειότατος ἔσχεν εἰς καθέδραν L 20 τι om. L εἰδέας K 21 φαμὲν L ὁ om. L
22 εὔδεια K 24 Ἐπεὶ] ει K 24. 25 μάτην φαίη—ἕνεκα om. K 24 μάτην φαίη LM: φαίη (φαίῃ t) μάτην t Aristoteles 25 γελῶ L οὐ—ἕνεκα om. M γὰρ L: γὰρ ἦν t Aristoteles 26 τοῦτό] τοῦ M: τοῦτ' t 28. 29 μάτην ἐλουσάμεθα—ἡλίου om. K 29 ἡ τοῦ] ἢ τοῦ L ἡ (post ἀλλ') om. L

www.libtool.com.cn

καὶ αὐτὴ ἡ τοῦ ὀνόματος ἐτυμολογία· παρῆκται γὰρ ἀπὸ τοῦ 'μάτην' h 2v
(σύγκειται γὰρ παρὰ τὸ 'αὐτό' καὶ τὸ 'μάτην'), μάτην δὲ ἐκεῖνα λέγονται
εἶναι, οἷς οὐκ ἀπαντᾷ τὸ τέλος οὗ ἕνεκα γίνεται. ὅταν γὰρ βαδίσῃ μέν τις
ὑπὲρ τοῦ τὴν γαστέρα λαπάξαι καὶ διαχωρῆσαι, τοῦτο δὲ μὴ συμβῇ,
5 μάτην φαμὲν αὐτὸν βεβαδικέναι. εἰ τοίνυν τοῦτό ἐστι μάτην, τὸ πεφυκὸς 35
μὲν ἄλλου ἕνεκα γίνεσθαι, ἀποτυγχάνον δὲ τοῦ τέλους, καλῶς ἄρα τὸ
αὐτόματον παρὰ τὸ 'αὐτὸ μάτην' εἶναι ἐσχημάτισται. λέγομεν γὰρ ἐκ ταὐ-
τομάτου γενέσθαι τὸν λίθον ἐπιτήδειον πρὸς καθέδραν, ὡς δὴ τοῦ αὐτο-
μάτου αἰτίου αὐτῷ τούτου γενομένου· ἐπεὶ οὖν ἡ ἐπὶ τὸ κάτω φορὰ τοῦ
10 λίθου κατὰ συμβεβηκὸς αἰτία τοῦ τοιούτου σχήματος γέγονε, λέγεται αὐτὴ
αὐτόματον, ὡς αὐτὴ μάτην γεγονυῖα ὡς πρὸς τὸ ἐκβὰν κατὰ συμβεβηκὸς
τέλος. ἐπεὶ γὰρ ἄλλο μὲν ἦν τῆς ἐπὶ τὸ κάτω φορᾶς τὸ φυσικὸν τέλος, 40
τὸ γενέσθαι ἐν τῇ οἰκείᾳ ὁλότητι, ἐπηκολούθηκε δὲ τῇ τοιαύτῃ ὁρμῇ
ἕτερόν τι τέλος κατὰ συμβεβηκός, εἰ θεωρήσῃς τὴν φορὰν ὡς πρὸς τοῦτο
15 τὸ τέλος καὶ λάβῃς ὅτι ἔσται αὐτῆς τοῦτο τὸ τέλος, εἶτα μάθῃς ὅτι οὐ
τοῦ τέλους τούτου ἕνεκεν ἐφέρετο, γνώσῃ ὅτι μάτην ἐκινεῖτο μὴ πρὸς τὸν
σκοπὸν τοῦτον γινομένη. ὃς συνέβη αὐτῆς τέλος εἶναι. εἴτε οὖν ἐκβῇ εἴτε
μὴ ἐκβῇ τὸ φυσικὸν ἢ προαιρετὸν τέλος, ἐπειδὴ συνέβη καὶ ἄλλο τέλος
ἔχειν τὴν τοιαύτην κίνησιν, οὐ γίνεται δὲ διὰ τοῦτο, μάτην ἂν εἴη ὡς 45
20 πρὸς τοῦτο γινομένη· οἷον εἰ τοῦ λαλεῖν τέλος εἴη τὸ σημαίνειν ἀλλήλοις
τὰ ἡμέτερα βουλεύματα, λαλεῖ δέ τις ἄσημα καὶ μὴ πρὸς τοῦτο τὸ τέλος
ὁρῶν, μάτην ὁ τοιοῦτος λαλεῖ. οὕτως οὖν ἐπειδὴ ἡ κίνησις ἧ ἕπεται τὸ
ἐκ ταὐτομάτου, ὅπερ ἐστὶν αὐτῆς κατὰ συμβεβηκὸς τέλος, οὐ τούτου ἕνεκα
τοῦ τέλους γίνεται, μάτην ἂν εἴη γινομένη, ὡς μὴ προθεμένη τοῦτο αὐτό,
25 κἂν πρὸς ἄλλο μὴ ᾖ μάτην. διαφέρει δὲ τὸ ἀπὸ ταὐτομάτου τοῦ μάτην
ᾖ καὶ τὸ τελικὸν τοῦ ποιητικοῦ, καθάπερ καὶ τὸ ἀπὸ τύχης τῆς τύχης· 50
ὅλως γὰρ ὅταν τοιοῦτόν τι ἀποβῇ τέλος, ὅπερ ἔχει μὲν οἰκεῖα ποιητικὰ
αἴτια, γίνεται δὲ μὴ τῶν ποιητικῶν αἰτίων προϋπαρξάντων, ἀλλ' ἑτέρων

---

1 ἐτοιμολογία K ἀπὸ τὸν μάτην K 5 αὐτόν φαμεν L 6 ἀποτυγχάνων K καλεῖ ἄρα L 7 αὐτὸ (αὐ M) μάτην Mt: αὐτόματην (accent. in ras.) K: αὐτομάτην L γὰρ L: om. KMt 8 τοῦ] τοῦτο K 9 τούτου] τοῦτο L γινομένου M 10 αἰτία τοῦτοιτ L 11 αὐτόματοι K: fort. αὐτόματος ὡς αὐτὴ (om. μάτην) L 12 ἄλλο μένην K τῆς] τῇ L φορὰς K 13 οἰκία L ἐπηκολούθησε L τῇ alterum om. superscr. L 14 εἰ] ἂν t θεωρήσῃς scripsi: θεωρήσεις (θεωρήσ M) LM: θεωρήσειο K: θεωρήσῃ t 15 τὸ altero loco om. L 17 ὃς KM: ὁ L: ὃν t αὐταῖς ante correct. L ante τέλος del. τὸ M 20 τοῦ λαβεῖν L ἀλλήλοιν primitus K 22 ὁ τοιοῦτος μάτην Mt ᾖ] ἡ K: ἢ L 23 αὐτῆς compend. K: αὐτὸ L: αὐ M: αὐτοῦ t οὐ] ὁ L ἕνεκεν L 25 ἢ L: ἡ K: εἴη Mt

25. p. 291, 9 διαφέρει—τέλος ad verbum fere translata ex Themist. p. 186, 26 sqq.

25 ἀπὸ ταυμάτου (sic) K 26 ᾖ ex Themistio scripsi: ἢ K: ἢ Mt: om. L ἀπὸ τύχης (om. τῆς τύχης) K 27 ἔχει μὲν Mt: μὲν ἔχει L: ἔχει (om. μὲν) K 28 αἰτίων L: αἰτιῶν KMt

www.libtool.com.cn

p. 198a2 Τῶν δὲ τρόπων τῆς αἰτίας ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἑκατέρου αὐτῶν. h 3r

Τὸ λοιπὸν τῶν προβλημάτων προστίθησιν, ἐν ποίοις αἰτίοις αὐτὰ 42
κατατακτέον, καί φησιν ὅτι ἐν τοῖς ποιητικοῖς· ποιητικοῖς γὰρ αἰτίοις
5 παρακολουθοῦσι φύσει καὶ διανοίᾳ. ἀλλ' εἰ καὶ οἷς ἐπισυμβαίνει ὥρισται,
φύσις καὶ διάνοια, ἀλλ' οὖν γε αὐτὰ ἀόριστά ἐστι τὸ πλῆθος, ὡς πολλάκις
εἴπομεν· τοῦ γὰρ αὐτοῦ μυρία ἂν εἴη κατὰ συμβεβηκὸς αἴτια. 45

p. 198a5 Ἐπειδή ἐστι τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος ἢ φύσις.

10 Ἐπειδὴ βουλόμενος δεῖξαι ἀνωτέρω ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον, εἶπεν ὅτι οὕτως εἰσὶ ταῦτα, ὅτι 'καί τινες τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κόσμων πάντων αἴτιόν φασι τὸ αὐτόματον', διὰ τοῦτο νῦν ἐπιρραπίζει αὐτῶν τὴν ἀσεβῆ ταύτην δόξαν ἐκ τῶν δεδειγμένων. εἰ γὰρ τὸ αὐτόματον καὶ ἡ τύχη κατὰ συμβεβηκός ἐστιν αἴτια (ἐν γὰρ τοῖς ἐπ' ἔλαττον, ὡς 50
15 δέδεικται, ὁρῶνται), τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίσταται (διὰ τοῦτο γὰρ καὶ κατὰ συμβεβηκὸς ἐκλήθη, ὡς ἄλλοις ἐπισυμβαίνοντα), προηγεῖται ἄρα τῶν κατὰ συμβεβηκὸς αἰτίων τὰ καθ' αὑτὸ αἴτια· τοῦ αὐτομάτου ἄρα καὶ τῆς τύχης τὰ καθ' αὑτὸ προηγεῖται αἴτια. ταῦτα δ' ἐστὶ νοῦς καὶ φύσις, ὡς δέδεικται· προηγεῖται ἄρα τῆς
20 τύχης καὶ τοῦ αὐτομάτου νοῦς καὶ φύσις, ὧν τὰ μὲν καθ' αὑτό ἐστιν αἴτια, τὰ δὲ κατὰ συμβε|βηκός. κἂν γὰρ συγχωρήσωμεν ἄρα τοῖς περὶ h 3v
Δημόκριτον καὶ τοῖς ἄλλοις ἐκ ταὐτομάτου τὸ πᾶν γενέσθαι, ἀνάγκη προηγεῖσθαι τὸ καθ' αὑτὸ αἴτιον τὸν νοῦν καὶ τὴν φύσιν· ὥστε καὶ εἰ ἐκ ταὐτομάτου γέγονεν ὁ οὐρανός, πολλῷ πρότερον ὑπὸ νοῦ γένοιτ' ἂν καὶ
25 ὑπὸ φύσεως.

Ἀλλ' ἐρεῖ τις πρὸς ταῦτα, ὅτι τῶν μὲν κατὰ συμβεβηκὸς αἰτίων δεῖ προηγεῖσθαι τὰ καθ' αὑτὸ αἴτια, καὶ διὰ τοῦτο τύχης καὶ αὐτομάτου δεῖ 5

---

1 τῶν δὲ τρόπων LK: τὸν δὲ τρόπον Mt cf. Aristotelis libri et Simplic. p. 353,13
1. 2 ἐν τοῖς—αὐτῶν om. K 1 post τοῖς addit αἰτίοις t 2 ἑκατέρου Philoponi libri et Aristot. cod. I: immo ἑκάτερον 3 λεῖπον L 5. 6 φύσεως utrobique L
6 διάνοια] διανοία K γε LK: καὶ Mt ἐστι] ἐστὶν ἐστὶν (prius ἐστὶν erasum) K
7 μύρια K αἰτία K 8 ἐπειδή MK: ἐπεὶ δ' (L)t et Aristoteles cf. p. 294,30: ἐπειδὴ δὲ Themistius p. 188,9 ἐστὶν K 8. 9 καὶ ἡ—φύσις om. K 8 αἴτια scripsi ex Arist.: αἰτία (LM)t at cf. p. 294,30 9 φύσεως (idem error v. 19 et 20) L 11 εἴπομεν L εἶπεν c. 4 p. 196a24 sq. prius ὅτι om. K ὅτι καί τινες] an ὥστε τινὲς καὶ? 12 ἁπάντων p. 264,22 νῦν πειράζει L 14 ἐστὶν αἰτία K 17 αἰτιων sine accentu L: αἰτιῶν K 18 αὐτὰ (ante προηγεῖται) Mt
20 ἑαυτό Mt 21 κἂν γὰρ om. L συγχωρήσωμεν K περὶ] παρὰ τὸν L
22 ἐκ ταυτομάτου τὸ πᾶν γενέσθαι K: ἐκ ταυτομάτου γενέσθαι τὸ πᾶν Mt: τὸ πᾶν λέγουσι ἐκ ταυτομάτου γενέσθαι L ἀνάγκη γὰρ L 23 αἴτιον τὸ νοῦν K εἰ] οἱ L
24 ὁ om. superscr. K πολλῶν L ὑπὸ γε νοῦ L

www.libtool.com.cn

ὑγίεια ἤ τι τοιοῦτον· οὐ μάτην οὖν τὸ λουτρὸν μὴ ἐκλείποντος τοῦ h 3r
ἡλίου, ἀλλὰ μὴ τυχὸν τοῦ οἰκείου τέλους. ἔνθεν οὖν τὸ αὐτόματον ἔχει
τὴν ἐτυμολογίαν, ἐκ τοῦ αὐτὸ μάτην γεγονέναι καὶ μὴ τοῦ οἰκείου τυχεῖν
τέλους. οὕτως οὖν τὸν πεσόντα λίθον μὴ τοῦ πατάξαι ἕνεκα αὐτομάτως
5 φαμὲν καταπεσεῖν καὶ πλῆξαι, ἐπεὶ μὴ πρὸς τὸ ἐκβὰν αὐτῷ τέλος τὸν 25
σκοπὸν ἐξ ἀρχῆς εἶχε· μάτην οὖν ὡς πρὸς τὸ τέλος κατέπεσεν, ἐπεὶ μὴ
πρὸς αὐτὸ νένευκε.

p. 197ᵇ32 Μάλιστα δ' ἐστὶ χωριζόμενον τοῦ ἀπὸ τύχης ἐν τοῖς φύσει γινομένοις.

10 Ἡ διάκρισις τοῦ τυχαίου ἀπὸ τοῦ ἰδίως λεγομένου αὐτομάτου, ὅτι τὸ ἰδίως λεγόμενον αὐτόματον ἐν τοῖς φύσει γινομένοις συμβαίνει, τοῦ ἀπὸ τύχης ἐν τοῖς προαιρετοῖς συμβαίνοντος. ὅταν γὰρ γένηται παρὰ φύσιν, τότε οὐκ ἀπὸ τύχης ἀλλὰ μᾶλλον ἀπὸ ταὐτομάτου γεγονέναι φαμέν. παρὰ φύσιν ἀντὶ τοῦ παρὰ τὴν φύσιν, τουτέστι παρὰ τὸν
15 σκοπὸν τῆς φύσεως. ὅταν οὖν παρὰ τὸν σκοπὸν τῆς φύσεως ἐκβῇ τι, 30
τότε διὰ τὸ φυσικῇ ὁρμῇ ἐπακολουθῆσαι κατὰ συμβεβηκὸς οὐ κατὰ σκοπὸν φυσικὸν ἐκ ταὐτομάτου λέγεται τὸ τοιοῦτον.

p. 197ᵇ35 Ἔστι δὲ καὶ τοῦτο ἕτερον· τοῦ μὲν γὰρ ἔξω τὸ αἴτιον, τοῦ δὲ ἐντός.

20 Ἐπειδὴ εἶπεν ὅτι χωρίζεται τὸ αὐτόματον τῆς τύχης τῷ τὸ αὐτόματον ἐν τοῖς φύσει γινομένοις εὑρίσκεσθαι, βούλεται τοῦ φύσει χωρίσαι 35
τὸ αὐτόματον, ἵνα μὴ δόξῃ τὸ αὐτὸ εἶναι. φησὶν οὖν ὅτι διακρίνονται ἀπ' ἀλλήλων τῷ τοῦ μὲν φυσικοῦ τέλους ἐν αὐτῷ εἶναι τὸ αἴτιον τοῦ ἀποβάντος, τοῦ δὲ αὐτομάτου ἔξωθεν τὸ αἴτιον. ἐντὸς δὲ τὸ αἴτιον τῶν φυ-
25 σικῶν τῷ τε ἐν αὐτοῖς εἶναι τὸ κινητικὸν καὶ τῷ πρὸς τὸ τέλος νενευκέναι, ἐπὶ δὲ τῶν ἐκ ταὐτομάτου γινομένων οὔτε ἐν αὐτοῖς τὸ αἴτιον ἀλλ' ἔξω, καὶ οὐ πρὸς αὐτὰ νενευκὸς ἀλλὰ πρὸς ἕτερα.

---

1 ὑγεία Mt ἐκλίποντος (sic) L 2 μὴ τοὐτύχον (ον in ras.) K 3 τοῦ αὐτομάτην (ην ex ου) K: ταὐτομάτου L 4 οὖν om. L 6 εἶχε t: εἶπε LM: εἶπεν K τὸ om. L 7 πρὸς om. L αὐτὸν ἔνευκεν K: αὐτοῦ ἕνεκεν L 8. 17 Μάλιστα — τοιοῦτον om. K 8 τοῦ Mt: τὸ L et Aristotelis libri praeter E at cf. v. 20 9 γενομένοις L 12 γένηταί τι Aristotelis libri praeter E 13. 14 τότε — παρὰ φύσιν om. L 16 παρακολουθῆσαι L 18 Ἔστι — ἕτερον om. K 19 τοῦ δὲ ἐντός om. K δ' ἐντός t 20 τὸ (post τῷ) om. K 21 φύσεως L γιγνωμένοις K 23 αὐτῶ K 24 ἔξωθεν] cf. Simplic. p. 352,28 26 δὲ om. L ἑαυτοῖς L 27 αὐτὰ L: αὐτὰ K: αὐ M: αὐτὸ t

www.libtool.com.cn

p. 198a2 Τῶν δὲ τρόπων τῆς αἰτίας ἐν τοῖς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἑκατέρου αὐτῶν. h 3r

Τὸ λοιπὸν τῶν προβλημάτων προστίθησιν, ἐν ποίοις αἰτίοις αὐτὰ 42
κατατακτέον, καί φησιν ὅτι ἐν τοῖς ποιητικοῖς· ποιητικοῖς γὰρ αἰτίοις
5 παρακολουθοῦσι φύσει καὶ διανοίᾳ. ἀλλ' εἰ καὶ οἷς ἐπισυμβαίνει ὥρισται,
φύσις καὶ διάνοια, ἀλλ' οὖν γε αὐτὰ ἀόριστά ἐστι τὸ πλῆθος, ὡς πολλάκις
εἴπομεν· τοῦ γὰρ αὐτοῦ μυρία ἂν εἴη κατὰ συμβεβηκὸς αἴτια. 45

p. 198a5 Ἐπειδή ἐστι τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος ἢ φύσις.

10 Ἐπειδὴ βουλόμενος δεῖξαι ἀνωτέρω ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον, εἶπεν ὅτι οὕτως εἰσὶ ταῦτα, ὅτι 'καί τινες τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κόσμων πάντων αἴτιόν φασι τὸ αὐτόματον', διὰ τοῦτο νῦν ἐπιρραπίζει αὐτῶν τὴν ἀσεβῆ ταύτην δόξαν ἐκ τῶν δεδειγμένων. εἰ γὰρ τὸ αὐτόματον καὶ ἡ τύχη κατὰ συμβεβηκός ἐστιν αἴτια (ἐν γὰρ τοῖς ἐπ' ἔλαττον, ὡς 50
15 δέδεικται, ὁρῶνται), τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίσταται (διὰ τοῦτο γὰρ καὶ κατὰ συμβεβηκὸς ἐκλήθη, ὡς ἄλλοις ἐπισυμβαίνοντα), προηγεῖται ἄρα τῶν κατὰ συμβεβηκὸς αἰτίων τὰ καθ' αὑτὸ αἴτια· τοῦ αὐτομάτου ἄρα καὶ τῆς τύχης τὰ καθ' αὑτὸ προηγεῖται αἴτια. ταῦτα δ' ἐστὶ νοῦς καὶ φύσις, ὡς δέδεικται· προηγεῖται ἄρα τῆς
20 τύχης καὶ τοῦ αὐτομάτου νοῦς καὶ φύσις, ὧν τὰ μὲν καθ' αὑτό ἐστιν αἴτια, τὰ δὲ κατὰ συμβε|βηκός. κἂν γὰρ συγχωρήσωμεν ἄρα τοῖς περὶ h 3v
Δημόκριτον καὶ τοῖς ἄλλοις ἐκ ταὐτομάτου τὸ πᾶν γενέσθαι, ἀνάγκη προηγεῖσθαι τὸ καθ' αὑτὸ αἴτιον τὸν νοῦν καὶ τὴν φύσιν· ὥστε καὶ εἰ ἐκ ταὐτομάτου γέγονεν ὁ οὐρανός, πολλῷ πρότερον ὑπὸ νοῦ γένοιτ' ἂν καὶ
25 ὑπὸ φύσεως.

Ἀλλ' ἐρεῖ τις πρὸς ταῦτα, ὅτι τῶν μὲν κατὰ συμβεβηκὸς αἰτίων δεῖ προηγεῖσθαι τὰ καθ' αὑτὸ αἴτια, καὶ διὰ τοῦτο τύχης καὶ αὐτομάτου δεῖ 5

---

1 τῶν δὲ τρόπων LK: τὸν δὲ τρόπον Mt cf. Aristotelis libri et Simplic. p. 353,13
1. 2 ἐν τοῖς—αὐτῶν om. K 1 post τοῖς addit αἰτίοις t 2 ἑκατέρου Philoponi libri et Aristot. cod. I: immo ἑκάτερον 3 λεῖπον L 5. 6 φύσεως utrobique L
6 διάνοια] διανοία K γε LK: καὶ Mt ἐστι] ἐστὶν ἐστὶν (prius ἐστὶν erasum) K
7 μύρια K αἰτία K 8 ἐπειδή MK: ἐπεὶ δ' (L)t et Aristoteles cf. p. 294,30: ἐπειδὴ δὲ Themistius p. 188,9 ἐστὶν K 8. 9 καὶ ἡ—φύσις om. K 8 αἴτια scripsi ex Arist.: αἰτία (LM)t at cf. p. 294,30 9 φύσεως (idem error v. 19 et 20) L 11 εἴπομεν L εἶπεν c. 4 p. 196a24 sq. prius ὅτι om. K ὅτι καί τινες] an ὥστε τινὲς καὶ? 12 ἁπάντων p. 264,22 νῦν πειράζει L 14 ἐστὶν αἰτία K 17 αἰτιων sine accentu L: αἰτιῶν K 18 αὐτὰ (ante προηγεῖται) Mt
20 ἑαυτό Mt 21 κἂν γὰρ om. L συγχωρήσωμεν K περὶ] παρὰ τὸν L
22 ἐκ ταυτομάτου τὸ πᾶν γενέσθαι K: ἐκ ταυτομάτου γενέσθαι τὸ πᾶν Mt: τὸ πᾶν λέγουσι ἐκ ταυτομάτου γενέσθαι L ἀνάγκη γὰρ L 23 αἴτιον τὸ νοῦν K εἰ] οἱ L
24 ὁ om. superscr. K πολλῶν L ὑπὸ γε νοῦ L

www.libtool.com.cn

προηγεῖσθαι νοῦν καὶ φύσιν οἷς ταῦτα ἐπισυμβαίνουσιν, οὐ μέντοι τῶν h 3v
αὐτῶν αἴτια ἀνάγκη εἶναι τὰ καθ' αὑτὸ αἴτια, τὸν νοῦν λέγω καὶ τὴν φύ-
σιν, ὧν ἂν εἴη καὶ ἡ τύχη καὶ τὸ αὐτόματον. ὁ μὲν γὰρ νοῦς αἴτιός
ἐστι τοῦ λούσασθαι καθ' αὑτό, οὐ μέντοι καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον,
5 ὅπερ ἀπὸ τύχης γέγονεν, αἴτιός ἐστι καθ' αὑτὸ ὁ νοῦς· καὶ τὸ μὲν διψῆσαι
τὸν ἵππον αἴτιόν ἐστι τῷ ἵππῳ καθ' αὑτὸ τῆς ἐκ τοῦ στρατοπέδου ἀνα-
χωρήσεως, τοῦ μέντοι ἀναχωρήσαντα σωθῆναι, ὅπερ ἐκ ταὐτομάτου γέ-
γονεν, οὐκέτι ἡ δίψα ἢ ἡ ἀναχώρησις καθ' αὑτό ἐστιν αἰτία, ἀλλὰ κατὰ 10
συμβεβηκός. ὥστε τὸ δεῖν μὲν τὸν νοῦν καὶ τὴν φύσιν αἴτια καθ' αὑτὸ
10 εἶναι ἄλλων τινῶν ἐκ τούτων δέδεικται, τοῦ μέντοι οὐρανοῦ εἰ τὸ αὐτό-
ματον αἴτιόν ἐστιν, οὐκέτι καὶ τὸν νοῦν ἢ τὴν φύσιν ἐκ τούτων ἀνάγκη
αἴτια εἶναι, εἰ μὴ κατὰ συμβεβηκός· κατὰ συμβεβηκὸς γὰρ τῶν μὲν κατὰ
τύχην ὁ νοῦς αἴτιος τῶν δὲ ἐκ ταὐτομάτου ἡ φύσις, καθ' αὑτὸ δὲ οὐκέτι.
φημὶ οὖν ἐγὼ πρὸς ταῦτα· ἐπειδὴ ἐκεῖνοι ἐκ ταὐτομάτου πάντας τοὺς κό-
15 σμους ἄλλον ἐν ἄλλῳ μέρει τοῦ κενοῦ γενέσθαι ἔλεγον, εἰ δέδεικται ὅτι 15
πρὸ τύχης καὶ τοῦ αὐτομάτου δεῖ τὰ καθ' αὑτὸ εἶναι αἴτια, τὸν νοῦν
λέγω καὶ τὴν φύσιν, ἐροίμεθα αὐτοὺς τίνος ἂν εἴη νοῦς καὶ φύσις καθ'
αὑτὸ αἴτια· εἰ γὰρ τῶν κόσμων πάντων κατὰ συμβεβηκός, τίνος ἂν εἶεν
καθ' αὑτό; οὐ γὰρ ἔστιν ἕτερόν τι παρὰ τοὺς ἀπείρους κόσμους. ὥστε ἢ
20 οὐδ' ὅλως ἔσονταί τινος καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, ὅπερ ἀδύνατον,
ἢ εἰ εἰσί, τῶν κόσμων τῶν ἀπείρων εἰσὶ δηλονότι. καλῶς ἄρα συνῆκται
ὅτι καὶ κατὰ τὰς αὐτῶν ὑποθέσεις νοῦν καὶ φύσιν ἀνάγκη καὶ τούτου τοῦ 20
κόσμου καὶ πάντων καθ' αὑτὸ ὑποτιθέναι αἴτιον· εἰ γὰρ δέδεικται ἡμῖν
ὅτι τύχη καὶ αὐτόματον ἐξ ἀνάγκης τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίστανται
25 τῷ νῷ καὶ τῇ φύσει, ἀνάγκη δὲ πρὸ τῶν κατὰ συμβεβηκὸς αἰτίων εἶναι
τὰ καθ' αὑτὸ αἴτια, τίνος ἂν εἶεν καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, εἰ μὴ
τῶν κόσμων εἶεν αἴτια; ὥστε ἔκ τε τῶν παρ' ἡμῶν δεδειγμένων καὶ τῶν
ὑποθέσεων τῶν ἐκείνων συνάγεται νοῦν καὶ φύσιν καθ' αὑτὰ εἶναι αἴτιά
τοῦ παντός, εἰ καὶ συγχωρηθείη καὶ τὸ αὐτόματον εἶναι αὐτοῦ αἴτιον. 25
30 Ἐπεὶ δ' ἐστὶ τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν ἢ νοῦς
γένοιτο αἴτιος ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται
τούτων αὐτῶν. ἡ τύχη, φησί, καὶ τὸ αὐτόματον αἴτια τούτων εἶναι λέγεται 31

---

1 φύσεως L 2 et 16 τὸ νοῦν K 3 εἴη] εἰ L 6 ἐστι L: εἶναι KMt

7 τοῦ LK: τὸ Mt ἀναχωρήσαντας ὠθῆναι K ὥσπερ M 8 ἢ ἡ t: ἢ M: ἢ L: ἡ K 9 post ὥστε add. καὶ Mt 10 τούτου L 12 μὲν L: om. KMt
13 αἴτιος LKM: αἴτιον t δὲ (post αὐτὸ) LK: om. Mt 15 δέδεικται (litterae δει ex corr.) K 17 ἐροίμεθα LKM: ἐρώμεθα t: fort. ἐροίμεθ' ἂν 18 εἰ γὰρ καὶ τῶν L 20 οὐδόλως M 21 ἢ εἰ] ἡ K 22 καὶ (post ὅτι) LK: om. Mt

τὰς ex τῶν vel τῆς et ὑποθέσεις ex ὑποθέσεων vel ὑποθέσεως corr. L 23 τιθέναι M
24 αὐτὰ K 25 τῷ ναῷ K αἰτιῶν K 26 τίνες L αἴτια νοῦς] αἴτι νοῦς (sic) K 27 τε om. K ἡμῶν LK: ἡμῖν Mt 29 συγχωρη (h. e. συγχωρηθῇ) L
30. 31 καὶ — φύσις om. K 30 αἴτια Lt: αἰτία M 31 φύσει L

www.libtool.com.cn

ὧν καὶ ὁ νοῦς καὶ ἡ φύσις αἰτιά εἰσι κατὰ συμβεβηκός. τῆς γὰρ κομιδῆς h 3v
τοῦ ἀργυρίου αἰτία μὲν λέγεται εἶναι ἡ τύχη, πρὸ τῆς τύχης δὲ ὁ νοῦς ὁ
κινήσας πολλῷ πρότερον αἴτιος κατὰ συμβεβηκός· εἰ γὰρ μὴ ἐκίνησεν ἐπὶ
τὴν ἀγορὰν ἢ ἐπὶ τὸ λουτρόν, οὐκ ἂν οὐδὲ συνέβαινεν ἡ ἀπαίτησις τοῦ
5 ἀργυρίου. τὰ αὐτὰ καὶ ἐπὶ φύσεως καὶ αὐτομάτου. ὥστε πρὸ τῆς τύχης 35
καὶ τοῦ αὐτομάτου νοῦς καὶ φύσις αἴτια τοῦ αὐτοῦ κατὰ συμβεβηκός·
πανταχοῦ δὲ τὸ καθ' αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός· ὥστε εἰ κατὰ
συμβεβηκὸς ὁ νοῦς τοῦ κόσμου αἴτιος, πολλῷ πρότερον καὶ καθ' αὑτὸ ἂν
εἴη αὐτοῦ αἴτιος· εἰ μὴ γὰρ αὐτοῦ καθ' αὑτὸ αἴτιος, τίνος ἂν εἴη ἄλλου;
10 ἔχει δὲ ἡ λέξις ἀκατάλληλόν τι· εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ
συμβεβηκὸς αἴτια ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον αἴτια, ἐπειδή, φησί,
πρότερα τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα
τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις. καίτοι εἰ τὸν νοῦν καὶ τὴν 40
φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό εἰσιν
15 αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερα ἂν εἴη καὶ ὕστερα, εἴ γε τῶν αὐτῶν
καὶ καθ' αὑτό εἰσιν αἴτια καὶ κατὰ συμβεβηκός. εἰ γὰρ ἄλλων μὲν εἴη
καθ' αὑτὸ ἄλλων δὲ κατὰ συμβεβηκός, οὐδὲν ὧν βούλεται συνάγει· οὐ συνάξει
γὰρ ὅτι ὁ νοῦς καθ' αὑτὸ τοῦ κόσμου αἴτιος. εἰ δὲ τὸ ὅταν κατὰ συμ-
βεβηκὸς αἴτιόν τι γένηται πρὸς τὴν τύχην καὶ τὸ αὐτόματον ἐξακού-
20 σωμεν, τουτέστιν ὅταν ἡ τύχη καὶ τὸ αὐτόματον αἴτιόν τι γένηται τούτων 45
αὐτῶν, ὧν ἂν ἢ νοῦς ἢ φύσις καθ' αὑτὸ γένηται αἴτια, οὐκέτι ἀληθὲς τὸ
τούτων εἶναι τὸν νοῦν αἴτιον καὶ τὴν φύσιν, ὧν ἡ τύχη καὶ τὸ αὐτόματον
κατὰ συμβεκηκὸς αἴτια· ὅτι μὲν γὰρ τοῖς ἄλλων καθ' αὑτὸ αἰτίοις, νῷ
λέγω καὶ φύσει, παρέπεται τύχη καὶ αὐτόματον, ἐκ τῶν προλαβόντων
25 ἔχομεν δεδειγμένον, τῶν μέντοι αὐτῶν καθ' αὑτὸ εἶναι τὸν νοῦν αἴτιον,
ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, οὐκέτι. δῆλος δ' ἐστὶ τὸ κατὰ συμ-
βεβηκὸς πρὸς τὴν τύχην λέγων καὶ τὸ αὐτόματον· εἰπὼν γὰρ ὅτι τὸ καθ' 50
αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός, ἐπήγαγεν ὕστερον ἄρα τὸ αὐτό-
ματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως· εἰ γὰρ τὸ καθ' αὑτὸ πρό-
30 τερον τοῦ κατὰ συμβεβηκός, πρότερον δὲ τύχης καὶ αὐτομάτου νοῦς καὶ
φύσις, κατὰ συμβεβηκὸς ἄρα τύχη καὶ αὐτόματον. ἀλλ' εἴ τις λέγοι ὅτι
'οὐ τῶν αὐτῶν δώσομεν εἶναι τὸν νοῦν καὶ τὴν φύσιν καθ' αὑτὸ αἴτια, ὧν
καὶ ἡ τύχη καὶ τὸ αὐτόματον', λεγέτω τίνων ἄλλων· οὐ γὰρ ἔστι τι παρὰ

---

2 αἴτια μὲν K 3 πρότερος L 4 ἀπάντησις t 5 καὶ ἐπὶ αὐτομάτου L 6 αἰτία corr. M et t 8. 9 πολλῷ — καθ' αὑτὸ αἴτιος om. L 10 κατάλληλον L 11 ὧν (ὧν K) καὶ — αἴτια LK: om. Mt 12 πρότερα LK: πρότερον Mt αἰτιῶν K πρότερα ἄρα L 14 εἶπον L αἰτία K καὶ om. L 15 καὶ (post ἄρα) om. L πρότερον t ὕστερον Kt 17 οὐδ' ὃ βούλεται L οὐ συνάξει KM: οὐ συνάγει (L)t 18 ὁ om. L αὐ M: αὐτὸν t 19. 20 ἐξακούσομεν t 21 αὐτῶν, ὧν om. L γένηται αἴτια (αἰτία M) KMt: αἴτια γένηται L 23 ἄλλοις Mt 24 τῇ τύχῃ L 25 δεδειγμένων, τὴν μέντοι L μέν τι αὐτῶν K 26 ὧν] ὦ L 26. 27 συμβεβηκὸς] μβ^ε (sic) K 29 καὶ (ante φύσεως) om. K 32 οὐ LK: om. Mt

www.libtool.com.cn

τὸ πᾶν ἐν τοῖς φυσικοῖς, περὶ ὧν κἀκεῖνοι καὶ ἡμεῖς ποιούμεθα τὸν h 3v
λόγον. |

Καὶ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντός. ἄλλων πολλῶν, h 4r
τῶν κατὰ μέρος· τῶν μὲν μερικῶν τὸν μερικὸν νοῦν καὶ τὴν φύσιν, τῶν
5 δὲ καθόλου τὸν ἐπὶ πάντων νοῦν καὶ τὴν φύσιν.

p. 198a14 Ὅτι δὲ ἔστιν αἴτια, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα φαμέν, δῆλον.

Εἰπὼν περί τε τῶν καθ' αὑτὸ αἰτίων καὶ περὶ τῶν κατὰ συμβεβηκός, 5
καὶ τελείως διαρθρώσας τὸν περὶ αὐτῶν λόγον, τὸ χρήσιμον νῦν τοῦ περὶ
10 αὐτῶν λόγου ἐκτίθεται, ὅτι οὐ μάτην τὸν περὶ αὐτῶν ἀκριβῶς διεξῆλθε
λόγον, ἀλλ' ὅτι ὁ φυσικὸς ἐρωτώμενος τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων
ἢ πάσας ἢ τινας τῶν εἰρημένων ἀποδώσει. διὰ τοῦτο οὖν ἀναλαμβάνει τὸν
περὶ αὐτῶν λόγον, οὐχ ὡς ταυτολογῆσαι βουλόμενος, ἀλλ', ὅπερ εἶπον, ἵνα
δείξῃ ὅτι ἀναγκαίως τὸν περὶ αὐτῶν ἐποιήσατο λόγον. ἐρωτώμενος γάρ,
15 φησίν, ὁ φυσικὸς τὴν αἰτίαν ἑκάστου, ἢ τὰς τέσσαρας ἀποδώσει τὰς εἰρη- 10
μένας, τὴν ὕλην τὸ εἶδος τὸ ποιητικὸν τὸ τέλος, ἢ εἰ μὴ δυνατὸν ἐπί τινων
πάσας εὑρεῖν, ἃς γοῦν δυνατὸν εὑρεῖν ἀποδώσει ἢ μίαν ἢ πλείους. ὥσπερ
ἀμέλει καὶ οἱ μαθηματικοὶ ἐρωτώμενοι περὶ ἑκάστου τῶν ὑπαρχόντων τοῖς
μαθήμασι, τὴν αἰτίαν εἰς τὸ εἶδος καὶ τὸν ὁρισμὸν ἀναφέροντες ἀποδιδόασιν.
20 οἷον διὰ τί ἥδε ἡ εὐθεῖα τῇδε τῇ εὐθείᾳ ἐστὶν ἴση; ὅτι ἐκ κέντρου. διὰ
τί δὲ αἱ ἐκ κέντρου ἴσαι; ὅτι οὗτος ὁ ὁρισμὸς τοῦ κύκλου· σχῆμα ἐπί-
πεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐν- 15
τὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν τοῦ
κύκλου περιφέρειαν ἴσαι ἀλλήλαις εἰσί. μόνῳ γὰρ τῷ κύκλῳ τοῦτο ὑπάρχει,
25 τὸ ἔχειν ἕν τι σημεῖον, τοῦτο δ' ἐστὶ τὸ κέντρον, ἐξ οὗ αἱ πρὸς τὴν περι-
φέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί. καὶ οὕτως εἰς τὸν ὁρι-
σμὸν ἔσχατον λήξας οἴεται τῇ ἐρωτήσει τὸ ἱκανὸν πεποιηκέναι, ὅσπερ ὁρι-
σμὸς τοῦ κύκλου εἶδός ἐστιν αὐτοῦ· ὥστε ἐρωτηθεὶς τὸ διὰ τί καὶ ἀποδοὺς
τὸ εἶδος, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκε. πάλιν εἰ ἐρωτηθείη διὰ τί 20
30 τοῦ τριγώνου αἱ τρεῖς γωνίαι τῆς λοιπῆς μείζονές εἰσιν, ἐρεῖ ὅτι δυσὶ ταῖς

---

1 κἀκεῖνο L ὑμεῖς K 3. 5 om. K 3 τοῦ om. Aristotelis cod. E
6 lemma om. K ἐστὶ L 8 αὐτὸ L αἰτιῶν K 9 αὐτῶν corr. ex αὐτὸν K 9. 11 τὸ χρήσιμον—λόγον om. L 9 νῦν] νοῦν M 13 ταυτὸ λογῆσαι K 14 τὸν] τοῦ K 15 φησίν compend. K: om. LMt 15. 16 εἰρημένας αἰτίας L 17 εὑρεῖν altero loco om. Mt 20 ἡ om. L ἴση ἐστίν Mt 20 et 21 ἐκ τοῦ κέντρου utrobique Mt at cf. p. 298,30 sq. 21. 22 ἐπίπεδον L 22 ἣν] τὴν K 23. 24 πρὸς τὴν τοῦ κύκλου περιφέρειαν delet t at cf. Simplic. p. 361,31. Heiberg ad Euclidis Elem. I def. 15 24 μονη L τούτω ὑπάρχει K 27 ὥσπερ L 27. 28 ὅσπερ ὁ ὁρισμὸς Mt 30 τῆς λοιπῆς LKM: μιᾶς ὀρθῆς coniecit t: scribendum videtur τοῦ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, ἐρεῖ ὅτι * * * καὶ διὰ τί τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐρεῖ ὅτι δυσὶ ταῖς ἐφεξῆς κτλ. εἰσιν δὲ ἐρεῖ L ὅτι] ὁ K ταῖς] τῇ L

www.libtool.com.cn

ἐφεξῆς ἴσαι εἰσί, δύο δὲ αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πάλιν ἐρωτηθεὶς h 4r
διὰ τί αἱ δύο αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐρεῖ ὅτι ὡς ἂν εὐθεῖα
ἐπ' εὐθεῖαν σταθῇ, ἢ δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ· καὶ εἰς ὁρι-
σμὸν τελευτήσας, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκεν. οὐ τοῦτο δέ φημι, ὅτι
5 εἰς ὁρισμὸν αὐτοῦ τοῦ ἐρωτωμένου (οὐ γὰρ ὁρισμὸν γωνίας ἢ γωνιῶν ἀπο-
δέδωκεν), ἀλλ' ὅτι ἁπλῶς εἰς ὁρισμόν τινα ἀνάγει τὸ διὰ τί ἐστι. τοῦτο 25
δ' εἶπε παραδείγματος ἕνεκεν τοῦ ὅτι τὸ διὰ τί ἐρωτώμενοι, ἔστιν ὅτε τὸ
εἶδος ἀποδιδόαμεν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν πάντων· οὐ πρότερον γὰρ
ἀποπιπλῶμεν τὸν ἐρωτήσαντα διὰ τί τόδε, πρὶν εἰς ὁρισμὸν τὸ διὰ τί ἀνα-
10 γάγωμεν, ὁ δὲ ὁρισμὸς εἶδός ἐστιν. ἀλλ' οἱ μὲν ἐν τοῖς μαθήμασιν εἰς τὸ
εἶδος μόνον, τουτέστι τὸν ὁρισμόν, ἀνάγοντες καὶ τὸ διὰ τί ἀρκοῦνται (οὔτε
γὰρ ὕλην ὁ μαθηματικὸς ἐπισκέπτεται οὔτε ποιητικὸν αἴτιον οὔτε τέλος,
ἀλλὰ μόνα τὰ εἴδη τῶν μαθηματικῶν), ὁ μέντοι φυσικὸς πάντα τὰ αἴτια 30
ἀποδώσει. οἷον διὰ τί Σωκράτης ἄνθρωπός ἐστιν; ἀποδώσει τὴν αἰτίαν
15 καὶ εἰς τὸ εἶδος ἀνάγων, ὅτι ζῷον λογικὸν θνητόν, καὶ εἰς τὸ ποιητικὸν
αἴτιον, διότι τὸ ὅμοιον τοῦ ὁμοίου αἴτιον· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου. καὶ
τὴν ὕλην δ' ἀποδώσει. οἷον διὰ τί τὸ μαχαίριον τέμνει; ὅτι σιδήρεον· ἢ
ἐκ τοῦ εἴδους, ὅτι ὀξύ· ἢ ἐκ τοῦ τελικοῦ αἰτίου, διὰ τὴν τῶν ἀνθρώπων
χρείαν. καὶ οὕτως ἐπὶ πάντων, εἰ μὲν δυνατὸν πάσας τὰς αἰτίας ἀποδοῦναι,
20 ἀποδώσει, εἰ δὲ μὴ ἐπὶ πάντων δυνατὸν πάσας (οὐδὲ γὰρ εἰκὸς τὴν προ- 35
σεχῆ ὕλην ἑκάστου εὑρίσκειν· τίς ἡ ἰδιότης τῆς τῶν στοιχείων κράσεως
τῆς ὑποκειμένης Σωκράτει ἢ καὶ τῷ Πλάτωνι; καὶ τῶν ἄλλων ὡσαύτως),
τινὰς γοῦν ἢ μίαν ἀποδώσει. ἔστι δ' ἐπί τινων καὶ πάσας ἀποδοῦναι.
οἷον διὰ τί ὁ ἄνθρωπος ἀποθνῄσκει; ὅτι ζῷον λογικὸν θνητόν, ἐκ τοῦ εἴδους·
25 ἐκ δὲ τῆς ὕλης, ὅτι ἐξ ἐναντίων συνέστηκεν· ἐκ δὲ τοῦ ποιητικοῦ, ὅτι τὸ
γεννητικὸν αὐτοῦ πρόσεισι καὶ ἄπεισιν· ἐκ δὲ τοῦ τέλους, ὅτι βέλτιον τῇ
ψυχῇ τὸ μὴ ἐν σώματι εἶναι τοῦ ἐν σώματι διὰ τὰς ἐκ τοῦ σώματος ἐνο- 40
χλήσεις. εἰ τοίνυν τὰς αἰτίας ἀπαιτούμενος ὁ φυσικὸς εἰς τὰ εἰρημένα αἴτια
ἀνάξει, καλῶς ἄρα τὸν περὶ αὐτῶν ἀκριβῶς διεξήλθομεν λόγον, ὅτι τέσσαρά
30 ἐστι μόνα, τὸ εἶδος ἡ ὕλη τὸ ποιητικὸν τὸ τέλος. τούτων δέ, φησί, τὰ
τρία πολλάκις ἔρχεται εἰς ταὐτόν, τὸ ποιητικὸν τὸ εἶδος τὸ τέλος, εἰς

---

1 αἱ om. L 1. 2 πάλιν — ἴσαι εἰσίν om. K 1 πάλιν ἐρωτηθεὶς Mt: om. L post ἐρωτηθεὶς addit ὅτι M 2 αἱ δύο αἱ] δύο αἱ L ὡς ἂν (cf. p. 333,11) LKM: ὅταν t ἡ εὐθεῖα Mt 3 ἴσα K εἰς om. K 7 εἰπεῖν L ἐρωτώμενος K ὅτε] οὔτε L 9 ἀποπιπλῶμεν LK: ἀποπιμπλῶμεν M: ἀποπιμπλῶμεν t: scribe ἀποπίμπλαμεν cl. p. 298,28 10 ἐν om. L 11 τουτέστι] τούτων L ἀνάγοντες τὴν αἰτίαν καὶ fort. recte L: an καὶ delendum? 11. 12 οὔτει (sic) γὰρ K 16 διότι] διατὶ L 17 σιδήριον ante corr. K 19 εἰ μὲν om. L δυνατὸν ante corr. M 21 εὑρίσκειν LK: εὑρίσκοι M: εὑρήσει t ἡ om. L 22 ἢ om. L πλάτω L 23 τινὰς] τινῶν compend. L 24 ὁ L et superscr. K: om. Mt cf. Themist. p. 189,6. Simplic. p. 362,8 ἀποθνήσει ante corr. K 26 πρόεισι L et Themistii libri l. c. 8 27 τὸ] τῷ L 29 τὸν] τὰ L διήλθομεν Mt at cf. p. 296,10 30 ἐστι LK: εἰσι Mt 30. 31 τούτων — τέλος LK: om. non indicata lacuna M: λείπει τί in lac. t

www.libtool.com.cn

ταὐτὸν δὲ λέγω οὐ τῷ ἀριθμῷ ἀλλὰ τῷ λόγῳ· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου h 4r
καὶ ἵππος ἐξ ἵππου, καὶ ταὐτὸν τὸ ποιοῦν τῷ γινομένῳ οὐ τῷ ἀριθμῷ
ἀλλὰ τῷ εἴδει. τῷ δὲ τέλει τὸ μὲν ποιητικὸν ὡσαύτως ἕτερον τῷ ἀριθμῷ, 45
τὸ δ' εἶδος ταὐτόν· ὡς μὲν γὰρ μήπω ὂν ἀλλὰ σκοπὸς ὂν τῆς φύσεως
5 (τούτου γὰρ στοχάζεται), τέλος ἐστίν, ὡς δὲ γενόμενον ἤδη καὶ ἐν τῷ συν-
θέτῳ ὄν, εἶδός ἐστι. τῆς δὲ ποιητικῆς αἰτίας τῆς μὲν οὔσης ἀκινήτου τῆς
δὲ κινουμένης, καὶ τῆς κινουμένης τῆς μὲν ἀιδίως κινουμένης τῆς δὲ
γενητῆς καὶ φθαρτῆς, τρεῖς συμβαίνει γενέσθαι καὶ τὰς πραγματείας· διό,
φησί, καὶ ἡμῖν τρεῖς εἰσι γεγραμμέναι πραγματεῖαι περὶ τῶν αἰτιῶν τῶν
10 ποιητικῶν, περὶ μὲν οὖν τῆς ἀκινήτου ἡ Μετὰ τὰ φυσικά, περὶ δὲ τῆς
κινουμένης μὲν ἀιδίως δὲ κινουμένης ἡ Περὶ οὐρανοῦ, περὶ δὲ τῆς γενητῆς 50
καὶ φθαρτῆς αἱ φυσικαὶ πᾶσαι πραγματεῖαι.

p. 198a15 Τοσαῦτα γὰρ τὸν ἀριθμὸν τὸ διὰ τί περιείληφε.

Τὸ διὰ τί οὐ τὸ τέλος ἐνταῦθά φησιν, ἀλλὰ καθόλου τὴν αἰτίαν. τῶν
15 γὰρ προβλημάτων τεσσάρων ὄντων, τοῦ εἰ ἔστι τί ἐστιν ὁποῖόν τί ἐστι καὶ
διὰ τί ἐστιν, τὸ ἓν τῶν προβλημάτων, τὸ διὰ τί ἐστιν, εἰς τοσαύτας αἰτίας
ἀνάγεται, τὴν ὕλην τὸ εἶδος τὸ ποιητικὸν τὸ τέλος· ἐρωτώμενοι γὰρ διὰ
τί ἐστιν ἕκαστον, τὰς τέσσαρας ταύτας αἰτίας ἀποδιδόαμεν. |

p. 198a16 Ἢ γὰρ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί ἔσχατον ἐν h 4r
20 τοῖς ἀκινήτοις.

Τὸ διὰ τί, φησίν, ἢ εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον, ἀντὶ τοῦ εἰς
τὸν ὁρισμὸν ὅσπερ εἶδός ἐστι τοῦ ὑποκειμένου. ἀκίνητα δὲ τὰ μαθήματά
φησι, διότι τὰ μὲν φυσικὰ ἐν κινήσει θεωρεῖται (ἀρχὴ γὰρ κινήσεως καὶ
ἠρεμίας ἡ φύσις), τὰ δὲ μαθηματικὰ ἐν τῇ ἐπινοίᾳ τῇ ἡμετέρᾳ ἔχοντα τὸ 5
25 εἶναι ἀκίνητά ἐστιν· οὐ γὰρ ἀλλοιοῦται, οὐδ' ὅλως μεταβάλλει, ἅτε μηδὲ
ἐν ὕλῃ ὄντα. εἰς ἔσχατον δὲ εἶπεν, ὅτι ὅταν ἐπὶ τῶν μαθημάτων ἐρωτη-
θέντες διὰ τί ἐστι τόδε εἶτα θελήσωμεν ἀποδοῦναι τὸ αἴτιον, οὐ πρότερον
ἀποπίμπλαμεν τὸν ἐρωτῶντα πρὶν ἂν εἰς ὁρισμὸν ἔσχατον καταντήσωμεν,
ὅσπερ ἐστὶν εἶδος. καὶ οὕτως ἐν τοῖς μαθήμασιν ἔχει πᾶσι. διὰ τί ἴσαι
30 αἱ δύο εὐθεῖαι; ὅτι ἐκ κέντρου. διὰ τί δὲ αἱ ἐκ κέντρου ἴσαι; ὅτι οὗτος

---

1 ἄνθρωπος γὰρ Mt: ἄνθρωπος K: οἷον ἄνθρωπος L 2 ταυτὸ et mox τῷ εἴδη τῷ δὲ τέλος L 4 τῇ φύσει L 5 τέλος εἶναι (omissis 5. 6 ὡς δὲ—εἶδός ἐστι) L γενόμενον (cf. p. 301,25) t: γινόμενον KM 6 τῆς μενούσης K 8 et 11 γενητῆς K: γεννητῆς (sic; cf. ad p. 189,10) LMt 8 γίνεσθαι Mt 8. 10 καὶ τὰς—ποιητικῶν om. L 10 οὖν om. Mt τῆς (ante ἀκινήτου) t: τοῦ LKM 11 μὲν om. M 13 περιειληφεν K 14 φασὶν L 15 καὶ om. L 16 τὸ ἓν (ἐν cod.) τῶν προβλημάτων τὸ διὰ τί ἐστι L: om. KMt 22 ὅσπερ M: ὥσπερ L: ὅπερ (K)t εἶδος εἶδος ἐστὶν τὸ ὑποκείμ K ἀκίνητα· ἀκίνητα δὲ L 23 καὶ] καὶ ἡ L 25 ἀκινητέ (sic) ἐστιν L 27 θελήσομεν LM 29 ἐστὶν εἶδος] ἐστι τόδε L 30 δὲ om. Mt

www.libtool.com.cn

ὁ ὁρισμὸς τῶν ἐκ κέντρου τοῦ κύκλου, τὰς ἐκ τοῦ κέντρου τοῦ κύκλου h 4v
πάσας εἰς τὴν περιφέρειαν ἀγομένας ἴσας εἶναι ἀλλήλαις· καὶ οὕτως τὸν 11
ὁρισμὸν ἀκούσαντες ἀποπιμπλάμεθα. ὃ οὖν φησι, τοῦτό ἐστι· τὸ διὰ τί
ἐρωτώμενοι, ἢ εἰς τὸ τί ἐστιν, ὅπερ τὸ εἰδός φημι, ἀνάγομεν, ὥσπερ ἐπὶ
5 τῶν μαθημάτων ἔχει. εἰς ὁρισμὸν γὰρ ἔσχατον ἡ τῆς αἰτίας ἀπόδοσις
λήγει ἐν τοῖς μαθήμασιν, ὁ δὲ ὁρισμὸς εἰδός ἐστι· παραδείγματος γὰρ
ἕνεκεν εἴρηται αὐτῷ τὰ μαθήματα. ἡ οὖν σύνταξις τῆς λέξεως οὕτως 'τὸ
γὰρ διὰ τί ἢ ὥσπερ ἐν τοῖς ἀκινήτοις εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον'· 15
προσυπακουστέον γὰρ ἔξωθεν 'ὥσπερ'.

10 p. 198a17 Εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος ἢ συμμέτρου.

Ἐὰν ἐν τῷ κύκλῳ λάβω δύο τινὰ σημεῖα, εἶτα εἴπω ὅτι ἀπέχουσιν
ἀπ' ἀλλήλων τὰ σημεῖα πέντε τυχὸν δακτύλους, εἶτα ἐρωτήσῃς· πόθεν τοῦτο;
φημὶ ὅτι καὶ ἡ ἐκ τοῦ σημείου ἐπὶ τὸ σημεῖον ἀγομένη εὐθεῖα τοσούτων
ἐστίν. εἶτα πάλιν ἐρωτῶντος· καὶ τί δήποτε μὴ κατὰ τὴν ἐξ αὐτῶν γρα-
15 φομένην περιφέρειαν ἢ ἕλικα μετρεῖς αὐτά; φημὶ ὅτι δεῖ τὸ μέτρον ὡρι-
σμένον εἶναι, ὥρισται δὲ τὸ ἐλάχιστον, ἐλαχίστη δὲ ἡ εὐθεῖα· εὐθεῖα γάρ 20
ἐστιν ἥτις ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν. καὶ τὸν
ὁρισμὸν ἀκούσαντες, οὐκέτι περαιτέρω χωροῦμεν. πάλιν λέγομεν ὅτι ἥδε
ἡ πλευρὰ τῇδε τῇ πλευρᾷ ἐστι σύμμετρος· διὰ τί δὲ σύμμετροί εἰσιν; ὅτι
20 λόγον ἔχουσι πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς ἀριθμόν, οἷον τυχὸν ὁ δύο
πρὸς τὸν ὀκτώ. καὶ τί εἰ ἔχουσι λόγον πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς
ἀριθμόν; φημὶ ὅτι οὗτος ⟨ὁ⟩ ὅρος τῶν συμμέτρων· σύμμετρα γάρ ἐστι τὰ τῷ
αὐτῷ μέτρῳ μετρούμενα. ὥσπερ οὖν ὁ δύο μετρεῖ τὸν ὀκτὼ τετράκις, 25
οὕτως καὶ ἡ πλευρὰ τὴν πλευράν. καὶ εἰπὼν τὸν ὁρισμὸν ἔστησα τὴν ἀπο-
25 ρίαν. καὶ καθόλου πᾶσα ἡ μαθηματικὴ μέθοδος ἢ εἰς ὁρισμὸν ἔσχατον
ἀναφέρει τὰς αἰτίας, ἢ εἰς τὰς κοινὰς ἐννοίας.

p. 198a19 Ἢ εἰς τὸ κινῆσαν πρῶτον.

Εἰπὼν τὸ εἰδικὸν αἴτιον, μετῆλθεν ἐπὶ τὸ ποιητικόν· ἐρωτώμενοι γάρ,
φησί, διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἀποκρινόμεθα τὸ ποιητικὸν

---

1 ὁ om. LK at cf. p. 296,21 τὸ τὰς ἐκ (om. τοῦ) κέντρου L τοῦ extremum om. K 3 ἀποπεμπλάμεθα L 6 παραδείγματα L 7 ἕνεκα Mt 9 τὸ ὅσπερ L 10 τοῦ εὐθέος ἢ συμμέτρου om. K 12 ὑπ' t κατὰ δ (δ corr. ut vid. in ε) τυχὸν L δακτύλοις Mt ἐρωτήσῃς K: ἐρωτήσεις LM: ἐρωτήση t 13 ἀγομένη ἡ εὐθεῖα K τοσοῦτον L 14 καὶ om. Mt 14. 15 γεγενημένην L 15. 16 ὁρισμένον K 17 ἥτις ἐλαχίστης K 18 περετέρω K 19 διατὶ (compend.) σύμμετρος (om. δὲ) ἐστὶν L 20 πρὸς ἀλλήλοις L τυχὸν om. L ὁ β' L: οἱ δύο KMt 21 ὀκτὰ et 23 ὀκτῶ K 22 ὁ addidi 23 μέτρῳ] μέτρα ut vid. M συμμετρούμενα L 24 οὕτω t ἔστησεν L 27 κινείσαν (om. πρῶτον) K 29 Φωκεῦσι κτλ.] cf. Themist. p. 188,27 sqq. (Simplic. p. 361,33 sqq.)

www.libtool.com.cn

αἴτιον, ὅτι ἐσύλησαν Φωκεῖς τὸν νεών. ἢ τὸ οὗ ἕνεκεν καὶ τὸ τέλος h 4v
ἀποκρινόμεθα. οἷον διὰ τί ἐπολέμησε τοῖς Ἕλλησιν ὁ βασιλεύς; φαμὲν ἵνα
ἄρξῃ τῶν Ἑλλήνων.

p. 198a20 Ἡ ἐν τοῖς γεννωμένοις ἡ ὕλη.

Εἰπὼν τὸ εἶδος, τὸ ποιητικόν, τὸ τελικόν, λέγει καὶ τὴν ὕλην. γεννώμενα δ' εἶπε πρὸς ἀντιδιαστολὴν τῶν θείων καὶ παντάπασιν ἀμεταβλήτων, λέγω δὴ τῶν ἀσωμάτων· καὶ ὁ Πλάτων γὰρ ταῦτα μὲν ἀεὶ ὄντα ἐκάλεσε, πάντα δὲ τὰ σωματικὰ οὐκ ὄντα ἀλλὰ γινόμενα. ἐν τούτοις οὖν τοῖς γινομένοις ἀποδώσει ὁ φυσικὸς τὴν ὕλην· ἐκεῖνα γὰρ ἄυλα, καὶ τὸ εἶδος μόνον ἐπ' ἐκείνων τοῦ θεολόγου ἀποδοῦναι, οὐ μέντοι τὴν ὕλην. ἢ ἐπειδὴ τῶν ἄλλων αἰτιῶν παραδείγματα ἔθηκε προαιρετὰ καὶ μαθηματικά, οὐδὲν δὲ τούτων κατὰ γένεσιν τὸ εἶναι ἔχει (τά τε γὰρ μαθήματα ἀκίνητα, ὡς αὐτὸς εἶπε, καὶ διὰ τοῦτο οὐδὲ γένεσις ἐπ' αὐτῶν θεωρεῖται· ἔνθα γὰρ γένεσις πάντως καὶ κίνησις, τά τε κατὰ προαίρεσιν ἄνευ γενέσεως ἢ οὐκ εἰσὶν ἢ εἰσὶν ἐν τῇ σχέσει τῆς προαιρέσεως τὸ εἶναι ἔχοντα), ἐπεὶ οὖν ἐν τούτοις ὕλη οὐ θεωρεῖται, ἐπειδὴ οὐδὲ γένεσις, διὰ τοῦτο πρὸς ἀντιδιαστολὴν τούτων φησὶν ὅτι τὴν ὕλην ἐν τοῖς γινομένοις ἀποδώσει, γινόμενα λέγων τὰ τεχνητὰ καὶ τὰ φυσικά· ἐν τούτοις γὰρ πάντως καὶ τὴν ὕλην ἀποδοτέον.

p. 198a22 Ἐπεὶ δὲ αἰτίαι τέτταρες, περὶ πασῶν τοῦ φυσικοῦ εἰδέναι ἐστίν.

Ὅτι διὰ τοῦτο ἀνέλαβε τὸν περὶ τῶν αἰτιῶν λόγον, σαφῶς ἐνταῦθα ἐδήλωσε. τεσσάρων γάρ, φησί, τῶν αἰτιῶν οὐσῶν τὰς αἰτίας τῶν γινομένων εἰς τὰς τέσσαρας ταύτας ὁ φυσικὸς ἀνάξει, καὶ τὸ διὰ τί περὶ ἕκαστον ἀποδιδούς, ταύτας ἀποδώσει τὰς αἰτίας. καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς. τὴν αἰτίαν, φησίν, ἑκάστου φυσικῶς ἀποδιδούς, εἰς ταύτας τὰς τέσσαρας αἰτίας ἀνάξει. καλῶς δὲ εἶπε φυσικῶς· δυνατὸν γὰρ ἀνάγειν εἰς τὰς αἰτίας ταύτας οὐ φυσικῶς. τὸ γὰρ περὶ τῆς ἀκινήτου αἰτίας διαλέγεσθαι οὐκέτι φυσικοῦ ἀλλὰ θεολόγου, καὶ τὸ περὶ

---

1 νεῶν K 4 γεννωμένοις KM: γινομένοις (L)t at cf. Simplic. p. 362,2 qui vulgatam lectionem γινομένοις Alexandro tribuit p. 363,15 5 καὶ τὸ τελικόν (K)t 5. 6 γεννώμενα KMt: γινόμενα L post γεννώμενα δ' εἶπε intercidisse videtur explicatio vocis γεννώμενα et mentio lectionis Alexandreae γινομένοις 7 Πλάτων Tim. p. 27 D sq. μὲν γαρ L ἐκάλει L 8. 9 γινομένοις hic et v. 17 libri omnes 10 τοῦ θεολόγου ἐπ' ἐκείνων L ἐπεὶ L 11 αἰτίων L παραδείγματος M μαθητὰ L 12 τε om. Mt 13 εἶπε] cf. p. 198a17 14 τά τε LK: τά γε Mt 15 ἢ εἰ om. L 20 ἐπεὶδ' (sic) αἰτίαι M: ἐπειδὴ δὲ αἱ αἰτίαι L at cf. Simplic. p. 363,22 τέτταρες KM: τέσσαρες (L)t 20. 21 περὶ πασῶν — εἰδέναι ἐστίν om. K 21 ἐστίν L: om. Mt Aristoteles 23 αἰτίων L 24 τὰς om. L

www.libtool.com.cn

τῶν χωριστῶν εἰδῶν τῶν φυσικῶν ⟨οὐ φυσικοῦ⟩. εἰ δὲ καὶ ὁ Ἀριστοτέ- h 4ᵛ
λης ἐν ταῖς φυσικαῖς πραγματείαις ἔστιν ὅτε περὶ τῆς ἀκινήτου διαλέγεται 50
αἰτίας ὥσπερ ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς, καὶ ἐν τῇ Περὶ ψυχῆς περὶ τοῦ νοῦ
τοῦ χωριστοῦ πάντῃ σωμάτων, καὶ ἐν τῇ Περὶ γενέσεως πάλιν περὶ τῆς
5 ἀκινήτου αἰτίας, ἐροῦμεν ὅτι τῷ ὄντι ὁ τέλειος φυσικὸς κατὰ τὸ ἀκρότατον
τὸ ἑαυτοῦ μεμνήσεται καὶ τῶν ἀκινήτων αἰτιῶν καὶ ὑπὲρ φύσιν.

p. 198ᵃ24 Ἔρχεται δὲ τὰ τρία εἰς ἓν πολλάκις. |

Τὸ εἶδος, τὸ τέλος, τὸ ποιητικὸν αἴτιον. καλῶς δὲ τὸ πολλάκις· h 5ʳ
οὐ γὰρ ἀεὶ εἰς ταὐτὸν ἔρχονται ταῦτα. οὐδὲ γὰρ πᾶν τὸ ποιοῦν ὅμοιόν
10 ἐστι τῷ γινομένῳ· οὐδὲ γὰρ ἐπειδὴ ποιεῖ ὁ ἥλιος εἰς τὸν ἀέρα, ὅμοιός
ἐστι τῷ ἀέρι. καὶ ὅλως τὰ ἀκίνητα καὶ θεῖα αἴτια ποιοῦσιν εἰς ἡμᾶς
ἕτερα ἡμῶν ὄντα καὶ τῇ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ. ἀλλ' οὐδ' ἐπὶ τῶν γινο-
μένων πᾶν τὸ ποιοῦν ὅμοιόν ἐστι τῷ γινομένῳ· ἡ γὰρ κίνησις θερμαίνει
μὴ οὖσα θέρμανσις, καὶ ἡ ψῦξις πήγνυσι μὴ οὖσα πῆξις, καὶ ἡ θέρμη 5
15 ἐξατμίζουσα τὸ ὕδωρ ποιεῖ ἀέρα (οἷον ἡ τοῦ πυρός) οὐκ οὖσα ἀήρ, καὶ
μυρία ἄλλα. τὰ δὲ τεχνητὰ καὶ προφανῶς τῶν ποιητικῶν ἕτερά ἐστι.

p. 198ᵃ25 Τὸ μὲν γὰρ τί ἐστι καὶ οὗ ἕνεκέν ἐστιν.

Ὅτι τὸ εἶδος ταὐτὸν τῷ τέλει καὶ πῶς, εἴπομεν. ἐπεὶ δὲ τὸ τέλος
διττόν, ὡς εἴρηται ἐν τοῖς ἔμπροσθεν, τὸ μὲν οὗ τὸ δὲ ᾧ, οὐ παντὶ τέλει
20 τὸ εἶδος ταὐτόν ἐστιν· οὐδὲ γὰρ τῷ ᾧ ταὐτόν, ἀλλὰ μᾶλλον τῷ οὗ, τοῦτο
δέ φημι οὗ στοχάζεται ἡ φύσις, στοχάζεται δὲ ἕκαστον εἰς τὸ τέλειον καὶ
κατὰ φύσιν εἶδος ἀγαγεῖν. ὥστε ταὐτὸν τῷ ἀριθμῷ τὸ τοιοῦτον τέλος καὶ 10
τὸ εἶδος τῇ σχέσει μόνῃ διαφέρον, ὡς εἴρηται, καὶ τῷ χρόνῳ· ὅταν μὲν
γὰρ ὡς γινόμενον καὶ μήπω ὂν θεωρῆται, τέλος ἐστίν, ὅταν δὲ ⟨ὡς⟩ ἤδη
25 γενόμενον, εἶδος. τὸ δὲ ὅθεν ἡ κίνησις πρῶτον τῷ εἴδει ταὐτὸν
τούτοις. πρῶτον ἀντὶ τοῦ προσεχές. τὸ οὖν προσεχὲς ποιητικὸν αἴτιον

---

1 τῶν φυσικῶν LKM: τοῦ φυσικοῦ t οὐ φυσικοῦ addidi 3 ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς c. 5 sq. Περὶ ψυχῆς Γ c. 4 sqq. 4 σωμάτων L: ἀσωμάτων KMt Περὶ γενέσεως καὶ φθορᾶς A c. 3 p. 318ᵃ1 sqq. cum Philopon. comm. f. 12ʳ42 sqq. Ald. 5 αἰτίων L 7 εἰς ἓν πολλάκις om. K εἰς ἓν (Simplic. p. 363,32. Themist. p. 189, 10) LM: εἰς τὸ ἓν e vulg. Arist: t 8 Τὰ τρία τὸ εἶδος κτλ. t 10 ποιεῖ om. L 13 τῷ γινομένῳ LK: τῶν γινομένων Mt 14 θέρμασις K θέρμη K: θερμη sine accentu M: θερμὴ (L)t 17 καὶ οὗ ἕνεκέν (ἕνεκα M) ἐστιν LM: om. K: καὶ τὸ οὗ ἕνεκα ἔν στιν t et Aristotelis libri (at ἓν om. primitus cod. E) 18 Ὅτι om. K καὶ om. L 19 διττόν, ὡς] διττῶς L ἔμπροσθεν p. 230,5 sqq. 20 τῷ ᾧ scripsi: τὸ ᾧ libri ἀλλὰ καὶ μᾶλλον L τῷ οὗ K: τὸ οὗ LMt 21 οὗ Lt: οὐ K: ὃ M ante ἕκαστον addit τοῦ t 23 σχέσῃ (LKM)t μόνον L 24 ὄν] οἳ (sic) K τέλος] εἰστέλος K: εἶδος L 24. p. 305,24 ὅταν δὲ — ἀνάγκη τοιάνδε] in folio ab alia quadam manu scripto L 24 ὡς (post δὲ) addidit t: om. LKM at cf. p. 298,5 25 εἶδος] τέλος L 25. p. 302,3 τὸ δὲ — ἀριθμῷ δ' οὐ ταὐτόν om. K 25 ὅθεν] σ (sic) M ταυτὸν LM: τὸ αὐτὸ t

www.libtool.com.cn

ταὐτὸν τῷ τέλει καὶ τῷ εἴδει, ταὐτὸν δὲ λέγω οὐκ ἀριθμῷ ἀλλ' εἴδει· h 5r
Σωφρονίσκος γὰρ τῷ Σωκράτει ταὐτὸν τῷ εἴδει (ἄνθρωποι γὰρ ἄμφω),
ἀριθμῷ δ' οὐ ταὐτόν.

p. 198a27 Καὶ ὅλως ὅσα κινούμενα κινεῖ· ὅσα δὲ μή, οὐκέτι φυ- 16
5 σικῆς.

Τοῦτο τὸ ῥητὸν ἤτοι πρὸς τὸ προσεχὲς συνταχτέον, ἵνα λέγῃ ὅτι τὸ προσεχὲς ποιητικὸν αἴτιον ταὐτόν ἐστι τῷ εἴδει καὶ τῷ τέλει, καὶ καθόλου, φημί, ὅσα τῶν ποιητικῶν προσεχῆ ὄντα κινούμενα κινεῖ, ταῦτα τῷ εἴδει καὶ τῷ τέλει τὰ αὐτά εἰσιν (ἡ γὰρ ψυχὴ κἂν προσεχῶς κινῇ τὸ ζῷον,
10 ἀλλ' οὖν ἐπειδὴ μὴ κινουμένη κινεῖ, διὰ τοῦτο οὐκ ἔστιν ἡ αὐτὴ τῷ κινουμένῳ), ἤ, ὅπερ καὶ μᾶλλον, τοῖς ἀνωτέρω συνεχὲς ἂν εἴη τὸ ῥητὸν τοῦτο "καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν", εἶτα ἐφεξῆς καὶ ὅλως ὅσα κινούμενα κινεῖ, τουτέστιν ταῦτα τὰ αἴτια ἀποδώσει ὁ φυσικός, ὅσα τῷ αὐτὰ κινεῖσθαι οὕτως
15 κινεῖ. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, δῆλον ἐξ ὧν ἐπήγαγεν ὅσα δὲ μή, οὐκέτι φυσικῆς, τουτέστιν 'ὅσα δὲ κινεῖ αὐτὰ ἀκίνητα ὄντα, οὐκέτι ἐστὶ φυσικῆς πραγματείας', εἴ γε περὶ φύσεως μέν ἐστι τοῦ φυσικοῦ διαλαβεῖν, φύσις δέ ἐστιν ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός· ὥστε ὅσα φυσικὰ ὄντα κινεῖ, ἔχει ἐν ἑαυτοῖς ἀρχὴν
20 κινήσεως καὶ ἠρεμίας. οὐκοῦν ὅσα μὴ ἔχει ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ ἠρεμίας, οὐ φυσικά· τοιαῦτα δέ ἐστιν ὅσα ἀκίνητα ὄντα κατὰ φύσιν κινεῖ· εἰ τοίνυν φυσικοῦ τὸ περὶ τῶν φυσικῶν ἀρχῶν διαλέγεσθαι, τὰ δὲ τοιαῦτα οὐ φυσικά, οὐ διαλέξεται δηλονότι περὶ τούτων ὁ φυσικός. περὶ μόνων ἄρα τῶν τῷ κινεῖσθαι κινουσῶν ἀρχῶν διαλέξεται.

25 p. 198a29 Διὸ τρεῖς αἱ πραγματεῖαι.

Ἐπειδὴ τῶν κινούντων, φησί, τὸ μὲν ἀκίνητόν ἐστι τὸ δὲ κινούμενον,

---

2 τῶ σωκράτει L: om. Mt 4. 5 ὅσα δὲ μή, οὐκέτι φυσικῆς om. K οὐκέτι M: οὐκ ἔτι (L)t 4. 5 φυσικῶς M 6 ἤτοι t: ἢ τὸ M: ἡ K: καὶ L: fort. ἢ 7 ποιητικὸν om. L post τέλει addit (ex v. 9) τὰ αὐτά εἰσι nec delevit M 8 φημὶ ὅτι ὅσα t 9 κινῇ (L)t: κινεῖ KM 10 οὐκ ἔστιν LKM: οὐκέτι t 11 συνεχὲς (L)t: συνεχῶς KM τὸ (ante ῥητὸν) om. L 12 καὶ εἰς κτλ.] p. 198a23 ἀνάγον LM διὰ τί] δή τι M 13 post κινῆσαν adde ex Aristotele τὸ οὗ ἕνεκα καὶ ὅλως K: ὅλως (om. καὶ?) L: καὶ (om. ὅλως) Mt 16 φυσικά L ἐστὶ (post οὐκέτι) t: ἐστὶν K: ἐπὶ M: γὰρ L 17 εἴ γε LK: εἴτε M: εἰ γὰρ t 17. 18 φύσις δέ] φύσεις δέ K: φησὶ γε L 18 ἀρχὴ κτλ.] cf. Ar. B 1 p. 192b20 sqq. καὶ (ante ἠρεμίας) om. K πρώτως (K)t: πρῳ M: πρῶτα L cf. ad p. 196,16 19 κατὰ om. M ὥστε delet t, nimirum quia εἰ γὰρ scripserat v. 17 ὄντα κινεῖς ἔχεις ἐν K 20 οὐκ οὖν libri 21 ὅσα κινητὰ K ὄντα om. L 23 διαλέξεται Mt: διαλέξονται K: διαλέγεται L δηλονότι om. L 24 τῷ] τὸ L ἀρχῶν] τριχῶν L 25 διὸ KMt: διότι L 26 ἐστι] εἶναι K

www.libtool.com.cn

καὶ τῶν κινουμένων τὸ μὲν ἀεικίνητον τὸ δὲ κινούμενον καὶ φθειρόμενον, h 5r
τριττὰς ἐποιησάμεθα καὶ τὰς περὶ αὐτῶν πραγματείας, ἐν μὲν τῇ Μετὰ τὰ 36
φυσικὰ περὶ τῶν ἀκινήτων διαλεχθέντες, ἐν δὲ τῇ Περὶ οὐρανοῦ περὶ τῶν
ἀεικινήτων, ἐν δὲ ταῖς λοιπαῖς πάσαις φυσικαῖς πραγματείαις περὶ τῶν κι-
5 νουμένων μὲν γενητῶν δὲ οὐσῶν καὶ φθαρτῶν. τὰ δὲ ἐφεξῆς ἀνάληψίς
ἐστιν ὡς ἐν συμπεράσματι τῶν αἰτίων, εἰ δὲ παρῆκε τὸ τελικόν, οὐδὲν
πρᾶγμα· ἐφεξῆς γὰρ εὐθὺς πρὸ ὅλων αὐτὸ ἀπαριθμεῖται.

p. 198a33 Περὶ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς 40
αἰτίας σκοποῦσι, τί μετὰ τί γίνεται, καὶ τί πρῶτον ἐποίησεν ἢ
10 τί ἔπαθεν.

Ἐπειδὴ εἶπεν ὅτι τὸ διὰ τί ἐρωτωμένους εἰς τὰς τέσσαρας δεῖ αἰτίας
ἀνάγειν, τούτου τὸν λόγον ἀποδίδωσι· μάλιστα γάρ, φησί, τοῦτον τὸν τρό-
πον περὶ τῶν γινομένων σκοπεῖν εἰώθασιν, ὅπερ καὶ μάλιστά ἐστι φυσικοῦ
ἔργου, τὸ περὶ τῶν γινομένων ἔχειν τὴν πραγματείαν. περὶ ταῦτα γοῦν
15 πάντες οἱ φυσικοὶ μάλιστα ἠσχόληνται, καὶ τοὺς πλείονας περὶ τούτων κατα- 45
βάλλουσι λόγους. περὶ τούτων οὖν σκοποῦντες, ταύτας ζητοῦσι τὰς αἰτίας
τὰς τέσσαρας, ἃς καὶ ἀπαριθμεῖται πάλιν. τί μετὰ τί γίνεται; ὅπερ
ἐστὶ τὸ εἶδος καὶ τὸ οὗ ἕνεκα. σκοπεῖ γὰρ ὁ φυσικὸς τί τίνος ἕνεκεν ἐρ-
γάζεται ἡ φύσις, ἆρα ἡ τοῦ ἀνθρώπου φύσις ποιήσασα τὸ σπέρμα διὰ τὸν
20 ἄνθρωπον αὐτὸ ποιεῖ, ἵνα γένηται ἐξ αὐτοῦ ἄνθρωπος, ἢ ἔμπαλιν τὸν ἄν-
θρωπον ποιεῖ διὰ τὸ σπέρμα· καὶ ἀποδίδωσιν, ὅτι ἕνεκεν τοῦ ἀνθρωπείου
εἴδους, ὥστε διαμένειν, τὸ σπέρμα ἡ φύσις ποιεῖ καὶ πάντα τὰ ἐφεξῆς, τέλος
πάντων τούτων ἔχουσα τὸ ἀνθρώπειον εἶδος ⟨ἀίδιον⟩ ποιῆσαι (πάντα γὰρ τοῦ
εἶναι ἐφίεται)· διὰ τὸ μὴ δύνασθαι οὖν τὰ ἐνταῦθα ἀίδια εἶναι, κατὰ ἀριθμὸν 50
25 τῇ διαδοχῇ τὸ ἀίδιον ἐμηχανήσατο. καὶ τί πρῶτον ἐποίησε; τὸ ποιη-
τικὸν αἴτιον· ζητεῖ γάρ τί ἐστι προσεχῶς ἕκαστον τῶν φυσικῶν κινοῦν.
καὶ τί ἔπαθε; τουτέστι τίς ἐστιν ἡ ὕλη ἡ ὑπὸ τοῦ ποιητικοῦ πάσχουσα
καὶ ἀλλοιουμένη καὶ εἰς τὸ εἶδος ἀγομένη, πότερον τὸ σπέρμα ἢ τὸ κατα-

---

1 κινούμενον] γινόμενον K 4 ἀεικινήτων] ἀκινήτων L πραγματείαις ταῖς φυσικαῖς Mt 5 ἀνάληψίς (ἀνάλ$^{ις}_{η}$ M) LKM: ἀνάλυσίς t 6 αἰτιῶν K 7 πρὸ τῶν ἄλλων L 8. 10 τοῦτον — ἔπαθεν om. K 9 τί μετὰ τί γίνεται ex Arist. t: τί μετὰ τί γὰρ M: τί μετ' αὐτο γίνεσθαι L 10 ἔπαθε t 11 ἐρωτώμενον t 12 τούτου (L)t: τοῦτον KM 14 ἔργον fortasse recte (L)t 15 μάλιστα om. Mt 15 ἠσχόλη^{τ}ν M 16. 17 τὰς αἰτίας τὰς δ' LK: τὰς δ' (τέσσαρας t) αἰτίας Mt 17 γίνεται (compend. $\overline{\Gamma}^{\epsilon\alpha\iota}$ K) LK: γὰρ Mt 17. 18 ὅπέρ ἐστιν εἶδος Mt 18 καὶ om. K τί τίνος LK: τὸ τίνος Mt 19 ἆρα (sic) L et compend. sine accentu K: ὅτι M: οἷον t 19. 21 διὰ τὸν ἄνθρωπον — διὰ τὸ σπέρμα LK: om. Mt 22 διαμένειν τὰ σπέρματα L τέλος (K)t: τέλει ut vid. L: τέ (sic) M post τέλος interpolat δὲ t 23 ἁπάντων M ἀνεῖνου (h. e. ἀνθρωπείνου) K εἶδος ἀίδιον (K)t: εἶδος LM 24 μὴ δύνασθαι] μήνασθαι K οὖν LK: om. Mt 26 ἕκαστον om. K

www.libtool.com.cn

προηγεῖσθαι νοῦν καὶ φύσιν οἷς ταῦτα ἐπισυμβαίνουσιν, οὐ μέντοι τῶν h 3v
αὐτῶν αἴτια ἀνάγκη εἶναι τὰ καθ' αὑτὸ αἴτια, τὸν νοῦν λέγω καὶ τὴν φύ-
σιν, ὧν ἂν εἴη καὶ ἡ τύχη καὶ τὸ αὐτόματον. ὁ μὲν γὰρ νοῦς αἴτιός
ἐστι τοῦ λούσασθαι καθ' αὑτό, οὐ μέντοι καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον,
5 ὅπερ ἀπὸ τύχης γέγονεν, αἴτιός ἐστι καθ' αὑτὸ ὁ νοῦς· καὶ τὸ μὲν διψῆσαι
τὸν ἵππον αἴτιόν ἐστι τῷ ἵππῳ καθ' αὑτὸ τῆς ἐκ τοῦ στρατοπέδου ἀνα-
χωρήσεως, τοῦ μέντοι ἀναχωρήσαντα σωθῆναι, ὅπερ ἐκ ταὐτομάτου γέ-
γονεν, οὐκέτι ἡ δίψα ἢ ἡ ἀναχώρησις καθ' αὑτό ἐστιν αἰτία, ἀλλὰ κατὰ 10
συμβεβηκός. ὥστε τὸ δεῖν μὲν τὸν νοῦν καὶ τὴν φύσιν αἴτια καθ' αὑτὸ
10 εἶναι ἄλλων τινῶν ἐκ τούτων δέδεικται, τοῦ μέντοι οὐρανοῦ εἰ τὸ αὐτό-
ματον αἴτιόν ἐστιν, οὐκέτι καὶ τὸν νοῦν ἢ τὴν φύσιν ἐκ τούτων ἀνάγκη
αἴτια εἶναι, εἰ μὴ κατὰ συμβεβηκός· κατὰ συμβεβηκὸς γὰρ τῶν μὲν κατὰ
τύχην ὁ νοῦς αἴτιος τῶν δὲ ἐκ ταὐτομάτου ἡ φύσις, καθ' αὑτὸ δὲ οὐκέτι.
φημὶ οὖν ἐγὼ πρὸς ταῦτα· ἐπειδὴ ἐκεῖνοι ἐκ ταὐτομάτου πάντας τοὺς κό-
15 σμους ἄλλον ἐν ἄλλῳ μέρει τοῦ κενοῦ γενέσθαι ἔλεγον, εἰ δέδεικται ὅτι 15
πρὸ τύχης καὶ τοῦ αὐτομάτου δεῖ τὰ καθ' αὑτὸ εἶναι αἴτια, τὸν νοῦν
λέγω καὶ τὴν φύσιν, ἐροίμεθα αὐτοὺς τίνος ἂν εἴη νοῦς καὶ φύσις καθ'
αὑτὸ αἴτια· εἰ γὰρ τῶν κόσμων πάντων κατὰ συμβεβηκός, τίνος ἂν εἶεν
καθ' αὑτό; οὐ γὰρ ἔστιν ἕτερόν τι παρὰ τοὺς ἀπείρους κόσμους. ὥστε ἢ
20 οὐδ' ὅλως ἔσονταί τινος καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, ὅπερ ἀδύνατον,
ἢ εἰ εἰσί, τῶν κόσμων τῶν ἀπείρων εἰσὶ δηλονότι. καλῶς ἄρα συνῆκται
ὅτι καὶ κατὰ τὰς αὐτῶν ὑποθέσεις νοῦν καὶ φύσιν ἀνάγκη καὶ τούτου τοῦ 20
κόσμου καὶ πάντων καθ' αὑτὸ ὑποτιθέναι αἴτιον· εἰ γὰρ δέδεικται ἡμῖν
ὅτι τύχη καὶ αὐτόματον ἐξ ἀνάγκης τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίστανται
25 τῷ νῷ καὶ τῇ φύσει, ἀνάγκη δὲ πρὸ τῶν κατὰ συμβεβηκὸς αἰτίων εἶναι
τὰ καθ' αὑτὸ αἴτια, τίνος ἂν εἶεν καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, εἰ μὴ
τῶν κόσμων εἶεν αἴτια; ὥστε ἔκ τε τῶν παρ' ἡμῶν δεδειγμένων καὶ τῶν
ὑποθέσεων τῶν ἐκείνων συνάγεται νοῦν καὶ φύσιν καθ' αὑτὰ εἶναι αἴτια
τοῦ παντός, εἰ καὶ συγχωρηθείη καὶ τὸ αὐτόματον εἶναι αὐτοῦ αἴτιον. 25
30 Ἐπεὶ δ' ἐστὶ τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν ἢ νοῦς
γένοιτο αἴτιος ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται
τούτων αὐτῶν. ἡ τύχη, φησί, καὶ τὸ αὐτόματον αἴτια τούτων εἶναι λέγεται 31

---

1 φύσεως L 2 et 16 τὸ νοῦν K 3 εἴη] εἰ L 6 ἐστι L: εἶναι KMt
7 τοῦ LK: τὸ Mt ἀναχωρήσαντας ὠθῆναι K ὥσπερ M 8 ἢ ἡ t: ἢ ἡ M: ἢ L: ἡ K 9 post ὥστε add. καὶ Mt 10 τούτου L 12 μὲν L: om. KMt
13 αἴτιος LKM: αἴτιον t δὲ (post αὐτὸ) LK: om. Mt 15 δέδεικται (litterae δει ex corr.) K 17 ἐροίμεθα LKM: ἐρώμεθα t: fort. ἐροίμεθ' ἂν 18 εἰ γὰρ καὶ τῶν L 20 οὐδόλως M 21 ἢ εἰ] ἡ K 22 καὶ (post ὅτι) LK: om. Mt
τὰς ex τῶν vel τῆς et ὑποθέσεις ex ὑποθέσεων vel ὑποθέσεως corr. L 23 τιθέναι M 24 αὐτὰ K 25 τῷ ναῷ K αἰτιῶν K 26 τίνες L αἴτια νοῦς] αἴτι νοῦς (sic) K 27 τε om. K ἡμῶν LK: ἡμῖν Mt 29 συγχωρη (h. e. συγχωρηθῇ) L
30. 31 καὶ — φύσις om. K 30 αἴτια Lt: αἰτία M 31 φύσει L

www.libtool.com.cn

ὧν καὶ ὁ νοῦς καὶ ἡ φύσις αἰτιά εἰσι κατὰ συμβεβηκός. τῆς γὰρ κομιδῆς h 3v
τοῦ ἀργυρίου αἰτία μὲν λέγεται εἶναι ἡ τύχη, πρὸ τῆς τύχης δὲ ὁ νοῦς ὁ
κινήσας πολλῷ πρότερον αἴτιος κατὰ συμβεβηκός· εἰ γὰρ μὴ ἐκίνησεν ἐπὶ
τὴν ἀγορὰν ἢ ἐπὶ τὸ λουτρόν, οὐκ ἂν οὐδὲ συνέβαινεν ἡ ἀπαίτησις τοῦ
5 ἀργυρίου. τὰ αὐτὰ καὶ ἐπὶ φύσεως καὶ αὐτομάτου. ὥστε πρὸ τῆς τύχης 35
καὶ τοῦ αὐτομάτου νοῦς καὶ φύσις αἴτια τοῦ αὐτοῦ κατὰ συμβεβηκός·
πανταχοῦ δὲ τὸ καθ' αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός· ὥστε εἰ κατὰ
συμβεβηκὸς ὁ νοῦς τοῦ κόσμου αἴτιος, πολλῷ πρότερον καὶ καθ' αὑτὸ ἂν
εἴη αὐτοῦ αἴτιος· εἰ μὴ γὰρ αὐτοῦ καθ' αὑτὸ αἴτιος, τίνος ἂν εἴη ἄλλου;
10 ἔχει δὲ ἡ λέξις ἀκατάλληλόν τι· εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ
συμβεβηκὸς αἴτια ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον αἴτια, ἐπειδή, φησί,
πρότερα τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα
τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις. καίτοι εἰ τὸν νοῦν καὶ τὴν 40
φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό εἰσιν
15 αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερα ἂν εἴη καὶ ὕστερα, εἴ γε τῶν αὐτῶν
καὶ καθ' αὑτό εἰσιν αἴτια καὶ κατὰ συμβεβηκός. εἰ γὰρ ἄλλων μὲν εἴη
καθ' αὑτὸ ἄλλων δὲ κατὰ συμβεβηκός, οὐδὲν ὧν βούλεται συνάγει· οὐ συνάξει
γὰρ ὅτι ὁ νοῦς καθ' αὑτὸ τοῦ κόσμου αἴτιος. εἰ δὲ τὸ ὅταν κατὰ συμ-
βεβηκὸς αἴτιόν τι γένηται πρὸς τὴν τύχην καὶ τὸ αὐτόματον ἐξακού-
20 σωμεν, τουτέστιν ὅταν ἡ τύχη καὶ τὸ αὐτόματον αἴτιόν τι γένηται τούτων 45
αὐτῶν, ὧν ἂν ἢ νοῦς ἢ φύσις καθ' αὑτὸ γένηται αἴτια, οὐκέτι ἀληθὲς τὸ
τούτων εἶναι τὸν νοῦν αἴτιον καὶ τὴν φύσιν, ὧν ἡ τύχη καὶ τὸ αὐτόματον
κατὰ συμβεκηκὸς αἴτια· ὅτι μὲν γὰρ τοῖς ἄλλων καθ' αὑτὸ αἰτίοις, νῷ
λέγω καὶ φύσει, παρέπεται τύχη καὶ αὐτόματον, ἐκ τῶν προλαβόντων
25 ἔχομεν δεδειγμένον, τῶν μέντοι αὐτῶν καθ' αὑτὸ εἶναι τὸν νοῦν αἴτιον,
ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, οὐκέτι. δῆλος δ' ἐστὶ τὸ κατὰ συμ-
βεβηκὸς πρὸς τὴν τύχην λέγων καὶ τὸ αὐτόματον· εἰπὼν γὰρ ὅτι τὸ καθ' 50
αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός, ἐπήγαγεν ὕστερον ἄρα τὸ αὐτό-
ματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως· εἰ γὰρ τὸ καθ' αὑτὸ πρό-
30 τερον τοῦ κατὰ συμβεβηκός, πρότερον δὲ τύχης καὶ αὐτομάτου νοῦς καὶ
φύσις, κατὰ συμβεβηκὸς ἄρα τύχη καὶ αὐτόματον. ἀλλ' εἴ τις λέγοι ὅτι
'οὐ τῶν αὐτῶν δώσομεν εἶναι τὸν νοῦν καὶ τὴν φύσιν καθ' αὑτὸ αἴτια, ὧν
καὶ ἡ τύχη καὶ τὸ αὐτόματον', λεγέτω τίνων ἄλλων· οὐ γὰρ ἔστι τι παρὰ

---

2 αἴτια μὲν K 3 πρότερος L 4 ἀπάντησις t 5 καὶ ἐπὶ αὐτομάτου L 6 αἰτία corr. M et t 8. 9 πολλῷ — καθ' αὑτὸ αἴτιος om. L 10 κατάλληλον L 11 ὧν (ὧν K) καὶ — αἴτια LK: om. Mt 12 πρότερα LK: πρότερον Mt αἰτιῶν K πρότερα ἄρα L 14 εἶπον L αἰτία K καὶ om. L 15 καὶ (post ἄρα) om. L πρότερον t ὕστερον Kt 17 οὐδ' ὃ βούλεται L οὐ συνάξει KM: οὐ συνάγει (L)t 18 ὁ om. L αὐ M: αὐτὸν t 19. 20 ἐξακούσομεν t 21 αὐτῶν, ὧν om. L γένηται αἴτια (αἰτία M) KMt: αἴτια γένηται L 23 ἄλλοις Mt 24 τῇ τύχῃ L 25 δεδειγμένων, τὴν μέντοι L μέν τι αὐτῶν K 26 ὧν] ὦ L 26. 27 συμβεβηκὸς] μβ^ε (sic) K 29 καὶ (ante φύσεως) om. K 32 οὐ LK: om. Mt

www.libtool.com.cn

τὸ πᾶν ἐν τοῖς φυσικοῖς, περὶ ὧν κἀκεῖνοι καὶ ἡμεῖς ποιούμεθα τὸν h 3v
λόγον. |

Καὶ ἄλλων πολλῶν καὶ τοῦδε τοῦ παντός. ἄλλων πολλῶν, h 4r
τῶν κατὰ μέρος· τῶν μὲν μερικῶν τὸν μερικὸν νοῦν καὶ τὴν φύσιν, τῶν
5 δὲ καθόλου τὸν ἐπὶ πάντων νοῦν καὶ τὴν φύσιν.

p. 198a14 Ὅτι δὲ ἔστιν αἴτια, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα φαμέν, δῆλον.

Εἰπὼν περί τε τῶν καθ' αὑτὸ αἰτίων καὶ περὶ τῶν κατὰ συμβεβηκός, 5
καὶ τελείως διαρθρώσας τὸν περὶ αὐτῶν λόγον, τὸ χρήσιμον νῦν τοῦ περὶ
10 αὐτῶν λόγου ἐκτίθεται, ὅτι οὐ μάτην τὸν περὶ αὐτῶν ἀκριβῶς διεξῆλθε
λόγον, ἀλλ' ὅτι ὁ φυσικὸς ἐρωτώμενος τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων
ἢ πάσας ἤ τινας τῶν εἰρημένων ἀποδώσει. διὰ τοῦτο οὖν ἀναλαμβάνει τὸν
περὶ αὐτῶν λόγον, οὐχ ὡς ταυτολογῆσαι βουλόμενος, ἀλλ', ὅπερ εἶπον, ἵνα
δείξῃ ὅτι ἀναγκαίως τὸν περὶ αὐτῶν ἐποιήσατο λόγον. ἐρωτώμενος γάρ,
15 φησίν, ὁ φυσικὸς τὴν αἰτίαν ἑκάστου, ἢ τὰς τέσσαρας ἀποδώσει τὰς εἰρη- 10
μένας, τὴν ὕλην τὸ εἶδος τὸ ποιητικὸν τὸ τέλος, ἢ εἰ μὴ δυνατὸν ἐπί τινων
πάσας εὑρεῖν, ἃς γοῦν δυνατὸν εὑρεῖν ἀποδώσει ἢ μίαν ἢ πλείους. ὥσπερ
ἀμέλει καὶ οἱ μαθηματικοὶ ἐρωτώμενοι περὶ ἑκάστου τῶν ὑπαρχόντων τοῖς
μαθήμασι, τὴν αἰτίαν εἰς τὸ εἶδος καὶ τὸν ὁρισμὸν ἀναφέροντες ἀποδιδόασιν.
20 οἷον διὰ τί ἥδε ἡ εὐθεῖα τῇδε τῇ εὐθείᾳ ἐστὶν ἴση; ὅτι ἐκ κέντρου. διὰ
τί δὲ αἱ ἐκ κέντρου ἴσαι; ὅτι οὗτος ὁ ὁρισμὸς τοῦ κύκλου· σχῆμα ἐπί-
πεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐν- 15
τὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν τοῦ
κύκλου περιφέρειαν ἴσαι ἀλλήλαις εἰσί. μόνῳ γὰρ τῷ κύκλῳ τοῦτο ὑπάρχει,
25 τὸ ἔχειν ἕν τι σημεῖον, τοῦτο δ' ἐστὶ τὸ κέντρον, ἐξ οὗ αἱ πρὸς τὴν περι-
φέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί. καὶ οὕτως εἰς τὸν ὁρι-
σμὸν ἔσχατον λήξας οἴεται τῇ ἐρωτήσει τὸ ἱκανὸν πεποιηκέναι, ὅσπερ ὁρι-
σμὸς τοῦ κύκλου εἶδός ἐστιν αὐτοῦ· ὥστε ἐρωτηθεὶς τὸ διὰ τί καὶ ἀποδοὺς
τὸ εἶδος, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκε. πάλιν εἰ ἐρωτηθείη διὰ τί 20
30 τοῦ τριγώνου αἱ τρεῖς γωνίαι τῆς λοιπῆς μείζονές εἰσιν, ἐρεῖ ὅτι δυσὶ ταῖς

---

1 κἀκεῖνο L ὑμεῖς K 3. 5 om. K 3 τοῦ om. Aristotelis cod. E
6 lemma om. K ἐστὶ L 8 αὐτὸ L αἰτιῶν K 9 αὐτῶν corr. ex αὐτὸν K 9. 11 τὸ χρήσιμον—λόγον om. L 9 νῦν] νοῦν M 13 ταυτὸ λογῆσαι K 14 τὸν] τοῦ K 15 φησίν compend. K: om. LMt 15. 16 εἰρημένας αἰτίας L 17 εὑρεῖν altero loco om. Mt 20 ἡ om. L ἴση ἐστίν Mt 20 et 21 ἐκ τοῦ κέντρου utrobique Mt at cf. p. 298,30 sq. 21. 22 ἐπίποδον L 22 ἣν] τὴν K 23. 24 πρὸς τὴν τοῦ κύκλου περιφέρειαν delet t at cf. Simplic. p. 361,31. Heiberg ad Euclidis Elem. I def. 15 24 μονῃ L τούτω ὑπάρχει K 27 ὥσπερ L 27. 28 ὅσπερ ὁ ὁρισμὸς Mt 30 τῆς λοιπῆς LKM: μιᾶς ὀρθῆς coniecit t: scribendum videtur τοῦ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, ἐρεῖ ὅτι * * * καὶ διὰ τί τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐρεῖ ὅτι δυσὶ ταῖς ἐφεξῆς κτλ. εἰσιν δὲ ἐρεῖ L ὅτι] ὁ K ταῖς] τῇ L

www.libtool.com.cn

ἐφεξῆς ἴσαι εἰσί, δύο δὲ αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πάλιν ἐρωτηθεὶς h 4r
διὰ τί αἱ δύο αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἐρεῖ ὅτι ὡς ἂν εὐθεῖα
ἐπ' εὐθεῖαν σταθῇ, ἢ δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ· καὶ εἰς ὁρι-
σμὸν τελευτήσας, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκεν. οὐ τοῦτο δέ φημι, ὅτι
5 εἰς ὁρισμὸν αὐτοῦ τοῦ ἐρωτωμένου (οὐ γὰρ ὁρισμὸν γωνίας ἢ γωνιῶν ἀπο-
δέδωκεν), ἀλλ' ὅτι ἁπλῶς εἰς ὁρισμόν τινα ἀνάγει τὸ διὰ τί ἐστι. τοῦτο 25
δ' εἶπε παραδείγματος ἕνεκεν τοῦ ὅτι τὸ διὰ τί ἐρωτώμενοι, ἔστιν ὅτε τὸ
εἶδος ἀποδιδόαμεν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν πάντων· οὐ πρότερον γὰρ
ἀποπιπλῶμεν τὸν ἐρωτήσαντα διὰ τί τόδε, πρὶν εἰς ὁρισμὸν τὸ διὰ τί ἀνα-
10 γάγωμεν, ὁ δὲ ὁρισμὸς εἶδός ἐστιν. ἀλλ' οἱ μὲν ἐν τοῖς μαθήμασιν εἰς τὸ
εἶδος μόνον, τουτέστι τὸν ὁρισμόν, ἀνάγοντες καὶ τὸ διὰ τί ἀρκοῦνται (οὔτε
γὰρ ὕλην ὁ μαθηματικὸς ἐπισκέπτεται οὔτε ποιητικὸν αἴτιον οὔτε τέλος,
ἀλλὰ μόνα τὰ εἴδη τῶν μαθηματικῶν), ὁ μέντοι φυσικὸς πάντα τὰ αἴτια 30
ἀποδώσει. οἷον διὰ τί Σωκράτης ἄνθρωπός ἐστιν; ἀποδώσει τὴν αἰτίαν
15 καὶ εἰς τὸ εἶδος ἀνάγων, ὅτι ζῷον λογικὸν θνητόν, καὶ εἰς τὸ ποιητικὸν
αἴτιον, διότι τὸ ὅμοιον τοῦ ὁμοίου αἴτιον· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου. καὶ
τὴν ὕλην δ' ἀποδώσει. οἷον διὰ τί τὸ μαχαίριον τέμνει; ὅτι σιδήρεον· ἢ
ἐκ τοῦ εἴδους, ὅτι ὀξύ· ἢ ἐκ τοῦ τελικοῦ αἰτίου, διὰ τὴν τῶν ἀνθρώπων
χρείαν. καὶ οὕτως ἐπὶ πάντων, εἰ μὲν δυνατὸν πάσας τὰς αἰτίας ἀποδοῦναι,
20 ἀποδώσει, εἰ δὲ μὴ ἐπὶ πάντων δυνατὸν πάσας (οὐδὲ γὰρ εἰκὸς τὴν προ- 35
σεχῆ ὕλην ἑκάστου εὑρίσκειν· τίς ἡ ἰδιότης τῆς τῶν στοιχείων κράσεως
τῆς ὑποκειμένης Σωκράτει ἢ καὶ τῷ Πλάτωνι; καὶ τῶν ἄλλων ὡσαύτως),
τινὰς γοῦν ἢ μίαν ἀποδώσει. ἔστι δ' ἐπί τινων καὶ πάσας ἀποδοῦναι.
οἷον διὰ τί ὁ ἄνθρωπος ἀποθνήσκει; ὅτι ζῷον λογικὸν θνητόν, ἐκ τοῦ εἴδους·
25 ἐκ δὲ τῆς ὕλης, ὅτι ἐξ ἐναντίων συνέστηκεν· ἐκ δὲ τοῦ ποιητικοῦ, ὅτι τὸ
γεννητικὸν αὐτοῦ πρόσεισι καὶ ἄπεισιν· ἐκ δὲ τοῦ τέλους, ὅτι βέλτιον τῇ
ψυχῇ τὸ μὴ ἐν σώματι εἶναι τοῦ ἐν σώματι διὰ τὰς ἐκ τοῦ σώματος ἐνο- 40
χλήσεις. εἰ τοίνυν τὰς αἰτίας ἀπαιτούμενος ὁ φυσικὸς εἰς τὰ εἰρημένα αἴτια
ἀνάξει, καλῶς ἄρα τὸν περὶ αὐτῶν ἀκριβῶς διεξήλθομεν λόγον, ὅτι τέσσαρά
30 ἐστι μόνα, τὸ εἶδος ἡ ὕλη τὸ ποιητικὸν τὸ τέλος. τούτων δέ, φησί, τὰ
τρία πολλάκις ἔρχεται εἰς ταὐτόν, τὸ ποιητικὸν τὸ εἶδος τὸ τέλος, εἰς

---

1 αἱ om. L 1. 2 πάλιν—ἴσαι εἰσὶν om. K 1 πάλιν ἐρωτηθεὶς Mt: om. L post ἐρωτηθεὶς addit ὅτι M 2 αἱ δύο αἱ] δύο αἱ L ὡς ἂν (cf. p. 333,11) LKM: ὅταν t ἡ εὐθεῖα Mt 3 ἴσα K εἰς om. K 7 εἰπεῖν L ἐρωτώμενος K ὅτε] οὔτε L 9 ἀποπιπλῶμεν LK: ἀποπιμπλῶμεν M: ἀποπιμπλῶμεν t: scribe ἀποπίμπλαμεν cl. p. 298,28 10 ἐν om. L 11 τουτέστι] τούτων L ἀνάγοντες τὴν αἰτίαν καὶ fort. recte L: an καὶ delendum? 11. 12 οὔτει (sic) γὰρ K 16 διότι] διατὶ L 17 σιδήριον ante corr. K 19 εἰ μὲν om. L δυνατὸν ante corr. M 21 εὑρίσκειν LK: εὑρίσκοι M: εὑρήσει t ἡ om. L 22 ἢ om. L πλάτω L 23 τινὰς] τινῶν compend. L 24 ὁ L et superscr. K: om. Mt cf. Themist. p. 189,6. Simplic. p. 362,8 ἀποθνήσει ante corr. K 26 πρόεισι L et Themistii libri l. c. 8 27 τὸ] τῷ L 29 τὸν] τὰ L διήλθομεν Mt at cf. p. 296,10 30 ἐστι LK: εἰσι Mt 30. 31 τούτων—τέλος LK: om. non indicata lacuna M: λείπει τί in lac. t

www.libtool.com.cn

ταὐτὸν δὲ λέγω οὐ τῷ ἀριθμῷ ἀλλὰ τῷ λόγῳ· ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου h 4r
καὶ ἵππος ἐξ ἵππου, καὶ ταὐτὸν τὸ ποιοῦν τῷ γινομένῳ οὐ τῷ ἀριθμῷ
ἀλλὰ τῷ εἴδει. τῷ δὲ τέλει τὸ μὲν ποιητικὸν ὡσαύτως ἕτερον τῷ ἀριθμῷ, 45
τὸ δ' εἶδος ταὐτόν· ὡς μὲν γὰρ μήπω ὂν ἀλλὰ σκοπὸς ὂν τῆς φύσεως
5 (τούτου γὰρ στοχάζεται), τέλος ἐστίν, ὡς δὲ γενόμενον ἤδη καὶ ἐν τῷ συν-
θέτῳ ὄν, εἶδός ἐστι. τῆς δὲ ποιητικῆς αἰτίας τῆς μὲν οὔσης ἀκινήτου τῆς
δὲ κινουμένης, καὶ τῆς κινουμένης τῆς μὲν ἀιδίως κινουμένης τῆς δὲ
γενητῆς καὶ φθαρτῆς, τρεῖς συμβαίνει γενέσθαι καὶ τὰς πραγματείας· διό,
φησί, καὶ ἡμῖν τρεῖς εἰσι γεγραμμέναι πραγματεῖαι περὶ τῶν αἰτιῶν τῶν
10 ποιητικῶν, περὶ μὲν οὖν τῆς ἀκινήτου ἡ Μετὰ τὰ φυσικά, περὶ δὲ τῆς
κινουμένης μὲν ἀιδίως δὲ κινουμένης ἡ Περὶ οὐρανοῦ, περὶ δὲ τῆς γενητῆς 50
καὶ φθαρτῆς αἱ φυσικαὶ πᾶσαι πραγματεῖαι.

p. 198a15 Τοσαῦτα γὰρ τὸν ἀριθμὸν τὸ διὰ τί περιείληφε.

Τὸ διὰ τί οὐ τὸ τέλος ἐνταῦθά φησιν, ἀλλὰ καθόλου τὴν αἰτίαν. τῶν
15 γὰρ προβλημάτων τεσσάρων ὄντων, τοῦ εἰ ἔστι τί ἐστιν ὁποῖόν τί ἐστι καὶ
διὰ τί ἐστιν, τὸ ἓν τῶν προβλημάτων, τὸ διὰ τί ἐστιν, εἰς τοσαύτας αἰτίας
ἀνάγεται, τὴν ὕλην τὸ εἶδος τὸ ποιητικὸν τὸ τέλος· ἐρωτώμενοι γὰρ διὰ
τί ἐστιν ἕκαστον, τὰς τέσσαρας ταύτας αἰτίας ἀποδιδόαμεν. |

p. 198a16 Ἢ γὰρ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί ἔσχατον ἐν h 4v
20 τοῖς ἀκινήτοις.

Τὸ διὰ τί, φησίν, ἢ εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον, ἀντὶ τοῦ εἰς
τὸν ὁρισμὸν ὅσπερ εἶδός ἐστι τοῦ ὑποκειμένου. ἀκίνητα δὲ τὰ μαθήματά
φησι, διότι τὰ μὲν φυσικὰ ἐν κινήσει θεωρεῖται (ἀρχὴ γὰρ κινήσεως καὶ
ἠρεμίας ἡ φύσις), τὰ δὲ μαθηματικὰ ἐν τῇ ἐπινοίᾳ τῇ ἡμετέρᾳ ἔχοντα τὸ 5
25 εἶναι ἀκίνητά ἐστιν· οὐ γὰρ ἀλλοιοῦται, οὐδ' ὅλως μεταβάλλει, ἅτε μηδὲ
ἐν ὕλῃ ὄντα. εἰς ἔσχατον δὲ εἶπεν, ὅτι ὅταν ἐπὶ τῶν μαθημάτων ἐρωτη-
θέντες διὰ τί ἐστι τόδε εἶτα θελήσωμεν ἀποδοῦναι τὸ αἴτιον, οὐ πρότερον
ἀποπίμπλαμεν τὸν ἐρωτῶντα πρὶν ἂν εἰς ὁρισμὸν ἔσχατον καταντήσωμεν,
ὅσπερ ἐστὶν εἶδος. καὶ οὕτως ἐν τοῖς μαθήμασιν ἔχει πᾶσι. διὰ τί ἴσαι
30 αἱ δύο εὐθεῖαι; ὅτι ἐκ κέντρου. διὰ τί δὲ αἱ ἐκ κέντρου ἴσαι; ὅτι οὗτος

---

1 ἄνθρωπος γὰρ Mt: ἄνθρωπος K: οἷον ἄνθρωπος L 2 ταυτὸ et mox τῷ εἴδη τῷ δὲ τέλος L 4 τῇ φύσει L 5 τέλος εἶναι (omissis 5. 6 ὡς δὲ—εἶδός ἐστι) L γενόμενον (cf. p. 301,25) t: γινόμενον KM 6 τῆς μενούσης K 8 et 11 γενητῆς K: γεννητῆς (sic; cf. ad p. 189,10) LMt 8 γίνεσθαι Mt 8. 10 καὶ τὰς—ποιητικῶν om. L 10 οὖν om. Mt τῆς (ante ἀκινήτου) t: τοῦ LKM 11 μὲν om. M 13 περιεληφεν K 14 φασὶν L 15 καὶ om. L 16 τὸ ἓν (ἐν cod.) τῶν προβλημάτων τὸ διὰ τί ἐστι L: om. KMt 22 ὅσπερ M: ὥσπερ L: ὅπερ (K)t εἶδος εἶδος ἐστὶν τὸ ὑποκείμ̄ε K ἀκίνητα· ἀκίνητα δὲ L 23 καὶ] καὶ ἡ L 25 ἀκινητέ (sic) ἐστιν L 27 θελήσομεν LM 29 ἐστὶν εἶδος] ἐστι ὅδε L 30 δὲ om. Mt

www.libtool.com.cn

ὁ ὁρισμὸς τῶν ἐκ κέντρου τοῦ κύκλου, τὰς ἐκ τοῦ κέντρου τοῦ κύκλου h 4v
πάσας εἰς τὴν περιφέρειαν ἀγομένας ἴσας εἶναι ἀλλήλαις· καὶ οὕτως τὸν 11
ὁρισμὸν ἀκούσαντες ἀποπιμπλάμεθα. ὃ οὖν φησι, τοῦτό ἐστι· τὸ διὰ τί
ἐρωτώμενοι, ἢ εἰς τὸ τί ἐστιν, ὅπερ τὸ εἰδός φημι, ἀνάγομεν, ὥσπερ ἐπὶ
5 τῶν μαθημάτων ἔχει. εἰς ὁρισμὸν γὰρ ἔσχατον ἡ τῆς αἰτίας ἀπόδοσις
λήγει ἐν τοῖς μαθήμασιν, ὁ δὲ ὁρισμὸς εἰδός ἐστι· παραδείγματος γὰρ
ἕνεκεν εἴρηται αὐτῷ τὰ μαθήματα. ἡ οὖν σύνταξις τῆς λέξεως οὕτως 'τὸ
γὰρ διὰ τί ἢ ὥσπερ ἐν τοῖς ἀκινήτοις εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον'· 15
προσυπακουστέον γὰρ ἔξωθεν 'ὥσπερ'.

10 p. 198a17 Εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος ἢ συμμέτρου.

Ἐὰν ἐν τῷ κύκλῳ λάβω δύο τινὰ σημεῖα, εἶτα εἴπω ὅτι ἀπέχουσιν
ἀπ' ἀλλήλων τὰ σημεῖα πέντε τυχὸν δακτύλους, εἶτα ἐρωτήσῃς· πόθεν τοῦτο;
φημὶ ὅτι καὶ ἡ ἐκ τοῦ σημείου ἐπὶ τὸ σημεῖον ἀγομένη εὐθεῖα τοσούτων
ἐστίν. εἶτα πάλιν ἐρωτῶντος· καὶ τί δήποτε μὴ κατὰ τὴν ἐξ αὐτῶν γρα-
15 φομένην περιφέρειαν ἢ ἕλικα μετρεῖς αὐτά; φημὶ ὅτι δεῖ τὸ μέτρον ὡρι-
σμένον εἶναι, ὥρισται δὲ τὸ ἐλάχιστον, ἐλαχίστη δὲ ἡ εὐθεῖα· εὐθεῖα γάρ 20
ἐστιν ἥτις ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν. καὶ τὸν
ὁρισμὸν ἀκούσαντες, οὐκέτι περαιτέρω χωροῦμεν. πάλιν λέγομεν ὅτι ἥδε
ἡ πλευρὰ τῇδε τῇ πλευρᾷ ἐστι σύμμετρος· διὰ τί δὲ σύμμετροί εἰσιν; ὅτι
20 λόγον ἔχουσι πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς ἀριθμόν, οἷον τυχὸν ὁ δύο
πρὸς τὸν ὀκτώ. καὶ τί εἰ ἔχουσι λόγον πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς
ἀριθμόν; φημὶ ὅτι οὗτος ⟨ὁ⟩ ὅρος τῶν συμμέτρων· σύμμετρα γάρ ἐστι τὰ τῷ
αὐτῷ μέτρῳ μετρούμενα. ὥσπερ οὖν ὁ δύο μετρεῖ τὸν ὀκτὼ τετράκις, 25
οὕτως καὶ ἡ πλευρὰ τὴν πλευράν. καὶ εἰπὼν τὸν ὁρισμὸν ἔστησα τὴν ἀπο-
25 ρίαν. καὶ καθόλου πᾶσα ἡ μαθηματικὴ μέθοδος ἢ εἰς ὁρισμὸν ἔσχατον
ἀναφέρει τὰς αἰτίας, ἢ εἰς τὰς κοινὰς ἐννοίας.

p. 198a19 Ἢ εἰς τὸ κινῆσαν πρῶτον.

Εἰπὼν τὸ εἰδικὸν αἴτιον, μετῆλθεν ἐπὶ τὸ ποιητικόν· ἐρωτώμενοι γάρ,
φησί, διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἀποκρινόμεθα τὸ ποιητικὸν

---

1 ὁ om. LK at cf. p. 296,21 τὸ τὰς ἐκ (om. τοῦ) κέντρου L τοῦ extremum om. K 3 ἀποπεμπλάμεθα L 6 παραδείγματα L 7 ἕνεκα Mt 9 τὸ ὥσπερ L 10 τοῦ εὐθέος ἢ συμμέτρου om. K 12 ὑπ' t κατὰ ὃ (ὃ corr. ut vid. in ε) τυχὸν L δακτύλοις Mt ἐρωτήσῃς K: ἐρωτήσεις LM: ἐρωτήσῃ t 13 ἀγομένη ἡ εὐθεῖα K τοσοῦτον L 14 καὶ om. Mt 14. 15 γεγενημένην L 15. 16 ὁρισμένον K 17 ἥτις ἐλαχίστης K 18 περετέρω K 19 διατὶ (compend.) σύμμετρος (om. δὲ) ἐστὶν L 20 πρὸς ἀλλήλοις L τυχὸν om. L ὁ β' L: οἱ δύο KMt 21 ὀκτὰ et 23 ὀκτῶ K 22 ὁ addidi 23 μέτρῳ] μέτρα ut vid. M συμμετρούμενα L 24 οὕτω t ἔστησεν L 27 κινείσαν (om. πρῶτον) K 29 Φωκεῦσι κτλ.] cf. Themist. p. 188,27 sqq. (Simplic. p. 361,33 sqq.)

www.libtool.com.cn

σημαινομένου, ὅπερ καὶ κυρίως ἐστὶ τέλος, οὐκ ἐπὶ τῶν φύσει ἥρμοσται ὑπὸ h 6v
τοῦ Ἀριστοτέλους, ἀλλ' ἐπὶ τῶν τέχνῃ γινομένων ἐν οἷς καὶ ἀληθεύει· ὄντος γάρ τινος τέλους ἐν τοῖς τεχνητοῖς οὗ στοχάζεται ἡ τέχνη, πάντα τὰ πρὸ τοῦ τέλους τούτου τοῦ τέλους ἕνεκα ποιεῖ ἡ τέχνη. τοῦτο μὲν οὖν
5 οὕτως διῃτήσθω. τὸ δ' ἑξῆς οὐκέτι ἀληθές· οὐ γὰρ ἐπειδή, εἰ τὰ τε-
χνητὰ ὑπὸ φύσεως ἐγίνετο, οὕτως ἐγίνετο ὑπὸ φύσεως ὡς νῦν ὑπὸ τῆς 15
τέχνης, ἤδη που ἀνάγκη διὰ τοῦτο τῆς τέχνης ἕνεκά του ποιούσης καὶ τὴν φύσιν ἕνεκά του ποιεῖν. καὶ γὰρ εἰ ἡ τέχνη ποιεῖ τέρας τι, πάντως μὲν πάντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα ποιεῖ, οὐ μὴν ἤδη διὰ τοῦτο,
10 ἐπειδὴ νῦν γίνεται τέρας ὑπὸ τῆς φύσεως ὃ ἂν ἐποίησεν ἡ τέχνη, ἕνεκα τούτου πάντα τὰ πρὸ τούτου ποιεῖ ἡ φύσις· οὐ γάρ ἐστι σκοπὸς τῇ φύσει τὸ τέρας ποιῆσαι. παρὰ φύσιν γὰρ τὸ τοιοῦτον καὶ ἁμάρτημα φύσεώς ἐστιν, ὅθεν οὐδὲ οὗ ἕνεκά ἐστιν, οὐδὲ τέλος. οὐκ ἄρα ἀνάγκη, εἰ ἡ τέχνη ἕνεκά 20
του ἐποίησε, τὸ αὐτὸ καὶ ὑπὸ τῆς φύσεως εἰ ἐπεφύκει, ἕνεκά του ἂν γε-
15 νέσθαι.

Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον, ἐφεξῆς δὲ πάλιν φησὶν ὅτι εἰ ἡ τέχνη μιμεῖται τὴν φύσιν ἢ συνέριθός ἐστι καὶ βοηθὸς αὐτῆς (μιμεῖται μὲν γὰρ τὴν φύσιν οἷον ἡ ἀνδριαντοποιητική, συνέριθος δὲ αὐτῆς ἐστιν οἷον ἡ ἰατρική· βουλομένης γὰρ φέρε εἰπεῖν τῆς φύσεως τὰ περιττώματα ἀπο-
20 κρῖναι καὶ μὴ δυναμένης, συνεργεῖ ἡ τέχνη κλυστῆρσι καὶ τοῖς τοιούτοις), εἰ τοίνυν τὸ μίμημα καὶ ἡ συνέριθος τῆς φύσεως ἕνεκά του ποιοῦσι, πολλῷ 25
μᾶλλον τὸ πρῶτον καὶ τὸ παράδειγμα, λέγω δὴ ἡ φύσις, ἕνεκά του ποιήσει. μήποτε δὲ δυνατὸν καὶ ἐνταῦθα τὸ αὐτὸ πάλιν εἰπεῖν· οὐκ εἰ μιμήσεται τὸ τέρας ἡ τέχνη, εἶτα πάντα τὰ πρὸ τοῦ μιμήματος ἕνεκα τούτου ποιήσει,
25 ἤδη που καὶ ἡ φύσις σκοπὸν καὶ τέλος ἔχουσα τὸ τέρας ποιῆσαι πάντα τὰ πρὸ αὐτοῦ ἕνεκεν αὐτοῦ ἐποίησεν. εἰ δ' ὅλως ἐστὶν ὑπὸ τῆς τέχνης γινόμενόν τι, ὅπερ ἡ φύσις ποιοῦσα οὐχ ὡς οὗ ἕνεκα ποιεῖ, τί ἄτοπον καὶ τῆς ἰατρικῆς συνεργούσης τῇ φύσει καὶ πρὸς τοῦτο πάντα πραττούσης τὴν 30
φύσιν τὸ αὐτὸ μὴ ὡσαύτως ποιεῖν;

30 Τελευταῖον δὲ τίθησιν ἐπιχείρημα τὸ μάλιστα ἐναργῶς δεικνύον, ὅτι

---

1 σημαινόμ/ K (ε) 2 τῶν om. t 3 ἐν L: ἐκ ut videtur M et (K)t τὰ om. Mt 5 διῃτείσθω L ἐπειδή, εἰ τὰ scripsi: ἐπειδὴ εἰς τὰ L: ἐπειδὴ εἰ δὲ ἀν. τὰ K: ἂν τὰ M: κἂν τὰ (addito εἰ post τεχνητὰ) t 6 ὑπὸ τῆς φύσεως (priore loco) Mt ἐγένετο utrobique L 7 ἡ δήπου K. item v. 25 8 et 13 εἰ ἡ] εἴη K 8 ποιεῖ (L)t: ποιεῖ ἢ M: ποιεῖ ἢ K 10 ἐπειδὴ νῦν γίνεται LMt: ἐπειδὴ γίνεται νῦν K 13 οὐδ' ἄρα Mt 16 εἰ K: εἰ (οὐ) L: om. Mt 17 συνέρηθος ante corr. K ἐστι om. in exitu paginae M et t αὐτῆς καὶ βοηθὸς traicit L μὲν om. L 18 οἷον alterum om. Mt 19 περιττόματα K 21 πο (λλ) L 21. 22 πολλῷ μᾶλλον κτλ.] cf. p. 316,23 sqq. Porphyrius ap. Simplic. p. 378,17 22 δὴ] δὲ K 23 δὲ om. Mt 24 τοῦ μιμήματος in erasis K ἕνεκα τούτου (τοῦτο K) LK: ἕνεκά του Mt 26 ἐστὶν om. L 27 ὡς σοῦ ἕνεκα obvio errore K 29 αὐτῷ ante corr. K 30 τελευτέον K

www.libtool.com.cn

πάντα ἕνεκά του ποιεῖ ἡ φύσις. ὁρῶμεν γάρ, φησίν, ἐπί τινων ζῴων ὅτι h 6ᵛ πάντα ἕνεκά του ποιοῦσιν οὔτε τέχνῃ οὔτε λογισμῷ ποιοῦντα, ἀλλὰ μόνῃ τῇ φυσικῇ ὁρμῇ· τῷ γὰρ ὄντι "φύσιες ζῴων ἀδίδακτοι", ὡς καὶ Ἱπποκράτει δοκεῖ. ὁ γοῦν ἀράχνης ποιεῖ τὸ ἀράχνιον οὐ μάτην ἀλλ' ἕνεκά του, 5 εἰς ἄγραν τε τροφῆς καὶ εἰς οἴκησιν, καὶ πάντα τὰ πρὸ τούτου ἕνεκα τούτου παραλαμβάνει. καὶ ἡ χελιδὼν δὲ τὴν νεοττιὰν οὐ μάτην δήπου ἐργάζεται ἀλλ' ἕνεκά του, διόπερ ὅτι μάλιστα ἀσφαλῶς συνδεῖ τοῖς κάρφεσι τὸν πηλόν, καὶ σχῆμα πολυχωρητότατον καὶ ἰσχυρότατον ἐργάζεται. καὶ ἡ μέλισσα ὡσαύτως θαυμαστὴ τῆς τῶν ἐξαγώνων συνθέσεως μηδὲν μάτην 10 ποιοῦσα. τῆς δὲ ἀλκυόνος πῶς οὐ θαυμάσει τις τὴν καλιάν, ἣν ἥκιστα ἂν ὕδωρ λυμαίνοιτο παρ' αὐτοῖς τοῖς αἰγιαλοῖς οὖσαν; τὰ αὐτὰ καὶ περὶ μυρμήκων καὶ ἄλλων πολλῶν λέγειν ἔχομεν. καὶ τί λέγω, φησίν, ἐπὶ ζῴων, ὁπότε καὶ ἐπὶ τῶν φυτῶν ἡ φύσις πάντα ἕνεκά του ποιεῖ; τά τε γὰρ φύλλα, φησίν, ἕνεκα τοῦ σκεπάσαι ποιεῖ τοὺς καρπούς, ὡς μήτε ὑπὸ ἀνέμων μήτε 15 ὑπὸ καύματος λυμαίνεσθαι, καὶ τὰς ῥίζας ἕνεκα τῆς τροφῆς ποιήσασα κάτω ταύτας φύειν οὐκ ἄνω ἐποίησεν, ἵνα ὥσπερ ὑπὸ τιθηνῆς τῆς γῆς τὴν τροφὴν ἀρύωνται. εἰ τοίνυν ταῦτα φύσει γινόμενα, οὐχ ὡς ἔτυχεν οὐδὲ μάτην, ἀλλ' ἕνεκά του γίνεται, εὔλογον τὸ καὶ ἐπὶ πάσης φύσεως τὸ αὐτὸ τοῦτο εἶναι. ἕνεκά του ἄρα ἡ φύσις ποιεῖ, καὶ οὐχ ὅπερ ἔτυχεν.

20 p. 198ᵇ12 Εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέφυκε καὶ τὸ ψυχρόν.

Δεύτερον, φησί, πρόβλημα προκείσθω ἡμῖν, πῶς ἔχει τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς, πότερον τῇ ὕλῃ τὸ εἶδος ἐξ ἀνάγκης ἕπεται ἢ ἔμπαλιν. καὶ

---

1 ante ὁρῶμεν exstat in codice L librarii adnotatiuncula qua Aristoteles contra Philoponi argumentationem p. 310,5 sqq. defenditur: ἀλλὰ τῶν τεχνῶν ἀποτελέσματα εἰσὶν ὁπόσα τ''' συν (συντελεῖ?) τῇ π̄ (??)· τὰ δὲ μὴ τοιαῦτα ὁποῖα φῆς σὺ ὦ φιλόσοφε τέρατα ματαιοτεχνιῶν καὶ οὐ τεχνῶν εἰσιν ἔργα· οὐκοῦν ὀρθῶς φησιν ὁ σταγειρίτης ὡς ὅσα ὑπὸ τῆς τέχνης ἐγένετο οὕτως ἐγένετο καὶ ὑπὸ τῆς φύσεως ἐπί τινων] cf. Themist. p. 193,27 2 τέχναις t οὐδὲ λογισμῷ L μόνον t 3 φύσιες LK et obscuro compendio M: φύσεις t 3. 4 Ἱπποκράτει De Alim. II p. 23 Kühn (VI p. 294 Chart.), ubi πάντων pro ζῴων 5 τε] τῆς L 5. 6 ἕνεκά του παραλαμβάνει L 6 καὶ ἡ χελιδὼν κτλ.] cf. Themist. p. 194,1 sqq. νεοττίαν libri 7 διότιπερ (om. ὅτι) L 8 πολυχωρότατον Themistius at cf. Simplic. p. 379,11 9 τῆς] τῇ K τῶν KL: τῷ Mt 10 ἀλκυόνος] ἀλκυονὸς K: ἀλκιόνος LMt πῶς L: ἔστι πῶς KM: ἔστιν ὅπως t 11 λυμαίνοιτο ex Themistio (ita enim cod. Laur. 85,13) scripsi: λυμήνοιτο (sic) t, ubi nihil enot. ex LKM. cf. Simplic. l. c. καὶ ante περὶ om. Mt 11. 12 μυρμύκων errore typogr. t 12 λέγειν ἔχομεν LK: ἔχομεν λέγειν Mt ἐπὶ LK: περὶ Mt et Themist. p. 194,8 at cf. p. 317,6 13 ὅποτε (L)M nec correxit t 15 ἕνεκα τῆς L: ἕνεκά του τῆς (at cf. Themist. p. 194,11) KM: ἕνεκα τοῦ τῆς t, qui mox post τροφῆς interpolat ἀπολαύειν 15. 16 ταύτας κάτω L 16 τιθήνης (sic) compend. K cf. ad p. 5,9 19 ἕνεκά του ἄρα — ἔτυχεν ad insequens lemma trahit t ὥσπερ L 20. 21 ἀνάγουσι — ψυχρόν om. K 21 post ψυχρόν addit καὶ τὰ ἑξῆς t 22 δεύτερον LK: πρῶτον Mt at cf. ad p. 306,17

www.libtool.com.cn

εἰκότως γε τοῦτο ζητοῦμεν, φησί· καὶ γὰρ οἱ παλαιοὶ πάντες τὴν ἀνάγκην h 6r
εἰς τὴν ὕλην ἀνάγουσιν, οὐκ εἰς τὸ εἶδος. εἰπὼν γὰρ ὅτι εἰς ταύτην ἀνά-
γουσι τὴν αἰτίαν, ποίαν ταύτην ἐπήγαγε τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὰ 50
τοιαῦτα, ἅπερ ἐστὶν ὑλικὰ αἴτια· ἐπειδὴ γάρ φασι τὸ θερμὸν τοιονδὶ
καὶ τὸ ψυχρὸν τοιονδε, διὰ τοῦτο τόδε ἐγένετο, ἤ ὅτι ἐκ τῶνδε τῶν ἀτό-
μων συνέστηκε. καὶ ἕκαστος ἁπλῶς ἣν ὑπέθετο ὕλην, ταύτῃ τὰς αἰτίας
τῶν γινομένων ἀνέθηκε.

p. 198b14 Καὶ γὰρ ἐὰν ἄλλην αἰτίαν εἴπωσιν, ὅσον ἁψάμενοι χαίρειν ἐῶσιν. |

Ἵνα μή τις εἴπῃ, ὅτι 'καὶ μὴν Ἀναξαγόρας μὲν νοῦν ὑπετίθετο αἴτιον h 7r
τῶν γινομένων, νεῖκος δὲ καὶ φιλίαν Ἐμπεδοκλῆς, καὶ οὐχ ἁπλῶς τοῖς
ὑλικοῖς αἰτίοις τὸ πᾶν ἀπεδίδοσαν', διὰ τοῦτό φησιν, ὅτι εἰ καὶ αἰτίας ποιη-
τικάς τινες ὑπετίθεντο, ἀλλ' ὅσον ἅψασθαι τούτων μεμνημένοι μόνον, ἐν
τῇ γενέσει τῶν κατὰ μέρος οὐκέτι ταύτας ᾐτιῶντο, ἀλλ' εἰς τὴν παρ' ἑαυτῷ
ὕλην ἕκαστος κατεφέρετο, ὁ μὲν τὰς ὁμοιομερείας αἰτιώμενος ὁ δὲ ψυχρὸν 5
καὶ θερμόν. ταῦτα δὲ καὶ πρὸ Ἀριστοτέλους ὁ Πλάτων ἐγκαλεῖ τῷ Ἀνα-
ξαγόρᾳ, ὅτι ὥσπερ ἐξυπνισθεὶς τῶν ἄλλων καθευδόντων φυσιολόγων καὶ
νοῦν τῆς τοῦ κόσμου γενέσεως αἰτιασάμενος, ἐν τῷ ποιεῖν τὰ πράγματα
ὥσπερ ἐπιλελησμένος τοῦ νοῦ τὰς ὁμοιομερείας αἰτιᾶται, αἵπερ ὕλης αὐτῷ
λόγον ἐπεῖχον.

p. 198b16 Ἔχει δὲ ἀπορίαν τί κωλύει τὴν φύσιν. 9

Ἐκθέμενος τὰ προβλήματα, ἀπορεῖ ἐντεῦθεν εἰς τὸ πρότερον, μήποτε 20
οὐχ ἕνεκά του ποιεῖ ἡ φύσις. ἀλλ' ὥσπερ ὕει ὁ Ζεὺς οὐχ ἵνα σῖτον
αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης. τί οὖν φαμεν 'κατὰ συμβεβηκὸς αὔξεται ὁ
σῖτος, καὶ οὐχ ἕνεκά του ὁ ὑετὸς ἀλλ' ἐξ ἀνάγκης, ὅτι δεῖ ἁπλῶς ψυχθῆναι
τὸ ἀναχθέν'; καὶ εἰ ὅλως γίνεταί τι κατὰ συμβεβηκὸς ὑπὸ τῆς προ-
νοίας ἢ ὅλως βλάπτεταί τι ὑπὸ τῆς προνοίας, ἄξιον ζητῆσαι. φαμὲν οὖν
προνοίας διοικούσης τὸ πᾶν μηδὲν κατὰ τύχην μηδ' ὡς ἔτυχε γίνεσθαι,
ἀλλὰ πάντα ἀγαθοῦ τινος ἕνεκα, μηδὲ μὴν τὴν πρόνοιαν ποιεῖν τι κατὰ 25
συμβεβηκός. ἔστιν οὖν καὶ ἐν τῷ ὑετῷ τὸ κοσμικὸν ἀγαθόν· διὰ γὰρ τὴν

---

1 γε om. K φησί om. Mt 2 ὅτι εἰς αὐτὴν Mt 3 ποίαν κτλ. corrupta 4 φησι L θερμὸν τοιόνδε K 8. 9 εἴπωσιν — ἐῶσιν om. K 8 ὅσης L 10 μὲν νοῦν ex μὲν οὖν corr. K αἴτια et v. 11 νεῖκος δὴ L 12 ἀπέδοσαν Mt 14 ἑαυτῷ K: ἑαυτῶν L.Mt 15 ἕκαστος ὕλην L. τὸ ψυχρὸν L. 16 Πλάτων Phaedon. p. 97 B sqq. 17 φυσιολόγως L 18 τοῦ κόσμου] τῶν ὄντων L 21 δ' ἀπορίαν t τί — φύσιν om. K 23 et 25 οὐκ K ἀποιεῖ vel εὐποιεῖ M: voluit fortasse ποιεῖ ἃ ποιεῖ ἵνα] ὅπως L Aristoteles qui τὸν σῖτον σῖτου K 24 αὐξήσει ἀνάγκης L 24. 25 τί οὖν — ἀνάγκης iterat K 24 τί οὖν L.KM: τί οὐν οὐ t 27 βλέπεται errore typogr. t ζητῆσαι ἄξιον L 28 τῆς προνοίας L. διηκούσης L?

www.libtool.com.cn

τοῦ κόσμου διαμονὴν καὶ σύστασιν ἡ τῶν στοιχείων κατὰ κύκλον γίνεται h 7r
κίνησις· καὶ γὰρ τὰ διαρκῆ τὴν διαμονὴν ἔχοντα, ταῦτα κινεῖται κατὰ
κύκλον, λέγω δὴ τὰ οὐράνια. ἵνα οὖν καὶ τὰ στοιχεῖα διαμένῃ, τὴν κατὰ
κύκλον κινεῖται κίνησιν, καὶ διὰ τοῦτο ἐκ γῆς ὕδωρ, καὶ ἐξ ὕδατος ἀήρ,
5 καὶ ἐκ τούτων πῦρ, καὶ πάλιν ἀὴρ καὶ ὕδωρ καὶ γῆ, καὶ εἰς τὸ αὐτὸ ἡ
ἀνάκαμψις ἐξ οὗ καὶ ἤρξατο, ὅπερ κυκλικῆς ἐστι κινήσεως, τὸ ἐκ τοῦ αὐτοῦ 30
εἰς τὸ αὐτὸ ἀποκαθίστασθαι. ἔστι δὲ καὶ τὸ μερικὸν ἀγαθὸν κατανοῆσαι·
διὰ γὰρ τὴν ἑκάστου ἀξίαν τὰ ἔξωθεν τοίως ἢ τοίως ὑπὸ τῆς προνοίας
διατίθεται. ὥστε ἡ μὲν πρόνοια καθ' αὑτὸ πάντα εὐεργετεῖ, συμβαίνει δὲ
10 διὰ τὴν ἡμετέραν ἀξίαν τοίως ἢ τοίως ἡμᾶς πάσχειν· τὸ οὖν κατὰ συμβε-
βηκὸς ἐν τοῖς πάσχουσιν, οὐκ ἐν τοῖς ποιοῦσιν. καὶ τοῦτο οὐκ ἀδύνατον,
τὸ μὲν ποιοῦν καθ' αὑτὸ ποιεῖν τὸ δὲ πάσχον μηκέτι καθ' αὑτὸ πάσχειν,
ἀλλ' ἔστιν ὅτε καὶ κατὰ συμβεβηκός. οἷον εἰ Πλάτωνος ἐξηγουμένου λόγους 35
ὠφελίμους ἐπί γ' ἐκκλησίας, καὶ τοῦτο προθεμένου πάντας τοὺς ἀκροωμέ-
15 νους ὠφελῆσαι, παριών τις ἐπί τινα χρείαν ἄλλην εἰσέλθοι, μὴ τοῦτον τὸν
σκοπὸν προθέμενος ἀλλὰ κατὰ τύχην, καὶ ἀκροασάμενος ὠφεληθείη, ὁ τοι-
οῦτος κατὰ συμβεβηκὸς ὠφελεῖται, τοῦ Πλάτωνος καθ' αὑτὸ ὠφελήσαντος·
ὁ μὲν γὰρ οὐκ ἀπὸ σκοποῦ ὠφελεῖται ἀλλὰ κατὰ τύχην, Πλάτων δὲ ἀπὸ
σκοποῦ ὠφέλησε· τοῦτο γὰρ προὔθετο, πάντας ὅσοι ποτὲ ἂν ἀκροάσασθαι
20 βούλωνται ὠφελῆσαι. οὕτως οὖν καὶ τοῦ ἡλίου ἀνατείλαντος ἐπὶ τῷ πάν- 40
τας φωτίσαι, εἴ τις μὴ ἐπὶ τῷ φωτισθῆναι ἀλλὰ δι' ἑτέραν χρείαν εἰς
ἀγορὰν ἐμβάλοι, κατὰ συμβεβηκὸς πεφώτισται, τοῦ ἡλίου καθ' αὑτὸ φωτί-
σαντος. οὕτως οὖν οὐδὲ θαυμαστόν, καὶ τῆς προνοίας ἁπλῆς τινος οὔσης
καὶ πάντας καθ' αὑτὸ εὐεργετεῖν βουλομένης ἀλλ' οὐ κατὰ συμβεβηκός,
25 κατὰ συμβεβηκὸς φθαρῆναι τὸν σῖτον ἢ αὐξηθῆναι· οὐ γὰρ τοῦτο προὔθετο
ἁπλῶς αὐξῆσαι τὸν σῖτον ἢ φθεῖραι τὸν ἐν τῇ ἅλῳ, ἀλλὰ διὰ τὴν ἀξίαν
τῶν εὐεργετουμένων κατὰ συμβεβηκὸς ταῦτα γίνεται. 45

p. 198b29 Ὅπου μὲν οὖν ἅπαντα συμβαίνει, ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ ταὐτομάτου συστάντα ἐπιτηδείως.

30 Τῆς φύσεως, φησίν, μηδὲν ἕνεκά του ποιούσης ἀλλ' ὅπως ἂν τύχῃ,

---

1. 2 γίνεται σύστασις (κίνησις) L 5 τούτου L post καὶ ὕδωρ addit καὶ πῦρ L 6 καὶ om. L τοῦ] τὸ M 8 et 10 τοιῶς ἢ τοιῶς libri 9 εὐεργετεῖ KMt: εὐεργετεῖ (ἐνεργεῖ) L at cf. v. 24 et 27 12 μηκέτι] μὴ πάντως L 13 πλάτωνος ἐξηγουμένου L: πλάτων ἐξηγούμενος KMt 14 ἐπιγεκκλησίας (sic) K: ἐπὶ ἐκκλησία L: ἐπὶ ἐκκλησίας Mt τοῦτο LK: τούτου Mt προθεμένου LMt: προθεμενον sine accentu K 17 τοῦ] καὶ L ὠφελήσαντα (extremum α ex ος, ut videtur) K 18 ὁ] ἡ L 19 ποτὲ (ποτ' M) ἂν ἀκροάσασθαι LM: ποτὲ ἀνακροάσασθαι K: ποτ' ἂν ἀνακροάσασθαι t 20 βούλοιντο t τῷ (ante πάντας) L corr. M et t: τὸ K et ante corr. M 22 ἐμβάλοι L: ἐμφάλον (sic) K: ἐμβάλλει Mt 23 οὐδὲν K 24 βουλομένους L 25 αὐξηνθῆναι M 26 τῇ ἄλλῳ K 27 ἐνεργουμένων L 28. 29 συμβαίνει—ἐπιτηδείως om. K 28 συμβαίνει L: συνέβη Mt Aristoteles 29 ἐγένετο t ἐσώθη t: ἐσῶ (ϑ) sine accentu M: ἔσωθεν L 30 τῆς φύσεως] ὅταν φύ (?) L

www.libtool.com.cn

ἔνθα μὲν συμβαίνει οὕτως γενέσθαι τι ὑπ' αὐτῆς, ὥσπερ ἂν εἰ ἐξεπίτηδες h 7r
ἕνεκα τούτου αὐτὰ ἐποίει, ἵνα πάντα τὰ πρὸς τὴν σωτηρίαν ἔχοντα σῴζη-
ται, ταῦτα καὶ σῴζεται, φησίν, ἐκ ταὐτομάτου ἐπιτήδεια πρὸς σωτηρίαν
γενόμενα. ὅσα δὲ μὴ οὕτως συμβῇ γενέσθαι, ταῦτα ἀπόλλυται, οἷά ἐστι
5 τὰ τέρατα.

p. 198ᵇ31 Καθάπερ Ἐμπεδοκλῆς λέγει τὰ βουγενῆ ἀνδρόπρωρα. 50

Ὁ Ἐμπεδοκλῆς ἐν τῷ σφαίρῳ πάντα λέγων τὰ εἴδη μεμῖχθαι ἐν τῇ
πρώτῃ διακρίσει τοῦ σφαίρου καὶ τῇ ἀρχῇ τῆς κοσμοποιΐας, πρὶν τελείως
τὰ εἴδη διακριθῆναι ἀπ' ἀλλήλων, γενέσθαι τινὰ ἔλεγε σύμμικτα ζῷα, οἷα
10 καὶ οἱ μῦθοι τοὺς Κενταύρους ὑποτίθενται, τὰ μὲν ἄλλα ἵππου ἔχοντας,
τὰ ἔμπροσθεν δέ, λέγω δὴ τὰ περὶ τὴν κεφαλήν, ἀνθρώπου· οὕτω καὶ ὁ
Ἐμπεδοκλῆς, πρὶν τὸ νεῖκος τελείως ἀπ' ἀλλήλων διακρῖναι τὰ εἴδη, ἔλεγε
γενέσθαι σύμμικτά τινα ζῷα, ἐν οἷς | καὶ τὰ βουγενῆ ἀνδρόπρωρα. h 7v
ἀνδρόπρωρα δέ φησι, τουτέστι τὰ ἔμπροσθεν, λέγω δὴ τὰ πρὸς τῇ
15 κεφαλῇ, ἀνδρὸς ἔχοντα (πρώρα γὰρ τὸ ἐμπρόσθιον τοῦ πλοίου μέρος), τὰ
δὲ λοιπὰ βοός, ὡς δὴ μὴ μόνον τῶν στοιχείων ἐν ἀλλήλοις μεμιγμένων
ἐν τῷ σφαίρῳ, ἀλλὰ καὶ τῶν μορίων τῶν ζῴων. διακριθέντων οὖν πάν-
των, φέρεσθαι τὰ διακριθέντα ὡς ἔτυχε, καὶ πολλάκις βοὸς κεφαλὴν συνελ-
θεῖν στήθει ἀνδρείῳ ἢ καὶ τοῖς ἄλλοις μορίοις, καὶ ἐπὶ πάντων ὡς ἂν 5
20 ἔτυχεν. ὅσα οὖν, φησί, τῶν μορίων οὕτως συνῆλθεν, ὡς ἂν εἰ ἕνεκα
τούτου συνῆλθεν (οἷον τὰ νῦν τοῦ ἀνθρώπου μόρια συμπαθόντα ἀλλήλοις,
ὁμοίως καὶ τὰ ἑκάστου τῶν ζῴων), καὶ διὰ τὸ συνεισάγειν εἰς τὴν σωτη-
ρίαν ἀλλήλων, ἐσώθη τὸ σύγκριμα, ὅσα δὲ οὕτως συνῆλθεν ὡς μηδὲ συμ-
βάλλεσθαι ἀλλήλοις εἰς σωτηρίαν, ταῦτα ἐφθάρη, οἷα τὰ βουγενῆ ἀν-
25 δρόπρωρα, διὰ τὸ μηδὲν ἀλλήλοις τὰ τοιαῦτα εἰς σωτηρίαν συνεισάγειν.
ὥσπερ οὖν οὗτος ἔλεγεν οὐχ ἕνεκα μέν του τὰ μόρια τῶν ζῴων οὕτω 10
διατετάχθαι, οὕτω μέντοι συμβῆναι αὐτὰ ἔχειν κατὰ τύχην συνελθόντα ὡς
ἂν εἰ ἕνεκα τούτου ἐγεγόνει, οὕτως, φησί, καὶ οἱ λέγοντες μὴ ποιεῖν τὴν

---

1 ἐξεπίτειδες M 2 ἕνεκά του αὐτὰ K τὴν om. L 2. 3 compend. σρτᾶν utrobique M: δρίαν altero loco L 3 φασίν libri 4. 5 γενέσθαι — τέρατα om. K 6 lemma om. K βουγενὴ hic et v. 13 M 7 Ὁ L et K (ubi rubro addend.): om. Mt εἶναι λέγων L 8 καὶ τῇ] ἐν τῇ excerpta cod. Paris. 1853 9 ἀπ' K οἷα] οἱ L

10 ἔχοντας (L)t: ἔχον M: ἔχοντα K 11 ἐμπρόσθια L 13 οἷς καταβουγένη ἀνδρόπρωρα (ο post ρ in ras. cf. v. 24 sq.) K 14 ἐμπρόσθια L 16 μόνων excerpta cod. Paris. 1853 μεμιγμένην M neque correxit t 18 κεφαλὴν LK: comp. κ̄ M: κεφαλὴ t

21 τοῦτον K 21. 22 distinxi post ἀλλήλοις: post ὁμοίως distinguit t 22 καὶ (ante διὰ) abesse malim 23 ἐσω (cf. ad p. 313,29) M σύκρι K μηδὲ] δὲ μὴ M

24 οἷα L: οἱ K: οἷαι Mt 24. 25 αὐταβουγένη ἀνδράπρωρα K 25 τὰ om. L ἀνάγειν L 26 οὕτως L οὐκενενέκαμεν τοῦ (sic) K μὲν τοῦ M 28. p. 315,1 τούτου — εἰ ἕνεκά om. K 28 οὕτως φασὶ fort. recte L

www.libtool.com.cn

φύσιν ἕνεκά του, ὅτι ὅσα μὲν οὕτως ποιεῖ ὡς ἂν εἰ ἕνεκά του ἐποίει; h 7v
ταῦτα σῴζεται, ὅσα δὲ μή, ταῦτα φθείρεται, ὥσπερ φησὶν Ἐμπεδοκλῆς τὰ βουγενῆ ἀνδρόπρωρα· ταῦτα γὰρ διὰ τὸ μὴ οὕτως γενέσθαι ὡς ἂν εἰ ἕνεκά τινος ἀγαθοῦ ἐγένετο, διὰ τοῦτο οὐδὲ σῴζονται. τῶν οὖν τεράτων παρα-
5 δείγματα ὑπὸ Ἐμπεδοκλέους λεγόμενα λαμβάνουσιν, ὅτι κἀκεῖνος τὰ τερα- 15
τώδη γενόμενα ἐν τῇ κατ' ἀρχὴν συστάσει οὐ φησι σῴζεσθαι.

p. 198b34 Ταῦτα μὲν γὰρ καὶ πάντα τὰ φύσει ἢ ἀεὶ οὕτως γίνεται ἢ ὡς ἐπὶ τὸ πολύ.

Ὁ πρῶτος συλλογισμός, ὅτι ὑετοὶ καὶ ὀδόντες καὶ καθόλου τὰ μέρη
10 τῶν ζῴων ἢ ἀεὶ ὡσαύτως ἔχουσιν ἢ ὡς ἐπὶ τὸ πολύ, τὰ ἀπὸ τύχης καὶ αὐτομάτου οὔτε ἀεὶ ὡσαύτως ἔχουσιν οὔτε ὡς ἐπὶ τὸ πολύ, ταῦτα ἄρα 21
οὐκ ἀπὸ ταὐτομάτου.

p. 199a3 Εἰ οὖν ἢ ἀπὸ συμπτώματος δοκεῖ ἢ ἕνεκά του εἶναι.

Ὁ δεύτερος συλλογισμὸς ὑποθετικὸς κατὰ διαίρεσιν· ὑετοὶ γὰρ καὶ τὰ
15 μέρη τῶν ζῴων ἢ ἀπὸ συμπτώματος ἢ ἕνεκά του, ἀλλὰ μὴν οὐκ ἀπὸ 25
συμπτώματος (δέδεικται γάρ), ἕνεκά του ἄρα. σύμπτωμα δὲ φησι τὸ ἐπισυμβαῖνον εἴτε ἐκ ταὐτομάτου εἴτε ἀπὸ τύχης, ὥστε κοινῶς ἐπὶ τύχης καὶ τοῦ αὐτομάτου σύμπτωμα.

p. 199a5 Ἀλλὰ μὴν φύσει γέ ἐστι τὰ τοιαῦτα πάντα, ὡς κἂν
20 αὐτοὶ φαῖεν.

Ὁ τρίτος ἐν τρίτῳ σχήματι· ταῦτα πάντα φύσει, ταῦτα πάντα ἕνεκά του, τινὰ ἄρα τῶν φύσει ἕνεκά του.

p. 199a8 Ἔτι ἐν ὅσοις τέλος τί ἐστιν, ἕνεκα τούτου πράττεται 30
τὸ πρότερον καὶ τὸ ἐφεξῆς.

25 Δεύτερον ἐπιχείρημα, προλαμβάνει δὲ τὰ εἰρημένα ἀξιώματα. ἐν

---

1 ὅσα μὲν L: μὲν ὅσα Mt 1. 2 ἐποίει, ταῦτα] ταῦτα ἐποίει L 2 φησὶν (φ^ς K: φ^η M) LKM: φασὶν t 3 βουγένη ἀνδράπρωρα K 4 σώζεται Mt 5 ἐμπεδοκλέως L: ἐμπεδοκλέος (KM)t 6 ἀρχὴν] ὀχὴν (sic) M 7 ἀεὶ om. M ὄντως (sic) K: οὕτω t 10 τὸν ζῶον K 10. p. 316,5 ἢ ὡς ἐπὶ τὸ πολὺ — οὕτως πράττεται om. K 10 τὰ ἀπὸ LM: τῶν δ' ἀπὸ ex Aristotele t. nimirum haec lemma esse voluit t, ideoque τοῦ ante αὐτομάτου inseruit et Aristotelea continuavit οὐθέν· οὔτε γὰρ ἀπὸ τύχης, οὔτε — ἀλλ' ἂν χειμῶνος 13 ἀπὸ L: ὡς ἀπὸ Mt continuant lemma ἢ (sic) μὴ οἷόν τε ταῦτα εἶναι — ἕνεκά του ἂν εἴη (M?)t 16. 17 ἐπισυμβαῖνον scripsi: ἐπισημαῖνον M: ἐπιβαῖνον L: ἐπισυμβὰν t 18 τὸ σύμπτωμα fort. recte Mt 19 γε post τοιαῦτα traicit t cf. Aristotelis libri κἂν t: οὐκ ἂν M: ἂν L at cf. p. 308,7 20 continuant lemma οἱ ταῦτα — καὶ οὔσιν Mt 23 τὸ τέλος τί M at cf. p. 308,16. 309,11 ἐστιν ἕνεκα τοῦ M: ἐστιν ἕνεκά του L: ἐστι, τούτου ἕνεκα ex Arist. t. quod L exhibet ἕνεκά του librarii fuerit error, non oblitterata memoria lectionis Alexandreae, qua de cf. Simplic. p. 377,21 sqq. 24 τὸ πρῶτον L

www.libtool.com.cn

οἷς, φησί, τῶν γινομένων τέλος ἐστὶν εἰς ὃ περατοῦται ἡ κίνησις καὶ h 7v
προϊοῦσα συνεχῶς τελευτᾷ, ἐν τούτοις ἅπαντα τὰ πρὸ τοῦ τέλους τοῦ τέ-
λους ἕνεκα πράττεται.

p. 199a9 Οὐκοῦν ὡς πράττεται, οὕτως πέφυκε, καὶ ὡς πέφυκεν,
5 οὕτως πράττεται.

Τὸ δεύτερον ἀξίωμα, ὅτι τὸ τεχνητὸν εἰ ὑπὸ φύσεως ἐγίνετο, οὕτως ἂν 38
ἐπεφύκει ὥσπερ καὶ ἐπράττετο ὑπὸ τῆς τέχνης. καὶ ἔμπαλιν τὰ ὑπὸ φύ-
σεως γινόμενα εἰ δὲν ὑπὸ τῆς τέχνης ἐγίνετο, οὕτως ἂν ἐπράττετο, ὥσπερ 40
εἰ ἐπεφύκει ὑπὸ τῆς φύσεως γίνεσθαι· εἰ γὰρ μὴ οὕτως ἐγίνετο, οὐδ' ἂν
10 ἐσῴζετο. τὸ δ' ἂν μή τι ἐμποδίζῃ προσέθηκε διὰ τὰς ἢ ἐκ τῆς ὕλης
ἢ ἐκ τῶν ἔξωθεν συμπτωμάτων γινομένας ἁμαρτίας καὶ τοῖς φυσικοῖς καὶ
τοῖς τεχνητοῖς. εἰ οὖν ἐπαλλάττουσιν ἡ τέχνη καὶ ἡ φύσις, ἡ δὲ τέχνη
ἕνεκά του πάντα ποιεῖ, καὶ ἡ φύσις ἄρα, εἴ γε τὰ τεχνητὰ ἐποίει, οὕτως
ἂν ἐποίησε. καὶ πάλιν εἰ ἡ τέχνη τὰ φυσικὰ ἐποίει, ἕνεκά του δηλονότι
15 πάντα ἐποίει· καθόλου γὰρ ἡ τέχνη πάντα ἕνεκά του ποιεῖ. ἐπεὶ οὖν νῦν
ἡ φύσις ταῦτα ποιεῖ ὡς ἂν ἡ τέχνη αὐτὰ ἐποίησε, καὶ αὐτὴ δηλονότι ἕνεκά 45
του πάντα ποιήσει. ἕνεκα ἄρα θατέρου θάτερον. τουτέστιν ἕνεκα τοῦ
τέλους τὰ πρὸ τοῦ τέλους· οὕτω γὰρ ἡ τέχνη πάντα ἐργάζεται.

p. 199a15 Ὅλως δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ὧν ἡ φύσις ἀδυνατεῖ
20 ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται.

Ἕτερον ἐπιχείρημα. ὑγίειαν μὲν γὰρ καὶ διαχωρήσεις καὶ σάρκωσιν 51
⟨ἡ⟩ ἰατρική, τῆς φύσεως ἐξασθενούσης ταῦτα ἐργάζεσθαι, ⟨ἐργάζεται⟩. μιμεῖται
δὲ τὴν φύσιν ἡ πλαστικὴ καὶ γραφική· εἰ τοίνυν ἡ συνέριθος τῆς φύσεως
καὶ τὸ ταύτης ἀπεικόνισμα πάντα ἕνεκά του ποιεῖ, πολλῷ γε δήπου τὸ
25 ἀρχέτυπον.

p. 199a20 Μάλιστα δὲ φανερὸν ἐπὶ τῶν ζῴων τῶν ἄλλων. |

Προϊὼν ἐπὶ τὰ δραστικώτερα προβαίνει ἐπιχειρήματα· τί γὰρ λέγω, h 8r

---

1 οἷς L: ὅσοις Mt 4 et 5 οὕτω utrobique Mt 4 post ὡς πέφυκεν addit ἂν μή τι ἐμποδίζῃ t, quae Philoponus et Simplicius p. 376,3 (cf. Arist. cod. E) post οὕτω πράττεται ἕκαστον legebant 6 hinc rursus K εἰ om. L 7 ἐπράττε M: πράττεται t 7. 8 τὰ ἀπὸ φύσεως Mt 8 εἰ δὲν (sic) K: εἰ δ' ἂν L: εἴη δ' ἂν M: εἰ κἂν t cf. ad p. 308,21 9 πεφύκει K 11 γενομένας t 11. 12 τεχνητοῖς καὶ τοῖς φυσικοῖς L 12 ἐπαλάττουσιν K 13 εἴ γε K: ἤγε L: εἴτε Mt 14 εἰ ἡ] εἴη K ἕνεκά του δηλονότι LK: δῆλον ὅτι ἕνεκά τοῦ Mt 16 ταῦτα ἡ φύσις Mt 17 ποιήσει] ποιεῖ fort. recte K ἄρα K 19 δὲ LMt: om. K: τε Simplic. p. 378,1 et Arist. codd. FI at cf. Themist. p. 193,22 19. 20 τὰ μὲν — μιμεῖται om K 19 ὧν LM: ἃ ex Aristotele t 20 ἀπεργάσασθαι L: ἀπεργάζεσθαι Mt cf. Aristotelis libri 21 ὑγιεῖαν (sic) K διαχωρίσεις L 22 ἡ addidi ἐργάζεσθαι, ἐργάζεται scripsi: ἐργάζεσθαι KM: ἐργάζεται (L)t 26 ἐπὶ τῶν ζῴων τῶν ἄλλων om. K

www.libtool.com.cn

φησίν, ἐπὶ τῶν λογικῶν ζῴων ἃ κατὰ τέχνην ποιεῖ, καὶ διὰ τούτων καὶ h 8r
τὴν φύσιν φημὶ ἕνεκά του ποιεῖν; ἐπὶ γοῦν τῶν ἄλλων ζῴων φαίνεται 10
προφανῶς ἡ φύσις πάντα ἕνεκά του ποιοῦσα. καὶ τεκμήριον ὁ ἀράχνης
ἡ χελιδὼν καὶ τὰ ὅμοια, ἅπερ ἐκ φύσεως καὶ οὐ λογισμῷ ἐργαζόμενα,
5 ὅμως οὐδὲν μάτην ποιεῖ, διὸ καὶ ἀποροῦσί τινες μήποτε οὐδὲ φύσει ταῦτα
ἐργάζεται, ἀλλὰ λογισμῷ τινι. καὶ τί λέγω, φησίν, ἐπὶ ζῴων, ὁπότε καὶ
ἐπὶ φυτῶν ὁρῶμεν τὴν φύσιν πάντα ἕνεκά του ποιοῦσαν; τὰς μὲν γὰρ ῥίζας
κάτω ἐποίησε τῆς τροφῆς ἕνεκεν πρὸς τῇ τιθηνῇ τὸ στόμα προσαρμό-
ζουσα, φύλλα δ' εἰς σκέπην τῶν καρπῶν καὶ σωτηρίαν. πῶς οὖν οὐκ ἐκ
10 πάντων τούτων δῆλον ὅτι πάντα ἕνεκά του ὑπὸ τῆς φύσεως γίνεται; κατὰ 15
μικρὸν δὲ οὕτω προϊοῦσιν. πρῶτον γὰρ ἐπὶ ἀνθρώπων ἐγύμνασε τὸν
λόγον, εἶτα μετῆλθεν ἐπὶ τὰ ἄλογα ζῷα, κἀντεῦθεν ὁδῷ προβαίνων ἐπὶ τὰ
φυτά.

p. 199a30 Καὶ ἐπεὶ ἡ φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δὲ ὡς μορφή.

15 Ἐπειδὴ ἔδειξεν ὅτι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ, βούλεται νῦν δεῖξαι
τίνος ἕνεκα ποιεῖ πάντα καὶ τί ἐστιν οὗ στοχάζεται, καί φησιν ὅτι τοῦ
φυσικοῦ εἴδους, ὅπερ καὶ αὐτὸ φύσις ἐστίν. εἴρηται δὲ ὅτι τὸ ποιοῦν τὸ
εἶδος τὸ τέλος εἰς ταὐτὸν ἔρχεται πολλάκις. ὥστε ἡ ποιοῦσα φύσις καὶ 20
ἕνεκά του πάντα ποιοῦσα ἕνεκα τῆς φύσεως ποιεῖ τῆς ὡς εἴδους οὔσης,
20 οὐ τῆς κατὰ τὴν ὕλην· ἐπεὶ γὰρ διττὴν εἶπεν ἐν τοῖς ἔμπροσθεν τὴν φύσιν
(καὶ γὰρ καὶ τὸ εἶδος καὶ ἡ ὕλη φύσις), ἐπισημειοῦται νῦν περὶ ποίας φύ-
σεως ἦν αὐτῷ ὁ λόγος, ὅτι οὐ τῆς κατὰ τὴν ὕλην, ἀλλὰ τοῦ εἴδους καὶ
τῆς μορφῆς.

p. 199a33 Ἁμαρτία δὲ γίνεται καὶ ἐν τοῖς κατὰ τέχνην· ἔγραψε
25 γὰρ οὐκ ὀρθῶς ὁ γραμματικός, καὶ ἐπότισεν ὁ ἰατρὸς οὐκ ὀρθῶς 25
τὸ φάρμακον.

Δείξας ὅτι ἡ φύσις πάντα ἕνεκά του ποιεῖ, ἔκ τε τοῦ ὡς ἐπὶ τὸ πολὺ
εἶναι τὴν φύσιν καὶ ἐκ τοῦ τὰ μιμήματα τῆς φύσεως πάντα ἕνεκά του 30

---

2 φαμὲν L ἄλλων KM: ἀλόγων (L)t 3 ποιοῦσα LK: ποιῆσαι Mt 4 ἐκ φύσεως LK: εἰς φύσεως (sic) M: φύσει superscr. M² et t καὶ (om. οὐ) λογισμοῦ ἐργαζόμεθα L 6 ἐπὶ τῶν ζώων L 8 κάτω] κατὰ K τὴν τιθηνὴν L post τιθηνῇ interciderit τῇ γῇ cf. p. 311,16 9 φύλλα] σφάλλει L εἰς κέπην K 10 γίνεται (comp. K: γίνε τ M) KMt: γίνονται L 11 προϊοῦσιν (sic) K: πρόεισι M: προϊόντι (L)t: hoc vel προϊόντα Aristotelis libri ἀνθρώπων] τῶν ἄλλων L 14 ἡ μὲν—μορφή om. K 15 πάντα ποιεῖ LK: ποιεῖ (om. πάντα) Mt 17 εἴρηται c. 7 p. 198a24 18 τὸ τέλος (L)t: τέλος KM ἡ] οἱ K 19 εἶδους Lt: εἶδος (sic) K: εἶδος M 20 ἔμπροσθεν] cf. c. 1 p. 193a9 sqq. 21 καὶ (post γὰρ) om. Mt ἐπισημειοῦνται L 22 εἶδους (sic) K 24 lemma om. K γίγνεται t 25 ὁ ἰατρὸς οὐκ ὀρθῶς LM: οὐκ ὀρθῶς ὁ ἰατρὸς ex Aristotele t 26 τὸ om. M 27 ἔκ τε τοῦ τῶν ὡς fortasse recte L

www.libtool.com.cn

ποιεῖν καὶ ἐκ τῶν λοιπῶν, νῦν τὰς ἀπορίας τὰς φερομένας εἰς τὸ προκεί- h 8r
μενον θεώρημα ἐπιλύσασθαι βούλεται. ἀποροῦσι γὰρ ὅτι εἰ ἕνεκά του ἡ
φύσις πάντα ποιεῖ, διὰ τί πολλάκις ἀποτυγχάνει καὶ οὐκ ἀεὶ κατορθοῖ;
φησὶν οὖν πρὸς τοῦτο, ὅτι οὐ διὰ τὸ ἁμαρτάνειν τὴν φύσιν, διὰ τοῦτο δεῖ
5 νομίζειν ὅτι ὡς ἔτυχε ποιεῖ καὶ οὐχ ἕνεκά του πάντα ποιεῖ, ὁπότε καὶ ἡ
τέχνη, ἥτις προφανῶς πάντα ἕνεκά του ποιεῖ, ἁμαρτάνει πολλάκις διὰ τὴν
ἀνεπιτηδειότητα τῆς ὑποκειμένης ὕλης. καὶ γὰρ ὁ γραφεὺς σκοπὸν ἔχων 35
τοῦ καλῶς γράψαι, διὰ τὸν χάρτην πολλάκις μανότερον ὄντα, ἢ διὰ πλεο-
νεξίαν ἢ ἀνεπιτηδειότητα τοῦ μέλανος ἁμαρτάνει τοῦ σκοποῦ. ὁμοίως καὶ
10 ὁ ζωγράφος τὰ αὐτὰ ἂν πάθοι, ἢ διὰ τὴν τῶν χρωμάτων ἢ διὰ τὴν τῆς
σινδόνος ἐν ᾗ γράφει ἀνεπιτηδειότητα. καὶ ὁ ἰατρὸς δὲ ὠφελῆσαι μὲν θέλων
καὶ ἀγαθοῦ τινος ἕνεκα ἔδωκε τὸ καθάρσιον, ἀπέτυχε δ' ἔστιν ὅτῳ ἢ διὰ τὴν
τοῦ ὑποκειμένου σώματος ἰδιότητα, ἣν ἰδεῖν μὴ οἷόν τε ἦν, ἢ κατὰ τύχην τοῦ
περιέχοντος δυσκράτου γενομένου· ἀλλ' ὅμως ἐκεῖνος ἀγαθοῦ τινος ἕνεκα δέ- 40
15 δωκεν. οὕτως ἄρα καὶ ⟨εἰ⟩ ἡ φύσις ἔστιν ὅτε τοῦ σκοποῦ διαμαρτάνει, οὐ διὰ
τοῦτο ἐξαιρετέον αὐτῆς τὸ ἕνεκά του, ἀλλ' ἐπεὶ ὡς ἐπὶ τὸ πολὺ τυγχάνει τοῦ
σκοποῦ καὶ ὡς σπάνιά ἐστιν αὐτῆς τὰ ἁμαρτήματα, διὰ τοῦτο πιστευτέον
αὐτῇ ἕνεκά του ποιεῖν. ἄλογον γὰρ καὶ τῆς τέχνης ἁμαρτανούσης ὥσπερ
καὶ τῆς φύσεως, τῆς μὲν μὴ ἀφαιρεῖν τὸ ἕνεκά του διὰ τὴν ἁμαρτίαν τῆς
20 δὲ φύσεως ἀφαιρεῖν, ἀλλ' ἢ ἀμφοτέρων ἀφαιρετέον ἢ μηδεμιᾶς· εἰ οὖν τῆς
τέχνης οὐκ ἀφαιροῦμεν τὸ ἕνεκά του, οὐδὲ τῆς φύσεως ἄρα. 45

Ἐπειδὴ δὲ οἱ ἀφαιροῦντες τῆς φύσεως τὸ ἕνεκά του ἐκέχρηντο τῷ
παραδείγματι τῷ κατὰ τὸν Ἐμπεδοκλέα, ἔνθα ἔλεγεν ἐκεῖνος ἐν ταῖς ἐξ
ἀρχῆς συστάσεσι "τὰ βουγενῆ ἀνδρόπρωρα" γενέσθαι, καὶ ἐξ αὐτῶν τούτων
25 ἐλέγγει τὸν λόγον. οὕτω γάρ, φησί, πάντα ἕνεκά του ποιεῖ ἡ φύσις,
ὥστε καὶ ὅταν τοῦ σκοποῦ διαμαρτάνῃ, οὐ μακράν που τοῦ σκοποῦ ἑαυτῆς
ἐκπίπτει, ἀλλ' ὡς οἷόν τέ ἐστι σύνεγγυς. οὐδέποτε γοῦν ἐξ ἀνθρώπου
πλάτανος γέγονεν ἢ λίθος ἢ συκῆ, ἀλλ' ἀεὶ ἄνθρωπος ἐξ ἀνθρώπου· 50
εἰ δέ ποτε τοῦ σκοποῦ ἀποτύχῃ τοῦ ποιῆσαι ἄνθρωπον διὰ τὴν ἀνεπι-
30 τηδειότητα τῆς ὕλης, ζῷον γοῦν ποιεῖ καὶ οὐ φυτόν, ὡς εἶπον, ἢ λίθον,
καὶ εἰ μὴ ζῷον δυνηθείη ποιῆσαι, τὸ σύνεγγυς γοῦν ποιεῖ, σάρκα. καὶ ἡ
συκῆ πάλιν συκῆν ποιεῖ, εἰ δὲ ἀποτύχῃ, ἐρινεόν, οὐ δρῦν οὐδὲ πεύκην.

---

2. 3 πάντα ἡ φύσις ποιεῖ Mt 5 οὐκ K 7 ἀν ἐπιτηδειότητα M 8 τοῦ libri: immo τὸ μανώτατον L 9 ἢ διὰ ἀνεπιτηδειότητα (ἀνεπιτηδιότητα M) Mt 10 ἂν om. L ἢ διὰ τὴν τῆς LK: ἢ διὰ τῆς M: ἢ τῆς t 11 δὲ om. L 12 ἕνεκα om. M δέδωκε L 13 ἣν] ἢ L ἣν] ἢ ut vid. M 15 εἰ addidit t 16 τοῦτο] τὸ K ἐξαιρετέον (L)t: ἐξαίρετον KM 17 ὡς om. L πάνια K 18 αὐτῆ LKM: αὐτὴν coniecit t 20 μὴ δὲ μιᾶς KM: μηδεμίας (L)t 22 ἐπεὶ L τὸ om. K 24 βουγένη K τοῦτον L 25 ἐλέγχειν compend. M 27 ὡς οἷόν τέ ἐστι L: ὥσοι ὄντές ἐστιν K: ὡς οἷόν ἐστι Mt γοῦν LK: γὰρ Mt at cf. Themist. p. 195,8 28 γέγονε πλάτανος L συκὴ libri 29 ἀποτύχῃ LK: ἀποτυ χ M: ἀποτύχοι t. eadem varietas p. 319,1 31 δυνηθῇ L 31. 32 καὶ οὐ συκῆ πᾶσαν (cf. ad p. 252,4) συκῆν L 32 συκὴ et συκὴν Mt ἀποτύχῃ L: ἀποτύχῃς K: ἀποτυ χ M: ἀποτύχοι t ἐρινέου οὐ δρῦν K

www.libtool.com.cn

καὶ ἡ ἐλαία πάλιν ἐλαίαν, εἰ δ' ἀποτύχῃ, κότινον, οὐκ ὄχνην οὐδὲ λεύκην. h 8r
πανταχοῦ ἄρα ἡ φύσις πρόδηλός ἐστι μὴ ὡς ἔτυχεν ἐργαζομένη, ἀλλὰ
πρός τι τέλος σκοπιμώτατον, οὗ ἐὰν ἀποτύχῃ ἀγαπᾷ γοῦν τοῦ σύνεγγυς
τυ|χεῖν. ὥσπερ, φησίν, εἰ καὶ συγχωρήσομεν τῷ Ἐμπεδοκλείῳ μύθῳ, ὅτι h 8v
ἐγίνοντο ζῷά τινα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν βουγενῆ καὶ ἀνδρόπρωρα,
τῷ λόγῳ δήπου τούτῳ ἐγίνετο ᾧ καὶ νῦν τὰ τέρατα, τῆς ὑλικῆς αὐτῶν
ἀρχῆς λέγω δὴ τοῦ σπέρματος διαφθαρέντος, καὶ οὕτως ἤδει κἀκεῖνος τὴν
φύσιν ἕνεκά του ποιοῦσαν· ὥστε καὶ τὴν ἁμαρτίαν αὐτῆς, ὡς ἤδη εἶπον,
οὐ πόρρω τοῦ σκοποῦ πεσεῖν ἔφη. οὐ γὰρ εἶπε βουγενῆ ἐλαιόπρωρα γε- 5
νέσθαι, ἀλλὰ βουγενῆ ἀνδρόπρωρα· οὕτως οἶδε καὶ αὐτὸς τὴν φύσιν σκο-
πόν τινα ὡρισμένον ἔχουσαν, οἷον ἢ ἄνθρωπον ἢ βοῦν ποιῆσαι, καὶ τού-
του ἀποτυχοῦσαν τὸ σύνεγγυς ἀγαπῆσαι, λέγω δὴ τὸ ζῷον ἁπλῶς ποιῆσαι.
ἔπειτα καὶ πρὸς αὐτὴν τὴν δόξαν ἐνίσταται· τί γὰρ δήποτε, φησίν, ἐν ταῖς ἐξ
ἀρχῆς συστάσεσι μὴ ὥσπερ βουγενῆ ἀνδρόπρωρα γέγονεν ἐπὶ τῶν ζῴων,
οὕτως καὶ ἐπὶ τῶν φυτῶν ἀμπελογενῆ ἐλαιόπρωρα; καίτοι, φησίν,
εὐλογώτερον ἦν ἐπὶ τῶν φυτῶν τοῦτο γενέσθαι μᾶλλον ἢ ἐπὶ τῶν ζῴων·
ἧττον γὰρ ἐν τοῖς φυτοῖς τὸ ἕνεκά του ἢ ἐν τοῖς ζῴοις, διότι καὶ διήρ-
θρωται μᾶλλον τὸ εἶδος ἐν τοῖς ζῴοις, ἔδει δὲ ἐν οἷς ἧττον τὸ ἕνεκά 10
του διαφαίνεται, ἐν τούτοις μάλιστα τὴν παρεκτροπὴν γενέσθαι· οὐ γέγονε δὲ
ἐν τοῖς φυτοῖς (οὐδὲ γὰρ φαίνεται τοῦτο λέγων), οὐδ' ἐν τοῖς ζῴοις ἄρα.
ὥστε οἱ ἐκ τούτων τὸ ἕνεκά του τῆς φύσεως ἀφαιροῦντες, ἑαυτοὺς ἐλέγ-
χοντες μᾶλλον ἵστωσαν ἢ τὴν φύσιν. εἶτα καὶ ἄλλοις ἐπιχειρήμασι τὸ αὐτὸ
κατασκευάζει· εἰ γὰρ μὴ ἕνεκά του πάντα ποιεῖ ἡ φύσις, διὰ τί μὴ εὐθὺς
ποιεῖ ἄνθρωπον, ἀλλὰ πρῶτον σπέρμα εἶτα σάρκα εἶτα ἄλλο καὶ ἄλλο ἐφε-
ξῆς, μέχρις ἂν τοῦ σκοπιμωτάτου τέλους τύχῃ; διὰ τί γὰρ μὴ πρότερον 15
ἔμβρυον, εἶτα σπέρμα; ἡ γὰρ τάξις τῶν ἕνεκά του· ὥστε εἰ ἐν τάξει ἄλλο
πρὸ ἄλλου παραλαμβάνει καὶ οὐδέποτε τῆς τάξεως μεθίσταται πρὶν ἂν
φθείρῃ τὸ γινόμενον, δήλη ἐστὶ πάντα ἕνεκά του ποιοῦσα. καὶ αὐτὸς δέ,
φησίν, ὁ Ἐμπεδοκλῆς τὸ "οὐλοφυὲς" πρῶτόν φησι γενέσθαι, τοῦτο δὲ

---

1 κοτινον sine accentu K ὄγχνην Themistius λεῦκην K 2 ἄρα L et compend. K: οὖν Mt μὴ ὡς ἔτυχεν LK: ὡς ἔτυχε μὴ Mt 3 σκοπιμώτατον K: σκοπιμω$^{\tau\tau'}$ M: σκοπιμώτατα (L)t οὗ] οἷον L ἀποτυ$^{\chi'}$ M τοῦ] τοὺς compend. M 4 συγχωρήσωμεν (cf. δῶμεν p. 320,6) K 5 βουγένη καὶ ἀνδράπρωρα K 7 τὰ σπέρματα διαφθαρέντα L 9 πόρρω που τοῦ fort. recte L cf. p. 318,26. Themist. p. 195,7 (Simplic. p. 381,1) βουγενη sine accentu K 10 βουγένη K 12 ἀποτυχοῦσα M 13 ἀνί$^{\varepsilon}$σταται L 14 βουγένη ἀνδραπρωρα (sic) K 15 ὄντως K: οὕτω t 15. 16 ἀμπε$^{\lambda}$λογενῆ — ἦν ἐπὶ τῶν φυτῶν LK: om. Mt 15 post ἐλαιόπρωρα addit γέγονε L 16 γενέσθαι LKM: ἐγένετο t 17 ἧττον γὰρ κτλ.] Themist. l. c. 18 18 τὸ εἶδος μᾶλλον L 19 γίνεσθαι L 20 λέγω L 21 ἀφαιροῦντες L: ἀναιροῦντες (K)Mt. item p. 320,12. cf. ad p. 163,1 22 ἵστωσαν L: ἱστῶσαν K: ἴσθωσαν Mt 23 γὰρ LK: δὲ Mt 25 τύχῃ L: τυ$^{\chi'}$ M: τύχοι Kt πρῶτον L 26 ἔμβριον M τῶν] τὸν K 27 πρὸς L 28 φθείρῃ LK: φθει$^{\rho'}$ M: φθαρῇ t δῆλον L ποιοῦσαι K 29 οὐλοφυὲς t πρῶτον γίνεσθαι (om. φησι) L

www.libtool.com.cn

οὐδὲν ἄλλο σημαίνοι ἂν αὐτῷ ἢ τὸ σπέρμα συνεστραμμένους καὶ ὅλους h 8ᵛ
ἅμα ἔχον ἐν ἑαυτῷ τοὺς λόγους τοῦ φυομένου· παρὰ γὰρ τὴν τοῦ ὅλου
φύσιν περιέχειν τὸ ὁλοφυὲς αὐτῷ κέκληται. εἰ δὲ τὸ οὐλοφυὲς πρῶτον 20
τῶν ζῴων καὶ φυτῶν γίνεται, ἕνεκα ἄρα τῶν φυτῶν καὶ ζῴων γίνεται,
εἰ δὲ τοῦτο, ἕνεκά του ἄρα ἡ φύσις ποιεῖ· ἕνεκα γὰρ τῶν ὑστέρων τὰ
πρότερα. ὅπερ οὖν εἶπον, εἰ καὶ δῶμεν ἀληθῆ εἶναι τὸν Ἐμπεδοκλέους
μῦθον ὡς κατ' ἀρχὴν συνέστη τινὰ βουγενῆ ἀνδρόπρωρα, τοῦ οὐλοφυοῦς
τούτου φθαρέντος δηλονότι συνέστη, ὥσπερ καὶ νῦν τὰ τέρατα γίνε-
ται τοῦ σπέρματος φθαρέντος ἢ πλεονάσαντος ἢ ἐλλείψαντος. ὥστε ἡ
μὲν φύσις ἕνεκα τοῦ ἀγαθοῦ τὴν προβολὴν τοῦ οὐλοφυοῦς ἐποιήσατο, συ- 25
νέβη δὲ φθαρέντος αὐτοῦ ἀποτυχεῖν τοῦ σκοποῦ τὴν φύσιν. ἔτι, φησίν, οἱ
ἀφαιροῦντες τῆς φύσεως τὸ ἕνεκά του λανθάνουσιν ἑαυτοὺς πολλῷ πρό-
τερον καὶ τὴν φύσιν ὅλως καὶ τὰ φυσικὰ ἀναιροῦντες. φύσει γὰρ κατὰ
κοινὴν ἔννοιαν ταῦτα νομίζομεν εἶναι πάντες, ὅσα ἀπό τινος ἀρχῆς ἐν ἑαυ-
τοῖς ὑπαρχούσης συνεχῶς καὶ κατὰ τάξιν κινούμενα ἀφικνεῖται εἴς τι τέλος,
ἀλλ' οὐχὶ ἐπὶ τὸ τυχὸν ἀπὸ τῆς τυχούσης ἀρχῆς (ταῦτα γὰρ ἀπὸ τύχης
καὶ ἀπὸ ταὐτομάτου καλεῖν εἰώθαμεν), τὰ δὲ ἀπὸ φύσεως ἢ ἀεὶ ἢ ὡς ἐπὶ 30
τὸ πολὺ ἀπὸ τῆς αὐτῆς ἀρχῆς διὰ τῆς αὐτῆς ὁδοῦ τὰ αὐτὰ τέλη γίνεται·
οὐδέποτε γὰρ ἀπὸ ἀνθρωπείου σπέρματος κύων γέγονεν ἢ ἵππος. καίτοι
εἰ μὴ ἕνεκά του ἐποίει ἡ φύσις, ἔδει τὸ τυχὸν ἐκ τοῦ τυχόντος γίνεσθαι,
νῦν δ' οὐ γίνεται. ὥστε εἰ μὴ ἕνεκά τού φασι τὴν φύσιν ποιεῖν, ἀλλ'
ὅπως ἂν τύχῃ, μάτην τὸ τῆς φύσεως περιβομβοῦσιν ὄνομα εἰς ταὐτὸν
ἄγοντες αὐτὴν τῇ τύχῃ καὶ συγκλώθοντες τὰ ἀσύγκλωστα. ὥστε εἰ μὴ
ταὐτὸν τύχη καὶ φύσις ἀλλὰ πολλῷ ταῦτα διεστήκασι τῷ μέσῳ, τῆς τύχης
ἐκ τῆς τυχούσης ἀρχῆς τὸ τυχὸν ποιούσης, τῆς δὲ φύσεως ἐξ ὡρισμένης 35
ὡρισμένον, ἀδύνατον τὴν φύσιν μὴ ἕνεκά του πάντα ποιεῖν, ἐπεὶ εἰς ταὐ-
τὸν ἂν οὕτω τῇ τύχῃ συμφέροιτο.

Τελευταῖον δὲ πάντων τὴν αἰτίαν τίθησιν ἐξ ἧς κινηθέντες ἐνόμισαν
τὴν φύσιν μηδὲν ἕνεκά του ποιεῖν. ἐοίκασι γάρ, φησί, διὰ τὸ μὴ ὁρᾶν
τὴν φύσιν ἐν τῷ δημιουργεῖν βουλευομένην, διὰ τοῦτο αὐτῆς ἀφαιρεῖσθαι
τὸ ἕνεκά του ποιεῖν, ὡς δὴ δέον τὰ ἕνεκά του ποιοῦντα πάντως βουλεύ-

---

1 συνεστραμμένου t ὅλως Mt 2 ἔχον Lt: ἔχων KM γὰρ τὸ τὴν fortrecte Mt 2. 4 ὅλου — ἄρα om. K 3 οὐλοφυὲς] οὐλοφυὲς t 4 ἕνεκεν M 6 οὖν om. K 7 ὡς Lt: ὡς ὅτι (cf. ad p. 6,30) K: ὡς ἂν M. κατὰ τὴν ἀρχὴν L ἀνδράπρωρα K οὐλοφυοῦς L: οὐλοφυοῦς K: ὁλοφυοῦς Mt 8. 9 δηλονότι — φθαρέντος om. L 8 συνέστησεν K 9. 11 ἢ ἐλλείψαντος — φθαρέντος om. K 9 ἐνλείψαντος M 10 ὁλοφυοῦς Mt 12 ἀφαιροῦντες] cf. ad p. 319,21 13. 14 κατκινὴν M 14. 15 ἑαυτοῖς t: ἑαυτῆς K: ἑαυτῇ M: αὐτοῖς L: αὐτοῖς Arist. cod. E 16. 17 τύχης καὶ αὐτομάτου L 17 ὡς om. L 18 τέλη L: τε M: τέλει (K)t 21 οὐ γίγνεται L 22 ὅπερ ἂν t παραβομβοῦσιν L 23 συγκλώθοντες L: συγκλω M: συγκλώθεντες (si recte enotavi) K: συγκλωθέντες t ἀσύγκλωτα K 26 ποιεῖν πάντα Mt 27 οὕτω om. L 30 βουλομένην M 31 ποιεῖν om. L δὴ om. t δέοντα (om. τὰ) K post πάντως add. καὶ K

www.libtool.com.cn

εσθαι. τοῦτο δέ, φησί, γελοῖον ἂν εἴη· ἔδει γὰρ αὐτοὺς συνιδεῖν ὅτι οὐδὲ h 8v
αἱ τέχναι βουλεύονται· ἡ γὰρ βουλὴ ἔνδειά ἐστι φρονήσεως, καὶ ὅταν ὁ
τεχνίτης βουλεύηται, οὐχ ὡς τεχνίτης βουλεύεται, ἀλλ' ὡς ἐλλείπων κατὰ 41
τὴν τέχνην (ἐξ ἀγνοίας γὰρ ἐπὶ τὴν βούλευσιν ἔρχεται), ὁ δὲ τεχνίτης
5 βουλῆς οὐ δεῖται. οὐ βουλεύεται γοῦν ὁ τέκτων εἰ δεῖ πρίειν τὰ ξύλα ἢ
ἀποξέειν, καὶ ὁ οἰκοδόμος εἰ δεῖ πρῶτον τοὺς θεμελίους καταβάλλεσθαι,
ἀλλ' οὐδ' ὁ γραμματιστὴς βουλεύεται πῶς δεῖ τὸ α ἢ τὸ β γράψαι. οὐδ' 45
ὅταν γράφῃ τὸ Σωκράτης ὄνομα βουλεύεται ποῖον δεῖ πρῶτον τῶν στοιχείων
γράψαι, ποῖον δὲ δεύτερον καὶ τρίτον. ἀλλ' ἑκάστης τέχνης ὥρισται καὶ τὸ
10 τέλος καὶ ἡ ἀρχὴ καὶ ἡ ὁδὸς ἡ ἐκ τῆς ἀρχῆς ἐπὶ τὸ τέλος, ὥσπερ καὶ
ἡ τῆς φύσεως, τὰ δὲ ὡρισμένα βουλῆς οὐ δεῖται· βουλευόμεθα γὰρ ἢ περὶ
τῆς ἀρχῆς ἢ περὶ τοῦ τέλους ἢ περὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ τέλος ἀγούσης,
ὅταν ἄδηλα ταῦτα καὶ ἀόριστα ᾖ. ὥστε εἰ διὰ τὸ μὴ βουλεύεσθαι τὴν φύσιν
ἀφαιροῦνται αὐτῆς τὸ ἕνεκά του, καὶ τῆς τέχνης ἀφαιρείτωσαν, εἰ δὲ μὴ 50
15 ἀφαιροῦνται τῆς τέχνης διὰ τοῦτο τὸ ἕνεκά του, εὔλογον δήπου μηδὲ τῆς
φύσεως ἀφαιρεῖν. καὶ τί λέγω ἐπὶ τεχνῶν, ὁπότε καὶ τὸ θεῖον δημιουργοῦν
οὐ βουλεύεται, ἀλλ' αὐτῷ τῷ εἶναι, ὅταν θέλῃ, πάντα παράγει βουλῆς οὐ
δεόμενον, εἴ γε ἡ βουλή, ὥσπερ εἶπον, δι' ἔνδειαν γίνεται φρονήσεως; ἥκιστα
οὖν τῆς φύσεως διὰ τὸ μὴ βουλεύεσθαι ἀφαιρετέον τὸ ἕνεκά του, ἐπεὶ μηδὲ
20 τῆς τέχνης μηδὲ τοῦ θείου.

Ἁμαρτία δὲ γίνεται καὶ ἐν τοῖς κατὰ τὴν τέχνην. ὡς δὴ τῆς ἀπορίας κατὰ τὸ σιωπώμενον δήλης οὔσης, ἀπὸ τῆς λύσεως ἄρχεται.

p. 199b1 Εἰ δὴ ἔστιν ἕνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνε|κά του. i 1r

Εἰ ἐν τοῖς τεχνητοῖς, φησίν, ἔστι τὸ ἕνεκά του καὶ ἐν πολλοῖς ὁρῶμεν κα-
25 τορθούσας τὰς τέχνας τὸ τέλος καὶ τὸ οὗ ἕνεκα, εἰς ἕνια δ' ἐπιχειροῦσι μὲν
ἕνεκά του ποιεῖν ἁμαρτάνουσι δὲ τοῦ σκοποῦ διά τινας δήποτε αἰτίας, οὐ παρὰ
τὸ μὴ αὐτὰς οὕτω προθέσθαι ὥστε εἴς τι τέλος ἀγαθὸν λῆξαι, τί κωλύει
καὶ ἐπὶ τῆς φύσεως τὸ αὐτὸ συμβαίνειν, καὶ τὰ ἁμαρτήματα αὐτῆς μὴ διὰ
τὸ ὡς ἔτυχεν αὐτὴν ποιεῖν νομίζειν γίνεσθαι, ἀλλὰ διὰ τὸ τοῦ ἐξ ἀρχῆς 5
30 ἐκκρούεσθαι σκοποῦ ἢ διὰ τὴν ὕλην ἢ διὰ τὰ ἔξωθεν συμπτώματα;

---

3. 4 τεχνήτης ter M 4 βούλησιν KM ὁ δὲ (ὁδε) K: ὁ δέ γε L: ὁ γὰρ Mt: fort. ᾗ δὲ 5 οὐ βουλεύεται κτλ.] cf. Themist. p. 196,15 οὐ (ante βουλεύεται) om. superscr. M γοῦν LK: γὰρ Mt 6 πρώτως L 7 πῶς δὴ τὸ M α] δ̄ L 7. 9 οὐδ' ὅταν—γράψαι bis scripta altero loco delevit K 8 σωκρα KM: possis Σωκράτους ποῖον δὴ K πρῶτον Mt: προ K: πρότερον L 10 ἡ (ante ἐκ) om. Mt 11 ἡ om. L γὰρ ᾖ] γὰρ οὐ L 12 ἀρχῆς superscr. M²: τέχνης M 13 εἰ μὴ διὰ τὸ βουλεύεσθαι L 16 καὶ (ante τὸ) om. K 17 παράγη (om. πάντα) L 18 βουλῆ t 21 καὶ ἐν—τέχνην om. K ὡς] ἡ (littera rubro addenda) K 22 κατὰ τὸ σιωπώμενον δήλης οὔσης LK: κατὰ τὸ σιωπώμενον δηλούσης M: προδήλου οὔσης. κατὰ τὸ σιωπώμενον t 23 δὴ] δέ K 25 τὸ τέλος LK: τὸ M: om. t 26 διά τινος t δήπο M: δήποται K: δήπου (L)t 27 προσθέσθαι L et ut vid. M λῆξαι] δεῖξαι M 28 συμβαίνειν LK: σημαίνειν Mt 29 τοῦ om. Mt

www.libtool.com.cn

p. 199b5 Καὶ ἐν ταῖς ἐξ ἀρχῆς ἄρα συστάσεσι τὰ βουγενῆ, εἰ μὴ πρός τινα ὅρον καὶ τέλος δυνατὰ ἦν ἐλθεῖν. i 1r

Ἐκ τούτων ἄρα δῆλον, φησίν, ὅτι καὶ τὰ κατὰ Ἐμπεδοκλέα βουγενῆ ἀνδρόπρωρα, ἵνα τις συγχωρήσῃ τῷ μύθῳ, εἰ μὴ δυνατὰ ἦν εἴς τινα ὅρον καὶ τέλος ἐλθεῖν, τουτέστιν εἰς εἶδός τι τέλειον, ὥστε καὶ διαμεῖναι, πρόδηλον ὅτι τῆς ἀρχῆς αὐτῶν τοῦ σπέρματος διαφθαρέντος τοιαῦτα γέγονεν. ὅθεν οὐδὲ διέμεινεν, ὅπερ καὶ νῦν ἐπὶ τῶν τεράτων συμβαίνει.

p. 199b7 Ἔτι ἀνάγκη σπέρμα γενέσθαι πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῷα.

Εἰ μὴ ἕνεκά του πάντα ἡ φύσις ποιεῖ, διὰ τί τεταγμένη αὐτῆς ἐστιν ἡ δημιουργία ἄλλα πρὸ ἄλλων παραλαμβάνουσα; ἔδει γὰρ καὶ ἄνευ σπέρματος τὰ ζῷα εὐθὺς ποιεῖν. εἰ δὲ παραλαμβάνει πρῶτον σπέρμα, εἶτα ἐξ αὐτοῦ ποιεῖ σάρκα, καὶ οὕτως ἐφεξῆς μέχρι τοῦ τελείου εἴδους, καὶ εἰς τὸ τέλειον εἶδος ἐλθοῦσα παύεται λοιπὸν τῆς κινήσεως, πρόδηλον ἄρα ὅτι τὰ πρὸ τοῦ τέλους πάντα τοῦ τέλους ἕνεκεν παρέλαβεν. ἐπεὶ τί δήποτε ἔστη εἰς τὸ εἶδος τὸ ἀνθρώπειον τυχὸν ἢ ἵππειον, καὶ μὴ ἐξ αὐτοῦ συνεχῶς κινοῦσα ἄλλο τι, καὶ τοῦτο ὅπερ ἔτυχεν, ἐποίησεν;

p. 199b9 Ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του.

Ἐντεῦθεν, ὅπερ εἶπον, πρὸς αὐτὴν τὴν δόξαν ἐνίσταται, ὅτι εἰ ἧττον ἐν τοῖς φυτοῖς τὸ ἕνεκά του ἢ ἐν τοῖς ζῴοις, ἐν οἷς δὲ ἧττον τὸ ἕνεκά του ἐν τούτοις μᾶλλον ἔδει τὰ τέρατα γενέσθαι, τί δήποτε μὴ ὥσπερ ἐν τοῖς ζῴοις τὰ βουγενῆ ἀνδρόπρωρα γέγονεν, οὕτω καὶ ἐν τοῖς φυτοῖς ἀμπελογενῆ ἐλαιόπρωρα; εἰ δὲ μὴ γέγονεν ἐν τοῖς φυτοῖς (οὐδὲ γὰρ φαίνεται τοῦτο λέγων), οὐδ' ἐν τοῖς ζῴοις ἄρα. οὐδὲν δὲ θαυμαστόν, ὥσπερ ἐν τοῖς ζῴοις γίνεται τέρατά τινα, οὕτω δὲ καὶ ἐν τοῖς φυτοῖς γίνεσθαι, ἀλλ' ἧττον τῶν ζῴων διαφαίνεσθαι ἐν τούτοις τὸ παρὰ φύσιν, διὰ τὸ μὴ οὕτως διηρθρῶσθαι τὰ εἴδη καὶ διακεκρίσθαι ὡς ἐν τοῖς ζῴοις· ἐν οἷς γὰρ ἀκριβὲς τὸ εἶδος,

---

1 συστάσεσιν τὰ βουγένη K 2 καὶ τέλος—ἐλθεῖν om. K 3 ἐμπεδοκλέους primitus M et t βουγένη K 4 δυνατὸν L 6 τοῦ L: καὶ τοῦ KMt at cf. p. 319,7 τοι τ ταῦ M 8 Ἔτι δὲ t 8. 9 γενέσθαι—ζῷα om. K 10 τεταμένη et ἐστι M 11 γὰρ om. L 12 πρῶτον σπέρμα] ἄσπερμα K 14 πάβεται K 15 ἕνεκα Mt τί ποτέ ἐστιν L 16 ἀνθρωπείου compend. K 18 ἔνεστι τὸ ἕνεκά του om. K 19 ἀνίσταται L 21 τὰ πέρατα L ὅπερ L 22 βουγένη ἀνδράπρωρα K 24 λέγω K οὐδὲν δὲ L: οὐδὲν KM: οὐδὲ t ζοίοις altero loco t 25 δὲ om. L 26 διαφαίνεσθαι KM: διαφέρεσθαι L: διαφαίνεται t οὕτω t 27 τὸ ἀκριβὲς εἶδος Mt

www.libtool.com.cn

ἐν τούτοις καὶ ἡ ὀλίγη ἐκτροπὴ πρόδηλος. καὶ ὥσπερ ἐν ἄλλοις αὐτός φησι, i 1r
τοῦ τεθνεῶτος τὴν μὲν χεῖρα οὐκέτι ἂν εἴποι τις χεῖρα εἶναι, εἰ μὴ ὁμω- 31
νύμως, ὡς τὴν λιθίνην ἢ τὴν γεγραμμένην, διὰ τὸ ἐφθάρθαι αὐτῆς ἐναρ-
γῶς τὸ εἶδος καὶ τὴν ἐνέργειαν, τὴν μέντοι σάρκα τοῦ τεθνεῶτος νομίσειεν
5 ἄν τις μηδὲν ἔλαττον ἔχειν τῆς ζώσης διὰ τὸ μὴ ἐναργῶς ὁρᾶσθαι τὸ εἶδος
αὐτῆς καὶ τὴν χρείαν, ἣν παρεῖχε τῷ ὅλῳ ζῴῳ, μετὰ θάνατον ἐφθαρμένην·
τοῦτο δὲ διὰ τὸ ὑλικώτερα ὄντα τὰ ὁμοιομερῆ μὴ εἰλικρινὲς ἔχειν τὸ εἶδος.
οὕτω δή, ἐπειδὴ καὶ τὰ φυτὰ πρὸς τῇ ὕλῃ μᾶλλόν εἰσιν ἤπερ τὰ ζῷα καὶ 35
διὰ τοῦτο ἀμυδρότερον ἔχει τὸ εἶδος, ἐν ταῖς παρεκτροπαῖς ἡ διαφορὰ οὐ
10 διαφαίνεται, ὥσπερ οὐδὲ ἐν τῇ νεκρᾷ σαρκί, καὶ διὰ τοῦτο οὐ δοκεῖ τέ-
ρατα γίνεσθαι ἐν τοῖς φυτοῖς. τοῦτο δὲ τὸ ἐπιχείρημα οὐκ ἔστι πραγμα-
τειῶδες, ἀλλ' ὡς πρὸς τὸ πρόσωπον τοῦ Ἐμπεδοκλέους καὶ τὰ παρὰ αὐτοῦ,
ὅτι οὐκ ἔστιν ἑαυτοῦ ἀκόλουθος, ἐν τοῖς ζῴοις μὲν τὰ τοιαῦτα τέρατα γεν-
νῶν, ἐν τοῖς φυτοῖς δ' οὐκέτι· καίτοι εὐλογώτερον ἦν ἐπὶ τῶν φυτῶν
15 τοῦτο ποιῆσαι. εἰ μὲν οὖν καὶ ἐπὶ τῶν φυτῶν ἐγίνετο, διὰ τί μὴ εἶπεν; 40
εἰ δὲ διὰ τὸ μὴ γίνεσθαι οὐκ εἶπεν, ἄτοπον ἐπὶ μὲν τῶν εἰλικρινεστέρων
εἰδῶν καὶ ἐφ' ὧν μᾶλλον τὸ ἕνεκά του διαφαίνεται καὶ ἡ τῆς φύσεως πρό-
νοια, ἐπὶ τούτων ὡς ἔτυχε ταῦτα γίνεσθαι λέγειν, ἐπὶ δὲ τῶν φυτῶν μη-
κέτι, ἐν οἷς ἧττόν ἐστι διάδηλος ἡ φύσις πάντα ἕνεκά του ποιοῦσα. ὁ δὲ
20 ἀληθὴς ἔχει λόγος ἐν ἀμφοτέροις μὲν γίνεσθαι τὸ παρὰ φύσιν, σπάνιον δὲ
τοῦτο καὶ κατὰ ἀπόπτωσιν τοῦ ἕνεκά του καὶ τοῦ κατὰ φύσιν, ὥσπερ καὶ
ἐπὶ τῶν τεχνῶν τὸ παρὰ τέχνην.

p. 199b17 Ἀφ' ἑκάστης δὲ οὐ τὸ αὐτὸ ἑκάστοις οὐδὲ τὸ τυχόν, 45
ἀεὶ μέντοι ἐπὶ τὸ αὐτό, ἂν μή τι ἐμποδίσῃ.

25 Ὅτι οὔτε ἡ αὐτὴ φύσις πλειόνων τελῶν ἐστι ποιητική, οὔτε πλείους
φύσεις ἓν καὶ τὸ αὐτὸ ἀπεργάζονται εἶδος, ἀλλ' ἐφ' ἑκάστης ὡρισμένον
ἐστὶ τὸ εἶδος, εἰ μή τι τῶν ἔξωθεν ἐμποδίσῃ. συνάγομεν γὰρ πολλάκις
διάφορα ζῷα εἰς συνουσίαν, ὡς ἵππον καὶ ὄνον εἰς ἡμιόνου γέννησιν, καὶ
ποιοῦμεν ἐκ δύο εἰδῶν ἕν, ἀλλ' οὖν καὶ ἐνταῦθα θαυμαστὴ τῆς φύσεως
30 ἡ πρόνοια τὰ τοιαῦτα ἄγονα ποιήσασα, ἵνα μάθῃς ὡς ὅσα μὲν ὑπ' αὐτῆς

---

1 ὀλίγη] ὅλη L ἐν ἄλλοις] respicit Meteorol. Δ 12 p. 389b31 sqq. cf. Metaph. Z 10 p. 1035b24 αὐτὸ φησιν αὐτὸς L 3 αὐτῇ vel αὐτῷ M 4 σάρκα ἐκ τοῦ L 8 ἐπειδὴ καὶ τὰ φυτὰ K: ἐπειδὴ τὰ φυτὰ ἐπειδὴ L: καὶ τὰ φυτὰ ἐπειδὴ Mt μᾶλλον εἶναι ὅπερ L 9 ἀμυδρώτερον Mt ἔχειν L διαφορὰ] φύσις L 10 post διαφαίνεται addit δὲ L 11 οὐκ ἔστι LK: οὐκέτι Mt 11. 12 πραγματιῶδες invenit in M neque correxit t 13 ἔστιν ἥλιος L. videtur ἥλιος nihil aliud esse quam compendium non intellectum vocis ὅτι vel ἔστιν ἑαυτῷ fortasse recte K 14 εὐλογότερον K 16 ἄτοπος (K)t 18 λέγων compend. M et t 20 λόγον L σπάνειον M 21 καὶ τοῦτο καὶ L ἀπόπτωσις (sic) K 23. 24 οὐ τὸ — ἐμποδίσῃ om. K 23 οὐ] οὐδὲ M 24 μέν τοί γε t ἐὰν t τις L 26 τὸ om. LK 27 τὸ εἶδος] τὸ τέλος K μή τις L 28 γέννεσιν ante corr. M: γένεσιν K 30 τὰ om. L μὲν om. Mt

www.libtool.com.cn

γίνεται μηδενὸς τῶν ἔξωθεν βιαζομένου ἢ διακόπτοντος, ταῦτα τοῦ σκο- i l r
πιμωτάτου τέλους τυγχάνει, τοῦτο δ' ἐστὶν ἡ διαδοχὴ τῶν εἰδῶν, ὅσα δὲ 51
μὴ οὕτως γίνεται, πηρώματά ἐστι καὶ οὐδ' ὅλως διαμένει, ἢ διαμένοντα
τοῦ φυσικωτάτου τέλους οὐ τυγχάνει. κἀνταῦθα δὲ ἡ σύνοδος τῶν σύνεγ-
5 γυς, οὐ τῶν πόρρω.

p. 199ᵇ18 Τὸ δὲ οὗ ἕνεκα, καὶ ὃ τούτου ἕνεκεν, γένοιτο ἂν καὶ ἀπὸ τύχης.

Ἐπειδὴ ἔδειξεν ὅτι ἐν τῇ φύσει τὸ ἕνεκά του, καὶ ἔχει τι τέλος οὗ ἕνεκα πάντα πράττει, ἄρα, φησίν, ἐν | μόνῃ τῇ φύσει, ἢ καὶ ἐν τῇ τύχῃ i l r
10 ἔστι τὸ ἕνεκά του καὶ τὸ οὗ ἕνεκα ταῦτα πράττεται; καί φησιν ὅτι ἔστι καὶ ἐν τῇ τύχῃ, ἀλλ' οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός. ἐλθὼν γάρ τις ἀπὸ ξένης ἐλούσατο, ἀλλ' οὐ τούτου ἕνεκεν ἦλθεν ἵνα λούσηται, ἐγένετο μέντοι ὁ πλοῦς ὡς ἕνεκα τούτου. κατὰ συμβεβηκὸς οὖν ἐν τῇ τύχῃ τὸ ἕνεκά του, οὐ καθ' αὑτό, ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται.

15 p. 199ᵇ20 Λέγομεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λουσάμενος ἀπῆλθεν. 5

Γράφεται καὶ λυσάμενος ἀντὶ τοῦ λυτρωσάμενος. οἷον εἴ τις ἐν πόλει ἐλθὼν εὕροι τινὰ δέσμιον, εἶτα λυτρώσηται τοῦτον· λέγομεν γὰρ ἐν τοῖς 10
τοιούτοις, ὅτι ἦλθεν ἵνα λυτρώσηται αὐτόν. καίτοι οὐ τούτου ἕνεκεν ἦλ-
20 θεν, ἀλλὰ τὸ ἐκβὰν οὕτω γέγονεν ὡς ἂν εἰ τούτου ἕνεκεν ἦλθεν, ὅπερ πεποίηκεν· ἀπερχόμενος γὰρ ἀγωνίσασθαι Ὀλύμπια καὶ εὑρὼν ἐν Αἰγίνῃ Πλάτωνα δεδεμένον, ἀγοράσας ἐλυτρώσατο εἰπὼν ὅτι οὐκ ἂν πολλὰς νίκας ἐν Ὀλυμπίᾳ ἀντηλλάξατο τῆς πράξεως ταύτης.

---

1 γίνονται L ἔξοθεν K 3 οὕτω t πληρώματά K ἢ διαμένον M: ἢ διαμένοντος L 6. 7 καὶ ὃ — τύχης om. K 6 ἕνεκεν (post τούτου) L: ἕνεκα Mt 8. 10 καὶ ἔχει — ἔστι τὸ ἕνεκά του om. K 8 τι] τί L: τὸ Mt 9 ἄρα M 9. 10 ἐν μόνη — καί φησιν om. L 13 ἕνεκα τούτου t: ἕνεκά τουτ (sic) M: ἕνεκά του τοῦ K: ἕνεκά του L κατὰ συμβεβηκός· κατὰ συμβεβηκὸς οὖν t οὖν om. K 14 ὅπερ] ὃ υ K εἴρη K 15 Οἷον λέγομεν ex Arist. t 15. 16 ἦλθεν — ἀπῆλθεν om. K 17. 20 γράφεται — οὐ τούτου ἕνεκεν ἦλθεν om. L 17 λυσάμενος KM: λυτρωσάμενος t λυτρωσάμενος scripsi: λουτρωσάμενος M: λυτρωσόμενος K: λουσάμενος t, scilicet deceptus vocibus ἀντὶ τοῦ quibus alteram lectionem designari putavit; at recte excerptor cod. Paris. 1853 (*Scholl.* p. 355ᵇ3) ἀντὶ τοῦ per ὅ ἐστι explicavit. ceterum cf. Diels *z. Textgesch.* p. 23 18 εὕροι KM: εὕροι ἄν t: fort. εὕρῃ λυτρώσηται (post εἶτα) KM: λυτρώσαιτο t 20 εἰ ἕνεκεν τούτου L 20. 21 ὅπερ πεποίηκεν om. Mt 21 ὀλυμ (= ὀλυμπίᾳ?) M 23 ἀνηλλάξατο t

www.libtool.com.cn

p. 199b28 Καὶ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν τῇ φύσει ἐποίησεν. 1v

Ἄλογον, φησί, τὸ νομίζειν μὴ ἕνεκά του ποιεῖν τὴν φύσιν διὰ τὸ μὴ 17
ὁρᾶν αὐτὴν βουλευομένην, ὁπότε οὐδὲ ἡ τέχνη βουλεύεται· εἰ τοίνυν ἐπι-
5 νοήσαις τὴν ναυπηγικὴν τέχνην ἐν τῷ ξύλῳ καταδεδυκυῖαν, τί πλέον ἂν
ἐποίησεν ἢ ὡς ἡ φύσις ἐποίει μὴ βουλευομένη; μὴ γὰρ δὴ ὅτι ἐν ἀνθρώπῳ
ἡ τέχνη σκόπει, ἀλλὰ ταύτην τοῦ ἀνθρώπου χωρίσας ἐγκατάθες τῷ ξύλῳ, 20
καὶ οὐδὲν ὄψει πλέον ποιοῦσαν ἢ ὡς νῦν ἔξωθεν οὖσα ἐργάζεται. ὥσπερ
οὖν νῦν ἔξω οὖσα ἕνεκά του πάντα ποιεῖ, καὶ ἐν τῷ ξύλῳ δηλονότι οὖσα,
10 ὥσπερ ἡ φύσις ἐν τοῖς φυσικοῖς, ἕνεκά του ἂν πάντα ἐποίησε. διὰ τί οὖν
μὴ καὶ νῦν τὴν φύσιν οὕτως ποιεῖν φαμεν ἐν τοῖς φυσικοῖς ἐνυπάρχουσαν;

p. 199b30 Μάλιστα δὲ δῆλον, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν.

Ἐπειδὴ ὑπέθετο τὴν τέχνην ἐν τῷ ξύλῳ ἐνυπάρχουσαν, ἵνα ἀπεικάσῃ 26
αὐτὴν τῇ φύσει ἐγγυτέρω φέρων τὴν εἰκόνα, τούτῳ ἐχρήσατο τῷ παραδείγ-
15 ματι, ᾧπερ καὶ ἐν τοῖς ἔμπροσθεν. ἔοικε γὰρ ὡς ἐν τεχνητοῖς ὁ ἰατρεύων
ἑαυτὸν ἰατρὸς τῇ φύσει· τὴν ἀρχὴν γὰρ τῆς ὑγιείας ἐν ἑαυτῷ ἔχει, ἀλλὰ
συμβέβηκεν ἐνταῦθα τὸν ἰατρευόμενον ἅμα καὶ ἰατρὸν εἶναι.

p. 199b34 Τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει ἢ καὶ ἁπλῶς;

20 Τῶν δύο προβλημάτων ὧν προεβάλλετο δείξας τὸ ἕτερον, τοῦτο δ' 30
ἐστὶν ὅτι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ, νῦν ἐπὶ τὸ λοιπὸν μετέρχεται·
τοῦτο δὲ ἦν πῶς ἔστιν ἐν τοῖς φυσικοῖς τὸ ἀναγκαῖον, πότερον ἁπλῶς καὶ
κατὰ ἕνα τινὰ εἱρμὸν ἀνάγκη τῷ προτέρῳ τὸ δεύτερον ἕπεσθαι καὶ τούτῳ
τὸ τρίτον καὶ οὕτως ἐφεξῆς, ὥσπερ ἔχει ἐπὶ τῶν οὐρανίων (ἀνάγκη γὰρ

---

1 plenius lemma Ἄτοπον δὲ καὶ (sic) τὸ — βουλεύεται. καὶ t καὶ εἰ LKM et primitus Arist. cod. E: καὶ γὰρ εἰ t 1. 2 ἡ ναυπηγική — ἐποίησεν om. K 1 τῇ om. primitus Arist. cod. E 2 ἐποίησεν LM: ἐποίει t Aristoteles 4 ὁπότε (L)t: ὁποτέ ἐστιν K: ὁπο ἐστὶν (sed ἐστὶν del.) M ἡ om. K 4. 5 ἐπινοήσαις compend. M: ἐπινοήσεις t 5 ναυτικὴν Mt 6 ἢ om. L 7 σκόπει L: σκοπεῖ K: σκοπεῖν compend. M: σκόπειν t ante τοῦ ἀνθρώπου addit ἄνευ t χωρίσας LK: σκοπήσας Mt ἐνκαταθεστῶ et mox ὄψῃ K 9 οὖν LK: om. M: γὰρ t 10 ἂν πάντα LK: ἅπαντα Mt 11 οὕτω t φαμὲν ποιεῖν Mt 12 ὅταν — ἑαυτόν om. K 15 ᾧπερ t: ὅπερ LKM ἔμπροσθεν c. 1 p. 192b23 ὁ] ὡς ὁ L 16 τὴν γὰρ ὑγείας ἀρχὴν L 17 συμβέβηκεν] κατὰ συμβεβηκὸς L τὸν om. L εἶναι om. K 18 lemma om. K ἢ om. M 20 προεβάλετο t 22 δὲ ἦν] δ' ἢ L 23 εἱρμὸν hic et p. 326,2 K ἀνάγκης L τὸ L: om. KMt ἕπεσθαι LMt: ἔσεσθαι K 24 post γὰρ interciderit propter compendia τὸν ἥλιον cf. p. 198,25. 330,15

www.libtool.com.cn

ἀπὸ Κρίου γίνεσθαι ἐν Ταύρῳ, καὶ ἐκ τούτου ἐν Διδύμοις, καὶ οὕτως i lv
ἐφεξῆς κατὰ ἕνα τινὰ καὶ ἀναγκαῖον εἱρμὸν τοῖς προτέροις ἀεὶ τῶν δευτέ-
ρων ἑπομένων), ἢ οὐχ οὕτω τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς, ἀλλ' ἐξ ὑπο- 35
θέσεως τῶν δευτέρων ὑποτεθέντων ἐξ ἀνάγκης τὰ πρότερα ἕπεται. οἷόν
5 τι λέγω· τῇ ὕλῃ ἐξ ἀνάγκης ἕπεται τὸ εἶδος, ὅπερ ἂν εἴη τὸ ἁπλῶς ἀναγ-
καῖον· διότι γὰρ ἔχει τοιάνδε δύναμιν ἡ ὕλη, δεῖ πάντῃ τε καὶ πάντως
ἕπεσθαι καὶ τὸ εἶδος. ἢ οὐχ οὕτως, ἀλλ' εἰ δεῖ γίνεσθαι τὸ εἶδος, δεῖ τοι-
άνδε ὕλην προϋποκεῖσθαι. οἱ μὲν οὖν φυσικοὶ τὸ ἁπλῶς ἀναγκαῖον ἐν τοῖς
γινομένοις ὑπετίθεντο· πάντες γὰρ ταῖς δυνάμεσι τῆς ὕλης ἐξ ἀνάγκης ἕπε-
10 σθαι τὰ εἴδη ἔλεγον. ὥσπερ ἂν εἰ καὶ τὴν οἰκίαν διὰ τοῦτο τοιάνδε εἶναι 40
ἔλεγον, διὰ τὰς φυσικὰς τῆς ὕλης ἐξ ἧς σύγκειται δυνάμεις (οἷον διότι γὰρ
βαρεῖς μὲν οἱ λίθοι κουφότεραι δὲ τούτων αἱ πλίνθοι ἔτι δὲ κουφότερα τὰ
ξύλα, διὰ τοῦτο γέγονεν ἡ οἰκία ἔχουσα τὰ μὲν θεμέλια κάτω, ἐφεξῆς δὲ
τούτοις τὰς πλίνθους, καὶ ὑπεράνω πάντων τὰ ξύλα, διότι τῶν ἄλλων κου-
15 φότερα· πάνυ γελοίως διὰ τὰς δυνάμεις τῆς ὕλης τοιόνδε σχῆμα ἔχειν τὴν
οἰκίαν ὑποτιθέμενοι, οὐ διότι ἔδει τὴν οἰκίαν τοιάνδε εἶναι καὶ διὰ τοῦτο
τοιάνδε ὕλην παρασκευασθῆναι· εἰ γὰρ ἁπλῶς ταῖς δυνάμεσι τῆς ὕλης εἴ- 45
πετο τοιόνδε εἶδος, ἔδει αὐτομάτως εἶναι τὴν οἰκίαν οὔσης τῆς ὕλης, καὶ
μηδὲν τοῦ τάττοντος δεῖσθαι), οὕτως δὲ καὶ οἱ φυσικοὶ τὸ ἀναγκαῖον ἐν
20 τοῖς γινομένοις ὑπάρχειν ἔλεγον· διὰ γὰρ τὸ τὸ ψυχρὸν εἶναι τοιόνδε καὶ
τὸ θερμόν, γενέσθαι ὁστοῦν ἢ σάρκα ἢ τῶν ἄλλων ὁτιοῦν, ἤγουν διὰ τὸ
τὰς ἀτόμους σφαιρικὰς εἶναι τὸ πῦρ καίειν, ἢ τὸ ὕδωρ ψύχειν διὰ τὸ ἐκ
κυβικῶν εἶναι ἀτόμων· καὶ ἕκαστος ἁπλῶς τὰς αἰτίας τῆς τῶν εἰδῶν γε-
νέσεως τῇ ὑπ' αὐτοῦ ἐπινενοημένῃ ὕλῃ ἀνέθηκεν. ἔχει δὲ τὸ ἀναγκαῖον 50
25 οὐχ οὕτως ἐν τοῖς φυσικοῖς· οὐδὲν γὰρ ἔδει φύσεως τῆς ἐργαζομένης.
οὐδὲ γὰρ τὴν ὕλην ἡ φύσις ἐργάζεται, ἀλλ' οὔσῃ χρῆται εἰς τὴν τῶν
εἰδῶν γένεσιν· τὰ γὰρ στοιχεῖα ὄντα λαβοῦσα καὶ τοίως ἢ τοίως μίξασα,
οὕτως ἄλλο καὶ ἄλλο ἐπιτίθησιν εἶδος. εἰ δ' ἁπλῶς τῇ τῆς ὕλης δυνάμει
εἴποντο τὰ εἴδη, τίς ἦν χρεία τοῦ ποιητικοῦ αἰτίου, τῆς φύσεως φημί;
30 ἐξ ὑποθέσεως οὖν τὸ ἀναγκαῖον· διὰ γὰρ τὸ δεῖν τοιόνδε εἶδος εἶναι, διὰ
τοῦτο παραλαμβάνεται ἡ ὕλη. ἀμέλει, ὡς εἶπον, καὶ παραληφθείσης τῆς

---

1 γενέσθαι L 2 ἕνα] ἕναν K 3. 4 ἑπομένων—δευτέρων om. K 4 ὑποτιθέντων M 5 ἐξ ἀνάγκη (sic) K 7 ἢ οὐχ οὕτως, ἀλλ'] ὅπερ ἂν· ἀλλὰ K γίνεσθαι καὶ τὸ εἶδος L 10 ἂν om. L 11 διὰ τὸ τὰς L 12 κουφότεραι K: κουφο τῳ M: κουφότεροι Lt αἱ ut vid. M: οἱ LKt πλίνθοι et mox πλίνθους K 14 τοὺς πλίνθους L τῶν ἄλλων om. Mt 14. 15 κουφο τῳ M: κουφότερον t 15 τὸ τοιόνδε L 17. 18 εἴπετουν (h. e. εἴπετο οὖν) K 19 οὕτω t 20 ἔλεγον ὑπάρχειν L alterum τὸ (ante ψυχρὸν) om. Mt 20. 21 καὶ τὸ iterabat ante lituram K 22 τεσατόμους φαιρικὰς K καίειν ἢ Mt: καὶ μὴ K: καὶ L 23 κυβικὸν K: κινικῶν M τῆς iterat L 24 ἐπινενοουμένῃ corr. L ἐνέθηκεν L 25 ἔδει] ἔχει L 26 τὴν (post γὰρ) om. L 27 τοιῶς ἢ τοιῶς libri, sed τοιῶς ἢ om. K 28 εἰ δ'] οὐδ' L 31 ἀμε λλ' M

www.libtool.com.cn

ὕλης καὶ καλλιεργηθείσης καὶ προδρόμων εἰδῶν προγεγενημένων οὐ πάντως τὸ σκοπιμώτατον ἐπιγίνεται εἶδος. οὕτως ἄρα οὐ ταῖς τῆς ὕλης δυνάμεσιν ἐξ ἀνάγκης τὰ εἴδη ἕπονται, ἀλλ' ἔμπαλιν, ὡς εἶπον, καὶ ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον, εἰ δεῖ τοιόνδε εἶδος εἶναι, δεῖ ὕλην παραληφθῆναι τοιάνδε, οἷον θερμὴν μὲν τοσήνδε ψυχρὰν δὲ τοσήνδε. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἔχει οὖν, φησί, τὸ ἀναγκαῖον ἐν τοῖς φύσει τρόπον τινά, ὥσπερ ἐν τοῖς μαθήμασιν· ἐξ ὑποθέσεως γὰρ καὶ ἐν τοῖς μαθήμασι τὸ ἀναγκαῖον. μαθήματα δὲ λέγει τὰς δείξεις τὰς μαθηματικὰς συλλογιστικῶς προϊούσας, ὥστε καθολικώτερον ἔστιν εἰπεῖν ἀντὶ τῶν μαθημάτων τοὺς συλλογισμούς, ὅτι ὡς ἔχει ἐν τοῖς συλλογισμοῖς τὸ ἀναγκαῖον, οὕτως ἔχει καὶ ἐν τοῖς φυσικοῖς. ἐξ ὑποθέσεως γὰρ καὶ ἐν τοῖς συλλογισμοῖς τὸ ἀναγκαῖον· ὑποθεμένοις γὰρ τὰς προτάσεις ἐξ ἀνάγκης ἕπεται τὸ συμπέρασμα, ὥσπερ καὶ ἐν τοῖς φυσικοῖς τοῦ εἴδους ὑποτεθέντος ἐξ ἀνάγκης ἔσται καὶ ἡ ὕλη. τὸ μὲν οὖν ἐξ ὑποθέσεως ἀναγκαῖον ὁμοίως ἐπ' ἀμφοῖν, ἡ δὲ τάξις τῆς ἀκολουθίας ἀντέστραπται· ἐπὶ μὲν γὰρ τῶν συλλογισμῶν εἰ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα (τουτέστιν εἰ τὸ πρῶτον, καὶ τὸ δεύτερον), οὐκέτι μέντοι εἰ τὸ συμπέρασμα, καὶ αἱ προτάσεις· ἀληθῶν μὲν γὰρ οὐσῶν τῶν προτάσεων, ἀληθὲς ἐξ ἀνάγκης καὶ τὸ συμπέρασμα, οὐκέτι μέντοι εἰ τὸ συμπέρασμα, καὶ αἱ προτάσεις. τὸ γὰρ αὐτὸ συμπέρασμα δυνατὸν ἄλλοτε ἄλλαις προτάσεσι συναγαγεῖν, καὶ οὐ μόνον ἐξ ἀληθῶν, ἀλλὰ καὶ ἐκ ψευδῶν ἀληθές· εἰ μὲν γὰρ ε' καὶ ε', πάντως ι', οὐ μέντοι εἰ ι', πάντως ε' καὶ ε', ἀλλὰ δύναται ζ' καὶ γ', καὶ ς' καὶ δ'. καὶ ἐπὶ συλλογισμῶν δὲ 'ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία', καὶ ἐκ ψευδῶν δὲ τὸ αὐτὸ συνάξεις 'ὁ ἄνθρωπος λίθος, ὁ λίθος οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία'. ὥστε πάντως μὲν ταῖς τοιαῖσδε προτάσεσιν ἕπεται καὶ τοιόνδε συμπέρασμα, οὐ μέντοι τοιῷδε συμπεράσματι πάντως ἕπονται τοιαίδε προτάσεις. εἰ γάρ τις εἴποι ὅτι δυνατὸν ἐξ ἀληθῶν προτάσεων ψευδὲς συναγαγεῖν συμπέρασμα, οἷόν ἐστιν 'ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον δισύλλαβον, ὁ ἄνθρωπος ἄρα δισύλλαβος', ἔστω ὅτι οὐ σῴζει ὁ τοιοῦτος τὰς προτάσεις· ὁ γὰρ μέσος ὅρος οὐκ ἔστι κοινός. ἄλλος μὲν γάρ ἐστιν ὁ κατηγορούμενος ἐν τῇ ἐλάττονι, καὶ ἄλλος ὁ ὑποκείμενος τῇ μείζονι· τῆς μὲν γὰρ ἐλάττονος ζῷον τὸ οὐσιῶδες κατηγορεῖται, τῇ δὲ μείζονι ἡ φωνὴ αὐτὴ καὶ τὸ ὄνομα τὸ τοῦ

---

2 ἐπιγίνεται L: ἐπὶ γὰρ K: γίνεται Mt οὕτως ἄρα οὐ LKM: visus sibi legere οὔτε in M dedit οὔτε ἄρα (om. οὐ) t δυνάμεσι Mt 3 καὶ om. L 8 συλλογικῶς ante corr. M 9 ἀντὶ] ἂν τὸ L 13 ὑποτϊθέντος M 15 μὲν om. L τῶν συλλογισμῶ K 16 τουτέστιν—δεύτερον om. L οὐκέτι] οὐ L 17. 19 καὶ αἱ προτάσεις· ἀληθῶν—αὐτὸ συμπέρασμα om. K 21 ε̄ καὶ ε̄ utrobique LK: πέντε καὶ πέντε (sed altero loco καὶ πέντε om. M) Mt ι' utrobique scripsi: δέκα libri 22 δύναται] δυνατὸν καὶ L ζ' καὶ γ' καὶ ς' καὶ δ' LK: ἑπτὰ καὶ τρεῖς καὶ ἓξ καὶ τέσσαρες (sed δ' M) Mt δὲ LK: μὲν Mt 23 ὁ om. L 25 ταῖς στοιαῖς δὲ K 26 τοιαίδε KM: τοιαῖδε (L)M²t 27 ψευδεὶς K 28 ὁ priore loco om. Mt 28. 29 δισύλλαβον—δισύλλαβος L: δισύλλαβος—δισύλλαβος K: δυσύλλαβον—δυσύλλαβος Mt 30 ἐστιν (post γάρ) om. L 31 post ὑποκείμενος inserit ἐν t τῆς μὲν γὰρ ἐλάττονος LKM: ἐν μὲν γὰρ τῇ ἐλάττονι t: fort. τῇ μὲν γὰρ ἐλάττονι 32 τῇ δὲ μείζονι LKM: ἐν τῇ μείζονι δὲ t

www.libtool.com.cn

ζῳ ου. ὥστε οὐδὲ προτάσεις εἰσὶν αὗται συλλογισμοῦ (οὐδὲ γὰρ συνεπλά- i 2r
κησαν κοινῷ ὅρῳ), ἀλλὰ μόνον δύο εἰσὶν ἀποφάνσεις ἀπολελυμέναι. ἐπὶ
μέντοι τοῦ 'ὁ ἄνθρωπος λίθος, ὁ λίθος οὐσία', εἰ καὶ ψευδὴς ἡ ἐλάττων
πρότασις, ἀλλ' οὖν ἡ συμπλοκὴ συλλογιστική ἐστι· κοινὸς γὰρ ὁ μέσος
5 ὅρος, καὶ σχῆμά ἐστι τὸ ἐκ τῆς συμπλοκῆς αὐτῶν ἀποτελούμενον. ἐπὶ
μὲν οὖν τῶν συλλογισμῶν, ὡς εἶπον, τῷ πρώτῳ, λέγω δὴ ταῖς προτάσεσιν
αἵτινές εἰσιν ὕλη τοῦ συλλογισμοῦ ὑποτεθείσαις, τὸ δεύτερον ἀκολουθεῖ,
λέγω δὴ τὸ συμπέρασμα, τῷ δὲ δευτέρῳ οὐκέτι τὸ πρῶτον· ἐπὶ δὲ τῶν
φυσικῶν, καὶ καθόλου τῶν πρακτῶν πάντων εἴτε τεχνητῶν εἴτε προαιρε-
10 τῶν, ἔμπαλιν, τοῦ μὲν ὑστέρου, λέγω δὴ τοῦ εἴδους, ὑποτεθέντος, ἀνάγκη
πᾶσα τὴν ὕλην, ὅπερ ἐστὶ πρότερον, ἕπεσθαι, οὐ μέντοι εἰ ἡ ὕλη ὑπάρχει,
πάντως ἕψεται καὶ τὸ εἶδος, ὡς εἴπομεν ἤδη. ἡ μὲν οὖν διαφορὰ τῶν
φυσικῶν καὶ καθόλου τῶν πρακτῶν πρὸς τὰ μαθηματικά, αὕτη, ἡ δὲ
κοινωνία, ὅτι τε ἐξ ὑποθέσεως ἐν πᾶσι τὸ ἀναγκαῖον (ἑνὸς γὰρ ὑποτεθέντος
15 ἕπεται τὸ λοιπόν, ἐν μὲν τοῖς πρακτοῖς τοῦ εἴδους ὑποτεθέντος ἡ ὕλη
ἕπεται, ἐν δὲ τοῖς μαθηματικοῖς τῆς ὕλης ὑποτεθείσης ἕπεται τὸ εἶδος),
καὶ ὅτι τρόπον τινὰ καὶ ἐν τοῖς φυσικοῖς τῷ πρώτῳ τὸ δεύτερον ἕπεται,
ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς· τὸ γὰρ εἶδος, ὅπερ ἐστὶ τῆς πράξεως
τέλος, ἀρχή ἐστι τῆς θεωρίας. εἰ οὖν ἡ θεωρία ἄρχεται μὲν ἀπὸ τοῦ
20 εἴδους λήγει δὲ εἰς τὴν ὕλην, ἕπεται δὲ τῷ εἴδει ἡ ὕλη, καὶ ἐν τοῖς φυ-
σικοῖς ἄρα τρόπον τινὰ τῇ ἀρχῇ ἐξ ἀνάγκης τὸ τέλος ἕπεται, ὥσπερ καὶ
ἐν τοῖς μαθηματικοῖς. εἶτα καὶ τὴν αἰτίαν τούτου προστίθησι· διότι, φησίν,
ἐν τοῖς μαθηματικοῖς πρᾶξις οὐκ ἔστι, θεωρία δὲ μόνη. εἰ μὲν γὰρ ἦν
πρᾶξις ἐν τοῖς μαθήμασιν, ὁμοίως ἂν καὶ ἐν αὐτοῖς ἀνάπαλιν εἶχεν ἡ
25 πρᾶξις τῇ θεωρίᾳ, καὶ ἦν ἂν ἡ τῆς πράξεως ἀρχὴ τέλος τῆς θεωρίας,
νῦν δ' ἐπειδὴ θεωρία μόνη ἐστὶν ἐν τοῖς μαθήμασιν, καὶ ἔστιν ἐπ' αὐτοῖς
ἀρχὴ μὲν αἱ προτάσεις ταύταις δὲ ἐξ ἀνάγκης ἕπεται τὸ συμπέρασμα,
ὁμοίως δὲ καὶ ἐν τῇ τῶν φυσικῶν θεωρίᾳ πρῶτον μέν ἐστι τὸ εἶδος ἔσχα-
τον δ' ἡ ὕλη, καὶ ἕπεται ἐξ ἀνάγκης τῷ εἴδει ἡ ὕλη, ταύτῃ καὶ ἐν τοῖς
30 φυσικοῖς τῷ προτέρῳ τὸ ὕστερον ἐξ ἀνάγκης ἕπεται. ἀλλ' εἰ καὶ μὴ
πάντως τῇ ὕλῃ ἕπεται τὸ εἶδος, ἀλλ' οὖν ἀδύνατον ἄνευ τῆς ὕλης γενέ-
σθαι τὸ εἶδος· ὥσπερ καὶ ἐπὶ τῶν μαθημάτων, εἰ καὶ μὴ τῷ συμπερά-
σματι πάντως ἕπονται αἱ προτάσεις, ἀλλ' οὖν μὴ ὄντος τοῦ συμπεράσματος

2 μόνων ante corr. K ἀποφάνσεις K: ἀποφάσεις LMt ἀπολλυμέναι (sic) M
3 fort. οὐσία, ⟨ὁ ἄνθρωπος ἄρα οὐσία⟩ ψευδὲς ἡ ἐλλαττων K 5 καὶ οὐ σχῆμά L
6 οὖν om. M τῶ συλλογισμῶ K λέγει K 8 πρῶτον Mt: προ K: πρότερον L δὲ (post ἐπὶ) om. M 9 εἰ (sic) τεχνητῶν K 10 ὑποτιθέντος LM
11 πᾶσα om. superscr. K πρότερον] πρότασις L εἰηυλει (h. e. εἰ ἡ ὕλη) K: εἰ ὕλη LMt 14 τε K: τὲ LM: τὸ t 15 ὑποτεθέντος corr. M²: ὑποτεθείσης M
15. 16 ἡ ὕλη ἕπεται L: om. KMt 16 ἐν δὲ — ὑποτεθείσης LK: om. Mt τὸ εἶδος] ἡ ὕλη superscr. M² 19 τέλος LK: εἶδος Mt 20 λέγει K 20. 21 τοῖς φυτοῖς M 23 μαθήμασι fort. recte L 24. 26 ὁμοίως — μαθήμασιν om. K
26 ἔστιν] γὰρ L 29 δὲ ἡ ὕλη· καὶ ἔπαιτε K

www.libtool.com.cn

οὐκ ἂν εἴεν αἱ προτάσεις· ἀδύνατον γὰρ μὴ ἀληθοῦς ὄντος τοῦ συμπερά- i 2r
σματος ἀληθεῖς εἶναι τὰς προτάσεις.

Ταῦτα εἰπὼν ἐπάγει ὅτι ἀμφότεραι μὲν αἱ ἀρχαὶ αὗται τῷ φυσικῷ λεκτέαι· διαλέξεται γὰρ καὶ περὶ εἴδους καὶ περὶ ὕλης, ἀλλὰ τὸ μὲν εἶδος λήψεται ἐκ τοῦ ὁρισμοῦ, ἐκ δὲ τούτου περὶ τῆς ὕλης συλλογιεῖται, ὥσπερ καὶ ὁ τεχνίτης λήψεται μὲν τὸ εἶδος τῆς οἰκίας ἐκ τοῦ ὁρισμοῦ αὐτῆς, ὅτι ἐστὶ σκέπασμα κωλυτικὸν φθορᾶς ἀπὸ ὄμβρων καὶ καυμάτων, ἐκ τούτου δὲ συλλογιεῖται καὶ περὶ τῆς ὕλης, ὅτι πρὸς τοῦτο δεῖ οὐ τῆς τυχούσης ὕλης (οὐ γὰρ καλάμων τυχὸν ἢ παπύρων δεῖ), ἀλλὰ στερεᾶς ὕλης στεγούσης ὑετόν. οὕτως οὖν καὶ ὁ φυσικὸς λήψεται μὲν τὸ εἶδος ἐκ τοῦ ὁρισμοῦ, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν, ἐξ αὐτοῦ δὲ συλλογιεῖται ὅτι δεῖ τῷ λογικῷ ἐσομένῳ οὐχ ἁπλῶς τῆς τυχούσης ὕλης, ἀλλ' ἐπεὶ οἰκεῖον τῷ λόγῳ τυχὸν τὸ ἀνώφορον, δεῖ τὸ ὑποδεξόμενον αὐτὸ σῶμα μὴ κυπτάζειν, ἀλλ' ὄρθιον εἶναι· πρὸς τὸ γενέσθαι οὖν τοιόνδε σῶμα δεῖ | οὐ τὴν τυχοῦσαν ὕλην παραληφθῆναι, ἀλλ' ἐν ᾗ τὸ θερμὸν λεπτομερέ- i 2v
στερόν ἐστι καὶ ἀνώφορον μᾶλλον, ἵνα οὕτως τυχὸν ἀνέχῃ τῇ ἐπὶ τὸ ἄνω ῥοπῇ ὄρθιον τὸ σῶμα. καὶ ἐπεὶ τὸ εἶδος τοῦ χαλκοῦ χυτόν ἐστι καὶ εὔηχον, ἡ τούτου ὕλη οὐκ ἂν εἴη γεώδης, ἀλλ' ὑδατώδης μᾶλλον καὶ πνευματώδης· ἐν τούτοις γὰρ τὸ χυτόν, καὶ τὸ φωνητικὸν δὲ μάλιστα ἐν τῷ ἀέρι. καὶ οὕτως ἐπὶ πάντων. τάχα δὲ εἰ τὸν τέλειον ὁρισμὸν τοῦ πράγματος λάβοι, αὐτόθεν ἔχει καὶ τὴν ὕλην εἰλημμένην· εἴρηται γὰρ καὶ ἐν τοῖς Ἀποδεικτικοῖς ὅτι τριττοῦ ὄντος τοῦ ὁρισμοῦ, τοῦ μὲν ἀπὸ τῆς ὕλης τοῦ δὲ ἀπὸ τοῦ εἴδους τοῦ δὲ ἀπὸ τοῦ συναμφοτέρου (ὡς ἐπὶ τοῦ θυμοῦ ἔχει· ὁριζόμεθα γὰρ αὐτὸν ποτὲ μὲν ἀπὸ τῆς ὕλης, ὅτι ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος, ποτὲ δὲ ἀπὸ τοῦ εἴδους, ὅτι ἐστὶν ὄρεξις ἀντιλυπήσεως, ποτὲ δὲ ἀπὸ τοῦ συναμφοτέρου, ὅτι ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως), τριττοῦ οὖν ὄντος τοῦ ὁρισμοῦ ὁ τέλειος ὁρισμὸς καὶ τῷ φυσικῷ μάλιστα πρέπων ὁ ἀπὸ τοῦ συναμφοτέρου ἐστίν. ὁ οὖν εἰληφώς, φησί, τὸν τοιοῦτον ὁρισμὸν οὐ δεήσεται ἐξ αὐτοῦ τὰ περὶ τῆς ὕλης συλλογίζεσθαι, ἀλλ' αὐτόθεν ἔχει τὴν ὕλην εἰλημμένην ἐν τῷ

---

6 ἐκ om. M αὐτοῦ L 7 σκέπασμα κτλ.] cf. p. 335,5. 23. Arist. De An. A 1 p. 403b4 9 στερρᾶς Mt 10 ὕετον K 11 οἷον ὅτι L 12 τῆς om. K 13 ὑποδεξόμενον L: ὑποδεξόμενος K: ὑποδεχόμενον M: ὑποδεχόμενον t αὐτῷ M 14 et 17 ὄρθριον K οὖν LK: δὲ (ex δὲν? M) Mt 15. 16 λεπτομερέστερόν (litterae τερ in eras.) K 16 οὕτω t ἀνέχῃ (L)t: ἂν ἔχει K: ἂν ἔχῃ M τῷ ἄνω Mt 18 εἴη] ἡ L 19 χυτὸν (K)t: τυχὸν LM φωνητικὸν δὲ LK: φωνητικόν, ἢ Mt 20 τάχα LKM: τέχνη t 21 καὶ (post ἔχει) om. Mt 22 Ἀποδεικτικοῖς] Anal. Post. B 10 cf. De An. A 1 p. 403a29—b16 (supra p. 228,16 sqq.) 24 αὐ L ποτὲ μὲν Lt: πρότερον μὲν KM 25 περικαρδίου K: περικαρ L: περὶ τὴν καρδίαν Mt at cf. p. 228,18 sqq. 338,9 ὄρεξις] ὅρος L 25. 26 ἀντιλυπήσεως M 26 ἐστὶ om. Mt περικαρ L: περὶ καρδίαν KMt 27 οὖν om. L 29 εἰληφός M 30. p. 330,1 συλλογίζεσθαι—θνητὸν τῆς ὕλης om. K 30 συλλογίζεσθαι L: συλλογίσεσθαι M: συλλογίσασθαι t τῷ om. L

www.libtool.com.cn

ὁρισμῷ. καὶ ἐπὶ τοῦ ⟨τοῦ⟩ ἀνθρώπου δὲ τὸ "θνητόν" τῆς ὕλης ἐστὶ δηλωτι- i 2r
κόν. τὸν δὲ ὁρισμὸν δηλονότι τῶν φυσικῶν πραγμάτων οὐκ ἄλλος τις ἀποδώσει
ἢ αὐτὸς ὁ φυσικός, ὀργάνῳ τῇ διαιρετικῇ τε καὶ ὁριστικῇ μεθόδῳ κεχρη-
μένος. διαίρεσιν δὲ τῶν φυσικῶν ποιήσεται λαμβάνων τῷ λόγῳ τὰ ἐκ
5 τῆς ἐναργείας ὑπάρχοντα τοῖς φυσικοῖς πράγματα, ὅτι τὰ μὲν αὐτῶν ζωῆς 15
μετέχει τὰ δὲ οὔ, καὶ τῶν ζωῆς μετεχόντων τὰ μὲν αἰσθήσεως μετέχει
τὰ δὲ οὔ, καὶ οὕτως περὶ πάντων τῶν ὑπαρχόντων αὐτοῖς· εἶτα συμπλέξας
τὰ ἑκάστῳ τῶν γενῶν ἢ εἰδῶν κοινῇ τε καὶ ἰδίᾳ ὑπάρχοντα ἀποδώσει τὸν
ἑκάστου ὁρισμόν.

10 p. 199b35 Νῦν μὲν γὰρ οἴονται τὸ ἐξ ἀνάγκης εἶναι ἐν τῇ γε-
νέσει.

Οἱ φυσικοί, φησί, πάντες τὸ ἁπλῶς ἀναγκαῖον ἐν τῇ γενέσει εἰσά- 21
γουσι, διὰ γὰρ τὰς τῆς ὕλης δυνάμεις γίνεσθαι τὰ γινόμενα λέγοντες. ἔστι
δ' ἁπλῶς μὲν ἀναγκαῖον ὃ χωρὶς ὑποθέσεως ἀνάγκη εἶναι, ὥσπερ φαμὲν
15 ἀνάγκη τὸν ἥλιον ἐν Κριῷ γενέσθαι, ἐξ ὑποθέσεως δὲ ὅταν τὸ μὴ ὂν ὡς
ὂν ὑποθεμένων τῷ ὑποτεθέντι ἐξ ἀνάγκης ἕτερόν τι ἕπηται· ὥσπερ εἰ ἐν
φωτὶ βαδίζοι τις, ἕπεται αὐτῷ πάντως τὸ καὶ σκιὰν ποιεῖν, οὐ μὴν ἁπλῶς
ἕπεται τῷ σώματι τὸ σκιὰν ποιεῖν. ἡ δὲ γῆ ἄνω διὰ κουφότητα. 25
γῆν ἂν λέγοι ἴσως τὴν ἐπικειμένην τοῖς θεμελίοις· ἔστι δὲ παραδείγματος
20 ἕνεκεν τὸ λεγόμενον, διὸ οὐκ ἀκριβολογητέον.

p. 200a5 Ἀλλ' ὅμως οὐκ ἄνευ μὲν τούτων γέγονεν, οὐ μέντοι διὰ
ταῦτα πλὴν ὡς δι' ὕλην.

Οὐκ ἄνευ μὲν τῆς ὕλης, φησί, γένοιτο ἂν τὸ εἶδος, οὐ μὴν διὰ τὴν 30
ὕλην γίνεται· οὐ γὰρ διὰ τὸ εἶναι λίθους καὶ ξύλα οἰκία γίνεται, ἀλλ'
25 ἐπειδὴ δεῖ γενέσθαι οἰκίαν, δεῖ ὑπάρχειν ξύλα καὶ λίθους. ἄνευ γὰρ τού-
των οὐκ ἂν εἴη, οὐ μὴν ταῦτα αἴτια αὐτῆς, εἰ μὴ ὡς ὕλη· ἔστι γὰρ καὶ
ἡ ὕλη τῶν καθ' αὑτὸ αἰτίων, ἀλλ' οὐ διὰ ταύτην τὸ εἶδος, ἐπεὶ ἔδει καὶ
δίχα τοῦ οἰκοδόμου οἰκοδομηθῆναι τὴν οἰκίαν, εἴ γε αἱ δυνάμεις τῆς ὕλης
αἴτιαι ἦσαν αὐτῆς. τοὐναντίον δὲ διὰ τὸ εἶδος ἡ ὕλη παραλαμβάνεται·

---

1 alterum τοῦ addidi cf. p. 338,11 2 ἀποδό (ο′) et 8 ἀποδόσει M 5 ἐνεργείας L πράγ (ματ) LK: πράγμα (τ) M: πράγμασιν corrigit t 6. 7 καὶ τῶν ζωῆς—οὔ om. K 7 οὕτω t 10. 11 τὸ ἐξ—γενέσει om. K 13 διὰ γὰρ LKM: διά γε t 15 τὸν ἥλιον ἀνάγκη Mt δὲ ὅταν] ὅταν δὴ L 16 ὑποτιθεμένων L: ὑποθεμένω M ἕπηται M: ἐπήται K: ἕπεται (L)t 17. 18 οὐ μὴν—ποιεῖν om. Mt 18 διὰ τὴν κουφότητα t 19 ἂν λέγει M 20 ἕνεκα (K)t οὐκ LK: οὐδ' Mt ἀκριβολογεῖται fort. recte L 21 lemma om. LM 22 ὡς δεῦλην K 23 γένοιτο] ἐγένετο ante ras. K 24 ξύλον L 26 ὡς ἡ ὕλη Mt 27 τῶν] τῶν τὸ M αἰτίων οἰκιῶν superscr. M² οὐ δι' αὐτὴν L 29 αἴτιαι K: αἰτίαι LMt

www.libtool.com.cn

διὰ γὰρ τὸ κρύπτειν ἄττα καὶ σῴζειν (ὅπερ ἐστὶν ὁ τῆς οἰκίας λόγος i 2v
καὶ τὸ εἶδος), ταῦτα δ' ἐστὶ τά τε σώματα ἡμῶν καὶ τὰ χρήματα, δι' ἃ
δεόμεθα τῆς οἰκίας. ἐπεὶ οὖν διὰ τοῦτο χρεία τῆς οἰκίας, διὰ τοῦτο οὐ 36
τὴν τυχοῦσαν ὕλην παραληπτέον, ἀλλὰ τήνδε καὶ τήνδε· τοῦ εἴδους ἄρα
5 ἕνεκα ἡ ὕλη. ἐπεὶ δὲ ἡ ὕλη τὸν τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχει, μὴ
οὔσης τῆς ὕλης εἰκότως οὐδὲ τὸ εἶδος ἔσται.

p. 200a7 Ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσιν, ἐν οἷς τὸ ἕνεκά τού ἐστιν.

Ἐν τοῖς ἄλλοις πᾶσι, τοῖς τεχνητοῖς καὶ τοῖς φυσικοῖς. προσέθηκε 41
10 δὲ ἐν οἷς τὸ ἕνεκά του διὰ τὰ τέρατα τὰ ἐν τοῖς φυσικοῖς, ὅσα πάντῃ
τοῦ κατὰ φύσιν ἐκβέβηκεν, καὶ διὰ τὰ ἄλλα ἃ μὴ ὑπὸ φύσεως μὲν γίνε-
ται, ἀλλ' ὑπὸ διανοίας, μάτην δὲ καὶ εἰς οὐδὲν τέλος. γέγονε γάρ, φησίν,
ὁ πρίων οὐ διότι σίδηρος ἦν, ἀλλ' ὅτι ἔδει πρίειν λίθους καὶ ξύλα, τοῦτο
δὲ γενέσθαι οὐχ οἷόν τε ἦν, εἰ μὴ ὕλη τῷ εἴδει τοῦ πρίονος ὑπέκειτο ὁ 45
15 σίδηρος. διὰ τοῦτο γοῦν μεταλλεύομεν σίδηρον, ἐπειδὴ βουλευόμεθα πρίονα
ποιῆσαι καὶ σκαπάνην καὶ ἄροτρον· οὐχ ὅτι ἔστι σίδηρος, διὰ τοῦτο ταῦτα
ποιοῦμεν, ἀλλ' ὅτι δεῖ τούτων, ταῦτα δὲ ἄνευ σιδήρου οὐκ ἂν εἴη, μεταλ-
λευτέον σίδηρον. διὰ τὸ εἶδος ἄρα ἡ ὕλη, οὐ διὰ τὴν ὕλην τὸ εἶδος. ἐξ
ὑποθέσεως ἄρα τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς· τὰ αὐτὰ γὰρ καὶ ἐπὶ τῶν
20 φυσικῶν ἐροῦμεν ἅπερ καὶ ἐπὶ τῶν τεχνητῶν. οὐ διότι γὰρ σπέρμα καὶ
καταμήνιον, διὰ τοῦτο ἄνθρωπος, ἐπεὶ ἔδει ἀεὶ ἐκ τούτων τὸν ἄνθρωπον
γίνεσθαι, ἀλλ' ἐπεὶ δεῖ ἄνθρωπον γενέσθαι, ἄνευ δὲ τούτων οὐκ ἂν γένοιτο, 50
διὰ τοῦτο καὶ κατασκευάζει ταῦτα ἡ φύσις. διὰ τί ὁ πρίων τοιοσδί;
ὅπως τοδὶ καὶ ἕνεκα τουδί. τουτέστι διὰ τί σιδήρεος καὶ ὀδοντωτός;
25 φαμὲν ὅπως πρίζῃ. πρίζει δὲ τίνος ἕνεκα; ἵνα γένηται θύρα. ἕνεκα ἄρα
τῆς θύρας ὁ πρίων, οὐ διὰ τὸν πρίονα ἡ θύρα. |

p. 200a13 Ἐξ ὑποθέσεως δὴ τὸ ἀναγκαῖον, ἀλλ' οὐχ ὡς τέλος· i 3r
ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον, τὸ δὲ οὗ ἕνεκα ἐν τῷ λόγῳ.

Εἰ μὲν γὰρ πάντως τῇ ὕλῃ ἠκολούθει τὸ εἶδος, ἁπλῶς ἦν ἐν τοῖς

. ἄττα libri 5 ἄνευ] ἂν εὖ K 6 post οὔσης addit γὰρ L εἰκότως (post quod listinguit K) om. Mt 7 ἅπασιν (L)t 7. 8 ἐν οἷς—ἐστιν om. K 7 οἷς LM: σοις ex Arist. t 10 πάντῃ] παν L 11 ἄλλα LK: ἄλλα πάντα Mt 11. 12 γίονται L 12 ἀλλ' ἀπὸ Mt 13 πριεῖν, ut saepe, K ξύλα καὶ λίθους Mt 4 ὁ om. Mt 15 βουλόμεθα L 16 σκαπάνιον compend. M: σκέπαρνον t διὰ τοῦτο m. Mt 20 γὰρ om. Mt καὶ (post σπέρμα) om. L 21 ἀεὶ (quod αἰεὶ scribunt LMt, ἀεῖ K) post τούτων colloc. Mt 22 ἐπεὶ δεῖ t: ἐπειδὴ KM: ἐπειδὴ δεῖ L? 23 Οἷον ιατὶ κτλ. ex Arist. t τοιωσδὶ M: τοιοῦτος Arist. codex E 25 τίνος ἕνεκεν L 7 δὴ] δὲ K 27. 28 ἀλλ' οὐχ—λόγῳ om. K 28 τὸ δ' οὗ t 29 ἠκολού M: ἠκοούθησε t ἦν] τὴν K

www.libtool.com.cn

φυσικοῖς τὸ ἀναγκαῖον (ὥσπερ ἐπειδὴ τῇ τῶν οὐρανίων οὐσίᾳ ἕπεται πάντως i 3r
τὸ κύκλῳ κινεῖσθαι, ἁπλῶς ἐν ἐκείνοις τὸ ἀναγκαῖον καὶ οὐκ ἐξ ὑποθέσεως), 5
ἐπειδὴ δὲ ἐν τοῖς ἐν γενέσει οὔτε σιδήρου ὄντος πάντως ἔσται πρίων οὔτε
σπέρματος καὶ καταμηνίου ἄνθρωπος, δῆλον ὅτι ἐξ ὑποθέσεως ἕξουσι τὰ
5 φυσικὰ τὸ ἀναγκαῖον καὶ οὐχ ἁπλῶς. τὸ δὲ ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγ-
καῖον, τὸ δ' οὗ ἕνεκα ἐν τῷ λόγῳ τοῦτό φησιν, ὅτι οὐκ ἔχει τὸ εἶναι
ἐξ ἀνάγκης τὸ εἶδος τῆς ὕλης οὔσης, ἀλλ' ἔμπαλιν ἐνυποθεμένων ἡμῶν
τὸ εἶδος ἀνάγκη πᾶσα τὴν ὕλην ἕπεσθαι. ὥστε τὸ μὲν ἐξ ἀνάγκης ἕπε-
σθαι ἡ ὕλη ἔχει τοῦ εἴδους ὑποτεθέντος, τὸ δ' εἶδος οὗ ἕνεκά ἐστι καὶ διὰ
10 τοῦτο οὐκ ἐξ ἀνάγκης ἕπεται τῇ ὕλῃ· τῷ γὰρ οὗ ἕνεκα τὸ ἕνεκά του ἕπε- 10
ται καὶ οὐκ ἔμπαλιν.

p. 200a15 Ἔστι δὲ τὸ ἀναγκαῖον ἐν τοῖς μαθήμασι καὶ ἐν τοῖς κατὰ φύσιν γινομένοις τρόπον τινὰ παραπλησίως.

Ὅτι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖόν ἐστι καὶ ἐν τοῖς μαθήμασιν ὥσπερ
15 καὶ ἐν τοῖς φυσικοῖς, ἀλλ' οὐ καθ' ἅπαν, ἀλλὰ κατά τι μὲν ἐοίκασιν κατά
τι δὲ διαφέρουσιν. εἰπὼν δ' ὅτι ἔστι τὸ ἀναγκαῖον καὶ ἐν τοῖς μα-
θήμασι καὶ ἐν τοῖς φυσικοῖς τρόπον τινὰ παραπλησίως, πρὶν 15
εἴπῃ τὴν κοινωνίαν κατὰ τί παραπλησίως ἔστιν ἐν αὐτοῖς τὸ ἀναγκαῖον,
πρότερον τὴν διαφορὰν αὐτῶν ἐκτίθεται. διαφέρουσι γὰρ καθὸ ἐπὶ μὲν
20 τῶν μαθημάτων ὑποτεθείσης τῆς ἀρχῆς ἕπεται τὰ δεύτερα, ἐπὶ δὲ τῶν
φυσικῶν ὑποτεθέντος τοῦ τέλους τὰ πρότερα ἕπεται· ἀρχὴ γὰρ ἐπὶ μὲν
τῶν συλλογισμῶν αἱ προτάσεις ἐπὶ δὲ τῶν γινομένων ἡ ὕλη, τέλος δὲ ἐκεῖ
μὲν τὸ συμπέρασμα ἐνταῦθα δὲ τὸ εἶδος. οὔτε δ' ἐν τοῖς φυσικοῖς πάντως
τῇ ὕλῃ ἕπεται τὸ εἶδος, οὔτε ἐν τοῖς συλλογισμοῖς τῷ συμπεράσματι αἱ 20
25 προτάσεις· ὡς γὰρ εἶπον, ἀληθὲς συμπέρασμα οὐ μόνον δι' ἄλλων καὶ
δι' ἄλλων προτάσεων συναχθήσεται, ἀλλὰ καὶ ἐκ ψευδῶν τὸ αὐτὸ συναχθείη
ἄν. ἡ μὲν οὖν διαφορὰ αὕτη. μαθήματα δ' εἶπε τὰς μαθηματικὰς δείξεις,
ταὐτὸν δ' εἰπεῖν τοὺς συλλογισμούς. πρῶτον δὲ τὴν διαφορὰν αὐτῶν ἐκ-
τίθεται, ἔπειτα τὴν κοινωνίαν.

---

1 φυσικοῖς superscr. M²: φυτοῖς M οὐνίων (οὐρανίων) LK: ἀνῶν superscr. M²: οὐρανῶν t 2 τῷ κύκλῳ ante corr. M 3 ὄντος] ἄνευ L ἔται K 5 τὸ δὲ om. Mt γὰρ τῇ ὕλῃ] τῇ ὕλῃ ἄρα L 6 δὲ οὗ K φησι M 7 ἐνυποθεμένων KM: ἐνυποτιθεμένων L: ὑποθεμένων t 10 τῷ — τὸ KM²t: τὸ — τῷ (ῷ ex ὸ) LM 12 δὲ] δὴ L 12. 13 ἐν τοῖς — παραπλησίως om. K 12 ἔν τε τοῖς μαθήμασι ex Arist. t 13 τρόποις L 15 καθάπαν LKM: κατὰ πᾶν t 16 ἐστὶν (om. τὸ) Mt 16. 17 μαθήμασιν Mt 18 κοινωνίαν καὶ κατὰ K 19 πρότερον L: πρῶτον KMt ἐπὶ] ἐπὸ ex ὑπὸ M 23 μὲν om. Mt 24 οὔτε ἐν LK: οὔτε M: οὔτ' ἐν t 26 συνεχθήσεται t συναχθείη] συναχθήσεται L 27 ἂν om. LM 28 ταυτὸν δ' εἰπεῖν LK: ταυτὸν δεῖ M: αὐτοὺς δεῖπου (sic) t τοὺς] τοῦσ K: om. M πρότερον δὲ L

www.libtool.com.cn

p. 200a16 Ἐπεὶ γὰρ τὸ εὐθὺ τοδί ἐστιν, ἀνάγκη τὸ τρίγωνον δύο 13r
ὀρθαῖς ἴσας ἔχειν.

Παραδείγματος ἕνεκεν τοῦτο εἶπεν. λαμβάνει οὖν τὸ εὐθὺ ἀντὶ τῶν 25
προτάσεων, τὸ δὲ δύο ὀρθαῖς ἴσας ἔχειν τὸ συμπέρασμα· διὰ γὰρ τοῦ
5 ὁρισμοῦ τῶν ὀρθῶν δείκνυται τὸ τὰς τρεῖς τοῦ τριγώνου γωνίας δύο ὀρθαῖς
ἴσας εἶναι. φαμὲν γὰρ 'ἐπειδὴ αἱ τρεῖς δύο ταῖς ἐφεξῆς ἴσαι εἰσί, δύο δὲ
αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι εἰσί, διὰ τοῦτο αἱ τρεῖς δύο ὀρθαῖς ἴσαι εἰσί'.
διὰ τί δὲ δύο αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι εἰσί; διὰ τοῦτο δύο ὀρθαῖς ἴσαι
εἰσίν, διότι δύο αἱ ἐφεξῆς δύο ταῖς ἐφεξῆς καὶ ἴσαις ἴσαι εἰσί, δύο δὲ αἱ
10 ἐφεξῆς ἴσαι δύο ὀρθαί εἰσι. διὰ τί δὲ δύο αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαί εἰσί;
διότι οὗτός ἐστιν ὁ ὁρισμὸς ὀρθῆς, ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα
τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ἐστιν. 30
ὥστε ἀναλύσαντι ὡς ἀπὸ προτάσεων τοῦ ὁρισμοῦ τῆς ὀρθῆς ἔσται κατα-
λῆξαι εἰς συμπέρασμα τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι· ἐπεὶ
15 γὰρ ὁ ὁρισμὸς τῆς ὀρθῆς ἐστιν ὁ εἰρημένος, δύο δὲ αἱ ἐφεξῆς δύο ταῖς
ἐφεξῆς καὶ ἴσαις ἴσαι εἰσί, δύο ἄρα αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι εἰσι· δύο
δὲ αἱ ἐφεξῆς τρισὶ ταῖς τοῦ τριγώνου ἴσαι εἰσίν· αἱ τρεῖς ἄρα τοῦ τριγώ-
νου δύο ὀρθαῖς ἴσαι εἰσίν.

p. 200a18 Ἀλλ' οὐκ εἰ τοῦτο, ἐκεῖνο.

20 Οὐδὲ γὰρ εἰ τὸ συμπέρασμα, ἀνάγκη τὰς προτάσεις εἶναι· εἴπομεν 35
γὰρ ὅτι διὰ πλειόνων τὸ αὐτὸ δυνατὸν δειχθῆναι, καὶ ἐπ' εὐθείας καὶ δι'
ἀδυνάτου, καὶ ἀληθέσι καὶ ψευδέσι προτάσεσιν. ἀλλ' εἴ γε τοῦτο μὴ
ἔστιν, οὐδὲ τὸ εὐθύ ἐστιν. εἰ μὲν οὖν ἔστι τὸ συμπέρασμα, φησίν, οὐ

---

1 γὰρ καὶ τὸ L 1. 2 τοδὶ — ἔχειν om. K 2 ἔχειν εἶναι M 5 τῶν οὐρθῶν et in proximis δύο ὀρθᾶς K 6 εἶναι] ἔχειν L εἰσί om. t 7 αἱ φεξῆς (sic) K ὀρθαῖς ἴσαι εἰσί LK: ὀρθαῖς εἰσὶ M: ὀρθαῖς ἴσαι t 8 αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι L: ὀρθαῖς ἴσαι (om. αἱ ἐφεξῆς) K: αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαῖς Mt 8. 9 διὰ τοῦτο δύο ὀρθαῖς ἴσαι εἰσίν K: om. L: haec et quae sequuntur (9. 10) διότι δύο — διὰ τί δὲ δύο αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαί (ὀρθαῖς L) εἰσι; om Mt 11 οὗτός LK: τοῦτό Mt ἐστι M ὁ ὁρισμένος L 12 τὰς] τὰ L ποιεῖ KM ἑκατέρα M: ἑκάτερον t 13 ἀναλύσαντι LK: ἀναλύσαν M: ἀναλύσαντα t ὡς om. t ἔσται] εἰσι L 13. 14 κατάληξαι M 14 ἐπεὶ om. superscr. K 15 ὁ (post γὰρ) om. L 15. 16 δύο ταῖς (L: τὰς K) ἐφεξῆς — δύο ἄρα αἱ ἐφεξῆς om. Mt 16. 18 δύο δὲ αἱ ἐφεξῆς τρισὶ — τοῦ τριγώνου δύο ὀρθαῖς ἴσαι εἰσίν (sed v. 17 pro εἰσίν scripsit εἶναι K) LK: om. hic M: δύο δὲ ταῖς ἐφεξῆς αἱ τρεῖς τοῦ τριγώνου ἴσαί εἰσιν· αἱ τρεῖς ἄρα τοῦ τριγώνου δύο ὀρθαῖς ἴσαί εἰσιν supplevit t 19 οὐκ εἰ t: οὐχὶ LM: οὐχεὶ K post ἐκεῖνο irrepsit pars eorum quae suo loco (v. 16 sqq.) omiserat τοῦ τριγώνου ἴσαι εἰσίν, αἱ τρεῖς ἄρα — ἴσαι εἰσίν M 20 γὰρ om. t 21 ὅτι L: εἰ KM: om. t 21. 22 δι' ἀδυνάτου L: διὰ δυνάτου K: διὰ ἀδυνάτου Mt 22. 23 εἴ γε τοῦτο μὴ ἔστιν LK: εἰ μὴ (εἴγε M: εἴμὴ M²) τοῦτό ἐστι Mt 23 οὐδὲ τὸ εὐθὺ ἐστιν om. K

www.libtool.com.cn

πάντως καὶ αἱ προτάσεις, ὡς ἐν τῷ πρὸ τούτου ῥητῷ εἴρηται, ἀναιρεθέν- i 3r
τος μέντοι τοῦ συμπεράσματος, ἐξ ἀνάγκης ἀναιροῦνται καὶ αἱ προτάσεις· εἰ μὴ γὰρ ἀληθὲς εἴη τὸ συμπέρασμα, οὐδὲ αἱ προτάσεις ἀληθεῖς. ἀδύνατον γὰρ ἐξ ἀληθῶν προτάσεων ψεῦδός τι συναχθῆναι, ὡς δέδεικται ἔμ- 40
5 προσθεν· ἐκ ψευδῶν μὲν γὰρ ἀληθὲς ἂν συναχθείη, εἰ καὶ μὴ δι' αὐτάς, ἀλλ' οὖν διὰ τὴν τοῦ πράγματος φύσιν, ἐξ ἀληθῶν μέντοι ψεῦδος ἀδύνατον συναχθῆναι.

p. 200a19 Ἐν δὲ τοῖς γινομένοις ἕνεκά του ἀνάπαλιν.

Εἰπὼν ὅπως ἔχει ἐν τοῖς μαθήμασι, λέγει ὅπως ἔχει καὶ ἐν τοῖς
10 φυσικοῖς, ὅτι ἀνάπαλιν ἡ ἀκολούθησις, ὡς εἶπον, τὴν διαφορὰν πρῶτον ἐκ- 45
τιθέμενος. γινομένοις δ' ἕνεκά του εἶπεν ἐν τοῖς φυσικοῖς, καὶ καθόλου τοῖς πρακτοῖς πᾶσιν· τὰ γὰρ μαθήματα οὔτε γίνεται οὔτε ἕνεκά τού εἰσι. πῶς δὲ ἀνάπαλιν ἡ ἀκολούθησις, εἴπομεν. εἰ τὸ τέλος ἔσται ἢ ἔστι, τὸ ἔμπροσθεν ἔσται ἢ ἔστιν. τέλος φησὶ τὸ εἶδος, ἐπειδὴ
15 καὶ οὗ ἕνεκα, ἔμπροσθεν δὲ τὴν ὕλην, ἕνεκα γάρ του, ἀεὶ δὲ τὰ πρῶτα τῶν ὑστέρων ἕνεκα. εἰ δὲ μή, ὥσπερ ἐκεῖ μὴ ὄντος τοῦ συμπε- 50
ράσματος ἡ ἀρχὴ οὐκ ἔσται, καὶ ἐνταῦθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα. εἰπὼν ὅτι εἰ τὸ εἶδος ἔστιν, ἐξ ἀνάγκης καὶ ἡ ὕλη, θέλει εἰπεῖν περὶ τῆς ἀντιστροφῆς πῶς ἔχει, ὅτι εἰ μὴ ἡ ὕλη εἴη, οὐδὲ τὸ εἶδος ἔσται.
20 καὶ ἦν τὸ ἀκόλουθον εἰπεῖν 'εἰ δὲ μὴ ἡ ὕλη, οὐδὲ τὸ τέλος καὶ τὸ οὗ ἕνεκα', ὁ δὲ παραδείγματι τῷ κατὰ μαθήματα χρήσασθαι βουλόμενός φησιν ὅτι 'εἰ δὲ μὴ εἴη ἡ ὕλη, ὥσπερ ἐκεῖ | ἐπὶ τῶν μαθημάτων μὴ ὄντος τοῦ i 3v
συμπεράσματος οὐδὲ αἱ προτάσεις ἦσαν, οὕτως καὶ ἐνταῦθα μὴ οὔσης τῆς ὕλης οὐκ ἔσται τὸ εἶδος'.

25 p. 200a22 Ἀρχὴ γὰρ καὶ αὕτη, οὐ τῆς πράξεως ἀλλὰ τοῦ λογισμοῦ· ἐκεῖ δὲ τοῦ λογισμοῦ· πρᾶξις γὰρ οὐκ ἔστιν.

Εἰπὼν τὴν διαφορὰν αὐτῶν τὴν πρὸς ἄλληλα, λέγει καὶ τὴν κοινω- 8

1. 2 ὡς — καὶ αἱ προτάσεις om. K 3 προτάσεις ἀληθαῖς K 4 ψεύδοτι K
4. 5 post ἔμπροσθεν addunt ἐκ ψευδῶν μέν τοι (τοι add. M²) προτάσεων ψεῦδός τι συναχθῆναι ὡς δέδεικται ἔμπροσθεν ἐνδέχεται (hoc vocabulum add. M²) Mt 5 εἰ καὶ μὴ LK: εἰ μὴ καὶ Mt 6 τὴν om. M φύσιν] φησὶν M 6. 7 ἐδύνατον (sic) K
8 Ἐν] ·ὐ (littera rubr. addenda) K ἕνεκά του ἀνάπαλιν om. K 9 καὶ om. L
11 ante γινομένοις inserit ἐν t γενομένοις M 11. 12 καὶ καθόλου δὲ τοῖς πρακτικοῖς πᾶσι L 13. 16 εἰ τὸ — ὑστέρων ἕνεκα om. K 13. 14 τέλος ἔσται ἢ ἔστι (αι del.) M
14 καὶ τὸ ἔμπροσθεν t ἔστιν] ἔστι M 15 του] τούτου L 16. 18 μὴ ὄντος — οὗ ἕνεκα om. K 17 οὐκ ἔσται om. M 21 ὁ] ἡ K μαθη M: μαθήματι L 22 ὅτι om. L 23 καὶ om. Mt εἰ μὴ οὔσης Mt 25 καὶ om. KM at cf. p. 336,16 πράξεως L et qui quae sequuntur usque ad οὐκ ἔστιν omittit K: πράξεως δὲ Mt cf. Arist. libri
26 πρᾶξις γὰρ οὐκ ἔστιν LM: πράξεις γὰρ οὐκ εἰσίν t Aristoteles 27 αὐτὴν M

www.libtool.com.cn

νίαν, ὅτι κοινόν ἐστιν αὐτοῖς τὸ τῆς ἀρχῆς ὑποτεθείσης ἕπεσθαι τὸ λοιπόν. i 3v
εἴρηται δ' αὐτῷ ἐν τοῖς Ἠθικοῖς, ὅτι ἡ πρᾶξις τῇ θεωρίᾳ ἐναντίως ἔχει· ἡ μὲν γὰρ θεωρία τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς πράξεως, ἡ δὲ πρᾶξις τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς θεωρίας. τέλος μὲν γὰρ τῆς οἰκοδομικῆς πράξεως τὸ ποιῆσαι σκέπασμα κωλυτικὸν φθορᾶς ἀπὸ ὄμβρων καὶ καυμάτων, τοῦτο δὲ τῆς θεωρίας ἐστὶν ἀρχή, τελευτᾷ δὲ ἡ θεωρία εἰς τὴν ὄρυξιν τῆς γῆς, ὅπερ ἐστὶ τῆς πράξεως ἀρχή. εἴρηται δὲ πολλάκις περὶ τούτων. οὐ μόνον δὲ ἐπὶ τῶν τεχνητῶν, ἀλλὰ καὶ ἐπὶ τῶν φυσικῶν οὕτως ἔχει· ὁ μὲν γὰρ φυσικὸς θεωρῶν τὰ φυσικὰ ἄρχεται ἀπὸ τῶν εἰδῶν, εἶτα ἐκ τούτων εἰς τὰς ἑκάστου χωρεῖ ὕλας, ἡ δὲ φύσις ἄρχεται μὲν τοῦ ἔργου ἀπὸ τῆς ὕλης, τελευτᾷ δὲ εἰς τὸ εἶδος. φησὶν οὖν ἐνταῦθα ὅτι εἰ καὶ διάφορος ἐν τῇ φυσικῇ θεωρίᾳ ἡ ἀκολούθησις καὶ ἐν τοῖς μαθήμασιν (ἐν μὲν γὰρ τοῖς φυσικοῖς τοῦ τέλους ὑποτεθέντος ἀκολουθεῖ τὸ πρῶτον καὶ ἡ ἀρχή, ἐν δὲ τοῖς μαθήμασι τῆς ἀρχῆς ὑποτεθείσης ἀκολουθεῖ τὸ τέλος· ἔστι γὰρ ἀρχὴ ἐν μὲν τοῖς φυσικοῖς ἡ ὕλη τέλος δὲ τὸ εἶδος, ἐν δὲ τοῖς μαθήμασιν ἀρχὴ μὲν αἱ προτάσεις τέλος δὲ τὸ συμπέρασμα· ἀλλ' ἐκεῖ μὲν τοῦ τέλους ὑποτεθέντος, λέγω δὴ τοῦ εἴδους, ἕπεται ἡ ὕλη καὶ ἐν ταύτῃ ἡ κατὰ τὸ ἀναγκαῖον ἀκολούθησις, ἐν δὲ τοῖς μαθήμασι τῆς ἀρχῆς ὑποτεθείσης, λέγω δὴ τῶν προτάσεων, ἀκολουθεῖ τὸ τέλος ὅπερ ἐστὶ συμπέρασμα), ἀλλ' οὖν κατά τι καὶ ἐν τοῖς φυσικοῖς τῆς ἀρχῆς ὑποτεθείσης ἕπεται τὸ τέλος· τὸ γὰρ εἶδος ὅπερ ἐστὶ τῆς πράξεως τέλος, τοῦτο ἀρχή ἐστι τῆς θεωρίας. λαβὼν γὰρ ὁ οἰκοδόμος τὸ δεῖν γενέσθαι οἰκίαν, τοῦτο δ' ἐστὶ σκέπασμα κωλυτικὸν ἀπὸ ὄμβρων καὶ καυμάτων, ὁδῷ βαδίζων, ὡς πολλάκις εἴρηται, καταλήγει εἰς τὴν ὕλην τῆς οἰκίας. ὥστε εἰ τῷ μὲν εἴδει ἕπεται ἡ ὕλη, τὸ δ' εἶδος ἀρχή ἐστι τῆς θεωρίας τέλος δ' ἡ ὕλη, καὶ ἐν τοῖς φυσικοῖς ἄρα τῇ ἀρχῇ τὸ τέλος ἕπεται, ὥσπερ καὶ ἐν τοῖς μαθήμασι. ταύτῃ οὖν κοινωνοῖεν ἂν ἀλλήλοις. ταύτῃ οὖν οὐδὲ διάφορον ἀρχὴν λαμβάνει ὁ φυσικὸς καὶ ὁ μαθηματικός· οὔσης γὰρ ἐπὶ τῶν φυσικῶν καὶ πράξεως καὶ θεωρίας, οὐχὶ τῇ τῆς πράξεως ἀρχῇ ὑποτεθείσῃ (αὕτη δ' ἐστὶν ἡ ὕλη) ἕπεται τὸ ἑξῆς, λέγω δὴ τὸ εἶδος, ἀλλὰ τῇ τῆς θεωρίας ἀρχῇ ὑποτεθείσῃ (αὕτη δ' ἐστὶ τὸ εἶδος) ἕπεται ἡ ὕλη· ἐπὶ δὲ τῶν μαθημάτων πράξεως μὴ οὔσης, ἀλλὰ μόνης θεωρίας, ἡ ὑπόθεσις κατὰ τὴν

---

2 αὐτὸ M Ἠθικοῖς Eudem. B 11 p. 1227b32 ubi τῆς μὲν οὖν νοήσεως ἀρχὴ τὸ τέλος, τῆς δὲ πράξεως ἡ τῆς νοήσεως τελευτή. 4 μὲν om. L 6 θεωρίας superscr. M²: ἀπορίας M 7 ὅτιπέρ L 11 ὕλης superscr. M²: τέχνης M 13 ὑποτιθέντος L 14. 15 ἐν δὲ τοῖς μαθήμασι τῆς — φυσικοῖς ἡ ὕλη om. Mt 15 μὲν L: om. K 16 ἀρχὴ L: ἀρ̄χ K: ἀρχαὶ Mt 17 καὶ ἐν ταύτῃ] καὶ αὕτη superscr. sed rursum delevit M² 19 τῶν iterat in principio novae paginae M ὅπέρ ἐστι τὸ Mt 21 ἕπαιτε K τοῦτο] τοῦ K 24. 25 καταλήγει (καταλέγει K, qui mox εἴδη — τέλος δὲ ἡ ὕλη· καὶ LK: om. M: ἀφικνεῖται πρὸς τοῦτο marg. M et t 26 ἄρρα K τῇ ἀρχῇ om. Mt ὥσπερ ex ὅπερ corr. M 27 ταύτῃ (priore loco) LK: ταυ M: κατὰ ταῦτα t. κοινωνοῖεν ἂν (L)t: κοινωνία K: κοινωνεῖ ἐν M 28 φυσικῶν ex φυτῶν corr. K 29 οὐχὶ] οὐ K 31 ἡ ex τὸ corr. M 32 πράσεως L

www.libtool.com.cn

τὴν ὕλην, ὅτι οὐκ ἂν ἄλλως τοῦτο γένοιτο, εἰ μὴ τὸ διαιροῦν σίδηρος εἴη i 4r
τοιῶσδε ἐσχηματισμένος· οὐ γὰρ ἄλλη ὕλη τὰ τοιαῦτα διελεῖν δύναται.
ὥστε εἰ κυρίως ἀποδώσω τὸν ὁρισμὸν τοῦ πρίειν, μεμνήσομαι καὶ τῆς
ὕλης, ὅτι διαίρεσις ξύλων καὶ λίθων ὑπὸ σιδήρου ὀδοντωτοῦ.

5 p. 200b7 Ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ ἔνια μόρια ὡς ὕλη τοῦ λόγου.

Ὑπερβατῶς ἀναγνωστέον 'ἔστι γὰρ ἐν τῷ λόγῳ, τουτέστι τῷ ὁρισμῷ, ἔνια τοῦ λόγου μόρια ὡς ὕλη ὄντα'. τοῦτο δέ φησιν, ὅτι ἔστι τινὰ μόρια τοῦ ὁρισμοῦ σημαντικὰ ὄντα τῆς ὕλης, ὥσπερ καὶ ἄλλα τοῦ εἴδους· ἐν γὰρ τῷ ὁρισμῷ τοῦ θυμοῦ τὸ μὲν "ζέσις τοῦ περικαρδίου
10 αἵματος" τῆς ὕλης ἐστὶ σημαντικόν, τὸ δὲ "δι' ὄρεξιν ἀντιλυπήσεως" τοῦ εἴδους· καὶ ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ τὸ "θνητόν" τῆς ὕλης ἐστὶ δηλωτικόν. ὥστε ἐν τῷ τελείῳ ὁρισμῷ καὶ ἡ ὕλη συμπερίεχεται καὶ εἴληπται. ὥστε ἐπὶ μέν τινων ὁρισμῶν, ὅσοι κατὰ τὸ εἶδος μόνον εἰσὶν ἀποδιδόμενοι, δυνατὸν ἐξ αὐτῶν ἐξ ἐπιλογισμοῦ φυσικῶς σκοποῦντι τὴν ὕλην εὑρεῖν, ἐφ'
15 ὧν δὲ τέλειος ὁ ὁρισμός, αὐτόθεν καὶ ἡ ὕλη ἐμπεριέχεται. |

1 ὅτι] δ K γίνοιτο Mt 2 ἄλλη] ἅλη M 3 μεμνίσομαι M 4 ὀδοντωτοῦ KM
5 καὶ om. K μόρια — λόγου om. K 6 *πὲρ βάντως (* littera rubro addenda) K
6 γὰρ καὶ ἐν τῷ λόγῳ ἔνια μόρια τουτέστι L 6. 7 τῷ ὁρισμῷ dubitanter recepi ex Mt:
δ·
τοῦ ὁρισμοῦ LK 9 περικαρ LM cf. p. 228,18 sqq. 329,25 sqq. 10 σημαντικὸς K
δὲ om. K 11. 12 δηλωτικὸς K 12 ὥστε L: ὡς KMt τέλει L καὶ (ante εἴληπται) iterat in principio novae paginae M 13 μὲν τινῶν LK: μὲν τῶν Mt
14 δυνατὸν LKM: δύναται t ἐξ αὐτοῦ K φυσικὸς Mt σκοποῦντι K: σκοποῦν-
τας L: σκοπῶντι ut vid. M: σκοπῶν t 15 ὁ om. Mt τέλος σὺν θῷ τοῦ δευτέρου
τῶν φυσικῶν subscribit L

www.libtool.com.cn

ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ ΕΙΣ ΤΟ Γ̄ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ. i 4v

p. 200b 12 Ἐπεὶ δὲ ἡ φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς.

Πέντε τινῶν ὄντων τῶν παρακολουθούντων τοῖς φυσικοῖς πράγμασι, περὶ ὧν ἔφαμεν ⟨ἐν⟩ τῷ βιβλίῳ τούτῳ εἶναι τῷ Ἀριστοτέλει τὸν λόγον, ὕλης εἴδους κινήσεως τόπου χρόνου, περὶ μὲν ὕλης καὶ εἴδους διελέχθη ἐν τοῖς πρὸ τούτου βιβλίοις (ἀλλὰ μᾶλλον μὲν περὶ ὕλης ἐν τῷ προτέρῳ, μᾶλλον δὲ περὶ εἴδους ἐν τῷ δευτέρῳ), λείπεται οὖν αὐτῷ περὶ τῶν λοιπῶν τριῶν διαλεχθῆναι. καὶ τέως περὶ κινήσεως προτίθεται διαλαβεῖν, καὶ συλλογίζεται ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ κινήσεως λόγος, τοῦτον τὸν τρόπον· ἐπειδή, φησίν, ὡρισάμεθα τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως, ἀνάγκη πᾶσα τὸν μέλλοντα εἰδέναι τί ἐστιν ἡ φύσις καὶ τὸν ὁρισμὸν τὸν ταύτης, πολλῷ πρότερον εἰδέναι καὶ τί ἐστι κίνησις (δεῖ γὰρ δῆλα εἶναι τὰ πρὸς ὁρισμόν τινος παραλαμβανόμενα)· ὁ γὰρ ἀγνοῶν τί ἐστι κίνησις, οὐδὲ τὸν ὁρισμὸν τῆς φύσεως εἴσεται (ἐν τῷ ὁρισμῷ γὰρ τῆς φύσεως ἔστιν ἡ κίνησις)· ἀναγκαῖος ἄρα τῷ φυσικῷ ὁ περὶ κινήσεως λόγος. ἄλλως τε ἐπειδὴ πᾶσα κίνησις συνεχής, ὡς δείκνυται ἐν τοῖς τελευταίοις βιβλίοις ταύτης τῆς πραγματείας (πᾶσα γὰρ κίνησις ἐν μεγέθει, πᾶν δὲ μέγεθος συνεχές, καὶ πᾶσα ἄρα κίνησις συνεχής), ἐν δὲ τῷ τοῦ συνεχοῦς λόγῳ ἔστιν ὅτε ἐμπεριέχεται τὸ ἄπειρον (ὁριζόμενοι γὰρ τὸ συνεχὲς ἄπειρον οὕτως ὁρίζονται,

---

1 De titulo cf. praefat. ἰω̄ φιλοπόνου εἰς τὸ τρίτον τῆς φυσικῆς ἀριστοτέλους M: om. L: εἰς τὸ τῶν φυσικῶν ἀριστοτέλους τρίτον L²: φυσικῆς ἀκροάσεως γάμμα (βιβλίον τρίτον t) Kt 3 μέν om. M post κινήσεως addit καὶ στάσεως e vulgato Aristotele t at cf. p. 344,8 sqq. 6 ἔφαμεν p. 2,15 ἐν addidit t τούτῳ] οὕτω L 7 τόπον K διελέχθη L: διηλεχθη KMt 8 μὲν περὶ LK: περὶ μὲν Mt ἐν] οὐ K 9 τοῦ εἴδους L 11 ἀναγκαίως LK λόγος L: τόπος KMt 12 φησίν] φύσις compend. K ὁρισάμεθα M 13 τὸν (ante ταύτης) om. Mt 14 καὶ om. Mt

18 συνε χ̄ M: συνεχὲς t ὡς δείκνυται κτλ.] cf. Arist. Δ 11 p. 219a 10 sqq. 19 πραγματίας K 20 συνεχής] συνεχὲς L 21 ὁριζόμενοι LK: ὁριζόμενος Mt ἡρίζονται K

www.libtool.com.cn

ὅτι συνεχές ἐστι τὸ ἐπ' ἄπειρον διαιρετόν), ἀνάγκη ἄρα τὸν γνωσόμενον i 4v
τί ἐστι κίνησις εἰδέναι καὶ τὸ ἄπειρον τί ἐστιν· ἀναγκαῖος ἄρα τῷ φυσικῷ
καὶ ὁ περὶ ἀπείρου λόγος. πάλιν ἐπειδὴ πᾶσα κίνησις ἐν τόπῳ ἢ καὶ ἐν
χρόνῳ· τὸ γὰρ κινούμενον πᾶν σῶμα, ἅπαν δὲ σῶμα ἐν τόπῳ, καὶ ἡ κί- 20
νησις ἄρα ἐν τόπῳ· δείκνυται δ' ἐν τοῖς τελευταίοις ὅτι καὶ ἐν χρόνῳ
πᾶσα κίνησις (οὐδὲν γὰρ ἀχρόνως κινεῖται)· ἀναγκαῖος ἄρα καὶ ὁ περὶ
τόπου καὶ χρόνου λόγος. ἀλλ' ἐπειδὴ τῶν φυσικῶν τινες ᾤοντο διὰ κενοῦ
τὴν κίνησιν γίνεσθαι (μὴ γὰρ ἂν δύνασθαι διὰ πλήρους κινεῖσθαί τι· οὕτως
γὰρ ἂν δύο ἐν τῷ αὐτῷ σώματα τόπῳ εἶναι), διὰ τοῦτο ἀναγκαῖος τῷ
φυσικῷ καὶ ὁ περὶ κενοῦ λόγος· εἴτε γὰρ διὰ κενοῦ ἡ κίνησις, ἀναγκαῖος
ὁ περὶ κενοῦ λόγος, εἴτε μὴ διὰ κενοῦ, καὶ οὕτως πρὸς ἔλεγχον ἀναγκαῖος
ὁ περὶ αὐτοῦ λόγος· καὶ ἄλλως ἐπειδὴ τὸν τόπον ὁρίζονται κενὸν εἶναι
καὶ ἔρημον σώματος. 25

Ἔστιν οὖν ὁ σκοπὸς τούτου τε τοῦ βιβλίου καὶ τοῦ ἐφεξῆς διαλαβεῖν
περὶ κινήσεως ἀπείρου τόπου χρόνου κενοῦ, καὶ διαλέγεται ἐν μὲν τούτῳ
τῷ βιβλίῳ περὶ κινήσεως καὶ ἀπείρου, ἐν δὲ τῷ ἐφεξῆς περὶ τόπου χρό-
νου κενοῦ. οὐ μόνον δὲ ὡς συντελούντων εἰς τὸν περὶ κινήσεως λόγον
διαλέγεται περὶ αὐτῶν, ἀλλὰ καὶ ὡς παρακολουθούντων πᾶσι τοῖς φυσικοῖς
πράγμασι· τοῦτο δὲ ἐξ ἀρχῆς ἦν τὸ προκείμενον, περὶ τῶν κοινῶς πᾶσι
τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων εἰπεῖν. πρῶτον δὲ περὶ κινή- 30
σεως διαλέγεται, καὶ ζητεῖ τί ποτέ ἐστιν ἡ κίνησις, ἔπειτα ἐν τίσιν ἔστιν
ἡ κίνησις, καὶ τρίτον πόσα εἴδη κινήσεως. πρὸ τούτων δὲ τέσσαρά τινα
ἀξιώματα προλαμβάνει συμβαλλόμενα αὐτῷ εἰς τὴν τούτων δεῖξιν, καὶ
πρῶτον ὅτι τῶν ὄντων τὰ μέν ἐστι μόνως ἐνεργείᾳ, τὰ δὲ καὶ δυνάμει καὶ
ἐνεργείᾳ (μόνως δὲ δυνάμει εἶναί τι ἀδύνατον ἐν ὑποστάσει ὄν· οὐδέποτε
γὰρ γυμνὴ εἴδους ἡ ὕλη γίνεται). ἐνεργείᾳ μὲν οὖν μόνως ἐστὶ τὰ θεῖα
καὶ ἀσώματα, περὶ ὧν καὶ ἐν τῷ Περὶ ἑρμηνείας εἶπεν ὅτι "ἄνευ δυνά-
μεως ἐνέργειαί εἰσι". δυνάμει δὲ καὶ ἐνεργείᾳ πάντα τὰ φυσικά· ἐντε- 35
λεχείᾳ μὲν γάρ ἐστιν ὅτι ἔχει τινὰ μορφήν [ἡ ἐνέργεια], δυνάμει δὲ ὅτι οἷά
τέ ἐστι δέξασθαι καὶ ἑτέραν. ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν ἐν γενέσει καὶ
φθορᾷ, τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν

1 τὸν ex τὸ corr. M² 2 τί ποτέ ἐστι κίνησις L ἀναγκαῖος K 3 ἢ om. L 5 δείκνυται κτλ.] cf. Arist. Δ 11 5. 7 ἐν χρόνῳ πᾶσα — τόπου καὶ om. Mt 6 οὐδὲν scripsi: οὐδὲ LK καὶ ὁ K: ὁ (om. καὶ) L 7 χρόνου καὶ τόπου L ᾤοντο K 8 γενέσθαι L. οὕτως] οὔτε K 9 ἂν δύο ἐν τῷ αὐτῷ L: ἂν δύο αὐτῷ K: ἐν τῷ αὐτῷ δύο Mt 11 κενοῦ (post περὶ scripsi: κενοῦ (sic) κινήσεως K et cod. Vatic. 250: κινήσεως L.Mt 14 τι om. L. 16 ἐν δὲ τὸ ἐφεξῆς M 19 κοινῶς K: κοινῶν (L)Mt

21 ἡ om. Mt 22 πρὸ L.t: πρ M: πρὸς K 23 προλαμβάνει scripsi: προσλαμβάνει libri

24 πρῶτον ὅτι a ρ K μόνως L.K: μὲν (sic) M: μόνων t 26 εἴδους γυμνὴ L ἐνέργεια K μὲν om. Mt 27 Περὶ ἑρμηνείας c. 13 p. 23a23 28 ἐνεργείᾳ εἰσίν K 28. p. 341,2 ἐντελεχείᾳ ἐστὶ cf. Themist. p. 206,13 sqq. 28. 29 ἐντελεχείᾳ μὲν L: ἐντελεχεία ἐστὶν K: ἐντελεχεία μὲν Mt 29 ἔχειν K ἡ (ex ἢ corr. M ἐνέργεια LKM: ἢ ἐνέργειαν t: delevi nimirum e glossemate (ἢ ἐνέργεια) ad vocem ἐντελεχεία orta: at cf. Simplic. p. 300,1 [illegible] 30 ἐστι om. Mt [illegible] 31 ἐντελεχεία L: ἐντελέχεια KMt

www.libtool.com.cn

(οὐ γὰρ ἂν μεταβάλλοι ποτὲ κατ' οὐσίαν), μετέχει δέ πως καὶ τοῦ δυ- i 4v
νάμει διὰ τὴν κίνησιν τὴν τοπικήν· οὐ γὰρ πανταχοῦ ἅμα ἐστί. τάχα δὲ
οὐδὲ κατ' οὐσίαν ἀπήλλακται τοῦ δυνάμει. εἰ γὰρ ἐξ ὕλης ἐστὶ καὶ εἴδους,
ἡ δὲ ὕλη ἐστὶν ἡ τὸ δυνάμει ἔχουσα, δῆλον ὅτι οὐδὲ κατὰ τὴν οὐσίαν
5 ἀπήλλακται πάντῃ τὰ οὐράνια τοῦ δυνάμει· εἰ γὰρ καὶ μὴ δυνάμει ἔχει ἡ
ὕλη αὐτῶν τὸ εἶδος, ἀλλ' οὖν ἐπειδὴ ὅλως ἡ ὕλη κατὰ τὸν αὐτῆς λόγον
δυνάμει ἐστί, διὰ τοῦτο οὐ παντάπασίν ἐστι τοῦ δυνάμει ἀπηλλαγμένα
ὥσπερ τὰ ἄυλα, ἃ οὐδαμῇ οὐδαμῶς ἔχει τὸ δυνάμει. διὰ τοῦτο γοῦν καὶ
ὁ Πλάτων ἐκεῖνα μὲν ὄντως ὄντα καλεῖ, τὰ δὲ αἰσθητὰ πάντα οὐκ ὄντα,
10 ἀλλ' ἀεὶ γινόμενα.

Πρῶτον μὲν οὖν τοῦτο προλαμβάνει, ὅτι τῶν ὄντων τὰ μέν ἐστι μόνως
ἐνεργείᾳ τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ, δεύτερον δὲ ὅτι τῶν πρός τι τὰ μέν
ἐστι καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τὰ δὲ κατὰ τὸ κινοῦν καὶ κινούμενον.
οἷον καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τὸ μεῖζον καὶ τὸ μικρότερον· τὸ γὰρ
15 μεῖζον μικροτέρου ἐστὶ μεῖζον, ὧν τὸ μὲν μεῖζον ὑπεροχή, θάτερον δὲ
ἔλλειψις. καὶ τὸ κινοῦν δὲ κινούμενον κινεῖ, καὶ τὸ κινούμενον ὑπὸ κινοῦν- i 5r
τος κινεῖται. τὰ λοιπὰ δὲ εἴδη τοῦ πρός τι οὐ τίθησιν, οἷον τὸ κατ' ἰσό-
τητα τὸ καθ' ὁμοιότητα τὸ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ἐπειδὴ τούτων
μόνον δεῖται, τοῦ μὲν κατὰ τὴν ὑπεροχὴν καὶ ἔλλειψιν, ὅτι τινὲς ἐδόξασαν
20 ἐν τούτοις εἶναι τὴν κίνησιν, ἵνα ἐλέγξῃ ὅτι οὐ δυνατὸν ἐν τούτοις εἶναι κίνησιν,
τὸ δὲ κατὰ τὸ κινοῦν καὶ κινούμενον, ἵνα δείξῃ ὅτι ἡ κίνησις ἐν τούτοις μόνον.

Τρίτον λῆμμα ὅτι οὐκ ἔστι τις κίνησις αὐτὴ καθ' αὑτὴν χωρὶς τῶν
κινουμένων, τὰ δὲ κινούμενα ἢ οὐσίαι εἰσὶν ἢ ποσὰ ἢ ἄλλο τι τῶν κατὰ
τὰς ἄλλας κατηγορίας, καὶ οὐκ ἔστιν αὐτό τι καθ' αὑτὸ κινούμενον, ὃ
25 μήτε οὐσία ἐστὶ μήτε ποσὸν μήτε τῶν ἄλλων κατηγορημάτων μηδέν. καὶ
διὰ τοῦτο οὐδὲ κίνησις ἔστιν ἑτέρα παρὰ ταῦτα, ἀλλὰ πᾶσα κίνησις ἢ κατ'
οὐσίαν ἐστὶν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον, διότι καθ' ἕκα-
στον τούτων κινουμένων, οἷον κατ' οὐσίαν κατὰ ποσὸν καὶ τὰ λοιπά,
διττή τις θεωρεῖται οὖσα ἡ κίνησις, ἡ μὲν ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖτ-
30 τον ἡ δὲ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον· οἷον ἐπὶ τῆς οὐσίας ἢ ἀπὸ
τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἢ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, ἐπὶ δὲ τοῦ ποσοῦ
ἢ ἀπὸ τοῦ τελείου ἐπὶ τὸ ἀτελὲς καὶ ἁπλῶς ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλατ-

---

3 et 5 ἀπήλακται M 3 inter ἀπήλλακται et τοῦ δυνάμει punctis notata (cf. v. 5) πάντα τὰ οὐράνια M: nec tamen delevit t εἰ γὰρ scripsi: εἴ γε libri ἐστὶ om. Mt 4 κατὰ τὴν οὐσίαν LK: κατ' οὐσίαν Mt 5 πάντῃ LMt: πάντα K 6 κατὰ] κατά τε L: fort. κατά γε αὐτῆς scripsi: ἑαυτοῖς K: αὐτῆς LMt 9 Πλάτων Tim. p. 27 D 11 οὖν om. L προσλαμβάνει K εἰσι L μόνως LK: πρώτως Mt 14 μικρότερον LKM: μικρόν t 15 ὧν Lt: ὧν K: ὡν vel potius ὡς (ὡς cod. Paris. 2057) M 16 κινοῦν δὲ] κινοῦν καὶ τὸ (sed καὶ τὸ delevit L²) L ὑπὸ τοῦ L 17 τὰ δὲ λοιπὰ Mt 19 μόνων L 20 ἵνα ἐλέγξῃ — κίνησιν L: om. KMt 21 τὸ δὲ libri: immo τοῦ δὲ 22 ἑαυτὴν Mt 23 τὰ κινούμενα δὲ t οὐσίαι K et cod. Paris. 2057: οὐσία (LM)t 24 τι om. L δ] εἰ L 25 μηδέν om. L 26 παρὰ ταύτην K 27. 28 ἢ κατὰ ποιὸν — ποσὸν LK: om. Mt 27 διότι L: δβ̄ K cf. ad p. 340, 24 28 τούτων L: τούτων τῶν K 29 διττὴ δέ τις t 31 εἰς τὸν μὴ ὄν primitus M et t 31. p. 342, 1 ἐπὶ δὲ — ἔμπαλιν om. K

www.libtool.com.cn

τον ἢ ἐμπάλιν, ἐπὶ δὲ τοῦ ποιοῦ ἢ ἀπὸ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν ἢ ἀπὸ i 5r
τοῦ μέλανος ἐπὶ τὸ λευκόν, καὶ ἐπὶ τῶν ἄλλων ἐναντίων ὡσαύτως, ἐπὶ
δὲ τοῦ τόπου ἢ ἀπὸ τοῦ κάτω ἐπὶ τὸ ἄνω ἢ ἐμπάλιν. ἔστι δ' ἐν τοῖς
ἐναντίοις ἅπασι τὸ μὲν κρεῖττον τὸ δὲ χεῖρον· τοῦ γὰρ μὴ ὄντος τὸ ὂν
5 κρεῖττον καὶ τοῦ ἀτελοῦς τὸ τέλειον καὶ τοῦ μέλανος τὸ λευκὸν καὶ τοῦ
κάτω τὸ ἄνω, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως κατὰ τὴν αὐτὴν ἀναλογίαν. συμ-
βάλλεται δ' αὐτῷ ταῦτα οὐ μόνον εἰς τὸ ἀποδοῦναι τὸν ὁρισμὸν τῆς κινή- 15
σεως, ἀλλὰ καὶ πρὸς τὸ δεῖξαι τίνα τῶν κινούντων καὶ ἀντικινεῖται, καὶ
τίνα κινεῖ μὴ κινούμενα· διαλέξεται γὰρ καὶ περὶ τούτων ἐφεξῆς.

10 Ταῦτα οὖν προλαβών, ἐφεξῆς ἀποδίδωσι τί ἐστι κίνησις, ὁριζόμενος
αὐτὸς οὕτως 'κίνησίς ἐστιν ἡ τοῦ δυνάμει ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν'.
τὸ μὲν οὖν τῆς ἐντελεχείας ὄνομα σημαίνει παρὰ τῷ Ἀριστοτέλει τὴν
ἐνέργειαν καὶ τὴν τελειότητα· σύγκειται γὰρ παρὰ τὸ 'ἕν' καὶ τὸ 'τέλειον'
καὶ τὸ 'ἔχειν'· ὅταν οὖν ἕκαστον ἔχῃ τὴν ἑαυτοῦ τελειότητα, ἐντελεχείᾳ 20
15 λέγεται εἶναι. προσέθηκε δὲ τὸ ᾗ τοιοῦτόν ἐστιν ἀντὶ τοῦ ᾗ δυνάμει τόδε
τί ἐστιν, ἵνα [ἡ ἐντελέχεια γίνηται μενούσης ἔτι καὶ σῳζομένης τῆς δυνάμεως,
ἥσπερ ἦν ἡ ἐντελέχεια·] διττὴ γὰρ ἐφ' ἑκάστου ἡ ἐντελέχεια, ἡ μὲν ἤδη
τετελειωμένου τοῦ πράγματος καὶ ἅπαν τὸ δυνάμει ἀποβαλόντος, ἡ δὲ
κινηθέντος ἐκ τῆς δυνάμεως καὶ κατὰ ταύτην ἀλλοιουμένου τε καὶ ἐπὶ τὸ
20 εἶδος ἀγομένου. οἷον ἐπὶ τοῦ χαλκοῦ τοῦ δυνάμει ἀνδριάντος· ἐντελέχεια
γὰρ αὐτοῦ ἔστι καὶ ὅταν γίνηται ἀνδριὰς ὑπὸ τοῦ ἀνδριαντοποιοῦ τοιῶσδε 25
σχηματιζόμενος, καὶ ὅταν ἤδη γεγενημένος εἴη ἀνδριὰς καὶ ἀπειληφὼς τὸ
τέλειον τοῦ ἀνδριάντος εἶδος. ἀλλ' αὕτη μὲν ἡ ἐντελέχεια οὐκέτι σῳζο-
μένης ἐστὶ τῆς δυνάμεως, καθ' ἣν ἠδύνατο γενέσθαι ἀνδριάς· ἤδη γάρ
25 ἐστιν ἀνδριὰς καὶ οὐκέτι ἔχει τὸ δυνάμει, διὸ καὶ τελειότης αὕτη οὐ τῆς
δυνάμεως (πῶς γὰρ ἣν φθείρει;), ἀλλὰ τοῦ πράγματος ἐν ᾧ ἡ δύναμις
ἦν· ἡ δὲ πρότερον ῥηθεῖσα ἐντελέχεια, καθ' ἣν ἐγίνετο ἀνδριάς, ἔτι τὸ
δυνάμει διαφυλάττει. τὴν οὖν τοιαύτην ἐντελέχειαν κίνησιν λέγει καὶ τε- 30
λειότητα τῆς δυνάμεως· πᾶσα γὰρ τελειότης σῴζει τοῦτο ὃ τελειοῖ· ἕως
30 μὲν γὰρ ἡ δύναμις σῴζεται, καὶ ἡ κίνησις ἡ τελειωτικὴ τῆς δυνάμεως,

---

1 ἐπεὶ δὲ K 3 ἐπὶ τὰ ἄνω L 7 ταῦτα] τὰ πάντα (superscr. γρ. ταῦτα) L
8 καὶ (ante ἀντικινεῖται) om. L 9 ἐφεξῆς] cf. Θ 5 10 προσλαβὼν K
11 αὐτὸς KMt: αὐτὴν recte, ut videtur, L κίνησις ἐστιν κτλ.] cf. Arist. Γ 1 p. 201a10
(v. infra v. 15. p. 350,10. 351,21. 353,5. 362,35. k 5v8) 12 τῆς ἐντελεγχείας et
similiter saepe in proximis K 13 ἓν LKM: ἐν t 14 ἔχει K ἐντελεχεία L:
ἐντελέχεια KMt 15 δὲ Lt: δὲ ἂν K: δ' ἂν M τοῦ om. K 16. p. 343,2 ἵνα
ἡ ἐντελέχεια — μορφή paucis immutatis ex Themist. p. 205,10 sqq. 16 γίνεται K
σωζομένοις compend. M et t 17 ἡ (post ἦν) om. Themistius ἀφ' ἑκάστου L
18 τετελειωμενον (sic) τῶν πραγ K ἀποβαλλόντος (sic) K 20 τοῦ δυνάμει] τὸ
δυνάμει M 22 εἴη L: εἴη ὁ KM: ᾗ ὁ t 23 αὐτὴ KM 25 καὶ prius
om. L 26 πῶς om. superscr. K ἦν Lt et post correct. M: ἢ K 27 ἔτι
κτλ.] hinc Themistius emendandus 28 τοιαύτην] δυνάμει L 30 δύναμις LK:
κίνησις Mt ante σῴζεται distinguunt (L)Mt: fortasse σῴζεται, ⟨σῴζεται⟩ cl. Themist.
p. 205,24

www.libtool.com.cn

παυσαμένης δὲ τῆς δυνάμεως παύεται καὶ ἡ κίνησις, παύεται δὲ ἡ δύ- i 5r
νάμις ἡνίκα ἂν τὸ εἶδος ἐπιγένηται καὶ ἡ μορφή. τοῦτο οὖν ἐστιν ἡ κί-
νησις, ἡ τοῦ δυνάμει ὄντος τελειότης καθὸ δυνάμει ἐστίν. ὅτι δὲ τοῦτό
ἐστιν ἡ κίνησις, δείκνυσι καὶ διά τινος παραδείγματος. τὸ γὰρ οἰκοδομη- 35
5 τόν, φησίν, ὅταν ἐνεργείᾳ ᾖ τοιοῦτον, λέγω δὴ ὅταν οἰκοδομῆται, τότε
κινεῖται (ἄγεται γὰρ ἐπὶ τὸ τῆς οἰκίας εἶδος, καὶ ἔστι τὸ τοιοῦτον οἰκοδό-
μησις), τὸ δὲ οἰκοδομούμενον ἔτι ἔχει τὸ δυνάμει (ἔστι γὰρ ἔτι οἰκοδο-
μητόν), ὡς ὅταν γε οἰκοδομηθῇ παντελῶς οὔτε τὸ δυνάμει σῴζει λοιπὸν
οὔτε κινεῖται· [εἰ τοίνυν ἡ οἰκοδόμησις κίνησις, ἡ δὲ οἰκοδόμησις ἔτι ἐν
10 δυνάμει ἐστί, καλῶς ἄρα εἴρηται ὅτι ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια καθὸ
δυνάμει ἐστὶ κίνησίς ἐστιν, ὅτι ἡ πρώτη ἐντελέχεια κίνησις καὶ τελειότης
ἐστὶ τῆς δυνάμεως.] συνεβάλλετο δὲ αὐτῷ εἰς τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ 40
τῆς κινήσεως τὸ πρῶτον λῆμμα, τὸ λέγον ὅτι τῶν ὄντων τὰ μὲν μόνως
ἐνεργείᾳ ἐστὶ τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ· ἐντεῦθεν γὰρ εὑρίσκει ὅτι ἡ
15 κίνησις ἔστιν ἐν τοῖς δυνάμει οὖσι, καὶ οὐκ ἐν τοῖς ἐνεργείᾳ. τὸ δὲ δεύ-
τερον ἀξίωμα, τὸ λέγον ὅτι τῶν πρός τι τὰ μὲν καθ' ὑπεροχήν ἐστι καὶ
ἔλλειψιν τὰ δὲ κατὰ τὸ κινοῦν καὶ τὸ κινούμενον, συμβάλλεται αὐτῷ εἰς
τὸ ἐλέγξαι ὅτι οὐκ ἔστιν ἐν τοῖς καθ' ὑπεροχὴν καὶ ἔλλειψιν ἡ κίνησις,
ὡς ἐδόκει τισίν, ἀλλὰ κατὰ τὸ κινοῦν καὶ τὸ κινούμενον, τὴν μὲν ἀρχὴν
20 ἔχουσα ἐκ τοῦ κινοῦντος τὸ δὲ εἶναι ἐν τῷ κινουμένῳ· δείξει γὰρ αὐτὸ 45
τοῦτο ἐν τοῖς ἑξῆς, ὅτι οὐκ ἔστιν ἐν τῷ κινοῦντι ἡ κίνησις, ἀλλ' ἐν τῷ
κινουμένῳ. τὸ δὲ τρίτον ἀξίωμα, τὸ λέγον ὅτι οὐκ ἔστι κίνησις παρὰ τὰ
πράγματα, ἀλλὰ πᾶσα κίνησις ἢ ἐν οὐσίᾳ ἔστιν ἢ ἐν ποσῷ ἢ ἐν ποιῷ ἢ
ἐν τῇ ποῦ, συμβάλλεται αὐτῷ εἰς τὸ δεῖξαι πόσα ἐστὶν εἴδη κινήσεως, καὶ
25 ἔτι μᾶλλον εἰς τὸ δεῖξαι ὅτι οὐκ ἔστι τι κοινὸν γένος κινήσεως, ἀλλ' εἰσὶν
ὁμώνυμοι αἱ κινήσεις κατὰ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· δείξει γὰρ ὅτι πρώτη
μέν ἐστιν ἡ κατὰ τόπον κίνησις ὕστεραι δὲ αἱ λοιπαί, καὶ ὅτι ἀναιρου- 50
μένη μὲν συναναιρεῖ τὰς λοιπάς, ἀναιρουμένων δὲ ἐκείνων αὕτη οὐ συναναι-
ρεῖται, ὥστε πρώτη τῇ φύσει· ἐν οἷς γὰρ τὸ πρότερον καὶ τὸ ὕστερον,
30 τούτων καὶ τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος. ὥστε οὐδὲ κυρίως

---

1 πάβεται priore loco K 2 ἐπιγίνηται M 3. 4 ἡ τοῦ δυνάμει — ἡ κίνησις om. L: iterant Mt, nisi quod in iteratis extrema ὅτι δὲ — ἡ κίνησις delet t 3 ἡ τοῦ] ἢ τοῦ K

4 παραδειγμ/ (cf. ad p. 9,7) K 3. 9 ὅτι δὲ — κινεῖται paucis interiectis ex Themist. p. 206,13 sqq. 5 ἐνέργεια K οἰκοδομεῖται M 8 ὡς ὅταν γε] ὅταν δὲ L at v. Themist. l. c. 17 9. 10 ἐν τῷ δυνάμει L 10 ὄντος] ὄντ^{oo}ῃ (?) M: ὄντος ἡ cod. Paris. 2057 11. 12 ὅτι ἡ πρώτη — δυνάμεως L: om. KMt 12 συνεβάλετο t

ἀπόδοσιν om. L 13 πρῶτον scripsi: α L: προ$^{\tau}$ K: πρότερον Mt λῆμμα] λλη (sic) K μόνον K 14 ἡ om. Mt 15 οὐκ om. L 17. 18 εἴς τε τὸ L 19 τὸ (post καὶ) om. L 21 ἐν τοῖς ἑξῆς om. L ἑξῆς c. 3 p. 202a 13 sqq. cl. Philopon. k 2r 45 sqq. 22 τρίτον om. L 22. 23 κίνησις παρὰ τὰ πράγματ- in ras. K 24 ἐν τῷ ποῦ t πόσα εἰσὶν L 25 ὅτι in ras. K τι] τὸ primitus M et (K)t 26 ἐφ' ἑνὸς M δείξει] Arist. Θ 7 p. 260a 23 sqq. 29 ὥστε] ὡς L

www.libtool.com.cn

ὁρισμὸν ἀποδώσει τῆς κινήσεως, ἀλλ' ὑπογραφικὸν λόγον ἁρμόζοντα ἐξ i 5r
ἀναλογίας πάσῃ κινήσει, ὥσπερ καὶ ἐπὶ ψυχῆς ἐποίησε· καίτοι δείξας ὅτι
οὐκ ἔστιν ἓν κοινὸν γένος ψυχῶν τῷ καὶ ἐν αὐταῖς εἶναι τὸ πρότερον καὶ
τὸ ὕστερον, ὅμως φησὶν ἀποδῶμεν κοινόν τι|να λόγον ψυχῆς "εἰ δή τι i 5v
5 κοινὸν ἔστιν ἐπὶ ψυχῆς λέγειν". οὕτως οὖν καὶ ἐπὶ κινήσεως ἐποίησε. τὸ
δὲ λοιπὸν συμβάλλεται εἰς τὸ δεῖξαι ὅτι ἡ κίνησις καθ' ἕκαστον τῶν
κινουμένων διπλῆ τίς ἐστιν.

Ἐπεὶ δ' ἡ φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς.
ἀρχὴ μὲν κινήσεως καὶ ἠρεμίας ἡ φύσις, νῦν δὲ ἐπειδὴ μόνης κινήσεως
10 αὐτῷ χρεία, ταύτης ἐμνήσθη.

p. 200b 16 Τὸν αὐτὸν ἐπελθεῖν τρόπον περὶ τῶν ἐφεξῆς. 5

Τῶν ἐφεξῆς, ἀπείρου τόπου χρόνου κενοῦ. ἐφεξῆς δὲ εἶπεν, ἤτοι
ὅσα ἐφεξῆς ὄντα τῷ τῆς κινήσεως ἐμφαίνεται λόγῳ (ἐπεὶ γὰρ περὶ κινή-
σεως ὁ λόγος, ἕπεται δὲ τῷ τῆς κινήσεως λόγῳ τὸ ἄπειρον ὁ τόπος ὁ
15 χρόνος τὸ κενόν, δεῖ καὶ περὶ τούτων εἰπεῖν), ἢ περὶ τῶν ἐφεξῆς τῇ κινήσει
κοινῶς ἑπομένων πᾶσι τοῖς φυσικοῖς πράγμασι. τὸν αὐτὸν δὲ τρόπον 10
ἀντὶ τοῦ τῇ αὐτῇ μεθόδῳ ζητοῦντες τί ἐστιν ἕκαστον, καὶ εἴτε ἔστιν ὅλως
εἴτε καὶ μή, καὶ πῶς ἔστιν ἢ οὐκ ἔστι.

p. 200b 16 Δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν συνεχῶν.

20 Τὸ δοκεῖ, ἤτοι τοῖς πολλοῖς δοκεῖ, ἢ δοκεῖ καθόλου πᾶσι καὶ αὐτῷ,
ἀντὶ τοῦ φαίνεται. δόξει γάρ τῳ μὴ ἀνάγειν ὁ Ἀριστοτέλης ὑπὸ τὸ συνεχὲς
τὴν κίνησιν, διότι μηδὲ ὑπὸ τὴν τοῦ ποσοῦ κατηγορίαν, μηδὲ ὅλως ὑπό
τινα τῶν κατηγοριῶν· ὥστε εἰ δύο μὲν εἴδη τοῦ ποσοῦ τὸ συνεχὲς καὶ
τὸ διωρισμένον, μὴ ἀνάγεται δὲ ὑπὸ τὸ ποσὸν ἡ κίνησις, πολλῷ γε δήπου 15
25 οὐδὲ ὑπὸ τὸ συνεχές· ἐλέγοντο γὰρ αἱ κατηγορίαι τῶν τελείων εἰδῶν καὶ
εἰδοπεποιημένων πραγμάτων, ἡ δὲ κίνησις ἀτελής ἐστιν ἐνέργεια. ὥστε ὅσον
ἐκ τῶν ἐν Κατηγορίαις εἰρημένων, τὸ δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν
συνεχῶν ὡς πρὸς τοὺς πολλοὺς ἐκληπτέον, ἀλλ' ἐπεὶ ἐνταῦθα πολύς
ἐστιν ὁ Ἀριστοτέλης κατασκευάζων ὅτι ἡ κίνησις συνεχής ἐστι, δῆλον ὅτι

---

1 ὁρισμὸς L 3 τῷ t: τὸ LKM 4 λόγον] λόγ̊ K 4. 5 εἰ δή—λέγειν Arist. de An. B 1 p. 412b 4: om. L 4 εἰ δή Arist.: εἰ δεῖ Mt: εἴδει K 5 κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν Aristoteles 8 Ἐπεὶ δ' ἡ scripsi cl. p. 339,3: ἐπειδὴ LK: ἐπειδὴ ἡ Mt 11 Τὸν om. K: Διορισαμένοις δὲ περὶ κινήσεως, πειρατέον τὸν αὐτὸν ἐπελθεῖν κτλ. plenius ex Arist. t τῶν] τὸν K 13 ὄντα τῷ τῆς in erasis K 14 ὁ τόπος L: om. KMt 15 τῶν] τὸν et in proximis ἑπομ̊ K 17 τῇ αὐτῇ L: τῇ τοιαύτῃ M: τῇ τοιαύτῃ (K)t εἴτε ἔστιν L: εἴ τις ἔστιν K: εἰ τί ἐστιν Mt 20 τὸ δοκεῖ LK: δοκεῖ δὲ (om. τὸ) Mt 21 γάρ (ex γὰρ M) τω Mt: γὰρ τῷ K: γὰρ ἂν τῷ L ἄγειν L 24 διωρισμένον K 25 ὑπὸ om. superscr. K γὰρ εἶναι αἱ L 28 ὥσπερ πρὸς L ἐπειδὴ Mt

www.libtool.com.cn

τὸ δοκεῖ δὲ ἡ κίνησις ἀντὶ τοῦ φαίνεται καὶ ἀρέσκει ἐκληψόμεθα· ἐν γὰρ ταῖς Κατηγορίαις, εἰ καὶ μὴ ἀνήγαγεν ὑπὸ τὰ εἴδη τοῦ συνεχοῦς τὴν κίνησιν, οὐ παρὰ τὸ μὴ εἶναι συνεχῆ, ἀλλ', ὡς εἶπον, διὰ τὸ ἀτελῆ εἶναι αὐτὴν ἐνέργειαν, ἐκεῖ δὲ περὶ τῶν τελείων εἰδῶν εἶναι τὸν λόγον.

5 p. 200b17 Τὸ δὲ ἄπειρον ἐμφαίνεται πρῶτον ἐν τῇ συνεχείᾳ.

Τὸ πρῶτον, ἤτοι ἀντὶ τοῦ καθ' αὑτὸ εἶπε, κατὰ τὸ πρῶτον σημαινόμενον τοῦ καθ' αὑτό (τοῦτο δὲ ἦν ὅπερ ἐν τῷ τοῦ ὑποκειμένου λόγῳ παραλαμβάνεται, ὥσπερ καὶ τὸ ἄπειρον· παραλαμβάνεται γὰρ ἐν τῷ ὁρισμῷ τοῦ συνεχοῦς, ὅπερ ἐστὶν αὐτῷ ὑποκείμενον· λέγομεν γὰρ συνεχὲς 10 εἶναι τὸ ἐπ' ἄπειρον διαιρετόν), ἢ τὸ πρῶτον ἀντὶ τοῦ προηγουμένως καὶ κατὰ πρῶτον λόγον· ἔστι μὲν γὰρ καὶ ἐν τῷ διωρισμένῳ τὸ ἄπειρον, οἷον ἐν τῷ ἀριθμῷ (αὔξεται γὰρ ἐπ' ἄπειρον ὁ ἀριθμός), ἀλλὰ πρώτως μὲν ἐν τῷ συνεχεῖ, διὰ τὸ συνεχὲς δὲ καὶ ἐν τῷ διωρισμένῳ. τῷ γὰρ ἐπ' ἄπειρον δύνασθαι τὸ συνεχὲς διαιρεῖσθαι, ταύτῃ καὶ ὁ ἀριθμὸς ἐπ' 15 ἄπειρον αὔξεται· ἡ γὰρ τοῦ συνεχοῦς ἐπ' ἄπειρον διαίρεσις γεννᾷ τοῦ ἀριθμοῦ τὴν ἐπ' ἄπειρον αὔξησιν. ὥστε πρώτως ἐν τῷ συνεχεῖ τὸ ἄπειρον, διὰ τὸ συνεχὲς δὲ καὶ ἐν τῷ διωρισμένῳ.

p. 200b18 Διὸ καὶ τοῖς ὁριζομένοις τὸ συνεχὲς ἀνάγκη προσχρήσασθαι πολλάκις τῷ λόγῳ τοῦ ἀπείρου.

20 Καλῶς εἶπε πολλάκις· οὐ γὰρ ἀεὶ τὸ συνεχὲς ὁριζόμενοι τὸ ἄπειρον ἐν τῷ ὁρισμῷ τοῦ συνεχοῦς παραλαμβάνομεν. πλείονας γὰρ ἀποδοῦναι τοῦ αὐτοῦ δυνατὸν ὁρισμούς· αὐτὸς γοῦν ἐν Κατηγορίαις ὁρίζεται τὸ συνεχὲς λέγων ὅτι 'συνεχές ἐστιν οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει', καὶ οὐ προσχρῆται ἐν τῷ ὁρισμῷ τούτῳ τῷ ἀπείρῳ.

25 p. 200b20 Πρὸς δὲ τούτοις ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου κίνησιν ἀδύνατον εἶναι.

Ἄνευ μὲν τόπου καὶ χρόνου μὴ εἶναι κίνησιν καὶ αὐτῷ δοκεῖ καὶ τῇ

φαίνεσθαι primitus M ἐκλειψόμεθα K 3 τελῆ (sup. ε accent. eras.) K 4 τε-λείων] τε L εἶναι] ἐστι ποιούμενος L 5 δ' ἄπειρον t ἐμφαίνεται (K)t: ἐπιφαίνεται L: ἐκφαίνεται M τῇ συνεχείᾳ KM: τῷ συνεχεῖσ L: τῷ συνεχεῖ recte ex Arist. t 6 κατὰ τὸ α (h. e. πρῶτον) L: κατὰ τὸ δεύτερον KMt at cf. ad p. 34,22 sqq. Simplic. p. 396,10 sqq. 7 ἦν L: ν K: om. Mt 10 εἶναι] ἐστι L 11 πρῶτον λόγον] τὸ εὔλογον L 12 ὁ ἀριθμῶς K 15 διαιρέσεις K 16 ἐπ' ἄπειρον om. L 18 ἀνάγκη LKM: συμβαίνει ἀνάγκη Arist. cod. E: συμβαίνει e vulg. Arist. t 18. 19 προσχρῆσθαι Mt et Arist. cod. I 19 τοῦ LM: τῷ τοῦ (K)t Arist. 21 τοῦ alterum om. K 22 οὖν Mt ἐν Κατηγορίαις c. 6 p. 4b20 sqq. κατηγορίαις] κ/τ (h. e. κατὰ) K ὁρίζεται om. L 23 ὅρον K: ὅρμον L 24 τούτῳ LK: τούτου Mt 26 ἀδύνατον κίνησιν εἶναι e vulg. Arist. t 27 χρόνου καὶ τόπου traic. L

www.libtool.com.cn

ἀληθείᾳ· εἰ γὰρ ἡ κίνησις κινουμένου ἐστὶ κίνησις, κινεῖται δὲ μόνως τὸ i 5r
σῶμα, πᾶν δὲ σῶμα ἐν τόπῳ, ἄνευ τόπου ἄρα κίνησις οὐκ ἂν εἴη. καὶ
ὅτι μὲν ἡ κατὰ τόπον κίνησις ἄνευ τόπου οὐκ ἂν εἴη, αὐτόθεν δῆλον
(αὐτὸ γὰρ τοῦτο κατὰ τόπον κίνησις λέγεται), δείκνυσι δὲ ἐφεξῆς ὅτι οὐδε-
5 μίαν ἄλλην κίνησιν δυνατὸν γενέσθαι ἄνευ τῆς κατὰ τόπον, διότι πρωτί-
στην εἶναι πασῶν τὴν κατὰ τόπον κίνησιν δείκνυσιν. ἀλλ' οὐδὲ ἄνευ χρόνου
κίνησις ἂν γένοιτο, ὡς ἐν τοῖς τελευταίοις βιβλίοις δείκνυται· πᾶσα γὰρ
ἔχει τὸ πόθεν ποῖ. οὐχ ὡς αὐτῷ δὲ δοκοῦν τὸ μηδὲ ἄνευ κενοῦ κίνησιν
εἶναι οὕτως εἶπεν, ἀλλ' ὡς δοκοῦν τοῖς φυσικοῖς.

10 p. 200b21 Δῆλον οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι
κοινὰ καὶ καθόλου ταῦτα πᾶσι, σκεπτέον προχειρισαμένους περὶ
ἑκάστου τούτων.

Διὰ δύο, φησίν, αἰτίας ἀναγκαῖος ὁ περὶ τούτων λόγος, πρῶτον μὲν
διότι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ κινήσεως λόγος (ἡ γὰρ φύσις ἀρχὴ
15 κινήσεως, ταῦτα δὲ τῇ κινήσει συνεμφαίνεται), ἔπειτα καὶ διότι τὸ προκεί-
μενον [βιβλίον] ἡμῖν ἐστι διαλαβεῖν περὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς
πράγμασι παρακολουθούντων· τοῦτο γὰρ ἐξ ἀρχῆς ἐπηγγειλάμεθα. καὶ
τοῦτο εὐλόγως· ἀεὶ γὰρ τῆς τῶν ἰδίων θεωρίας προηγεῖται ἡ περὶ τῶν
κοινῶν. ἀδύνατον γὰρ μαθεῖν τίς ἐστιν ὁ ἀποδεικτικὸς συλλογισμὸς τὸν
20 μὴ πρότερον μεμαθηκότα τί ἐστιν ἁπλῶς συλλογισμός· οὕτως οὖν καὶ φύσιν
ζῴων ἢ φύσιν φυτῶν ἀδύνατον μαθεῖν τὸν μὴ εἰδότα τί ποτέ ἐστιν ἁπλῶς
φύσις. ἢ οὖν οὕτως ἀκουσόμεθα τὸ ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων
θεωρία τῆς περὶ τῶν | κοινῶν, συμφώνως τῷ προοιμίῳ τῆς προκει- i 6r
μένης πραγματείας (καὶ γὰρ ἀρχόμενος ἔλεγε δεῖν ἐκ τῶν σαφεστέρων
25 ἄρξασθαι, σαφέστερα δὲ εἶναι "τὰ συγκεχυμένα μᾶλλον", ταῦτα δὲ εἶναι
τὰ ὁλικώτερα· οὕτως οὖν καὶ νῦν πρότερον δεῖ εἰπεῖν τί ἐστιν ἁπλῶς
κίνησις, ἔπειτα διαρθρῶσαι τίς ἐστιν ἡ κατὰ τόπον καὶ αἱ λοιπαί), ἢ οὖν
οὕτως, ὅπερ εἶπον, τὸ ἡ περὶ τῶν κοινῶν θεωρία, ἤ, ὅπερ καὶ μᾶλλον,
κοινὰ νῦν λέγει οὐ τὰ συγκεχυμένα καὶ πλείοσιν ἐφαρμόττοντα, ἀλλὰ τὰ
30 πλείοσι παρακολουθοῦντα. δεῖ οὖν πρώτως, φησί, περὶ τῶν κοινῶς πᾶσι
τοῖς φυσικοῖς παρακολουθούντων εἰπεῖν, ἔπειτα περὶ τῶν ἰδίᾳ τισί. καὶ ὅτι

1 εἰ γὰρ ἡ LK: ἡ γὰρ Mt μόνον t 4. 5 οὐδὲ μίαν M 8 ποῖ LK: ποῦ Mt 10 διά τε] δῆ τε K διὰ τὸ] διατὸ M: δὴ τὸ K 11 πᾶσιν K προχειρισαμένους LM: προχειρησαμένους K: προχειρησαμένοις t: προχειρισαμένοις Aristoteles 13 πρῶτον] α LK: πρώτως Mt 15 δὲ L: γὰρ KMt 16 βιβλίον delevit t 18 post τῆς τῶν delevit κοιν` M ἰδίων] ////ΐ○ρυ, quod quid sit nescio, L προηγεῖται KMt: προσδεῖται L περὶ om. Mt 19. 20 τῶν μὴ πρότερον μεμαθηκότων K 20 τί] τίς Mt ἁπλῶς L: ὁ ἁπλῶς KMt σύλλογ K 23 κοινῶν ἐστίν Aristoteles; at cf. p. 347,5 24 ἀρχόμενος A 1 p. 184a20 sqq. δεῖν t: δεῖ LKM 25 σαφεστέρα δὲ K τὰ συγκείμενα KM ταῦτα δὲ ἔστι L 28 ὅπερ prius om. K τὸ ἡ L: τὸν K: ἡ Mt μᾶλλον L: μᾶλλα K: μάλα Mt 29 ἐφαρμόζοντα Mt τὰ (post ἀλλὰ) om. L

www.libtool.com.cn

τοῦτο λέγει, δῆλον ἐξ αὐτῶν τῶν ῥητῶν· εἰπὼν γὰρ ὅτι δῆλον οὖν ὡς i 6r
διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα
πᾶσι (κοινὰ δηλονότι λέγων τὰ πᾶσι παρακολουθοῦντα), τὴν δὲ αἰτίαν
προστιθεὶς τοῦ νῦν περὶ αὐτῶν διαλέγεσθαι, ἐπήγαγε τὸ ὑστέρα γὰρ ἡ
5 περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν. καὶ ἄλλως ὅτι οὐδὲ 10
περὶ μεριχοῦ χρόνου ἢ τόπου διαλέγεταί που. τὸ δὲ κοινὰ καὶ καθόλου
ταῦτα πᾶσιν ἀντὶ τοῦ κοινά ἐστι ταῦτα καὶ καθόλου πᾶσι τοῖς φυσικοῖς
παρακολουθεῖ· πᾶν γὰρ σῶμα συνεχές τέ ἐστι καὶ ἐν τόπῳ πάντως καὶ
ἐν χρόνῳ. ἀλλὰ καὶ τὸ κενὸν κατὰ τὴν τῶν φυσικῶν ὑπόληψιν πᾶσι πα-
10 ρακολουθεῖ, ἐπειδὴ καὶ τὸ κενὸν οὐδὲν ἄλλο οἴονται εἶναι ἢ τόπον ἐστερη-
μένον σώματος.

p. 200b26 Ἔστι δὴ τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει καὶ 15
ἐντελεχείᾳ.

Ἐντεῦθεν τὰ ἀξιώματα προλαμβάνει, καὶ πρῶτόν γε ὅτι τῶν ὄντων
15 τὰ μὲν μόνως ἐνεργείᾳ ἐστὶ τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ, καὶ τοῦτο οὐ
μόνον ἐπὶ τῆς οὐσίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. ἀλλὰ τὸ μὲν
μόνως ἐνεργείᾳ εἶναι ἐν μόνῃ τῇ οὐσίᾳ· ὡς γὰρ ἔμπροσθεν εἴπομεν, οὐδὲν
ἄλλο πάντῃ τοῦ δυνάμει ἀπήλλακται πλὴν τῶν ἀύλων καὶ θείων οὐσιῶν· 20
πᾶν γὰρ σῶμα πάντῃ τε καὶ πάντως ἕξει κατά τινα τῶν εἰρημένων ἡμῖν
20 τρόπων τὸ δυνάμει. εἰ δέ τις ἀξιώσει τὴν οὐσίαν τῶν οὐρανίων μόνως
ἐνεργείᾳ εἶναι λέγειν, διότι μὴ πέφυκεν εἰς ἄλλο τι μεταβάλλειν, οὐ μόνον
ἐν τῇ οὐσίᾳ ἀποθήσεται τὰ μόνως ἐνεργείᾳ ὄντα κατά γε τοῦτον τὸν
τρόπον, ἀλλὰ καὶ ἐν τῷ πόσῳ καὶ ἐν ταῖς λοιπαῖς· καὶ γὰρ ὁ ἀριθμὸς ὁ
τῶν οὐρανίων καὶ αἱ συμφυεῖς αὐτῶν ποιότητες μόνως ἐνεργείᾳ εἰσίν,
25 οὐδεμίαν κατ' αὐτὸ τοῦτο μεταβολὴν ἐπιδεχόμενα. 25

p. 200b28 Τοῦ δὲ πρός τι τὸ μὲν καθ' ὑπεροχὴν λέγεται καὶ
ἔλλειψιν.

Τὸ δεύτερον ἀξίωμα.

εἰπὼν οὖν ὅτι, δῆλον γὰρ ὡς Mt 2 ταῦτα (post καθόλου) om. L 4 προτιθεὶς L

ὁ] τὸν L 9 ἀλλὰ καὶ] ἀλλ/ L 10 οἷον τε εἶναι L 12 δὴ LKM: δή τι t
t Aristotelis libri, at cf. Metaph. K 9 p. 1065b5 12. 13 ἐντελέχεια utrobique K
4 προλαμβάνει (προ corr.) M 17 ἐνεργείᾳ εἶναι — ὡς γὰρ om. L ἔμπροσθεν p. 340,

6 sqq. 17. 18 εἴπομεν ἔμπροσθεν, οὐδὲν ἄλλο πάντα L 20 τρόπων L 23 ταῖς
οιπαῖς L: τοῖς λοιποῖς KMt καὶ γὰρ καὶ L 25 οὐδὲ μίαν libri 26. 27 καὶ
λλειψιν λέγεται e vulg. Arist. t: λέγεται καὶ κατ' ἔλλειψιν Arist. cod. E at cf. Simplic.
. 401,5 28 δεύτερον] θ' K ἀξιώματα L

www.libtool.com.cn

p. 200b31 Τὸ γὰρ κινητικὸν κινητικὸν τοῦ κινητοῦ. i 6r

Ἐπειδὴ εἶπε τοῦ πρός τι εἶναι τὸ κινητικὸν καὶ τὸ κινητόν, τοῦτο 30
αὐτὸ κατασκευάσαι διὰ τούτων ἠθέλησε· τὸ γὰρ κινητικόν, φησί, τοῦ κι-
νητοῦ ἐστι κινητικόν, καὶ ἔμπαλιν τὸ κινητὸν κινητόν ἐστιν ὑπὸ τοῦ κινη-
5 τικοῦ. ὥστε πρός τι ταῦτα.

p. 200b32 Οὐκ ἔστι δέ τις κίνησις παρὰ τὰ πράγματα.

Τὸ τρίτον ἀξίωμα, ὅτι ἡ κίνησις ἐν τοῖς κινοῦσι καὶ κινουμένοις ἐστί, 35
καὶ οὐ καθ' αὑτό τι ὂν οὐδὲ χωριστόν. ὥστε ὁσαχῶς ἂν εἴη τὰ κινού-
μενα, τοσαυταχῶς καὶ ἡ κίνησις· κινεῖται δὲ τὰ κινούμενα τετραχῶς, κατ'
10 οὐσίαν κατὰ ποσὸν κατὰ ποιὸν κατὰ τόπον· ἐν τούτοις ἄρα καὶ ἡ κίνησις.

p. 200b34 Κοινὸν δὲ ἐπὶ τούτων οὐδὲν ἔστιν ὄν, ὡς ἔφαμεν, λαβεῖν, ὃ οὔτε τόδε οὔτε ποσὸν οὔτε ποιόν.

Ὅτι οὐκ ἔστι κίνησις παρὰ τὰ πράγματα κατασκευάζει. εἰ γὰρ ἐν 41
ταύταις ταῖς κατηγορίαις μόνον ἡ κίνησις, οὐκ ἔστι δέ τι ὂν ὑφεστηκὸς
15 πρᾶγμα κοινὸν τῶν κατηγοριῶν ἕτερον ὂν παρ' αὐτὰς καὶ οἷον γένος αὐτῶν
(ὥσπερ τῶν κατὰ μέρος ζῴων τὸ ἁπλῶς ζῷον, ὅπερ ἐστὶν οὐσία ἔμψυχος
αἰσθητικὴ ἕτερον ὂν παρ' ἕκαστον τῶν κατὰ μέρος ζῴων καὶ ἐν ἑκάστῳ
θεωρούμενον· τὸ γὰρ ὂν ὁμωνύμως τῶν κατηγοριῶν κατηγορεῖται), δῆ- 45
λον ὅτι οὐδὲ κίνησις ἂν εἴη παρὰ ταύτας τὰς κατηγορίας. ἐντεῦθεν δὲ
20 λαβόντες οἱ ἐξηγηταὶ ἀφορμὰς φασι μὴ εἶναι τὴν κίνησιν γένος, ἀλλ' ὁμώ-
νυμον φωνήν· εἰ γὰρ οὐκ ἔστι κίνησις παρὰ τὰς κατηγορίας, τῶν δὲ κα-
τηγοριῶν κοινὸν γένος οὐκ ἔστι, δῆλον δήπου ὅτι οὐδὲ κινήσεως γένος ἂν
εἴη. εἰ γὰρ ἦν τῶν κατηγοριῶν ἐν αἷς ἡ κίνησις κοινὸν γένος, ἐν ἐκείνῳ
ἂν ἦν πρῶτον τῷ γένει ἐξ ἀνάγκης ἡ κίνησις, καὶ οὐκ ἂν ἐλέγετο πολλα-
25 χῶς, ἀλλ' ὥσπερ ἐκεῖνο γένος ὑπῆρχε τῶν κατηγοριῶν ἐν αἷς ἡ κίνησις,
οὕτω καὶ ἡ ἐν ἐκείνῳ κίνησις γένος ἂν ἦν τῶν κινήσεων τῶν ἐν ταῖς ὑπ' 50

---

1 alterum κινητικὸν om. K 2 τοῦ] τῶν corrigit t τὸ κινητὸν καὶ τὸ κινητικὸν L

3 κατασκευα (?) l. 4. 5 ὑπὸ τοῦ κινητικοῦ K: ὑπὸ τοῦ κινητοῦ L 6 ἔστιν K δέ τις (cf. p. 341,22) LM: δὲ Kt et Arist. libri praeter I cf. Diels z. *Textgesch.* p. 19 7 sqq. ex Themist. p. 204,3 sqq. 7 τοῖς κινοῦσι καὶ om. L 10 ἐν τούτοις—κίνησις om. l. 11 δ' ἐπὶ t 11. 12 οὐδὲν ἔστιν ὄν (ὄν om. L), ὡς ἔφαμεν, λαβεῖν KL: ὡς ἐφαμεν, οὐδὲν ἐστὶν ὂν λαβεῖν M: οὐθέν ἐστι λαβεῖν, ὡς φαμὲν ex Arist. t 12 τόδε] ὅδε K 16. 17 τὸ ἁπλῶς - ζῴων om. K 19 οὐδὲ γὰρ L δὲ om. L 20 τὴν κινησι (sic) K 22 κινήσε K: κίνησις l. 23 p. 349,5 εἰ γὰρ ἦν—λεγομένων ex Themist. p. 204,9 sqq. ad verbum fere desumpta 25 ὑπῆρχε τῶν κατηγοριῶν LK: τῶν κατηγοριῶν ὑπῆρχεν Mt

www.libtool.com.cn

ἐκεῖνο τὸ γένος κατηγορίαις· νῦν δὲ ὡσαύτως ἔχει ἡ κίνησις, ὥσπερ ἔχει i 6r
τὰ πράγματα ἐν οἷς ἔστι· ἐπεὶ οὖν διαφέροντες οἱ λόγοι τῶν προειρη-
μένων γενῶν, δῆλον ὅτι καὶ τῶν ἐν αὐταῖς κινήσεων· ὥστε κἂν ἕνα ὁρισμὸν
ἀποδῷ τῆς κινήσεως, ὁμώνυμος ἔσται καὶ οὗτος καὶ τῶν πολλαχῶς λεγο-
5 μένων. καὶ πολύς ἐστιν ὁ Ἀλέξανδρος αὐτὸ τοῦτο κατασκευάζων, ὅτι ἡ
κίνησις οὐκ ἔστι γένος, ἀλλ' ὁμώνυμος φωνή. μήποτε οὖν ἔστιν εἰπεῖν,
ὅτι οὐ τὸ μὴ εἶναι | κίνησιν παρὰ τὰ πράγματα, τοῦτο ἐλέγχει τὴν κίνησιν i 6v
μὴ οὖσαν γένος, ἀλλ' ὥσπερ τὸ ἐπιστητὸν καθὸ μὲν ἐπιστητὸν τελεῖ ὑπὸ
γένος τὸ ποιόν, ἔστι μέντοι οὐ μόνον ἐν τῷ ποιῷ ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις
10 κατηγορίαις (καὶ γὰρ ἡ οὐσία ἐπιστητὸν καὶ ἑκάστη τῶν ἄλλων), οὕτω
φημὶ καὶ ἐπὶ κινήσεως· τελεῖ μὲν γὰρ καὶ αὐτὴ ὑπὸ τὸ ποσόν (ἔστι γὰρ
συνεχής, καὶ πανταχοῦ τοῦτο κατασκευάζει ὁ Ἀριστοτέλης ὅτι τῶν συνε-
χῶν ἡ κίνησις), ἐμφαίνεται δὲ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις. ὥστε εἰ 5
ὑπὸ τὸ ποσὸν ἡ κίνησις ἀνάγεται, γένος δὲ τὸ ποσόν, καὶ αὐτὴ ἂν εἴη
15 γένος ὑπάλληλον. καὶ εὐλόγως γε τοῦτο συμβέβηκε, λέγω δὴ τὸ μὴ ἐν
μιᾷ κατηγορίᾳ εἶναι τὴν κίνησιν, ὥσπερ οὐδὲ τὸ ἐπιστητόν, ἐπεὶ μηδὲ
διακεκριμέναι εἰσὶν ἀπ' ἀλλήλων αἱ κατηγορίαι, ἀλλὰ πᾶσαί εἰσι συμπε-
πλεγμέναι· εἰ μὲν γὰρ κεχωρισμέναι ἦσαν ἀπ' ἀλλήλων, οὐκ ἦν δυνατὸν
εὑρεῖν τὴν κίνησιν εἰ μὴ ἐν ποσῷ μόνον, ἐπειδὴ δὲ συμπεπλεγμέναι εἰσίν,
20 εἰκότως τὸ ἐν πλείοσι κατηγορίαις τὴν αὐτὴν εὑρεῖν οὐκ ἔστιν ἔξω λόγου. 10
ἀπορήσειε δ' ἄν τις ὅτι, εἰ τῶν συνεχῶν ἡ κίνησις καὶ διὰ τοῦτο ὑπὸ τὸ
ποσὸν ἀνάγεται, τί δήποτε ἐν Κατηγορίαις μὴ ἀνήγαγεν αὐτὴν ὁ Ἀριστο-
τέλης ὑπὸ τὰ τοῦ συνεχοῦς εἴδη; φαμὲν οὖν ὅτι αἱ κατηγορίαι εἰδῶν εἰσι
τελείων καὶ εἰδοπεποιημένων πραγμάτων, εἴρηται δὲ ὅτι ἡ κίνησις ἀτελής
25 ἐστιν ἐνέργεια καὶ ὁδὸς ἀπὸ δυνάμεως εἰς ἐνέργειαν· διὰ τοῦτο οὖν οὐκ
ἠδύνατο συναριθμηθῆναι τοῖς εἴδεσι τοῦ συνεχοῦς.

p. 201a3 Ἕκαστον δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε· τὸ μὲν 15
γὰρ μορφή, τὸ δὲ στέρησις.

Τὸ τέταρτον λῆμμα, ὅτι ἐν ἑκάστῃ κατηγορίᾳ ἐν αἷς ἔστιν ἡ κίνησις,
30 οὐκ ἔστιν ἁπλῆ τις ἀλλὰ διττή· ἐν ἑκάστῃ γάρ, φησί, κατηγορίᾳ θεωρεῖ- 20

---

2 ἐν οἷς ἐστι K Themistius: ἐν οἷς ἡ L: om. Mt 3 δῆλον (om. ὅτι) L 4 fort. ἀποδῷ τις) 5 ὁ] καὶ K Ἀλέξανδρος] cf. Simplic. p. 403,13 sqq. 7 παρὰ] hinc alia manus recentior et multo negligentior L 8 ἐπίστητον altero loco K 9 ἔστι τοιοῦτον ... ὁμόνον L 11 αὕτη L ποιὸν M ποσὸν 12 τοῦτο Mt: τοῦ K: ἢ τοῦτο L 13 κἀν ταῖς L εἰ om. Mt 14 αὕτη Lt 15 γε om. superscr. M 17 διακεκριμμέναι K t primitus M 18 ἀλλήλων αἱ κατηγορίαι L 19 τῷ ποσῷ Mt 20 κατηγορίαις om. Mt 21 εἰ] ἡ L et primitus M 23 τὰ] τὸ t εἴδη KM: εἴδους L: εἴδος t εἰδῶν] εἴδη L 24 ἀτελ ς (sic) M: ἀτελές t 25 ἐνέργεια LK: ἐνεργ M: ἐνεργεία t 26 συναριθμηθῆσαι (?) L 27 ὑπαρ M: ὑπάρχειν L τὸ (post οἷον) om. (L)t 28 μορφὴ αὐτοῦ ex Aristotele t 30 γὰρ κατηγορίᾳ φησὶ L

www.libtool.com.cn

ται τὸ μὲν εἶδός τι τὸ δὲ στέρησις. καὶ γίνεται ἡ ὁδὸς ἤτοι ἀπὸ τοῦ εἴ- i 6v
δους ἐπὶ τὴν στέρησιν ἢ ἀπὸ τῆς στερήσεως ἐπὶ τὸ εἶδος. εἴρηται δὲ ὅτι
στέρησιν καλεῖ τὸ χεῖρον τῶν ἀντικειμένων, εἶδος δὲ τὸ κρεῖττον.

p. 201a9 Διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ
5 τοῦ δὲ δυνάμει.

Ἐκθέμενος τὰ εἰρημένα ἀξιώματα, βούλεται λοιπὸν τὸν ὁρισμὸν τῆς 25
κινήσεως ἀποδοῦναι. καὶ ἐπειδὴ εἰς τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ συμβάλλε-
ται αὐτῷ τὸ πρῶτον τῶν λημμάτων, ἀναλαμβάνει πάλιν τοῦτο, ὅτι ἕκαστον
τῶν τοῦ ὄντος γενῶν διῄρηται κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· ἔστιν οὖν,
10 φησίν, ἡ κίνησις ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστι,
τουτέστι καθὸ ἕκαστον ἔχει τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἔτι σῳζομένου τοῦ
δυνάμει.

p. 201a11 Τοῦ μὲν ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτόν, ἀλλοίωσις. 30

Ὁρισάμενος καθόλου τὴν κίνησιν, ἐφαρμόζει τὸν λόγον ἐπὶ τῶν κατὰ
15 μέρος κινήσεων. καλῶς οὖν φησι τὴν κατὰ ποιὸν κίνησιν ἀλλοίωσιν· ἔστι
γὰρ τελειότης τοῦ ἀλλοιωτοῦ, καθὸ ἀλλοιωτόν. τὸ γὰρ ἀλλοιωτὸν πρὶν
ἄρξηται ἀλλοιοῦσθαι, οἷον λευκαίνεσθαι ἢ μελαίνεσθαι, ἀτελῆ τὴν δύναμιν
ἔχει, τότε δὲ τελειοῦται τὸ ἀλλοιωτόν, ὅταν τὴν κατὰ δύναμιν κίνησιν λάβῃ.

p. 201a12 Τοῦ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου αὐτῷ φθιτοῦ 35
20 (οὐθὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν) αὔξησις καὶ φθίσις.

Οὐχ ὥσπερ, φησίν, ἐπὶ τῆς λευκάνσεως καὶ μελάνσεως, καὶ ψύξεως
καὶ θερμάνσεως, καὶ πάσης τῆς κατὰ τὰς ἐναντίας ποιότητας μεταβολῆς
ἔχομεν κοινὸν ὄνομα τὴν ἀλλοίωσιν, οὕτως καὶ ἐπὶ αὐξήσεως καὶ φθίσεως,
τοῦτο δέ ἐστι τῆς κατὰ τὸ ποσὸν μεταβολῆς. ἀλλ' ἰδίοις ὀνόμασιν αἱ κατὰ
25 τὰ ἐναντία μεταβολαὶ ὠνομάσθησαν, ἡ μὲν αὔξησις ἡ δὲ φθίσις, κοινὸν 40
μηδὲν ἔχουσαι ὄνομα.

1 εἶτα ante corr. M 2 εἴρηται cf. p. 217.22. 361.5 2. 3 ὅτι τὸ χεῖρον τῶν ἀντικειμένων καλεῖ στέρησιν l. 4 ἐντέλεχεια K 6 τὸν ὁρισμὸν iterata delet M 8 τοῦτον L 9 διῄρηται M 10 ᾗ ἡ K ἐστι l.t: om. Arist. cod. E. at cf. ad p. 342.11 11 καὶ om. l. 13 ὅτι, τοῦ μὲν ex Arist. t 15 κατὰ τὸ ποσὸν Mt 17 ἄρξεται L 18 τὴν κατὰ τὰ κατὰ τὴν l. 19 δ' αὐξητοῦ M καὶ τοῦ εἶναι ἀντικείμ K αὐτῷ l.M: αὐτῶν K: om. cum Arist. t 22 πάσης τῆς πάλιν τῆς (corr. ex πάσι τ...) l. 23 οὕτω t 24 ἴδιοις K 25 τὰ ἐναντία μεταβολαὶ KMt: τὰς ἐναντίας μεταβολὰς l.

www.libtool.com.cn

p. 201a16 Ὅταν γὰρ τὸ οἰκοδομητόν, ᾗ τοιοῦτον αὐτὸ λέγομεν i 6v
εἶναι, ἐντελεχείᾳ ᾗ, οἰκοδομεῖται, καὶ ἔστι τοῦτο οἰκοδόμησις.

Παραδείγματι πιστοῦται, ὅτι καλῶς ἀποδέδοται ὁ τῆς κινήσεως ὁρισμός. οἱ λίθοι δυνάμει εἰσὶν οἰκοδομητοί· ὅταν οὖν οἰκοδομῶνται, τότε τελειό- 45
τητα ἔχουσι τὴν κατὰ τὴν δύναμιν ἐνεργείᾳ ὄντες οἰκοδομητοί, καὶ καλεῖ-
ται ἡ τοιαύτη αὐτῶν ἐνέργεια οἰκοδόμησις, ἡ δὲ οἰκοδόμησις κίνησις· ὥστε
καὶ ἡ τοῦ αὐξητοῦ ᾗ αὐξητὸν ἐνέργεια κίνησις ἂν εἴη αὔξησις καλουμένη,
καὶ ἡ τοῦ φορητοῦ ᾗ φορητόν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἀποδίδωσι
δὲ τὴν κίνησιν ὁ Θεμίστιος ὀλίγον μεταβαλών, ὅτι ἔστιν ἡ τοῦ δυνάμει
ὄντος πρώτη ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν· ὑστάτην μὲν γὰρ εἶναι ἐντε-
λέχειαν τὴν εἰς τὸ εἶδος μεταβολὴν ἐν ᾧ ἠρεμεῖ λοιπόν, πρώτην δὲ τὴν 50
ἐπ' ἐκεῖνο πορείαν ἥτις ἐστὶ κίνησις. καὶ ἡ μὲν προτέρα ἐντελέχεια ἀτε-
λής ἐστιν ἐνέργεια (ὁδεύει γὰρ ἐπὶ τὸ εἶδος καὶ τὴν κυρίως τε καὶ ἁπλῶς
ἐντελέχειαν), ἡ δὲ ὑστέρα τελεία· ἠρεμεῖ γὰρ ἐν αὐτῇ γενόμενον τὸ κινού-
μενον καὶ τοῦ δυνάμει παντελῶς ἀπαλλάττεται.

p. 201a19 Ἐπεὶ δὲ ἔνια τούτων καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν. |

Εἰπὼν τί ποτέ ἐστιν ἡ κίνησις, βούλεται νῦν δεῖξαι ὅτι ἔστι τινὰ ἃ i 7r
πρὸς τῷ κινεῖσθαι καὶ κινεῖ. ἅμα δὲ καὶ ἀπορίαν τινὰ ἐπιλύεται ἐκ τούτων
φερομένην εἰς τὸν περὶ κινήσεως λόγον· εἰ γάρ ἐστι τὰ κινοῦντα ἅμα καὶ
κινούμενα, τὸ δὲ κινοῦν καθὸ κινεῖ ἐνεργείᾳ ἐστί, τινὰ ἄρα τῶν κινουμένων
ἐνεργείᾳ ἐστίν· ἀλλ' ἐλέγετο ἡ κίνησις ἐντελέχεια εἶναι τοῦ δυνάμει, ᾗ
τοιοῦτόν ἐστιν· ὥστε ἢ ὁ ὁρισμὸς τῆς κινήσεως ψευδής, ἢ τὸ εἶναί τινα 5
τὰ πρὸς τῷ κινεῖσθαι καὶ κινοῦντα· ἀλλὰ μὴν τοῦτο ἀληθές· ὁ τῆς κινή-
σεως ἄρα ὁρισμὸς οὐκ ἀληθής. ἡ μὲν οὖν ἀπορία τοιαύτη, ἐπιλύεται δὲ
αὐτὴν ἐκ τῶν ἐνταῦθα εἰρημένων· δείκνυσι γὰρ ὅπως τινὰ τῶν κινούντων
καὶ ἀντικινεῖται, καὶ πρότερόν γε ὅτι ἔστι τινὰ κινοῦντά τε ἅμα καὶ κινού-
μενα. δείκνυσι δὲ τοῦτο ἀξιώματι χρησάμενος τῷ προειλημμένῳ, προεί-

---

1 plenius Ὅτι δὲ τοῦτό — δῆλον· ὅταν κτλ. ex Arist. t ᾗ] ἢ K 2 ἐντελέχεια K ᾗ t: ἢ LM: ἡ K cf. Metaph. K 9 p. 1065b18 ἔστιν K 3 παραδίγματι K ἀποδίδοται L 4 οἰκοδομῶνται L: οἰκοδομοῦνται (οῦ corr. ex ῶ vel viceversa) M: οἰκοδομοῦνται (K)t 5 alterum τὴν om. L ἐνεργείᾳ (cf. p. 343,5) t: ἐνερ M: ἐνέργεια K: ἐνέργειαν L 6 ἐνέργεια LK: ἐνερ M: ἐνεργεία t 9 Θεμίστιος p. 206,22 sqq. 11 τὴν (post δὲ) om. superscr. K 12 ἥτις ἔτι κίνησίς ἐστιν Themistius 13 ἐνεργεία K τε om. L 15 τοῦ L: τὸ KMt at cf. p. 341,3 etc. 16 δ' ἔνια Mt τούτων (cf. Simplic. p. 417,29 cod. F) LKM: τὰ αὐτὰ (cf. p. 354,13 ex Arist. t 17 ἡ om. Mt βούλεται νῦν KMt: νῦν βούλεται L 18 τῷ] τὸ KM 19 τὰ] τὸ M 20 τίνα M κινουμένων corr. L² M² et t: κινούντων KLM 21 ἀλλ' ἐγένετο (sic) M 22 ὁ om. LK 23 τοῦτο ἀλήθεια L 24 οὖν om. t 25 αὐτὴν] αὕτη proclivi errore (cf. ad p 5r53) K

www.libtool.com.cn

ληπται δὲ ὅτι τῶν ὄντων τὰ μὲν μόνως ἐστὶν ἐνεργείᾳ τὰ δὲ δυνάμει καὶ i 7r
ἐνεργείᾳ. πάντα δὲ τὰ τοιαῦτα ἐξ ἀνάγκης κινοῦντα καὶ κινηθήσεται, ἀλλ' 10
οὐ κατὰ ταὐτὸν καὶ κινεῖ καὶ κινεῖται, ἀλλὰ κινεῖται μὲν καθό ἐστι δυνάμει,
κινεῖ δὲ καθό ἐστιν ἐνεργείᾳ· οἷον τὸ πῦρ ἐνεργείᾳ μὲν θερμόν, δυνάμει
5 δὲ ψυχρόν, διὸ καὶ κινεῖ μὲν καθό ἐστιν ἐνεργείᾳ θερμαῖνον τὸ ὕδωρ,
ἀντιπάσχει δὲ καθὸ δυνάμει ἐστὶ ψυχρὸν ἀποσβεννύμενον καὶ μεταβάλλον
ἢ εἰς γῆν ἢ εἰς ἀέρα· καὶ τὸ ὕδωρ ὡσαύτως ψύχει μὲν καθὸ ἐνεργείᾳ
ἐστὶ ψυχρόν, θερμαίνεται δὲ καθὸ δυνάμει ἐστὶ θερμόν. ὥστε ἐκ τούτων
καὶ ἡ ἀπορία ἐπιλέλυται, ἦν δὲ ἡ ἀπορία, ὅτι εἰ τὸ κινούμενον καὶ κινεῖ, 15
10 πᾶν δὲ τὸ κινοῦν ἐνεργείᾳ ἐστί, τὸ κινούμενον ἄρα ἐνεργείᾳ ἐστίν· ἐλέγομεν
δὲ τὸ κινούμενον ἔτι ἐν τῷ δυνάμει εἶναι· αὕτη οὖν ἡ ἀπορία ἐπιλέλυται
ἐκ τῶν εἰρημένων, ὅτι εἰ καὶ τὸ κινούμενον πάντως καὶ κινεῖ, ἀλλ' οὐ
καθὸ κινεῖται κατὰ τοῦτο καὶ κινεῖ, ἀλλὰ κινεῖται μὲν καθὸ δυνάμει ἐστί,
λέγω δὴ κατὰ τὴν ὕλην, κινεῖ δὲ καθὸ ἐνεργείᾳ ἐστί, λέγω δὴ κατὰ τὸ
15 εἶδος. οὐκ ἄρα εἰ τὸ κινούμενον καὶ κινεῖ, ἤδη γε τὸ κινούμενον ἐνεργείᾳ
ἔσται· οὐ γὰρ καθὸ κινεῖται, κατὰ τοῦτο καὶ κινεῖ.

Ταῦτα εἰπὼν ἀναλαμβάνει τὸν περὶ τῆς κινήσεως ὁρισμὸν σαφέστερον αὐ-
τὸν ἐξηγήσασθαι βουλόμενος, ἐπὶ τέλει δὲ καὶ διαρθρῶσαι μᾶλλον, ἅμα δὲ δεί- 20
κνυσι πάλιν ὅτι οὐκ ἔστι ταὐτὸν τῷ ὑποκειμένῳ ἡ δύναμις, ἀλλὰ ἄλλο μέν τί
20 ἐστιν ἑκάστῳ καθὸ τόδε τι λέγεται, ἄλλο δὲ καθὸ δυνάμει τόδε· οἷον οὐ ταὐτὸν
τῷ χαλκῷ τὸ χαλκῷ εἶναι καὶ δυνάμει ἀνδριάντι. ὅτι οὖν ἑτέρα ἡ δύναμις
παρὰ τὸ ὑποκείμενον, δείκνυσι μὲν καὶ πολλοῖς ἄλλοις παραδείγμασιν· οἷον
οὐ ταὐτόν, φησί, τῷ χρώματι τὸ χρώματι εἶναι καὶ δυνάμει ὁρατῷ, ἀλλ'
ἔστι μὲν χρῶμα ἐνεργείᾳ κἂν μὴ ὁρᾶται, οἷον ἐν τῇ νυκτί, ὁρατὸν δὲ οὐκ
25 ἔστιν εἰ μὴ δυνάμει· καὶ τὸ μὲν χρῶμα, κἄν τε ὁρᾶται κἄν τε μή, ἐνερ- 25
γείᾳ ἐστί, τὸ δὲ ὁρατὸν οὐκ ἀεὶ ὡσαύτως ἔχει ὡς τὸ χρῶμα. ὥστε οὐ
ταὐτὸν τῷ ὑποκειμένῳ ἡ δύναμις, ἐπεὶ ὁμοίως ἂν εἶχον ἀεί. καὶ ὁ χαλκὸς
ἀεὶ μέν ἐστι χαλκὸς ἐνεργείᾳ, ἀνδριὰς δὲ οὐκ ἀεί, ἀλλὰ ποτὲ μὲν δυνάμει
ποτὲ δὲ ἐνεργείᾳ. μάλιστα δὲ ἐκ τῶν ἐναντίων δυνάμεων δείκνυσιν, ὅτι
30 ἑτέρα ἐστὶν ἡ δύναμις τοῦ ὑποκειμένου· ἐπεὶ γὰρ τὸ ζῷον δύναται νοσεῖν,
καὶ οὐ μόνον ἀλλὰ καὶ ὑγιαίνειν, εἴ γε ἦν ἡ δύναμις ταὐτὸν τῷ ὑποκει-
μένῳ, οὐ μία δήπου δύναμις ταὐτὸν ἦν τῷ ὑποκειμένῳ, ἀλλὰ πᾶσαι. ὥστε 30
εἰ ἡ τοῦ νοσεῖν δύναμις ταὐτὸν τῷ ὑποκειμένῳ, δῆλον δήπου ὅτι καὶ ἡ

---

2 ἐνέργεια t 3 κινεῖ] κινεῖται ante corr. M 4 ἐνεργείᾳ priore loco M πῦρ ἔστι μὲν ἐνεργείᾳ L 5 μὲν θερμαίνον (sic) K 9 et 11 ἐπιλύεται L 10 κινοῦν L: κινούμενον KMt ἐνέργεια utrobique K τὸ κινούμενον ἄρα — ἐστίν om. L 14 ἐνέργεια K 15. 16 ἤδη γε — καὶ κινεῖ om. Mt 15 ἐνεργείᾳ L: ἐνέργεια K 17 τῆς om. Mt 19 ἀλλὰ (ἀλλ' t) ἄλλο LMt: ἀλλὰ ἄλλον K 20 ἐστιν LK: ἔσται Mt ἑκα M: ἑκάστου t 21 τὸ χαλκῷ (ex χάλκον corr.) L: τῷ χαλκῷ KM: om. t 23 φασι L τὸ LK: τῷ Mt καὶ om. L ὁρατοῦ L 24 ὁρᾶται t τῇ νυκτι primitus M 25. 26 ἐνέργεια K 27 εἶχεν Mt 29 μάλιστα M 30 ἐνὑποκειμένου M 32 δύναμις ταυτὸν ἦν L: ταυτὸν ἦν δύναμις K: ἦν δύναμις ταυτὸν Mt 33 εἰ ἡ] εἴη K

www.libtool.com.cn

τοῦ ὑγιαίνειν. εἰ δὲ ἄμφω τῷ ὑποκειμένῳ αἱ αὐταί, καὶ ἀλλήλαις δήπου· i 7r
τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά. εἰ δὲ ἡ τοῦ νοσεῖν δύναμις
τῇ τοῦ ὑγιαίνειν ταὐτόν, καὶ τὸ νοσεῖν δήπου τῷ ὑγιαίνειν ταὐτὸν ἂν εἴη·
ὥστε τὰ ἐναντία ταὐτὰ ἂν εἶεν. οὐκ ἄρα ταὐτὸν ἡ δύναμις τῷ ὑποκει-
5 μένῳ. εἰ δὲ οὐ ταὐτὸν ἡ δύναμις τῷ ὑποκειμένῳ, καλῶς ἄρα ἡμῖν ὁ τῆς
κινήσεως ὁρισμὸς ἀπεδόθη, ὅτι "ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦ- 35
τόν ἐστι". τοῦτο οὖν κίνησις ἀκριβῶς, προσθέντων ἡμῶν τὸ "ἡ τοιοῦτόν
ἐστι". δεῖ γὰρ τὸ κινούμενον κατ' ἄλλο μὲν εἶναι ἐνεργείᾳ, κατ' ἄλλο δὲ
δυνάμει· οὐδὲν γὰρ κινεῖται μόνως δυνάμει ὄν, διότι μηδέν ἐστί τι μόνως
10 δυνάμει ὄν, διόπερ ἡ ὕλη οὐδὲ κινεῖται καθ' αὑτήν, διότι μηδὲ ἔστι καθ'
αὑτήν. δεῖ οὖν τὸ κινούμενον καὶ ἐνεργείᾳ εἶναι καὶ δυνάμει, ἀλλὰ κινεῖ-
σθαι οὐ καθό ἐστιν ἐνεργείᾳ, ἀλλὰ καθό ἐστι δυνάμει· οἷον ὁ χαλκὸς
ἐστὶ μὲν καὶ ἐνεργείᾳ αὐτὸ τοῦτο χαλκός, ἐστὶ δὲ καὶ δυνάμει ἀνδριάς· 40
ὅταν οὖν τὸ δυνάμει τοῦτο εἰς ἐνέργειαν ἄγηται ὑπὸ τοῦ ἀνδριαντοποιοῦ,
15 τότε φαμὲν κινεῖσθαι τὸν χαλκόν. ἀλλὰ κινεῖται οὐ καθό ἐστιν ἐνεργείᾳ,
τοῦτο δέ ἐστιν οὐ καθὸ χαλκός (ἀκίνητος γὰρ κατὰ τοῦτο· οὐ γὰρ μεταβάλλει τὴν τοῦ χαλκοῦ οὐσίαν ἐν τῷ γίνεσθαι ἀνδριάς), ἀλλὰ καθό ἐστι δυνάμει, τοῦ δυνάμει τούτου τὴν ἐνέργειαν τὴν ἑαυτοῦ παραλαμβάνοντος καὶ ἀγομένου εἰς τὴν τελείαν ἐνέργειαν, ἔνθα γενόμενον ἀφανίζεται λοιπὸν
20 τὸ δυνάμει. ἡ κίνησις ἄρα ἐνέργειά ἐστι τῆς δυνάμεως ἔτι σῳζομένης. 45

Οὕτω τὸν ὁρισμὸν τῆς κινήσεως ἐξηγησάμενος καὶ ἀποδείξας, ἐφεξῆς διὰ πλειόνων κατασκευάζει ὅτι οὐδὲ δυνατὸν ἄλλως ἀποδοῦναι τὸν περὶ κινήσεως λόγον· καὶ πρῶτόν γε ἐκ τῆς τοῦ χρόνου διαφορᾶς τοῦ πράγματος, περὶ ὃ θεωρεῖται ἡ κίνησις. ὁ γὰρ χαλκὸς ὁ δυνάμει ὢν ἀνδριὰς διῄρηται
25 τριχῇ τῷ χρόνῳ· ποτὲ μὲν γὰρ μόνως ἐστὶ δυνάμει ἀνδριάς, ὅταν μήπω σχηματίζηται ὑπὸ τοῦ τεχνίτου, ποτὲ δὲ μόνως ἐνεργείᾳ οὐδαμῶς δὲ δυνάμει, ὅταν ἤδη τὸ εἶδος τοῦ ἀνδριάντος ἀπολάβῃ, ποτὲ δέ ἐστιν ἐν τῷ 50
μεταξὺ χρόνῳ, ὅταν ἐκ τοῦ δυνάμει ἄγηται ἐπὶ τὸ εἶδος ἔτι τῆς δυνάμεως ἐνούσης. τριττῆς οὖν οὔσης τῆς τοιαύτης διαφορᾶς τῶν χρόνων, ἐν ποίῳ
30 θετέον τὴν κίνησιν; οὔτε γὰρ ὅτε μόνως ἐστὶ δυνάμει κινεῖται, μήπω τῆς διαπλαστικῆς τέχνης δρασάσης τι εἰς τὸν χαλκόν, οὔτε μὴν ὅταν ἀπειληφὼς εἴη τὸ τοῦ ἀνδριάντος εἶδος· οὐκέτι γὰρ ἐνεργεῖ εἰς αὐτὸν ἡ διαπλαστικὴ

---

1 ἄμφω τὸ ὑποκείμ αἱ αὐταὶ καὶ καὶ ἄλλεν δήπου K 2 τῷ αὐτῷ] τῶν αὐτῶν K ταυτὰ καὶ ἀλλήλοις ταυτά L: τὰ αὐτὰ καὶ ἄλλοις ταυτά K: τὰ αὐτὰ καὶ ἀλλήλοις τὰ αὐτά Mt ἡ LK: καὶ Mt 3 καὶ τὸ — ταὐτόν om. K 5 ἡμῖν om. Mt

10 οὐδὲ] οὐ L 11 αὑτήν] αὐτὸν ἐνεργεία L τὸ κινούμ/ (sic) K
11. 12 κινεῖσθαι LK: κινεῖται Mt 12 ἐνέργεια K 13 καὶ (ante ἐνεργείᾳ) om. L ἀνδρειὰς K 14 ἀνάνδριαντοποιοῦ L 15 κινεῖται (post ἀλλὰ) LK et corr. M: κινεῖσθαι primitus M et t 16 ἀκίνητον L 18 ἀποπαραλαμβάνοντος K

19 γενόμ/ M: γενομένου t 20 τὸ] τῇ K 24 τοῦ περὶ L ὃ om. superscr. K
25 ἐστὶν ἀνδριὰς δυνάμει Mt 26 σχηματίζεται K 27 ante ὅταν ἤδη delet ἀνδριὰς δὲ M 28 ἐπὶ] πρὸς L 32 εἴη KM: ἡ corrigunt (L)t τὸ εἶδος τοῦ ἀνδριάντος L οὐκ ἔτι libri ἤδηπλαστικὴ hic et p. 354,2 K

www.libtool.com.cn

τέχνη ἀπειληφότα γε ἅπαξ τὸ εἶδος. λείπεται οὖν ἐν τῷ μέσῳ χρόνῳ i 7r
εἶναι τὴν κίνησιν, ἔνθα ἐκί[νει τὸν χαλκὸν ἡ διαπλαστικὴ τέχνη καὶ ἦγεν i 7v
ἐκ τῆς δυνάμεως ἐπὶ τὸ εἶδος, ἔτι τοῦ δυνάμει ἐν τῷ χαλκῷ σῳζομένου.
ὁμοίως δὲ καὶ ἐπὶ δυνάμει οἰκίας κινεῖσθαί φαμεν τὴν οἰκίαν οὔτε ὅτε
5 μόνως τὸ δυνάμει ἔχει τὸ οἰκοδομητόν (οἷον ὅτε ἔκειντο οἱ λίθοι καὶ τὰ
ξύλα μηδὲν τοῦ οἰκοδόμου εἰς αὐτὰ ποιοῦντος), οὔτε ὅτε ἐγένετο τελείως
ἡ οἰκία καὶ ἀπείληφε τὸ αὑτῆς εἶδος· οὐ γὰρ οἰκοδομεῖται τότε, ἀλλ'
ᾠκοδόμηται ἤδη· ἡ γὰρ οἰκοδόμησίς ἐστι σῳζομένου ἔτι τοῦ οἰκοδομητοῦ. 5
ὥστε μόνως κατὰ τὸν μέσον χρόνον ἂν εἴη ἡ κίνησις, ὅτε καὶ ἡ οἰκοδό-
10 μησις· οὐ γὰρ ἄλλο ἐστὶν ἡ οἰκοδόμησις ἢ κίνησις ἐκ τῆς πρώτης δυνά-
μεως εἰς τὴν τελείαν ἐνέργειαν, ἀλλ' ἔστ' ἂν ᾖ ἡ οἰκοδόμησις, οὔπω
ἀπήλλακται τοῦ δυνάμει τὸ οἰκοδομητόν, ἐπεὶ οὐδ' ἂν ἔτι ἐκινεῖτο.

Ἐπεὶ δ' ἔνια ταὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν. ἔχο-
μεν τοῦτο εἰλημμένον ἐκ τῶν πρότερον ἐκτεθέντων ἀξιωμάτων. τοιαῦτα δέ
15 ἐστι πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ· ἄλλο μὲν γάρ εἰσιν ἐνεργείᾳ ἄλλο 10
δὲ δυνάμει, ἐπειδὴ πέφυκε πᾶν εἰς πᾶν μεταβάλλειν. οὐχ ἅμα δὲ ἢ οὐ
κατὰ ταὐτόν. εἰ μὲν ἅμα ᾗ τι δυνάμει καὶ ἐνεργείᾳ, οὐχ οἷόν τε κατὰ
τὸ αὐτὸ εἶδος εἶναι δυνάμει καὶ ἐνεργείᾳ (ἐν γὰρ τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ
καὶ δυνάμει εἶναι καὶ ἐνεργείᾳ ἀδύνατον, οἷον θερμὸν καὶ δυνάμει καὶ
20 ἐνεργείᾳ, ἀλλ' ἐν τῷ αὐτῷ χρόνῳ θερμὸν μὲν ἔσται δυνάμει ψυχρὸν δὲ
ἐνεργείᾳ), εἰ δὲ καθ' ἓν καὶ τὸ αὐτὸ ᾗ τι δυνάμει καὶ ἐνεργείᾳ, ἀδύνατον
κατὰ τὸν αὐτὸν χρόνον ἄμφω εἶναι, ἀλλ' ἔσται ἄλλοτε μὲν δυνάμει θερμὸν
ἢ ψυχρόν, ἄλλοτε δὲ τὸ αὐτὸ ἐνεργείᾳ.

p. 201a23 Ἅπαν γὰρ ἔσται ποιητικὸν καὶ παθητικόν.

25 Ἅπαν, φησίν, ὅπερ ἔχει καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, ποιητικὸν
ἔσται καὶ παθητικόν, ποιητικὸν μὲν κατὰ τὸ ἐνεργείᾳ (ποιοῦσι γὰρ τὰ εἴδη), 15
παθητικὸν δὲ κατὰ τὸ δυνάμει· ἡ γὰρ ὕλη παθητικόν, τὸ δὲ δυνάμει
ἡ ὕλη.

---

1 ἀπειληφότος L 2 ἐκείνει ante corr. M 4 ἐπὶ δυνάμεως L οἰκίας· οὐ γὰρ κινεῖσθαι φαμὲν t 7 καὶ om. M post ἀπείληφε iterat τελείως L αὑτῆς scripsi: ἑαυτῆς LK: αὐτῆς Mt 8 τοῦ οἰκοδομήματος L 10 οἰκοδόμησις ἢ scripsi: οἰκοδομὴ (cf. ad p. 231,1. 254,1) ἧς ἡ libri 11 τὴν τελείαν in marg. L²: τ τέλος in textu L ἔστ' ἂν M ἡ om. Mt 13 δὲ ἔνια K ταὐτὰ scripsi ex Aristotele: ταῦτα LK: τὰ αὐτὰ Mt: τούτων p. 351,16 14 εἰλημένον K πρότερον compend. M: προτέρων t 14. 15 ταῦτα δ' ἐστὶ Mt 15 εἰσιν] ἐστιν L ἐνέργεια K 16 ἐπεὶ δὲ t μεταβαλειν (sine accentu) K οὐ L: om. KMt 17 κατ' αὐτὸν K ᾗ τι scripsi: ἤτι, ut videtur, K: ἢν τῇ L: τῇ Mt 18 εἶναι καὶ δυνάμει καὶ L 19. 22 οἷον θερμὸν—ἄμφω εἶναι LK: κατὰ τὸν αὐτὸν χρόνον ἄμφω εἶναι ceteris omissis M: omnia om. t 21 ἢ τί L: ἡ τί K 22 αὐτὸν KM: om. L 24 ποιητικὸν καὶ KM: τὸ ποιητικόν τε καὶ L: ἅμα ποιητικὸν καὶ ex Arist. t 25. 26 Ἅπαν, φησίν—καὶ παθητικόν om. Mt 27 ὕλη παθητική L

www.libtool.com.cn

p. 201a23 Ὥστε καὶ τὸ κινοῦν φυσικῶς κινητόν. i 7v

Τὸ φυσικῶς οὐ πρὸς τὸ κινούμενον ἀκουστέον, ὅτι τὸ κινούμενον ὑπὸ τοῦ κινοῦντος φυσικῶς ὑπ' αὐτοῦ κινεῖται καὶ οὐ βίᾳ· οὐ γὰρ ἀνάγκη πᾶν τὸ οὕτως κινοῦν καὶ αὐτὸ κινεῖσθαι. καὶ ἡ ψυχὴ γάρ, ἡ λογικὴ λέγω, κινεῖ τὰ σώματα οὐ βίᾳ ἀλλὰ φυσικῶς, ἀλλ' ὅμως αὐτὴ οὐ κινεῖται. ὁμοίως καὶ ἐπὶ τῆς τὰ οὐράνια κινούσης δυνάμεως, καθάπερ καὶ αὐτὸς ἐν τοῖς ἔμπροσθεν εἶπεν ὅτι "δύο αἱ ἀρχαὶ ⟨αἱ κινοῦσαι⟩ φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσική". ἀλλὰ τὸ φυσικῶς πρὸς τὸ κινοῦν ἀκουστέον, ὅτι τὸ οὕτως κινοῦν, ὥσπερ τὰ φυσικὰ πράγματα κινεῖν πέφυκε, πάντως καὶ αὐτὸ κινητὸν ἔσται· οὐδὲν γὰρ τῶν φυσικῶς κινούντων ἀκίνητον. καὶ αὐτὴ γὰρ ἡ φύσις κινοῦσα τὰ σώματα καὶ αὐτὴ συγκινεῖται ἀλλοιουμένη καὶ ἀμυδροτέρα γινομένη, καὶ ἡ αὐξητικὴ δύναμις καὶ ἡ ἀλλοιωτικὴ καὶ ἡ γεννητικὴ καὶ πᾶσαι αἱ ἄλλαι ἐξασθενοῦσιν. εἰ μὲν οὖν περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ φησι μόνων ὅτι τὸ κινοῦν φυσικῶς κινητόν ἐστι, τὸ κινητὸν ἀντὶ τοῦ ἀντικίνητον ἀκουσόμεθα, ὅτι πᾶν τὸ κινοῦν καὶ ἀντικινεῖται· εἰ δὲ ἐπὶ πάντων ἁπλῶς τῶν φυσικῶν καὶ ἐπὶ τῶν οὐρανίων, τὸ κινητὸν μόνως τὸ κινούμενον ἀκουσόμεθα. καὶ γὰρ τὰ οὐράνια οὐκ ἀκίνητα ὄντα κινεῖ, ἀλλὰ κινούμενα καὶ αὐτά, οὐ μέντοι ἀντικινούμενα· κινούμενα γὰρ τὰ οὐράνια κινεῖ τὰ τῇδε, ὑπὸ μέντοι τούτων οὐκ ἀντιπάσχει.

p. 201a25 Δοκεῖ μὲν οὖν τισιν ἅπαν κινεῖσθαι τὸ κινοῦν, οὐ μὴν ἀλλὰ περὶ τούτων μὲν ἐξ ἄλλων ἔσται δῆλον ὅπως ἔχει.

Ἐπειδὴ ἔδειξεν ὅτι ἔστι τινὰ κινούμενά τε καὶ κινοῦντα, φησὶν ὅτι τινὲς ὑπέλαβον ὅτι πᾶν τὸ κινοῦν πάντως καὶ αὐτὸ κινεῖται. ὅτι δὲ οὐχ οὕτως ἔχει, φησί, δῆλον ἔσται ἐν ἄλλοις, καὶ ὑπερτίθεται τὸν λόγον τοῦτον ἐν τῷ ὀγδόῳ ταύτης τῆς πραγματείας, ἐν ᾧ δείκνυσιν ὅτι οὐ πᾶν τὸ κινοῦν καὶ κινεῖται. καὶ τέως τὸ ὀρεκτὸν κινεῖ αὐτὸ μὴ κινούμενον, ἡ εἰκὼν κινεῖ τὸν ἐρῶντα αὐτὴ μὴ κινουμένη, καὶ ὁ ἄρτος κινεῖ τὸν πεινῶντα αὐτὸς μὴ κινούμενος, καὶ ὁ χόρτος τὸν ὄνον.

---

3 ὁμοίως] ὅτιμοίως (sic) K αὐτὸς LK: αὐτ̄ M: αὐτὸ t 7 ἔμπροσθεν B 7 p. 198a35 αἱ (post δύο) om. L αἱ κινοῦσαι addidi 8 οὕτως] ὄντως K: οὕτω t 11. 12 ἀμυδρότερα (KM)t 14 μόνον L 15 τοῦ ἀκίνητον M (ντι) 15. 16 ὅτι πᾶν — οὐρανίων iterat L 15 ὅτι τὸ πᾶν τὸ Mt 16 μόνον Mt distinguunt libri, si silentio fides, non post οὐρανίων, sed post κινητὸν 17. 18 ἀλλὰ κινούμενα (p.) κινοῦμεν superscr. M² 18 ἀντικειμένα M 19 μέντοι τούτων LKM: δὲ τοιούτων t οὐ πάσχει M (κάντι) 20 δωκεῖ K 21 τούτων μὲν KM: τούτων (om. μὲν) L: μὲν οὐτων t: variant Aristotelis libri 22 κινοῦντα καὶ κινούμενα (om. τε) L 24 ἐστὶν L 25 ἐν τῷ ὀγδόῳ κτλ. c. 5 ταύτης τῆς φυσικῆς πραγματείας L 26 αὐτὸ κινεῖ μὴ L καὶ ἡ εἰκὼν Mt 27 ἐρῶντα scripsi: ὁρῶντα libri at cf. p. 371,2 sq. αὐτὴ om. Mt

www.libtool.com.cn

p. 201a27 Ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ i 7r
⟨ἤ⟩ αὐτὸ ἢ ἄλλο, ἧ κινητόν, κίνησίς ἐστι.

Τὸν ὁρισμὸν τῆς κινήσεως ἀναλαμβάνει. διττὴ δὲ φέρεται ἡ γραφή, 40
μία μὲν αὕτη ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ,
5 οὐχ ἧ αὐτὸ ἀλλ' ἢ ἄλλο, κίνησίς ἐστι, τουτέστιν ἡ δὲ ἐνέργεια τοῦ
δυνάμει ὄντος, ὅταν τοῦτο τὸ δυνάμει ἐντελεχείᾳ ἄλλο τι ὑπάρχον ἐνεργῇ,
οὐχ ἧ ἐστιν ἐντελεχείᾳ ἀλλ' ἧ δυνάμει, τοῦτό ἐστιν ἡ κίνησις. γράφει δὲ
καὶ ἑτέραν γραφὴν ὁ Ἀλέξανδρος φερομένην ἐν τοῖς παλαιοτέροις τῶν ἀντι-
γράφων· ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ αὐτὸ
10 ἢ ἄλλο, ἧ κινητόν, κίνησίς ἐστι. ὑπερβατῶς δὲ ἀναγνωστέον 'ἡ δὲ 45
τοῦ δυνάμει ὄντος ἐνέργεια, ὅταν ἄλλο τι ὂν ἐντελεχείᾳ ἐνεργῇ, ἧ κινητόν
ἐστι, τοῦτό ἐστι κίνησις'. τὸ δὲ ἢ αὐτὸ ἢ ἄλλο, ἐπειδὴ τῶν κινούντων
τὰ μὲν ἐν ἑαυτοῖς ἔχει τὴν ἀρχὴν τῆς κινήσεως ὡς τὰ φυσικά (οἷον τὰ
αὐξόμενα ἢ ἀλλοιούμενα), τὰ δὲ ἔξωθεν ὡς τὰ τεχνητά, διὰ τοῦτο προσέ-
15 θηκε τὸ ἢ αὐτὸ ἢ ἄλλο, ὡς ἂν εἰ ἔλεγεν 'ἐνεργείᾳ δὲ λέγω τὴν δύ-
ναμιν, εἴτε αὐτὸ ἐνεργεῖ, τουτέστιν εἴτε ἐν ἑαυτῷ ἔχει τὴν κινητικὴν δύναμιν,
εἴτε ἀλλαχόθεν, τουτέστιν ἔξωθεν'.

p. 201a29 Λέγω δὲ τὸ ἧ ὡδί. 50

Ἐξηγεῖται τὸν ὁρισμόν, διὰ τί προσέθηκε τὸ "ἧ κινητόν", τουτέστι
20 καθὸ κινητόν· ἔστι γάρ, φησίν, ὁ χαλκὸς δυνάμει ἀνδριάς, ἀλλὰ καὶ
χαλκὸς ἐνεργείᾳ. λέγω οὖν κίνησιν εἶναι οὐ τὴν τοῦ χαλκοῦ ἧ χαλκὸς
ἐνέργειαν, ἀλλὰ τὴν τῆς δυνάμεως καθ' ἣν δυνάμει ἐστὶν ἀνδριὰς ἐνέργειαν,
ταύτην κίνησιν λέγω. εἶτα ἵνα | μή τις ὑπολάβῃ ὅτι 'τί διαφέρει χαλκῷ i 8r
εἶναι ἢ δυνάμει ἀνδριάντι; ἓν γὰρ καὶ ταὐτὸν τὸ χαλκῷ εἶναι καὶ τὸ δυνάμει
25 ἀνδριάντι', εἰκότως ἐφεξῆς αὐτὸ τοῦτο δείκνυσιν, ὅτι ἄλλο ἐστὶν ἑκάστῳ
τὸ τόδε τι εἶναι καὶ ἄλλο τὸ δυνάμει κινητόν.

---

1 ὄντος] οὔτος (alterum o ex ω) K post ὄντος addit ἐντελέχεια t ἐντελεχείᾳ] ἐντελέχεια hic et saepe K ἐνεργεῖ L. item v. 4 et 6 2 ἢ αὐτὸ t: αὐτὸ KLM ἡ ἄλλο ἡ hic et v. 10 K ἐστιν K 5 ἐνέργεια om. add. marg. L 6 τὸ L: om. KMt 9 post ἐνεργῇ videtur excidisse ἢ ita ut et in lemmate (v. 2) excidit cf. Simplic. p. 422,23 10 ὑπερβάτως K 12 δὲ ἢ αὐτὸ L 13 τὸ μὲν M 14 αὐξόμενα KMt: αὐξανόμενα L τεχνιτὰ ante corr. M 16 ἐνεργεῖ L: ἐνεργῇ KMt ἑαυτῷ] ἑαυτὸ ante corr. M τὴν om. K 18 ωδί (sic) KM: ὧδε (L)t 19 διὰ τί] δαὶ τί K 20 ὁ χαλκός φησιν L ἀνδρίας K 21 ἐνερ M: ἐνέργεια t 22 ἐνερ (priore loco) M: ἐνεργείαν (L)Kt ἣν δύναμιν L 23 τί L: οὐ γὰρ KMt 24 ἓν γάρ ἐστι καὶ L τὸ K: τῷ LMt post χαλκῷ scripserat sed statim delevit καὶ χαλκῶ L: fort. τῷ χαλκῷ ⟨τὸ χαλκῷ⟩ cl. p. 352,21 εἶναι om. L τὸ δυνάμει Mt: τῶ δυνάμει K: δυνάμει fort. recte L

www.libtool.com.cn

p. 201a32 Ἐπεὶ εἰ ταὐτὸν ἁπλῶς ἦν καὶ κατὰ τὸν λόγον, ἡ τοῦ χαλκοῦ, ᾗ χαλκός, ἐντελέχεια κίνησις ἂν ἦν. 1 8r

Ὃ δέ φησι τοῦτό ἐστιν· εἰ ἦν ταὐτὸν τὸ χαλκῷ εἶναι καὶ δυνάμει κινητῷ, ἐπειδὴ τὸ χαλκὸς εἶναι ἐντελεχείᾳ ἔχει, καὶ τὸ εἶναι κινητὸν ἐντελεχείᾳ ἂν εἶχε, τὸ δὲ ἐντελεχείᾳ κινητὸν κινεῖται, ὁ χαλκὸς ἄρα, ᾗ χαλκός, κινοῖτο ἄν. ὥστε ταὐτὸν ἦν εἰπεῖν ἐντελεχείᾳ χαλκὸν καὶ κίνησιν, ὅπερ ἐστὶ προφανῶς ψεῦδος· ὁ γὰρ τρίπους ὁ ἑστηκὼς ἐνεργείᾳ μέν ἐστι χαλκός, κίνησις δὲ οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλ' οὐδὲ ὅλως κινεῖται, ἀλλ' ἕστηκε καὶ ἠρεμεῖ. τὸ δὲ ἁπλῶς καὶ κατὰ τὸν λόγον, τουτέστιν εἰ ταὐτὸν καθόλου εἴη οὕτως, ὥστε μὴ μόνον κατὰ τὸ ὑποκείμενον εἶναι ταὐτὸν ἀλλὰ καὶ κατὰ τὸν λόγον. τῷ μὲν γὰρ ὑποκειμένῳ ταὐτὸν ὁ χαλκὸς καὶ τὸ δυνάμει κινητόν, τῷ δὲ λόγῳ οὐκ ἔστι ταὐτόν· ἄλλος γὰρ ὁ ἑκατέρου ὁρισμός. δείκνυσι δὲ ἐφεξῆς ἐπὶ τῶν ἐναντίων δυνάμεων, τοῦ νοσεῖν φημι καὶ ὑγιαίνειν, ἢ θερμαίνεσθαι καὶ ψύχεσθαι, ὅτι ἀδύνατον ταὐτὸν εἶναι τῷ ὑποκειμένῳ τὴν δύναμιν, ἐπεὶ καὶ τὰ ἐναντία τὰ αὐτὰ ἂν εἶεν ἀλλήλοις· τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ καὶ ἀλλήλοις ταὐτά. 7 15

p. 201b1 Καὶ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν ταὐτὸν ἦν.

Εἰ αἱ δυνάμεις, φησί, τῶν ἐναντίων αἱ αὐταί εἰσι, καὶ αἱ ἐνέργειαι δήπου τῶν δυνάμεων αἱ αὐταὶ ἂν εἶεν· νῦν δ' οὐ μόνον ταὐτὸν οὐκ ἔστι τὸ νοσεῖν τῷ ὑγιαίνειν, ἀλλὰ καὶ ἐναντίον.

p. 201b2 Τὸ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον καὶ τὸ νοσοῦν, εἴτε ὑγρότης εἴτε αἷμα, ταὐτὸν καὶ ἕν. 20

Τὸ ὑποκείμενον, φησίν, ὅπερ ἀνὰ μέρος ὑγιαῖνόν τε καὶ νοσοῦν ἐστιν, ἕν ἐστι καὶ ταὐτόν· ὥστε εἰ αἱ μὲν δυνάμεις, τοῦ νοσεῖν φημι καὶ τοῦ ὑγιαίνειν, οὐχ ἓν ἀλλὰ καὶ ἐναντίον, τὸ δὲ ταύταις ὑποκείμενον ἓν καὶ ταὐτόν, οὐκ ἄρα αἱ δυνάμεις τῷ ὑποκειμένῳ ταὐτόν.

---

1 ἐπειδὴ L ἁπλῶς ἦν (ἦν K) LKM: ἦν ἁπλῶς ex Arist. t 2 κίνησις ἂν ἦν LK: κίνησις ἦν ἂν M: κίνησις (transpositis ἦν ἂν ante ἡ τοῦ e vulgato Aristotele) t 3 τὸ corr. M et t: τῷ KL et primitus M εἶναι om. L 4 ἐντελεχείᾳ ἔχει — κινητὸν om. t ἔχει LM: εἶχε K 5 ἂν om. L τὸ δὲ ἐντελέχεια K κινητὸν κινητὸν κινεῖται ante rasur. L ᾗ χαλκὸς om. K 6 χαλκὸν] χαλκὸς K 8 ἐνέργεια K 9 καὶ om. K cf. Arist. Metaph. K 9 p. 1065b27 τουτέστιν] ταυτόν ἐστιν t 11 τὸν om. K καὶ τὸ] καὶ τῷ L 12 τῷ δὲ] τὸ δὲ K οὐκέτι ταυτόν fortasse recte K 14 ἡγιαίνειν t 15 ὑποκιμένω M ἂν K: om. LMt 17 τὸ (ante ὑγιαίνειν) om. L 18 ἐνεργείαι (sic) Mt 19 εἶεν ἄν L ταντὸν t 20 τῷ] τὸ M 21. 22 εἴθ' ὑγρότης εἴθ' t 23 ὅπερ LK: ὥσπερ Mt ἀνὰ] ἂν L 24 αἱ μὲν] ἅμα L 25 ἐναντίαι K

www.libtool.com.cn

p. 201b3 Ἐπεὶ δὲ οὐ ταὐτόν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν. i 8r

Ἑτέρῳ παραδείγματι χέχρηται. τὸ γὰρ χρῶμα οὐ κατὰ ταὐτὸν χρῶμά 27
τέ ἐστι καὶ ὁρατόν· τῷ μὲν γὰρ ὑποκειμένῳ τὰ αὐτά, ὁ δὲ λόγος ἑκατέ-
5 ρου ἕτερος. τὸ μὲν γὰρ χρῶμά ἐστι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τὸ δὲ ὁρατὸν συμβέβηκεν αὐτῷ· τὸ γὰρ χρῶμα οὐ τῶν πρός τι (ποιότης γάρ), τὸ δὲ ὁρατὸν τῶν πρός τι (τὸ γὰρ ὁρατὸν ὁρῶντί ἐστιν ὁρατόν), καὶ χρῶμα μέν ἐστι, κἂν μὴ ὁρᾶται, ὁρατὸν δὲ οὔ, ἂν μὴ ὁρᾶται. 30
εἰ τοίνυν δέδεικται ὅτι ἕτεραι αἱ δυνάμεις, καλῶς τὸν ὁρισμὸν ἀποδεδώ-
10 καμεν τῆς κινήσεως, ὅτι 'ἡ ἐντελέχεια τοῦ δυνάμει ὄντος ᾗ δυνάμει ἐστίν, οὐχ ᾗ ἐνεργείᾳ'.

p. 201b5 Ὅτι μὲν οὖν ἐστὶ τοῦτο.

Τουτέστιν ὅτι ἡ κίνησις τοῦτό ἐστιν ὅπερ ἡμεῖς εἰρήκαμεν, ἐντελέχεια τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστι. καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι, ὅταν
15 ἡ ἐντελέχεια ᾗ αὕτη, τουτέστιν ὅτι τότε μόνον ἡ κίνησις γίνεται, ὅταν τὸ δυνάμει, καθὸ δυνάμει ἐστίν, ἀπολάβοι τὴν ἑαυτοῦ ἐνέργειαν, καὶ οὔτε πρὶν ἀπολαβεῖν ὅταν μόνως ἐστὶ δυνάμει, οὔτε μετὰ τὸ ἀπολαβεῖν ὅταν 35
μόνως ἐστὶν ἡ ἐνέργεια.

p. 201b7 Ἐνδέχεται γὰρ ἕκαστον ὁτὲ μὲν ἐνεργεῖν ὁτὲ δὲ μή.

20 Ἐπειδὴ εἶπεν ὅτι μόνως ἡ τοιαύτη ἐντελέχειά ἐστι κίνησις, λέγω δὴ 41
ἡ τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστι, καὶ οὔτε πρὸ ταύτης οὔτε μετὰ ταύτην, τοῦτο θέλει κατασκευάσαι, ὅτι οὔτε τὴν πρὸ ταύτης διάθεσιν ἐνδέχεται κίνησιν εἶναι, οὔτε τὴν μετὰ ταύτην. τὸ γὰρ δυνάμει, φησίν, ἐνδέχεται ποτὲ μὲν ἐνεργεῖν ποτὲ δὲ μή· λίθοι γὰρ καὶ ξύλα οἰκοδομητὰ ὄντα ποτὲ

1 δ' οὐ t 4 τέ om. Mt 4. 5 καὶ ὁρατόν — τὸ μὲν γὰρ χρῶμά ἐστι LK: om. M: καὶ ὁρατὸν· ἀλλὰ χρῶμά ἐστι de coniectura t 4 τῷ μὲν γὰρ ὑποκείμενον (correxi ὑποκειμένῳ) τὰ αὐτά K: τὸ μὲν γὰρ ὑποκείμενον ταυτόν L at cf. ad v. 15 5 τὸ μὲν γὰρ χρῶμά κτλ.] cf. Diels ad Simplic. p. 425,19 κινητὸν LK at vide infra ad v. 15 6 τὸ γὰρ L: τὸ μὲν K: τὸ μὲν γὰρ Mt 7 ὁρῶντι M: ὁρῶν τί Kt: ὁρῶντος L 8 μέν om. Mt ὁρατὸν δὲ εἰ ὁρᾶται L 9 ἕτεραι] αἵτεραι M 10 ᾗ δύναμις et mox ᾗ ἐνέργεια L 12 ἐστὶ τοῦτο] ἐστιν αὕτη ex Arist. t at cf. Arist. cod. E 13 ὅπερ] ὅτι ὅπερ L ἐντελέχεια L: sine accentu K: ἐντελεχεία Mt 14 ὅτι τότε συμβαίνει L 15 ἡ ἐντελέχεια ᾗ (ἡ K) LK: ᾗ ἡ ἐντελέχεια Mt αὕτη L: αὐτή KMt post αὕτη iterat (ex v. 4 sq.) τῷ μὲν γὰρ ὑποκειμένῳ τὰ αὐτὰ· ὁ δὲ λόγος — τὸ μὲν (γὰρ deletum) χρῶμα ἐστὶ τὸ κινητικὸν τοῦ κατὰ τὴν ἐνέργειαν — συμβέβηκεν αὐτῷ L 15. 16 ὅταν τὸ LK: ὅτι τὸ M: ὅτε τὸ t 17 ὅταν — ὅταν] malim (cl. p. 353,30. 354, 4 sqq.) utrobique ὅτε cf. ad p. 13,2 19 ὅτε utrobique KM 20 μόνως iteratum post ἐντελέχειά delet M δὴ] δὲ t 22 ὅτι om. L 23 τὴν μετ' αὐτήν L 24 ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μή t

www.libtool.com.cn

μὲν οὐκ ἔχει τὴν ἐνέργειαν ταύτην, ὡς ὅταν κεῖνται καθ' αὑτὰ μηδὲν τοῦ i 8r
οἰκοδόμου εἰς αὐτὰ δρῶντος, ποτὲ δὲ ἔχει, ἡνίκα καὶ ἡ οἰκοδόμησις λέγε- 45
ται εἶναι. ὅτι μὲν οὖν πρὶν σχῇ τὴν ἐνέργειαν οὐ κινεῖται, πρόδηλον· ἡ
γὰρ κίνησις ἐνέργειά τίς ἐστι· λείπεται οὖν τὴν κίνησιν ἢ ὅτε οἰκοδομεῖ-
5 ται εἶναι, ἢ μετὰ τὸ οἰκοδομηθῆναι· ἀλλὰ μετὰ τὸ οἰκοδομηθῆναι ἠρεμεῖ,
κινεῖται δὲ τὸ οἰκοδομούμενον ἐν ᾧ καὶ τὸ οἰκοδομητὸν ἔτι ἐστίν· ὥστε
ἐν τούτῳ τῷ χρόνῳ ἡ κίνησις μόνον ἐν ᾧ οἰκοδόμησις, ἔτι τοῦ οἰκοδο-
μητοῦ φυλαττομένου· ἐλέγομεν γὰρ τὴν κίνησιν ἐντελέχειαν τοῦ δυνάμει,
ᾗ τοιοῦτόν ἐστιν. ὅπερ δέ, φησίν, ἐπὶ τοῦ οἰκοδομητοῦ εἴπομεν, τοῦτο 50
10 καὶ ἐπὶ τῶν ἄλλων κινήσεων ἐροῦμεν, οἷον ἐπὶ λευκάνσεως καὶ θερ-
μάνσεως καὶ τῶν λοιπῶν.

p. 201 b 16 Ὅτι δὲ καλῶς εἴρηται, δῆλον ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν.

Τεκμήριον ποιεῖται τοῦ καλῶς ἀποδοῦναι τὸν τῆς κινήσεως ὁρισμὸν
15 τὸ πάντας τοὺς περὶ αὐτῆς εἰρηκό|τας μὴ καλῶς εἰπεῖν, καὶ τὸ μηδὲ ἂν i 8v
ἄλλως δυνηθῆναι τὸν ὁρισμὸν αὐτῆς ἀποδοῦναι· εἴπομεν δὲ καὶ ἔμπροσθεν
ὅτι οὐ μόνον ἠρκέσθη κατασκευάσαι τὸν ὁρισμὸν τῆς κινήσεως, ἀλλὰ
δείκνυσιν ὅτι οὐδ' ἄλλως ἀποδοῦναι τὸν λόγον αὐτῆς δυνατόν. καὶ νῦν
οὖν φησιν ὅτι οὐδὲ οἱ ἄλλως περὶ αὐτῆς εἰρηκότες κατορθοῦσιν, οὔτε ἐν-
20 δέχεται ἄλλως εἰπεῖν περὶ αὐτῆς. ἔλεγον δὲ οἱ Πυθαγόρειοι τὴν κίνησιν
εἶναι ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὄν. φησὶν οὖν ὁ Ἀριστοτέλης 5
ὅτι τὴν κίνησιν ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν λέγοντες, ἤτοι ταῦτά
φασιν εἶναι τὴν κίνησιν, ἵνα ταὐτὸν λέγοιμεν κίνησιν καὶ ἑτερότητα καὶ
ἀνισότητα ἢ τὸ μὴ ὄν, ἢ ὅτι ἐκ τούτων ἡ κίνησις, οἷον ὅτι πᾶν τὸ κινού-
25 μενον ἢ ἐκ μὴ ὄντος κινεῖται ἢ ἐξ ἀνισότητος ἢ ἐξ ἑτερότητος. ὅτι μὲν
οὖν οὐκ ἔστι ταὐτὸν κίνησιν εἰπεῖν καὶ ἀνισότητα ἢ ἑτερότητα ἢ τὸ μὴ ὄν,
δῆλον· ἐν πολλοῖς γὰρ ἑτερότης μὲν ἔστι, κίνησις δὲ οὐκ ἔστιν. ἐν πᾶσι
γὰρ σχεδὸν τοῖς οὖσιν ἔστιν ἑτερότης, ἀλλ' οὐν οὐ πάντα τὰ ὄντα κι-
νεῖται· ἑτερότης γοῦν ἐστι τῇ γῇ πρὸς τὰ ἄλλα στοιχεῖα, καὶ οὐκ ἤδη γε 10
30 ἡ γῆ διὰ τοῦτο κινεῖται, καὶ Σωκράτει γε ἑτερότης ἐστὶ πρὸς τὸν ἵππον,
καὶ οὐ διὰ τοῦτό γε κινεῖται Σωκράτης, ὅτι ἕτερόν ἐστι τοῦ ἵππου. ἀλλὰ
καὶ ἀνισότης ἐστὶ τοῖς ε' πρὸς τὰ ι' καὶ τῇ πλευρᾷ πρὸς τὴν διά-

---

1 num κέηται? 2 ἡνίκα M 6 κεινεῖται M 8 φυλασσομένου Mt 12 ἐξ ὧν K et Arist. Metaph. K 9 p. 1066 a 8: ἐξ ὧν καὶ M: καὶ ἐξ ὧν (L)t et Arist. Phys. 13 αὐτῶν L διορίσασθαι M ἄλλως αὐτὴν διορίσαι L 15 τοὺς] τούτου K περὶ αὐτὴν M εἰρηκότος K μηδὲ] μὴ Mt 16 ἔμπροσθεν p. 353,21 sqq. 18 οὐδ' ἄλλως LK: οὐδαμῶς Mt 19 οὖν foro exhaustum M: om. t ὅτι ὅτι M οὐδὲ] cf. ad p. 271,9 21. 22 ἑτερότητα — κίνησιν om. L 22 ἀνισότητα καὶ ἑτερότητα K 23 ταὐτὸν scripsi: ταύτην libri λέγοιεν Mt 23. 24 καὶ μὴ ἀνισότητα K 25 ἐξ (ante ἑτερότητος) om. L 25. 26 ὅτι μὲν οὖν — ἑτερότητα om. L 28 ἔστιν om. L

30 Σωκράτει scripsi: σωκράτ M: σωκράτ (hic et v. 31) K: σωκράτη (L)t παρὰ τὸν K 31 ἕτερόν LK: ἕτερός Mt 32 τοῖς πέντε πρὸς τὰ δέκα Mt

www.libtool.com.cn

μετρον, ἀλλ' ὅμως οὐκ ἀνάγκη ταῦτα κινεῖσθαι τὰ τὴν ἀνισότητα ἔχοντα. i 8r
καὶ τὰ μόρια δὲ τῶν ζῴων ἕτερα ἀλλήλων, καὶ ὁ ἀριθμὸς τῶν δακτύλων
ἄνισός ἐστι πρὸς τὸν ἀριθμὸν τῶν τριχῶν, ἀλλ' οὖν οὐ τὰ μόρια τῷ ἕτερα
εἶναι εὐθὺς καὶ κινεῖται, οὔτε ὁ ἀριθμὸς διὰ τὸ ἄνισος εἶναι κινεῖται. ὁμοίως 15
5 δὲ οὐδὲ τὸ μὴ ὂν κίνησις. εἰ μὲν γὰρ τὸ τὶ μὴ ὂν τοῦτο φαίη τις εἶναι
τὴν κίνησιν, ἐν πᾶσι μὲν τὸ τὶ μὴ ὄν ἐστι κίνησις δὲ οὐκ ἐν πᾶσι, εἰ
δὲ τὸ ἁπλῶς μὴ ὂν κίνησις, ἔτι πλέον ψευδὴς ὁ λόγος· ἡ μὲν γὰρ κίνησις
τῶν ὄντων, τὸ δὲ ἁπλῶς μὴ ὂν οὐδαμῇ οὐδαμῶς ὄν. ἀλλ' οὐδὲ ἐκ τούτων,
οὐδ' εἰς ταῦτα τὴν κίνησιν εἶναι δυνατόν. οὐ μόνον γὰρ τὰ κινούμενα ἐξ
10 ἑτερότητος καὶ ἀνισότητος κινεῖται, ἀλλὰ καὶ ἐκ ταὐτότητος· οὐ γὰρ μόνον
τὰ ἕτερα ἐκ τοῦ ἕτερα εἶναι κινεῖται καὶ ἐκ τοῦ ἄνισα εἶναι, ἀλλὰ καὶ τὰ
αὐτὰ καὶ τὰ ἴσα οὐδέ γε ἧττον ἐκ ⟨τῆς⟩ ταυτότητος καὶ τῆς ἰσότητος κινεῖται. 20
ὥστε οὐδὲν ἧττον ἡ ἀνισότης καὶ ἡ ἑτερότης καὶ τὸ μὴ ὂν κίνησις, ἢ τὸ
ὂν καὶ ἡ ἰσότης καὶ ἡ ταυτότης· καὶ γὰρ καὶ ἐκ ταύτης καὶ ἐκ τούτων
15 ἡ κίνησις.

Ταῦτα εἰπών, ἐφεξῆς λέγει ἐκ ποίας ἐννοίας οἱ Πυθαγόρειοι τὴν κί-
νησιν ταῦτα εἶναι ἔλεγον. καί φησι, διότι ἀόριστος ἡ κίνησις, τὸ δὲ ἀόρι-
στον στέρησις· εἰ γὰρ τὸ εἶδος ὥρισταί τε καὶ ὅρος ἐστί, δῆλον δήπου ὅτι
τὸ ἀόριστον στέρησις. ἐπεὶ οὖν ἡ κίνησις στέρησίς ἐστιν (ὅταν γὰρ ὁρισθῇ
20 καὶ εἰς εἶδος ἔλθῃ, οὐκέτι κινεῖται), ἀόριστα δὲ καὶ στερητικὰ τὰ εἰρημένα
ἅπαντα, διότι καὶ αἱ ἄλλαι ἀρχαὶ αἱ τῆς αὐτῆς συστοιχίας, εἰκότως ταῦτα
εἶναι τὴν κίνησιν ἔλεγον. ἰστέον γὰρ ὅτι εἰς δύο συστοιχίας τὰς ἀρχὰς τῶν
ὄντων διῄρουν οἱ Πυθαγόρειοι, δέκα τισὶν ἀρχαῖς ἑκάστην συστοιχίαν πε- 25
ριορίζοντες, ὧν τὴν μὲν τῶν ἀγαθῶν συστοιχίαν τὴν δὲ τῶν κακῶν ἔλεγον.
25 ἐκκείσθωσαν δὲ ἱστορίας χάριν αἱ συστοιχίαι, ὡς αὐτὸς ἀλλαχοῦ ἱστορεῖ·
ἀγαθὸν κακόν, πέρας ἄπειρον, περιττὸν ἄρτιον, ἓν πλῆθος, δεξιὸν ἀριστερόν,
φῶς σκότος, ἄρρεν θῆλυ, ἠρεμοῦν κινούμενον, εὐθὺ καμπύλον, τετράγωνον
ἑτερόμηκες. τὰς μὲν οὖν ἀρχὰς τῶν ὄντων τοῦτον τὸν τρόπον εἰς δύο
συστοιχίας διῄρουν οἱ Πυθαγόρειοι, τὴν μὲν εἰς τὰ κρείττονα τῶν ἐναντίων
30 διαιροῦντες τὴν δὲ εἰς τὰ χείρονα, ὑφ' ἃς ἀνῆγον πάντα τὰ ὄντα. φησὶν 30
οὖν ὁ Ἀριστοτέλης ὅτι διὰ τὸ στερητικὴν εἶναι τὴν τῶν χειρόνων συστοι-

---

1 τὴν ἰσότητα L 2 δὲ om. superscr. K 3 οὖν οὐ LK: οὖν M: οὔτε t at cf. p. 234,7 sqq. ἑτέρα K 4 ὁ om. Mt 5 τὶ om. Mt τοῦτο om. L 6 μὲν τό τι K: μὴ τό τι L: μὲν τὸ Mt δὲ om. superscr. K 7. 8 ψευδὴς — οὐδαμῇ L: om. KMt 9 οὐδεὶς K ταῦτα] ταύτην KM 9. 10 τὸ κινούμενον ἐξ ἀνισότητος καὶ ἑτερότητος Mt 11. 12 τὰ ταυτὰ LK 12 prius τῆς addidi 13 οὐδὲ K ἧττον ἢ ἡ t ἑτερότης καὶ ἡ ἀνισότης Mt 13. 15 ἢ τὸ ὂν — ἡ κίνησις om. Mt 14 καὶ (post γὰρ) L: om. K ἐκ ταύτης LK: immo εἰς ταῦτα 16 ἐνοίας K: αἰτίας (cf. p. 320,28. 361,23. 365,21) L at cf. ad p. 89,4. 264,5. 266,19. 364,24. 366,8 17 διότι] ὅτι Mt ἀόριστος] ὁ ἄριστος K 18. 19 εἰ γὰρ — τὸ ἀόριστον στέρησις om. Mt 18 ὥρισταί τε K: ὥρισται L 20 οὐκ ἔτι libri 21 πάντα L ἀρχαὶ αὐτῆς αὐτῆς K συστοιχείας L 23 συστοιχίαν LK: συζυγίαν Mt 25 δὲ ἱστορίας χάριν] γὰρ L at cf. Themist. p. 211,19 ἀλλαχοῦ] Metaph. A 5 p. 986 a 22 27 θῆλην K 28. 29 διῄρουν οἱ πυθαγόρειοι εἰς δύο συστοιχίας L 29 et 30 εἰς τὰ] εἰς τὴν L

www.libtool.com.cn

χίαν, στερητικὴν δὲ οὖσαν ἀόριστον εἶναι, διὰ τοῦτο τὴν κίνησιν, ὡς ἀόρι- i 8v
στον, ὑπὸ ταύτην ἀνήγαγον. οὐχ ὡς τῶν Πυθαγορείων δὲ εἰς εἰδικὰς καὶ
στερητικὰς ἀρχὰς διαιρούντων τὰς δύο συστοιχίας οὕτως εἶπεν ὁ Ἀριστο-
τέλης στερητικὰς εἶναι τὰς τῆς ἑτέρας συστοιχίας ἀρχάς (αὐτοῦ γάρ ἐστιν
5 ἡ εἰς εἶδος καὶ στέρησιν τῶν ἀρχῶν διαίρεσις), ἀλλ' ἐπεὶ εἴωθεν ὁ Ἀρι-
στοτέλης τὰ μὲν κρείττονα τῶν ἐναντίων εἴδη καλεῖν τὰ δὲ χείρονα στε- 35
ρήσεις, διὰ τοῦτο τὴν τῶν χειρόνων συστοιχίαν στερητικὴν εἶπε. πόθεν
μὲν οὖν τὴν κίνησιν ὑπενόησαν ἑτερότητα εἶναι καὶ ἀνισότητα καὶ τὸ μὴ
ὄν, εἴρηκε· διότι, φησίν, ἡ κίνησις ἀόριστόν τι δοκεῖ εἶναι. ἀλλὰ καὶ αἱ
10 τῆς ἑτέρας συστοιχίας ἀρχαὶ στερητικαί εἰσι, καὶ διὰ τοῦτο ἀόριστοι. εἰκό-
τως οὖν ὑπὸ τὰς ἀορίστους ἀρχὰς καὶ τὴν κίνησιν ἀνήγαγον· τὸ γὰρ μὴ ὂν
καὶ ἡ ἀνισότης καὶ ἡ ἑτερότης ὑπὸ τὴν τῶν χειρόνων συστοιχίαν, τηλικαῦ-
ται δὲ κατ' αὐτοὺς ἀρχαὶ τῆς κινήσεως. ὅτι δὲ ἀόριστος ἡ κίνησις, 40
δείκνυσιν ἐφεξῆς· τοῦ γὰρ συλλογισμοῦ ὄντος ὅτι ἡ κίνησις ἀόριστος, τὸ
15 ἀόριστον στέρησις, ἡ κίνησις ἄρα στέρησις, τὴν μὲν ἑτέραν πρότασιν, λέγω
δὴ τὴν μείζονα, κατεσκευάσαμεν τῇ σὺν ἀντιθέσει ἀναστροφῇ χρησάμενοι
(εἰ γὰρ τὸ εἶδος ὥρισται, τὸ ἀόριστον στέρησις ἂν εἴη), τὴν δὲ ἐλάττονα
αὐτὸς κατασκευάζει, λέγω δὴ ὅτι ἡ κίνησις ἀόριστος. τῶν γὰρ ὄντων τῶν
μὲν ὄντων δυνάμει τῶν δὲ ἐνεργείᾳ, εἰς οὐδέτερον ἀνάγεται ἡ κίνησις·
20 οὔτε γὰρ τὰ μόνως δυνάμει ὄντα κινεῖται οὔτε τὰ μόνως ἐνεργείᾳ, ἀλλ' 45
ἔστιν ἡ κίνησις εἰλικρινῶς μὲν οὐδετέρα τούτων, μετέχουσα δὲ ἀμφοτέρων,
καὶ διὰ τοῦτο ἀόριστον, ὅτι ἐν οὐδενὶ τῶν ὄντων ὡρισμένως ἔστιν ἀποθεῖναι.

Εἰπὼν οὖν τὴν αἰτίαν ἐξ ἧς εἰς τὰς στερητικὰς ἀρχὰς ἀνήγαγον τὴν
κίνησιν, κατασκευάζει ἐφεξῆς, ὅτι οὐδὲ ἐνδέχεται ἄλλως ὁρίσασθαι αὐτήν.
25 κἂν γάρ, φησί, συγχωρήσωμεν διαιρεῖσθαι τὰ ὄντα μὴ μόνον εἰς τὰ κατὰ
δύναμιν ὄντα καὶ εἰς τὰ κατ' ἐνέργειαν, ἀλλὰ καὶ εἰς στέρησιν, εἰς οὐδὲν
τούτων δυνατὸν ἀναγαγεῖν τὴν κίνησιν. καὶ ὅτι μὲν οὔτε εἰς δύναμιν
οὔτε εἰς ἐνέργειαν, εἴρηται, ὅτι δὲ οὐδὲ εἰς τὴν στέρησιν δυνατόν, δῆλον· 50
οὐ γὰρ δὴ τὸ στερήσεως μετέχον ἤδη κατ' αὐτὸ τοῦτο καὶ κινήσεως με-
30 θέξει, ἀλλὰ δυνατὸν ἐστερῆσθαι μὲν τοῦ εἴδους μὴ κινεῖσθαι δέ, ἀλλ'
ἠρεμεῖν. καὶ ἄλλως εἰ καλῶς εἴπομεν ὅτι ἡ κίνησις ἐντελέχεια τῆς δυνά-
μεως, ἡ δὲ στέρησις οὐκ ἔστιν ἐνέργεια, οὐκ ἄρα ἡ κίνησις στέρησις. ὥστε

---

1 δὲ om. L 2 ἀνήγον primitus M: ἀνῆγον corr. M et t Πυθαγορείων] κατηγοριῶν t
ἰδικὰς M: εἰδητικὰς L 3 ἀρχὰς om. L 4. 5 αὐ γὰρ γίνεται εἶδος καὶ στέρησις
τῶν ἀρχῶν L 5 ἐπεὶ εἴωθεν κτλ.] cf. ad p. 350,2 6 κρείττω et mox χείρω L
9 εἰρήκαμεν Mt διό φησιν L 10 ἀρχαῖς K 11 καὶ om. L ἀνήγαγον L:
ἀνήγον K: ἀνῆγον Mt 12 post ἑτερότης ὑπὸ iterat κίνησιν ἀνήγαγον· τὸ γὰρ—ἑτερότης K
τὴν τῶν τῶν χειρόνων L 13 καὶ κατ' αὐτοὺς αἱ ἀρχαὶ Mt 14. 15 τὸ ἀόριστον
στέρησίς ἐστιν L 16 μείζωνα K 20 κινεῖ L οὔτε ἀμόνως ἐνεργείᾳ K
22 ἀόριστος Mt ἔστιν] ἐστὶν K: αὐτὴν ἐστὶν L: ἐστὶν αὐτὴν Mt ὑποθεῖναι L
23 ἐξῆς M ἀρχὰς om. L 24 κατασκευάζεται K 25 κἂν M συγχωρή-
μωμεν (sic) K 26 ὄντα om. L 29 δὴ LK: δια M: διὰ t μετέχον] μετέχιεν
(voluit μετέχειν) t 30 δυνατὸς K ἐστερῆσθαι L: ἐστερεῖσθαι KMt 31 καλῶς]
καὶ ἀλῶς K ἐντελεχεία K

www.libtool.com.cn

εἰ ἐν μηδενὶ τούτων δυνατὸν θεῖναι τὴν κίνησιν. λείπεται ὁ εἰρημένος i 8r
τρόπος εἶναι ἀληθὴς μόνος, ἔστι δὲ οὗτος ἐνέργειαν μὲν αὐτὴν εἶναι,
ἐνέργειαν δὲ οὐ τὴν τελείαν τὴν τὸ | εἶδος ἀπειληφυῖαν, ἀλλὰ τὴν ἔτι τὸ k 1r
δυνάμει φυλάττουσαν, καὶ διὰ τοῦτο ἀτελῆ μὲν ὡς ἔτι ἔχουσαν τὸ δυνά-
5 μει, ἐντελέχειαν δὲ διότι ὅλως κεκίνηται ἐκ τοῦ δυνάμει ἐπὶ τὴν τελείαν
ἐνέργειαν.

Ταῦτα εἰπών, πρὶν τέλος ἐπιθῇ τῷ περὶ κινήσεως λόγῳ (ἐπιθήσει δὲ
δείξας ἐπὶ τέλει ὅτι ἡ κίνησις οὐκ ἔστιν ἐν τῷ κινοῦντι, ἀλλ' ἐν τῷ κι-
νουμένῳ), ἀναλαμβάνει τὸν περὶ τῶν κινούντων καὶ κινουμένων λόγον,
10 καὶ ζητεῖ ποῖά ἐστι τῶν κινούντων ἃ κινοῦντα καὶ ἀντικινεῖται, καὶ ζητεῖ 5
μὲν τούτων τελειότερον καὶ ἐν τῇ Περὶ γενέσεως πραγματείᾳ καὶ ἐν τῇ
Περὶ ψυχῆς, καὶ ἐνταῦθα δέ φησιν ὅτι ταῦτά ἐστι τὰ κινοῦντα καὶ ἀντι-
κινούμενα, ἃ πρὸς τῷ κινητικὰ εἶναι καὶ κινητά ἐστι. τίνα δέ ἐστι, φησί,
ταῦτα; ὧν ἡ ἀκινησία, φησίν, ἠρεμία ἐστίν. οἷς γὰρ ἡ κίνησις ὑπάρχει,
15 ταῦτα ὅταν μὴ κινῆται ἠρεμεῖν λέγεται· ἃ γὰρ μὴ πέφυκε κινεῖσθαι,
τούτων ἡ ἀκινησία οὐ λέγεται ἠρεμία, ἀλλ' αὐτὸ τοῦτο ἀκινησία καὶ
στάσις. εἰκότως δὴ τὰ τοιαῦτα καὶ κινεῖ καὶ κινεῖται· ἔχει γὰρ τὸ δυ-
νάμει· δεῖ γὰρ αὐτὰ ἐξ ἠρεμίας ἐνεργῆσαί ποτε καὶ κινηθῆναι. τίνι δὲ 10
τρόπῳ τὰ τοιαῦτα καὶ κινεῖ καὶ κινεῖται; καί φησιν ὅτι δεῖ τὸ κινοῦν καὶ
20 κινούμενον θιγεῖν ἀλλήλων, θιγγάνοντα δέ, καθὸ μὲν ἐνεργείᾳ ἑκάτερόν
ἐστι, ποιήσει εἰς τὸ ἕτερον, καθὸ δὲ δυνάμει, πείσεται. καὶ τὰ οὐράνια
μὲν οὖν θίξει κινεῖ τὰ τῇδε, ἀλλ' οὐκ ἀντιπάσχει ὑπ' αὐτῶν, διότι μὴ
ἔστι δυνάμει κινητά, ἀλλ' ἐνεργείᾳ καὶ κινητὰ καὶ κινητικά, καὶ τοῦτο
τὴν κατὰ τόπον κίνησιν, κατὰ δὲ τὰς ἄλλας κινήσεις οὔτε δυνάμει οὔτε
25 ἐνεργείᾳ κινητά ἐστι τὰ οὐράνια. καὶ συντόμως εἰπεῖν, ὡς αὐτὸς ἐν τῇ
Περὶ γενέσεως εἶπε, ταῦτά ἐστι τὰ ἐν τῷ κινεῖν ἀντιπάσχοντα, ὅσα ὁμόυλά 15
ἐστι· τῷ γὰρ τὴν κοινὴν τῶν ἐν γενέσει ὕλην πάντα εἶναι δυνάμει, συμ-
βαίνει τὸ ποιοῦν ἁπτόμενον τοῦ πάσχοντος δρᾶν μὲν κατὰ τὸ ἐνεργείᾳ τὸ
ἐν ἑαυτῷ δυνάμει δὲ τὸ ἐν ἐκείνῳ, πάσχειν δὲ καὶ αὐτὸ ὑπ' ἐκείνου
30 κατὰ τὸν αὐτὸν λόγον. οἷον τὸ θερμὸν ψυχρῷ παρακείμενον θερμαίνει μὲν
ἐκεῖνο καθὸ ἐνεργείᾳ ἐστὶ θερμὸν ἐκείνου δυνάμει ὄντος θερμοῦ, ἀντιπάσχει
δὲ ὑπ' αὐτοῦ καθὸ αὐτὸ μὲν δυνάμει ἐστὶ ψυχρὸν ἐκεῖνο δὲ ἐνεργείᾳ.
μετὰ ταῦτα ὁρίζεται τὴν κίνησιν τελειότερον, ὅτι ἐστὶν ἡ κίνησις ἐντέ-
λεχεια τοῦ κινητοῦ ᾗ κινητόν· ὁ μὲν γὰρ πρότερος ὁρισμός, ὁ λέ- 20
35 γων ὅτι ἐστὶν 'ἐντελέχεια τοῦ δυνάμει, ᾗ τοιοῦτόν ἐστι', περιλαμβάνοι

1 θεῖναι K: εἶναι LMt at cf. p. 366, 11. Arist. p. 201 b 34 2 ἀληθὴς· μόνον δὲ οὗτος L 3 ἀπειληφυῖαν K 7 τῷ λόγῳ τῷ περὶ κινήσεως L ἐπιθέσει δὲ K 8 ἐπὶ τέλει c. 3 p. 202 a 13 sqq. 9 λόγον (λόγων pr. M) καὶ κινουμένων traic. Mt 10 ἃ κινοῦντα καὶ (καὶ om. L?) LK: ἃ καὶ κινεῖται καὶ Mt 11 τελειότερον τούτων L Περὶ γενέσεως A c. 6 sq. Περὶ ψυχῆς Γ 10 p. 433 a 13 sqq. 12. 13 ἀντικινούμενον K 15 μὴ prius iterat K 17 εἰκότως κτλ.] cf. Themist. p. 213, 17 sqq. 20 θιγεῖν scripsi: θίγειν LKt: θήγειν M θιγόντα L 21 πείσεσθαι L 22 ἀλλ' οὖν οὐκ L 23 τοῦτο Lt: τούτου KM: τοῦτο κατὰ? 25 εἰσι L τῇ] τῷ L 26 Περὶ γενέσεως l. c. p. 323 a 30 27 κινὴν pr. M 28 ἐνεργείᾳ τῶν τὸ L 29 ἑαυτῷ ex ἑαυτὸ M 33 ἡ om. L 33. 34 ἐντελεχεία LMt 34 πρῶτος L

www.libtool.com.cn

ἂν καὶ τὴν τελείαν ἐνέργειαν. καὶ γὰρ δύναμις καὶ ἡ προτέρα λέγεται, ἡ k 1r
κατὰ τὴν ἐπιτηδειότητα, καὶ ἡ δευτέρα, ἡ κατὰ τὴν τάξιν, ἧς ἡ ἐνέργεια
οὐ κίνησίς ἐστιν ἀλλὰ τελεία τοῦ εἴδους ἀπόληψις, κίνησις δὲ ἡ ἐκ τοῦ
προτέρου δυνάμει εἰς τὸ πρότερον ἐνεργείᾳ μεταβολή. ὥστε κυριώτερος ὁ
5 νῦν ἀποδοθεὶς τῆς κινήσεως ὁρισμός, ὅτι ἐστὶν ἐντελέχεια τοῦ κινη-
τοῦ ᾗ κινητόν· οὐκέτι γὰρ περιλαμβάνει οὗτος ὁ ὁρισμὸς τὴν δευτέραν
δύναμιν.

p. 201 b 18 Οὔτε γὰρ τὴν κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει 25
θεῖναι δύναιτο ἄν τις.

10 Ἐπειδὴ εἰς γένος τὴν ἐντελέχειαν ἀνήγαγε τὴν κίνησιν, φησὶν ὅτι οὐ
δυνατὸν ὑπὸ ἄλλο τι γένος ἀναγαγεῖν τὴν κίνησιν, ᾗ ὑφ' ὃ ἡμεῖς ἀνη-
γάγομεν.

p. 201 b 19 Δῆλον δὲ σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι, ἑτε-
ρότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κί-
15 νησιν.

Ἐλλιπῶς εἴρηται· δύο γὰρ προβλήματα θείς, τό τε τοὺς ἄλλους μὴ 30
καλῶς περὶ κινήσεως εἰρηκέναι, καὶ τὸ μὴ ἂν ἄλλως ἀποδοῦναι δυνατὸν
τὸν περὶ αὐτῆς λόγον, ἐν τῇ εἰσβολῇ τῆς κατασκευῆς ἀνταποδιδοὺς πρὸς
τὸ πρότερον πρόβλημα, καὶ εἰπὼν "οὔτε γὰρ τὴν κίνησιν καὶ τὴν μετα-
20 βολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτο ἄν τις", μὴ ἀνταποδιδοὺς δὲ πρὸς τὸ
δεύτερον, ἐπήγαγε τὴν κατασκευὴν ὡς ἀνταποδεδωκώς· δῆλον δέ, φησί,
σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι, ἑτερότητα καὶ ἀνισότητα
καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν. διὸ δεῖ προσθεῖναί τι 35
ἔξωθεν, ἵνα ἀνελλιπῆ τὸν λόγον ποιήσωμεν· μετὰ γὰρ τὸ "οὔτε γὰρ τὴν
25 κίνησιν καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτο ἄν τις" προσθετέον
'οὔτε οἱ ἄλλως εἰρηκότες περὶ κινήσεως κατορθοῦσιν', εἶτα συναπτέον τού-
του τὴν κατασκευὴν δῆλον δὲ σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι
καὶ τὰ ἑξῆς.

---

2 τάξιν] ἕξιν L 3 ἀπόλειψις L 4 εἰς τὴν προτέραν ἐνεργεία μεταβολήν L ἐνέργεια μεταβο M 5. 6 ὅτι ἐστὶν—ὁ ὁρισμὸς om. Mt 6 περιλαμβάνει K: περιλαμβάνοι L 9 θῆναι K δύναιτ' ἄν t 13 αὐτὴν ἔνιοι LKM: ἔνιοι αὐτὴν e vulgato Aristotele t at cf. v. 22. 27 16 Ἐλλιπῶς εἴρηται κτλ.] cf. Alexander ap. Simplic. p. 429,23 sqq. ἀλλείπως K 20 γένει θεῖναι (γενηθῆναι K) δύναιτο ἄν τις LK: γένει δύναιτο ἄν τις (τι M) θεῖναι Mt δὲ πρὸς (L)t: δὲ πρότερον K: δὲ τὸ πρότερον (sed τὸ rursum delevit) M 24 ἀνελλείπη K γὰρ (post οὔτε) om. Mt 25 δύναιτ' ἂν L

www.libtool.com.cn

p. 201b21 Ὧν οὐδὲν ἀναγκαῖον κινεῖσθαι, οὐδ' ἂν ἕτερα εἴη οὐδ' ⟨ἂν⟩ ἄνισα οὐδ' ἂν οὐκ ὄντα. k 1r

Τὴν προτέραν ὑπόθεσιν ἐν τούτοις τίθησι καὶ ἐλέγχει, τὴν ὑποτιθεμένην ταὐτὸν εἶναι κίνησιν τῇ ἑτερότητι καὶ ταυτότητι καὶ τῷ μὴ ὄντι.

5 p. 201b22 Ἀλλ' οὐδὲ ἡ μεταβολὴ οὔτ' ἂν εἰς ταῦτα οὔτ' ἂν ἐκ τούτων.

Αἱ λοιπαὶ δύο ὑποθέσεις, ὅτι οὔτε ἡ κίνησις ἐκ τούτων (οὐδὲν γὰρ μᾶλλον ἢ ἐκ τῶν ἐναντίων), οὔτε εἰς ταῦτα μᾶλλον ἢ εἰς τὰ ἐναντία. ἔστι δὲ ὑπὲρ τῶν ἀνδρῶν τοῦτο ἀπολογούμενον λέγειν, ὅτι οὐχ οὕτως
10 ἔλεγον τὴν κίνησιν ἑτερότητα εἶναι καὶ ἀνισότητα καὶ τὸ μὴ ὄν, ὥσπερ νῦν ἐξείληφεν ὁ Ἀριστοτέλης, ὅτι ἢ ταῦτα ἢ ἐκ τούτων ἢ εἰς ταῦτα (εὐέλεγκτον γὰρ τοῦτο, καὶ οὐκ ἦν εἰκὸς ἔμφρονας ἄνδρας τοῦτο ὑποθέσθαι), ἀλλ' ἐπειδὴ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ ἀφ' οὗ κινεῖται. δῆλον ὅτι τὸ κινούμενον ἐξιστάμενόν πως ἑαυτοῦ τῷ ἐξίστασθαι τοῦ προτέρου εἴδους
15 ὃ εἶχεν αὐτὸ πρὸς ἑαυτὸ ἑτεροιοῦται ἢ κατὰ ποιότητα ἢ κατὰ τόπον μεταβάλλον, καὶ ἀνισοῦται πρὸς ἑαυτὸ κατὰ ποσὸν μεταβάλλον, ἀλλὰ καὶ μὴ ὄν πως γίνεται, διότι τὸ πρότερον εἶδος, ὅπερ εἶχεν, οὐκ ἔστιν. ἀνισότης οὖν καὶ ἑτερότης ἡ κίνησις οὐ πρὸς ἄλλο ἀνίσου ὄντος ἢ ἑτέρου τοῦ κινουμένου, ἀλλὰ πρὸς ἑαυτό· οὕτω δὲ καὶ μὴ ὄν, ὅτι πᾶν τὸ κινούμενον
20 οὐκ ἔστιν ὅπερ πρότερον ἦν, καθὸ κεκινῆσθαι λέγεται.

p. 201b24 Αἴτιον δὲ τοῦ εἰς ταῦτα θεῖναι, διότι ἀόριστον δοκεῖ εἶναι ἡ κίνησις.

Ἐντεῦθεν τὴν ἔννοιαν αὐτῶν λέγει, ἐξ ἧς κινούμενοι ταῦτα εἶναι εἶπον

---

1 οὐθὲν Mt 1. 2 οὐδ' (οὐδὲ K) ἂν ἕτερα εἴη οὐδ' (οὐδὲ K) ἄνισα LKM: οὔτ' ἂν ἕτερα ἢ, οὔτ' ἂν ἄνισα ex Arist. t 2 οὐδ' ἂν οὐκ ὄντα L: οὐδὲ ἀνίκοντα K: om. M: οὔτ' ἂν οὐκ ὄντα ex Arist. t 3 προτέτεραν M τίθησι καὶ ἐλέγχει] ἐλέγχει τιθεὶς L 4 ταυτότητι] immo ἀνισότητι τῷ] τὸ M 5 οὐδὲ] οὐδ' t 5. 6 οὔτ' εἰς ταῦτα οὔτ' ἐκ τούτων μᾶλλόν ἐστιν κτλ. ex Arist. t: probabilius statuas librarium de sententia securum inculcasse ἂν particulam ex proximo lemmate (v. 1 sq.), quam Philoponum legisse in suo Aristotele εἴη pro ἐστιν 7 δύο K: δὲ LMt οὐδὲ γὰρ L 8 ἢ ἐκ t: καὶ ἐκ KM: ἐκ L ταῦτα] ταυτὸν L ἢ εἰς] οὔτε εἰς L 9 ἀπολογούμενον τοῦτο L 12 εὐέλεκτον L 14 τῷ ἐξιστάσθαι t 15 ἢ (post ἑτεροιοῦται) Mt: ὁ K: καὶ ἢ L 15. 16 μεταβάλλον priore loco Kt: μεταβάλλοι M: μεταβα ὀν L 18 ἄλλο Lt: ἄλλου K: ἄλλου superscr. M² post ἄλλο quaedam (ἢ ἑκάστου?) erasa L ἢ ἑτέρου in marg. add. L² 19 ἀλλὰ πρὸς LK: ἀλλὰ καὶ πρὸς M: ἀλλὰ τοῦ αὐτοῦ καὶ πρὸς t οὕτω] τοῦ K cf. p. 366,28 20 κεκινῆσθαι L: καὶ κινῆσθαι KM: καὶ κινεῖσθαι t 21 θεῖναι διότι LKM: τιθέναι αὐτοὺς, ὅτι t: τιθέναι ὅτι Aristoteles ἀόριστόν τι (cf. p. 365,1. 361,9) ex Arist. t at cf. Themist. p. 211,11 23 εἰπὸν (sic) K

www.libtool.com.cn

τὴν κίνησιν. καί φησι, διότι ἡ κίνησις ἀόριστόν τί ἐστιν, ἡ δὲ ἑτέρα συ- k 1r
στοιχία ὑφ' ἣν ἡ ἑτερότης καὶ ἀνισότης καὶ τὸ μὴ ὂν ἀνάγεται, ὑφ' ἃς
τὴν | κίνησιν ἀνῆγον, καὶ αὐτὴ διὰ τὸ στερητικὴ εἶναι ἀόριστος. εἰκότως k 1v
οὖν διὰ τὸ ἀόριστον εἶναι τὴν κίνησιν ὑπὸ τὴν ἀόριστον συζυγίαν ἀνήγαγον
5 αὐτήν. δυνατὸν δὲ τὸ μὴ ὂν λέγοντας εἶναι τὴν κίνησιν μᾶλλον ἂν αὐτῆς
ἅπτεσθαι, εἰ μὴ ὂν αὐτὴν οὕτως λέγοιεν, οὐχ ὡς μηδαμῇ μηδαμῶς ὄν,
ἀλλ' ὡς τοῦ κινουμένου μηδέπω τούτου κατ' ἐνέργειαν ὄντος ἐφ' ὃ κινεῖ-
ται, ἀλλ' ἀτελοῦς ἔτι· τοιοῦτον γὰρ καὶ ἡμεῖς τὸ δυνάμει λέγομεν.

p. 201 b 26 Οὔτε γὰρ τόδε οὔτε τοσόνδε. 5

10 Ζητοῦσιν ἐνταῦθα οἱ ἐξηγηταὶ πῶς φησιν ὁ Ἀριστοτέλης τὴν στέ-
ρησιν ἀόριστον εἶναι διὰ τὸ ὑπὸ μηδεμίαν τῶν κατηγοριῶν ἀνάγεσθαι, 10
καίτοι τῶν ἐναντίων τὰ αὐτά εἰσι γένη. καί φασιν ὅτι ἡ μὲν ἑκάστου
στέρησις τῷ ὄντι ἡ προσεχῶς ἀντικειμένη αὐτῷ, ἐξ ἧς καὶ ἡ εἰς τὴν
ἕξιν γίνεται μεταβολή, ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται ὑφ' ἣν καὶ ἡ ἕξις,
15 ἀλλ' ἐπειδὴ τὸ οὐκ ἄνθρωπος καὶ τὸ οὐχ ἵππος καὶ πάντα τὰ στερητικά
(νῦν γὰρ τὴν ἀπόφασιν ἀντὶ τῆς στερήσεως λαμβάνω· οὐ γὰρ ἔστιν ἐπὶ
τούτων στερητικῶς ὀνομάσαι τὸ ἀντικείμενον τῷ εἴδει) ἓν μὲν ἀναιροῦσιν
εἶδος, οὐδὲν δὲ ὡρισμένον εἰσφέρουσιν οὐ μόνον εἶδος ἀλλ' οὐδὲ στέρησιν,
διὰ τοῦτό φησιν ὅτι οὐκ ἔστιν ὑπ' οὐδεμίαν τῶν κατηγοριῶν ἀναγαγεῖν τὴν 15
20 στέρησιν, οὐχ ὅτι οὐκ ἀνάγεται, ἀλλ' ὅτι εἰς ὡρισμένον οὐκ ἔστιν ἀναγα-
γεῖν· τὸ γὰρ οὐκ ἄνθρωπος δύναται εἶναι καὶ οὐσία ἄλλη παρὰ τὸν ἄν-
θρωπον καὶ ποσὸν καὶ ποιὸν καὶ ἑκάστη τῶν ἄλλων. φησὶν οὖν ὅτι ὑπ' οὐ-
δεμίαν δυνατὸν ὡρισμένως ἀναγαγεῖν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν
κίνησιν αἴτιον. λαβὼν ὅτι ἀόριστος ἡ κίνησις, καὶ τὴν αἰτίαν τῆς πλάνης
25 τοῖς Πυθαγορείοις τοῦ περὶ κινήσεως λόγου ἐντεῦθεν εἰρηκὼς εἶναι, νῦν
αὐτὸ τοῦτο κατασκευάζει, ὅτι ἀόριστος ἡ κίνησις, ἐκ τοῦ διαιρεῖν τὰ ὄντα 20
εἰς τὰ δυνάμει καὶ τὰ ἐνεργείᾳ, καὶ δείξας ὅτι ὑπ' οὐδέτερον κυρίως ἡ
κίνησις ἀναχθήσεται. οὔτε γὰρ τὸ ἐνεργείᾳ ὂν οὐσία ἢ ποσὸν ἢ τῶν
ἄλλων τι εὐθὺς καὶ κινεῖται, οὔτε μὴν τὸ δυνάμει· οὐδὲ γὰρ τὸ δυνάμει
30 λευκὸν ἀνάγκη εὐθὺς καὶ κινεῖσθαι. τούτων μὲν οὖν οὐδὲν ἡ κίνησις
οὔτε ἐνέργεια ἁπλῶς οὔτε δύναμις, ἀλλὰ μέσον τι τούτων, ἐνέργεια μέν

---

2 ὑφ' ἃς LKM: ὑφ' ἃ t 3 αὐτὴ Mt: αὐτὰ K: αὐτὸς L διὰ τὸ (τὴν pro τὸ K) στερητικὴν (correxi στερητικὴ) LK: στερητικὴν M: τῷ στερητικὴ t 4 ἀνήγαγον K: ἤγαγον L: ἀνῆγον Mt 5 αὐτῆς om. L 6 οὕτω Lt 8 ἀτέλους K 9 τοιόνδε t Aristoteles (praeter cod. I) 11 εἶναι om. L ὑπὸ om. superscr. M 12 εἰσι om. L 13. 14 ἐξ ἧς — ὑφ' ἣν καὶ ἡ om. L 13 ἡ εἰς K: εἰς (om. ἡ) Mt 14 ὑφ' ἣν KM: ὑφ' ἃ t 15 τὸ οὐκίππος K ante στερητικὰ addunt τοιαῦτα M² t 16 λαμβάνω LKM: λαμβάνει M² t 18 δὲ om. add. M² οὐδὲ στέρησις K 19 ὑφουδεμίαν (item 22. 23 et 27 ὑφουδέτερον) K ἀγαγεῖν (hic et v. 23) L 20 ἀνάγεται t: ἀνάγονται LKM 21 ἄλλη παρὰ] ἀλληπὲρ K: ἄλληπ M 22 φασὶν L 23 ὡρισμένων K 27 δεῖξας (sic diserte M) libri: fort. δεῖξαι ὅτι om. L 29. 30 τὸ λευκὸν δυνάμει L 31 ἐνεργεία altero loco K

www.libtool.com.cn

τις, ἀτελὴς δὲ καὶ οὐκ ἀπηλλαγμένη τοῦ δυνάμει. διὰ τοῦτο οὖν ἀόριστον, k 1v
ἐπεὶ εἰς οὐδὲν τῶν ὄντων, τῶν τε δυνάμει φημὶ ὄντων καὶ τῶν ἐνεργείᾳ 25
(εἰς ταῦτα γὰρ τὰ ὄντα διῄρηται), δυνατὸν αὐτὴν ἀναγαγεῖν εἰλικρινῶς.

p. 201b33 Καὶ διὰ τοῦτο δὴ χαλεπὸν λαβεῖν αὐτὴν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν.

Δείξας ὅτι οὐχ ὑγιῶς τὸν περὶ κινήσεως οἱ παλαιοὶ λόγον ἀποδεδώκασι, καὶ ἐκ ποίας ἐννοίας εἰς τοῦτο ἦλθον, νῦν τὸ λοιπὸν τῶν προβλημάτων κατασκευάζει, ὅτι μηδὲ ἄλλως αὐτὴν δυνατὸν ὁρίσαι· εἰ γὰρ συγχωρήσειέ τις εἰς δύναμιν καὶ ἐνέργειαν καὶ στέρησιν τὰ ὄντα διαιρεθῆναι, 30
εἰς οὐδὲν τούτων δυνατὸν θεῖναι τὴν κίνησιν. καὶ ὅτι μὲν οὔτε εἰς δύναμιν οὔτε εἰς ἐνέργειαν, δῆλον, ὅτι δὲ οὐδὲ εἰς στέρησιν, τῷ αὐτῷ τρόπῳ δῆλον ἂν εἴη· πολλὰ γάρ ἐστι στερήσεως μὲν μετέχοντα, κινήσεως δὲ οὔ.

p. 202a1 Ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δὲ ἐνέργειαν οἵαν εἴπομεν.

Ἀνελὼν τὰς ἤτοι νομισθείσας δόξας περὶ κινήσεως ἤτοι νομισθῆναι 35
δυναμένας, τῇ ἀναιρέσει πασῶν ἣν αὐτὸς εἶπεν ὡς ἀληθῆ οὖσαν καταλιμπάνει. διττῆς δὲ οὔσης τῆς ἐνεργείας, τῆς μὲν κατὰ τὴν ἀπόληψιν τοῦ τελείου εἴδους (οἷον ἡ ὁρατικὴ τοῦ ὀφθαλμοῦ ἐνέργεια, καθ' ἣν ἤδη τὸ ὁρᾶν καὶ ἐνεργεῖν ἀπείληφε), τῆς δὲ τοῦ δυνάμει ἐν τῷ πράγματι σῳζούσης αὐτοῦ τὸ δυνάμει (οἷον ἡ ἐπὶ τὸ ἄνω τοῦ πυρὸς κίνησις· καὶ γὰρ ὅταν φέρηται, ἔτι ἔχει τὴν δύναμιν τῆς ἐπὶ τὸ ἄνω φορᾶς), τὴν μὲν προτέραν οὐ φημι κίνησιν (στάσει γὰρ καὶ ἠρεμίᾳ μᾶλλον ἀναλογεῖ), τὴν 40
δευτέραν δὲ ἐνέργειαν μὲν οὖσαν διότι ὅλως ἐκβέβηκε τὸ δυνάμει, ἀτελῆ δὲ διότι οὐκ ἀπήλλακται πάντῃ τοῦ δυνάμει, ἀλλ' ἔτι συνεφέλκεται αὐτό· τὸ γὰρ κινούμενον ἐπὶ τὸ ἄνω ἔχον ἔτι τὴν δύναμιν τοῦ ἐπὶ τὸ ἄνω κινεῖσθαι οὕτω κινεῖται.

1 ἀπηλαγμένη K 2 φημὶ] φῆ M 3 ταῦτα] ταυτὸν L 4 αὐτὴν λαβεῖν ex Aristotele t 5 γὰρ om. L θῆναι K 7 οἱ παλαιοὶ τὸν περὶ κινήσεως L οἱ πάλαι K 15 plenius lemma Λείπεται τοίνυν κτλ. t δ' ἐνέργειαν Lt 16 εἴπαμεν vel εἴπωμεν primitus Arist. cod. E 17. 18 ἤτοι νομισθῆναι — αὐτὸς in ras. K 21. 22 σωζούσης M¹t: σώζουσα LKM 22 αὐτοῦ τὸ K: αὐτοῦ τοῦ M: αὐτὸ τὸ LMt at cf. Themist. p. 213 2 οἷον ἐπὶ τοῦ πυρὸς κίνησις Mt 23 φέρεται L τὴν μὲν] τὴν δὲ L 25 μὲν οὖσαν] μένουσαν L διότι κτλ.] cf. Themist. p. 213,6 sqq. ἀτελὴς KM 26. 27 συνεφέλκεται αὐτό (αὐτῷ LK at cf. Themistius): τὸ γὰρ LKM: συνεφέλκεται· αὐτὸ γὰρ τὸ t 27 ἔτι om. L 28 οὕτω] τοῦ K

www.libtool.com.cn

p. 202ª3 Κινεῖται δὲ καὶ τὸ κινοῦν, ὥσπερ εἴρηται, πᾶν τὸ δυνάμει ὂν κινητόν, καὶ οὗ ἡ ἀκινησία ἠρεμία ἐστίν. k 1v

Ἐντεῦθεν τὸν περὶ τῶν κινούντων καὶ κινουμένων ἀναλαμβάνει λόγον, καί φησιν ὅτι πᾶν τὸ κινοῦν ὅπερ πρὸς τῷ κινεῖν καὶ δυνάμει ἐστὶ κινητόν, τοῦτο πάντως κινοῦν καὶ αὐτὸ κινεῖται. ταῦτα δέ φημι τῶν κινούντων τὰ δυνάμει κινητά, ὧν ἡ ἀκινησία ἠρεμία ἐστίν· ὅσα γὰρ δυνάμενα κινεῖσθαι μήπω κινεῖται, τούτων ἡ ἀκινησία ἠρεμία ἐστίν. δεικνύει δὲ ταῦτα ἐν τοῖς ὑστέροις τῆς πραγματείας ταύτης.

p. 202ª5 Τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν, ᾗ τοιοῦτον, αὐτὸ τὸ κινεῖν ἐστι· τοῦτο δὲ ποιεῖ θίξει, ὥστε ἅμα καὶ πάσχει.

Εἰπὼν ποῖά ἐστι τὰ κινοῦντα καὶ κινούμενα, ὅτι τὰ πρὸς τῷ κινητικὰ εἶναι καὶ κινητὰ ὄντα, τοιαῦτα δέ εἰσιν ὧν ἡ ἀκινησία ἠρεμία, τίνι τρόπῳ τὰ τοιαῦτα κινοῦντα καὶ ἀντικινεῖται διδάσκει. πρῶτον δέ φησι τί ἐστι τὸ κινεῖν, ὅτι τὸ πρὸς τοῦτο ἐνεργεῖν, ᾗ τοιοῦτόν ἐστι, τοῦτ' ἐστίν, οἷον τὸ ἐνεργεῖν περὶ τὸ θερμαντὸν καθὸ θερμαντόν, τοῦτο δ' ἐστὶ τὸ θερμαίνειν αὐτό, τὸ δὲ πρὸς τοῦτο ἐνεργεῖν οὐκ ἄλλως ἢ θίξει γίνεται τοῦ τε ἐνεργοῦντος καὶ τοῦ πάσχοντος. ἐπεὶ οὖν ἐστι τὸ ἐνεργοῦν οὐ μόνον ἐνεργείᾳ τόδε τι, ἀλλὰ καὶ δυνάμει ἄλλο, ἀνάγκη τὸ δυνάμει τὸ ἐν τῷ κινοῦντι θιγγανόντων ἀλλήλοις παθεῖν ὑπὸ τοῦ ἐνεργείᾳ τοῦ ἐν τῷ κινουμένῳ· τοῦτο δ' ἐστὶν ἡ κίνησις· ὥστε πάντως ἀντικινηθήσεται, ἀντικινεῖται δὲ ὑπὸ τοῦ πάσχοντος, ἐπεὶ|δὴ ἕκαστον τῶν ἐναντίων δρᾷ μὲν k 2r
οὐκ εἰς ἄλλο τι ἢ εἰς τὸ ἐναντίον, ἔστι δὲ πάντως δυνάμει ὅπερ τὸ ἐναντίον. ἐπεὶ οὖν τὸ θερμὸν δυνάμει ἐστὶ ψυχρόν, ποιεῖ δὲ τὸ θερμὸν εἰς τὸ ψυχρὸν θιγγάνον αὐτοῦ, τὸ δὲ δυνάμει προσπελάσαν τῷ ἐνεργείᾳ ἄγεται εἰς ἐνέργειαν, ἀνάγκη πᾶσα παθεῖν ὑπὸ τοῦ ψυχροῦ τὸ δυνάμει ψυχρόν· ὥστε ἀνάγκη τὸ θερμὸν ποιοῦν καὶ ἀντιπάσχειν.

p. 202ª7 Διὸ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ, ᾗ κινητόν.

Ὡς εἶπον, ἀκριβέστερον ἐκ τῶν εἰρημένων τὸν ὁρισμὸν τῆς κινήσεως ἀποδίδωσιν, οὐ τοῦ δυνάμει ἁπλῶς ἐντελέχειαν εἶναι λέγων, ἀλλὰ τοῦ κι-

---

1. 2 εἴρηταί που, τὸ δυνάμει t 3 λόγος K 4 τῷ] τὸ L ἐστὶ] εἶναι L
5. 7 ὅσα γὰρ — ἠρεμία ἐστίν LK: om. Mt 7 δεικνύει κτλ.] cf. E 2 p. 226ᵇ12 sqq.

10 ἐστιν K 12 ἠρεμία ἐστὶν K 12. 13 τίνι τρόπῳ (τρο $\overset{\pi'}{\text{M}}$) LKM: τίνα τρόπον t
13 τοιαῦτα om. L φησι] φα L 18 ἄλλο] ἄλλοι K 19 immo ἀλλήλων cl.
1. 362,20 19. 20 ὑπὸ (om. τοῦ ἐνεργείᾳ) τοῦ ἐν τῷ κειμένῳ L 20 καὶ ἀντικινηθήσεται L 21 τῶν om. K 22 ὅπερ LK: ὥσπερ Mt 23 τὸ (post εἰς) om. L 24 τῷ] τὸ M 27 $\overset{\beta}{\text{ἡ}}$ κινητὸν τοῦ $\overset{\alpha}{\text{κ}}$ινητοῦ M

www.libtool.com.cn

νητοῦ. φαίη γὰρ ἄν τις πρὸς τὸν πρότερον ὁρισμὸν ἐνιστάμενος, ὅτι τὸ k 2r
δυνάμει δεξιόν, ὅταν γένηται δεξιὸν ἐνεργείᾳ μεταστάντος ἐμοῦ φέρε πρὸς
τὰ εὐώνυμα, μεταβάλλει μὲν εἰς ἐντελέχειαν ἐκ τοῦ δυνάμει, οὐ κινεῖται
δέ. λέγεται μὲν οὖν καὶ τοῦτο καλῶς πρὸς τοὺς τοῦτο ἀποροῦντας, ὅτι τὸ 10
5 δυνάμει εὐώνυμον ἐκινήθη μόνον καὶ οὐ τὸ δυνάμει δεξιόν, ἔτι ὅτι μία
ἐστὶ τῶν πρός τι ἡ δύναμις· αὕτη γὰρ ἡ σχέσις αὐτῶν ἡ πρὸς ἄλληλα
ἥ δύναμίς ἐστιν ἡ ἐνέργεια. ἐνέργεια μὲν αὐτῆς τῆς παρούσης σχέσεως
δύναμις δὲ τῆς ἀντικειμένης, ἐφ' ὧν γε ὅλως τὴν ἀντιστροφὴν δυνατὸν
γενέσθαι. ἐκ μὲν οὖν πατρὸς καὶ υἱοῦ, ἐπεὶ μὴ δυνατὸν τὸν υἱὸν πατέρα
10 τοῦ πατρὸς γενέσθαι, οὐδὲ δυνάμει ἡ ἀντικειμένη σχέσις ἐστὶ τῶν αὐτῶν,
ἐπὶ δὲ τοῦ δεξιοῦ καὶ ἀριστεροῦ καὶ τῶν ὁμοίων ἡ μία σχέσις ἐνέργεια
μὲν τῆς παρούσης ἐστὶ θέσεως, δύναμις δὲ τῆς ἀντικειμένης. εἰ τοίνυν 15
μία ἐστὶ τῶν πρός τι ἡ σχέσις, ἐν ᾗ καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν καὶ
τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν προσάλληλά τέ ἐστι καὶ λέγεται, ἀνάγκη
15 που πάντως, εἰ τὸ ἕτερον κινηθείη, καὶ τὸ λοιπὸν κινηθῆναι· τὸ γὰρ
δεξιὸν καὶ ἀριστερὸν ἐν τῇ τοιᾷδε σχήσει τὸ εἶναι ἔχει· τῆς σχέσεως
οὖν κινηθείσης, καὶ ἄμφω τὰ κατὰ ταύτην τὸ εἶναι ἔχοντα κεκινημένα ἂν
εἴεν. ὅλως δέ φησιν ὁ Θεμίστιος τὴν κατὰ τὸ πρός τι ἐνέργειαν μὴ δια-
σῴζειν τὸ δυνάμει, ὥσπερ ἡ κατὰ τὴν ἀλλοίωσιν ἐνέργεια διασῴζει τὸ 20
20 δυνάμει ἐν τῇ μεταβολῇ τῇ ἐκ τῆς δυνάμεως εἰς τὴν τελείαν ἐνέργειαν,
ἀλλ' ἀθρόαν γίνεσθαι τὴν μεταβολὴν τὴν ἐκ τῆς δυνάμεως εἰς τὴν ἐντε-
λέχειαν. μία γοῦν ἐπ' αὐτῶν ἐνέργεια θεωρεῖται ἡ κυρίως τε καὶ ἁπλῶς,
ἡ δὲ ἀτελὴς οὐκέτι· οὐ γὰρ κατ' ὀλίγον δεξιὸν γίνεται τὸ ἀριστερὸν με-
τακινούμενον πρὸς τὰ εὐώνυμα, ἀλλ' ἀχρόνως, κἀγὼ δὲ ἐπὶ τὰ ἀριστερὰ
25 μεθιστάμενος κινοῦμαι μὲν κατὰ τόπον, οὐ κινοῦμαι δὲ κατὰ τὸ πρός τι.
πρῶτον οὖν ἐπὶ τῶν τοιούτων δεῖ τὴν ἐνέργειαν τὴν ἀτελῆ δεικνύναι, εἶτα 25
οὕτως τὸν ὁρισμὸν ἐλέγχειν, ὅτι ἄγεται ἐκ δυνάμεως εἰς ἐνέργειαν οὐ διὰ
κινήσεως.

Ἀλλ' αὕτη μὲν ἡ ἀπορία οὕτω διῃτήσθω, ἐπειδὴ δὲ τὸ μὲν δυνάμει
30 ἐν πάσαις ταῖς κατηγορίαις ἐστίν, ἡ δὲ κίνησις οὐκ ἐν πάσαις, εἰκότως

---

1 φαίη γὰρ κτλ.] compilat Philoponus Themist. p. 214,2 sqq. πρῶτον L 2 ὅταν γένηται δεξιὸν ἐνεργείᾳ KMt (qui tamen distinguunt post δεξιὸν): ἐνεργείᾳ δν ἀριστερὸν L
4 οὖν om. L τοῦτο (post τοὺς) om. L 5. 6 μίεεστὶν (sic) K 6 ἡ τῶν πρός τι δύναμις L 7 ἡ δυνάμει ἐστὶν ἡ ἐνεργεία L ἐνέργειμὲν αὐτῆς (sic) K τῆς om. L
9 ἐκ] fort. ἐπὶ τὸν υἱὸν] τὸ νῦν (h. e. τὸν ῡν) K 10 γενᾶσθαι ante corr. M
12 ἐστὶ τῆς παρούσης Mt 14 προσάλληλα τὰ καὶ ἐστὶν καὶ K 15 ποῦ libri κινηθείη] κινηθῆναι L 17 ταύτης L 18 δέ φησιν] γάρ φησιν L Θεμίστιος l. c. 11 sqq. τὸ om. Kt 19 τὸ δυνάμει] τῇ δυνάμει L 20 τῇ ἐκ] τὸ ἐκ L
21 ἀθρόαν LK: ἀθρόον Mt γενέσθαι L τὴν (ante ἐκ) corr. ex τῆς M: om. Themistius 21. 22 ἐκ τοῦ δυνάμεως εἰς ἐντελέχειαν Themistius 23 οὐ κατ' ὀλί γὰρ (sic) L 23. 24 μετακινουμένου μου scribendum ex Themistio 24 ἀλλὰ χρόνως K 25 κινοῦ μὲν L τὸ om. K 26 ἐντελῇ Mt εἶτα] εἶθ' L: κἀθ' vel καὶ Themistii libri 27 οὕτω t 29 αὐτὴ K διῃτείσθω L
ἐπειδὴ κτλ.] cf. Themist. p. 214,22 sqq.

www.libtool.com.cn

μεθαρμόζει τὸν ὁρισμὸν ὁ Ἀριστοτέλης, καὶ ὅτι, ὅπερ ἤδη εἶπον, τὸ ἐκ k 2r
τοῦ δυνάμει εἰς ἐνέργειαν ἄγεσθαι οὐ μόνον ἐπὶ τῆς ἀτελοῦς ἐνεργείας
λέγεται, λέγω δὴ τῆς ἐκ τοῦ προτέρου δυνάμει εἰς τὸ πρότερον ἐνεργείᾳ,
ἀλλὰ καὶ ἐπὶ τῆς τελείας τῆς ἐκ τοῦ δευτέρου δυνάμει εἰς τὸ δεύτερον 30
5 ἐνεργείᾳ. καὶ μή τις ἐπιλάβηται τούτου τοῦ ὁρισμοῦ, διότι τὴν κίνησιν ἐκ
τοῦ κινητοῦ πειρᾶται δεικνύναι· οὐ γὰρ διὰ τῶν αὐτῶν τὰ αὐτὰ δείκνυσι.
μάλιστα μὲν γάρ, ἐπειδὴ ἡ κίνησις τῶν πρός τι (ἔχομεν γὰρ καὶ τοῦτο
ὡμολογημένον ἐν τοῖς ἔμπροσθεν), καὶ ἔστι πρὸς τὸ κινητόν (ἡ γὰρ κίνησις
τοῦ κινητοῦ ἐστι κίνησις), ἀδύνατον αὐτὴν ἄλλως ὁρίσασθαι μὴ παραλα-
10 βόντας τὸ πρὸς ὅ ἐστιν, ὥσπερ οὐδὲ πατέρα χωρὶς υἱοῦ, οὐδὲ διπλάσιον
χωρὶς ἡμίσεος· ἔπειτα καὶ γνωριμώτερον τὸ κινητὸν τῆς κινήσεως· οὐ
γὰρ ταὐτὸν εἰδέναι ὅτι ἔστι κίνησις καὶ τί ἐστι· τὸ μὲν γὰρ ὅτι ἔστιν 35
ἅπασι γνώριμον, τὸ δὲ τί ἐστι καὶ ἡμεῖς νῦν ζητοῦμεν. ἀλλὰ μὴν ὅτι ἔστι
κίνησις, ἀπὸ τῶν κινουμένων γνώριμον, ταῦτα δέ ἐστι τὰ κινητά, ὥστε ὁ
15 τῷ κινητῷ πρὸς τὸν ὁρισμὸν τῆς κινήσεως χρώμενος τῷ γνωριμωτέρῳ
πρὸς τὸ ἀγνωστότερον κέχρηται.

p. 202a9 Εἶδος δὲ ἀεὶ οἴσεται τὸ κινοῦν.

Τὸ κινοῦν, φησί, πάντως εἶδός τι ἕξει ἓν τῶν δέκα κατηγοριῶν· τοῦτο 40
γάρ ἐστιν αἴτιον καὶ ἀρχὴ τῆς κινήσεως· ἡ μὲν γὰρ ὕλη παθητικόν, ποιη-
20 τικὸν δὲ τὸ εἶδος· ἀνάγκη ἄρα τὸ κινοῦν εἶδός τι ἔχειν, ὅπερ καὶ αἴτιον
αὐτῷ τοῦ κινεῖν ἐστι.

p. 202a13 Καὶ τὸ ἀπορούμενον δὲ φανερόν, ὅτι ἐστὶν ἡ κίνησις ἐν τῷ κινητῷ.

Τὸ προκείμενόν ἐστιν ἐν τούτοις ζητῆσαι, ὅτι ὄντος τοῦ κινοῦντος καὶ 45
25 τοῦ κινουμένου καὶ τῆς κινήσεως, πότερον ἡ κίνησις ἐν τῷ κινοῦντί ἐστιν ἢ ἐν
τῷ κινουμένῳ. * * * καὶ κατασκευάζει τοῦτο ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως.
ἔστι γάρ, φησίν, ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ· εἰ
τοίνυν ἡ κίνησις ἐντελέχειά ἐστι τοῦ κινητοῦ, ἡ δὲ ἐντελέχεια ἑκάστου ἐν
ἐκείνῳ ἐστὶν οὗ καὶ ἔστιν ἐντελέχεια, ἡ κίνησις ἄρα ἐν τῷ κινητῷ ἐστι·
30 κινεῖται δὲ τὸ κινητόν, ἡ κίνησις ἄρα ἐν τῷ κινουμένῳ ἐστί, καὶ ὅλως
ἐν τούτῳ ἐστὶ τὸ δυνάμει οὗ ἡ κίνησις ἐνέργειά ἐστιν. εἰ δὲ ἔστι καὶ τοῦ 50
κινοῦντος ἐνέργειά τις, φησίν, ἀλλ' οὐχ ἑτέρα ἐστὶν αὕτη παρὰ τὴν τοῦ

1 ὁρισμὸν LK: λόγον Mt εἶπον p. 362,34 5 ἐπιλάβοιται M 8 ὁμολογούμενον L 9 ἄλλως αὐτὴν L 11 ἡμίσεως K cum Themist. p. 215,3 καὶ] καὶ κι primitus M: om. L 12 ὅτι ἔστι κίνησις LK Themistius: ὅτι ἐκίνησις (sic) M: ὅτι κίνησις t γὰρ ὅτι ἔστιν Themistius: ὅτι ἔστι L: γάρ ἐστιν K: γὰρ Mt 13 ὅτι] τὸ L 17 οἴσεται KM: οἴσεταί τι e vulg. Arist. (L)t 18 τι K: τε LMt 19 παθητικός K: παθητική L 21 αὐτῷ κινοῦν ἐστι L 22 Καὶ τὸ] *ὸ (littera rubro addenda; h. e. om. καὶ) K δὲ] δὴ t 26 lacunam signavi; interciderint καί φησιν ὅτι ἐν τῷ κινουμένῳ 31 ἡ κίνησις ἐνέργειά (ἐνεργεία KM) ἐστιν Philoponi libri: κίνησις ἡ ἐνέργεια Themist. p. 215,18

www.libtool.com.cn

κινουμένου ἐνέργειαν οὐδ' ἀποτετμημένη αὐτοῦ, ἀλλ' ἐν αὐτῷ τὸ εἶναι k 2r
ἔχουσα, γινομένη μὲν ὑπὸ τοῦ κινοῦντος ὑπάρχουσα δὲ ἐν τῷ κινου-
μένῳ· οὐ γὰρ ἄλλη μὲν γίνεται ὑπὸ τοῦ κινοῦντος ἄλλη δὲ ἔστιν ἐν τῷ
κινουμένῳ, ἀλλὰ μία οὖσα ἅμα τε τὸ κινητικὸν κινοῦν ποιεῖ καὶ τὸ κινη-
5 τὸν κινούμενον. μία μὲν οὖν ἡ ἀμφοῖν ἐνέργεια, μία δὲ τῷ ὑποκειμένῳ οὐ
τῷ λόγῳ, ἀλλ' ὥσπερ τὸ ἄναντες καὶ τὸ κάταντες ἓν μέν | ἐστι καὶ τὸ αὐτὸ k 2v
διάστημα, ἀλλ' ἔνθεν μὲν ἀρχομένοις ἄναντες ἔνθεν δὲ κάταντες, οὕτω
καὶ ἐπὶ κινήσεως μία μὲν τῷ ὑποκειμένῳ ἀλλὰ τῇ σχέσει οὐ μία, ἀλλ'
ἀπὸ μὲν τοῦ κινοῦντος ἀρχομένη ποίησις καλεῖται, ἀπὸ δὲ τοῦ πάσχοντος
10 πάθησις. ἀλλ' εἴτε ποίησις λέγοιτο, ἐν τῷ πάσχοντι δηλονότι θεωρεῖται
(τὸ γὰρ ποιοῦν εἰς πάσχον ποιεῖ), εἴτε πάθησις, ἔτι μᾶλλον.

Ταῦτα εἰπὼν ἐπαπορεῖ τῷ λόγῳ, καί φησιν ὅτι μήποτε οὐδὲ μία ἐστὶν ἡ 5
ἀμφοῖν ἐνέργεια, ἀλλὰ δύο· ἄλλη γὰρ ἡ τοῦ ποιητικοῦ ἐνέργεια καὶ ἄλλη ἡ
τοῦ παθητικοῦ. καὶ τοῦτο δῆλον καὶ ἐκ τῶν ὀνομάτων καὶ ἐκ τῶν τελῶν·
15 ἡ μὲν γὰρ τοῦ ποιητικοῦ ἐνέργεια λέγεται ποίησις, ἡ δὲ τοῦ παθητικοῦ
πάθησις, ἔργον δὲ καὶ τέλος τῆς μὲν ποιήσεως τὸ ποίημα, τῆς δὲ παθή-
σεως τὸ πάθος· ὧν δὲ τὰ τέλη διάφορα, καὶ αἱ ἀρχαὶ διάφοροι· ὥστε
δύο αἱ ἐνέργειαι καὶ δύο αἱ κινήσεις. εἰ οὖν δύο, ἢ ἡ μὲν ἐν τῷ κινοῦντι
ἔσται ἡ δὲ ἐν τῷ κινουμένῳ, ἢ ἄμφω ἐν τῷ κινουμένῳ. τὸ δὲ ἕτερον 10
20 τμῆμα τῆς διαιρέσεως οὐχ ὑποτίθεται, λέγω δὴ τὸ ἄμφω εἶναι ἐν τῷ κι-
νοῦντι, διὰ τὸ προφανὲς εἶναι τὸ ἄτοπον ταύτης τῆς ὑποθέσεως· εἰ γὰρ
ἄμφω ἐν τῷ κινοῦντι εἶεν, συμβήσεται τὸ μὲν κινοῦν δύο ἔχειν κινήσεις, τὸ
δὲ κινούμενον μὴ ἔχειν κίνησιν, ὅπερ ἄλογον. εἰ μὲν οὖν θατέρα ἐν θατέρῳ
ἔσται, οἷον ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι
25 (ἀνάπαλιν γὰρ οὐκ ἐνδέχεται, λέγω δὲ τὴν μὲν πάθησιν ἐν τῷ ποιοῦντι τὴν
δὲ ποίησιν ἐν τῷ πάσχοντι· ἔσται γὰρ οὕτω τὸ μὲν πάσχον οὐ πάσχον ἀλλὰ
ποιοῦν, τὸ δὲ ποιοῦν οὐ ποιοῦν ἀλλὰ πάσχον), εἰ τοίνυν ἡ μὲν ποίησις ἐν τῷ 15
ποιοῦντι ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι, ἀνάγκη πᾶσα, ὥσπερ τὸ πάσχον
⟨ἔχον⟩ τὴν ἰδίαν ἐνέργειαν ἔχει κίνησιν ἐν ἑαυτῷ, οὕτω καὶ τὸ ποιοῦν
30 ἔχον τὴν ἰδίαν ἐνέργειαν ἔχειν κίνησιν ἐν ἑαυτῷ. εἰ τοίνυν τὸ κινοῦν ἔχει
κίνησιν ἐν ἑαυτῷ, ἢ κινηθήσεται ἢ οὐ κινηθήσεται· εἰ μὲν οὖν κινηθή-

---

1 αὐτοῦ K αὐτῷ t: ἑαυτῷ LKM εἶναι] εἶναι εὖ superscr. M² 4 κινουμένῳ] γενομένῳ L κινοῦν] κινεῖν L 5 κινούμενον t: κινεῖσθαι LKM at cf. Themist. l. c. 24 sq. ἀμφοῖν ἡ ἐνέργεια L et Themistius 6 καὶ (post ἐστι) om. L 7 ἔθεν M: ἔνθα L ἀρχομένοις Mt: ἀρχομένων K: ἀρχόμενον L: ἀρχομένῳ Themistius 8 ἐπὶ κινήσεως] ἐπινήσ K 9 ἀρχομένη (cf. Simplic. p. 440,6) Mt: ἀρχομένων K: ἀρχόμενον L: ἀρχομένοις vel ἀρχόμενος Themistii libri 11 εἰς LM²t: εἰ KM 12 μήποτε LK: μηδέποτε M: om. t 12. 13 ἡ ἐνέργεια ἀμφοῖν Mt 13 γὰρ τοῦ ποιητικοῦ ἡ Mt 14 καὶ (post δῆλον) om. L 18 αἱ (ante ἐνέργειαι) om. Mt 19 ἐν (post δὲ) LK: ἐπὶ (superscr. nescio quid M²) Mt 25. 28 ἀνάπαλιν — πάσχοντι om. L 29 ἔχον addidi ἔχει KM: ἔχειν (L)M²t 29. 30 οὕτω καὶ — ἐν ἑαυτῷ L: om. KM: οὕτω καὶ τὸ κινοῦν marg. M²: quatuor haec verba post πάσχον (v. 28) posuit t 30. p. 371,1 τὸ κινοῦν — συμβήσεται πᾶν om. K

www.libtool.com.cn

σεται, συμβήσεται πᾶν τὸ κινοῦν καὶ κινεῖσθαι· πᾶν γὰρ ἕξει τὴν ἑαυτοῦ k 2v
ἐνέργειαν ἐν ἑαυτῷ (τοῦτο δὲ ἐναργῶς ψεῦδος· κινεῖ γὰρ καὶ ἡ εἰκὼν τὸν ἐραστὴν καὶ ὁ ἄρτος τὸν πεινῶντα καὶ ὁ χόρτος τὸν ὄνον, αὐτὰ ἀκίνητα ὄντα), εἰ δὲ μὴ κινηθήσεται, ἔσται τι κίνησιν ἔχον μὴ κινούμενον, ὅπερ
5 ἄλογον. εἰ δὲ ἄμφω αἱ ἐνέργειαι ἐν τῷ κινουμένῳ εἶεν καὶ πάσχοντι, 20
πρῶτον μὲν ἄτοπον τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι, ἔπειτα, φησί, συμβήσεται δύο κινήσεις διαφερούσας κατ' εἶδος εἰς ἓν καὶ τὸ αὐτὸ τέλος ἄγειν, ὅπερ ἀδύνατον· δύο μὲν γὰρ κινήσεις κινεῖσθαι ἑτέρας τῷ εἴδει ἐπὶ διάφορα ἀγούσας εἴδη οὐδὲν ἀδύνατον (τὸ γὰρ αὐτὸ δυνατὸν κατὰ τόπον
10 κινεῖσθαι καὶ ἀλλοιοῦσθαι ἢ αὔξεσθαι ἢ μανθάνειν), δύο μέντοι κινήσεις διαφερούσας κατ' εἶδος ἐπὶ ἓν καὶ τὸ αὐτὸ εἶδος ἄγειν ἀδύνατον. ἢ γὰρ ἐκ διαφόρων ἀρχῶν αἱ δύο κινήσεις εἰς ἓν καὶ τὸ αὐτὸ πέρας ἄξουσιν, ἢ 25
ἐκ τῆς αὐτῆς εἰς τὸ αὐτό· εἰ μὲν οὖν ἐκ διαφόρων, ἐπειδὴ ἐξ ἐναντίων πάντως (πᾶσα γὰρ μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον), συμβήσεται δύο
15 τῷ αὐτῷ ἐναντία εἶναι, ὅπερ ἄτοπον (ἀεὶ γὰρ ἓν ἑνὶ ἐναντίον), εἰ δὲ ἐκ τοῦ αὐτοῦ, ἀεὶ αἱ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ μεταβολαὶ διὰ τῶν αὐτῶν μέσων γίνονται (οἷον ἡ ἐκ μελάνσεως εἰς λευκὸν μεταβολὴ ἀεὶ διὰ τοῦ φαιοῦ μέσου, καὶ ἡ τοῦ ὕδατος εἰς ἀέρα μεταβολὴ διὰ μέσης τῆς ἀτμίδος, καὶ ἐπὶ πάντων ὡσαύτως), ὥστε ἀδύνατον δύο κινήσεις διαφόρους ἐκ τοῦ αὐτοῦ
20 εἰς τὸ αὐτὸ ἀγαγεῖν. ἀδύνατον ἄρα δύο ὑποτίθεσθαι τὰς ἐνεργείας, οὔτε 30
θατέραν ἐν θατέρῳ τὴν δὲ ἑτέραν ἐν τῷ λοιπῷ, οὔτε ἀμφοτέρας ἐν ἑνί.

Μήποτε οὖν, φησί, μία τις ἐξ ἀμφοτέρων ἐνέργεια γίνεται, ἐκ τοῦ κινοῦντός φημι καὶ κινουμένου. ἀλλὰ καὶ ταύτῃ τῇ ὑποθέσει ἔψεταί τινα ἄτοπα· πρῶτον μὲν γάρ, φησίν, αὐτὸ τοῦτο ἄτοπον τὸ δύο πράγματα διαφέροντα
25 κατ' εἶδος μίαν καὶ τὴν αὐτὴν ἔχειν ἐνέργειαν (ὥσπερ γὰρ τοῦ λευκαινομένου καὶ θερμαινομένου οὐκ ἔσται μία τις καὶ ἡ αὐτὴ ἐνέργεια, οὕτως εὔλογον μηδὲ τοῦ ποιοῦντος καὶ πάσχοντος τὴν αὐτὴν εἶναι ἐνέργειαν), 35
ἔπειτα, φησίν, εἰ ἀμφοτέρων μία ἔσται ἡ ἐνέργεια, ἔσται καὶ ἡ δίδαξις τῇ μαθήσει τὸ αὐτὸ καὶ ἔτι καθολικώτερον ἡ ποίησις τῇ παθήσει· ἐνέργειαι
30 γὰρ καὶ αὗται· εἰ δὲ τοῦτο, καὶ τὸ ποιεῖν τῷ πάσχειν, ὅπερ ἐστὶν αὐτὸ τὸ ἐνεργεῖν κατὰ τὴν ἐνέργειαν (ὅταν μὲν γὰρ εἴπω λεύκανσιν ἢ δίδαξιν, αὐτὴν εἶπον τὴν ἐνέργειαν, ὅταν δὲ λευκαίνειν ἢ διδάσκειν, αὐτὸ τὸ κινεῖ-

---

3 τὸν (ante πεινῶντα) om. KM 10 αὔξασθαι K μανθαύειν errore typogr. t
11. 12 διαφερούσας—κινήσεις om. L 12 ἥξουσιν L 13 οὖν om. Mt 14 post πάντως addunt εἰς ἐναντία M^2t 15 ὅτιπερ K 16 μεταβολαὶ M 17 γίνονται L: γίνεται (K)Mt post φαιοῦ addunt γίνεται Mt 18 μέσου] μέσον K
19 ἐκ τοῦ αὐτοῦ om. L 20 εἰς ταυτὸν L δύο L: om. KMt ὑποτίθεσθε K 21 ἐν ἑν[ἑνοῦντας L 22 φησὶ L: om. KMt 24 τὸ] τὰ K
25 γὰρ LK: λέγεται M: om. t 26 καὶ τοῦ θερμαινομένου t 28 ἀμφοτέρων t δίδαξις LK: βάδισις Mt 29 καθολικότερον M 30 τῷ LK: καὶ τὸ Mt 30. 31 πάσχειν—ὅταν μὲν iterat K 30 ἐστὶν om. L 31 κατὰ τὴν ἐνέργειαν KMt: ἀπὸ τῆς ἐνεργείας L μὲν LK: om. Mt λεύκασιν K 32 ἢ διδάσκειν LK: καὶ κινεῖσθαι Mt

www.libtool.com.cn

σθαι καὶ ἐνεργεῖν κατὰ τὴν ἐνέργειαν ἢ κίνησιν), τῆς οὖν ἐνεργείας μιᾶς k 2v
καὶ τῆς αὐτῆς οὔσης, καὶ τὸ κατ' αὐτὴν ἐνεργεῖν ἓν ἔσται καὶ τὸ αὐτό· 40
εἰ δὲ τοῦτο, καὶ ὁ ἐνεργῶν εἷς ἔσται καὶ ὁ αὐτός· οὐκοῦν καὶ ὁ διδάσκων
τῷ μανθάνοντι καὶ ὁ ποιῶν τῷ πάσχοντι ὁ αὐτὸς ἔσται· συμβήσεται οὖν
5 τὸν διδάσκοντα καθὸ διδάσκει μανθάνειν, καὶ τὸν ποιοῦντα πάσχειν, ὅπερ
ἄτοπον. καὶ ἄλλως, ὅπερ αὐτὸς μὲν ἐν τῇ ἀπορίᾳ οὐ προστίθησιν, ὡς ἤδη
ἐν τῇ προτέρᾳ ὑποθέσει τῇ λεγούσῃ δύο ἐνεργείας εἶναι θεὶς αὐτό, ἐν
μέντοι τῇ λύσει, ὡς καὶ τοῦτο θεὶς τὸ ἄτοπον, ἐπιλύεται αὐτό· ἡ γὰρ
μία αὕτη ἐνέργεια ἐν τίνι ἔσται; ἢ γὰρ ἐν τῷ κινοῦντι, ἢ ἐν τῷ κινου-
10 μένῳ· ἀλλ' ἐν μὲν τῷ κινοῦντι ἄλογον (ἔσται γὰρ τὸ κινούμενον μὴ ἔχον 45
κίνησιν· καὶ πῶς κινηθήσεταί τι μὴ ἔχον κίνησιν;), εἰ δὲ ἐν τῷ κινουμένῳ,
ἄτοπον πάλιν τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι καὶ μὴ ἐν ἑκάστῳ τὴν
ἰδίαν ἑκάστου ἐνέργειαν εἶναι.

Οὕτως ἀπορήσας πρὸς τὸν λόγον ἐπιλύεται ἐφεξῆς τὰς ἀπορίας, καὶ
15 πρὸς μὲν τὴν ὑπόθεσιν τὴν ὑποτιθεμένην δύο εἶναι τὰς ἐνεργείας καὶ τὰ
ἑπόμενα ταύτῃ ἄτοπα οὐδέν φησι, διότι μηδὲ ἀληθὴς ἡ ὑπόθεσις καὶ τὰ
ἑπόμενα αὐτῇ ἄτοπα ἔλεγχός ἐστι καὶ οὐκ ἀπορία, τὰ δὲ ἑπόμενα ἄτοπα 50
τῇ ἑτέρᾳ ὑποθέσει, τῇ λεγούσῃ μίαν εἶναι τὴν ἐνέργειαν ἀμφοῖν, ἐπιλύεται,
ἐπειδὴ καὶ ἀληθὴς αὐτῷ δοκεῖ εἶναι αὕτη ἡ ὑπόθεσις. καὶ πρῶτόν γε
20 τὸν λόγον τὸν λέγοντα ὅτι ἡ ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται ἐπιλύεται, ὃν
ἐν μὲν τῇ ἀπορίᾳ ὡς ἑπόμενον τῇ προτέρᾳ ὑποθέσει, τῇ λεγούσῃ δύο εἶναι
τὰς ἐνεργείας, καὶ ταύτας ἐν τῷ κινουμένῳ, ἔθηκεν, ἐν δὲ τῇ λύσει ὡς
ἑπόμενον καὶ τῷ λέγειν μίαν εἶναι ἐνέργειαν, καὶ ταύτην ἐν τῷ κινουμένῳ,
ἐπιλύεται· ὡς γὰρ εἶπον, | οὐδὲ λέγει τι πρὸς τὸν λόγον τὸν ἐλέγχοντα k 3r
25 τὴν ὑπόθεσιν τὴν λέγουσαν δύο εἶναι τὰς ἐνεργείας, ἐπειδὴ μηδὲ δοκεῖ
αὐτῷ ἀληθὴς ἡ ὑπόθεσις. φησὶν οὖν μηδὲν εἶναι ἄτοπον τὸ τὴν ἄλλου
ἐνέργειαν ἐν ἄλλῳ εἶναι, ἀλλὰ καὶ ἀναγκαῖον ἐπὶ τῶν πρός τι τοῦτο εἶναι·
ἔχομεν δὲ ἐξ ἀρχῆς κείμενον ὅτι τὸ κινοῦν καὶ τὸ κινούμενον τῶν πρός
τί ἐστιν. ἤγουν ἡ ἐνέργεια ἡ τοῦ πατρὸς οὐκ ἐν ἄλλῳ τινί ἐστιν ἢ ἐν τῷ
30 υἱῷ· οὐ γὰρ ἀποτέτμηται τοῦ υἱοῦ ἡ τοῦ πατρὸς ἐνέργεια, ἀλλ' ἐν τῷ 5
υἱῷ τὸ εἶναι ἔχει, ἀρχομένη μὲν ἐκ τοῦ πατρός, συνισταμένη δὲ ἐν τῷ
υἱῷ. οὕτω καὶ τοῦ λευκαίνοντος ἡ ἐνέργεια οὐκ ἐν ἄλλῳ τινὶ ἔσται ἢ ἐν
τῷ λευκαινομένῳ, καὶ τοῦ διδάσκοντος ἐν τῷ μανθάνοντι, καὶ καθόλου τοῦ

---

1 καταυτὴν τὴν ἐνέργειαν ἡ κίνησις K 2 τῆς αὐτῆς] ταύτης L 3 litterae ὁ ἐνερ- ex corr. M οὔκουν M 4 πάσχοντι καὶ αὐτὸς ante lituram M 5 post ποιοῦντα exciderint καθὸ ποιεῖ 6 καὶ ὅτιπερ αὐτὸς ἐν (omissis ἄλλως et μὲν) L μὲν ἐν] fort. ἐν μὲν 8 καὶ om. Mt 11 τι LM: τὸ (K)t 13 ἐνέργειαν ἑκάστου L 14 ἀπορίσας M καὶ om. Mt 16 ἀληθὲς M 17 αὐτῇ L: αὐτὴ (sic) KMt ἐλέγχων et mox ἀπορῶν L οὐκ om. superscr. M 18 τῇ ἑτέρα ὑποθέσει LK: τῇ ὑποθέσει τῇ ἑτέρᾳ Mt 19 ἀληθὲς M αὐτῷ LK: αὐτὸ Mt πρῶτα L 20 ἐνέργεια et ἐπιλύεται om. L ὃν] ὂν M 23. 24 καὶ τὸ λέγειν μίαν — ὡς γὰρ in ras. K 23 καὶ τῷ t: καὶ τὸ LKM μίαν λέγειν Mt 24 τὸν λόγον om. L 25 μηδὲ δοκεῖ] μηδενὶ K 26 φασὶν L οὖν om. M 28 ἐξ ἀρχῆς κτλ.] cf. c. 1 p. 200b30 sqq. ὅτι LK: καὶ Mt 29 ἐστιν (priore loco) LKM: εἶναι t 31 conicias ἐφισταμένη et p. 374,22 ἐφισταμένην

www.libtool.com.cn

ποιοῦντος ἐν τῷ πάσχοντι· οὐδὲν γὰρ ἄλλο πάσχει τὸ πάσχον ἢ ὅπερ ποιεῖ k 3r
τὸ ποιοῦν· ἐνεργοῦντος γὰρ τοῦ ποιοῦντος ἅμα πάσχει τὸ πάσχον. εἰ
τοίνυν ὃ ποιεῖ τὸ ποιοῦν τοῦτο πάσχει τὸ πάσχον, ὃ δὲ πάσχει τὸ πάσχον
τοῦτο ἐν τῷ πάσχοντί ἐστιν (ἐν τῷ πάσχοντι γὰρ τὸ πάθος), ὃ ποιεῖ ἄρα
5 τὸ ποιοῦν, τοῦτο ἐν τῷ πάσχοντί ἐστιν. ἐν πρώτῳ σχήματι ὁ συλλογισμός. 10
ὥστε εἰ ἡ ποίησις ἐνέργεια τοῦ ποιοῦντος, αὐτὴ δὲ ἐν τῷ πάσχοντί ἐστιν,
ἀνάγκη ἄρα ἐπὶ τῶν πρός τι τὴν ἑκατέρου ἐνέργειαν ἐν θατέρῳ εἶναι.

Πρὸς δὲ τὸ δεύτερον ἄτοπον, τὸ λέγον ὅτι συμβήσεται δύο ἑτέρων
τῷ εἴδει μίαν εἶναι ἐνέργειαν, φησὶν ὅτι ἐπί τινων οὐδὲ τοῦτο ἄτοπον,
10 λέγω δὴ ἐπὶ τῶν πρός τι, ὅταν τὸ μὲν δυνάμει ᾖ τὸ δὲ ἐνεργείᾳ κατὰ
τὴν δύναμιν ταύτην, ἀλλὰ μία ἡ τούτων ἐνέργεια τῷ ὑποκειμένῳ οὐ
τῷ λόγῳ· μία γὰρ ἡ λεύκανσις ἣν λευκαίνει τὸ λευκαῖνον καὶ λευκαί- 15
νεται τὸ λευκαινόμενον, καὶ τὸ θεώρημα ἓν ὃ διδάσκει ὁ διδάσκων καὶ
μανθάνει ὁ μανθάνων. καὶ ἡ δίδαξις οὖν τοῦ θεωρήματος μία ἣν διδάσκει
15 τὸ διδάσκον καὶ διδάσκεται τὸ διδασκόμενον· οὐ γὰρ ἄλλο τί ἐστιν ἡ
δίδαξις, ἢ τὸ ἐκ τοῦ διδασκάλου μανθάνειν. ὁμοίως δὲ καὶ ἡ μάθησις.
ἀλλὰ τῷ μὲν ὑποκειμένῳ τὰ αὐτά, τῷ δὲ λόγῳ οὐ τὰ αὐτά, ὥσπερ ἡ ἀνά-
βασις καὶ ἡ κατάβασις, καὶ ἡ ὁδὸς ἡ Θήβηθεν Ἀθήναζε καὶ ἡ Ἀθή-
νηθεν Θήβαζε. μία γὰρ καὶ ἐπὶ τούτων ἡ διάστασις, ἡ κάτωθεν ἄνω καὶ
20 ἡ ἄνωθεν κάτω. ἀλλ' ὁ λόγος ἕτερος· ἔνθεν μὲν γὰρ ἀρχομένῳ ἀνά- 20
βασις, ἔνθεν δὲ κατάβασις. οὕτως οὖν καὶ ἐπὶ τοῦ ποιοῦντος καὶ πάσχον-
τος μία μὲν ἡ ἐνέργεια ἀμφοῖν, ἀλλ' ἐκ μὲν τοῦδε ἀρχομένων ποίησις
λέγεται, ἐκ δὲ τοῦδε πάθησις, καὶ ἐκ τοῦδε μὲν μάθησις, ἐκ τοῦδε δὲ
δίδαξις. καὶ τοῦτο εἰκότως συνέβη, ἐπειδὴ οὐδὲν ἕτερον ποιεῖ τὸ ποιοῦν,
25 ἢ ὅπερ ἐστὶ δυνάμει τὸ πάσχον. ἡ ἄρα ἐνέργεια τοῦ ποιοῦντος, αὕτη ἐστὶν
ἐνέργεια τῆς τοῦ πάσχοντος δυνάμεως· μία ἄρα ἡ ἀμφοῖν ἐνέργεια κατὰ
τὸ ὑποκείμενον τῇ σχέσει μόνῃ τὸ διάφορον ἔχουσα.

Πρὸς δὲ τὸ τελευταῖον ἄπορον, τὸ λέγον ὅτι εἰ μία ἀμφοῖν ἐνέργεια 25
ἔσται, καὶ ἡ δίδαξις τῇ μαθήσει ταὐτόν, καὶ εἰ τοῦτο, καὶ ὁ διδάσκων τῷ
30 μανθάνοντι ὁ αὐτός, πρὸς τοῦτο οὖν ἀπαντῶν φησιν ὅτι οὐκ ἀνάγκη, εἰ ἡ
μάθησις τῇ διδάξει ταὐτὸν εἴη, ἤδη καὶ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν

---

1 ποιεῖ om. K 2. 3 εἰ τοίνυν — τοῦτο πάσχει (sic in iteratis; πάσχειν priore loco) τὸ πάσχον iterat K 3 πάσχει τὸ (prioro loco) iterat M 4 πάσχον τί (pro πάσχοντί) hic et identidem in proximis Mt 5. 6 ἐν πρώτῳ — πάσχοντί ἐστιν om. L 6 εἰ ἡ] εἴη K ἐνέργεια ἐστὶν K fort. αὕτη 7 ἄρα] γὰρ L 8 δεύτερον] β' K: om. M: δύο superscr. M² δύο L: δὲ K: δὲ δύο Mt 9 τὴν ἐνέργειαν L ὅτι] οὖν L 12 ἣν L: ἣν K: ᾗ Mt 14 ἣν] ἢ K 16 μαθεῖν L 17 ὥσπερ LK: εἴπερ Mt 18 ἡ ὁδὸς K: ἡ ὁδὸς καὶ L: om. Mt 18. 19 καὶ ἀθήνηθεν (om. ἡ) K 19 καὶ ἡ ἐπὶ τούτων διάστασις traicit L

21. 22 πάσχοντας K 22 τοῦδε] τοῦ γένους L ἀρχομ K 23 τοῦδε δὲ (ante δίδαξις) L: τούτου δὲ K: δὲ τοῦδε Mt 25 αὕτη ἐστίν L: αὕτη γὰρ (K)Mt 26 ἡ om. L 27 διαφέρον L 28 ὅτι εἰ Lt: ὅτι ἡ KM 29 ταυτὸν τῇ μαθήσει L καὶ (ante ὁ) om. Mt 30. 31 ἡ μὲν μάθησις ante lituram L 31 ἤδη καὶ πρὸς τὸ διδάσκειν M

www.libtool.com.cn

εἶναι καὶ τὸν διδάσκοντα τῷ μανθάνοντι. εἰ μὲν γὰρ κατὰ πάντα ταὐτὸν k 3r
ἦν ἡ δίδαξις καὶ ἡ μάθησις, ὥσπερ καὶ τὸ λώπιον καὶ ἱμάτιον, ἀνάγκη τῷ
ὄντι ἕπεσθαι τὰ εἰρημένα, ἐπειδὴ δὲ οὐ κατὰ πάντα τὰ αὐτά ἐστιν, ἀλλὰ
τῷ μὲν ὑποκειμένῳ ταὐτὸν τῷ δὲ λόγῳ διάφορα, οὐκ ἀνάγκη τὸν αὐτὸν
5 εἶναι τὸν διδάσκοντα τῷ μανθάνοντι, οὐδὲ τὴν δίδαξιν τῇ μαθήσει. ἐπεὶ
καὶ τῆς ἀναβάσεως καὶ τῆς καταβάσεως οὔσης μιᾶς κατὰ τὸ ὑποκείμενον,
οὔτε τὸ ἀναβαίνειν τῷ καταβαίνειν ταὐτόν ἐστιν οὔτε ὁ ἀναβαίνων τῷ
καταβαίνοντι, οὐδὲ ἐπειδὴ μία ἡ διάστασις ἡ ἐξ Ἀθηνῶν εἰς Θήβας καὶ
⟨ἡ⟩ ἐκ Θηβῶν εἰς Ἀθήνας, ἤδη που καὶ τὸ εἰς Θήβας ἰέναι ἐξ Ἀθηνῶν ταὐ-
10 τόν ἐστι τῷ ἐκ Θηβῶν εἰς Ἀθήνας, ἢ ὁ ἐκ Θηβῶν εἰς Ἀθήνας ἐρχόμενος
ὁ αὐτός ἐστι τῷ ἐξ Ἀθηνῶν εἰς Θήβας ἀπιόντι. οὕτως οὖν κἂν εἰ ἡ δί-
δαξις τῇ μαθήσει ἡ αὐτὴ εἴη, οὔτε τὸ μανθάνειν ἀνάγκη τῷ διδάσκειν
ταὐτὸν εἶναι, οὔτε τὸν διδάσκοντα τῷ μανθάνοντι· ὅλως γὰρ οὐδὲ ταὐτὸν
κυρίως καὶ κατὰ πάντα ἡ δίδαξις τῇ μαθήσει, ἀλλὰ μόνον κατὰ τὸ ὑπο-
15 κείμενον· ὥστε εἰ μὴ κατὰ πάντα ταὐτὸν ἡ δίδαξις τῇ μαθήσει, οὐδὲ τὸ
διδάσκειν τῷ μανθάνειν, οὐδὲ ὁ διδάσκων τῷ μανθάνοντι. πρότερον μὲν
γὰρ συνεχώρησε τὴν δίδαξιν τῇ μαθήσει τὴν αὐτὴν εἶναι, εἶτα τὴν ἀκο-
λουθίαν ἤλεγξεν ὡς ψευδῆ, λέγω δὴ ὅτι καὶ τὸ διδάσκειν τῷ μανθάνειν
ταὐτὸν καὶ ὁ διδάσκων τῷ μανθάνοντι, ὕστερον δὲ οὐδὲ τῇ ἀρχῇ συνε-
20 χώρησε, λέγων ὅτι οὐδὲ ἡ δίδαξις τῇ μαθήσει ἡ αὐτή· οὐδὲ γὰρ τῷ
ὁρισμῷ ταὐτά, ἀλλὰ τῷ ὑποκειμένῳ. ὥστε οὐδὲν ἄτοπον μίαν εἶναι ἐνέρ-
γειαν ἀμφοῖν, προϊοῦσαν μὲν ἐκ τοῦ ποιοῦντος ὑφισταμένην δὲ ἐν τῷ
πάσχοντι· ὥστε εἰ ἡ ἐνέργεια τοῦ κινητοῦ κίνησίς ἐστι μία καὶ ἡ αὐτὴ
οὖσα καὶ τοῦ κινητικοῦ, αὐτὴ δὲ ἐν τῷ κινητῷ ἐστι γινομένη ὑπὸ τοῦ
25 κινητικοῦ, τὸ δὲ κινητόν ἐστι τὸ κινούμενον, ἐν τῷ κινουμένῳ ἄρα ἡ κί-
νησις καὶ οὐκ ἐν τῷ κινοῦντι.

Καὶ τὸ ἀπορούμενον δὲ φανερόν. ἀπορεῖται γὰρ πότερον ἡ κίνησις ἐν τῷ κινοῦντί ἐστιν ἢ ἐν τῷ κινουμένῳ ἢ ἐν ἀμφοῖν.

p. 202a14 Ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ.

30 Ὅτι ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως δείκνυται ὅτι ἐν τῷ κινουμένῳ

---

1 τὸν διδάσκοντα] τὸ διδάσκον L 2 καὶ τὸ ἱμάτιον L 2. 3 τῷ ὄντι om. L
3 ἐπεὶ δὲ Mt πάντα om. K 4 ταυτόν KM: ταυτὰ Lt 6 τῆς (ante καταβάσεως) om. K μιᾶς οὔσης L 7 ἀναβαίνειν οὔτε τὸ καταβαίνειν M 8 Θήβας] θήκας K
9 ἡ addidi ἐκ θημῶν et mox εἰς θ' ἡμᾶς ἰέναι K που om. L 10 ὁ om. LK
11 ἐστιν ἤδη τῷ L οὖν κἂν εἰ ἡ scripsi: οὐκ ἂν εἰ ἡ (εἴη K) LK: οὖν ἂν ἡ Mt 12 εἴη] ἢ t ἀνάγκη om. L 16 διδάσκων τὸ μανθάνοντι K πρῶτον L 17 γὰρ om. L
τὴν αὐτὴν LK: ταυτὸν Mt 18 ἤλεγξεν M ὡς] εἰς L 21 τὰ αὐτὰ Mt 22 post ποιοῦντος deletum αὐτὰ M ὑφισταμένην] cf. ad p. 372,31 23 ὥστε] ὡς L 24 αὕτη δὲ L γιγνομένη K 27 προείρηται γὰρ L 28 ἐν τῷ κινοῦντί — ἀμφοῖν om. L lemma om. L 29 ἐστιν K καὶ ὑπὸ Aristotelis vulgata at cf. Diels z. *Textgesch.* p. 23 30 Ὅτι ἐκ] ἔτι ἐκ t ἐν] οὐδ' ἐν L: ante ἐν tres litteras delevit M

www.libtool.com.cn

ἐστὶν ἡ κίνησις οὐκ ἐν τῷ κινοῦντι· ἔστι γάρ, φησίν, ἡ κίνησις ἐντελέχεια k 3r
τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. καὶ τελειότερον νῦν ἀποδίδωσι τὸν τῆς κινήσεως ὁρισμόν· συμπαραλαμβάνει γὰρ καὶ τὸ αἴτιον τῆς ἐνεργείας· ἐντελέχεια γάρ, φησίν, ἐστὶ τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. ὁ μὲν γὰρ πρότερος ὁρισμός, ὁ λέγων ὅτι ἐστὶν "ἐντελέχεια τοῦ κινητοῦ, ᾗ κινητόν", οὗ φησιν ὑπὸ τίνος ἡ ἐντελέχεια γίνεται, ὁ δὲ προκείμενος καὶ τοῦτο ἐμφαίνει. 50
καὶ ἡ τοῦ κινητικοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν. εἰ γὰρ ἡ κίνησις ἐντελέχειά ἐστι τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ, οὐκ ἄρα ἑτέρα ἐστὶν ἡ τοῦ κινητικοῦ ἐνέργεια παρὰ τὴν τοῦ κινητοῦ, ἀλλὰ μία καὶ ἡ αὐτή, τελειοῦσα μὲν τὸ ὑποκείμενον, λέγω δὴ τὸ κινούμενον, γινομένη δὲ ὑπὸ τοῦ κινοῦντος· αὕτη γάρ ἐστιν ἡ τοῦ κινητικοῦ ἐνέργεια, τὸ κινεῖν τὸ κινητόν, τὸ δὲ κινεῖν τὸ κινητὸν τοῦτό ἐστι, τὸ κινεῖσθαι τὸ κινούμενον.

p. 202a15 Δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν. |

Ἐπειδὴ εἶπεν ὅτι 'οὐκ ἄλλη ἐστὶν ἡ τοῦ κινητικοῦ ἐνέργεια', διὰ τοῦτο k 3v
εἶπεν ὅτι οὐ τοῦτό φημι, ὅτι οὐκ ἔχει ἑκάτερον αὐτῶν ἐνέργειάν τινα· δεῖ 5
γὰρ ἔχειν. καὶ ὅτι μὲν τὸ κινούμενον ἔχει, πρόδηλον, ὅτι δὲ καὶ τὸ κινοῦν ἔχει τινὰ ἐνέργειαν, κατασκευάζει· κινητικὸν μὲν γάρ ἐστι, φησί, τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν. εἰ τὸ κινοῦν, φησί, ποτὲ μὲν τὴν κινητικὴν μόνον δύναμιν ἔχει, ποτὲ δὲ ἐνεργεῖ κατ' αὐτήν, δῆλον ὅτι ἔχει τινὰ καὶ τὸ κινοῦν ἐνέργειαν, καθ' ἣν ἐκ τοῦ κινητικὸν εἶναι γίνεται ἐνεργείᾳ κινοῦν. ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ, ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια. εἰ καὶ ἐνεργεῖ, φησί, τὸ κινοῦν, ἀλλ' ἐνεργεῖ οὐδαμῶς ἄλλως, ἀλλ' ἢ ἐν αὐτῷ τῷ κινητῷ, καθὸ καὶ τὸ κινητὸν ἐνεργείᾳ κινεῖται· ὥστε εἰ ἐν τῷ κινητῷ ἐνεργεῖ, καὶ ἡ ἐνέργεια τοῦ κινητικοῦ τοῦτό ἐστιν ἡ τοῦ κινητοῦ κίνησις, μία ἄρα ἡ ἀμφοῖν ἐνέργεια. καὶ ὅτι οὐ θαυμαστὸν μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν δύο εἶναι πραγμάτων τῇ σχέσει μόνον διαφέρουσαν, τοῖς παραδείγμασι πιστοῦται. ὥσπερ, φησί, τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο καὶ δύο πρὸς ἕν· ἓν γὰρ τοῦτο καὶ ταὐτὸν κατὰ τὸ ὑποκείμενον. τί γὰρ διαφέρει ἐκ τῶν δύο πρὸς τὸ ἓν κινηθῆναι, καὶ ἐκ τοῦ ἑνὸς πρὸς τὰ δύο; οἷον τὸ λέγειν ὅτι ὃν λόγον ἔχει τὰ δύο πρὸς τὸ ἕν, οὐδὲν διαφέρει τοῦ εἰπεῖν ὃν λόγον ἔχει τὸ ἓν πρὸς τὰ δύο,

---

1 οὐκ] οὐδ' L 5 πρῶτος L ἐντελέχεια κτλ. c. 2 p. 202a7 κινητοῦ LK: κινητικοῦ Mt 7 κινητοῦ libri at cf. v. 14 10 αὐτὴ K 11 κινητικοῦ] κινητοῦ L 13 γὰρ om. L 14 ἐνεργεία (L)t 16 κινούμενον ἔχειν πρόδηλον L τὸ (post καὶ) om. L 17 κινητὸν κινητικὸν M ἐστι om. Mt 18 τῷ (priore loco) Kt: τὸ LM δύνασθαι L: δύνασθαι κινεῖν KMt κινοῦν δὲ Aristoteles: κινεῖν δὲ Philoponi libri τῷ (post δὲ) K: τὸ LMt 19 ἐνεργεῖ] ἐνερ γ' ι' (h. e. ἐνέργεια γίνεται) L 20 εἶναι om. K 23 καθὸ Mt: καθ' ἣν LK κινητὸν (L)t: κινητικὸν KM 23. 24 ἐνεργείᾳ] ἐνέργειαν L 24 εἰ] ἡ L ἐνεργεῖ] ἐνέργεια L 27 διαφέρουσαν K: διαφέρουσι L: διαφέρουσα Mt αὐτὸ om. L 29 πρὸς τὸ] τὸ πρὸς L 30 οἷον om. L 30. 31 ἔχει τὸ ἓν πρὸς τὰ δύο priore loco, ἔχει τὰ δύο πρὸς τὸ ἕν altero loco Mt

www.libtool.com.cn

εἰ μὴ μόνον τῇ σχέσει, τῷ ὑποκειμένῳ δὲ ταὐτὸν καὶ ἕν. ἀλλ' εἰ καὶ k 3v
μία ἡ διάστασις, ἀλλ' οὖν αἱ σχέσεις διάφοροι· τὰ μὲν γὰρ δύο πρὸς τὸ
ἓν διπλασίονα λόγον ἔχει, τὸ δὲ ἓν πρὸς τὰ δύο τὸν ἥμισυν. ὁμοίως
δὲ καὶ τὸ ἄναντες καὶ τὸ κάταντες σχέσεις μὲν διάφοροι, διάστασις
5 δὲ μία.

p. 202a21 Ἔχει δὲ ἀπορίαν λογικήν.

Λογικὴν ἀντὶ τοῦ ἀξίαν τινὰ λόγου, οἱονεὶ πιθανὴν καὶ ἀξίαν οὖσαν 21
λόγου τυχεῖν καὶ ἐπιλύσεως. τίς οὖν ἡ ἀπορία; ὅτι μήποτε οὐ καλῶς
εἴρηται τὸ μίαν εἶναι ἀμφοῖν τὴν ἐνέργειαν, ἀλλὰ δεῖ ἑκατέρου ἰδίαν τινὰ
10 ἐνέργειαν εἶναι, ἑτέραν οὖσαν παρὰ τὴν θατέρου ἐνέργειαν, ὡς δηλοῖ τά
τε ὀνόματα διάφορα ὄντα ἐπὶ τῆς ἑκάστου ἐνεργείας τεταγμένα (ἡ μὲν
γὰρ ποίησις, ἡ δὲ πάθησις), διάφορα δὲ καὶ τὰ ἀποτελέσματα· τῆς μὲν 25
γὰρ ποιήσεως τὸ τέλος ποίημα, τῆς δὲ παθήσεως πάθος. εἰ τοίνυν καὶ τὰ
ὀνόματα τῶν ἐνεργειῶν καὶ τὰ τέλη διάφορα, καὶ αὗται δήπου ἕτεραι ἂν
15 εἶεν ἀλλήλων.

p. 202a25 Εἰ οὖν ἄμφω κινήσεις, εἰ μὲν ἕτεραι, ἐν τίνι;

Εἰ δύο εἰσὶν αἱ ἐνέργειαι, φησίν, ἢ ἀμφότεραι κινήσεις εἰσὶν ἢ μία
ἐξ ἀμφοῖν γίνεται κίνησις, εἰ δὲ ἀμφότεραι κινήσεις εἰσίν, ἢ ἡ μέν ἐστιν
ἐν τῷ κινοῦντι ἡ δὲ ἐν τῷ κινουμένῳ, ἢ ἀμφότεραι ἐν τῷ κινουμένῳ· τὸ 30
20 γὰρ ἀμφοτέρας εἶναι ἐν τῷ κινοῦντι, ὡς εἶπον, οὐδὲ ὑποτίθεται. δυνατὸν
δὲ ἦν τὴν διαίρεσιν οὕτως ποιήσασθαι, ὅτι εἰ δύο εἰσὶν ἐνέργειαι, ἢ ἀμφό-
τεραι κινήσεις εἰσὶ διαφέρουσι δ' ἀλλήλων, ἢ μία ἐξ ἀμφοῖν γίνεται κίνησις,
ἢ ἡ μὲν μία ἐνέργεια κίνησίς ἐστιν ἡ δὲ ἑτέρα οὐκ ἔστι κίνησις· ἀλλὰ τὸ
τρίτον οὐδὲ ὑποτίθεται, λέγω δὴ τὸ τὴν μὲν εἶναι κίνησιν τὴν δὲ μὴ εἶναι.
25 φημὶ οὖν ὅτι οὐδ' ὅλως τὰς ἐνεργείας ὡς ἑτέρας εἶναι παρὰ τὰς κινήσεις
τίθεται ἡ ἀπορία, ἀλλὰ ταὐτὸν ἐνέργειαν εἶναί φησι καὶ κίνησιν, ἵνα οὕτω 35
τὸ πιθανὸν ἔχῃ ἡ ἀπορία. πρόεισιν οὖν αὐτῷ ἡ διαίρεσις τοῦτον τὸν
τρόπον· ὄντος τοῦ μὲν κινοῦντος τοῦ δὲ κινουμένου, ἢ δύο εἰσὶν αἱ ἐνέρ-
γειαι τούτων καὶ αἱ κινήσεις (ταὐτὸν γὰρ ἐνέργεια καὶ κίνησις), ἢ μία
30 ἀμφοῖν ἡ ἐνέργεια καὶ ἡ κίνησις. ὅτι δὲ εἰς ταὐτὸν ἄγει τὴν ἐνέργειαν καὶ

---

1 εἰ μὴ] πρὸς τὸ ἓν· οὐδὲν διὰ (instituerat scilicet διαφέρει scribere: cf. p. 375,31) εἰ μὴ K 2 σχέσεις] σχέσει (K)t τὸ (post πρὸς) om. LK 3 ὁ λόγος K ἥμισυν t: ἥμισυ KLM 6 δ' ἀπορίαν Lt 7 Λογικὴν om. L τινὸς t 7 et 8 λόγον K 9 δεῖ] δὴ M 10 οὖσαν LK: εἶναι M: om. t 12 καὶ om. L 16 εἰ (ante οὖν) LM: ἐπεὶ (K)t et Aristotelis libri (praeter F et primitus E) κινήσεις εἰσὶν L ἕτερα K ἕν τινι M 17. 18 ἢ μία — κινήσεις εἰσίν (εἰσὶν scripsi: εἶναι codex) K: om. LMt 19 inter κινοῦντι et ἡ δὲ delevit ὡς εἶπον M ἢ ἀμφότεραι ἐν τῷ κινουμένῳ om. L 20 ὡς εἶπον p. 370,19 sqq. 21 οὕτω t ὅτι] τὸ L αἱ ἐνέργειαι L 22 διαφέρουσαι L 24 λέγω LK: φημὶ Mt τὴν δὲ Mt: τῆς δὲ LK 25 οὖν om. L οὐδόλως M 28 αἱ om. Mt 29 καὶ κίνησις] καὶ ἡ κίνησις L

www.libtool.com.cn

τὴν κίνησιν ἡ ἀπορία, δῆλον ἐξ ὧν ἐνταῦθα εἰπὼν εἰ οὖν ἄμφω κινή- k 3v σεις, ἐν τῷ λοιπῷ μορίῳ τῆς διαιρέσεώς φησιν "ἀλλὰ μία ἔσται ἡ ἐνέργεια", τὴν αὐτὴν λαβὼν τὴν ἐνέργειαν τῇ κινήσει.

p. 202ª27 Εἰ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν εἴη.

Ἐπειδὴ ἐκ τῆς διαφορᾶς τῶν ὀνομάτων κατεσκεύασε δύο εἶναι τὰς ἐνεργείας, τῷ τὴν μὲν ποίησιν τὴν δὲ πάθησιν λέγεσθαι, ἵνα μή τις εἴποι ὅτι 'οὐ καλῶ διαφόροις ὀνόμασι τὴν τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος ἐνέργειαν, ἵνα καὶ ἐκ τούτου δύο αὐτὰς ὀνομάζειν ἀναγκασθῶ· οὐδὲν γάρ μοι διαφέρει καὶ τὴν τοῦ πάσχοντος ἐνέργειαν ποίησιν καλεῖν μίαν οὖσαν καὶ τὴν αὐτὴν τῇ τοῦ ποιοῦντος ἐνεργείᾳ', καὶ ὅτι οὐδὲ εὕρηται ὅλως ἐν τῇ τῶν Ἑλλήνων χρήσει τὸ τῆς παθήσεως ὄνομα, φησὶν οὖν πρὸς τοῦτο ὅτι κἂν τοῖς αὐτοῖς ὀνόμασι τὰς ἀμφοτέρων ἐνεργείας καλέσῃ τις, οὐ συνώνυμοι ἔσονται δηλονότι ἀλλ' ὁμώνυμοι· οὐ γὰρ δὴ τὸν ὁρισμὸν τῆς τοῦ ποιοῦντος ἐνεργείας ἐπιδέξαιτο ἂν ἡ τοῦ πάσχοντος ἐνέργεια, ἐπεὶ ἔσται καὶ τὸ ποιοῦν πάσχον καὶ τὸ πάσχον ποιοῦν. ὥστε τούτοις συνδιαιροῦνται καὶ αἱ φύσεις τῶν ἐνεργειῶν, κἂν ἑνὶ καὶ τῷ αὐτῷ ὀνόματι καλέσῃς τὰς ἀμφοτέρων ἐνεργείας.

p. 202ª28 Ἀλλὰ μὴν εἰ τοῦτο, ἡ κίνησις ἐν τῷ κινοῦντι ἔσται.

Εἰ δύο, φησίν, οὐσῶν τῶν κινήσεων ἡ μὲν ἔσται ἐν τῷ κινοῦντι ἡ δὲ ἐν τῷ κινουμένῳ, ὥσπερ ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις, οὕτω καὶ ἐν τῷ κινοῦντι ἔσται κίνησις. ὥσπερ γὰρ τὸ κινούμενον ἔχει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν, οὕτω καὶ τὸ κινοῦν ἕξει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν· ὁ γὰρ αὐτὸς λόγος ἐπ' ἀμ|φοῖν. εἰ δὲ ἐν τῷ κινοῦντι k 4r κίνησίς ἐστιν, ἢ κινηθήσεται ἢ οὐ κινηθήσεται· εἰ μὲν οὖν κινηθήσεται, ἀνάγκη πᾶν τὸ κινοῦν εὐθὺς κινεῖσθαι, ὅπερ ἐστὶ ψεῦδος (οὔτε γὰρ τὸ ὀρεκτὸν κινοῦν κινεῖται, οὔτε τὸ πρώτως κινοῦν κινεῖται, ὡς δείξει ἐν τῷ ὀγδόῳ), εἰ δὲ μὴ κινηθήσεται, ἄτοπον ἔχον τι κίνησιν μὴ κινεῖσθαι.

---

1 δῆλον ἐξ ὧν] cf. ad p. 42,6 δηλοῖ L 2 φησιν p. 202ª36 4 ὁμώνυμοι ἂν εἴεν M cf. v. 12 sq. 6 εἴπη primitus M 7 ὅτι ἐγὼ οὐ L τὴν] τὸν K 8 super ἵνα καὶ ἐκ τούτου scripsit ἄλλως μὴ ἐκ τούτου M² οὐδὲ γὰρ L 9 οὖσαν om. Mt 10 ποιοῦντος LK: πάσχοντος Mt · οὐδὲν M 11 παθήσεως LK et γρ. marg. M²: μαθήσεως Mt 12 κἂν τοῖς αὐτοῖς] εἰ καὶ τοῖς ἀλλήλων L ἀμφοτέρας L καλέσῃ τις scripsi: καλέσοι τις L: καλέσηται KMt 12. 13 συνώνυμοει (sic) K: συνώνυμα L 14 ἐνέργεια] ἐνεργεία K post καὶ addit ἐν τῶ κειμένω L 16 καλέσεις K 20 ἡ om. L 21 ὥσπερ κτλ.] ex Themist. p. 216,21 24 εἰ μὲν οὖν κινηθήσεται om. K εἰ μὲν οὖν L: καὶ εἰ μὲν Mt 26 δόξει Mt 27 ὀγδόῳ c. 5 sqq. ἔχον τι scripsi: ἔχοντι L: ἔχοντα KMt

www.libtool.com.cn

p. 202ª31 Εἰ δὲ ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι. k 4r

Ὑποθέμενος τὴν μὲν ἐν τῷ κινοῦντι τὴν δὲ ἐν τῷ κινουμένῳ, νῦν ἀμφοτέρας τὰς κινήσεις ἐν τῷ κινουμένῳ ὑποτίθεται. συμβήσεται οὖν, φησί, τὴν δίδαξιν καὶ τὴν μάθησιν, καὶ τὴν ποίησιν καὶ τὴν πάθησιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ εἶναι τῷ κινουμένῳ· εἰ δὲ τοῦτο, πρῶτον μὲν ἄτοπον ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι, ἔπειτα συμβήσεται δύο κινήσεις διαφερούσας τῷ εἴδει εἰς ἓν καὶ τὸ αὐτὸ τέλος ἄγειν, ὅπερ ἀδύνατον. οὐδέποτε γὰρ δύο ἀλλοιώσεις εἰς ἓν καὶ τὸ αὐτὸ εἶδος ἄγειν δύναιντο ἄν, οἷον λεύκανσις καὶ θέρμανσις εἰς λευκότητα· εἴτε γὰρ ἐκ διαφόρων εἰς τὸ αὐτὸ ἄγοιεν αἱ διάφοροι κινήσεις, ἄτοπον δύο τῷ ἑνὶ ἀντιστῆναι (ἀεὶ γὰρ ἡ μεταβολὴ οὐκ ἐκ τοῦ τυχόντος, ἀλλ' ἐκ τοῦ ἐναντίου), ἔκ τε τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀεὶ διὰ τῶν αὐτῶν ἡ κίνησις· ἀεὶ γὰρ ἐκ Θηβῶν εἰς Ἀθήνας διὰ τῶν αὐτῶν μέσων ἡ κίνησις, οἷον ὁρῶν πανδοκείων καὶ τῶν λοιπῶν.

Ἀπορήσειε δ' ἄν τις πρὸς τὸν λόγον· ἔκ τε γὰρ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ μὴ διὰ τῶν αὐτῶν κινηθείη ἄν τις, καὶ ἐκ διαφόρων εἰς τὸ αὐτὸ κινηθῆναι οὐδὲν ἀδύνατον. δύο γὰρ ὄντων περάτων τῆς διαμέτρου τοῦ κύκλου κινηθείη ἄν τις ἐξ ἑκατέρου πέρατος εἰς θάτερον καὶ διὰ τῆς διαμέτρου καὶ διὰ τοῦ ἡμικυκλίου· ὥστε διὰ διαφόρων κινήσεων, τῆς κατὰ κύκλον φημὶ καὶ τῆς κατ' εὐθεῖαν, ἐκ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἐκινήθη· κινηθείη δ' ἄν τις καὶ ἐν τῷ μέσῳ τοῦ ἀέρος καὶ τὸ αὐτὸ καταλήψεται τοῦ ἀέρος σημεῖον καὶ ἐκ τῆς γῆς καὶ ἐκ τοῦ οὐρανοῦ. πρὸς μὲν οὖν τὴν πρώτην ἀπορίαν φημί ὅτι πρῶτον μὲν περὶ τῶν φυσικῶν κινήσεων νῦν ὁ λόγος, οὐ περὶ τῶν ἀπὸ ψυχῆς γινομένων, ἀδύνατον δέ ἐστιν ἐπὶ τῶν φυσικῶν κινήσεων τὸ κατ' εὐθεῖαν κινούμενον τὴν κύκλῳ κινηθῆναι· κἂν γὰρ κινῆται τὸ ὑπέκκαυμα καὶ ὁ συνεχὴς ἀὴρ μετὰ τοῦ παντός, ἀλλ' οὐ κατὰ φύσιν ἀλλ' ὑπερφυῶς, ὥσπερ καὶ τὰ σώματα τῶν ζῴων βαρέα ὄντα κατὰ φύσιν τὴν ἐπὶ τὰ πλάγια κίνησιν οὐχ ὑπὸ φύσεως, ἀλλ' ὑπὸ ψυχῆς κινοῦνται. ἀδύνατον οὖν ἓν καὶ τὸ αὐτὸ φυσικῶς κινούμενον εὐθεῖαν καὶ περιφέρειαν κινηθῆναι· τὸ γὰρ πῦρ ἀδύνατον ἄλλως τὸν ἄνω τόπον καταλαβεῖν, εἰ μὴ δι' εὐθείας μόνης, καὶ ταύτης πρὸς ὀρθὰς ἤτοι πρὸς ἴσας ἀγομένης τὸ ἐξ οὗ καὶ εἰς ὅ. εἰ δὲ μύρμηκα δυνατὸν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ κινηθῆναι καὶ διὰ τῆς διαμέτρου καὶ διὰ τῆς περιφερείας, οὐκ ἂν εἴη τοῦτο ἕτερον καὶ ἕτερον κινήσεως εἶδος, ἀλλ' ἡ ὁδὸς μόνον

---

1 δ' ἄμφω Lt 6 διὰ φορούσας K 8 δύναιντο ἄν] δυνατόν L 8. 9 λεύκανσιν καὶ θέρμανσιν Mt 9 διαφόρων ἀρχῶν L 10 τῷ] τῶν K ἀντιθεῖναι L 11 ἐκ (post οὐκ) om. L 13 μέσον L ὁρῶν primitus M: ὁρῶν Lt corr. M: ορῶν K 18 διὰ (post ὥστε) om. L 21 οὐρανοῦ] ἀνου M: sed ἄλλως οὐνοῦ marg. M² 22 φημὶ] φη cum signo compendii L 23 ἀπὸ] ὑπὸ K 24 τὴν κύκλῳ κινηθῆναι om. L 25 κἂν M κινεῖται primitus M οἷον τὸ L ὁ om. L 28 τὸ αὐτὸ t: τοῦτο LKM εὐθείαν (hoc accentu) LKM: κατ' εὐθείαν coniecit t 31 ἀγομένας M: ἀγομέναν t 33 ἡ] ἢ L

www.libtool.com.cn

πλείων καὶ ἐλάττων. ὥσπερ ἂν εἰ κινηθείη τις ἐκ τοῦ μέλανος εἰς τὸ k 4r
λευκόν, ποτὲ μὲν ἐν πλείονι ποτὲ δὲ ἐν ἐλάττονι χρόνῳ τῆς ἀλλοιώσεως
ἢ κατὰ μέρος καὶ βραδυτέρας ἢ ταχυτέρας καὶ ἀθροωτέρας γενομένης, 21
οὕτω καὶ ἐνταῦθά φημι, εἰ γραφείη ἐν ἐπιπέδῳ κύκλος, καὶ ὁ μέν τις
5 κινηθείη διὰ τῆς διαμέτρου ὁ δὲ διὰ τῆς περιφερείας ἐπὶ τὸ αὐτό, οὐχ
ἕτερον καὶ ἕτερον εἶδος κινήσεως ἐκινήθησαν, ἀλλ' ἀμφότεροι τὴν ἐπὶ τὰ
πλάγια κίνησιν. ὥσπερ γε καὶ εἴ τις κινηθείη τὴν περίμετρον τῆς γῆς,
οὐκ ἂν λέγοιτο κυκλοφορικῶς κινεῖσθαι· οὕτω γὰρ πάντα τὰ ζῷα κυκλο- 25
φορικῶς κινεῖσθαι ἂν ἐλέγοντο (ἐπὶ περιφερεῖς γὰρ τῆς ἐπιφανείας τῆς
10 γῆς κινοῦνται), καὶ οὐκέτι ἂν ἡ ψυχὴ τὴν ἐπὶ τὰ πλάγια κίνησιν κινεῖν
ἐλέγετο. καὶ τί διέφερον κατὰ τοῦτο τῶν κύκλῳ κινουμένων; οὐκ οὖν
ἕτερα εἴδη ταῦτα κινήσεως· ὑπὸ μιᾶς γὰρ ἄμφω δυνάμεως γίνεται, δια-
φέρουσι δὲ τῷ μήκει τῆς διαστάσεως μόνον. ἀλλ' οὐδὲ τὸ ἐπὶ τῶν συλ-
λογισμῶν συμβαῖνον ἐλέγχει τὸν λόγον, λέγω δὴ τὸ τὸ αὐτὸ συμπέρασμα
15 δι' ἄλλων καὶ ἄλλων κατασκευῶν δείκνυσθαι (καὶ ἐπ' εὐθείας γὰρ τὸ
αὐτὸ καὶ δι' ἀδυνάτου δείκνυται, καὶ ἐπ' εὐθείας δι' ἄλλων καὶ ἄλλων 40
προτάσεων, καὶ ἀληθῶν δὲ καὶ ψευδῶν τὸ αὐτὸ συνάξεις, ὡς καὶ αὐτὸς
ἐν τοῖς ἔμπροσθεν εἶπεν), ἀλλὰ δῆλον ὅτι οὐ φυσικαὶ κινήσεις οἱ συλλο-
γισμοί, ἀλλὰ λογικαὶ μέθοδοι, περὶ φυσικῶν δὲ κινήσεων ὁ λόγος. πρὸς
20 μὲν οὖν τὴν πρώτην ἀπορίαν ταῦτα, πρὸς δὲ τὴν δευτέραν φημὶ ὅτι τῷ
ὄντι ἀδύνατον εἴς τι φυσικὸν πέρας ἓν καὶ τὸ αὐτὸ ἐκ διαφόρων ἀρχῶν
ἐλθεῖν· ὁ γὰρ μεταξὺ τῆς γῆς καὶ τοῦ οὐρανοῦ τόπος οὔτε τῶν κούφων
οὔτε τῶν βαρέων ἐστὶ πέρας, ἀλλ' ὁδός ἐστι τῶν κούφων καὶ βαρέων, 45
ἐπεὶ καὶ ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία αἱ ὁδοὶ διὰ τῶν αὐτῶν μέσων,
25 οἷον ἡ ἐκ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν μεταβολὴ καὶ ἡ ἐκ τοῦ μέλανος εἰς
τὸ λευκὸν διὰ τῶν αὐτῶν μέσων, οἷον διὰ τοῦ φαιοῦ καὶ τῶν μεταξὺ
χρωμάτων.

p. 202a36 Ἀλλὰ μία ἔσται ἡ ἐνέργεια, ἀλλ' ἄλογον δύο ἑτέρων τῷ εἴδει τὴν αὐτὴν ἐνέργειαν εἶναι.

30 Ἐπὶ τὴν ἑτέραν ὑπόθεσιν μεταβαίνει, τὴν λέγουσαν μίαν εἶναι καὶ 50
τὴν αὐτὴν ἐνέργειαν τοῦ κινοῦντος καὶ τοῦ κινουμένου. ἆρα οὖν, φησί, μὴ

---

3 ἢ (ante κατὰ) LK: καὶ Mt καὶ (ante βραδυτέρας) om. (K)t 4 φησὶ primitus L 5 prius διὰ iterat incipiente nova pagina L οὐκ K 6 κινήσεως εἶδος L 8. 9 οὕτω — κινεῖσθαι iterat K 9 ἐλέγοντο K: ἐλέγοντο L: λέγοιντο Mt ἐπιπερι-φεροῦσα K 10 ἐπὶ τὰ om. L πλαγῖ (sic) M 11 οὐκ οὖν K: οὐκοῦν L: οὔκουν Mt 13 τῷ L: τὸ KMt μόνου K 14 δὴ τὸ αὐτὸ L συμπερὶ K 16 δι' ἀ (in exitu versus) δύναται (om. δείκνυται) L 16. 17 δὲ addit ante δι' ἄλλων, omittit post ἀληθῶν L 18 ἐν τοῖς ἔμπροσθεν B 9 p. 200a15 sqq. cl. Philop. p. 327,19. 332,25 20. 21 ὅτι τὸ ὄν τι M 21 πέρας φυσικὸν L 25. 26 οἷον ἡ — μέσων om. LK 25 μέλαν scripsi: μέλλον Mt 28 ἡ om. t at cf. p. 377,2 ἀλλ'] ἀλλὰ K 29 ἐνέργειαν εἶναι LKM: καὶ μίαν εἶναι ἐνέργειαν ex Aristotele t 31 μὴ om. L

www.libtool.com.cn

δεῖ ὑποθέσθαι ἀμφοτέρων μίαν εἶναι τὴν ἐνέργειαν τοῦ τε ποιοῦντος καὶ k 4r
τοῦ πάσχοντος; ἀλλὰ τοῦτο, φησίν, ἄλογόν ἐστι, δύο πραγμάτων διαφερόντων κατ' εἶδος μίαν καὶ τὴν αὐτὴν ὑποτίθεσθαι ἐνέργειαν.

p. 202ᵇ2 Καὶ ἔσται, εἴπερ ἡ μάθησις καὶ ἡ διδαξις τὸ αὐτὸ καὶ
5 ἡ ποίησις καὶ ἡ πάθησις, καὶ τὸ διδάσκειν καὶ τὸ | μανθάνειν. k 4v

Τέσσαρα ταῦτα ἐφεξῆς ἐστιν, ὁ διδάσκων ἡ δίδαξις τὸ διδάσκειν τὸ δίδαγμα, καὶ ἔστι τὸ μὲν δίδαγμα τὸ τέλος εἰς ὃ ἄγει ἡ διδασκαλία (οἷον τὸ οἰκοδόμημα, τοῦτο δέ ἐστιν ἡ οἰκία, οὕτως καὶ τὸ δίδαγμα αὐτὸ τὸ 5
θεώρημα τὸ ἐγγινόμενον ἐν τῇ ψυχῇ), τὸ δὲ διδάσκειν καὶ ἡ δίδαξις δοκεῖ
10 μὲν τὰ αὐτὰ εἶναι, οὐκ ἔστι δὲ κυρίως τὰ αὐτά, ἀλλὰ διενηνόχασιν ἀλλήλων· ἡ μὲν γὰρ δίδαξις αὐτὴν τὴν κίνησιν ἐμφαίνει καὶ τὴν ἐνέργειαν καθ' αὑτήν, τὸ δὲ διδάσκειν τὴν σχέσιν τῆς ἐνέργειας τοῦ διδασκάλου πρὸς τὸν μαθητήν. ὥσπερ οὖν ἡ κίνησις καὶ τὸ κινεῖν, οὕτω καὶ τὸ διδάσκειν καὶ ἡ δίδαξις καὶ ἁπλῶς ἡ ποίησις καὶ τὸ ποιεῖν. φησὶν οὖν ὅτι
15 εἰ τῶν δύο, φημὶ δὴ τοῦ διδάσκοντος καὶ τοῦ διδασκομένου καὶ ἁπλῶς τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος, μία εἴη ἡ ἐνέργεια, ταὐτὸν ἂν εἴη δη- 10
λονότι ἡ δίδαξις τῇ μαθήσει καὶ κοινότερον ἡ ποίησις τῇ παθήσει· ἀλλ' εἰ ταὐτὰ ταῦτά εἰσιν ἀλλήλοις, καὶ τὰ τούτων ἐφεξῆς δηλονότι, λέγω δὴ τὸ διδάσκειν τῷ μανθάνειν, καὶ συμβήσεται τὸν διδάσκοντα καθὸ διδάσκει
20 κατὰ τοῦτο μανθάνειν, καὶ τὸν ποιοῦντα καθὸ ποιεῖ κατὰ τοῦτο πάσχειν, ὅπερ ἄτοπον. ἀλλὰ καὶ αὐτὴ ἡ μία ἐνέργεια εἰ μὲν ἐν τῷ κινοῦντι εἴη, συμβήσεται τὸ κινούμενον μὴ ἔχειν κίνησιν, εἰ δὲ ἐν τῷ κινουμένῳ, ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται.

p. 202ᵇ5 Ἢ οὔτε τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἑτέρῳ εἶναι ἄτοπον. 15

25 Ἐντεῦθεν ἐπιλύεται τὰς ἀπορίας, καὶ τέως τὴν πρώτην, τὴν λέγουσαν ὅτι ἡ ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται, καί φησιν ὅτι τοῦτο οὐδὲν ἄτοπον, ἐπί τινων τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι· οὕτω γὰρ ἔχει ἐπὶ πάντων τῶν πρός τι. καὶ δόξει μὲν ταύτην τὴν ἐπίλυσιν ὡς πρὸς τὴν προτέραν

---

1 δεῖν Mt τὴν] καὶ τὴν αὐτὴν L τε ποιοῦντος] κινοῦντος L 2 τοῦ om. K πάσχοντος ex corr. L 4 δίδαξις] δάξις M 4. 5 καὶ οἱ ποίησις K 5 καὶ τὸ altero loco (cf. p. 382,15) L: τὸ M: τῷ (K)t Aristoteles cf. v. 19 p. 371,30 6 τέταρτον L εἰσίν Mt διδάσκειν] διδασκόμενον L 7 ἄγει LK: εἰσάγει Mt 8 ἡ corr. M: οἱ (LK) pr. M et t οὕτω Lt 9 ἐγγενόμενον K δὲ om. L 11 ἐμφαίνει LK: ἐμφέρει Mt 13 οὖν LK: om. M: γὰρ t τὸ κινοῦν L 15 εἰ om. M 16 ἐνεργεία, si silentio fides, libri ἂν om. Mt 17 κοινὸ K 18 ταυτὰ ταῦτά εἰσιν ἀλλήλοις L: ταυτά εἰσιν ἀλλήλοις K: ταῦτά εἰσιν ἀλλήλοις (ταυτὰ addit t: om. M) Mt 20 μανθάνει M 21 εἴη om. L 22 κινούμενον] κινοῦν L ἐν om. L 24 ἑτέρῳ] ἄλλω L 25 πρώτην L: προτέραν KMt

www.libtool.com.cn

ὑπόθεσιν θεῖναι, λέγω δὴ τὴν ὑποτιθεμένην δύο μὲν εἶναι τὰς ἐνεργείας, k 4v
ἀμφοτέρας δὲ ἐν τῷ κινουμένῳ (ἕπεσθαι γὰρ ἔλεγε ταύτῃ τῇ ὑποθέσει τὸ 21
τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι), εὐλογώτερον δέ, ὡς εἴπομεν, ὡς ἑπό-
μενον αὐτῷ καὶ τῇ ὑποθέσει τῇ μίαν μὲν λεγούσῃ τὴν ἐνέργειαν, ταύτην
5 δὲ ἐν τῷ κινουμένῳ εἶναι· οὐδὲ γὰρ ὅλως ἀληθῆ νομίζει τὴν ὑπόθεσιν
τὴν ὑποτιθεμένην δύο εἶναι τὰς ἐνεργείας, ἵνα καὶ τὰς πρὸς αὐτὴν φερο-
μένας ἀπορίας ἐπιλύσηται.

p. 202b7 Ἔν τινι μέντοι, καὶ οὐκ ἀποτετμημένη, ἀλλὰ τοῦδε 25
ἐν τῷδε.

10 Ἡ γὰρ τοῦ διδασκάλου ἐνέργεια οὐκ ἀποτέτμηται τοῦ μαθητοῦ, ἀλλ'
ἐξ αὐτοῦ μὲν πρόεισιν γίνεται δὲ ἐν τῷ μαθητῇ. δεῖ δὲ τὴν ἐνέργειαν
τοῦ διδασκάλου μὴ ἁπλῶς τὴν προσβολὴν τῶν θεωρημάτων νομίζειν (καὶ
μὴ διδάσκων γὰρ ἀλλὰ καθ' αὑτὸν ὧν προχειρίζεται τὰ θεωρήματα),
ἀλλὰ τὴν κίνησιν τὴν γινομένην ἐν τῇ ψυχῇ τοῦ μαθητοῦ ἐκ τῶν θεωρη-
15 μάτων· ὡς εἴ γε καὶ παρόντος τοῦ μαθητοῦ εἴπῃ μὲν ὁ διδάσκαλος μὴ 30
δράσῃ δὲ εἰς τὸν μαθητήν, οὐ λέγεται διδάξαι, οὕτως ἄρα ἡ δίδαξίς ἐστιν
οὐχ ἁπλῶς ἡ προσβολὴ τῶν θεωρημάτων, ἀλλ' ἡ πειθὼ ἡ ἐγγινομένη
ὑπὸ τῶν λόγων τοῦ διδασκάλου τῷ μαθητῇ, ἥτις ἡ αὐτὴ κατ' ἄλλην σχέσιν
μάθησις λέγεται, ὅταν ἀρξάμενοι ἀπὸ τοῦ μαθητοῦ ἐπὶ τὸν διδάσκαλον
20 χωρήσωμεν, καὶ ἁπλῶς ὅταν μὲν ἀπὸ τοῦ αἰτιατοῦ εἰς τὸ αἴτιον ἀνέλ-
θωμεν, πάθησις, ὅταν δὲ ἔμπαλιν, ποίησις.

p. 202b8 Οὔτε μίαν δυοῖν τὴν αὐτὴν εἶναι κωλύει οὐδέν. 35

Τὸ δεύτερον ἄτοπον ἐπιλύεται. οὐδὲν κωλύει, φησί, δύο ἑτέρων τῷ
εἴδει μίαν ἐνέργειαν εἶναι, ἀλλὰ μίαν τῷ ὑποκειμένῳ, οὐ τῷ ὁρισμῷ.

25 p. 202b9 Ἀλλ' ὡς ὑπάρχει τὸ δυνάμει ὂν πρὸς τὸ ἐνεργοῦν.

Ἤτοι τοῦτό φησιν, ὅτι οὕτω λέγω μίαν δύο διαφερόντων κατ' εἶδος 42
ἐνέργειαν εἶναι μηδὲν κωλύειν, οὐ κατὰ πάντα μίαν, ἀλλ' ὥσπερ ἕν ἐστι

---

1 θῆναι primitus M: εἶναι L ὑποθεμένην Mt 2 ἔλεγε] ἔλε (sic) L 3 ἐν ἄλλο (sic) M εὐλογότερον K δὲ om. L εἴπομεν p. 372,22 sqq. 4 αὐτὴν L: fort. αὐτὸ καὶ τῇ β^α' (i. e. δευτέρᾳ) ὑποθέσει τῇ μιᾷ L ταύτην] τὴν αὐτὴν L 8 μέντοι, καὶ] μὲν καίτοι L 10 et 11 ἐνερ M: ἐνεργεία et ἐνεργείαν (L)t γ' 11 μαθητὶ M 12 προβολὴν K σ 13 διδάσκον K 14 ἀλλὰ superscr. M² δεῖ νομίζειν γινομένην K: γενομένην LMt 15 εἴποι et mox δράσοι t 16 ἐστιν LK et ante corr. M: ἔσται corr. M et t 20 μὲν om. L 20. 21 ἔλθωμεν L 21 πάθησις LK: μάθησις Mt 22 τὴν αὐτὴν εἶναι κωλύει οὐδέν LK: τὴν αὐ τὴν κωλύει οὐδὲν (om. εἶναι) M: κωλύει οὐθὲν τὴν αὐτὴν εἶναι e vulgato Aristotele t 25 ὡς τὸ δυνάμει ὂν ὑπάρχει t 27 οὐδὲν L

www.libtool.com.cn

τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ (ὁ γὰρ δυνάμει γραμματικὸς εἶτα γενόμενος k 4ᵛ
ἐνεργείᾳ γραμματικός, οὗτος εἷς μὲν καὶ ὁ αὐτός ἐστι τῷ ὑποκειμένῳ, τῷ
μέντοι λόγῳ καὶ τῷ ὁρισμῷ οὐχ εἷς· ἄλλως γὰρ ὁρίζομαι αὐτὸν δυνάμει 45
ὄντα γραμματικόν, καὶ ἄλλως ἐνεργείᾳ. οὕτως οὖν φημι δυνατὸν εἶναι
5 μίαν δυοῖν ἐνέργειαν), ἢ οὖν τοῦτό φησιν, ἤ, ὡς ἤδη εἴπομεν, ὅτι τούτων
φημὶ μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν δυνατὸν εἶναι τῶν διαφερόντων κατ'
εἶδος, οἷά ἐστι τὰ δυνάμει ὄντα καὶ τὰ ἐνεργείᾳ τὰ κατὰ τὴν δύναμιν
ταύτην καὶ ἄγοντα αὐτὴν εἰς ἐνέργειαν· τοιαῦτα δέ ἐστι καθόλου τὰ ποιοῦντα
καὶ πάσχοντα.

10 p. 202ᵇ10 Οὔτε ἀνάγκη τὸν διδάσκοντα μανθάνειν, οὐδὲ εἰ τὸ ποιεῖν καὶ πάσχειν ταὐτόν.

Ἐπὶ τὸ ἕτερον ἄτοπον μετέβη. ἔλεγε γὰρ οὕτω· εἰ τῶν δύο μία ἡ 50
ἐνέργεια, ἐπειδὴ τοῦ μὲν ἡ ἐνέργεια δίδαξις λέγεται τοῦ δὲ μάθησις, ἔσται
ἡ δίδαξις τῇ μαθήσει ταὐτόν· εἰ δὲ τοῦτο, καὶ τὰ ἑπόμενα τούτοις ταὐτά,
15 τὸ διδάσκειν καὶ τὸ μανθάνειν· εἰ δὲ τοῦτο, συμβήσεται τὸν διδάσκοντα
πάντα μανθάνειν. καὶ αὐτὸς οὖν τῇ ἐπιλύσει κατ' ἀνάλυσιν κέχρηται, ἐκ
τῶν ὑστέρων ἀρχόμενος καὶ ἐπὶ τὰ πρότερα ἀνακάμπτων· οὐ γὰρ ἀνάγκη,
φησίν, εἰ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἴη, καὶ τὸν διδάσκοντα μαν-
θάνειν κατ' αὐτὸ τὸ δι|δάσκειν, εἰ μὴ οὕτως εἴη τὸ διδάσκειν τῷ μανθά- k 5ʳ
20 νειν ταὐτόν, ὥστε καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ ταὐτὸν εἶναι. εἰ δὲ
μὴ οὕτως ὑπάρχει ταὐτόν, ἀλλ' ὡς ἡ ὁδὸς ἡ ἐξ Ἀθηνῶν εἰς Θήβας καὶ
ἡ ἐκ Θηβῶν εἰς Ἀθήνας, οὐκ ἀνάγκη.

p. 202ᵇ14 Οὐ γὰρ ταὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν τοῖς αὐτοῖς, ἀλλὰ μόνον οἷς τὸ εἶναι ταὐτόν.

25 Οὐκ ἀνάγκη, φησίν, εἰ κατά τι λέγοιντό τινα ταὐτὰ εἶναι, ἤδη καὶ 5
πάντα τὰ ὑπάρχοντα τούτοις ἢ ἑπόμενα αὐτοῖς τὰ αὐτὰ εἶναι, ἀλλ' ἐκεῖνά
ἐστι κατὰ πάντα ταὐτά, οἷς ὁ ὁρισμὸς ὁ αὐτός ἐστιν, ἡμεῖς δὲ νῦν ταὐτὰ
λέγομεν εἶναι τὸ διδάσκειν τῷ μανθάνειν οὐ κατὰ τὸν ὁρισμόν (κατὰ

---

2 οὕτως L 3 ὁρίζομεν dedit t, id ipsum sibi in M legere visus 3. 4 αὐτὸν iterat post ὄντα L 4 γραμματικὸς K δυνατὸς L 5 ἐνεργείαν K τούτων ex τοῦτο fecit M 7 ἐνεργείᾳ τὰ scriptum ἐνερ in M: ἐνεργεία (om. τὰ) t 11 ταὐτόν] τὸ αὐτό ἐστι Aristoteles 13 λέγηται L 18 τῷ] τὸ K 18. 20 εἴη — μανθάνειν ταὐτὸν om. K 21 ἀλλὰ Lt 21. 22 ἡ ὁδὸς ἡ θήβηθεν ἀθήναζε, καὶ ἡ ἀθήνηθεν εἰς θήβας ex Aristotele t 22 ἡ L: om. K et, si silentio fides, M 23 ταὐτὰ K: ταυ M: ταυτὸν L: τὰ αὐτὰ t πάντα om. L τοῖς αὐτοῖς LM: τοῖς αὐτὰ K: ταυτοῖς t 24 μόνον οἷς M²t: μόνον εἰς M: μόνοις οἷς L: μόνοις (om. οἷς) K τὸ αὐτό t 25 λέγοιται (sic) L 26 ἑπόμενα M 27 ἐστι τὰ κατὰ K οἷς] ὧν L ὁ prius L: om. KMt ταὐτὸν (post νῦν) L: ταυτὰ KMt

www.libtool.com.cn

τοῦτο γὰρ ἕτερα), ἀλλὰ κατὰ τὸ ὑποκείμενον. ὥστε οὐκ ἀνάγκη, εἰ οὕτως k 5r
εἶεν τὰ αὐτά, καὶ τὸν διδάσκοντα ἤδη καὶ μανθάνειν.

p. 202b16 Ἀλλ' οὐδὲ εἰ ἡ δίδαξις τῇ μαθήσει ταὐτόν, καὶ τὸ μανθάνειν τῷ διδάσκειν.

Κατὰ ἀναποδισμόν, ὥσπερ εἶπον, ὁδεύων πρότερον μὲν ἔδειξεν ὅτι 11
οὐκ ἀνάγκη, εἰ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτόν, τὸν διδάσκοντα εὐθὺς καὶ μανθάνειν, ἐπειδὴ δὲ συνήγαγεν ἡ ἀπορία τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἶναι ἐκ τοῦ λαμβάνειν ὅτι ἡ δίδαξις τῇ μαθήσει ταὐτόν ἐστι, νῦν φησιν ὅτι οὐδὲ τοῦτο ἐξ ἀνάγκης ἕπεται· ἰδοὺ γὰρ καὶ ἡ διάστασις μὲν ἐκ Θηβῶν εἰς Ἀθήνας καὶ ἐξ Ἀθηνῶν εἰς Θήβας μία ἐστὶ καὶ ἡ αὐτή, τὸ μέντοι διίστασθαι ἐντεῦθεν ἐκεῖ ἢ ἐκεῖθεν δεῦρο οὐ τὸ αὐτό. οὕτως οὖν οὐδὲ ἐπεὶ ἡ δίδαξις τῇ μαθήσει ἡ αὐτὴ εἴη, ἀνάγκη ἤδη καὶ τὸ μανθάνειν τῷ διδάσκειν ταὐτὸν εἶναι.

p. 202b19 Ὅλως δὲ εἰπεῖν οὐδὲ ἡ δίδαξις τῇ μαθήσει καὶ ἡ ποίησις τῇ παθήσει ταὐτὸν κυρίως, ἀλλ' ᾧ ὑπάρχει ταῦτα, ἡ κίνησις.

Ἐπειδὴ ἐκ τοῦ ὑποτίθεσθαι τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν εἶναι τὰ ἑξῆς συνήγετο, πρότερον μὲν συνεχώρησε τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν 20
εἶναι, καὶ ἔδειξεν ὅτι οὐκ ἀνάγκη τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἶναι, ἀλλ' οὐδὲ εἰ ταῦτα ταὐτά, καὶ τὸν διδάσκοντα ἀνάγκη κατὰ τοῦτο εὐθὺς καὶ μανθάνειν· νῦν δέ φησιν ὅτι οὐδὲ ὅλως ταὐτὸν ἡ δίδαξις τῇ μαθήσει, ἀλλ' ἐκεῖνό ἐστι τὸ ταὐτόν, ᾧτινι ὡς ὑποκειμένῳ ὑπάρχει ἡ δίδαξις καὶ ἡ μάθησις. ὥσπερ οὐδὲ ἡ ἀνάβασις καὶ ἡ κατάβασις ταὐτόν, ἀλλ' ἡ κλῖμαξ ᾗ ταῦτα ὑπῆρξεν, ἤγουν αὐτὴ ἡ κίνησις, λέγω δὴ αὐτὴ ἡ βάδισις καὶ ἡ μεταφορὰ τῶν ποδῶν (αὐτὴ γὰρ κυρίως ἡ αὐτή ἐστιν· ἕνα γὰρ καὶ τὸν 25
αὐτὸν ὁρισμὸν ἐπιδέχεται), ἡ μέντοι ἀνάβασις καὶ ἡ κατάβασις, ἥτις ὡς ἐν ὑποκειμένῳ ὑπάρχει τῇ τοιαύτῃ κινήσει, οὐ κυρίως αἱ αὐταί· διάφοροι γὰρ οἱ τούτων ὁρισμοί. ἀλλ' ᾧ ὑπάρχει ταῦτα, ἡ κίνησις. κίνησίν φησιν αὐτὴν τὴν μεταβολὴν τὴν γινομένην ὑπὸ τῆς διδασκαλίας τῷ μαθητῇ·

---

1 τοῦτον fortasse recte L ἑτερ' M: ἕτερον t 3 Οὐ μὴν ἀλλ' ex Aristotele t οὐδ' Lt εἰ ἡ] εἴη K 3. 4 καὶ τὸ διδάσκειν τῷ μανθάνειν L 5 πρῶτον L 7 συνῆγεν ἡ (om. ἀπορία) L 9. 10 μὲν ἡ ἐκ L 11 ἐνταῦθα L 12. 13 καὶ τὸ μανθάνειν ἤδη Mt 13 ταὐτὸν εἶναι] ταυτὸν τὰ ἑξῆς ἀνῆγε. τὸ πρότερον (haec duo verba deleta). ἀλλ' ὦ τινὶ ὑποκειμένῳ ὑπάρχουσι ταῦτα ἤγουν ἡ δίδαξις καὶ ἡ μάθησις, ἡ κίνησίς ἐστιν. τὸ πρότερον μὲν συνεχώρησε, τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν εἶναι L cf. ad v. 17 sq. 14 δ' εἰπεῖν οὐδ' ἡ Lt καὶ LKM: οὐδ' ex Aristotele t 15 τὸ ταυτὸν (?) L: τὸ αὐτὸ t 17. 19 τὰ ἑξῆς — καὶ om. L cf. ad v. 13 18 συνήγετο K: συνηγάγετο Mt 22 τὸ ταυτόν LK: ταυτὸν Mt 22. 23 καὶ ἡ .....ις μάθησις L: καὶ ἡ μάθησις (expuncto altero μάθησις) L² 24 αὐτὴ (post δὴ) om. L ἡ (post καὶ) om. K 26 αὐτὸν om. L

www.libtool.com.cn

αὐτὴ γὰρ μία ἐστὶ καὶ ἡ αὐτή, καὶ ἀναφερομένη μὲν ὡς πρὸς τὸν διδά- k 5r
σκαλον καλεῖται διδαξις, πρὸς τὸν μαθητὴν δὲ μάθησις.

p. 202b21 Τὸ γὰρ τοῦδε ἐν τῷδε καὶ τὸ τοῦδε ὑπὸ τοῦδε ἐνέρ- 20
γειαν εἶναι, ἕτερον τῷ λόγῳ.

Ὅτι ἑτέρα ἡ μάθησις τῇ διδάξει κατὰ τὸν ὁρισμὸν δείκνυσιν. ἄλλως γάρ, φησίν, ὁριούμεθα τὴν τοῦδε ἐν τῷδε ἐνέργειαν, τουτέστι τὴν τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι, καὶ τὴν τοῦδε ὑπὸ τοῦδε, τουτέστι καὶ τὴν τοῦ πάσχοντος ἐνέργειαν ὑπὸ τοῦ ποιοῦντος ἐγγινομένην· τὴν μὲν γὰρ τυχὸν ὁριούμεθα, ὅτι ἐστὶν 'ἐντελέχεια τοῦ κινητικοῦ τελειωτικὴ τοῦ κινητοῦ', τὴν δὲ ὡσαύτως 'ἐντελέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ'.

Τὰ μὲν οὖν παρὰ Ἀριστοτέλους ταῦτα. ζητήσει δέ τις ἴσως εἰ ἐπὶ 25
παντὸς κινοῦντος καὶ κινουμένου ἀληθὴς ὁ λόγος ὁ λέγων τὴν κίνησιν ἐν τῷ κινουμένῳ μόνον εἶναι, οὐδαμῶς δὲ ἐν τῷ κινοῦντι. καὶ ἐπὶ μὲν ἀλλοιώσεως ἢ αὐξήσεως τῷ ὄντι κινεῖται οὐ τὸ ποιοῦν ἀλλὰ τὸ πάσχον (λευκαίνεται γὰρ οὐ τὸ λευκαῖνον ἀλλὰ τὸ λευκαινόμενον, καὶ αὔξεται οὐ τὸ αὔξον ἀλλὰ τὸ αὐξανόμενον, τουτέστιν οὐ τὸ ποιοῦν ἀλλὰ τὸ πάσχον). ἐπὶ μέντοι τῆς κατὰ τόπον κινήσεως, ἐφ' ἧς τινα τῶν κινούντων τῷ κινεῖσθαι οὕτω κινεῖ, οὐκέτι δόξει ἁρμόζειν ὁ λόγος· εἰ γὰρ τῷ κινεῖσθαι ὁ οὐρανὸς οὕτω κινεῖ τὸ ὑπέκκαυμα, πῶς οὐ φήσαιμι τὸ κινοῦν καθὸ κινεῖ κατ' αὐτὸ τοῦτο κινεῖσθαι. καὶ δύο δὲ εἶναι καὶ τὰς κινήσεις, τὴν μὲν τοῦ κινοῦντος τὴν δὲ τοῦ κινουμένου· καὶ ἄλλη μὲν κίνησις ἡ τοῦ οὐρανοῦ, ἄλλη δὲ καθ' ἣν κινεῖται τὰ ἐνταῦθα τόπῳ ἢ τόπῳ ὑπὸ τῆς ἐκείνου κινήσεως ἀλλοιούμενα· ὥστε δύο καὶ αἱ ἐνέργειαι καὶ αἱ κινήσεις, οὐ μόνον τῷ ὁρισμῷ ἀλλὰ καὶ τῷ ὑποκειμένῳ. καὶ τὸ μὲν ὑπέκκαυμα τὴν αὐτὴν τῷ κινοῦντι κινεῖται κίνησιν (ὥσπερ καὶ τὸ ἱμάτιον κινουμένῳ μοι τὴν αὐτὴν συγκινεῖται κίνησιν), κινεῖται δὲ οὐ μόνον ταύτην τὴν κίνησιν κινουμένων τῶν οὐρανίων τὰ προσεχῆ, ἀλλὰ κοινῶς πάντα τὴν ἀλλοιωτικήν· ἡ γὰρ κατὰ τόπον τοῦ ἡλίου κίνησις κατ' αὐτὸ τοῦτο καθ' ὃ κατὰ τόπον κινεῖται, τόπῳ ἢ τόπῳ ἀλλοιοῖ τὰ ἐνταῦθα. πρὸς δὲ τὴν ἀπορίαν ταύτην συντόμως φημί, ὅτι οὐ τοῦτό φησιν ὁ Ἀριστοτέλης, ὅτι οὐδέν ἐστι τῶν κινούντων ὃ τῷ κινεῖσθαι οὕτω κινεῖ (σχεδὸν γὰρ εἶπεν ὅτι πάντα τὰ φυσικὰ τοιαῦτά ἐστι, ὥστε μὴ ἄλλως δύνασθαι κινεῖν ἢ τῷ κινεῖσθαι καὶ αὐτά), ἀλλ' ὅτι ἡ κινητικὴ δύναμις ἡ ἐνδιδομένη ὑπὸ τοῦ κινοῦντος τῷ κινουμένῳ, λέγω δὴ ἡ ἰσχὺς αὕτη καὶ ἡ ἐνεργεία καθ' ἣν καὶ κινεῖται, δύναμις κινητὸν ἐν τελειουμένου ὑπὸ τῆς τοιαύτης ἐνεργείας, μία τις οὖσα

6 ἄλλ' ὡς K: ἄλλω : 7 καὶ τὴν [illegible] τοῦδε [illegible] versus iterat L 8 ἐγγινομένην L 10 τὴν δὲ -- κινητικοῦ om. K ἐντελέχεια M: ἐντελέχειαν (L)t 11 τοῦ κινητικοῦ L 12 κινοῦντος om. L 13 εἶναι μόνον L 20 καὶ (post εἶναι) om. L 22 ἐν 23 τόπῳ ἢ τόπῳ L 23 κινεῖται om. K κινουμένῳ μοι L: κινουμένων τόπῳ (A)M: 30 ὅτι φησὶν om. L 31 εἶναι B 1 p. 201a23 sqq. cl. Philop. p. XXXX ὅτι οὐ πάντα L 32 ἢ τῷ ἢ τὸ καὶ L 33 αὐτά t: αὐτό LKM

www.libtool.com.cn

καὶ ἡ αὐτὴ τὴν μὲν ἀρχὴν ἔχει τῆς προόδου ἀπὸ τοῦ κινοῦντος, τὸ δὲ k 5r
τέλος καὶ τὴν ἀποτελεύτησιν καὶ οἷον μονὴν ἐν τῷ κινουμένῳ· οὐ γὰρ
ἐγγενομένη ἐν τῷ δυνάμει ἀφίησιν αὐτό, ἀλλ' οἷον μένουσα τελειοῖ, τε-
λείωσις δὲ ἡ τῆς δυνάμεως προαγωγή, τοῦτο δέ ἐστιν ἡ κίνησις. προβάλ-
5 λεται μὲν γὰρ | τὸ θεώρημα ὁ ἐπιστήμων καὶ μηδενὸς ὄντος τοῦ μανθά- k 5v
νοντος, ἀλλ' ὅταν ἡ προβολὴ αὕτη γινομένη ἐν τῷ μαθητῇ δράσῃ εἰς
αὐτόν, τὴν δραστήριον ταύτην δύναμιν καθ' ἣν πέπονθε, ταύτην φημὶ
μίαν καὶ τὴν αὐτὴν εἶναι, ἀρξαμένην μὲν ἀπὸ τοῦ διδασκάλου, γενομένην
δὲ ἐν τῷ μαθητῇ καὶ κινήσασαν αὐτὸν καὶ τὸ ἐν αὐτῷ δυνάμει τελειώ-
10 σασαν, ἥτις δηλονότι ἐν τῷ κινουμένῳ ἐστὶ καὶ οὐκ ἐν τῷ κινοῦντι· οὐ
μετέβαλλε γὰρ κατ' αὐτὴν τὸ κινοῦν.

p. 202ᵇ23 Τί μὲν οὖν ἐστι κίνησις εἴρηται· καὶ καθόλου καὶ κατὰ μέρος.

Πρῶτον μὲν γὰρ ὡρίσατο τὴν κίνησιν 'ἐντελέχειαν τοῦ δυνάμει ᾗ
15 τοιοῦτόν ἐστιν', εἶτα ἐπειδὴ τὸ δυνάμει καὶ ἐπὶ τῆς ἕξεως ἐλαμβάνετο,
ἀκριβέστερον ὁριζόμενος εἶπε τὴν κίνησιν εἶναι 'ἐντελέχειαν τοῦ κινητοῦ ᾗ
κινητόν'. καθόλου μὲν οὖν, φησί, τῆς κινήσεως ὁρισμὸς οὗτος, ἐκ τούτου
δὲ δῆλον πῶς καὶ ἕκαστον τῶν τῆς κινήσεως εἰδῶν ὁρισθήσεται· φήσομεν
γὰρ ἀλλοίωσιν εἶναι τὴν τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν ἐντελέχειαν, καὶ αὔξησιν
20 τὴν τοῦ αὐξητοῦ ᾗ αὐξητόν, καὶ φορὰν τὴν τοῦ φορητοῦ ᾗ φορητόν. εἰ-
πὼν δὲ ὅτι 'εἴπομεν τί ἐστι κίνησις καὶ καθόλου καὶ κατὰ μέρος', ἐπειδὴ
οὐδαμῶς εἶπε τοὺς ὅρους τῶν κατὰ μέρος κινήσεων, ἀλλ' οὕτως εἶπεν ὡς
δυναμένων ἡμῶν τὸ καθόλου τοῖς κατὰ μέρος ἁρμόσαι, διὰ τοῦτο ἐπήγαγεν
οὐ γὰρ ἄδηλον πῶς ὁρισθήσεται τῶν εἰδῶν ἕκαστον αὐτῆς· ὁ
25 σύνδεσμος γὰρ ὁ 'γάρ' αἰτίας ἐστὶν ἀπόδοσις. διὰ τοῦτο, φησίν, εἶπον
καὶ κατὰ μέρος, διότι ἐκ τοῦ ἀποδεδομένου καθόλου περὶ κινήσεως
ὁρισμοῦ σαφὲς ἡμῖν ἔσται πῶς καὶ ἕκαστον τῶν τῆς κινήσεως εἰδῶν ὁρι-
σθήσεται.

---

2 μόνον L οὐ evanidum L 3 αὐτόν L 4 προσαγωγή libri 6 δράσει et 7 δραστήριον δύναμιν ταύτην L 8 γινομένην L 9 καὶ prius om. vel eras. L κινήσαν errore typogr. t 10 καὶ om. L 11 μετέβαλε Mt 12 ἐστιν ἡ Kt
12. 13 εἴρηται καὶ καθόλου (haec duo verba om. L) καὶ κατὰ μέρος LKM: καὶ καθόλου καὶ κατὰ μέρος, εἴρηται t 14 ⟨ἰστέον ὅτι?⟩ τετραχῶς ὡρίσατο τὴν κίνησιν ἀριστοτέλης marg. L 14. 15 ᾗ τοιοῦτόν ἐστιν] cf. ad p. 342,11 16 τὴν κίνησιν εἶπεν (om. εἶναι) L 17 φησιν ὁ τῆς L 18 φήσομαι K: φήσομαι M 19 τὴν K: om. LMt ἀλλοιωτὸν] ἀλλοιωτὴν K 19. 21 ἐντελέχειαν—τί ἐστι iterat K 21 καὶ κατὰ μέρος καὶ καθόλου L 22 οὐδαμοῦ L 23 ἡμῶν τὸ LK: τὸ (om. ἡμῶν) M: τῷ t τοῖς L: τοῦ K: om. M: τὸ t 24 πῶς] ὡς Aristotelis libri praeter I
25 αἰτία K 27 ἕκασθον (sic) K

www.libtool.com.cn

p. 202b26 Ἔτι δὲ γνωριμώτερον, ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ k 5v
παθητικοῦ, ᾗ τοιοῦτον, ἁπλῶς τε καὶ πάλιν καθ' ἕκαστον.

Ἔτι, φησί, τὸν περὶ κινήσεως λόγον ἐκ τῶν εἰρημένων σαφέστερον 21
καὶ γνωριμώτερον ἀποδοῦναι δυνατόν, ὅτι ἐστὶν ἐντελέχεια τοῦ δυνάμει
5 ποιητικοῦ πρὸς τὸ παθητικόν (ἡ γὰρ τοῦ ποιητικοῦ πρὸς τὸ παθητικὸν
ἐντελέχεια, αὕτη ἐστὶν ἡ κίνησις), ἤ, ὡς εἶπε μικρὸν ἔμπροσθεν, ἡ ἐντε-
λέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. ἁρμόσει δέ, φησίν, ὁ τοιοῦτος
ὁρισμὸς καὶ ἐπὶ τῶν καθ' ἕκαστα κινήσεων, οὐ μόνον ἐπὶ τῶν κατ' εἶδος·
φησὶ γὰρ οἰκοδόμησιν εἶναι ἐντελέχειαν τοῦ οἰκοδομητικοῦ καὶ οἰκοδομητοῦ, 25
10 ᾗ τοιοῦτόν ἐστι. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὗτος δὲ ὁ ὁρισμὸς ἅμα
συνεμφαίνει καὶ τὸ μίαν εἶναι τὴν ἐνέργειαν τοῦ κινοῦντος καὶ τοῦ κινου-
μένου· διὰ τοῦτο γὰρ καὶ οὕτως αὐτὴν ὡρίσατο. εἰ γάρ ἐστιν ἐντελέχεια
τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ, τῶν δύο ἄρα μία ἡ ἐνέργεια.

p. 202b30 Ἐπεὶ δέ ἐστιν ἡ περὶ φύσεως ἐπιστήμη περὶ μεγέθη
15 καὶ κίνησιν καὶ χρόνον.

Εἴπομεν ἐξ ἀρχῆς τοῦ βιβλίου τούτου, ὅτι δύο ἐστὶ περὶ ὧν ἐν τούτῳ 31
τῷ βιβλίῳ τὸν λόγον ποιεῖται ὁ φιλόσοφος, περὶ κινήσεως καὶ ἀπείρου,
ὥσπερ ἐν τῷ ἐφεξῆς περὶ χρόνου τόπου κενοῦ. ἀπαρτίσας οὖν τὸν περὶ
κινήσεως λόγον καὶ εἰπὼν τί τέ ἐστιν ἡ κίνησις καὶ ἐν τίσι θεωρεῖται καὶ
20 πόσα εἴδη κινήσεως, προτίθεται λοιπὸν ἐντεῦθεν περὶ τοῦ ἀπείρου δια-
λεχθῆναι. καὶ ὥσπερ εἴωθε σχεδὸν ἐν πᾶσι τοῖς προβλήμασι, οὕτω καὶ 35
ἐνταῦθα ποιεῖ· πρότερον δείκνυσιν ὅτι ἀναγκαῖος τῷ σκοπῷ τῆς πραγμα-
τείας ὁ περὶ τοῦ προκειμένου προβλήματος λόγος. καὶ ἐνταῦθα μέλλων
διαλεχθῆναι περὶ τοῦ ἀπείρου εἴτε ἔστιν εἴτε μή, καὶ εἰ ἔστι, πότερον
25 οὐσία ἐστὶν ἢ συμβεβηκὸς καὶ ἐν τίσι θεωρεῖται καὶ ἐν τίσι τὸ εἶναι ἔχει,
πρότερον δείκνυσιν ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος,
ἵνα συντονωτέρους ποιήσῃ πρὸς τὴν ἀντίληψιν τοὺς ἐφιεμένους τῆς φυσικῆς
ἐν ἕξει γενέσθαι θεωρίας. ὅτι οὖν ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπεί-
ρου λόγος δείκνυσι διχόθεν, πρῶτον μὲν ἐκ τοῦ τὰ ὑποβεβλημένα ἅπαντα 40
30 τῷ φυσικῷ πράγματα διαιρεῖσθαι ἢ εἰς τὸ ἄπειρον ἢ εἰς τὸ πεπερασμένον,

---

4 τοῦ δυνάμει iterat M 4. 5 δυνάμει ποιητικοῦ πρὸς in ras. L 6 αὕτη L: αὐτή KMt ἔμπροσθεν p. 202a14 7 ἁρμόζει Mt at cf. Themist. p. 219,26 δέ om. L 9 φημὶ γὰρ L εἶναι post ἐντελέχειαν iterat K 10 ἅμα om. Mt 12 οὗτος L εἰ γάρ ἐστιν L: ἡ γὰρ KMt 14 lemma om. K φύσεων M 16 εἴπομεν p. 340,14 sqq. 18 χρόνου τόπου καὶ (haec omnia in ras.) κενοῦ L ἀπαρτήσας L 19 λόγος K . τίσ τε ἐστιν K 20 ἐντεῦθεν om. L 21 σχεδὸν καὶ ἐν et mox σχεδὸν οὕτω καὶ K 23 προβλήβληματος L 24 εἴτε ἔστιν] εἰ ἔστιν L 25 καὶ ἐν τίσι θεωρεῖται L: om. KMt 26 πρότερον οὖν Mt τοῦ L: om. (cf. p. 409,10) KMt at cf. v. 28. p. 390,26. 398,18. 406,18 27 συντονωτέρους K: συντομωτέρους LMt ἀντίληψιν αὐτοῦ L ἐφιεμένως compend. L 28 τῷ φυσικῷ om. L τοῦ om. Mt

www.libtool.com.cn

καὶ ἐκ τοῦ πάντας τοὺς ὁπωσοῦν διαλάμψαντας ἐν φιλοσοφίᾳ μὴ μόνον k 5v
διαλαβεῖν περὶ ἀπείρου, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ τῶν ὄντων εἶναι ὑποθέσθαι.
τίνα οὖν τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα περὶ ὧν ποιεῖται τὸν
λόγον; μεγέθη, φησί, καὶ κίνησις καὶ χρόνος· περὶ τούτων γὰρ πάντες οἱ
5 φυσικοὶ διαλέγονται. ταῦτα δὲ πάντα ἀνάγκη πᾶσα ἢ πεπερασμένα εἶναι
ἢ ἄπειρα, τά τε μεγέθη ὁμοίως καὶ ἡ κίνησις καὶ ὁ χρόνος· ἐπὶ ἑκάστου 45
γὰρ τούτων τοῦτο ζητεῖσθαι εἴωθεν. ὥστε εἰ ταῦτα γνῶναι βούλεται ὁ
φυσικός, ταῦτα δὲ τὴν εἰς τὸ ἄπειρον ἢ πεπερασμένον διαίρεσιν ἐπιδέχεται,
ἀδύνατον ἄρα ταῦτα ἀκριβῶς γνῶναι τὸν μὴ ἐγνωκότα τί ποτε ὅλως ἐστὶ
10 τὸ ἄπειρον, καὶ πρότερόν γε, εἰ ὅλως ἔστιν ἢ μή. τεκμήριον δὲ τοῦ
καλῶς ἐν τῇ περὶ φύσεως πραγματείᾳ ζητεῖν ἡμᾶς τὸν περὶ τοῦ ἀπείρου
λόγον, ὅτι πάντες ὅσοι ἀξίως λόγου τινὸς ἥψαντο τῆς φυσικῆς θεωρίας οὐ
μόνον εἶναι τὸ ἄπειρον λέγουσιν, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων 50
ὑποτίθενται.

15 Πλείστη δὲ τούτων ἡ πρὸς ἀλλήλους διαφορὰ περὶ τῆς τοῦ ἀπείρου
δόξης κοινῇ τε καὶ ἰδίᾳ. οἱ μὲν γὰρ φυσικοὶ πάντες ἀρχὴν καὶ αὐτοὶ
εἶναι τίθενται τὸ ἄπειρον, ἀλλ' οὐ καθ' αὑτὸ ἀρχὴν ἀλλὰ κατὰ συμ-
βεβηκός· ἄλλο μὲν γάρ τι εἶναί φασι τὴν καθ' αὑτὸ ἀρχήν, οἷον ἀέρα ἢ
πῦρ ἢ τῶν ἄλλων τι ἢ πάντα ταῦτα ἢ τινὰ ἢ τὸ μεταξὺ τούτων, τούτῳ
20 μέντοι συμβεβηκέναι τὸ εἶναι ἀπείρῳ· ὥστε καθ' αὑτὸ μὲν ἀρχὴ τὸ ὕδωρ
τυχὸν ἢ ὁ ἀὴρ ἢ τὸ μεταξύ, | διότι δὲ συνέβη τὸν ἀέρα ἢ τὸ ὕδωρ ἄπειρον k 6r
εἶναι τῷ μεγέθει, διὰ τοῦτο κατὰ συμβεβηκὸς ἀρχῆς λόγον ἐπέχει τὸ
ἄπειρον. Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι, φησί, καὶ καθ' αὑτὸ ἀρχὴν ὑποτί-
θενται εἶναι τὸ ἄπειρον, οὐ γῆν τινα ἄπειρον λέγοντες ἢ ἀέρα ἢ πῦρ ἢ
25 ἄλλο τι σῶμα, ἀλλ' αὐτοουσίαν τινὰ εἶναι ἀπείρου ἐν τούτῳ οὐσιωμένην
ἐν τῷ ἄπειρον εἶναι, καὶ ταύτην εἶναι ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων.
διαφέρονται δὲ πρὸς ἀλλήλους ὅ τε Πλάτων καὶ οἱ Πυθαγόρειοι· οἱ μὲν 5
γὰρ Πυθαγόρειοι ἀριθμὸν λέγουσιν εἶναι τὸ ἄπειρον, ἀριθμὸν δὲ οὐ χω-
ριστόν τινα οὐδὲ ἀσώματον, ἀλλ' αἰσθητόν τινα καὶ στοιχεῖον ὄντα καὶ
30 ἀρχὴν πάντων τῶν αἰσθητῶν (πάντα γὰρ ἐκ τῶν ἀριθμῶν ὡς ἐξ ἀρχῶν

---

1 inter καὶ et ἐκ inserit δεύτερον L² διαλάμψαντας ὁπωσοῦν Mt 3 πράγματι L 5 φιλόσοφοι Mt ὅλως εἶναι L 6 ἡ κίνησις καὶ ὁ χρόνος LKM: τὴν κίνησιν καὶ τὸν χρόνον recte corrigit t, quae enim ante τά τε in L leguntur καὶ πότερόν (scribe πρότερόν) γε εἰ ἢ (εἶεν ἂν corr. L²) ἄπειρα aberranti librario ad v. 10 debentur 7 βούλεται γνῶναι L 8 δὲ om. add. L² 9 μὴ] μῖ K
9. 10 ὅλως ἐστὶ τὸ ἄπειρον KL²: ὅλως L: ἐστιν ὅλως τὸ ἄπειρον Mt 10 καὶ πρότερόν—μή om. L 11 τὸν περὶ] τὸν πῶς compend. K 12 λόγου τινὸς ἥψαντο LKt: ἥψαντο λόγου τινὸς M 16 κοινῶς L ἀρχὴν μὲν καὶ αὐτὸ L
17 τίθενται (ὑποτίθενται L) τὸ ἄπειρον LK: τὸ ἄπειρον τίθενται Mt ἀρχῇ K ubi saepe ἀρ̄ indicat promiscue ἀρχή ἀρχῆς ἀρχῇ etc. 19. 21 τούτων—ἢ τὸ μεταξύ iterat K 22 ἀρχὴν λόγου L 23 Πλάτων δὲ κτλ. paucis immutatis ex Themist. p. 220,13 sqq. tralata πυθαγόριοι constanter K ἑαυτὸ L 25 et p. 388,15 αὐτὸ οὐσίαν K ἀπείρου] ἄπειρον L ἀλλ' αὐτήν τινα φύσιν ἄπειρον Themistius
26 ταύτην εἶναι] κατ' αὐτὴν L

www.libtool.com.cn

παράγουσι τὰ αἰσθητά, κἀντεῦθέν φασι "τῷ ἀριθμῷ δὲ πάντ' ἐπέοικε", k 6r
καὶ τὴν πηγὴν τῆς φύσεως τετρακτύν φησιν εἶναι), εἶναι δὲ μὴ μόνον ἐν
τοῖς αἰσθητοῖς τὸ ἄπειρον, ἀλλὰ καὶ τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον εἶναι,
οὔτε ὁποῖόν ἐστι τοῦτο οὔτε εἰς ὅ τι χρήσιμον διορίζοντες· Πλάτων δὲ 10
5 εἶναι μὲν καὶ αὐτὸς ἐν τοῖς αἰσθητοῖς τὸ ἄπειρον καὶ ἀρχὴν εἶναι τῶν
αἰσθητῶν ἁπάντων, ἔξω δὲ τοῦ οὐρανοῦ οὐδὲν εἶναι παντάπασιν οὔτε σῶμα
οὔτε ἀσώματον, τὸ μέντοι ἄπειρον μὴ μόνον ἐν τοῖς αἰσθητοῖς εἶναι ἀλλὰ
καὶ ἐν ταῖς ἰδέαις, τὰς δὲ ἰδέας μήτε ἐντὸς εἶναι τοῦ οὐρανοῦ μήτε ἐκτός·
μηδὲ γὰρ ὅλως σῶμα εἶναι. καὶ οἱ μὲν Πυθαγόρειοι τὸ ἄπειρον τὸ ἄρτιόν
10 φασι, Πλάτων δὲ τὸ ἄπειρον δύο φησίν, ὅπερ καλεῖ μέγα καὶ μικρόν. διαφέρουσιν οὖν πρὸς τοὺς φυσικοὺς ὁ Πλάτων καὶ οἱ Πυθαγόρειοι τῷ τοὺς 15
μὲν οὐσίαν ὑποτίθεσθαι τὸ ἄπειρον, τοὺς δὲ φυσικοὺς συμβεβηκός τι τῇ
οὐσίᾳ, καὶ διὰ τοῦτο οἱ μὲν καθ' αὑτὸ ἀρχὴν ὑποτίθενται τὸ ἄπειρον, οἱ
δὲ φυσικοὶ κατὰ συμβεβηκός. καὶ συμβαίνει τοῖς μὲν Πυθαγορείοις καὶ τῷ
15 Πλάτωνι καὶ τὸ μέρος τοῦ ἀπείρου ἄπειρον λέγειν, ἐπειδὴ αὐτοουσίαν εἶναί
φασι τὸ ἄπειρον (ὥσπερ οὖν τὸ μέρος τῆς οὐσίας οὐσία, οὕτως τὸ μέρος
τοῦ ἀπείρου ἄπειρον), τοῖς δὲ φυσικοῖς οὐκέτι τὸ μέρος τοῦ ἀπείρου
ἄπειρον· τῷ γὰρ ὅλῳ ἤτοι ἀέρι ἢ ὕδατι τὸ ἄπειρον ἐπισυμβέβηκεν, οὐ 20
τῷ μέρει. καὶ οἱ φυσικοὶ δὲ πλεῖστον ὅσον διαφέρουσιν ἀλλήλων· κοινὸν
20 μὲν γὰρ πάντων τῶν φυσικῶν τὸ μεγέθει τὸ ἄπειρον ὑποτίθεσθαι ἢ πλήθει,
καὶ εἰς δύο ταῦτα πάντες διῄρηνται (οἱ μὲν γὰρ τῷ μεγέθει, οἱ δὲ τῷ
πλήθει τὸ ἄπειρον ὑποτίθενται), τίς δὲ ἡ διαφορὰ αὐτῶν πρὸς ἀλλήλους,
τὴν λέξιν ἐπιόντες ὀψόμεθα.

Ἰστέον δὲ ὅτι ὥσπερ εἰώθεσαν οἱ Πυθαγόρειοι συμβολικῶς τὰς διδα-
25 σκαλίας ἐκ τῶν ἀριθμῶν ποιεῖσθαι, οὕτω καὶ τὸ ἄπειρον συμβολικῶς ἐν 25
ταῖς ἀρχαῖς ἀπετίθεντο. καὶ ὅτι τοῦτό ἐστι, καὶ ἐξ αὐτῶν τῶν ῥητῶν τοῦ
Ἀριστοτέλους ἔστιν ἐλεῖν· τὸ γὰρ ἄπειρον, φησί, τὸ ἄρτιον ἔλεγον, ὥσπερ
οὖν καὶ πέρας τὸ περιττόν· συγκεῖσθαι οὖν πάντα ἐκ πέρατος καὶ ἀπειρίας. ὥσπερ οὖν τοὺς μέχρι δεκάδος ἀριθμοὺς ἄλλον ἄλλων σύμβολα
30 εἶναι ἔλεγον (ἐκάλουν γὰρ τὸν μὲν ε' δίκην διὰ τὸ τοὺς μέχρι δεκάδος

---

1 φασι] φανερὸν L τῷ LK: τὸ Mt. rectius hoc sane, sed illud in Themistio suo videtur invenisse Philoponus ἀριθμῷ κτλ.] cf. Nauck, Iamblich. Vit. Pythag. p. 234 sq. ἀριθμῷ] λόγος πυθαγορείων superscr. L πάντες K 2 πηγὴν κτλ.] cf. Carm. Aur. 47 sq. Nauck ib. p. 216 sq. τετρακτύν L: τετρακτὴν M: τετρακτήν Kt fort. φασιν 4 ἐστι] εἶναι K 5 ἐν τοῖς αἰσθήτοις καὶ αὐτὸς L 6 πάντων L οὐδὲ KM 7 μὴ LK: καὶ compend. M: Themistii οὐ coniectura invenit t 10 ὅπερ καλεῖ om. L 11 πυθαγόριοι etiam t 12 τι om. Mt 14 τοῖς] τε K πυθα$^{\gamma o}$ (cum compendio syllabae οις) M 15. 16 τὸ μέρος τοῦ—οὕτως om. L 16 οὕτω t 18 ὕδατι LK: πυρὶ Mt 20 τὸ μεγέθει] τῷ μεγέθει L 21 πάντες Lt: πα$^{\nu}$ K: πάντα M 23 ἐπίοντες (LKM)t 24 δὲ om. L 26 τῇ ἀρχῇ ὑπετίθεντο L 28 σύγκεισθαι (sic) K γοῦν ἅπαντα Mt 29 ἀριθμοὺς om. L ante ἄλλον addunt καὶ Mt σύμβολον L 30 γὰρ om. L ε̄ K: πέντε ceteri libri itemque in insequentibus numeris fere omnibus δεκάδος ex δυάδος fecit M²

www.libtool.com.cn

ἀριθμοὺς δίχα διαιρεῖν, τὸν δὲ ς' γάμον διότι ἐκ τοῦ πρώτου ἀρτίου τοῦ k 6r
β' καὶ τοῦ πρώτου περιττοῦ τοῦ γ' πολλαπλασιαζομένων ἐφ' ἑαυτοὺς 30
ἀποτελεῖται, ἀναλογεῖ δὲ τὸ μὲν ἄρτιον τῷ θήλει, τὸ δὲ περιττὸν τῷ
ἄρρενι· ἐπεὶ οὖν ἐκ τοῦ συνδυασμοῦ τούτου γεννᾶται ὁ ς', γάμον αὐτὸν
5 ἐκάλουν. καὶ ἄλλον ἄλλων τινῶν πραγμάτων σύμβολον ἐποιοῦντο), ὥσπερ
οὖν τοὺς ἀριθμοὺς σύμβολα ⟨ἄλλον⟩ ἄλλων ἐποιοῦντο, οὕτω δὲ καὶ τὰ πάθη
αὐτῶν, καὶ τὸ μὲν ἄρτιον σύμβολον ἐποιοῦντο τῆς ὕλης, τὸ δὲ περιττὸν τοῦ
εἴδους, ἐξ ὧν συνδυαζομένων τὰ πράγματα γεννᾶσθαι. ἀπείκαζον δὲ τῇ
μὲν ὕλῃ τὸ ἄρτιον, διότι ὥσπερ τὸ ἄρτιον πρὸς τῆς διαιρέσεώς ἐστι, τὸ 35
10 δὲ περιττὸν πρὸς τοῦ ἀδιαιρέτου, οὕτω καὶ ἡ μὲν ὕλη διαιρέσεώς ἐστι καὶ
ἀοριστίας αἰτία, πέρατος δὲ καὶ ὅρου τὸ εἶδος. διὰ τοῦτο μὲν οὖν ἄπειρον
τὸ ἄρτιον ἔλεγον, διότι τῆς ἐπ' ἄπειρον τομῆς τὸ ἄρτιον αἴτιον· ἡ γὰρ διχο-
τομία τὴν ἐπ' ἄπειρον ποιεῖ τῶν μεγεθῶν τομήν. ἄπειρον δὲ καὶ ἡ ὕλη,
διότι τοῖς μεγέθεσι καὶ πᾶσι τοῖς φυσικοῖς τῆς διαστάσεως καὶ ἀοριστίας
15 καὶ τῆς ἐπ' ἄπειρον τομῆς καὶ πλήθους αὕτη ἐστὶν αἰτία. ὅτι δὲ καὶ ὁ
Πλάτων Πυθαγόρειος ὢν τὸ ἄπειρον τὴν ὕλην ἔλεγεν, αὐτῇ λέξει φησὶν ὁ 40
Ἀριστοτέλης· Πλάτων γάρ φησι δύο τὰ ἄπειρα λέγει, τὸ μέγα καὶ
τὸ μικρόν. ὅτι δὲ τὴν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν ἔλεγεν ὁ Πλάτων,
σαφῶς εἶπεν ὁ Ἀριστοτέλης καὶ ἐν ἄλλοις πολλοῖς, καὶ ἐν τῷ πρώτῳ
20 βιβλίῳ ταύτης τῆς πραγματείας, τὴν δὲ μονάδα τὸ εἶδος.

p. 202ᵇ32 Εἰ καὶ μὴ πᾶν ἐστιν ἢ ἄπειρον ἢ πεπερασμένον.

Ἐπειδὴ τὰ ὑποβεβλημένα τῷ φυσικῷ διεῖλεν εἰς τὸ πεπερασμένον καὶ
τὸ ἄπειρον, οὐκ ἔστι δὲ καθολικὴ ἡ διαίρεσις ἡ κατὰ στέρησιν καὶ ἕξιν 45
(μόνη γὰρ ἡ κατὰ ἀντίφασιν διαίρεσις ἐπὶ πάντων ἁρμόζει τῶν ὄντων καὶ
25 μὴ ὄντων), διὰ τοῦτό φησιν ὅτι πάντα τὰ ὑποβεβλημένα τῷ φυσικῷ διαι-
ροῦνται εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, εἰ καὶ μὴ πάντα τὰ ὄντα ἢ
ἄπειρά ἐστιν ἢ πεπερασμένα· ἐν οἷς γὰρ ἀνάγκη πάντως ἢ τὴν ἕξιν
ὑπάρχειν ἢ τὴν στέρησιν, ἐν τούτοις ἡ καθ' ἕξιν καὶ στέρησιν διαίρεσις
ἰσοδυναμεῖ τῇ κατ' ἀντίφασιν διαιρέσει. ὥσπερ εἴ τις εἶπεν ὅτι τῶν

---

1 ς'] καὶ proclivi errore (cf. ad m 2ᵛ17) K 2 πολυπλασιαζομένων Mt ἑαυτῶν L 3 τὸ θέλει K 4 συνδέσμου Mt τούτων fort. recte L 6 ἄλλον addidi ἄλλων] ἀλλήλων L δὲ LK: δὴ Mt 7 τὸν μὲν L 8 δυδυαζομένων M: συνδοξαζομένων K 8 τῇ] τὴν K 9 fort. ὥσπερ τὸ μὲν ἄρτιον 9 et 10 πρὸς] πρῶτον L 10 περιττὸν] περὶ τὸν L ἀδιαιρέτου LK: διαιρετοῦ M: διαιρέτου t ἀδιαιρέσεώς t. nimirum ἀ quod Trincavellus voci διαιρετοῦ addi iusserat ut esset ἀδιαιρέτου, securus typotheta voci διαιρέσεώς praefixit 11 ἀορι L στ' 13 τομὴν τῶν μεγεθῶν ποιεῖ L τομήν] τολλ^ K 15 πλήθους scripsi: πάθους libri αὕτη L: αὐτῇ K: αὐτή Mt 16 αὐτὴ K 19 ὁ om. Mt 19. 20 ἐν τῷ πρώτῳ βιβλίῳ ex. gr. c. 4 p. 187ᵃ17 21 μὴ et prius ἢ (at cf. v. 26) om. M 23. 26 οὐκ ἔστι — πεπερασμένον om. L 23 τὴν στέρησιν Mt 26 πάντα φησι superscr. L² 28 ὑπάρχειν LK: ἔχειν Mt 29 ἰσοδυναμοῖ L ὥσπερ γὰρ εἴ t

www.libtool.com.cn

ἀνθρώπων οἱ μὲν ὄψιν ἔχουσιν οἱ δὲ τυφλοί εἰσι, περιελάμβανε πάντας τοὺς k 6r
ἀνθρώπους, διότι πέφυκεν ὁ ἄνθρωπος εὐθὺς ἢ ὄψιν ἔχειν ἢ τυφλότητα
καὶ ἰσοδυναμεῖ ἐπὶ τούτων ἡ κατὰ ἕξιν καὶ στέρησιν διαίρεσις τῇ κατὰ 51
ἀντίφασιν, εἰ μέντοι εἶπεν ὅτι τῶν κυνῶν οἱ μὲν ὄψιν ἔχουσιν οἱ δὲ τυφλοί
5 εἰσιν, οὐκέτι περιελάμβανε πάντας τοὺς κύνας ἡ διαίρεσις διὰ τὰ σκυλάκια· οὕτω, φημί, ἐπειδὴ πάντα τὰ ὑποβεβλημένα τῷ φυσικῷ πεφύκασιν εὐθὺς ἢ ἄπειρα ἢ πεπερασμένα εἶναι, διὰ τοῦτο εἶπεν ὅτι ἀνάγκη τὰ ὑποβεβλημένα τῷ φυσικῷ ἢ ἄπειρα ἢ πεπερασμένα | εἶναι, εἰ καὶ μὴ πάντα τὰ k 6v
ὄντα περιλαμβάνει ἡ διαίρεσις αὕτη.

10 p. 202ᵇ33 Οἷον πάθος ἢ στιγμή· τῶν γὰρ τοιούτων ἴσως οὐθὲν ἀναγκαῖον ἐν θατέρῳ τούτων εἶναι.

Πάθος φησὶ λευκότητα ἢ μελανίαν καὶ ἁπλῶς ποιότητα. ταῦτα οὖν οὔτε ἄπειρά ἐστιν οὔτε πεπερασμένα, ἐπειδὴ μηδὲ μεγέθη ὅλως. προσέ- 5
θηκε δὲ τὸ ἴσως, διότι λέγεταί ποτε πολλὴ καὶ ἡ λευκότης εἶναι καὶ
15 ὀλίγη, ὡς εἴρηται καὶ ἐν Κατηγορίαις, οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός, τῷ ἐν πολλῇ εἶναι ἐπιφανείᾳ. οὕτως οὖν λέγοιτ' ἂν καὶ ἄπειρος εἶναι ποιότης ἢ πεπερασμένη, τῷ τὴν ἐπιφάνειαν ἐν ᾗ ὑπάρχει ἢ ἄπειρον εἶναι ἢ πεπερασμένην. λεχθείη δ' ἂν καὶ τὸ σημεῖον ἄπειρον οὐ τῷ ἀδιεξίτητον εἶναι, ἀλλὰ τῷ πέρας μὴ ἔχειν (αὐτὸ γὰρ πέρας ἐστίν), ὥσπερ
20 καὶ τὸν κύκλον ἄπειρόν φαμεν τῷ μὴ ἔχειν πέρατα, καὶ 'χιτῶνα ἄπειρόν' φασι τὸν μὴ ἔχοντα διαίρεσιν, ἢ 10

πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι.

ἐν θατέρῳ δὲ τούτων φησὶν ἐν τῷ ἀπείρῳ ἢ τῷ πεπερασμένῳ.

p. 202ᵇ36 Σημεῖον δὲ ὅτι τῆς ἐπιστήμης ταύτης οἰκεία ἡ θεωρία.

25 Τῆς φυσικῆς δηλονότι ἐπιστήμης. δείξας δὲ ἐξ αὐτῶν τῶν πραγμά- 16
των, ὅτι οἰκεῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, νῦν δείκνυσι καὶ ἐκ τῆς τῶν παλαιῶν καὶ ἐπισήμων φιλοσόφων χρήσεως.

---

1 ἀνθρώπω errore typogr. t περιελάμβανε LM: περιελάμβανεν K: περιελάμβανεν ἂν L²: περιέλαβε t 2 δι' ὃ K 5 περιέλαβε t κύνας M 7 ἄπειρα εἶναι ἢ πεπερασμένα L litterae τὰ ὑποβεβ- in ras. L 10 πάθος ὡστιγμὴ (sic) K οὐδὲν L
13 ἐπεὶ L 15 Κατηγορίαις c. 6 p. 5ᵇ1 16 ἄπειρος L: ἄπειρ M: ἄπειρον (K)t
19 αὐτὸ—ἐστίν om. Mt 20 καὶ (ante τὸν) om. Kt μὴ om. add. marg. M² χιτόνα K
21 φασι] cf. Soph. Fr. 481 Nauck διαίρεσιν] διέξοδον Orus ap. Etym. M. p. 120,48
ἢ LKt: ἢ ML² 22 πόσιν κτλ.] Eurip. Or. 25 sq. ἢ πόσιν — ὑφάσματι | ἔκτεινεν ποσὶν Philoponi libri ἀπείρῳ L: ἄπειρα KMt περιβαλοῦσ' ὑφάσματι Euripides: περιβαλοῦσα ὑφάσματα KMt: περιβάλλουσιν ὑφάσμασιν L: περιβάλλουσ' ὑφάσματι (superscr. εὐριπίδου) L²
23 φασιν L: φασιν δηλονότι L² τῷ utrumque om. L 24 τῆς ἐπιστήμης ταύτης LKM: ταύτης τῆς ἐπιστήμης t cf. Aristotelis libri 27 παλαιῶν τὲ καὶ L

www.libtool.com.cn

p. 203a6 Οὐ γὰρ χωριστὸν εἶναι λέγουσι τὸν ἀριθμόν. k 6v

Οὐ τὸν ἀριθμὸν ἁπλῶς ἔλεγον εἶναι ἄπειρον, ἀλλὰ τὸν ἄρτιον ἀριθμόν. 21
τοῦτον οὖν τὸν ἀριθμὸν οὐ χωριστὸν ποιοῦσι, τουτέστιν οὐκ ἀσώματον
οὐδὲ κεχωρισμένον παντελῶς τῶν αἰσθητῶν, ἀλλ' ἐν αὐτοῖς οἷον στοιχεῖον
5 αὐτῶν ὄντα. καὶ εἶναι δὲ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. ὡς δὴ ἄπειρόν
τι ποιούντων ἔξω τοῦ οὐρανοῦ ἤτοι κενὸν ἢ μᾶλλον ἴσως σῶμα, ὅπερ καί
φασιν ἀναπνέοντας ἡμᾶς ζῆν, ὡς καὶ αὐτὸς ἐρεῖ ὁ Ἀριστοτέλης. ᾧ καὶ
δῆλον πάλιν συμβολικῶς ταῦτα παρ' ἐκείνων λέγεσθαι· οὐ γὰρ δὴ τε- 25
τρῆσθαι τὸν οὐρανὸν ὑπενόουν, καὶ οὕτως ἔξωθεν εἰς τὸν κόσμον εἰσκρί-
10 νεσθαι τὸ ἄπειρον, ὅπερ ἀναπνέοντας ἡμᾶς ζῆν, ἀλλὰ τὴν ἄπειρον ἴσως
τοῦ δημιουργοῦ ᾐνίττοντο δύναμιν, ἐξ ἧς τὸ εἶναι καὶ τὸ διαμένειν πᾶσιν
ὑπάρχει. ἔξω δὲ τοῦ οὐρανοῦ ταύτην εἶναι οὐ τοπικῶς ἀκουστέον,
ἀλλ' οὐσιωδῶς, τουτέστιν ἐξῃρημένην πάσης τῆς σωματικῆς οὐσίας. καὶ ὁ
Πλάτων δὲ ἐν ταῖς ἰδέαις ἀποτιθέμενος τὸ ἄπειρον, τὸ κατὰ τὴν δύναμιν
15 δήπου ἄπειρον ἂν λέγοι, τῷ ἔχειν ἐπ' ἄπειρον δύναμιν προακτικὴν 30
τῶν τῇδε.

p. 203a10 Καὶ οἱ μὲν τὸ ἄπειρον εἶναι τὸ ἄρτιον· τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν.

20 Οἱ Πυθαγόρειοι, φησί, τὸ ἄπειρον τὸ ἄρτιον ἔλεγον· τοῦτο γὰρ αἴτιον
ἔλεγον εἶναι τῆς ἀπειρίας τοῖς οὖσι· τὸ μὲν γὰρ περιττὸν περατωτικὸν
καὶ ὁριστικὸν τῶν πραγμάτων (οὐ γὰρ δέχεται τὴν διαίρεσιν), τὸ δὲ ἄρτιον
ἄπειρον. τὸ οὖν ἄρτιόν φησιν ἐναπολαμβανόμενον ὑπὸ τοῦ περιττοῦ αἴτιον 35
εἶναι τοῖς οὖσι τῆς εἰς ἄπειρον τομῆς τῶν τε εἰδῶν καὶ τῶν ἀτόμων, καὶ
25 τῆς ἐπ' ἄπειρον διαιρέσεως τῶν πραγμάτων· τὸ μὲν γὰρ περιττὸν περατοῖ
καὶ ὁρίζει, τὸ δὲ ἄρτιον τῆς ἐπ' ἄπειρον τομῆς αἴτιόν ἐστιν ἀεὶ τὴν διχο-
τομίαν δεχόμενον. ἔστιν οὖν καὶ ἐκ τούτων σαφὲς ὡς ᾐνίττοντο διὰ μὲν
τοῦ ἀρτίου τὴν ὕλην, διὰ δὲ τοῦ περιττοῦ τὸ εἶδος. ὄντος οὖν ἑκάστου
εἴδους καθ' αὑτὸ ἀμεροῦς τε καὶ ἀδιαιρέτου, ὅταν μὲν ⟨ἐν⟩ τῇ ὕλῃ τοῦτο
30 γένηται καὶ οἷον ἐναπολάβῃ ὁρίσαν αὐτήν, συμβαίνει εἰς πολλὰ ἄτομα κατα- 40

---

1 εἶναι λέγουσι KM: λέγουσιν εἶναι L: ποιοῦσι t 2 Οὐ τὸν — ἄρτιον ἀριθμόν om. L ἄρτιον marg. M²t: περιττὸν KM 5 αὐτῶν om. Mt καὶ εἶναι κτλ. cf. Aristotelis libri 6 κενὸν] μένον L 7 ἐρεῖ Phys. Δ 6 p. 213b22 8 συμβολικῶς πάλιν λέγεσθαι ταῦτα παρ' ἐκείνων L 10 ἴσως om. L 13 ἐξῃρημένην scripsi: ἐξῃρημ^ε K: ἐξῃρημένης mutatum in ἐξῃρημένη L²: ἐξῃρημένως compend. M et t καὶ om. L 14 τὸ ἄπειρον K: om. L: τὸ M: τοῦτο t τὴν om. L 15 πρακτικὴν M: πρακτικὴν L 18 παρέχειν LK: παρέχει Mt 19 οὖσιν K 23 οὖν LK: δὲ Mt ἄρτιόν om. K 24 ἄπειρον Diels: ἄπειρα libri 26 τῆς om. superscr. M ἐπ' ἄπειρα K 27. 28 διὰ μὲν—περιττοῦ om. L 29 ἐν addidi 30 ὁρίσασαν (ὁ- corr. ex ὡ-) L

www.libtool.com.cn

μερισθῆναι, οὐ δι' ἑαυτόν (ἁπλοῦς γάρ ἐστι καὶ μονοειδὴς καὶ ἀδιάστατος k 6v
ὁ τοῦ ἀνθρώπου λόγος τῆς οὐσίας), ἀλλὰ διὰ τὴν ὕλην ἐν ᾗ γέγονεν· αὕτη
γὰρ αἰτία τῆς ἐπ' ἄπειρον αὐξήσεως τοῦ πλήθους τῶν ἀτόμων. τοῦ εἴδους
ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος, ὥσπερ εἰ δακτύλιος εἰς κηροὺς ἄλλοτε ἄλλους
5 σφραγίζει. ἔστιν οὖν κἀνταῦθα ⟨αἴτιον⟩ τῆς ἀπειρίας οὐχὶ τὸ εἶδος ἐν
τῷ δακτυλίῳ (ἓν γὰρ τοῦτο καὶ τὸ αὐτό), ἀλλ' ἡ ὕλη, τουτέστιν ὁ
κηρός, ὃς ἀεὶ ὑπ' αὐτοῦ ἐναπολαμβανόμενος ὁρίζεται καθ' αὑτὸν ἀόρι- 45
στος ὤν.

p. 203ª12 Σημεῖον δὲ εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀρι-
10 θμῶν· περιτιθεμένων γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρὶς
ὁτὲ μὲν ἄλλο γίνεται τὸ εἶδος, ὁτὲ δὲ ἕν.

Κἀνταῦθα ἐπισημειωτέον ὅτι καὶ αὐτὸς ὁ Ἀριστοτέλης οἶδεν αὐτοὺς
συμβολικῶς ταῦτα λέγοντας· ὡς γὰρ δὴ τὸ ἄρτιον, ὅπερ ἔφη ὑπὸ τοῦ πε-
ριττοῦ περαίνεσθαι, μὴ ἐπὶ τοῦ κατὰ τοὺς ἀριθμοὺς ἀρτίου καὶ περιττοῦ
15 λεγόντων, ἀλλὰ ἄλλα τινὰ διὰ τούτων σημαινόντων, ἐπήγαγεν ὅτι σημεῖον
τῶν εἰρημένων ποιοῦνται τὸ συμβὰν ἐπὶ τῶν ἀριθμῶν, ὡς δὴ ἐκείνων, 50
ὧν τοὺς ἀριθμοὺς σύμβολα εἶναί φασι, μὴ ὄντων ἀριθμῶν, καίτοι γε τὸ
περιττὸν ἦν καὶ τὸ ἄρτιον, ὧν τὸ μὲν ἔλεγον πέρας τὸ δὲ ἄπειρον· ἄλλα
τινὰ ἄρα διὰ τούτων ᾐνίττοντο. τοῦτο μὲν οὖν εἰς τοσοῦτον, ἵνα δὲ μά-
20 θωμεν τὸ λεγόμενον, εἴπωμεν πρότερον τί καλοῦσι γνώμονα οἱ ἀριθμητικοὶ
καὶ οἱ γεωμέτραι. ἐὰν λαβὼν τετράγωνον χωρίον διέλῃ τοῦτο εἰς ἴσα
τέσσαρα τετράγωνα, τὰ τρία τετράγωνα σχῆμα ποιοῦντα ἐοικὸς τῷ Γ στοι-
χείῳ γνώμων ὑπὸ τῶν γεωμετρῶν καλεῖται, ὅστις γνώμων περι|τιθέμενος k 7r
τῷ λοιπῷ τετραγώνῳ αὔξει μὲν αὐτό, ὡς ἐν Κατηγορίαις εἴρηται, ἀλλοιό-
25 τερον δὲ οὐ ποιεῖ· διὰ τοῦτο γὰρ καὶ γνώμων προσηγορεύθη, ὅτι περιτι-

---

2 διὰ om. M αὐτὴ K 4 τοῦ om. L 5 αἴτιον addidit t 5. 6 ἐν τῷ] τῶν ἐν τῶ L: fort. τὸ ἐν τῷ 7 ὃς] ὁ L καθ' αὑτὸ L 9 συμβένον K 10 περιτιθεμένων LK: παρατιθεμένων Mt. similis varietas v. 25 sq. p. 393,5 11 ὅτε (ante μὲν) libri ἄλλο] ἀεὶ ἓν ἄλλω L: ἄλλο ἀεὶ et proximo γίγνεσθαι Aristoteles cf. p. 394,19 ὅτε (sic) δὲ ἕν (ἑνί L) LK: om. Mt 12 αὐτοὺς] αὐτοῦ KM 13. 14 ὑπὸ τοῦ περιττοῦ περαίνεσθαι ὅπερ ἔφη L 14 ἐπὶ τοῦ] ἐπὶ τοὺς L 15 ἄλλα om. L διὰ τούτων τινὰ L 16 τὸ συμβαῖνον L 17 γε] τε L 18 ἔλεγε M 19. μὲν] δὲ μὲν K 19. 20 ἵνα δὲ θῶμεν τὸ λεγόμενον εἴπομεν K 20 πρότερόν τι (LKM)t

21 figuras  γνώμων appingit M διέλῃ KM: διέλης (L)t τοῦτο et ἴσα om. L 22 ἔοικε L 23 ὅτι τις L 24 Κατηγορίαις c. 14 p. 15ª30 25 ὅτι] ὃ K

www.libtool.com.cn

θέμενος τοῖς τετραγώνοις φυλάττει τὸ αὐτὸ εἶδος. οὐ μόνον δὲ ἐπὶ k 7r
τετραγώνων ὁ γνώμων τὸ αὐτὸ φυλάττει εἶδος, ἀλλὰ καὶ ἐπὶ παντὸς
παραλληλογράμμου· ἔστι γὰρ γνώμων, ὡς ὁ γεωμέτρης ὁρίζεται, παντὸς
παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων ἓν ὁποιονοῦν 5
5 σὺν τοῖς δύο παραπληρώμασιν, ὅσπερ περὶ τὸ αὐτὸ εἶδος περιτιθέμενος ἀεὶ
τὸ αὐτὸ φυλάττει. καὶ οἱ ἀριθμητικοὶ δὲ γνώμονας καλοῦσι πάντας τοὺς
περιττοὺς ἀριθμοὺς διὰ τὴν αὐτὴν αἰτίαν. ἐὰν γὰρ συνθῇς ἀπὸ μονάδος
ἐφεξῆς πάντας τοὺς περιττοὺς ἀριθμούς, οἷον α′ γ′ ε′ ζ′ θ′ ια′ ιγ′, καὶ
τοῦτο ἐπ' ἄπειρον, εἶτα ἀρξάμενος συνθῇς τὸν γ′ τῇ μονάδι, ποιεῖς τετρά-
10 γωνον ἀριθμὸν τὸν δ′ (τετράγωνος δὲ καὶ ἡ μονάς· ἅπαξ γὰρ ἡ μία πάλιν
μίαν ποιεῖ), εἶτα τῷ δ′ ἐπισυνθεὶς τὸν ε′ ποιεῖς τὸν θ′ πάλιν τετράγωνον,
καὶ τούτῳ τὸν ζ′ ποιεῖς τὸν ις′, καὶ τούτῳ τὸν θ′ ποιεῖς τὸν κε′, καὶ
τούτῳ τὸν ια′ ποιεῖς τὸν λς′, καὶ οὕτως ἐπ' ἄπειρον τοὺς ἐφεξῆς περιτ- 10
τοὺς τοῖς γινομένοις συντιθεὶς τὸ αὐτὸ εἶδος φυλάττεις τῶν τετραγώνων.
15 καὶ ἄλλην δὲ γένεσιν τῶν τετραγώνων παραδιδόασιν, εἰ καὶ τοῦ προκειμέ-
νου μικρὸν παρεκβαίνομεν, τὴν λεγομένην κατὰ δίαυλον, οὐ μόνον τὴν γε-
νεσιν τὴν τῶν τετραγώνων ἀριθμῶν ἡμᾶς διδάσκουσαν, ἀλλὰ καὶ τὴν
πλευρὰν ἀφ' ἧς ἕκαστος ἀναγράφεται. ἐκθοῦ γὰρ τὸ χύμα τῶν ἀριθμῶν
ἀπὸ μονάδος καὶ ἐπ' ἄπειρον, εἶτα ἀρξάμενος ἀπὸ μονάδος καὶ συντιθεὶς
20 τοῖς ἐφεξῆς ἀναπόδιζε μέχρι τῆς μονάδος, καὶ πάντας τοὺς γινομένους τε- 15
τραγώνους εὑρήσεις, οἷον α′ β′ γ′ δ′ ε′ ς′. ζ′ η′ θ′ ι′ ια′ ιβ′ καὶ
ἐπ' ἄπειρον· σύνθες τὴν μονάδα τῇ δυάδι, καὶ ἀνακάμψας ἐπισύνθες τὴν
μονάδα, καὶ ποιεῖς τὸν δ′ τετράγωνον· πάλιν ἀρξάμενος μέχρι τοῦ γ′ καὶ
ἀνάκαμψον πάλιν μέχρι τῆς μονάδος, καὶ ποιεῖς τὸν θ′. καὶ τὸν ἀριθμὸν
25 μέχρις οὗ ποιεῖς τὴν σύνθεσιν, τοῦτον εὑρήσεις πλευρὰν τοῦ γενομένου
τετραγώνου· ὁ γὰρ β′ τοῦ δ′ πλευρά, ὁμοίως τοῦ θ′ ὁ γ′ (ἕως γὰρ τοῦ
γ′ συνθέντες ἀνεποδίσαμεν), καὶ οὕτως ἐπ' ἄπειρον. τοῦτο μὲν οὖν ἔξω 20

---

2 τῶν τετραγώνων L 3 figuram

α	α	α	α
α	α	α	α
α	α	α	α
α	α	α	α

appingit L 3. 4 ἔστι— παραλληλογράμμου om. L 3. ὁ γεωμέτρης Euclid. Elem. II def. 2 γεομέτρης t 4 ἑνοποιοῦν M 5 ὅπερ L 7. 8 διὰ τὴν—ἀριθμούς om. Mt 7 immo ἐκθῇς vel ἐκθῇ cl. v. 18 8 ἐφεξῆς πάντας K: om. L at cf. p. 394,6 9 εἶτα KM: εἰ L: εἰ γὰρ t συνθεὶς K γ′ τῇ K: τρία τῇ L: τρί τῇ M: α′ τριττῇ t 10 τὸν δ̄ LK: τὸν τέταρτον Mt τετράγωνως (sic) K καὶ ἡ μονάς LK: om. M: ἡ μονάς de coniectura t 10. 11 ἡ μία πάλιν μίαν ποιεῖ. εἶτα LK: ἡ μία μία. εἶτα πάλιν Mt 12 prius τούτω ex τούτων K τὸν (ante ις′) om. K 13 οὕτω L τοὺς] τοῖς L 14 γενομένοις emendat t 15 τῶν] τὸν K 17 τὴν (ante τῶν) om. Mt 18 ἕκαστος t: ἕκαστ M: ἕκαστον LK ἐκθοῦ et χύμα scripsi: ἔκθου et χῦμα (cf. Lobeck, Paralipom. p. 417 sqq.) libri γὰρ om. L 18. 19 ἀριθμῶν ἀπονάδος (sic) K 21 ς′ om. Mt 23 post ἀρξάμενος addit σύνθες fortasse recte L 24 ἀνάκαμψον LKM: ἀνάκαμψας (sic) t post μονάδος (μοηάδος errore typogr.) addit ἐπισύνηθες (sic) t 25 μέχρις οὗ K: μέχρις οὖν L 26 πλευραί LK 27 ἀνεποδίδαμεν K: ἐνεποδίσαμεν L

www.libtool.com.cn

τοῦ προκειμένου, ὃ δέ φησιν ἐνταῦθα, τοῦτό ἐστιν· ὅτι, φησί, τὸ μὲν k 7r
ἄρτιον ἄπειρον ὄν, ὅταν συμπλακῇ τῷ περιττῷ, ἀπειρίας αἴτιον γίνεται
καὶ τοῖς ἐξ αὐτῶν γινομένοις, τὸ δὲ περιττὸν διὰ τὸ περατωτικὸν εἶναι καὶ
πέρας ὁρισμοῦ καὶ ταυτότητος αἴτιον γίνεται τοῖς ἐξ αὐτοῦ, σημεῖον τὸ ἐπὶ
5 τῶν ἀριθμῶν τούτων τῶν δακτυλικῶν συμβαῖνον. ἐὰν γὰρ ἀπὸ μονάδος
καὶ ἐφεξῆς πάντας τοὺς περιττοὺς ἐπισυνθῇς ἀλλήλοις, οὓς καὶ γνώμονας
καλεῖ, ἀεὶ τοὺς γινομένους τετραγώνους εὑρήσεις (οὕτως ὁρισμοῦ τινος καὶ 25
ἑνότητος τὸ περιττὸν αἴτιον, ὅθεν καὶ πέρας αὐτὸ ἐκάλουν), ἐὰν δὲ τοὺς
ἀρτίους ἐπισυνθῇς τῇ τε μονάδι καὶ ἐφεξῆς πᾶσιν εἴτε ἀρτίοις εἴτε περιτ-
10 τοῖς, οὐδέποτε τὸ αὐτὸ εἶδος ποιήσεις, ἀλλ' ὁδεύσεις ἐπ' ἄπειρον τῇ
ἐξαλλαγῇ τῶν γινομένων ἀριθμῶν· σύνθες γὰρ τὴν μονάδα τῇ δυάδι καὶ
ποιήσεις [τὸν γ'] τρίγωνον, καὶ τούτῳ τὸν δ' καὶ ποιήσεις ἑπτάγωνον,
τούτῳ τὸν ς' καὶ πάλιν ἕτερον εἶδος. οὐ μόνον δὲ ἑαυτοῖς ἐπισυντιθέμενοι
οἱ ἄρτιοι ἀόριστα γεννῶσι καὶ ἄπειρα, ἀλλὰ καὶ τοῖς περιττοῖς. οὕτως 30
15 ἄρα τὸ ἄρτιον πρὸς τῆς ἀπειρίας ἐστὶ καὶ τοῦ ἀορίστου, τὸ δὲ περιττὸν
πρὸς τοῦ ὅρου καὶ τοῦ πέρατος· καλῶς οὖν ἄπειρον τὸ ἄρτιον ἐκάλουν.
ἔχει δὲ ἡ λέξις ἀσάφειάν τινα διὰ τὴν συντομίαν.

Περιτιθεμένων γάρ, φησί, τῶν γνωμόνων περὶ τὸ ἓν καὶ
χωρὶς ὁτὲ μὲν ἀεὶ ἄλλο γίνεσθαι τὸ εἶδος, ὁτὲ δὲ ἕν. τῶν γνωμό-
20 νων, φησίν, ἢ περὶ τὸ ἓν συντιθεμένων ἀεί, ⟨ἢ⟩ κατὰ τὸν εἰρημένον ἡμῖν
τρόπον ἀεὶ ἀλλήλοις ἐπισυντιθεμένων, ἓν ἀεὶ καὶ τὸ αὐτὸ γίνεται εἶδος. 35
εἰ δὲ χωρὶς συντεθῶσι, τουτέστι μὴ ἑαυτοῖς ἐπισυντεθῶσιν ἀλλὰ τοῖς
ἀρτίοις, οὐδέποτε τὸ αὐτὸ εἶδος γενήσεται, ὡς εἴπομεν. τὸν β' σύνθες τῇ
μονάδι, εἶτα τῷ γ', εἶτα τῷ ε', ἤγουν ἕνα τῶν γνωμόνων ἀεὶ τοῖς
25 ἐφεξῆς ἀρτίοις οἷον τὸ γ' τῷ β' καὶ δ' καὶ ς'· κατ' οὐδένα γὰρ τρόπον
ὡρισμένον τι εἶδος γίνεται, ἀλλ' ἐπ' ἄπειρον ἡ ἐξαλλαγὴ ὁδεύει. καλῶς
ἄρα εἴπομεν ὅτι τὸ ἄρτιον ἐναπολαμβανόμενον ὑπὸ τοῦ περιττοῦ καὶ
περαινόμενον παρέχει τοῖς οὖσι τὴν ἀπειρίαν· δεῖ μὲν γὰρ διὰ τὴν 40
εἰδοποιίαν τῆς συμπλοκῆς, τῆς δὲ ἀπειρίας μόνως τὸ ἄρτιον αἴτιον, ὡς
30 δέδεικται.

---

1 φησί et 2 γίνεται om. L 4 ὁρισμὸν K ταυτότης αἴτιον αἴτιον L 5 δακτυλικῶν intelleges cl. p. 428,14 6 ἐπισυνθεὶς K: ἐπισύνθης M 7 τοῦ γινομένου primitus L ὁρισμοῦ] ἀριθμοῦ L τινος om. Mt 9 prius εἴτε om. Mt 12 τὸν γ' delevi γ'] τρία L ἑπταγώνιον L 14. 16 τοῖς περιττοῖς — ὅρου καὶ iterat L 15 πρὸ τῆς LM 16 ἄρτιον marg. M²t: περιττὸν LKM 17 ἀσάφειαν marg. M²: ἀσφάλειαν M 18 φησί om. t 19 ὅτε μὲν K ἀεὶ ἄλλο (post ἄλλο add. τε L: expunxit L²) LKM: ἄλλο ἀεὶ ex Aristotele t γίγνεσθαι Lt ὅτε δὲ ἑνὶ K 20 ἢ (ante περὶ) LM: om. (K)t ἀεί, ἢ scripsi: ἀεὶ KLM: τοῦτ' ἐστὶ t 21 γίνεται] compend. γ L 22 συντεθῶσι L: συντεθῶσι* M: συντεθῶσιν K: συνθετῶσι t ἐπισυντεθῶσιν KL: ἐπισυντεθῶσιν M: ἐπισυνθετῶσιν t 24 ἤγουν ἕνα scripsi: ἡγούμενα LM et compend. K: ἡγουμένων t γνωμῶν KM 25 τὸ γ' τῷ corr. M: τοῦ γ' τῷ pr. M et Kt: τὸ γ' τὸ L 27 ὅτι τὸ L: ὅτι K: καὶ τὸ Mt 28 παρέχειν t 29 μόνον Mt

www.libtool.com.cn

p. 203a15 Πλάτων δὲ δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν. k 7r

Διὰ τοῦτο δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν, διότι ἐν τῇ τῶν μεγεθῶν διχοτομίᾳ τὸ μὲν τῶν μορίων ἐπ' ἄπειρον αὔξεται, τὸ δὲ ἕτερον ἐπ' ἄπειρον μειοῦται. τούτου δὲ τοῖς μεγέθεσι τὴν ὕλην αἰτίαν εἶναι ἔλεγεν, ἣν καὶ μέγα καὶ μικρὸν ἐκάλει δι' αὐτὸ τοῦτο, διὰ τὸ τούτων αἰτίαν εἶναι· πρώτως γὰρ ἐν αὐτῇ τὸ εἶδος γενόμενον εὐθὺς τὴν κατὰ τὸ μικρὸν καὶ μέγα ἴσχει διαφοράν.

p. 203a16 Οἱ δὲ περὶ φύσεως πάντες ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων.

Ἀντιδιαστέλλει τοὺς φυσικοὺς τοῖς Πυθαγορείοις καὶ Πλάτωνι μᾶλλον περὶ θεολογίαν ἐσχολακόσι. πάντες οὖν οἱ φυσικοί, φησίν, οὐκ οὐσίαν εἶναι τὸ ἄπειρον ὑποτίθενται, ἀλλὰ συμβεβηκὸς μὲν εἶναι τὸ ἄπειρον ἑτέραν δὲ οὐσίαν ὑποκεῖσθαι τούτῳ, ἄλλος δὲ ἄλλην ὑπετίθετο, ἣν καὶ ἀρχὴν τῶν ὄντων ὑπενόει. κοινὸν οὖν αὐτοῖς τό τε συμβεβηκὸς καὶ μὴ οὐσίαν εἶναι λέγειν τὸ ἄπειρον, καὶ διὰ τοῦτο μὴ καθ' αὑτὸ ἀρχὴν λέγειν αὐτὸ ἀλλὰ κατὰ συμβεβηκός· ἀρχὴ γὰρ ἑκάστῳ καθ' αὑτὸ ἄλλη, ἤτοι ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ ἕτερόν τι, τῇ δὲ ἀρχῇ συμβεβηκέναι τὸ ἄπειρον ὑπέθεντο διὰ τὴν ἀειγενεσίαν. ἡ μὲν οὖν κοινὴ τῶν φυσικῶν δόξα περὶ τοῦ ἀπείρου αὕτη, τίς δὲ ἡ πρὸς ἀλλήλους αὐτῶν διαφορά, ἐφεξῆς δεί-
κνυ|σι, καὶ τέως ἄλλος ἄλλην ὑπέθετο ὑποκειμένην τῷ ἀπείρῳ οὐσίαν. k 7v

p. 203a18 Τῶν δὲ πεπερασμένα ποιούντων τὰ στοιχεῖα οὐδεὶς ἄπειρα ποιεῖ.

Οὐδείς, φησί, τῶν ὑποθεμένων πλείονα εἶναι τὰ στοιχεῖα πεπερασμένα δὲ κατὰ ἀριθμόν, οἷον Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα, ἄπειρα κατὰ μέγεθος ποιεῖ οὔτε ἓν οὔτε πλείονα· εὐηθες γὰρ τοῦτο καὶ ἀδύνατον. εἴτε γὰρ ἓν εἴη ἄπειρον, τὸν πάντα καθέξει τόπον καὶ τοῖς ἄλλοις οὐ δώσει χώραν εἰς τὸ εἶναι, εἴτε πλείω εἴη ἄπειρα, ἔτι ἀτοπωτέρα ἡ ὑπόθεσις· εἰ γὰρ ἓν οὐ δυνατὸν ἄπειρον εἶναι πλείονων ὄντων τῶν στοιχείων, πολλῷ δήπου πλείονα εἶναι ἄπειρα ἀδύνατον.

---

1 καὶ τὸ om. add. L² 3 αὔξεται LK: ἐπαύξεται Mt 4 οὗτος δὲ τοῖς μὲν εἴδεσι τὴν ὕλην L 5 ἐκάλλει K τούτων τὴν αἰτίαν Mt 7 μέγαν ἰσχύει K 8 δὴ t πάντες LKM: ἅπαντες ἀεὶ e vulgato Aristotele t at cf. Diels, z. *Textgesch.* p. 21 13 ante ἑτέραν iterant ὑποτίθενται Mt ἄλλως K 15 post τοῦτο interciderit τὸ μὴ (ante καθ') K: οὐ μὴ (?) L: om. M: οὐ M²t 16 μὲν γὰρ ἑκάστου L 17 συμβεβηκέναι τὸ ἄπειρον L: συμβεβηκὸς τὸ ἄπειρον K: τὸ ἄπειρον συμβεβηκὸς Mt 21 τὰ om. t et Aristotelis libri 24. 25 κατὰ (τὸ addunt Mt) μέγεθος LMt: καὶ τὰ μεγέ K 27 χόραν K 28 πλειόνων] πλείω L 29 δήπου] δήπου μᾶλλον t at cf. p. 316,24. 344,24. 412,5. 10. 414,9. n 2v2, unde conicias γε δήπου ἄπειρα εἶναι L

www.libtool.com.cn

p. 203a19 Ὅσοι δὲ ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ Ἀναξαγόρας. k 7v

Οἱ ἀριθμῷ, φησίν, ἄπειρα ποιοῦντες τὰ στοιχεῖα (οὗτοι δὲ ἦσαν Ἀναξαγόρας τε καὶ οἱ περὶ τὸν Δημόκριτον, ὁ μὲν ἀπείρους εἶναι λέγων τὰς ὁμοιομερείας οἱ δὲ τὰς ἀτόμους) διαφέρουσι τῶν ἓν μὲν ὑποτιθεμένων τὸ στοιχεῖον ἄπειρον δὲ τῷ μεγέθει (οὗτοι δὲ ἦσαν οἱ εἴτε τὸ ὕδωρ ἢ τὸν ἀέρα ἢ τὸ μεταξὺ ὑποτιθέμενοι), τῷ τοὺς μὲν συνεχὲς ποιεῖν τὸ ἄπειρον, ἐπεὶ καὶ ἕν τι σῶμα, τοὺς δὲ τῇ ἁφῇ τὸ ἄπειρον ποιεῖν· ἀπείρων γὰρ οὐσῶν τῶν ὁμοιομερειῶν κατὰ ἀριθμὸν συμβαίνει ἁπτομένων αὐτῶν ἕν τι κατὰ τὴν ἔκτασιν καὶ ἄπειρον γενέσθαι σῶμα. πανσπερμίαν δὲ τῶν σχημάτων φησίν, ὅτι τὰς ἀτόμους οἱ περὶ Δημόκριτον οὐ μόνον κατὰ τὸν ἀριθμὸν εἶναι ἔλεγον, ἀλλὰ καὶ τοῖς σχήμασιν ἀπείρους.

p. 203a23 Καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον.

Δημόκριτος καὶ Ἀναξαγόρας διαφέροντες τῶν ἄλλων φυσικῶν τῷ ἐκείνους μὲν συνεχὲς εἶναι λέγειν τὸ ἄπειρον, τούτους δ' ἐξ ἁπτομένων ἀπείρων κατὰ ἀριθμὸν συγκεῖσθαι, ὡς συμβαίνειν αὐτοῖς ἄρχεσθαι μὲν ἐκ τοῦ κατ' ἀριθμὸν ἀπείρου, τελευτᾶν δὲ εἰς τὸ κατὰ μέγεθος ἄπειρον, κοινωνοῦντες οὖν κατὰ τοῦτο, διαφέρουσι τῷ τὸν μὲν Ἀναξαγόραν ἐξ ἀλλήλων γεννᾶν τῇ ἐκκρίσει τὰς ὁμοιομερείας, Δημόκριτον δὲ μὴ ἐξ ἀλλήλων γεννᾶν τὰς ἀτόμους. καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁραν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ὁ δὲ Ἀναξαγόρας, φησίν, ὥσπερ ἐν τῷ ὅλῳ κατὰ ἀρχὰς πάντα μεμῖχθαι ἔλεγε, καὶ εἶναι οἷον μίαν ὁμοιομέρειαν μεγάλην ἔχουσαν πάντα ἐν ἑαυτῇ, οὕτω καὶ ἐν ἑκάστῳ τῶν κατὰ μέρος πάντα ἐνυπάρχειν ἔλεγεν. εἰς ταύτην δέ, φησί, τὴν δόξαν ἠνέχθη διὰ τὸ ὁρᾶν πάντα ἐκ πάντων γινόμενα, γίνεσθαι δὲ μηδὲν ἐκ τοῦ μὴ ὄντος, μήτε ἐξ ὄντος μὲν ἑτεροειδοῦς δέ, ἀλλὰ τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· ὥστε ἐνυπῆρχεν ἐν τῇδε τῇ σαρκὶ πάντα κατ' ἐνέργειαν, καὶ ἐκκρίνεται ἐξ αὐτῆς ὅπερ ἂν τύχῃ πρότερον ἐπιτηδείως ἔχον πρὸς τὴν ἔκκρισιν. ἔνθεν γάρ, φησίν, ἔοικε καὶ ὁμοῦ πάντα ἐν πᾶσιν εἶναί ποτε ἀποφήνασθαι. εἰ

---

1 δ' ἄπειρα Lt 4 τὸν om. L 6 οἱ εἴτε M: οἱ ἤτε K: οἵ τε L: οἱ ἤτοι t τὸν] τῶν errore typogr. t 8 ἕν τις K 9 ὄντων τῶν ὁμοιομερῶν L ὁμοιομεριῶν t 10 γενέσθαι καὶ ἄπειρον L πανσπερμία L 11 τὸν om. L 13 οἱ LM: ὁ ex Aristotele (K)t at cf. v. 21 τῶν μορίων Aristotelis libri praeter l et corr. E ὁμοίως μίγμα ex Aristotelis vulgata t 14 γιγνόμενον t 16 λέγειν εἶναι L 17 ἄρχεσθαι κτλ.] cf. Themist. p. 222,21 21 μόριον oblitteratum M: om. t 22 γινόμενος K δὲ recte om. M 23 κατὰ ἀρχὴν L 23. 24 ὁμοιομέρειαν τὸ πᾶν (om. μίαν) L 24 πάντα (in exitu versus) τὰ ἐν M 25 δέ LK: γάρ Mt 26 fort. μηδὲν ⟨μήτε⟩ ἐκ vel v. 27 μηδὲ 28 ἐνυπῆρχον L ἐκκρίνεσθαι LK 29 ἐπιδείως K 30 ὁμοῦ κτλ.] cf. p. 397,21. Anaxag. fr. 1 Mull. 30 ἀποφήνασθαι ποτὲ L

www.libtool.com.cn

γὰρ ἥδε ἡ σάρξ, φησί, καὶ τόδε τὸ ὀστοῦν ἐκ πάντων ἂν γένοιτο καὶ ἐξ k 7v
αὐτῆς πάντα, καὶ ὁτιοῦν ἐξ ὁτουοῦν γένοιτ' ἄν. ὥστε πάντα ἐκ πάντων.
εἰ δὲ πάντα ἐκ πάντων, ἔστι δὲ οὐ μόνον ἀρχὴ τῆς διακρίσεως τοῦδε τοῦ
ὀστοῦ καὶ τῆσδε τῆς σαρκός, ἀλλὰ καὶ πάντων τῆς διακρίσεως ἔστιν ἀρχή, 35
5 ἔοικεν ἄρα πάντα ἐν πᾶσιν εἶναι πρὶν ἄρξασθαι διακρίνεσθαι. εἰ γὰρ πάν-
των τῆς διακρίσεως ἔστιν ἀρχή, πᾶν δὲ ἐκ παντὸς διακρίνεσθαι πέφυκε,
πρὶν ἄρα ἀρχὴν λαβεῖν τῆς διακρίσεως τὰ πράγματα, ὁμοῦ πάντα ἦν·
πᾶσα γὰρ διάκρισις ἀπό τινος χρόνου ἤρξατο. ὅτι δὲ καὶ πάσης δια-
κρίσεως ἔστιν ἀρχή, ἐφεξῆς κατασκευάζει ὡς ἐκ προσώπου Ἀναξαγόρου,
10 τὰ μὲν λαμβάνων ὁμολογούμενα ἐκ τῆς αὐτοῦ δόξης, τὰ δὲ κατὰ τὸ ἀκό-
λουθον ἐκ τῶν εἰλημμένων συλλογιζόμενος. δόξειε δὲ ἐναντίον τι λέγειν ἐν- 40
ταῦθα ὁ Ἀριστοτέλης τοῖς ἐν τῷ πρώτῳ λόγῳ εἰρημένοις περὶ Ἀναξαγόρου·
ἐκεῖ μὲν γὰρ ἔλεγε βούλεσθαι μὲν τὸν νοῦν διακρῖναι τὰς ὁμοιομερείας, μὴ
δύνασθαι δέ, διὸ καὶ ἀνόητον ἔλεγεν εἶναι τὸν νοῦν τοῖς ἀδυνάτοις ἐπιχει-
15 ροῦντα, ἐνταῦθα δέ φησιν ἐξ ἀρχῆς τινος ἄρξασθαι τὸν νοῦν διακρίνειν
τὰς ὁμοιομερείας. λέγομεν οὖν ὅτι οὐκ εἰσὶ ταῦτα ἐναντία· ἐκεῖ μὲν γὰρ
περὶ ἑκάστης τῶν κατὰ μέρος ὁμοιομερειῶν ἔλεγεν ὅτι οὐ δύναται εἰλικρινῶς
ἑκάστην διακρῖναι ὁμοιομέρειαν, οἷον σαρκός, μηδὲν ἔχουσαν ἐν αὐτῇ ἑτέρας 45
οὐσίας, ἐνταῦθα δέ φησιν ὅτι τὴν μίαν καὶ ἄπειρον τῷ μεγέθει ὁμοιομέ-
20 ρειαν, ἐν ᾗ πάντα ἦν τὰ ὄντα, δι' ἣν καὶ ἔλεγε τὸ 'ἦν ὁμοῦ πάντα χρήματα', διακρίνει εἰς μερικὰς ὁμοιομερείας, οὐκ εἰλικρινεῖς, ἀλλὰ πάντα καὶ αὐτὰς ἐχούσας, φαινομένην δὲ καὶ ὀνομαζομένην ἀπὸ τοῦ ἐπικρατοῦντος.

p. 203a28 Ἐπεὶ γὰρ τὸ γινόμενον ἐκ τοῦ τοιούτου γίνεται σώματος, πάντων δέ ἐστι γένεσις.

25 Βούλεται κατασκευάσαι ὅτι καὶ ἀρχὴ τῆς διακρίσεως ἔστι πάντων, 53
καὶ πρὶν διακριθῇ, πάντα ἦν ἐν πᾶσι. λαμβάνει οὖν ὅτι πᾶν τὸ γινόμενον
ἐκ τοῦ ὁμοίου γίνεται (τοῦτο γάρ ἐστι τὸ ἐκ τοῦ τοιούτου) καὶ ὅτι πάν-|
των ἐστὶ γένεσις, οὐχ ἅμα δέ, ἀλλὰ τοῦδε πρὸ τοῦδε, ὅπερ ἂν ἐπιτη- k 8r
δειότερον ἦν πρὸς ἔκκρισιν. δεῖ δέ, φησί, καὶ ἀρχήν τινα τῆς γενέσεως
30 ποιητικὴν εἶναι, αὕτη δέ ἐστι κατ' Ἀναξαγόραν ὁ νοῦς· εἰ οὖν μηδέν ἐστιν
ἀγένητον, τὸ δὲ τῆς γενέσεως αἴτιον ὁ νοῦς ἀπό τινος ἀρχῆς ἤρξατο δια-
κρίνειν τὰ πράγματα, ἀρχὴ ἄρα ἔστι τῆς διακρίσεως ἁπάντων. ἀλλὰ μὴν
καὶ πᾶν ἐκ παντὸς γίνεται, ἀδύνατον δὲ τὸ γινόμενον μὴ ἐκ τοῦ ὁμοίου 5

---

1 ἥδε] δὴ δὲ K ἐκ παντὸς L 2 αὐτῆς LK: αὐτοῦ Mt γένοιτ' om. K ὥστε καὶ L 3 εἰ—ἐκ πάντων om. L 5 διακρίνασθαι L 7 ἄρα om. L 8 γὰρ ἡ διάκρισις t post ὅτι δὲ iterant (ex v. 7) τὰ πράγματα ὁμοῦ πάντα ἦν Mt 11 εἰλημμένων K δὲ LK: δ' M: δ' ἂν emendat t τι om. K 12 πρώτῳ λόγῳ c. 4 p. 188a9 13 μὲν (ante τὸν) om. Mt 16 λέγωμεν K οὖν καὶ ὅτι L 18 et 19 sq. ὁμοιομερείαν K 18 μηδὲν LK: μὴ Mt αὐτῇ libri 20. 21 πάντα τὰ χρήματα K 21 ὁμοιομερείας t εἰλικρινεῖν K 22 φαινομένας et ὀνομαζομένας emendat t 24 δέ ἐστι M: δέ ἐστιν K: γὰρ ἐστὶ L: δ' ἐστὶ t 29 ἦν] ᾗ t τινα om. L 29. 30 ποιητικὴν τῆς γενέσεως Mt 30 αὐτῇ K μηδὲν εἶναι L 31 ἀγέννητον Mt

www.libtool.com.cn

γενέσθαι, ἀνάγκη ἄρα πᾶν ἐν παντὶ εἶναι, ἵνα οὕτως τὸ πᾶν ἐκ παντὸς k 8r
ἐκκρίνηται. πρὶν δὲ ὁ νοῦς ἄρξηται διακρίνειν, οὐδὲν ἦν διακεκριμένον· οὐδὲν γὰρ ἄλλο τι διακρίσεως αἴτιον ἢ ὁ νοῦς· ἀνάγκη ἄρα ὁμοῦ πάντα εἶναι. εἰ γὰρ ὁ νοῦς μὲν τῆς διακρίσεως τῶν πραγμάτων αἴτιος, μὴ πᾶν δὲ ἐκ παντὸς ἐπεφύκει γίνεσθαι, οὐκ ἦν ποτε ὁμοῦ πάντα, εἴτε ἐπεφύκει μὲν πᾶν ἐκ παντὸς γίνεσθαι, μὴ ὁ νοῦς δὲ μόνος αἴτιος ἦν τῆς διακρίσεως, οὐδὲ οὕτως ἦν ἀνάγκη πάντα ἐν πᾶσιν εἶναι, δυνατὸν δὲ καὶ ἄλλως κατὰ μικρὰς ὁμοιομερείας διῃρῆσθαι τὸ πᾶν, ὥσπερ καὶ νῦν.

p. 203ᵃ34 Ἀλλ' ὅμως γε αὐτῷ τὸ κοινὸν σῶμα ἓν πάντων ἐστὶν κατὰ τὰ μόρια καὶ σχήματι διαφέρον.

Ὁ Δημόκριτος, φησί, τὰ πρῶτα σώματα λέγω δὴ τὰς ἀτόμους ἀγενήτους φησίν (οὐδὲν γὰρ ἐκ τοῦ ἑτέρου γίνεται, οἷον ἡ σφαιρικὴ ἐκ τῆς πυραμοειδοῦς), μίαν μέντοι κοινὴν φύσιν σώματος ὑποτίθησι τοῖς σχήμασι πᾶσι, τούτου δὲ μόρια εἶναι τὰς ἀτόμους μεγέθει καὶ σχήματι διαφερούσας ἀλλήλων· οὐ μόνον γὰρ ἄλλο καὶ ἄλλο σχῆμα ἔχουσιν, ἀλλ' εἰσὶν αὐτῶν καὶ αἱ μὲν μείζους αἱ δὲ ἐλάττους.

p. 203ᵇ4 Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, ἔκ τε τοῦ τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα διαιρεῖσθαι εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, καὶ ἐκ τοῦ πάντας τοὺς παλαιοτέρους μὴ μόνον ὑποθέσθαι εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων, νῦν βούλεται δεῖξαι ὅτι εὐλόγως, ὑποθέμενοι εἶναι τὸ ἄπειρον, ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναι· εἰ γὰρ ὅλως ἔστιν, ἀδύνατον μὴ ἀρχὴν αὐτὸ εἶναι. ἀνάγκη γὰρ εἰ ἔστιν, ἢ μάτην εἶναι ἢ ἕνεκά του. μάτην μὲν οὖν οὐκ ἔστι· τὰ γὰρ μάτην σπάνια, τὸ δὲ ἄπειρον τῶν ἀεὶ ὡσαύτως ἐχόντων (καὶ γὰρ ἄφθαρτον καὶ ἀγένητον)· οὐκ ἄρα μάτην, ἀλλ' ἕνεκά του. ἀλλ' εἰ ἕνεκά του, ἢ

---

1 γίνεσθαι Mt ἐν παντὶ] ἐκ παντὸς L τὸ om. L 2 κρίνηται M δὲ τὸν νοῦν t ἄρξηται LK: ἄρξεται superscr. M²: ἄρξασθαι t 3 τι om. Mt 4 εἰ LM: εἴτε (K)t 7 ἐν πᾶσιν] ἐκ πάντων L δὲ KM: γὰρ (L)t 8 μικρὸν t 9 γε om. t αὐτῷ L: αὐτω (sic) K: αὐτὸ Mt cf. Diels z. *Textgesch.* p. 9 ἓν πάντων KM: πάντων L: ἁπάντων e vulgato Aristotele t at cf. Simplic. p. 462,12 ἐστὶν KM: ἐστὶν ἀρχή, μεγέθει ex Aristotele Lt: scripserim ἐστί, μεγέθει 10 τὰ om. M σχήματα L 11 τὰ πρῶτα om. L ἀγενήτους K: ἀγεννήτους M: ἀγεννή (sic) L: ἀγέννητά t 12 οὐδὲ γὰρ ἑτέρα ἐκ τῆς ἑτέρας sine iusta causa t 13 σώματος ὑποτίθησιν τοῖς σχήμασι K: σώματος τοῖς σχήμασιν ὑποτίθησι L: ὑποτίθησι σώματος τοῖς σχήμασι Mt 15 γὰρ ἄλλης ἄλλο σχῆμα (om. ἔχουσιν) L ἄλλο σχῆμα] ἄλλως σχῆμα K 16 καὶ om. Lt 17 lemma om. K αὐτὸ mut. in αὐτῷ M 18 τε om. L 22 κατέθεντο L 26 ἀγέννητον Mt ἀλλ' ἕνεκά του om. t ἀλλ' εἰ ἕνεκά του Lt: om. KM

www.libtool.com.cn

ἀρχὴ ἔσται ἢ ἐξ ἀρχῆς· ἕκαστον γὰρ τῶν ὄντων ἢ ἀρχὴ ἢ ἐξ ἀρχῆς. k 8r
ἐὰν οὖν δείξω ὅτι ἀδύνατον αὐτὸ ἐξ ἀρχῆς εἶναι, λείπεται ἀρχὴν αὐτὸ 25
ὑποτίθεσθαι. ἡ δὲ ἀρχὴ λέγεται πολλαχῶς· λέγεται γὰρ καὶ κατὰ μέγεθος
ἀρχή, οἷον ἀρχὴ τοῦ πλοίου ἡ πρύμνα ἢ ἡ τρόπις, καὶ τῆς οἰκίας οἱ
5 θεμέλιοι, λέγεται δὲ καὶ κατὰ χρόνον ἀρχή, οἷον ἀρχὴ τοῦ πολέμου ἥδε
ἡ ἡμέρα, λέγεται δὲ καὶ πραγματικὴ ἀρχή, αἵ τε στοιχειώδεις, ἡ ὕλη
φημὶ καὶ τὸ εἶδος, καὶ αἱ λοιπαὶ δύο, τὸ ποιητικὸν καὶ τὸ τελικόν. φημὶ
οὖν κατ' οὐδὲν τῶν τῆς ἀρχῆς σημαινομένων δύνασθαι ἀρχὴν ἔχειν τὸ
ἄπειρον. καὶ ἴδωμέν γε πρῶτον ἐπὶ τῆς κατὰ μέγεθος ἀρχῆς. εἰ γὰρ 30
10 ἔχοι τὴν κατὰ μέγεθος ἀρχὴν τὸ ἄπειρον, εὐθὺς ἕξει καὶ πέρας (ἡ γὰρ
ἀρχὴ καὶ πέρας ἐστίν), ὥστε οὐκέτι ἂν εἴη ἄπειρον· ἄπειρον γάρ φαμεν
τὸ ἐστερημένον πέρατος· κατὰ στέρησιν γὰρ τοῦ πέρατος λέγεται. δῆλον
δέ που πάντως, ὅτι οὐ ταὐτὸν πέρας εἰπεῖν καὶ ἀρχὴν εἰπεῖν ἢ τέλος· ἡ
μὲν γὰρ ἀρχὴ πρὸς τέλος, τὸ δὲ πέρας οὐ πρὸς ἀρχὴν οὐδὲ πρὸς τέλος,
15 ἀλλὰ πρὸς τὸ περατούμενον. ἐπιφανείας γὰρ πέρατα γραμμαί, καὶ γραμμῆς
πέρατα σημεῖα, καὶ τὰ μὲν πέρατα φύσει ἐστίν, ἀρχὴ δὲ καὶ τέλος οὐ 35
πάντως φύσει, ἀλλὰ θέσει· τὴν γὰρ τῆς εὐθείας ἀρχὴν ἐξόν μοι ἀφ' οἵου
θέλω πέρατος ποιήσασθαι, καὶ πέρας μὲν ὁμοίως καὶ ἡ ἀρχὴ καὶ τὸ τέλος,
οὐ μέντοι τὸ πέρας πάντως ἀρχὴ ἢ τέλος. ὅτι μὲν οὖν τὴν κατὰ μέγεθος
20 ἀρχὴν οὐχ ἕξει τὸ ἄπειρον, πρόδηλον· δειχθήσεται δὲ ὅτι οὐδὲ τὴν κατὰ
χρόνον, διότι μηδὲ τὴν πραγματειώδη. ἵνα οὖν τοῦτο δείξωμεν, προσλά-
βωμεν ἐκεῖνο· 'πᾶν ὃ κατ' οὐσίαν ἐστὶ γενητόν, εἰ τὴν χρονικὴν ἀρχὴν
ἔχοι, ἀνάγκη πᾶσα καὶ τὴν πραγματειώδη ἀρχὴν ἔχειν.' ὥστε τῇ σὺν 40
ἀντιθέσει ἀντιστροφῇ· 'πᾶν ὃ μὴ ἔχει τὴν πραγματειώδη ἀρχὴν ἐξ ἀνάγκης
25 οὐδὲ τὴν χρονικὴν ἕξει.' ἐὰν οὖν δείξωμεν, ὅτι οὐ δύναται ἔχειν τὸ ἄπει-
ρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει δηλονότι· δέδεικται
δὲ ὅτι οὐδὲ τὴν κατὰ μέγεθος ἔχειν δυνατόν· οὐδαμῶς ἄρα ἀρχὴν ἕξει
τὸ ἄπειρον. ἀνάγκη δὲ ἢν αὐτὸ ἢ ἀρχὴν ἢ ἐξ ἀρχῆς εἶναι· μόνως ἄρα
ἀρχὴ τὸ ἄπειρον. εἶπον δὲ τὸ κατ' οὐσίαν, διότι τὰ μὴ ὡς οὐσία γινό-
30 μενα, ἀλλὰ ἀλλοιούμενα, οὐ πάντως ἔχει τὴν πραγματικὴν ἀρχήν, εἴ γε 45
ἔστι καὶ ἀθρόα μεταβολή, τὰ μέντοι κατ' οὐσίαν γινόμενα, εἰ χρονικὴν
ἕξει τὴν ἀρχήν, πάντως καὶ τὴν πραγματειώδη ἔχει· οὐδεμία γὰρ οὐσία
ἀθρόαν ἔχει τὴν γένεσιν, ἀλλὰ ἄλλο πάντως πρὸ ἄλλου γίνεται ἐν ταῖς
κατ' οὐσίαν γενέσεσι. πρότερον γὰρ γίνεται τὸ σπέρμα, ὅπερ τοῦ ὅλου

---

2 οὖν om. L ἀρχὴν αὐτὸ L: ἀρχῇ αὐτῷ K: αὐτὸ ἀρχὴν Mt 4 ante πλοίου delevit πολέμου ἥδε ἡ ἡμέρα L πρύμνη L τροπὶς Lt 7 τὸ ποιητικὸν L: ποιητικαὶ KMt τὸ (ante τελικὸν) om. L 8 δύνασθαι scripsi: δύναται libri 9 ἀρχῆς] ἀρχῇ K 11 οὐκ M 13 δέ που] δὲ καὶ ἐκ τούτου L 16 φύσει] φησὶν L δὲ om. superscr. L 18 πέρατος] πέρατα K 21 μὴ δὲ LK: οὐδὲ Mt πραγματιώδη constanter K οὖν] δὲ L 21. 22 προλάβωμεν L 22 ἐστὶ] ὂν L γεννητὸν Mt 27 κατὰ τὸ μέγεθος L 28 ἦν] οὖν, ut videtur, L ἢ ἀρχὴν] ἡ ἀρχὴ K μόνως compend. M: μόνον t 30. 31 ἀλλὰ — γινόμενα om. K 30 πάντα L 32 τὴν prius om. L οὐ μία L 33 πρὸ] παρ' L 34 γένεσιν K γὰρ om. L

www.libtool.com.cn

ζῴου ὕλη ἐστίν, εἶτα ἐκ τούτου σὰρξ καὶ ἐφεξῆς ἄλλο πρὸ ἄλλου· καὶ k 8r
δεῖ γε κατεργασθῆναι τὴν ὕλην πρότερον καὶ εὐεργὸν καὶ ἐπιτηδείαν γενέσθαι. ὥστε καλῶς εἴρηται τὰ κατ' οὐσίαν γινόμενα, εἰ κατὰ χρόνον γί- 50
νοιντο, πάντως ἔχειν καὶ τὴν πραγματειώδη ἀρχήν, οὔτε δὲ εἰ τὴν πραγ-
5 ματειώδη ἔχει, ἕπεται τὸ καὶ τὴν κατὰ χρόνον ἔχειν, ὡς δηλοῖ τὰ οὐράνια, εἴ γέ ἐστιν ἀίδια· οὕτως εἰ μὴ ἔχοι τὴν κατὰ χρόνον, τὸ μηδὲ τὴν πραγματειώδη ἔχειν ἀκολουθεῖ. πόθεν οὖν ὅτι οὐκ ἔχει τὴν πραγματειώδη ἀρχὴν τὸ ἄπειρον; τούτου γὰρ δεδειγμένου ἔχομεν ὅτι οὐδὲ τὴν χρονικὴν ἔχει· τεσσάρων γὰρ οὐσῶν ἀρχῶν, ἐὰν δείξω ὅτι ἀδύνατον τὴν ὑλικὴν
10 καὶ τὴν εἰδικὴν ἀρχὴν ἔχειν τὸ ἄπειρον, | ἔχομεν συναποδεδειγμένον ὅτι k 8v
οὐδὲ τὴν τελικὴν οὐδὲ τὴν ποιητικήν. ὅτι μὲν οὖν οὐκ ἔχει τὴν ὑλικὴν ἀρχὴν τὸ ἄπειρον, δείξωμεν οὕτως. εἰ ἕξει ὕλην τὸ ἄπειρον, ἢ πεπερασμένη ἐξ ἀνάγκης ἔσται ἢ ἄπειρος· εἰ μὲν οὖν πεπερασμένη, καὶ τὰ ἐξ αὐτῆς συγκείμενα πεπερασμένα ἔσται (οὐδὲν γὰρ πεπερασμένην ἔχον ὕλην
15 ἄπειρόν ἐστιν), εἰ δὲ ἄπειρος ἡ ὕλη, ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον καὶ ἐξ αὐτοῦ τὰ ἄλλα, οὐκ αὐτὸ ἐκ τῶν ἄλλων. κἂν ἔχοι δέ τι τὸ ἄπειρον, οὐ 5
δι' αὑτὸ ἕξει, ἀλλὰ τῷ τὴν ἀρχὴν αὐτοῦ ἐξ ἧς συνέστηκεν ἄπειρον εἶναι. οὐκ ἄρα δυνατὸν ὑλικὴν ἔχειν ἀρχὴν τὸ ἄπειρον· εἴτε γὰρ ἄπειρος εἴη, τὸ ζητούμενον ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον, εἴτε πεπερασμένη, καὶ τὸ ἐξ
20 αὐτῆς πεπερασμένον ἔσται. ἀλλ' οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται· πρῶτον γὰρ ἀεὶ τὸ εἶδος περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων ἀόριστον δὲ τὸ ἄπειρον, ἔπειτα τὸ εἶδος ἢ ἄπειρον ἔσται ἢ πεπερασμένον, καὶ πάλιν τὰ αὐτὰ ἕψεται. οὐκ ἄρα οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται τὸ 10
ἄπειρον. εἰ δὲ ταύτας οὐχ ἕξει, οὐδὲ τὴν ποιητικὴν καὶ τελικήν· τὸ γὰρ
25 ποιητικὸν εἴ τι ποιεῖ, εἰς ὕλην καὶ εἶδός τι ποιεῖ· εἰ τοίνυν οὐκ ἔχει εἶδος οὐδὲ ὕλην, οὐδὲ ποιητικὸν ἕξει αἴτιον (νῦν δὲ δῆλον ὅτι ἐπὶ φυσικῶν τὸν λόγον σκοποῦμεν, ἃ πάντως ἐξ ὕλης ἐστί), δι' αὐτὸ δὲ τοῦτο οὐδὲ τελικὸν ἕξει, διότι τὸ εἶδος πρὸς τὸ τέλος ἐστὶ καὶ ταὐτὸν τῷ εἴδει τὸ τέλος κατὰ τὸ ὑποκείμενον, ὡς εἴρηται ἔμπροσθεν. ὥστε εἰ ἀδύνατον
30 ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει· ὅλως 15
ἄρα ἀρχὴν οὐχ ἕξει. λείπεται οὖν αὐτὸ ἀρχὴν εἶναι.

---

2 ἔνεργον K: ἐνεργ'' M 3. 4 κατὰ χρόνος γίνοιτο K 4 ἔχειν scripsi: ἔχει libri οὔτε] οὕτως L δὲ εἰς τὴν (hoc ex τὸν) K 5 ἔχοι (recte hoc), ἕπεται καὶ τὸ τὴν κατὰ τὸν χρόνον, ὡς δῆλα L 6 τὸ] τῶ L 7. 8 οὖν ὅτι — ὅτι οὐδὲ om. L 8 δεδειγμένον, ut videtur, K 9 ἕξει L ἐὰν LK: ⁂ (charta perforata) M: ἢ t 10 ἰδικὴν K 11 τελικὴν] τε ὑλικὴν superscr. M² μὲν om. et mox ἔχειν L qui post ἀρχὴν inserit ἀνάγκη 12 δείξωμεν LK: δείξομεν Mt 13 ἔσται ἐξ ἀνάγκης L 13. 14 τὰ (τὸ L) ἐξ αὐτῆς LK: τὰ ἐξῆς Mt 14 συγκείμενον L πεπερασμένον utroque loco L 15 ἀρχὴν K ἀρχὴ τὸ om. L 16 τἄλλα L κἂν εἰ L ἔχει K 17 αὐτὸ libri τῷ] τὸ L 18 ἀρχὴν ἔχειν L ἄπειρος t: ἄπειρον LKM 21 ἀεὶ om. L 23 πάλιν] πάντα L ἰδικὴν K 24 ταύτας Mt: ταῦται K: ταῦτα ὅτι L οὐκ ἕξει K 25 εἴ τι] εἴτε M: εἰς τί L 26 ὕλην οὐδὲ εἶδος traic. L 27 σκοποῦμεν (L)t: σκοποῖμεν KM 28 εἶδος] τέλος L 29 ἔμπροσθεν B 7 p. 198 a 24 sqq. 31 οὐχ ἕξει — εἶναι om. K

www.libtool.com.cn

Τὰ μὲν οὖν δεικνύντα ὅτι ἀρχὴ τὸ ἄπειρον καὶ ὅτι οὐ δυνατὸν ἀρχὴν k 8v
αὐτὸ ἔχειν, ταῦτα. ἔχει δὲ ἀπορίαν ὁ λόγος· πρῶτον μὲν πῶς ἔφη τὴν
ὕλην τοῦ ἀπείρου ἐξ ἀνάγκης ἢ πεπερασμένην εἶναι ἢ ἄπειρον; εἰ γὰρ
δεῖ τὴν ὕλην παντελῶς ἀνείδεον εἶναι ἀμεγέθη τε καὶ ἄποσον, οὔτε πεπε-
5 ρασμένη δηλονότι ἔσται οὔτε ἄπειρος, ἀλλ' ἐκφεύξεται τὴν διαίρεσιν, ὥσπερ
οὐδὲ τὸ σημεῖον ἀνάγκη ἢ πεπερασμένον εἶναι ἢ ἄπειρον· οὐ γὰρ κατὰ
ἀντίφασιν ἡ διαίρεσις. πῶς δὲ εἰ ὅλως καὶ πεπερασμένη ἡ ὕλη, καὶ τὸ 20
ἐξ αὐτῆς πεπερασμένον ἔσται; οὐδὲ γὰρ ἐπειδὴ καὶ ἡ ὕλη ἀσώματος καὶ
ἀμεγέθης καὶ τὰ εἴδη καθ' αὑτὰ ἀσώματα καὶ ἀμεγέθη, ἤδη καὶ τὸ ἐξ
10 αὐτῶν συγκείμενον ἀσώματον ἔσται καὶ ἀμέγεθες. καὶ ὥσπερ εἰ γένοιτο
τοῦτο τὸ αἰσθητὸν σῶμα, ἐξ οὗ σώματος γενήσεται, ἐπειδὴ καὶ πᾶν τὸ
γινόμενον ἐκ τῆς στερήσεως ἑαυτοῦ γίνεται (ἐξ οὗ τοιοῦδε γάρ), οὕτω δὲ
δηλονότι καὶ εἰ τὸ ἄπειρον γενητόν ἐστι, εἴτε κατὰ χρόνον εἴτε κατ' αἰ-
τίαν, ἐξ οὗ τοιοῦδε γενήσεται· ὥστε ἐξ οὐκ ἀπείρου γενήσεται. γίνεται 25
15 δὲ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, ἐπειδὴ καὶ πάντα τὰ ἄλλα· οὐκ ἄρα
ἀνάγκη ταῦτα ἄπειρα εἶναι. ἀλλ' οὐδὲ πεπερασμένα διὰ τὴν εἰρημένην
αἰτίαν.

Ἐπιλύουσι δὲ τὴν ἀπορίαν τούτῳ τῷ τρόπῳ. οὐδέν, φασίν, ἐστὶν ἐν
τοῖς συνθέτοις ὃ μὴ ὑπάρχει τοῖς ἁπλοῖς· εἰ γὰρ καὶ ἡ ὕλη μέγεθος οὐκ
20 ἔστιν, ἀλλ' οὖν τὸ εἶδος τοῦ σώματος, ὃ ἀχρόνως ἐπιγίνεται τῇ ὕλῃ,
τοιοῦτόν ἐστιν ἐξ οὗ τῷ συνθέτῳ ὑπάρχει τὸ μεγέθει εἶναι, καὶ οὐ τοῦτό
φημι ὅτι μέγεθός ἐστιν αἰσθητὸν τὸ εἶδος τοῦ σώματος, ἀλλ' ὅτι τῷ οἰκείῳ 30
λόγῳ χωριστὸν ὕλης ἐστὶ μέγεθος, ὅσπερ λόγος ἐγγενόμενος τῇ ὕλῃ τὸ
αἰσθητὸν ποιεῖ μέγεθος. οὕτως καὶ εἴ ἔστι τι ἄπειρον ἐξ ὕλης καὶ εἴδους,
25 δεῖ τὸ ἄπειρον τοῦτο ἐν ταῖς ἀρχαῖς εἶναι· μὴ γὰρ ἐχουσῶν τῶν ἀρχῶν
τοῦτο, οὐδ' ἂν τὸ ἐξ αὐτῶν ἔχοι· ὥστε εἰ καὶ μὴ ἐν τῇ ὕλῃ δυνατὸν ὑπο-
θέσθαι τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, ἀλλ' οὖν ἐν τῷ εἴδει γε ἀνάγκη.

Πρὸς τοῦτο δὲ πάλιν ἐρεῖ τις ὅτι εἰ πάντα τὰ ἐν τῷ συνθέτῳ
ἀνάγκη καὶ ἐν τοῖς ἁπλοῖς εἶναι, ἔστι δὲ τὸ σῶμα ἐπ' ἄπειρον διαιρετόν,
30 ἕξει καὶ ἤτοι ἡ ὕλη ἢ τὸ εἶδος τὸ εἰς ἄπειρον διαιρετόν· ἀλλ' οὔτε τὸ 35
εἶδος διαιρετόν ἐστι (λέγομεν γοῦν ἀμερὲς εἶναι τὸ εἶδος τῷ οἰκείῳ λόγῳ,
μερίζεσθαι δὲ καὶ διίστασθαι ἐν τῇ ὕλῃ γενόμενον), ἀλλὰ καὶ αὐτὴν πάλιν
τὴν ὕλην φαμὲν ἀμεγέθη εἶναι καὶ ἀδιάστατον· οὐκ ἄρα ἐν τοῖς ἁπλοῖς
τὸ διαιρετόν, εἰ μὴ ἄρα δυνάμει. ἀλλὰ τοῦτο οὐδὲν πρὸς τὸν λόγον· περὶ
35 γὰρ τοῦ κατ' ἐνέργειαν ἀπείρου νῦν ἡμῖν ὁ λόγος. πάλιν ἐστὶ τὸ λευκόν,

---

1. 2 Τὰ μὲν—ἔχειν om. K 2 πῶς om. L 5 οὔτε] τοῦ K qui scriptum ou invenerit cf. ad p. 364,19. 402,2. 4 al. 7 πεπερασμένη] τὸ πεπερασμ/ K καὶ alterum om. L 10 ἀσώματόν ἐστι L 12 τῆς τερήσεως K 13 εἰ om. L γεννητόν LM 15 τἄλλα L 16 ταῦτα ἀνάγκη L 18 τοιούτω τρόπω L φησιν L et compend. K ἐστὶν K: εἶναι L: om. Mt 20. 22 ὃ ἀχρόνως—σώματος om. L 23 ὥσπερ superscr. M²: ὥσπερ L 24 οὕτω t ἔστιν ἄπειρον τί L 27 ἀνάγκη ἀνάγκη L 30 ἕξει—εἰς ἄπειρον διαιρετόν om. L 31 οὖν L 35 γὰρ om. K τὸ μὲν λευκόν L

www.libtool.com.cn

ἐν σώματι φημι, διακριτικὸν ὄψεως, καὶ ὅμως αὐτὸ καθ' αὐτὸ τὸ εἶδος k 8v
τοῦ λευκοῦ οὔτε τὸ στοιχειῶδες, μήπω δὲ συμπλακὲν τῇ ὕλῃ, οὔτε τὸ ἐν
τῷ δημιουργῷ τοιοῦτόν ἐστι. πάλιν ἐστὶν ὁ ἄνθρωπος ζῷον λογικὸν
θνητόν, ἀλλ' ὅμως οὔτε ἡ ἰδέα αὕτη τοῦ ἀνθρώπου θνητή ἐστιν, οὔτε
5 δὲ ἡ ὕλη. ὅλως δὲ τὰ ἐν τῷ δημιουργῷ εἴδη οὐ τοιαῦτά φαμεν, οἷον τὸ
τοῦ σώματος εἶδος οὐ τριχῇ διαστατόν, οὐδὲ τὸ τοῦ ποσοῦ εἶδος συνεχὲς
ἢ διωρισμένον, ἢ ζῷον λογικὸν θνητὸν τὸ τοῦ ἀνθρώπου, ἀλλὰ λόγους
τούτων καὶ αἰτίας.

Πρὸς ταῦτά φασιν ὅτι πάντων μέν ἐστί τις ὁμοιότης κατ' οὐσίαν ἔν
10 τε τοῖς εἴδεσι τοῖς ἐν τῷ δημιουργῷ καὶ ἐν τοῖς ἐξ αὐτῶν προϊοῦσι μέχρι
τῆς ὕλης (οὐδὲ γὰρ ἁπλῶς ὁμωνύμως ἄνθρωπος τοῦτο κἀκεῖνο, ἀλλ' ὡς
ἀφ' ἑνὸς καὶ πρὸς ἕν), ἐν οἷς ἔστι καὶ οὐσιώδης τις κοινωνία πρὸς τὰ
ἀφ' ὧν ἐστι καὶ διαφορά, ὥσπερ ἀπὸ τῆς ὑγιείας τὸ ὑγιεινὸν σιτίον. εἰ
γὰρ πρὸς ἐκεῖνο ἀφορῶν ὁ δημιουργὸς ποιεῖ τὰ ἐνταῦθα, δεῖ δέ που πολλὴν
15 τὴν κατ' οὐσίαν κοινωνίαν εἶναι (οὐ γὰρ δὴ ὡς ζωγράφος ἀφορῶν εἰς τὸν
ἄνθρωπον, ἄνθρωπον μὲν τῷ ὄντι οὐ ποιεῖ, ἀπομιμεῖται δὲ τὰ κατὰ συμ-
βεβηκὸς τῷ σώματι ὑπάρχοντα, οἷον χρώματα καὶ σχήματα, οὕτω καὶ ὁ
δημιουργὸς μιμήματα μόνον ἁπλῶς καὶ μηδεμίαν κοινωνίαν ἔχοντα πρὸς
τὰ ἐκεῖ εἴδη ποιεῖ τὰ ἐνταῦθα, ἀλλ' οὐσιωδῶς ἐκεῖνα ἐν τούτοις ἀπομάτ-
20 τονται, ὥσπερ καὶ ἡ σφενδόνη ἐν τῷ κηρῷ τὸν ἐν αὐτῇ χαρακτῆρα),
οὔσης οὖν ἐν αὐτοῖς τῆς κατ' οὐσίαν ὁμοιότητος, εἴ τι μὲν τοῖς συνθέτοις
ὑπάρχει συμπληρωτικὸν τῆς οὐσίας καὶ οἱονεὶ στοιχεῖον καὶ πλήρωμα τοῦ
ὅλου συγκρίματος, πάντως ἐκ τῶν ἁπλῶν ὑπάρχει, τῶν δὲ εἰδῶν προϊόντων
ἐκεῖθεν μέχρι τῆς ὕλης, ἐπειδὴ ἀνάγκη πάντως ὕφεσίν τινα τοῦ | παρά- 11r
25 γοντος καὶ τοῦ παραγομένου εἶναι, ἐπισυμβαίνει τινὰ τοῖς προϊοῦσιν ἅπερ
μὴ ὑπάρχει τῷ παράγοντι. οἷόν τι λέγω· τὸ φῶς τὸ ἐν τῷ ἀέρι πρό-
εισιν ἐκ τοῦ ἡλίου, καὶ δῆλον ὅτι ἐστί τις πολλὴ ⟨ἡ⟩ ὁμοιότης καὶ ἡ κατ'
οὐσίαν κοινωνία τούτου πρὸς τὸ ἐν τῷ ἡλίῳ (οὐ γὰρ δὴ ὁμώνυμά ἐστι
μόνα τὰ φῶτα ταῦτα), ἀλλὰ ἐν τῇ προόδῳ ἐπισυμβαίνει τινὰ πάθη τῷ
30 προϊόντι φωτί, ἅπερ οὐκ ἔστιν ἐν τῷ ἡλίῳ, οἷον τὸ συσχηματίζεσθαι τοῖς 5
τόποις οὓς φωτίζει, τὸ ἔχειν ἀντιτεταγμένον τὸν σκότον, καὶ ἄλλα μυρία.
ὥσπερ οὖν ἐνταῦθα τῷ ἀπὸ τοῦ ἡλίου φωτὶ προϊόντι ἐπισυμβαίνει μὲν ἐξ
ἀνάγκης τινά, οὐ μέντοι διὰ τοῦτο τὰ συμπληρωτικὰ τῆς οὐσίας αὐτοῦ οὐκ

---

1 ἐν] τὸ ἐν L 2 οὔτε τὸ (post λευκοῦ) Lt: οὔτε M: ου τ K οὔτε τῶ ἐν L: τοῦτο ἐν K
4 ὅμως τοῦ ἡ εἰδέα K αὕτη LM: αὐτὴ Kt 5 δὲ prius om. L 6 τὸ om. K
7 οὐδὲ ζῶον λογικὸν (om. θνητὸν) L ἀλλ' ἀλόγους K 9 ὅτι πάντως ἐστι μὲν τίς L
11 ἄνθρωπος om. superscr. M 12 τὰ] τὸ L 13 ὑγείας (om. τῆς) L ὑγιαίνον
(sic) K 14 ἐκεῖνα L 15 ὡς ὁ L 16 τῶ ὄντι οὐ K: τϊ οὐ (οὐ ex corr.) L: τῷ
ὄντι (om. οὐ) Mt 17 τοῦ σώματος L καὶ prius om. L 19. 20 ἀπομάτονται K:
ἀπομάττεται emendat t 20 χαρακτήρα t 21 τοῖς om. L 24. 25 πραγον ε τ K
26 παράγοντι L: προάγαγόντι K: προαγαγόντι Mt 27 ὅτι ἐστί om. L πολλὴ (ἡ ex
corr.) L ἡ addidi 28 ἐστι Mt: εἶναι K: om. L 29 μόνον emendat t
30 σχηματίζεσθαι L 33 αὐτοῦ t: αὐτοῦ LKM οὐκ om. t

www.libtool.com.cn

ἐκεῖθεν ἐκ τοῦ ἡλίου ἔχει, οὕτω φημὶ καὶ ἐπὶ τῶν εἰδῶν τῶν ἐν τῇ ὕλῃ· 11r
εἴ τι μὲν συμπληρωτικὸν ἔχει τῆς οὐσίας τὰ σύνθετα, ἐκ τῶν ἁπλῶν ἔχει,
ἐπισυμβαίνειν δὲ τῇ προόδῳ αὐτῶν τῇ ἐν τῇ ὕλῃ τινὰ ἃ μὴ ἐν τοῖς πρω-
τοτύποις ὑπάρχει, οἷον τὸ διαιρετὸν τὸ φθαρτὸν καὶ ὅσα τοιαῦτα, οὐδὲν 10
5 ἀδύνατον. εἰ τοίνυν τὸ ἄπειρον, ᾗ ἄπειρόν ἐστι, γίνεται ἐξ ἀρχῶν τινων,
οἷον τῆς ὑλικῆς τε καὶ εἰδικῆς, ἀνάγκη πᾶσα τὰ κατ' οὐσίαν αὐτῷ ὑπάρ-
χοντα ἔν τινι τῶν ἁπλῶν εἶναι, ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῷ εἴδει. ὥστε κἂν
ἐκ τῆς ὕλης μὴ ἔχῃ τὸ ἄπειρον αὐτὸ τοῦτο τὸ ἄπειρον εἶναι, ἀνάγκη πᾶσα
ἐκ τοῦ εἴδους αὐτὸ ἔχειν· οὐ γάρ ἐστιν αὐτοῦ ἁπλῶς πάθος τι, ἀλλ' ἐν
10 τούτῳ τὸ εἶναι ἔχει. ὅταν δὲ λέγωμεν ὅτι τὸ γινόμενον ἐξ οὐ τοιοῦδε γί-
νεται καὶ ὅτι πᾶν ἐκ τῆς στερήσεως αὐτοῦ γίνεται, ἐπειδὴ τὸ γινόμενον ἡ
ὕλη ἐστίν, ὃ δὲ γίνεται τὸ εἶδος, διὰ τοῦτο οὕτως φαμέν· ἐπεί τοί γε εἰ 15
πρὸς τὸ εἶδος τὸ χωριστὸν ἀποβλέψομεν καὶ τὴν τούτου πρόοδον καὶ
ἔλλαμψιν τὴν ἐν τῇ ὕλῃ γινομένην, ἀνάγκη πᾶσα τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου
15 γίνεσθαι. ἀλλ' ἐπεί, ὡς εἶπον, τὸ γινόμενον ἀλλοιοῦται (ἀλλοίωσις γάρ τις
καὶ μεταβολὴ ἡ γένησις), ἀλλοιοῦται δὲ οὐ τὸ εἶδος ἀλλ' ἡ ὕλη ἐπιτηδεία
γινομένη εἰς τὴν τοῦ εἴδους ὑποδοχήν, ἡ δὲ ὕλη ἀεὶ ἐν στερήσει, διὰ
τοῦτο ἀληθὲς τὸ πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε τοιόνδε γίνεσθαι. ἀλλὰ
πάλιν τῷ λόγῳ τὰ παραδείγματα μάχεται· ὅτι μὲν γὰρ ἐκ τῶν τεσσάρων 20
20 στοιχείων τὰ σύνθετα πάντα κιρναμένων ἀλλήλοις, κοινὸν ὁμολόγημα, τὰς
μέντοι φυσικὰς ἰδιότητας τὰς ἐν τοῖς συνθέτοις ἐνυπαρχούσας ἀδύνατον
λόγῳ ταῖς δυνάμεσι τῶν ἁπλῶν ἀποδοῦναι. οἷον κατὰ ποίαν δύναμιν τῶν
ἁπλῶν ἢ ὁ μαγνήτης λίθος ἕλκει τὸν σίδηρον, ἢ ὁ τούτῳ ἀντιπαθὴς λε-
γόμενος ἐκφυσᾷ καὶ ἀπωθεῖ; καὶ πολλάκις ἀμφότερα ἐν μιᾷ καὶ τῇ αὐτῇ
25 βώλῳ καθ' ἕτερον καὶ ἕτερον μόριον. καὶ τῶν βοτανῶν καὶ λίθων αἱ
ἄπειροι δυνάμεις, ἔτι τε καὶ τῶν μορίων τῶν ζῴων, καὶ ἐπὶ πάντων κα- 25
θόλου τῶν ἀντιπαθείᾳ τινὶ τῇ ἁφῇ μόνον δρώντων. ἀλλὰ πάλιν πρὸς τοῦτο
τις τῶν ἐκ φιλοσοφίας ἐρεῖ μή, ὡς τοῖς ἰατροῖς δοκεῖ, τὰς δυνάμεις πάσας
τοῖς συνθέτοις ἐκ τῶν ἁπλῶν εἶναι, ἀλλ' ὕλης λόγον ἐπέχειν τὴν τῶν
30 ἁπλῶν κρᾶσιν, ταύτῃ δὲ τῇ ὕλῃ τοίως ἢ τοίως κραθείσῃ ἐπιγίνεται ἐκ
τῆς ὕλης δημιουργίας τὰ εἴδη.

Ταῦτα μὲν οὖν πέρα τοῦ μέτρου τῶν προκειμένων ἐξέβημεν, διόπερ
ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῶν προκειμένων. δείξας ὁ Ἀριστοτέλης

---

1 ἐπὶ om. L 3 ἐπισυμβαίνει L 6 εἰδικῆς τε καὶ ὑλικῆς Mt ἰδικῆς K αὐτῶ L: αὐτῇ KMt 7 ἢ ἐν τῇ ὕλῃ om. K ἢ prius erasum L 8 ἔχῃ Mt: ἔχον K: ἔχοι L 10 λέγομεν K ἐξ ὁτουοῦδε M 11 καὶ ὃ πᾶν K αὐτοῦ scripsi: ἑαυτοῦ K: αὐτοῦ LMt 12 δὲ om. superscr. L οὕτω t 13 τὸ εἶδος iterat K ἀποβλέψωμεν (L)t 15 ἐπειδὴ L 18 τὸ prius om. L ἐξόὐτουοῦδε M 19 τὰ om. Mt 20 κινναμένων K τὰς corr. ex τ* L 22 λόγον L 23 ἢ ὁ μαγνήτης scripsi: ἢ ὁ μαγνίτης KM: ἡ μάγνης L ἢ ὅτι τούτων L 24 αὐτῇ om. K 26 post ἔτι littera erasa K 26. 28 μορίων — τις τῶν iterat K 30 ἁπλουστέρων L ταύτην K τοιῶς ἢ τοιῶς libri fort. ἐπιγίνεσθαι 32 τῶν προκειμένων ἐξέβημεν LK: τῶν ἐξέβημεν (sic) M: παρεξέβημεν t 33 δεῖξαι K

www.libtool.com.cn

p. 203a19 Ὅσοι δὲ ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ Ἀναξαγόρας. k 7v

Οἱ ἀριθμῷ, φησίν, ἄπειρα ποιοῦντες τὰ στοιχεῖα (οὗτοι δὲ ἦσαν Ἀναξαγόρας τε καὶ οἱ περὶ τὸν Δημόκριτον, ὁ μὲν ἀπείρους εἶναι λέγων τὰς ὁμοιομερείας οἱ δὲ τὰς ἀτόμους) διαφέρουσι τῶν ἓν μὲν ὑποτιθεμένων τὸ στοιχεῖον ἄπειρον δὲ τῷ μεγέθει (οὗτοι δὲ ἦσαν οἱ εἴτε τὸ ὕδωρ ἢ τὸν ἀέρα ἢ τὸ μεταξὺ ὑποτιθέμενοι), τῷ τοὺς μὲν συνεχὲς ποιεῖν τὸ ἄπειρον, ἐπεὶ καὶ ἕν τι σῶμα, τοὺς δὲ τῇ ἁφῇ τὸ ἄπειρον ποιεῖν· ἀπείρων γὰρ οὐσῶν τῶν ὁμοιομερειῶν κατὰ ἀριθμὸν συμβαίνει ἁπτομένων αὐτῶν ἕν τι κατὰ τὴν ἔκτασιν καὶ ἄπειρον γενέσθαι σῶμα. πανσπερμίαν δὲ τῶν σχημάτων φησίν, ὅτι τὰς ἀτόμους οἱ περὶ Δημόκριτον οὐ μόνον κατὰ τὸν ἀριθμὸν εἶναι ἔλεγον, ἀλλὰ καὶ τοῖς σχήμασιν ἀπείρους.

p. 203a23 Καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον.

Δημόκριτος καὶ Ἀναξαγόρας διαφέροντες τῶν ἄλλων φυσικῶν τῷ ἐκείνους μὲν συνεχὲς εἶναι λέγειν τὸ ἄπειρον, τούτους δ' ἐξ ἁπτομένων ἀπείρων κατὰ ἀριθμὸν συγκεῖσθαι, ὡς συμβαίνειν αὐτοῖς ἄρχεσθαι μὲν ἐκ τοῦ κατ' ἀριθμὸν ἀπείρου, τελευτᾶν δὲ εἰς τὸ κατὰ μέγεθος ἄπειρον, κοινωνοῦντες οὖν κατὰ τοῦτο, διαφέρουσι τῷ τὸν μὲν Ἀναξαγόραν ἐξ ἀλλήλων γεννᾶν τῇ ἐκκρίσει τὰς ὁμοιομερείας, Δημόκριτον δὲ μὴ ἐξ ἀλλήλων γεννᾶν τὰς ἀτόμους. καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁραν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ὁ δὲ Ἀναξαγόρας, φησίν, ὥσπερ ἐν τῷ ὅλῳ κατὰ ἀρχὰς πάντα μεμῖχθαι ἔλεγε, καὶ εἶναι οἷον μίαν ὁμοιομέρειαν μεγάλην ἔχουσαν πάντα ἐν ἑαυτῇ, οὕτω καὶ ἐν ἑκάστῳ τῶν κατὰ μέρος πάντα ἐνυπάρχειν ἔλεγεν. εἰς ταύτην δέ, φησί, τὴν δόξαν ἠνέχθη διὰ τὸ ὁρᾶν πάντα ἐκ πάντων γινόμενα, γίνεσθαι δὲ μηδὲν ἐκ τοῦ μὴ ὄντος, μήτε ἐξ ὄντος μὲν ἑτεροειδοῦς δέ, ἀλλὰ τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· ὥστε ἐνυπῆρχεν ἐν τῇδε τῇ σαρκὶ πάντα κατ' ἐνέργειαν, καὶ ἐκκρίνεται ἐξ αὐτῆς ὅπερ ἂν τύχῃ πρότερον ἐπιτηδείως ἔχον πρὸς τὴν ἔκκρισιν. ἔνθεν γάρ, φησίν, ἔοικε καὶ ὁμοῦ πάντα ἐν πᾶσιν εἶναί ποτε ἀποφήνασθαι. εἰ

1 δ' ἄπειρα Lt 4 τὸν om. L 6 οἱ εἴτε M: οἱ ἤτε K: οἵ τε L: οἱ ἤτοι t τὸν] τῶν errore typogr. t 8 ἕν τις K 9 ὄντων τῶν ὁμοιομερῶν L ὁμοιομεριῶν t 10 γενέσθαι καὶ ἄπειρον L πανσπερμία L 11 τὸν om. L 13 οἱ LM: ὁ ex Aristotele (K)t at cf. v. 21 τῶν μορίων Aristotelis libri praeter l et corr. E ὁμοίως μίγμα ex Aristotelis vulgata t 14 γιγνόμενον t 16 λέγειν εἶναι L 17 ἄρχεσθαι κτλ.] cf. Themist. p. 222,21 21 μόριον oblitteratum M: om. t 22 γινόμενος K δὲ recte om. M 23 κατὰ ἀρχὴν L 23. 24 ὁμοιομέρειαν τὸ πᾶν (om. μίαν) L 24 πάντα (in exitu versus) τὰ ἐν M 25 δέ LK: γάρ Mt 26 fort. μηδὲν ⟨μήτε⟩ ἐκ vel v. 27 μηδὲ 28 ἐνυπῆρχον L ἐκκρίνεσθαι LK 29 ἐπιδείως K 30 ὁμοῦ κτλ.] cf. p. 397,21. Anaxag. fr. 1 Mull. 30 ἀποφήνασθαι ποτὲ L

www.libtool.com.cn

ἔστι λαμβάνειν ἐκ τῆς ὑποτεινούσης ἴσην τῇ ἐλάττονι, καὶ οὕτως ἐπ' ἄπειρον 11r
ἐντὸς καταγράφειν τρίγωνα. ἐὰν δὲ ἐκ τῶν δύο ἀφέλῃς ἅμα, καὶ ἐπὶ
παντὸς τριγώνου ὑγιὴς ἔσται ὁ λόγος. τρίτη αἰτία τοῦ νομίσαι αὐτοὺς
εἶναι τὸ ἄπειρον τὸ δεῖν εἶναι τὴν ἀειγενεσίαν (εἰ μὴ γὰρ εἴη ἄπειρόν τι 50
5 ἐξ οὗ ἀφαιρεῖται τὰ γινόμενα, ἐπιλείψει ἡ γένεσις), διὰ τὸ μὴ ἐπιστῆσαι
ὅτι οὐδὲν εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν φθείρεται, ἀλλ' ἡ ἄλλου φθορὰ ἄλλου
ἐστὶ γένεσις καὶ εἰς ἄλληλα ἡ τῶν στοιχείων ἀνάλυσις. τετάρτη, φησί, τὸ
νομίζειν ὅτι πᾶν τὸ πεπερασμένον ἀεὶ πρός τι περαίνει, τουτέστιν ὅτι πᾶν
τὸ πεπερασμένον ὑπό τινος περατοῦται, ὥστε τὸ περαῖνον καὶ αὐτὸ πεπέ-
10 ρανται | ἢ ἄπειρόν ἐστιν. εἰ μὲν οὖν ἄπειρον, αὐτόθεν ἔστι τὸ ἄπειρον, 11v
εἰ δὲ πεπερασμένον, ὑπό τινος περανθήσεται, καὶ τοῦτο ἐπ' ἄπειρον· εἰ γὰρ
τὸ λαμβανόμενον ὑπό τινος ἄλλου περατοῦται, ἀνάγκη μηδὲν εἶναι πέρας
τῶν λαμβανομένων, εἰ ἀεὶ τὸ λαμβανόμενον πεπέρανται. ὥστε ἀνάγκη
ἑκατέρωθεν τὸ ἄπειρον εἰσάγεσθαι. πέμπτη, ὃ καὶ κυριώτατόν ἐστιν αἴτιον
15 ὅπερ καὶ μάλιστα τοῖς εἰρημένοις παρέχει τὴν πιθανότητα, τὸ τὴν νόησιν,
φησί, μὴ ἐπιλείπειν, τουτέστι μὴ προσίεσθαι πέρας καὶ τέλος, μηδὲ ὑπο- 5
λιμπάνειν τῷ ἀεὶ τοῦ ληφθέντος ἔξω τι ἄλλο φαντάζεσθαι. διὰ γὰρ τοῦτο
καὶ τὸν ἀριθμὸν ἄπειρον ὑπολαμβάνομεν καὶ τὴν τῶν σωμάτων τομὴν ἐπ'
ἄπειρον καὶ τὸ ἔξω τοῦ οὐρανοῦ· οὐ γὰρ ἔχει στάσιν ἡ φαντασία, ἀλλ'
20 ὅταν ὑπερβῇ τὸν οὐρανόν, ζητεῖ κενὸν ἔξωθεν ἄπειρον ἢ σῶμα, καὶ εἰ μὲν
σῶμα ἄπειρον ἐπινοήσεις, αὐτόθεν τὸ ἄπειρον εἶναι μέγεθος ὑπέθετο, εἰ δὲ
κενὸν ἄπειρον ἐπινοήσεις, εὐθὺς καὶ σῶμα ἄπειρον ἀνάγκη συνάγεσθαι.
ἔνθεν γὰρ καὶ ὁ Δημόκριτος ἀπείρους εἶναι κόσμους ὑπετίθετο, ὑποτιθέμενος 10
κενὸν εἶναι ἄπειρον· τίς γὰρ ἡ ἀποκλήρωσις τόδε μὲν τὸ τοῦ κενοῦ μέρος
25 ὑπὸ κόσμου πληρωθῆναι, ἄλλα δὲ μή; ὥστε εἰ ἔν τινι μέρει τοῦ κενοῦ
κόσμος ἐστί, καὶ ἐν παντὶ ἄρα τῷ κενῷ. ἀπείρου οὖν ὄντος τοῦ κενοῦ,
ἄπειροι ἔσονται καὶ οἱ κόσμοι. οὐ μόνον δὲ τὸ ἄλογον τῆς ἀποκληρώσεως
ἐλέγχει τὸ εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἐκ τοῦ λόγου· τὸ γὰρ κενὸν οὐδὲν
ἕτερόν φασιν ἢ τόπον ἐστερημένον σώματος, εἰ δὲ τοῦτο, πᾶς δὲ τόπος

---

2 ἐντὸς] τὸ L qui mox τρίγωνον ἐὰν δὲ κτλ.] figuram △ appingit K 3 ὑγῆς K
6 ἡ ἄλου φθορὰ 5 ἐξ οὗ κτλ.] cf. Themist. p. 223,26 7 τετάρτη] δ' libri 8 ἀεὶ]
εἰ K περαίνειν L ubi quae sequuntur τουτέστιν — ὑπό τ in erasis sunt 9 παιραίνον
primitus K 9. 10 πεπέρανται L: πεπέραιται K: πεπεράσθαι Mt 10 τὸ om. Mt

12 ἀνάγκηδὲν primitus M: ἀνάγκ$^{\eta}$////(?)δὲν corr. M²: ἀνάγκη οὐδὲν t 13 πεπέρασται libri
14 ε̄ LKM: πέμπτον t κυριώτατά K 16 ἐλλείπειν Mt 16. 20 μὴ προσίεσθαι —
ἢ σῶμα ad verbum fere ex Themist. p. 224,2 sqq. 17 λειφθέντος L ἄλλο Lt: ἄλλα
(sic) K: ἀλλὰ M 18 ἀριθμὸν ἐπ' ἄπειρον L 21 ἐπινοήσης K: ἐπινοήσειεν t
num ὑπέθου? 22 καὶ κενὸν L ἐπινοήσης K συνεισάγεσθαι L 23 γὰρ
om. Mt ὑπέθετο Mt ὑποθέμενος L 25 πληρωθῆναι scriptum in M ea litterae θ
forma quae et librarios et conlatores saepe fefellit (eodem modo βουληθῆ p. 410,16): πλη-
ρωσθῆναι t et, si silentio fides, L μέρει om. L 26 παντὶ L: $^{\pi\alpha\nu}$τὶ K: πᾶσιν Mt
τῷ κενῷ LK: τὸ κενόν Mt 27 τὸ ἄλογον] τῷ ἀλόγῳ emendat t cf. p. 408,12
28 τὸ (post εἶναι) om. L

www.libtool.com.cn

γενέσθαι, ἀνάγκη ἄρα πᾶν ἐν παντὶ εἶναι, ἵνα οὕτως τὸ πᾶν ἐκ παντὸς k 8r
ἐκκρίνηται. πρὶν δὲ ὁ νοῦς ἄρξηται διακρίνειν, οὐδὲν ἦν διακεκριμένον· οὐδὲν γὰρ ἄλλο τι διακρίσεως αἴτιον ἢ ὁ νοῦς· ἀνάγκη ἄρα ὁμοῦ πάντα εἶναι. εἰ γὰρ ὁ νοῦς μὲν τῆς διακρίσεως τῶν πραγμάτων αἴτιος, μὴ πᾶν δὲ ἐκ παντὸς ἐπεφύκει γίνεσθαι, οὐκ ἦν ποτε ὁμοῦ πάντα, εἴτε ἐπεφύκει μὲν πᾶν ἐκ παντὸς γίνεσθαι, μὴ ὁ νοῦς δὲ μόνος αἴτιος ἦν τῆς διακρίσεως, οὐδὲ οὕτως ἦν ἀνάγκη πάντα ἐν πᾶσιν εἶναι, δυνατὸν δὲ καὶ ἄλλως κατὰ μικρὰς ὁμοιομερείας διῃρῆσθαι τὸ πᾶν, ὥσπερ καὶ νῦν.

p. 203ª34 Ἀλλ' ὅμως γε αὐτῷ τὸ κοινὸν σῶμα ἓν πάντων ἐστὶν κατὰ τὰ μόρια καὶ σχήματι διαφέρον.

Ὁ Δημόκριτος, φησί, τὰ πρῶτα σώματα λέγω δὴ τὰς ἀτόμους ἀγενήτους φησίν (οὐδὲν γὰρ ἐκ τοῦ ἑτέρου γίνεται, οἷον ἡ σφαιρικὴ ἐκ τῆς πυραμοειδοῦς), μίαν μέντοι κοινὴν φύσιν σώματος ὑποτίθησι τοῖς σχήμασι πᾶσι, τούτου δὲ μόρια εἶναι τὰς ἀτόμους μεγέθει καὶ σχήματι διαφερούσας ἀλλήλων· οὐ μόνον γὰρ ἄλλο καὶ ἄλλο σχῆμα ἔχουσιν, ἀλλ' εἰσὶν αὐτῶν καὶ αἱ μὲν μείζους αἱ δὲ ἐλάττους.

p. 203ᵇ4 Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, ἔκ τε τοῦ τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα διαιρεῖσθαι εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, καὶ ἐκ τοῦ πάντας τοὺς παλαιοτέρους μὴ μόνον ὑποθέσθαι εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων, νῦν βούλεται δεῖξαι ὅτι εὐλόγως, ὑποθέμενοι εἶναι τὸ ἄπειρον, ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναι· εἰ γὰρ ὅλως ἔστιν, ἀδύνατον μὴ ἀρχὴν αὐτὸ εἶναι. ἀνάγκη γὰρ εἰ ἔστιν, ἢ μάτην εἶναι ἢ ἕνεκά του. μάτην μὲν οὖν οὐκ ἔστι· τὰ γὰρ μάτην σπάνια, τὸ δὲ ἄπειρον τῶν ἀεὶ ὡσαύτως ἐχόντων (καὶ γὰρ ἄφθαρτον καὶ ἀγένητον)· οὐκ ἄρα μάτην, ἀλλ' ἕνεκά του. ἀλλ' εἰ ἕνεκά του, ἢ

---

1 γίνεσθαι Mt ἐν παντὶ] ἐκ παντὸς L τὸ om. L 2 κρίνηται M δὲ τὸν νοῦν t ἄρξηται LK: ἄρξεται superscr. M²: ἄρξασθαι t 3 τι om. Mt 4 εἰ LM: εἴτε (K)t 7 ἐν πᾶσιν] ἐκ πάντων L δὲ KM: γὰρ (L)t 8 μικρὸν t 9 γε om. t αὐτῶ L: αὐτω (sic) K: αὐτὸ Mt cf. Diels *z. Textgesch.* p. 9 ἓν πάντων KM: πάντων L: ἀπάντων e vulgato Aristotele t at cf. Simplic. p. 462,12 ἐστὶν KM: ἐστὶν ἀρχή, μεγέθει ex Aristotele Lt: scripserim ἐστί, μεγέθει 10 τὰ om. M σχήματα L 11 τὰ πρῶτα om. L ἀγενήτους K: ἀγεννήτους M: ἀγεννή (sic) L: ἀγέννητά t 12 οὐδὲ γὰρ ἑτέρα ἐκ τῆς ἑτέρας sine iusta causa t 13 σώματος ὑποτίθησιν τοῖς σχήμασι K: σώματος τοῖς σχήμασιν ὑποτίθησι L: ὑποτίθησι σώματος τοῖς σχήμασι Mt 15 γὰρ ἄλλης ἄλλο σχῆμα (om. ἔχουσιν) L . ἄλλο σχῆμα] ἄλλως σχῆμα K 16 καὶ om. Lt 17 lemma om. K αὐτὸ mut. in αὐτῶ M 18 τε om. L 22 κατέθεντο L 26 ἀγέννητον Mt ἀλλ' ἕνεκά του om. t ἀλλ' εἰ ἕνεκά του Lt: om. KM

www.libtool.com.cn

ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιω- 12r
μένου. εἴτε γὰρ ἔστι τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι οὐ φυσικὸν σῶμα
ἄποιον ἤ τι τοιοῦτον, ἐν τῇ Περὶ οὐρανοῦ ζητήσει καὶ δείξει ὅτι ἀδύνατον 30
ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι, νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι
5 σῶμα ἐπ' ἄπειρον ἐκτετάσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ
δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν
καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τῇ Περὶ γενέσεως
καὶ φθορᾶς.

p. 204a2 Πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.

10 Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ⟨τοῦ⟩ ἀπείρου λόγος, καὶ ὅτι εἰκό- 36
τως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αὐτὸ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν
λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ
ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου, εἶθ'
οὕτως δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν·
15 ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι 40
καὶ λέγειν ποίῳ μὲν συγχωρεῖν, ποίῳ δὲ οὔ. λέγεται, φησί, τὸ ἄπειρον
πενταχῶς. καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως
ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν
πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον
20 λέγομεν τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δέ ἐστι
τὸ σημεῖον καὶ αἱ ποιότητες· ἄπειρα γὰρ ταῦτα, τὸ μὲν σημεῖον ὅτι πέρας
ὂν αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι (οὐ γὰρ δὴ τῷ μὴ
καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν), ὁμοίως 45
δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης τῷ μηδ' ὅλως πόρον ἔχειν.
25 δεύτερον δὲ ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ
ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ
τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν μηδὲ περατοῦσθαι τὸ μέ-
γεθος, περὶ οὗ καὶ πρόκειται ἐπισκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος
ἐν τοῖς οὖσιν ἢ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν
30 δὲ διὰ δυσχέρειαν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς, ἢ διὰ τὸ 50

---

2. 4 ἕτερόν τι—τοῦ οὐρανοῦ om. K 3 Περὶ οὐρανοῦ A 9 p. 278b20 sqq. 6 ἐν τῷ πρώτῳ βιβλίῳ c. 4 p. 187b13 sqq. 7 δὲ] δὴ K καὶ om. superscr. L τῇ LK: τοῖς Mt 7. 8 Περὶ γενέσεως καὶ φθορᾶς A 2 sq. 9 lemma om. K οὖν om. M (non om. codex huic simillimus Paris. 2057) 10 ἀναγκαίως K τοῦ addidi cf. ad p. 386,26 12 δὲ om. L 14 οὕτω t 15 γάρ ἐστι τὸ L ὁμονύμων Mt 16 συγχωρεῖν LKM et Paris. 2057 (cf. ad p. 51,14): συγχωρεῖ t λέγεται οὖν φησι et mox μὲν οὖν τρόπον L 17 ἄπειρον λέγεται K: τὸ ἄπειρον τρόπον λέγεται (sic) L: λέγεται ἄπειρον Mt μὴ δὲ KM: μὴ Lt 18 μὴ δὲ ὅλως K 19 ποσὸν αὐτὸ ὅλως L ἀόρατος K 22 τὸ παντελῶς ἀμεγεθὲς K μὴ LK: om. Mt 23 ἐπ' om. L 27 ἀπολέγειν K ὥσπερ φασὶ (comp. φᾱ) τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν (quae pertinent ad p. 410,6 sq.) in marg. L² 29 ἢ LK: εἴτε καὶ Mt τρίτον] γ̄ K: οὐ L 30 κατείληπται errore typogr. t

www.libtool.com.cn

ζῴου ὕλη ἐστίν, εἶτα ἐκ τούτου σὰρξ καὶ ἐφεξῆς ἄλλο πρὸ ἄλλου· καὶ k 8r
δεῖ γε κατεργασθῆναι τὴν ὕλην πρότερον καὶ εὐεργὸν καὶ ἐπιτηδείαν γενέσθαι. ὥστε καλῶς εἴρηται τὰ κατ' οὐσίαν γινόμενα, εἰ κατὰ χρόνον γί- 50
νοιντο, πάντως ἔχειν καὶ τὴν πραγματειώδη ἀρχήν, οὔτε δὲ εἰ τὴν πραγ-
5 ματειώδη ἔχει, ἕπεται τὸ καὶ τὴν κατὰ χρόνον ἔχειν, ὡς δηλοῖ τὰ οὐράνια, εἴ γέ ἐστιν ἀίδια· οὕτως εἰ μὴ ἔχοι τὴν κατὰ χρόνον, τὸ μηδὲ τὴν πραγματειώδη ἔχειν ἀκολουθεῖ. πόθεν οὖν ὅτι οὐκ ἔχει τὴν πραγματειώδη ἀρχὴν τὸ ἄπειρον; τούτου γὰρ δεδειγμένου ἔχομεν ὅτι οὐδὲ τὴν χρονικὴν ἔχει· τεσσάρων γὰρ οὐσῶν ἀρχῶν, ἐὰν δείξω ὅτι ἀδύνατον τὴν ὑλικὴν
10 καὶ τὴν εἰδικὴν ἀρχὴν ἔχειν τὸ ἄπειρον, | ἔχομεν συναποδεδειγμένον ὅτι k 8v
οὐδὲ τὴν τελικὴν οὐδὲ τὴν ποιητικήν. ὅτι μὲν οὖν οὐκ ἔχει τὴν ὑλικὴν ἀρχὴν τὸ ἄπειρον, δείξωμεν οὕτως. εἰ ἕξει ὕλην τὸ ἄπειρον, ἢ πεπερασμένη ἐξ ἀνάγκης ἔσται ἢ ἄπειρος· εἰ μὲν οὖν πεπερασμένη, καὶ τὰ ἐξ αὐτῆς συγκείμενα πεπερασμένα ἔσται (οὐδὲν γὰρ πεπερασμένην ἔχον ὕλην
15 ἄπειρόν ἐστιν), εἰ δὲ ἄπειρος ἡ ὕλη, ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον καὶ ἐξ αὐτοῦ τὰ ἄλλα, οὐκ αὐτὸ ἐκ τῶν ἄλλων. κἂν ἔχοι δέ τι τὸ ἄπειρον, οὐ 5
δι' αὑτὸ ἕξει, ἀλλὰ τῷ τὴν ἀρχὴν αὐτοῦ ἐξ ἧς συνέστηκεν ἄπειρον εἶναι. οὐκ ἄρα δυνατὸν ὑλικὴν ἔχειν ἀρχὴν τὸ ἄπειρον· εἴτε γὰρ ἄπειρος εἴη, τὸ ζητούμενον ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον, εἴτε πεπερασμένη, καὶ τὸ ἐξ
20 αὐτῆς πεπερασμένον ἔσται. ἀλλ' οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται· πρῶτον γὰρ ἀεὶ τὸ εἶδος περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων ἀόριστον δὲ τὸ ἄπειρον, ἔπειτα τὸ εἶδος ἢ ἄπειρον ἔσται ἢ πεπερασμένον, καὶ πάλιν τὰ αὐτὰ ἕψεται. οὐκ ἄρα οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται τὸ 10
ἄπειρον. εἰ δὲ ταύτας οὐχ ἕξει, οὐδὲ τὴν ποιητικὴν καὶ τελικήν· τὸ γὰρ
25 ποιητικὸν εἴ τι ποιεῖ, εἰς ὕλην καὶ εἶδός τι ποιεῖ· εἰ τοίνυν οὐκ ἔχει εἶδος οὐδὲ ὕλην, οὐδὲ ποιητικὸν ἕξει αἴτιον (νῦν δὲ δῆλον ὅτι ἐπὶ φυσικῶν τὸν λόγον σκοποῦμεν, ἃ πάντως ἐξ ὕλης ἐστί), δι' αὐτὸ δὲ τοῦτο οὐδὲ τελικὸν ἕξει, διότι τὸ εἶδος πρὸς τὸ τέλος ἐστὶ καὶ ταὐτὸν τῷ εἴδει τὸ τέλος κατὰ τὸ ὑποκείμενον, ὡς εἴρηται ἔμπροσθεν. ὥστε εἰ ἀδύνατον
30 ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει· ὅλως 15
ἄρα ἀρχὴν οὐχ ἕξει. λείπεται οὖν αὐτὸ ἀρχὴν εἶναι.

---

2 ἔνεργον K: ἐνεργ'' M 3. 4 κατὰ χρόνος γίνοιτο K 4 ἔχειν scripsi: ἔχει libri οὔτε] οὕτως L δὲ εἰς τὴν (hoc ex τὸν) K 5 ἔχοι (recte hoc), ἕπεται καὶ τὸ τὴν κατὰ τὸν χρόνον, ὡς δῆλα L 6 τὸ] τῷ L 7. 8 οὖν ὅτι — ὅτι οὐδὲ om. L 8 δεδειγμένον, ut videtur, K 9 ἕξει L ἐὰν LK: ἐ (charta perforata) M: ἢ t 10 ἰδικὴν K 11 τελικὴν] τε ὑλικὴν superscr. M² μὲν om. et mox ἔχειν L qui post ἀρχὴν inserit ἀνάγκη 12 δείξωμεν LK: δείξομεν Mt 13 ἔσται ἐξ ἀνάγκης L 13. 14 τὰ (τὸ L) ἐξ αὐτῆς LK: τὰ ἐξῆς Mt 14 συγκείμενον L πεπερασμένον utroque loco L 15 ἀρχὴν K ἀρχὴ τὸ om. L 16 τἄλλα L κἂν εἰ L ἔχει K 17 αὐτὸ libri τῷ] τὸ L 18 ἀρχὴν ἔχειν L ἄπειρος t: ἄπειρον LKM 21 ἀεὶ om. L 23 πάλιν] πάντα L ἰδικὴν K 24 ταύτας Mt: ταῦται K: ταῦτα ὅτι L οὐκ ἕξει K 25 εἴ τι] εἴτε M: εἰς τί L 26 ὕλην οὐδὲ εἶδος traic. L 27 σκοποῦμεν (L)t: σκοποῖμεν KM 28 εἶδος] τέλος L 29 ἔμπροσθεν B 7 p. 198 a 24 sqq. 31 οὐχ ἕξει — εἶναι om. K

www.libtool.com.cn

ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιω- 12r
μένου. εἴτε γὰρ ἔστι τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι οὐ φυσικὸν σῶμα
ἄποιον ἤ τι τοιοῦτον, ἐν τῇ Περὶ οὐρανοῦ ζητήσει καὶ δείξει ὅτι ἀδύνατον 30
ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι, νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι
5 σῶμα ἐπ' ἄπειρον ἐκτετάσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ
δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν
καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τῇ Περὶ γενέσεως
καὶ φθορᾶς.

p. 204a2 Πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.

10 Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ⟨τοῦ⟩ ἀπείρου λόγος, καὶ ὅτι εἰκό- 36
τως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αὐτὸ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν
λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ
ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου, εἶθ'
οὕτως δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν·
15 ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι 40
καὶ λέγειν ποίῳ μὲν συγχωρεῖν, ποίῳ δὲ οὔ. λέγεται, φησί, τὸ ἄπειρον
πενταχῶς. καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως
ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν
πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον
20 λέγομεν τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δέ ἐστι
τὸ σημεῖον καὶ αἱ ποιότητες· ἄπειρα γὰρ ταῦτα, τὸ μὲν σημεῖον ὅτι πέρας
ὂν αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι (οὐ γὰρ δὴ τῷ μὴ
καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν), ὁμοίως 45
δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης τῷ μηδ' ὅλως πόρον ἔχειν.
25 δεύτερον δὲ ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ
ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ
τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν μηδὲ περατοῦσθαι τὸ μέ-
γεθος, περὶ οὗ καὶ πρόκειται ἐπισκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος
ἐν τοῖς οὖσιν ἢ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν
30 δὲ διὰ δυσχέρειαν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς, ἢ διὰ τὸ 50

---

2. 4 ἕτερόν τι—τοῦ οὐρανοῦ om. K 3 Περὶ οὐρανοῦ A 9 p. 278b20 sqq. 6 ἐν τῷ πρώτῳ βιβλίῳ c. 4 p. 187b13 sqq. 7 δὲ] δὴ K καὶ om. superscr. L τῇ LK: τοῖς Mt
7. 8 Περὶ γενέσεως καὶ φθορᾶς A 2 sq. 9 lemma om. K οὖν om. M (non om. codex huic simillimus Paris. 2057) 10 ἀναγκαίως K τοῦ addidi cf. ad p. 386,26
12 δὲ om. L 14 οὕτω t 15 γάρ ἐστι τὸ L ὁμονύμων Mt 16 συγχωρεῖν LKM et Paris. 2057 (cf. ad p. 51,14): συγχωρεῖ t λέγεται οὖν φησι et mox μὲν οὖν τρόπον L 17 ἄπειρον λέγεται K: τὸ ἄπειρον τρόπον λέγεται (sic) L: λέγεται ἄπειρον Mt
μὴ δὲ KM: μὴ Lt 18 μὴ δὲ ὅλως K 19 ποσὸν αὐτὸ ὅλως L ἀόρατος K
22 τὸ παντελῶς ἀμεγεθὲς K μὴ LK: om. Mt 23 ἐπ' om. L 27 ἀπολέγειν K ὥσπερ φασὶ (comp. φᾱ) τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν (quae pertinent ad p. 410,6 sq.) in marg. L² 29 ἢ LK: εἴτε καὶ Mt τρίτον] γ̄ K: οὐ L 30 κατείληπται errore typogr. t

www.libtool.com.cn

ἐν σώματι φημί, διακριτικὸν ὄψεως, καὶ ὅμως αὐτὸ καθ' αὑτὸ τὸ εἶδος k 8v
τοῦ λευκοῦ οὔτε τὸ στοιχειῶδες, μήπω δὲ συμπλακὲν τῇ ὕλῃ, οὔτε τὸ ἐν
τῷ δημιουργῷ τοιοῦτόν ἐστι. πάλιν ἐστὶν ὁ ἄνθρωπος ζῷον λογικὸν
θνητόν, ἀλλ' ὅμως οὔτε ἡ ἰδέα αὕτη τοῦ ἀνθρώπου θνητή ἐστιν, οὔτε
5 δὲ ἡ ὕλη. ὅλως δὲ τὰ ἐν τῷ δημιουργῷ εἴδη οὐ τοιαῦτά φαμεν, οἷον τὸ
τοῦ σώματος εἶδος οὐ τριχῇ διαστατόν, οὐδὲ τὸ τοῦ ποσοῦ εἶδος συνεχὲς
ἢ διωρισμένον, ἢ ζῷον λογικὸν θνητὸν τὸ τοῦ ἀνθρώπου, ἀλλὰ λόγους
τούτων καὶ αἰτίας.

Πρὸς ταῦτά φασιν ὅτι πάντων μέν ἐστί τις ὁμοιότης κατ' οὐσίαν ἔν
10 τε τοῖς εἴδεσι τοῖς ἐν τῷ δημιουργῷ καὶ ἐν τοῖς ἐξ αὐτῶν προϊοῦσι μέχρι
τῆς ὕλης (οὐδὲ γὰρ ἁπλῶς ὁμωνύμως ἄνθρωπος τοῦτο κἀκεῖνο, ἀλλ' ὡς
ἀφ' ἑνὸς καὶ πρὸς ἕν), ἐν οἷς ἔστι καὶ οὐσιώδης τις κοινωνία πρὸς τὰ
ἀφ' ὧν ἐστι καὶ διαφορά, ὥσπερ ἀπὸ τῆς ὑγιείας τὸ ὑγιεινὸν σιτίον. εἰ
γὰρ πρὸς ἐκεῖνο ἀφορῶν ὁ δημιουργὸς ποιεῖ τὰ ἐνταῦθα, δεῖ δέ που πολλὴν
15 τὴν κατ' οὐσίαν κοινωνίαν εἶναι (οὐ γὰρ δὴ ὡς ζωγράφος ἀφορῶν εἰς τὸν
ἄνθρωπον, ἄνθρωπον μὲν τῷ ὄντι οὐ ποιεῖ, ἀπομιμεῖται δὲ τὰ κατὰ συμ-
βεβηκὸς τῷ σώματι ὑπάρχοντα, οἷον χρώματα καὶ σχήματα, οὕτω καὶ ὁ
δημιουργὸς μιμήματα μόνον ἁπλῶς καὶ μηδεμίαν κοινωνίαν ἔχοντα πρὸς
τὰ ἐκεῖ εἴδη ποιεῖ τὰ ἐνταῦθα, ἀλλ' οὐσιωδῶς ἐκεῖνα ἐν τούτοις ἀπομάτ-
20 τονται, ὥσπερ καὶ ἡ σφενδόνη ἐν τῷ κηρῷ τὸν ἐν αὐτῇ χαρακτῆρα),
οὔσης οὖν ἐν αὐτοῖς τῆς κατ' οὐσίαν ὁμοιότητος, εἴ τι μὲν τοῖς συνθέτοις
ὑπάρχει συμπληρωτικὸν τῆς οὐσίας καὶ οἱονεὶ στοιχεῖον καὶ πλήρωμα τοῦ
ὅλου συγκρίματος, πάντως ἐκ τῶν ἁπλῶν ὑπάρχει, τῶν δὲ εἰδῶν προϊόντων
ἐκεῖθεν μέχρι τῆς ὕλης, ἐπειδὴ ἀνάγκη πάντως ὕφεσίν τινα τοῦ | παρά- 11r
25 γοντος καὶ τοῦ παραγομένου εἶναι, ἐπισυμβαίνει τινὰ τοῖς προϊοῦσιν ἅπερ
μὴ ὑπάρχει τῷ παράγοντι. οἷόν τι λέγω· τὸ φῶς τὸ ἐν τῷ ἀέρι πρό-
εισιν ἐκ τοῦ ἡλίου, καὶ δῆλον ὅτι ἐστί τις πολλὴ ⟨ἡ⟩ ὁμοιότης καὶ ἡ κατ'
οὐσίαν κοινωνία τούτου πρὸς τὸ ἐν τῷ ἡλίῳ (οὐ γὰρ δὴ ὁμώνυμά ἐστι
μόνα τὰ φῶτα ταῦτα), ἀλλὰ ἐν τῇ προόδῳ ἐπισυμβαίνει τινὰ πάθη τῷ
30 προϊόντι φωτί, ἅπερ οὐκ ἔστιν ἐν τῷ ἡλίῳ, οἷον τὸ συσχηματίζεσθαι τοῖς 5
τόποις οὓς φωτίζει, τὸ ἔχειν ἀντιτεταγμένον τὸν σκότον, καὶ ἄλλα μυρία.
ὥσπερ οὖν ἐνταῦθα τῷ ἀπὸ τοῦ ἡλίου φωτὶ προϊόντι ἐπισυμβαίνει μὲν ἐξ
ἀνάγκης τινά, οὐ μέντοι διὰ τοῦτο τὰ συμπληρωτικὰ τῆς οὐσίας αὐτοῦ οὐκ

---

1 ἐν] τὸ ἐν L 2 οὔτε τὸ (post λευκοῦ) Lt: οὔτε M: ου τ K οὔτε τῶ ἐν L: τοῦτο ἐν K
4 ὅμως τοῦ ἡ εἰδέα K αὕτη LM: αὐτὴ Kt 5 δὲ prius om. L 6 τὸ om. K
7 οὐδὲ ζῶον λογικὸν (om. θνητὸν) L ἀλλ' ἀλόγους K 9 ὅτι πάντως ἐστι μὲν τίς L
11 ἄνθρωπος om. superscr. M 12 τὰ] τὸ L 13 ὑγείας (om. τῆς) L ὑγιαίνον
(sic) K 14 ἐκεῖνα L 15 ὡς ὁ L 16 τῶ ὄντι οὐ K: τϊ οὐ (οὐ ex corr.) L: τῷ
ὄντι (om. οὐ) Mt 17 τοῦ σώματος L καὶ prius om. L 19. 20 ἀπομάτονται K:
ἀπομάττεται emendat t 20 χαρακτήρα t 21 τοῖς om. L 24. 25 πραγον ε τ K
26 παράγοντι L: προαγαγόντι K: προαγαγόντι Mt 27 ὅτι ἐστί om. L πολλὴ (ἡ ex
corr.) L ἡ addidi 28 ἐστι Mt: εἶναι K: om. L 29 μόνον emendat t
30 σχηματίζεσθαι L 33 αὐτοῦ t: αὐτοῦ LKM οὐκ om. t

www.libtool.com.cn

ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιω- 1 2r
μένου. εἴτε γὰρ ἔστι τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι οὐ φυσικὸν σῶμα
ἄποιον ἤ τι τοιοῦτον, ἐν τῇ Περὶ οὐρανοῦ ζητήσει καὶ δείξει ὅτι ἀδύνατον 30
ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι, νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι
5 σῶμα ἐπ' ἄπειρον ἐκτετάσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ
δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν
καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τῇ Περὶ γενέσεως
καὶ φθορᾶς.

p. 204a2 Πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.

10 Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ⟨τοῦ⟩ ἀπείρου λόγος, καὶ ὅτι εἰκό- 36
τως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αὐτὸ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν
λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ
ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου, εἶθ'
οὕτως δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν·
15 ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι 40
καὶ λέγειν ποίῳ μὲν συγχωρεῖν, ποίῳ δὲ οὔ. λέγεται, φησί, τὸ ἄπειρον
πενταχῶς. καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως
ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν
πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον
20 λέγομεν τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δέ ἐστι
τὸ σημεῖον καὶ αἱ ποιότητες· ἄπειρα γὰρ ταῦτα, τὸ μὲν σημεῖον ὅτι πέρας
ὂν αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι (οὐ γὰρ δὴ τῷ μὴ
καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν), ὁμοίως 45
δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης τῷ μηδ' ὅλως πόρον ἔχειν.
25 δεύτερον δὲ ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ
ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ
τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν μηδὲ περατοῦσθαι τὸ μέ-
γεθος, περὶ οὗ καὶ πρόκειται ἐπισκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος
ἐν τοῖς οὖσιν ἢ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν
30 δὲ διὰ δυσχέρειαν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς, ἢ διὰ τὸ 50

---

2. 4 ἕτερόν τι—τοῦ οὐρανοῦ om. K 3 Περὶ οὐρανοῦ A 9 p. 278b20 sqq. 6 ἐν τῷ πρώτῳ βιβλίῳ c. 4 p. 187b13 sqq. 7 δὲ] δὴ K καὶ om. superscr. L τῇ LK: τοῖς Mt 7. 8 Περὶ γενέσεως καὶ φθορᾶς A 2 sq. 9 lemma om. K οὖν om. M (non om. codex huic simillimus Paris. 2057) 10 ἀναγκαίως K τοῦ addidi cf. ad p. 386,26 12 δὲ om. L 14 οὕτω t 15 γάρ ἐστι τὸ L ὁμονύμων Mt 16 συγχωρεῖν LKM et Paris. 2057 (cf. ad p. 51,14): συγχωρεῖ t λέγεται οὖν φησι et mox μὲν οὖν τρόπον L 17 ἄπειρον λέγεται K: τὸ ἄπειρον τρόπον λέγεται (sic) L: λέγεται ἄπειρον Mt μὴ δὲ KM: μὴ Lt 18 μὴ δὲ ὅλως K 19 ποσὸν αὐτὸ ὅλως L ἀόρατος K 22 τὸ παντελῶς ἀμεγεθὲς K μὴ LK: om. Mt 23 ἐπ' om. L 27 ἀπολέγειν K ὥσπερ φασὶ (comp. φᾱ) τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν (quae pertinent ad p. 410,6 sq.) in marg. L² 29 ἢ LK: εἴτε καὶ Mt τρίτον] γ̄ K: οὐ L 30 κατείλειπται errore typogr. t

www.libtool.com.cn

ὅτι ἀναγκαίως ὑποτιθέμενοι τὸ ἄπειρον καὶ ἀρχὴν αὐτὸ ὑπέθεντο, εἶναί 11r
φησι καὶ ἀγένητον καὶ ἄφθαρτον. καὶ τοῦτο εἰκότως· εἴτε γὰρ γένοιτο, 31
πάντως ἀπό τινος ἀρχῆς ἄρχεται γίνεσθαι (οἷον πρότερον εἰ τύχοι τῶν ὁμοιομερῶν ἡ σὰρξ καὶ τῶν ὀργανικῶν ἡ καρδία, καὶ ἐπὶ τῶν φυτῶν αἱ
5 ῥίζαι), τοῦ δὲ ἀπείρου ἀρχὴ οὐκ ἔστι (πέρας γάρ, ὡς ἤδη εἴρηται, ἡ ἀρχή), εἴτε φθείροιτο, πάντως εἴς τι τελευταῖον φθαρήσεται· τὰ γὰρ φθειρόμενα πάντα οὕτως φθείρεται, πρότερον μὲν τῶν εὐπαθεστέρων φθειρομένων εἶτα τῶν ἧττον εὐπαθεστέρων καὶ τελευταῖον τῶν δυσπαθεστέρων, 35
καὶ οὕτως μέχρις οὗ εἴς τι ἔσχατον καταντήσῃ τὸ φθειρόμενον. ὥστε καὶ
10 ἀγένητον ἀνάγκη εἶναι τὸ ἄπειρον καὶ ἄφθαρτον. ταῦτα εἰπών, ἐφεξῆς τὰς αἰτίας λέγει δι' ἃς ἠναγκάσθησαν ἐν τοῖς οὖσιν ὑποθέσθαι τὸ ἄπειρον, εἰσὶ δὲ αὗται πέντε. πρώτη μὲν ὁ χρόνος ἐπ' ἄπειρον αὐξόμενος. δευτέρα ἐκ τῆς ἐπ' ἄπειρον τομῆς τῶν μεγεθῶν· δέδεικται γὰρ τοῖς γεωμέτραις πᾶσαν δὴ τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν, εἰ δὲ τοῦτο, δυνατὸν ἐπ'
15 ἄπειρον τῇ διχοτομίᾳ χρήσασθαι. δείκνυται δὲ ὅτι ἐπ' ἄπειρον ἡ τομὴ τῶν μεγεθῶν καὶ ἐκ τοῦ τὸ τρίγωνον τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας ἔχειν· εἰ γὰρ ἀφέλοις ἐκ τῶν δύο πλευρῶν ἴσην τῇ μιᾷ καὶ ἀγάγοις ἐκ τοῦ σημείου, καθ' ὃ ἔτεμες τὴν ἴσην τῇ ἐλάττονι, παράλληλον εὐθεῖαν 40
τῇ ἐλάττονι, ἧς τὴν ἴσην ἐκ τῶν δύο ἀφεῖλες, ποιεῖς ἔλαττον τρίγωνον.
20 πάλιν ἐπειδὴ τούτου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονες, τὸ αὐτὸ ποιήσας ποιήσεις πάλιν ἔλαττον τρίγωνον, καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε ἡ τομὴ τῶν μεγεθῶν ἐπ' ἄπειρον. δεῖ δὲ ὀρθογώνιον τὸ τρίγωνον ποιῆσαι δηλονότι, μήποτε ἐπὶ τῶν ἄλλων ἡ ἀφαίρεσις ποιήσῃ ἰσόπλευρον τρίγωνον, καὶ οὐκέτι ἔστιν ἀφελεῖν ἀπὸ τῆς ἑτέρας τὴν ἑτέραν· οὐκέτι γὰρ πίπτει ἐντὸς
25 τοῦ τριγώνου ἡ τομή, μὴ πιπτούσης δὲ οὐκ ἔστιν ἀεὶ γράφειν ἐντὸς τρί- 45
γωνον. εἰ δὲ λάβωμεν ὀρθογώνιον τρίγωνον καὶ τὴν ἀφαίρεσιν ἐκ τῆς ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν ποιησώμεθα, ἀεί τε ἡ διαίρεσις ἐντὸς τοῦ τριγώνου πεσεῖται (μείζων γάρ ἐστιν ἀεὶ ἡ ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν ἑκατέρας τῶν λοιπῶν), καὶ οὕτως ἀεὶ τοῦ γινομένου ὀρθογωνίου ὄντος ἀεὶ

---

1 ὑποθέμενος εἶναι τὸ L αὐτῷ L 2 ἀγέννητον (hic et v. 10) M et t cf. ad p. 189,10 εἴτε γίνοιτο (om. γάρ) L 3 τύχῃ M 7 ἅπαντα K οὕτω t 9 εἴς τι post καταντήσῃ ponit L ἔσχατον scripsi: ἕκαστον KMt: om. L καταντήσει Mt 11 ὑποθέσθαι ἐν τοῖς οὖσι L 12 εἰσὶν δὲ — χρόνος in ras. K α et β̄ K: πρῶτον et β'ον (= δεύτερον) L ἀρξάμενος L 13 fort. ἡ ἐκ 13. 16 δέδεικται γὰρ — μεγεθῶν om. Mt 14 δὴ L: om. K δίχα τεμεῖν L: ἴσα τεμεῖν K at cf. m 4 v 25. p. 408,3. 98,13 unde conicias v. 13 δέδοται 14. 15 ἐπ' ἄπειρον τῇ K: τῇ ἐπ' ἄπειρον L 15 ὅτι L: om. K 16 τοῦ (om. τὸ) τρίγονον L 17 ἀγάγῃς KM 19 ἀφεῖλεν, ποιῇς K 21 ποιήσεις] ποιήσας K

22 post ἄπειρον figuram  inserit L 22 δηλονότι scripsi: δῆλον γὰρ libri

23 μήποτε LKM: ὅτι ποτὲ t ποιήσῃ LKM: ποιήσει t ἰσόπλευρον] πλευρὰν L 24 ἔστιν LK: ἔσται Mt 25 τοῦ om. L 25. 26 γράφειν ἐντὸς τρίγωνα K 26 ὀρθόγωνον primitus M: ὀρθωγώνιον K 27 τριγωνίαν K ποιησώμεθα recte t 29 ὀρθωγωνίου K

www.libtool.com.cn

ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιω- 12r
μένου. εἴτε γὰρ ἔστι τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι οὐ φυσικὸν σῶμα
ἄποιον ἤ τι τοιοῦτον, ἐν τῇ Περὶ οὐρανοῦ ζητήσει καὶ δείξει ὅτι ἀδύνατον 30
ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι, νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι
5 σῶμα ἐπ' ἄπειρον ἐκτετάσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ
δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν
καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τῇ Περὶ γενέσεως
καὶ φθορᾶς.

p. 204a2 Πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.

10 Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ⟨τοῦ⟩ ἀπείρου λόγος, καὶ ὅτι εἰκό- 36
τως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αὐτὸ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν
λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ
ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου, εἶθ'
οὕτως δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν·
15 ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι 40
καὶ λέγειν ποίῳ μὲν συγχωρεῖν, ποίῳ δὲ οὔ. λέγεται, φησί, τὸ ἄπειρον
πενταχῶς. καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως
ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν
πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον
20 λέγομεν τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δέ ἐστι
τὸ σημεῖον καὶ αἱ ποιότητες· ἄπειρα γὰρ ταῦτα, τὸ μὲν σημεῖον ὅτι πέρας
ὂν αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι (οὐ γὰρ δὴ τῷ μὴ
καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν), ὁμοίως 45
δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης τῷ μηδ' ὅλως πόρον ἔχειν.
25 δεύτερον δὲ ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ
ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ
τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν μηδὲ περατοῦσθαι τὸ μέ-
γεθος, περὶ οὗ καὶ πρόκειται ἐπισκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος
ἐν τοῖς οὖσιν ἢ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν
30 δὲ διὰ δυσχέρειαν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς, ἢ διὰ τὸ 50

---

2. 4 ἕτερόν τι—τοῦ οὐρανοῦ om. K 3 Περὶ οὐρανοῦ A 9 p. 278b20 sqq. 6 ἐν τῷ πρώτῳ βιβλίῳ c. 4 p. 187b13 sqq. 7 δὲ] δὴ K καὶ om. superscr. L τῇ LK: τοῖς Mt
7. 8 Περὶ γενέσεως καὶ φθορᾶς A 2 sq. 9 lemma om. K οὖν om. M (non om. codex huic simillimus Paris. 2057) 10 ἀναγκαίως K τοῦ addidi cf. ad p. 386,26
12 δὲ om. L 14 οὕτω t 15 γάρ ἐστι τὸ L ὁμονύμων Mt 16 συγχωρεῖν LKM et Paris. 2057 (cf. ad p. 51,14): συγχωρεῖ t λέγεται οὖν φησι et mox μὲν οὖν τρόπον L 17 ἄπειρον λέγεται K: τὸ ἄπειρον τρόπον λέγεται (sic) L: λέγεται ἄπειρον Mt μὴ δὲ KM: μὴ Lt 18 μὴ δὲ ὅλως K 19 ποσὸν αὐτὸ ὅλως L ἀόρατος K
22 τὸ παντελῶς ἀμεγεθὲς K μὴ LK: om. Mt 23 ἐπ' om. L 27 ἀπολέγειν K ὥσπερ φασὶ (comp. φᾱ) τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν (quae pertinent ad p. 410,6 sq.) in marg. L² 29 ἢ LK: εἴτε καὶ Mt τρίτον] γ̄ K: οὐ L 30 κατείληπται errore typogr. t

www.libtool.com.cn

δεκτικός ἐστι σώματος, καὶ τὸ κενὸν ἄρα πᾶν πέφυκε δέχεσθαι· εἰ δὲ πέ- 11v
φυκεν, ἀνάγκη πᾶσα ἤ δεδέχθαι ἤδη ἤ δέξασθαι· ἀπείρου οὖν ὄντος τοῦ 16
κενοῦ ἄπειρον ἔσται καὶ τὸ ἐν αὐτῷ σῶμα. ἐπὶ γὰρ τῶν ἀιδίων, φησίν,
οὐδὲν διαφέρει τὸ δυνάμει τοῦ ἐνεργείᾳ· ἐπὶ μὲν γὰρ τῶν γινομένων καὶ
5 φθειρομένων δυνατὸν μὴ ἀχθῆναι τὸ δυνάμει εἰς τὴν ἐνέργειαν, φθάσαντος
φθαρῆναι τοῦ πράγματος πρὶν τελειωθῇ ἡ ἐν αὐτῷ δύναμις ἀχθεῖσα εἰς
τὴν ἐνέργειαν, ἐπὶ δὲ τῶν ἀιδίων, εἴ τί ἐστιν ὅλως δυνάμει, ἀνάγκη πᾶσα
καὶ ἐνεργείᾳ αὐτὸ γενέσθαι· ματαίαν γὰρ ἂν ἕξει τὴν δύναμιν, εἰ μηδέ- 20
ποτε ἀχθείη εἰς ἐνέργειαν. ὥστε εἴ τι τῶν ἀιδίων δυνάμει ἐστί, πάντως
10 ἔσται ποτὲ καὶ ἐνεργείᾳ, ὡς εἰ μηδέποτε γένοιτο, οὐδ' ἂν ἐνεδέχετο γενέ-
σθαι. ὥστε οὐδὲ δυνάμει ἦν· τὸ γὰρ δυνάμει τοῦτό ἐστιν, ὃ ἐνδέχεται
γενέσθαι ἐνεργείᾳ, διόπερ οὐδὲ κυρίως ἐπὶ τῶν ἀιδίων τὸ ἐνδεχόμενον·
οὐ γὰρ ἔχει τὴν ἐπ' ἄμφω ῥοπήν, ἀλλὰ ἐξ ἀνάγκης ἔστιν ἀεί. τὸ γὰρ ἐν-
δέχεσθαι ἐπὶ τούτων τοῦ εἶναι οὐδὲν διαφέρει· οὐδὲ γὰρ ἔχει τὸ ἄλλοτε
15 ἄλλως. ὥστε εἰ ἄπειρόν ἐστι κενόν, καὶ σῶμα ἄπειρον ἐξ ἀνάγκης ἔσται. 25
οὕτω γοῦν καὶ λέγουσιν ὁ μὲν κόσμους, οἱ δὲ ἀέρα ἄπειρον ἤ ὕδωρ ἤ τὸ
μεταξύ.

Ταῦτα εἰπών, ἐφεξῆς φησιν ὅτι δὴ ἀπορίας πολλὰς ἔχει ὁ περὶ τοῦ
ἀπείρου λόγος, εἴτε θείημεν εἶναι [τὸ κενὸν] ἤ καὶ μή· εἴτε γὰρ μὴ ἔστιν
20 [ἄπειρον], ἀναιρήσομεν τὴν ἐπ' ἄπειρον τοῦ χρόνου πρόοδον καὶ τοῦ ἀριθμοῦ
τὴν αὔξησιν καὶ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν, εἴτε ἔστι, ζητήσεως
ἄξιον πότερον οὐσία ἐστὶν ἤ συμβεβηκός, καὶ εἰ συμβεβηκός, καθ' αὑτὸ
συμβεβηκὸς ἤ οὐ καθ' αὑτὸ ἀλλὰ ἁπλῶς συμβεβηκός. ἀφορίζεται δὲ καὶ 30
περὶ ποίου ἀπείρου ποιεῖται τὸν λόγον, ὅτι τοῦ κατὰ μέγεθος ἀπείρου· τοῦτο
25 γάρ ἐστι μάλιστα φυσικοῦ ζητῆσαι, εἴτε ἐστὶ σῶμα ἄπειρον κατὰ τὴν
ἔκτασιν εἴτε μή.

p. 203b6 Ἅπαν γὰρ ἤ ἀρχὴ ἤ ἐξ ἀρχῆς.

Ἅπαντα τὰ ὄντα, ὅσα μὴ μάτην ὑπέστη καὶ κατὰ συμβεβηκός, ἤ
ἀρχῆς λόγον ἐπέχουσιν ἤ ἐξ ἀρχῆς εἰσι (τὰ γὰρ μάτην ὄντα δύναται μη- 35

---

1 δὲ om. L 2 δεδέχθαι K et corr. L: δέχεσθαι Mt ἤδη om. L 3 φασὶν L
5 ἀναχθῆναι L 6 τελειωθῆναι L ἤ (sic) om. superscr. K 8 ἕξει LM: ἕξῃ K: ἕξειε (quod aeque ac ἕξῃ nihili est) t: fort. ἕξοι (cf. ad p. 197,22. 412,5); nam dubium videtur indicativi futurum cum ἂν coniunctum, quo de cf. ad p. 414,27. r 4v50 10. 15 ὡς — ἔσται] cf. Themist. p. 224,18 sqq. 10 ὡς εἰ καὶ L ἐνέδεχετο L: ἐνδέχεται K: ἐνδέχηται M: ἐνδέχοιτο t 11 ὥστε οὐ δυνάμει L 12 ἀϊδίω K 13 οὐδὲ γὰρ L 14 οὐδὲν διαφέρει τοῦ εἶναι Mt οὐ γὰρ L 15 ἄλλος K 16 ἤ ὕδωρ LK: οἱ δὲ ὕδωρ Mt
18 ὅτι ὅτι K ἀπορίας δὴ Mt 19 τὸ κενὸν et 20 ἄπειρον delevi ἤ scripsi: ἡ KM: εἴτε (L)t 20 ἀναιρήσωμεν K πρόοδον (cf. Simplic. p. 469,1) L: περίοδον (K)Mt
21 τῶν μεθῶν primitus L 22. 23 καὶ εἰ—ἁπλῶς συμβεβηκός om. L 23 ἁπλῶς] conicias ἄλλως πως (cl. Alexandro ap. Simpl. p. 469,13. Themist. p. 225,10), at cf. p. 408,19
25 ζητῆσαι φυσικοῦ M 27 ἅπαν (cf. ἕκαστον p. 399,1?) LM: ἅπαντα (K)t Arist.
28 καὶ κατὰ K: [illegible]τὰ M: κατὰ (L)t 29 λόγου K

www.libtool.com.cn

ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιω- 12r
μένου. εἴτε γὰρ ἔστι τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι οὐ φυσικὸν σῶμα
ἄποιον ἤ τι τοιοῦτον, ἐν τῇ Περὶ οὐρανοῦ ζητήσει καὶ δείξει ὅτι ἀδύνατον 30
ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι, νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι
5 σῶμα ἐπ' ἄπειρον ἐκτετάσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου, ὅτι οὐ
δυνατὸν εἶναι, ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν
καὶ Δημόκριτον λόγοις, δείξει δὲ ἀκριβέστερον καὶ ἐν τῇ Περὶ γενέσεως
καὶ φθορᾶς.

p. 204a2 Πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.

10 Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ⟨τοῦ⟩ ἀπείρου λόγος, καὶ ὅτι εἰκό- 36
τως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αὐτὸ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν
λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ
ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου, εἶθ'
οὕτως δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν·
15 ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι 40
καὶ λέγειν ποίῳ μὲν συγχωρεῖν, ποίῳ δὲ οὔ. λέγεται, φησί, τὸ ἄπειρον
πενταχῶς. καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως
ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν
πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον
20 λέγομεν τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δέ ἐστι
τὸ σημεῖον καὶ αἱ ποιότητες· ἄπειρα γὰρ ταῦτα, τὸ μὲν σημεῖον ὅτι πέρας
ὂν αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι (οὐ γὰρ δὴ τῷ μὴ
καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν), ὁμοίως 45
δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης τῷ μηδ' ὅλως πόρον ἔχειν.
25 δεύτερον δὲ ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ
ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ
τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν μηδὲ περατοῦσθαι τὸ μέ-
γεθος, περὶ οὗ καὶ πρόκειται ἐπισκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος
ἐν τοῖς οὖσιν ἢ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν
30 δὲ διὰ δυσχέρειαν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς, ἢ διὰ τὸ 50

---

2. 4 ἕτερόν τι—τοῦ οὐρανοῦ om. K 3 Περὶ οὐρανοῦ A 9 p. 278b20 sqq. 6 ἐν τῷ πρώτῳ βιβλίῳ c. 4 p. 187b13 sqq. 7 δὲ] δὴ K καὶ om. superscr. L τῇ LK: τοῖς Mt 7. 8 Περὶ γενέσεως καὶ φθορᾶς A 2 sq. 9 lemma om. K οὖν om. M (non om. codex huic simillimus Paris. 2057) 10 ἀναγκαίως K τοῦ addidi cf. ad p. 386,26 12 δὲ om. L 14 οὕτω t 15 γάρ ἐστι τὸ L ὁμονύμων Mt 16 συγχωρεῖν LKM et Paris. 2057 (cf. ad p. 51,14): συγχωρεῖ t λέγεται οὖν φησι et mox μὲν οὖν τρόπον L 17 ἄπειρον λέγεται K: τὸ ἄπειρον τρόπον λέγεται (sic) L: λέγεται ἄπειρον Mt μὴ δὲ KM: μὴ Lt 18 μὴ δὲ ὅλως K 19 ποσὸν αὐτὸ ὅλως L ἀόρατος K 22 τὸ παντελῶς ἀμεγεθὲς K μὴ LK: om. Mt 23 ἐπ' om. L 27 ἀπολέγειν K ὥσπερ φασὶ (comp. φᾱ) τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν (quae pertinent ad p. 410,6 sq.) in marg. L² 29 ἢ LK: εἴτε καὶ Mt τρίτον] γ̄ K: οὐ L 30 κατείληπται errore typogr. t

www.libtool.com.cn

p. 203ᵇ17 Χρῶνται γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ. 12r

Τουτέστι τῇ ἐπ' ἄπειρον τῶν μεγεθῶν τομῇ· ἔχουσι γὰρ πᾶσαν τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν, καὶ ἀπὸ τῆς δοθείσης εὐθείας ἐλάττονα ἀφελεῖν· ἐπεὶ οὖν τοῦ τριγώνου τῶν δύο πλευρῶν ἐλάττων ἡ λοιπή, ἀεὶ ἔστιν ἀφαιροῦντα ἀπὸ τῆς μείζονος τὴν ἐλάττω ἄγειν ἐκ τῆς τομῆς τῇ ἐλάττονι παράλληλον εὐθεῖαν καὶ ποιεῖν τρίγωνον, καὶ τοῦτο ἐπ' ἄπειρον.

p. 203ᵇ27 Ὥστε εἴπερ μοναχοῦ, καὶ πανταχοῦ εἶναι τὸν ὄγκον.

Τίς ἡ ἀποκλήρωσις ἐν ἑνὶ μὲν μέρει τοῦ κενοῦ εἶναι σῶμα, μὴ καὶ πανταχοῦ δὲ εἶναι, εἴπερ τὸ κενὸν τόπος ἐστὶν ἐστερημένος σώματος;

p. 203ᵇ28 Ἅμα δὲ καὶ εἰ ἔστι κενὸν καὶ τόπος ἄπειρος, καὶ σῶμα ἀναγκαῖον εἶναι.

Ἐπειδὴ πρότερον τῷ ἀποκληρωτικὸν μόνον εἶναι τὸν λόγον ἤλεγχε, νῦν καὶ κατασκευάζει αὐτὸ τοῦτο, ὅτι ἀνάγκη εἶναι ἄπειρον κενοῦ ἀπείρου ὑποκειμένου. οὐδὲν γὰρ ἄλλο φασὶν εἶναι τὸ κενὸν ἢ τόπον ἐστερημένον σώματος· πᾶς δὲ τόπος σώματός ἐστι δεκτικός. εἰ δὲ ἀίδιος οὗτος, οὐδὲν μᾶλλον δυνάμει ἐστὶ σώματος δεκτικὸς ἢ ἐνεργείᾳ.

p. 203ᵇ34 Ἀλλ' οὐδὲν ἧττόν ἐστιν ἄπειρον καὶ ἄπειρα τῷ πλήθει.

Οὐκ ἀναιρεῖ, φησί, τὸ ἄπειρον τὸ ὑποτίθεσθαι αὐτὸ ἢ οὐσίαν, ἢ συμβεβηκὸς καθ' αὑτὸ ἢ ἁπλῶς· ὅπως γὰρ ἂν αὐτὸ ὑποθώμεθα, οὐδὲν κωλύει εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον, ὅπερ διαιρούμενον ποιεῖ τὸ κατὰ πλῆθος ἄπειρον.

p. 204ᵃ1 Μάλιστα δὲ φυσικοῦ ἐστὶ σκέψασθαι, εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον.

Ἔχεις ἐνταῦθα τὸν σκοπὸν τῶν ἐφεξῆς, περὶ ποίου ἀπείρου διαλέγεται,

---

1 καὶ om. L μαθητικοὶ K 2 τομῇ] τὸ μὴ K 4 ἐπεὶ οὖν K: ἔπεται L: ἐπεὶ γοῦν Mt 5 ἀφαιροῦνται L ἀπὸ τῆς] ἀπὸ τοῦ L 6 fort. ⟨ἔλαττον⟩ τρίγωνον 7 ἀνάγκη εἶναι t 8 μὴ καὶ LK: καὶ μὴ M: μὴ t 10 δὲ καὶ εἰ LKM: δ' εἰ καὶ ex Aristotele t καὶ τόπος δ' ἄπειρος t σῶμα LKM et Aristotelis cod. E: σῶμα ἄπειρον ex Aristot. vulgata t 12 τῷ] τὸ L 13 καὶ om. L post κενοῦ inducit δὲ L 14 ὑποκείμ K οὐδὲ et paulo post φησὶν L κενὸν] κενοῦ K 16 σώματος δεκτικὸς LK: δεκτικὸς σώματος Mt ἡ ἐνέργεια K 17 καὶ (ἢ pro καὶ, si silentio fides, L) ἄπειρα τῷ LKM Paris. 2057: ἢ ἄπειρα καὶ t 18 ὑποθέσθαι L 19 ὅπερ γὰρ K 22 ἐστιν utrobique K

www.libtool.com.cn

30

35

ἀπειρον,

1. 2 ἀλλ' αὐτὸ
L 9 εἶναι
φαμεν L
at rursus infra
ἀδιεξητητον pri-
στον. an (δυνατόν)
om. L πρὸς
18. 20 λέγο-
21. 25 αὐτὸ
ὸν L 27 κἂν]
32 ἐπιχείρησις] ἐπί

www.libtool.com.cn

ποσὸν ἢ διὰ τὸ ποιόν· ἄν τε γὰρ ᾖ τραχεῖα ἡ ὁδὸς καὶ δύσβατος καὶ 12r
σκολιότητα ἔχουσα, λέγομεν τὴν τοιαύτην ὁδὸν ἄπειρον, τῷ μὴ δύνασθαι
ἡμᾶς πορείαν ἐπ' αὐτῆς ποιεῖσθαι (οὕτως οὖν ἄπειρον λέγομεν τὸν λα-
βύρινθον, οὐ τῷ μὴ ἔχειν πέρας τι τῆς ὁδοῦ, ἀλλὰ τῷ σκολιὸν εἶναι καὶ
5 διὰ τοῦτο δυσέκβατον), λέγομεν καὶ διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν ἄπειρον
τὴν ὁδόν, ὥσπερ φαμὲν τὸν ὠκεανὸν ἄπειρον εἶναι διὰ τὸ μὴ δύνασθαι
ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν | διεξελθεῖν αὐτόν, αὐτοῦ γε πάντως 12v
ἀποπερατουμένου καὶ ὑπὸ γῆς πανταχοῦ περιεχομένου. ὁμοίως καὶ ἡ
Ἐρυθρὰ θάλασσα ἄπειρος διὰ τὴν αὐτὴν αἰτίαν. λέγομεν γοῦν καὶ ἡμεῖς,
10 ὁπηνίκα μακρὰν ὁδὸν ὁδεύομεν, ἀπειρηκότες, ὡς ἄπειρος εἴη ἡ ὁδός. λέ-
γεται δὲ κατὰ τέταρτον τρόπον ἄπειρον, ὃ πέφυκε μὲν ἔχειν πέρας, οὐκ ἔχει
δέ. τοιοῦτον δ' ἐστὶν ὁ κύκλος· δυνατὸν μὲν γὰρ λαβεῖν κατ' ἐνέργειαν
σημεῖον ἐν αὐτῷ, κἀκεῖθεν τὴν ἀρχὴν ποιήσασθαι, ἀλλ' αὐτὸς οὐκ ἔχει 5
ὡρισμένον τι σημεῖον κατ' ἐνέργειαν· ὅθεν γὰρ ἂν βουληθῶ λαμβάνω τὴν
15 ἀρχήν, ἐπεὶ καὶ ὁ γράφων τὸν κύκλον κέντρῳ καὶ διαστήματι οὐκ ἐξ
ὡρισμένου σημείου τὴν ἀρχὴν ποιεῖται, ἀλλ' ὅθεν ἂν βουληθῇ, καὶ ὁ
κινούμενος δὲ ἐπὶ κύκλου δύναται ὅθεν ἂν βούληται ἄρξασθαι τῆς κινή-
σεως. οὕτως οὖν ὁ κύκλος ἄπειρος μὴ ἔχων μὲν οἴκοθεν πέρας, καὶ διὰ
τοῦτο λεγόμενος ἄπειρος, δυνάμενος δὲ ἐν τῇ πρὸς ἄλλον σχέσει λαβεῖν.
20 πέμπτον ἐστὶ τοῦ ἀπείρου σημαινόμενον τὸ κατὰ πρόσθεσιν, φησίν, ἢ διαί-
ρεσιν, ἢ ἀμφότερα· κατὰ πρόσθεσιν μὲν ὡς ἐπὶ τοῦ ἀριθμοῦ καὶ τοῦ χρό- 10
νου (λέγομεν γὰρ ἄπειρον εἶναι τὸν ἀριθμὸν τῷ ἐπ' ἄπειρον αὔξεσθαι
δύνασθαι· ἔστι γὰρ παντὸς τοῦ ληφθέντος ἀριθμοῦ μείζονα λαβεῖν· δι'
αὐτὸ δὲ τοῦτο καὶ τὸν χρόνον αὐξῆσαι δυνατόν), κατὰ διαίρεσιν δὲ διὰ τὴν
25 ἐπ' ἄπειρον τῶν μεγεθῶν διχοτομίαν, ἀμφοτέρως δὲ ὡς εἰ νοήσαις μίαν
εὐθεῖαν, εἶτα ταύτην διχοτομουμένην, καὶ πάλιν τὸ ἕτερον μέρος διχοτο-
μούμενον, καὶ τὸ μέρος τῷ ⟨μὲν⟩ μέρει προστιθέμενον τοῦ δὲ ἀφαιρούμενον·
οὕτω γὰρ ἐπ' ἄπειρον τὸ μὲν αὔξεται τὸ δὲ μειοῦται.

Τοσαυταχῶς οὖν τοῦ ἀπείρου λεγομένου, ζητεῖ νῦν ὁ λόγος περὶ τοῦ δευ- 15
30 τέρου σημαινομένου τοῦ κατὰ τὴν ἔκτασιν ἀπείρου, εἰ ἔστιν ἢ μὴ τοιοῦτόν τι
ἄπειρον ἐν τοῖς οὖσιν, οἷον καὶ οἱ φυσικοὶ εἶναι ὑποτίθενται. εἰ γάρ τις κατὰ
τὰ λοιπὰ σημαινόμενα λέγοι εἶναι τὸ ἄπειρον, οὐ διοισόμεθα (διδόαμεν γὰρ
καὶ ἡμεῖς τὰ τοιαῦτα εἶναι τοῦ ἀπείρου σημαινόμενα), ὅτι δὲ τὸ κατὰ τὴν
ἔκτασιν ἄπειρον οὐκ ἔστι, πρόκειται διελέγξαι. καὶ πρότερον τοὺς οὐσίαν αὐτὸ

---

3 ἡμᾶς Mt et Paris. 2057: ἡμῖν LK ποιεῖσθαι ἐπ' αὐτῆς L 5. 6 ἄπειρον τὴν (τὴν om. Mt) ὁδὸν KMt: om. L 6 φασὶ L τὸν ἐλεανὸν K διὰ τὸ μὴ KM: διὰ τὸ μὴ ἔχειν μὴ δὲ (at v. ad p. 409,27) L: διὰ τῷ (sic) t 8 ἀπὸ γῆς L περιεχομένου LK: περισχιζομένου Mt 12 μὲν (om. γὰρ) κατ' ἐνέργειαν λαβεῖν L 16 καὶ et mox δὲ om. L 17 κύκλον K βούληται LK: βουληθῇ Mt 19 λέγομεν K 20 ἐστὶ LM: ἔτι (K)t σημαινόμενον τοῦ ἀπείρου L 21 μὲν LK: δὲ Mt 27 καὶ τὸ μέρως (sic) K qui tum iterat (25.27) δὲ ὡς εἰ νοήσαις—καὶ τὸ μέρος (sic in iteratis) μὲν addidi cf. Themist. p. 225,25 30 ἔκτασιν τοῦ ἀπείρου M 30. 34 ἀπείρου—ἔκτασιν iterat K 32 λέγει t διδόμεν K

www.libtool.com.cn

λέγοντας εἶναι τὸ ἄπειρον διελέγχει (μὴ ἄλλο τι ὂν εἶτα ἄπειρον, ἀλλ' αὐτο- 12v
ἄπειρον), καὶ οὐσίαν εἶναι τοιαύτην ὥσπερ ἀέρος καὶ πυρὸς οὕτω δὲ καὶ 20
ἀπείρου. τοῦτο οὖν, φησίν, ἢ διαιρετὸν ἔσται ἢ ἀδιαίρετον. εἰ μὲν οὖν διαιρετόν, ἢ κατὰ μέγεθος ἔσται διαιρετὸν ἢ κατὰ πλῆθος (πᾶν γὰρ τὸ διαιρούμενον κατὰ ἓν τούτων τῶν εἰδῶν διαιρεῖται), εἰ δὲ τοῦτο, ποσὸν ἔσται, οὐκ οὐσία (τοῦ γὰρ ποσοῦ ἄμφω ταῦτα εἴδη, τὸ συνεχὲς καὶ τὸ διωρισμένον), ὥστε οὐκ οὐσία ἔσται καθ' αὑτὴν τὸ ἄπειρον. εἰ δὲ ἀδιαίρετον, οὐκ ἂν εἴη ἄπειρον, οἷον ἡμεῖς ζητοῦμεν καὶ οἷον οἱ φυσικοὶ πάντες ὑποτίθενται εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον, ὅπερ διαιρετὸν πάντως ἐστὶ μέγεθός τι ὄν, εἰ μὴ ἄρα ὡς τὴν στιγμὴν καὶ τὴν ποιότητα ἄπειρον εἶναί 25
φαμεν. ἀλλ' ἡμῖν περὶ τοῦ τοιούτου οὐδὲ εἷς λόγος, ἀλλ' εἰ ὡς ἀδιεξίτητον καὶ ἀτελεύτητον κατὰ τὴν ἔκτασιν εἶναι ἄπειρον· οὔκουν δυνατὸν τοιοῦτον ἄπειρον οὐσίαν εἶναι.

Ταῦτα εἰπὼν μεταβαίνει ἐν μέσῳ πρὸς τοὺς συμβεβηκὸς ἄλλῳ εἶναι λέγοντας τὸ ἄπειρον, εἶτα εὐθὺς ἀνατρέχει πρὸς τὸ προκείμενον. εἰ γὰρ συμβεβηκός, φησίν, εἴη τὸ ἄπειρον ἄλλῳ, οὐκ ἂν εἴη τῶν ὄντων ἀρχὴ τὸ ἄπειρον, ἀλλ' ἐκεῖνο ᾧ τὸ ἄπειρον συμβέβηκεν. ὥσπερ γὰρ λέγομεν τὴν φωνὴν στοιχεῖον μὲν εἶναι τῆς διαλέκτου, λέγομεν δὲ τὴν φωνὴν εἶναι 30
ἀόρατον, καὶ οὐκέτι ἀναγκαζόμεθα λέγειν καὶ τὸ ἀόρατον στοιχεῖον εἶναι τῆς διαλέκτου, διότι μὴ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τῇ φωνῇ τὸ ἀόρατον, οὕτω φημὶ καὶ ἐπὶ τοῦ ἀπείρου· οὐκ ἐπειδὴ συμβέβηκεν ἄλλῳ, οἷον ἀέρι ὕδατι, ὅπερ καθ' αὑτό ἐστιν ἀρχὴ τῶν πραγμάτων, διὰ τοῦτο φήσαιμι ἂν καὶ τὸ ἄπειρον τῶν ὄντων ἀρχὴν εἶναι. εἰ γὰρ καὶ κατὰ συμβεβηκὸς αὐτό τις εἴποι εἶναι ἀρχήν, οὐδὲν μᾶλλον ἀρχὴν αὐτὸ δείκνυσι· τὰ γὰρ κατὰ συμβεβηκός τινος αἴτια, οὐδ' ὅλως εἰσὶν αἴτια. ὥσπερ λέγεται καὶ τὸ φαλακρὸν αἴτιον εἶναι τῆς οἰκίας, οὐδαμῶς ὂν αἴτιον· 35
οὐ γὰρ ᾗ φαλακρὸς ὁ οἰκοδόμος ᾠκοδόμησεν. ὅθεν κἂν μὴ φαλακρὸς ἦν, οὐδὲν ἧττον ᾠκοδόμησεν ἄν. οὐκ ἄρα οὐδὲ τὸ ἄπειρον ἀρχή. ἀλλὰ μὴν δέδεικται ὅτι εἴ γε ἔστιν, ἀδύνατον αὐτὸ μὴ ἀρχὴν εἶναι, οὐδ' ἄρα οὐδὲ κατὰ συμβεβηκὸς δυνατὸν εἶναι τὸ ἄπειρον. ἀλλὰ τοῦτο μὲν προϊὼν δείξει ἐντελέστερον, ἐπανέρχεται δὲ εἰς τὸ προκείμενον, ὅτι ἀδύνατον αὐτὸ καθ' αὑτὸ τὸ ἄπειρον οὐσίαν εἶναι, ἡ δὲ ἐπιχείρησις ἐκ τοῦ μᾶλλον. τὸ ἄπειρον,

---

1 post διελέγχει interpolat εἰ γὰρ λέγουσι t post μὴ addit δ' L 1. 2 ἀλλ' αὐτὸ ἄπειρον K 3 ἀπείρου] ἄπειρον K 7 καθ' αὑτὸ L 8 καὶ om. L 9 εἶναι ὑποτίθενται K ὅπερ καὶ et paulo post μεγέθους γε ὄν L 11 ἔφαμεν L οὐδεὶς L 11. 12 ὡς ἀδιεξίτητον κτλ.] ex Themist. p. 226,12; at rursus infra p. 415,2 ἀδιεξίτητον pro eo quod Arist. vulgata exhibet ἀδιέξοδον (sed αδιεξητητον primitus cod. E) cf. Diels *z. Textgesch.* p. 17 12 εἶναι] immo ἐστιν. an ⟨δυνατὸν⟩ κατὰ? τὸ ἄπειρον L 12. 13 τοιοῦτον om. L 14 ἐν μέσῳ om. L πρὸς τοῦ συμβ^ K ἄλλῳ (ante εἶναι) Lt: ἄλλο KM 18 μὲν om. L 18. 20 λέγομεν δὲ τὴν φωνήν — διαλέκτου iterat K 23 ὄντων] πραγμάτων L 24. 25 αὐτὸ δείκνυσιν LK: ἀποδείκνυσι Mt 26 τὸ φαλακρὸν KMt: τὸν φαλακρὸν L 27 κἂν] καὶ K 29 οὐδ' ἄρα] οὐκέτι L 30 κατὰ συμβέβηκεν K 32 ἐπιχείρησις] ἐπί (sic) K cf. ad p. 414,6 sq.

www.libtool.com.cn

μερισθῆναι, οὐ δι' ἑαυτόν (ἁπλοῦς γάρ ἐστι καὶ μονοειδὴς καὶ ἀδιάστατος k 6v
ὁ τοῦ ἀνθρώπου λόγος τῆς οὐσίας), ἀλλὰ διὰ τὴν ὕλην ἐν ᾗ γέγονεν· αὕτη
γὰρ αἰτία τῆς ἐπ' ἄπειρον αὐξήσεως τοῦ πλήθους τῶν ἀτόμων. τοῦ εἴδους
ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος, ὥσπερ εἰ δακτύλιος εἰς κηροὺς ἄλλοτε ἄλλους
5 σφραγίζει. ἔστιν οὖν κἀνταῦθα ⟨αἴτιον⟩ τῆς ἀπειρίας οὐχὶ τὸ εἶδος ἐν
τῷ δακτυλίῳ (ἓν γὰρ τοῦτο καὶ τὸ αὐτό), ἀλλ' ἡ ὕλη, τουτέστιν ὁ
κηρός, ὃς ἀεὶ ὑπ' αὐτοῦ ἐναπολαμβανόμενος ὁρίζεται καθ' αὑτὸν ἀόρι- 45
στος ὤν.

p. 203ᵃ12 Σημεῖον δὲ εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀρι-
10 θμῶν· περιτιθεμένων γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρὶς
ὁτὲ μὲν ἄλλο γίνεται τὸ εἶδος, ὁτὲ δὲ ἕν.

Κἀνταῦθα ἐπισημειωτέον ὅτι καὶ αὐτὸς ὁ Ἀριστοτέλης οἶδεν αὐτοὺς
συμβολικῶς ταῦτα λέγοντας· ὡς γὰρ δὴ τὸ ἄρτιον, ὅπερ ἔφη ὑπὸ τοῦ πε-
ριττοῦ περαίνεσθαι, μὴ ἐπὶ τοῦ κατὰ τοὺς ἀριθμοὺς ἀρτίου καὶ περιττοῦ
15 λεγόντων, ἀλλὰ ἄλλα τινὰ διὰ τούτων σημαινόντων, ἐπήγαγεν ὅτι σημεῖον
τῶν εἰρημένων ποιοῦνται τὸ συμβὰν ἐπὶ τῶν ἀριθμῶν, ὡς δὴ ἐκείνων, 50
ὧν τοὺς ἀριθμοὺς σύμβολα εἶναί φασι, μὴ ὄντων ἀριθμῶν, καίτοι γε τὸ
περιττὸν ἦν καὶ τὸ ἄρτιον, ὧν τὸ μὲν ἔλεγον πέρας τὸ δὲ ἄπειρον· ἄλλα
τινὰ ἄρα διὰ τούτων ᾐνίττοντο. τοῦτο μὲν οὖν εἰς τοσοῦτον, ἵνα δὲ μά-
20 θωμεν τὸ λεγόμενον, εἴπωμεν πρότερον τί καλοῦσι γνώμονα οἱ ἀριθμητικοὶ
καὶ οἱ γεωμέτραι. ἐὰν λαβὼν τετράγωνον χωρίον διέλῃ τοῦτο εἰς ἴσα
τέσσαρα τετράγωνα, τὰ τρία τετράγωνα σχῆμα ποιοῦντα ἐοικὸς τῷ Γ στοι-
χείῳ γνώμων ὑπὸ τῶν γεωμετρῶν καλεῖται, ὅστις γνώμων περι|τιθέμενος k 7r
τῷ λοιπῷ τετραγώνῳ αὔξει μὲν αὐτό, ὡς ἐν Κατηγορίαις εἴρηται, ἀλλοιό-
25 τερον δὲ οὐ ποιεῖ· διὰ τοῦτο γὰρ καὶ γνώμων προσηγορεύθη, ὅτι περιτι-

---

2 διὰ om. M αὐτὴ K 4 τοῦ om. L 5 αἴτιον addidit t 5. 6 ἐν τῷ] τῶ ἐν τῶ L: fort. τὸ ἐν τῷ 7 ὃς] ὁ L καθ' αὐτὸ L 9 συμβένον K 10 περιτιθεμένων LK: παρατιθεμένων Mt. similis varietas v. 25 sq. p. 393,5 11 ὅτε (ante μὲν) libri ἄλλο] ἀεὶ ἓν ἄλλω L: ἄλλο ἀεὶ et proxime γίγνεσθαι Aristoteles cf. p. 394,19 ὅτε (sic) δὲ ἕν (ἑνί L) LK: om. Mt 12 αὐτοὺς] αὐτοῦ KM 13. 14 ὑπὸ τοῦ περιττοῦ περαίνεσθαι ὅπερ ἔφη L 14 ἐπὶ τοῦ] ἐπὶ τοὺς L 15 ἄλλα om. L διὰ τούτων τινὰ L 16 τὸ συμβαῖνον L 17 γε] τε L 18 ἔλεγε M 19. μὲν] δὲ μὲν K 19. 20 ἵνα δὲ θώμεν τὸ λεγόμεν εἴπομεν K 20 πρότερόν τι (LKM)t

21 figuras  γνώμων appingit M διέλη KM: διέλης (L)t τοῦτο et ἴσα om. L. 22 ἔοικε L 23 ὅτι τις L 24 Κατηγορίαις c. 14 p. 15ᵃ30 25 ὅτι] ὃ K

www.libtool.com.cn

θέμενος τοῖς τετραγώνοις φυλάττει τὸ αὐτὸ εἶδος. οὐ μόνον δὲ ἐπὶ k 7r
τετραγώνων ὁ γνώμων τὸ αὐτὸ φυλάττει εἶδος, ἀλλὰ καὶ ἐπὶ παντὸς παραλληλογράμμου· ἔστι γὰρ γνώμων, ὡς ὁ γεωμέτρης ὁρίζεται, παντὸς παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων ἓν ὁποιονοῦν σὺν τοῖς δύο παραπληρώμασιν, ὅσπερ περὶ τὸ αὐτὸ εἶδος περιτιθέμενος ἀεὶ τὸ αὐτὸ φυλάττει. καὶ οἱ ἀριθμητικοὶ δὲ γνώμονας καλοῦσι πάντας τοὺς περιττοὺς ἀριθμοὺς διὰ τὴν αὐτὴν αἰτίαν. ἐὰν γὰρ συνθῇς ἀπὸ μονάδος ἐφεξῆς πάντας τοὺς περιττοὺς ἀριθμούς, οἷον α′ γ′ ε′ ζ′ θ′ ια′ ιγ′, καὶ τοῦτο ἐπ᾽ ἄπειρον, εἶτα ἀρξάμενος συνθῇς τὸν γ′ τῇ μονάδι, ποιεῖς τετράγωνον ἀριθμὸν τὸν δ′ (τετράγωνος δὲ καὶ ἡ μονάς· ἅπαξ γὰρ ἡ μία πάλιν μίαν ποιεῖ), εἶτα τῷ δ′ ἐπισυνθεὶς τὸν ε′ ποιεῖς τὸν θ′ πάλιν τετράγωνον, καὶ τούτῳ τὸν ζ′ ποιεῖς τὸν ις′, καὶ τούτῳ τὸν θ′ ποιεῖς τὸν κε′, καὶ τούτῳ τὸν ια′ ποιεῖς τὸν λς′, καὶ οὕτως ἐπ᾽ ἄπειρον τοὺς ἐφεξῆς περιττοὺς τοῖς γινομένοις συντιθεὶς τὸ αὐτὸ εἶδος φυλάττεις τῶν τετραγώνων. καὶ ἄλλην δὲ γένεσιν τῶν τετραγώνων παραδιδόασιν, εἰ καὶ τοῦ προκειμένου μικρὸν παρεκβαίνομεν, τὴν λεγομένην κατὰ δίαυλον, οὐ μόνον τὴν γενεσιν τὴν τῶν τετραγώνων ἀριθμῶν ἡμᾶς διδάσκουσαν, ἀλλὰ καὶ τὴν πλευρὰν ἀφ᾽ ἧς ἕκαστος ἀναγράφεται. ἐκθοῦ γὰρ τὸ χύμα τῶν ἀριθμῶν ἀπὸ μονάδος καὶ ἐπ᾽ ἄπειρον, εἶτα ἀρξάμενος ἀπὸ μονάδος καὶ συντιθεὶς τοῖς ἐφεξῆς ἀναπόδιζε μέχρι τῆς μονάδος, καὶ πάντας τοὺς γινομένους τετραγώνους εὑρήσεις, οἷον α′ β′ γ′ δ′ ε′ ς′. ζ′ η′ θ′ ι′ ια′ ιβ′ καὶ ἐπ᾽ ἄπειρον· σύνθες τὴν μονάδα τῇ δυάδι, καὶ ἀνακάμψας ἐπισύνθες τὴν μονάδα, καὶ ποιεῖς τὸν δ′ τετράγωνον· πάλιν ἀρξάμενος μέχρι τοῦ γ′ καὶ ἀνάκαμψον πάλιν μέχρι τῆς μονάδος, καὶ ποιεῖς τὸν θ′. καὶ τὸν ἀριθμὸν μέχρις οὗ ποιεῖς τὴν σύνθεσιν, τοῦτον εὑρήσεις πλευρὰν τοῦ γενομένου τετραγώνου· ὁ γὰρ β′ τοῦ δ′ πλευρά, ὁμοίως τοῦ θ′ ὁ γ′ (ἕως γὰρ τοῦ γ′ συνθέντες ἀνεποδίσαμεν), καὶ οὕτως ἐπ᾽ ἄπειρον. τοῦτο μὲν οὖν ἔξω

---

2 τῶν τετραγώνων L 3 figuram

α	α	α	α
α	α	α	α
α	α	α	α
α	α	α	α

appingit L 3. 4 ἔστι— παραλληλογράμμου om. L 3. ὁ γεωμέτρης Euclid. Elem. II def. 2 γεομέτρης t 4 ἑνοποιοῦν M 5 ὅπερ L 7. 8 διὰ τὴν—ἀριθμούς om. Mt 7 immo ἐκθῇς vel ἐκθῇ cl. v. 18 8 ἐφεξῆς πάντας K: om. L at cf. p. 394,6 9 εἶτα KM: εἰ L: εἰ γὰρ t συνθεὶς K γ′ τῇ K: τρία τῇ L: τρί τῇ M: α′ τριττῇ t 10 τὸν δ̄ LK: τὸν τέταρτον Mt τετράγωνως (sic) K καὶ ἡ μονάς LK: om. M: ἡ μονάς de coniectura t 10. 11 ἡ μία πάλιν μίαν ποιεῖ. εἶτα LK: ἡ μία μία. εἶτα πάλιν Mt 12 prius τούτω ex τούτων K τὸν (ante ις′) om. K 13 οὕτω L τοὺς] τοῖς L 14 γενομένοις emendat t 15 τῶν] τὸν K 17 τὴν (ante τῶν) om. Mt 18 ἕκαστος t: ἕκαστ M: ἕκαστον LK ἐκθοῦ et χύμα scripsi: ἔκθου et χῦμα (cf. Lobeck, Paralipom. p. 417 sqq.) libri γὰρ om. L 18. 19 ἀριθμῶν ἀπονάδος (sic) K 21 ς′ om. Mt 23 post ἀρξάμενος addit σύνθες fortasse recte L 24 ἀνάκαμψον LKM: ἀνάκαμψας (sic) t post μονάδος (μοηάδος errore typogr.) addit ἐπισύνηθες (sic) t 25 μέχριος οὗ K: μέχρις οὖν L 26 πλευραί LK 27 ἀνεποδίδαμεν K: ἐνεποδίσαμεν L

www.libtool.com.cn

τοῦ προκειμένου, ὃ δέ φησιν ἐνταῦθα, τοῦτό ἐστιν· ὅτι, φησί, τὸ μὲν k 7r
ἄρτιον ἄπειρον ὄν, ὅταν συμπλακῇ τῷ περιττῷ, ἀπειρίας αἴτιον γίνεται
καὶ τοῖς ἐξ αὐτῶν γινομένοις, τὸ δὲ περιττὸν διὰ τὸ περατωτικὸν εἶναι καὶ
πέρας ὁρισμοῦ καὶ ταυτότητος αἴτιον γίνεται τοῖς ἐξ αὐτοῦ, σημεῖον τὸ ἐπὶ
5 τῶν ἀριθμῶν τούτων τῶν δακτυλικῶν συμβαῖνον. ἐὰν γὰρ ἀπὸ μονάδος
καὶ ἐφεξῆς πάντας τοὺς περιττοὺς ἐπισυνθῇς ἀλλήλοις, οὓς καὶ γνώμονας
καλεῖ, ἀεὶ τοὺς γινομένους τετραγώνους εὑρήσεις (οὕτως ὁρισμοῦ τινος καὶ 25
ἑνότητος τὸ περιττὸν αἴτιον, ὅθεν καὶ πέρας αὐτὸ ἐκάλουν), ἐὰν δὲ τοὺς
ἀρτίους ἐπισυνθῇς τῇ τε μονάδι καὶ ἐφεξῆς πᾶσιν εἴτε ἀρτίοις εἴτε περιτ-
10 τοῖς, οὐδέποτε τὸ αὐτὸ εἶδος ποιήσεις, ἀλλ' ὁδεύσεις ἐπ' ἄπειρον τῇ
ἐξαλλαγῇ τῶν γινομένων ἀριθμῶν· σύνθες γὰρ τὴν μονάδα τῇ δυάδι καὶ
ποιήσεις [τὸν γ'] τρίγωνον, καὶ τούτῳ τὸν δ' καὶ ποιήσεις ἑπτάγωνον,
τούτῳ τὸν ϛ' καὶ πάλιν ἕτερον εἶδος. οὐ μόνον δὲ ἑαυτοῖς ἐπισυντιθέμενοι
οἱ ἄρτιοι ἀόριστα γεννῶσι καὶ ἄπειρα, ἀλλὰ καὶ τοῖς περιττοῖς. οὕτως 30
15 ἄρα τὸ ἄρτιον πρὸς τῆς ἀπειρίας ἐστὶ καὶ τοῦ ἀορίστου, τὸ δὲ περιττὸν
πρὸς τοῦ ὅρου καὶ τοῦ πέρατος· καλῶς οὖν ἄπειρον τὸ ἄρτιον ἐκάλουν.
ἔχει δὲ ἡ λέξις ἀσάφειάν τινα διὰ τὴν συντομίαν.

Περιτιθεμένων γάρ, φησί, τῶν γνωμόνων περὶ τὸ ἓν καὶ
χωρὶς ὁτὲ μὲν ἀεὶ ἄλλο γίνεσθαι τὸ εἶδος, ὁτὲ δὲ ἕν. τῶν γνωμό-
20 νων, φησίν, ἢ περὶ τὸ ἓν συντιθεμένων ἀεί, ⟨ἢ⟩ κατὰ τὸν εἰρημένον ἡμῖν
τρόπον ἀεὶ ἀλλήλοις ἐπισυντιθεμένων, ἓν ἀεὶ καὶ τὸ αὐτὸ γίνεται εἶδος. 35
εἰ δὲ χωρὶς συντεθῶσι, τουτέστι μὴ ἑαυτοῖς ἐπισυντεθῶσιν ἀλλὰ τοῖς
ἀρτίοις, οὐδέποτε τὸ αὐτὸ εἶδος γενήσεται, ὡς εἴπομεν. τὸν β' σύνθες τῇ
μονάδι, εἶτα τῷ γ', εἶτα τῷ ε', ἤγουν ἕνα τῶν γνωμόνων ἀεὶ τοῖς
25 ἐφεξῆς ἀρτίοις οἷον τὸ γ' τῷ β' καὶ δ' καὶ ϛ'· κατ' οὐδένα γὰρ τρόπον
ὡρισμένον τι εἶδος γίνεται, ἀλλ' ἐπ' ἄπειρον ἡ ἐξαλλαγὴ ὁδεύει. καλῶς
ἄρα εἴπομεν ὅτι τὸ ἄρτιον ἐναπολαμβανόμενον ὑπὸ τοῦ περιττοῦ καὶ
περαινόμενον παρέχει τοῖς οὖσι τὴν ἀπειρίαν· δεῖ μὲν γὰρ διὰ τὴν 40
εἰδοποιίαν τῆς συμπλοκῆς, τῆς δὲ ἀπειρίας μόνως τὸ ἄρτιον αἴτιον, ὡς
30 δέδεικται.

---

1 φησί et 2 γίνεται om. L 4 ὁρισμὸν K ταυτότης αἴτιον αἴτιον L 5 δακτυλικῶν intelleges cl. p. 428,14 6 ἐπισυνθεὶς K: ἐπισύνθης M 7 τοῦ γινομένου primitus L ὁρισμοῦ] ἀριθμοῦ L τινος om. Mt 9 prius εἴτε om. Mt 12 τὸν γ' delevi γ'] τρία L ἑπταγώνιον L 14. 16 τοῖς περιττοῖς — ὅρου καὶ iterat L 15 πρὸ τῆς LM 16 ἄρτιον marg. M²t: περιττὸν LKM 17 ἀσάφειαν marg. M²: ἀσφάλειαν M 18 φησί om. t 19 ὅτε μὲν K ἀεὶ ἄλλο (post ἄλλο add. τε L: expunxit L²) LKM: ἄλλο ἀεὶ ex Aristotele t γίγνεσθαι Lt ὅτε δὲ ἑνὶ K 20 ἢ (ante περὶ) LM: om. (K)t ἀεί, ἢ scripsi: ἀεὶ KLM: τοῦτ' ἐστὶ t 21 γίνεται] compend. γ L 22 συντεθῶσι L: συντεθῶσι* M: συντεθῶσιν K: συνθετῶσι t ἐπισυντεθῶσιν KL: ἐπι συντεθῶσιν M: ἐπισυνθετῶσιν t 24 ἤγουν ἕνα scripsi: ἡγούμενα LM et compend. K: ἡγουμένων t γνωμῶν KM 25 τὸ γ' τῷ corr. M: τοῦ γ' τῷ pr. M et Kt: τὸ γ' τὸ L 27 ὅτι τὸ L: ὅτι K: καὶ τὸ Mt 28 παρέχειν t 29 μόνον Mt

www.libtool.com.cn

p. 203a15 Πλάτων δὲ δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν. k 7r

Διὰ τοῦτο δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν, διότι ἐν τῇ τῶν μεγεθῶν διχοτομίᾳ τὸ μὲν τῶν μορίων ἐπ' ἄπειρον αὔξεται, τὸ δὲ ἕτερον ἐπ' ἄπειρον μειοῦται. τούτου δὲ τοῖς μεγέθεσι τὴν ὕλην αἰτίαν εἶναι ἔλεγεν, ἣν καὶ μέγα καὶ μικρὸν ἐκάλει δι' αὐτὸ τοῦτο, διὰ τὸ τούτων αἰτίαν εἶναι· πρώτως γὰρ ἐν αὐτῇ τὸ εἶδος γενόμενον εὐθὺς τὴν κατὰ τὸ μικρὸν καὶ μέγα ἴσχει διαφοράν.

p. 203a16 Οἱ δὲ περὶ φύσεως πάντες ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων.

Ἀντιδιαστέλλει τοὺς φυσικοὺς τοῖς Πυθαγορείοις καὶ Πλάτωνι μᾶλλον περὶ θεολογίαν ἐσχολακόσι. πάντες οὖν οἱ φυσικοί, φησίν, οὐκ οὐσίαν εἶναι τὸ ἄπειρον ὑποτίθενται, ἀλλὰ συμβεβηκὸς μὲν εἶναι τὸ ἄπειρον ἑτέραν δὲ οὐσίαν ὑποκεῖσθαι τούτῳ, ἄλλος δὲ ἄλλην ὑπετίθετο, ἣν καὶ ἀρχὴν τῶν ὄντων ὑπενόει. κοινὸν οὖν αὐτοῖς τό τε συμβεβηκὸς καὶ μὴ οὐσίαν εἶναι λέγειν τὸ ἄπειρον, καὶ διὰ τοῦτο μὴ καθ' αὑτὸ ἀρχὴν λέγειν αὐτὸ ἀλλὰ κατὰ συμβεβηκός· ἀρχὴ γὰρ ἑκάστῳ καθ' αὑτὸ ἄλλη, ἤτοι ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ ἕτερόν τι, τῇ δὲ ἀρχῇ συμβεβηκέναι τὸ ἄπειρον ὑπέθεντο διὰ τὴν ἀειγενεσίαν. ἡ μὲν οὖν κοινὴ τῶν φυσικῶν δόξα περὶ τοῦ ἀπείρου αὕτη, τίς δὲ ἡ πρὸς ἀλλήλους αὐτῶν διαφορά, ἐφεξῆς δεί-
κνυ|σι, καὶ τέως ἄλλος ἄλλην ὑπέθετο ὑποκειμένην τῷ ἀπείρῳ οὐσίαν. k 7v

p. 203a18 Τῶν δὲ πεπερασμένα ποιούντων τὰ στοιχεῖα οὐδεὶς ἄπειρα ποιεῖ.

Οὐδείς, φησί, τῶν ὑποθεμένων πλείονα εἶναι τὰ στοιχεῖα πεπερασμένα δὲ κατὰ ἀριθμόν, οἷον Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα, ἄπειρα κατὰ μέγεθος ποιεῖ οὔτε ἓν οὔτε πλείονα· εὔηθες γὰρ τοῦτο καὶ ἀδύνατον. εἴτε γὰρ ἓν εἴη ἄπειρον, τὸν πάντα καθέξει τόπον καὶ τοῖς ἄλλοις οὐ δώσει χώραν εἰς τὸ εἶναι, εἴτε πλείω εἴη ἄπειρα, ἔτι ἀτοπωτέρα ἡ ὑπόθεσις· εἰ γὰρ ἓν οὐ δυνατὸν ἄπειρον εἶναι πλείονων ὄντων τῶν στοιχείων, πολλῷ δήπου πλείονα εἶναι ἄπειρα ἀδύνατον.

---

1 καὶ τὸ om. add. L² 3 αὔξεται LK: ἐπαύξεται Mt 4 οὗτος δὲ τοῖς μὲν εἴδεσι τὴν ὕλην L 5 ἐκάλλει K τούτων τὴν αἰτίαν Mt 7 μέγαν ἰσχύει K 8 δὴ t πάντες LKM: ἅπαντες ἀεὶ e vulgato Aristotele t at cf. Diels, *z. Textgesch.* p. 21 13 ante ἑτέραν iterant ὑποτίθενται Mt ἄλλως K 15 post τοῦτο interciderit τὸ μὴ (ante καθ') K: οὐ μὴ (?) L: om. M: οὐ M²t 16 μὲν γὰρ ἑκάστου L 17 συμβεβηκέναι τὸ ἄπειρον L: συμβεβηκὸς τὸ ἄπειρον K: τὸ ἄπειρον συμβεβηκὸς Mt 21 τὰ om. t et Aristotelis libri 24. 25 κατὰ (τὸ addunt Mt) μέγεθος LMt: καὶ τὰ μεγέ K 27 χόραν K 28 πλειόνων] πλείω L 29 δήπου] δήπου μᾶλλον t at cf. p. 316,24. 344,24. 412,5. 10. 414,9. n 2v2, unde conicias γε δήπου ἄπειρα εἶναι L

www.libtool.com.cn

p. 203a19 Ὅσοι δὲ ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ Ἀναξαγόρας. k 7v

Οἱ ἀριθμῷ, φησίν, ἄπειρα ποιοῦντες τὰ στοιχεῖα (οὗτοι δὲ ἦσαν Ἀναξαγόρας τε καὶ οἱ περὶ τὸν Δημόκριτον, ὁ μὲν ἀπείρους εἶναι λέγων τὰς ὁμοιομερείας οἱ δὲ τὰς ἀτόμους) διαφέρουσι τῶν ἓν μὲν ὑποτιθεμένων τὸ στοιχεῖον ἄπειρον δὲ τῷ μεγέθει (οὗτοι δὲ ἦσαν οἱ εἴτε τὸ ὕδωρ ἢ τὸν ἀέρα ἢ τὸ μεταξὺ ὑποτιθέμενοι), τῷ τοὺς μὲν συνεχὲς ποιεῖν τὸ ἄπειρον, ἐπεὶ καὶ ἕν τι σῶμα, τοὺς δὲ τῇ ἁφῇ τὸ ἄπειρον ποιεῖν· ἀπείρων γὰρ οὐσῶν τῶν ὁμοιομερειῶν κατὰ ἀριθμὸν συμβαίνει ἁπτομένων αὐτῶν ἕν τι κατὰ τὴν ἔκτασιν καὶ ἄπειρον γενέσθαι σῶμα. πανσπερμίαν δὲ τῶν σχημάτων φησίν, ὅτι τὰς ἀτόμους οἱ περὶ Δημόκριτον οὐ μόνον κατὰ τὸν ἀριθμὸν εἶναι ἔλεγον, ἀλλὰ καὶ τοῖς σχήμασιν ἀπείρους.

p. 203a23 Καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον.

Δημόκριτος καὶ Ἀναξαγόρας διαφέροντες τῶν ἄλλων φυσικῶν τῷ ἐκείνους μὲν συνεχὲς εἶναι λέγειν τὸ ἄπειρον, τούτους δ' ἐξ ἁπτομένων ἀπείρων κατὰ ἀριθμὸν συγκεῖσθαι, ὡς συμβαίνειν αὐτοῖς ἄρχεσθαι μὲν ἐκ τοῦ κατ' ἀριθμὸν ἀπείρου, τελευτᾶν δὲ εἰς τὸ κατὰ μέγεθος ἄπειρον, κοινωνοῦντες οὖν κατὰ τοῦτο, διαφέρουσι τῷ τὸν μὲν Ἀναξαγόραν ἐξ ἀλλήλων γεννᾶν τῇ ἐκκρίσει τὰς ὁμοιομερείας, Δημόκριτον δὲ μὴ ἐξ ἀλλήλων γεννᾶν τὰς ἀτόμους. καὶ οἱ μὲν ὁτιοῦν μόριον εἶναι μῖγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁραν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ὁ δὲ Ἀναξαγόρας, φησίν, ὥσπερ ἐν τῷ ὅλῳ κατὰ ἀρχὰς πάντα μεμῖχθαι ἔλεγε, καὶ εἶναι οἷον μίαν ὁμοιομέρειαν μεγάλην ἔχουσαν πάντα ἐν ἑαυτῇ, οὕτω καὶ ἐν ἑκάστῳ τῶν κατὰ μέρος πάντα ἐνυπάρχειν ἔλεγεν. εἰς ταύτην δέ, φησί, τὴν δόξαν ἠνέχθη διὰ τὸ ὁρᾶν πάντα ἐκ πάντων γινόμενα, γίνεσθαι δὲ μηδὲν ἐκ τοῦ μὴ ὄντος, μήτε ἐξ ὄντος μὲν ἑτεροειδοῦς δέ, ἀλλὰ τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου· ὥστε ἐνυπῆρχεν ἐν τῇδε τῇ σαρκὶ πάντα κατ' ἐνέργειαν, καὶ ἐκκρίνεται ἐξ αὐτῆς ὅπερ ἂν τύχῃ πρότερον ἐπιτηδείως ἔχον πρὸς τὴν ἔκκρισιν. ἔνθεν γάρ, φησίν, ἔοικε καὶ ὁμοῦ πάντα ἐν πᾶσιν εἶναί ποτε ἀποφήνασθαι. εἰ

---

1 δ' ἄπειρα Lt 4 τὸν om. L 6 οἱ εἴτε M: οἱ ἤτε K: οἵ τε L: οἱ ἤτοι t τὸν] τῶν errore typogr. t 8 ἕν τις K 9 ὄντων τῶν ὁμοιομερῶν L ὁμοιομεριῶν t 10 γενέσθαι καὶ ἄπειρον L πανσπερμία L 11 τὸν om. L 13 οἱ LM: ὁ ex Aristotele (K)t at cf. v. 21 τῶν μορίων Aristotelis libri praeter 1 et corr. E ὁμοίως μίγμα ex Aristotelis vulgata t 14 γιγνόμενον t 16 λέγειν εἶναι L 17 ἄρχεσθαι κτλ.] cf. Themist. p. 222,21 21 μόριον oblitteratum M: om. t 22 γινόμενος K δὲ recte om. M 23 κατὰ ἀρχὴν L 23. 24 ὁμοιομέρειαν τὸ πᾶν (om. μίαν) L 24 πάντα (in exitu versus) τὰ ἐν M 25 δέ LK: γάρ Mt 26 fort. μηδὲν ⟨μήτε⟩ ἐκ vel v. 27 μηδὲ 28 ἐνυπῆρχον L ἐκκρίνεσθαι LK 29 ἐπιδείως K 30 ὁμοῦ κτλ.] cf. p. 397,21. Anaxag. fr. 1 Mull. 30 ἀποφήνασθαι ποτὲ L

www.libtool.com.cn

γὰρ ἥδε ἡ σάρξ, φησί, καὶ τόδε τὸ ὀστοῦν ἐκ πάντων ἂν γένοιτο καὶ ἐξ k 7v
αὐτῆς πάντα, καὶ ὁτιοῦν ἐξ ὁτουοῦν γένοιτ' ἄν. ὥστε πάντα ἐκ πάντων.
εἰ δὲ πάντα ἐκ πάντων, ἔστι δὲ οὐ μόνον ἀρχὴ τῆς διακρίσεως τοῦδε τοῦ
ὀστοῦ καὶ τῆσδε τῆς σαρκός, ἀλλὰ καὶ πάντων τῆς διακρίσεως ἔστιν ἀρχή, 35
5 ἔοικεν ἄρα πάντα ἐν πᾶσιν εἶναι πρὶν ἄρξασθαι διακρίνεσθαι. εἰ γὰρ πάν-
των τῆς διακρίσεως ἔστιν ἀρχή, πᾶν δὲ ἐκ παντὸς διακρίνεσθαι πέφυκε,
πρὶν ἄρα ἀρχὴν λαβεῖν τῆς διακρίσεως τὰ πράγματα, ὁμοῦ πάντα ἦν·
πᾶσα γὰρ διάκρισις ἀπό τινος χρόνου ἤρξατο. ὅτι δὲ καὶ πάσης δια-
κρίσεως ἔστιν ἀρχή, ἐφεξῆς κατασκευάζει ὡς ἐκ προσώπου Ἀναξαγόρου,
10 τὰ μὲν λαμβάνων ὁμολογούμενα ἐκ τῆς αὐτοῦ δόξης, τὰ δὲ κατὰ τὸ ἀκό-
λουθον ἐκ τῶν εἰλημμένων συλλογιζόμενος. δόξειε δὲ ἐναντίον τι λέγειν ἐν- 40
ταῦθα ὁ Ἀριστοτέλης τοῖς ἐν τῷ πρώτῳ λόγῳ εἰρημένοις περὶ Ἀναξαγόρου·
ἐκεῖ μὲν γὰρ ἔλεγε βούλεσθαι μὲν τὸν νοῦν διακρῖναι τὰς ὁμοιομερείας, μὴ
δύνασθαι δέ, διὸ καὶ ἀνόητον ἔλεγεν εἶναι τὸν νοῦν τοῖς ἀδυνάτοις ἐπιχει-
15 ροῦντα, ἐνταῦθα δέ φησιν ἐξ ἀρχῆς τινος ἄρξασθαι τὸν νοῦν διακρίνειν
τὰς ὁμοιομερείας. λέγομεν οὖν ὅτι οὐκ εἰσὶ ταῦτα ἐναντία· ἐκεῖ μὲν γὰρ
περὶ ἑκάστης τῶν κατὰ μέρος ὁμοιομερειῶν ἔλεγεν ὅτι οὐ δύναται εἰλικρινῶς
ἑκάστην διακρῖναι ὁμοιομέρειαν, οἷον σαρκός, μηδὲν ἔχουσαν ἐν αὐτῇ ἑτέρας 45
οὐσίας, ἐνταῦθα δέ φησιν ὅτι τὴν μίαν καὶ ἄπειρον τῷ μεγέθει ὁμοιομέ-
20 ρειαν, ἐν ᾗ πάντα ἦν τὰ ὄντα, δι' ἣν καὶ ἔλεγε τὸ 'ἦν ὁμοῦ πάντα χρήμα-
τα', διακρίνει εἰς μερικὰς ὁμοιομερείας, οὐκ εἰλικρινεῖς, ἀλλὰ πάντα καὶ
αὐτὰς ἐχούσας, φαινομένην δὲ καὶ ὀνομαζομένην ἀπὸ τοῦ ἐπικρατοῦντος.

p. 203ª28 Ἐπεὶ γὰρ τὸ γινόμενον ἐκ τοῦ τοιούτου γίνεται σώ-
ματος, πάντων δέ ἐστι γένεσις.

25 Βούλεται κατασκευάσαι ὅτι καὶ ἀρχὴ τῆς διακρίσεως ἔστι πάντων, 53
καὶ πρὶν διακριθῇ, πάντα ἦν ἐν πᾶσι. λαμβάνει οὖν ὅτι πᾶν τὸ γινόμενον
ἐκ τοῦ ὁμοίου γίνεται (τοῦτο γάρ ἐστι τὸ ἐκ τοῦ τοιούτου) καὶ ὅτι πάν-|
των ἐστὶ γένεσις, οὐχ ἅμα δέ, ἀλλὰ τοῦδε πρὸ τοῦδε, ὅπερ ἂν ἐπιτη- k 8r
δειότερον ἦν πρὸς ἔκκρισιν. δεῖ δέ, φησί, καὶ ἀρχήν τινα τῆς γενέσεως
30 ποιητικὴν εἶναι, αὕτη δέ ἐστι κατ' Ἀναξαγόραν ὁ νοῦς· εἰ οὖν μηδέν ἐστιν
ἀγένητον, τὸ δὲ τῆς γενέσεως αἴτιον ὁ νοῦς ἀπό τινος ἀρχῆς ἤρξατο δια-
κρίνειν τὰ πράγματα, ἀρχὴ ἄρα ἔστι τῆς διακρίσεως ἁπάντων. ἀλλὰ μὴν
καὶ πᾶν ἐκ παντὸς γίνεται, ἀδύνατον δὲ τὸ γινόμενον μὴ ἐκ τοῦ ὁμοίου 5

---

1 ἥδε] δὴ δὲ K ἐκ παντὸς L 2 αὐτῆς LK: αὐτοῦ Mt γένοιτ' om. K ὥστε καὶ L 3 εἰ—ἐκ πάντων om. L 5 διακρίνασθαι L 7 ἄρα om. L 8 γὰρ ἡ διάκρισις t post ὅτι δὲ iterant (ex v. 7) τὰ πράγματα ὁμοῦ πάντα ἦν Mt 11 εἰλημμένων K δὲ LK: δ' M: δ' ἂν emendat t τι om. K 12 πρώτῳ λόγῳ c. 4 p. 188ª9 13 μὲν (ante τὸν) om. Mt 16 λέγωμεν K οὖν καὶ ὅτι L 18 et 19 sq. ὁμοιομερείαν K 18 μηδὲν LK: μὴ Mt αὐτῇ libri 20. 21 πάντα τὰ χρήματα K 21 ὁμιομερείας t εἰλικρινεῖν K 22 φαινομένας et ὀνομαζομένας emendat t 24 δέ ἐστι M: δέ ἐστιν K: γὰρ ἐστὶ L: δ' ἐστὶ t 29 ἦν] ᾗ t τινα om. L 29. 30 ποιητικὴν τῆς γενέσεως Mt 30 αὐτῆ K μηδὲν εἶναι L 31 ἀγέννητον Mt

www.libtool.com.cn

γενέσθαι, ἀνάγκη ἄρα πᾶν ἐν παντὶ εἶναι, ἵνα οὕτως τὸ πᾶν ἐκ παντὸς k 8r
ἐκκρίνηται. πρὶν δὲ ὁ νοῦς ἄρξηται διακρίνειν, οὐδὲν ἦν διακεκριμένον· οὐδὲν γὰρ ἄλλο τι διακρίσεως αἴτιον ἢ ὁ νοῦς· ἀνάγκη ἄρα ὁμοῦ πάντα εἶναι. εἰ γὰρ ὁ νοῦς μὲν τῆς διακρίσεως τῶν πραγμάτων αἴτιος, μὴ πᾶν δὲ ἐκ παντὸς ἐπεφύκει γίνεσθαι, οὐκ ἦν ποτε ὁμοῦ πάντα, εἴτε ἐπεφύκει μὲν πᾶν ἐκ παντὸς γίνεσθαι, μὴ ὁ νοῦς δὲ μόνος αἴτιος ἦν τῆς διακρίσεως, οὐδὲ οὕτως ἦν ἀνάγκη πάντα ἐν πᾶσιν εἶναι, δυνατὸν δὲ καὶ ἄλλως κατὰ μικρὰς ὁμοιομερείας διῃρῆσθαι τὸ πᾶν, ὥσπερ καὶ νῦν.

p. 203ᵃ34 Ἀλλ' ὅμως γε αὐτῷ τὸ κοινὸν σῶμα ἓν πάντων ἐστὶν κατὰ τὰ μόρια καὶ σχήματι διαφέρον.

Ὁ Δημόκριτος, φησί, τὰ πρῶτα σώματα λέγω δὴ τὰς ἀτόμους ἀγενήτους φησίν (οὐδὲν γὰρ ἐκ τοῦ ἑτέρου γίνεται, οἷον ἡ σφαιρικὴ ἐκ τῆς πυραμοειδοῦς), μίαν μέντοι κοινὴν φύσιν σώματος ὑποτίθησι τοῖς σχήμασι πᾶσι, τούτου δὲ μόρια εἶναι τὰς ἀτόμους μεγέθει καὶ σχήματι διαφερούσας ἀλλήλων· οὐ μόνον γὰρ ἄλλο καὶ ἄλλο σχῆμα ἔχουσιν, ἀλλ' εἰσὶν αὐτῶν καὶ αἱ μὲν μείζους αἱ δὲ ἐλάττους.

p. 203ᵇ4 Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, ἔκ τε τοῦ τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα διαιρεῖσθαι εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, καὶ ἐκ τοῦ πάντας τοὺς παλαιοτέρους μὴ μόνον ὑποθέσθαι εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων, νῦν βούλεται δεῖξαι ὅτι εὐλόγως, ὑποθέμενοι εἶναι τὸ ἄπειρον, ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναι· εἰ γὰρ ὅλως ἔστιν, ἀδύνατον μὴ ἀρχὴν αὐτὸ εἶναι. ἀνάγκη γὰρ εἰ ἔστιν, ἢ μάτην εἶναι ἢ ἕνεκά του. μάτην μὲν οὖν οὐκ ἔστι· τὰ γὰρ μάτην σπάνια, τὸ δὲ ἄπειρον τῶν ἀεὶ ὡσαύτως ἐχόντων (καὶ γὰρ ἄφθαρτον καὶ ἀγένητον)· οὐκ ἄρα μάτην, ἀλλ' ἕνεκά του. ἀλλ' εἰ ἕνεκά του, ἢ

---

1 γίνεσθαι Mt ἐν παντὶ] ἐκ παντὸς L τὸ om. L 2 κρίνηται M δὲ τὸν νοῦν t ἄρξηται LK: ἄρξεται superscr. M²: ἄρξασθαι t (ασθαι) 3 τι om. Mt 4 εἰ LM: εἴτε (K)t 7 ἐν πᾶσιν] ἐκ πάντων L δὲ KM: γὰρ (L)t 8 μικρὸν t 9 γε om. t αὐτῷ L: αὐτω (sic) K: αὐτὸ Mt cf. Diels *z. Textgesch.* p. 9 ἓν πάντων KM: πάντων L: ἁπάντων e vulgato Aristotele t at cf. Simplic. p. 462,12 ἐστὶν KM: ἐστὶν ἀρχή, μεγέθει ex Aristotele Lt: scripserim ἐστί, μεγέθει 10 τὰ om. M σχήματα L 11 τὰ πρῶτα om. L ἀγενήτους K: ἀγεννήτους M: ἀγεννή (sic) L: ἀγέννητά t 12 οὐδὲ γὰρ ἑτέρα ἐκ τῆς ἑτέρας sine iusta causa t 13 σώματος ὑποτίθησιν τοῖς σχήμασι K: σώματος τοῖς σχήμασιν ὑποτίθησι L: ὑποτίθησι σώματος τοῖς σχήμασι Mt 15 γὰρ ἄλλης ἄλλο σχῆμα (om. ἔχουσιν) L . ἄλλο σχῆμα] ἄλλως σχῆμα K 16 καὶ om. Lt 17 lemma om. K αὐτὸ mut. in αὐτῶν M 18 τε om. L 22 κατέθεντο L 26 ἀγέννητον Mt ἀλλ' ἕνεκά του om. t ἀλλ' εἰ ἕνεκά του Lt: om. KM

www.libtool.com.cn

ἀρχὴ ἔσται ἢ ἐξ ἀρχῆς· ἕκαστον γὰρ τῶν ὄντων ἢ ἀρχὴ ἢ ἐξ ἀρχῆς. k 8r
ἐὰν οὖν δείξω ὅτι ἀδύνατον αὐτὸ ἐξ ἀρχῆς εἶναι, λείπεται ἀρχὴν αὐτὸ 25
ὑποτίθεσθαι. ἡ δὲ ἀρχὴ λέγεται πολλαχῶς· λέγεται γὰρ καὶ κατὰ μέγεθος
ἀρχή, οἷον ἀρχὴ τοῦ πλοίου ἡ πρύμνα ἢ ἡ τρόπις, καὶ τῆς οἰκίας οἱ
5 θεμέλιοι, λέγεται δὲ καὶ κατὰ χρόνον ἀρχή, οἷον ἀρχὴ τοῦ πολέμου ἥδε
ἡ ἡμέρα, λέγεται δὲ καὶ πραγματικὴ ἀρχή, αἵ τε στοιχειώδεις, ἡ ὕλη
φημὶ καὶ τὸ εἶδος, καὶ αἱ λοιπαὶ δύο, τὸ ποιητικὸν καὶ τὸ τελικόν. φημὶ
οὖν κατ' οὐδὲν τῶν τῆς ἀρχῆς σημαινομένων δύνασθαι ἀρχὴν ἔχειν τὸ
ἄπειρον. καὶ ἴδωμέν γε πρῶτον ἐπὶ τῆς κατὰ μέγεθος ἀρχῆς. εἰ γὰρ 30
10 ἔχοι τὴν κατὰ μέγεθος ἀρχὴν τὸ ἄπειρον, εὐθὺς ἕξει καὶ πέρας (ἡ γὰρ
ἀρχὴ καὶ πέρας ἐστίν), ὥστε οὐκέτι ἂν εἴη ἄπειρον· ἄπειρον γάρ φαμεν
τὸ ἐστερημένον πέρατος· κατὰ στέρησιν γὰρ τοῦ πέρατος λέγεται. δῆλον
δέ που πάντως, ὅτι οὐ ταὐτὸν πέρας εἰπεῖν καὶ ἀρχὴν εἰπεῖν ἢ τέλος· ἡ
μὲν γὰρ ἀρχὴ πρὸς τέλος, τὸ δὲ πέρας οὐ πρὸς ἀρχὴν οὐδὲ πρὸς τέλος,
15 ἀλλὰ πρὸς τὸ περατούμενον. ἐπιφανείας γὰρ πέρατα γραμμαί, καὶ γραμμῆς
πέρατα σημεῖα, καὶ τὰ μὲν πέρατα φύσει ἐστίν, ἀρχὴ δὲ καὶ τέλος οὐ 35
πάντως φύσει, ἀλλὰ θέσει· τὴν γὰρ τῆς εὐθείας ἀρχὴν ἐξόν μοι ἀφ' οἵου
θέλω πέρατος ποιήσασθαι, καὶ πέρας μὲν ὁμοίως καὶ ἡ ἀρχὴ καὶ τὸ τέλος,
οὐ μέντοι τὸ πέρας πάντως ἀρχὴ ἢ τέλος. ὅτι μὲν οὖν τὴν κατὰ μέγεθος
20 ἀρχὴν οὐχ ἕξει τὸ ἄπειρον, πρόδηλον· δειχθήσεται δὲ ὅτι οὐδὲ τὴν κατὰ
χρόνον, διότι μηδὲ τὴν πραγματειώδη. ἵνα οὖν τοῦτο δείξωμεν, προσλά-
βωμεν ἐκεῖνο· 'πᾶν ὃ κατ' οὐσίαν ἐστὶ γενητόν, εἰ τὴν χρονικὴν ἀρχὴν
ἔχοι, ἀνάγκη πᾶσα καὶ τὴν πραγματειώδη ἀρχὴν ἔχειν.' ὥστε τῇ σὺν 40
ἀντιθέσει ἀντιστροφῇ· 'πᾶν ὃ μὴ ἔχει τὴν πραγματειώδη ἀρχὴν ἐξ ἀνάγκης
25 οὐδὲ τὴν χρονικὴν ἕξει.' ἐὰν οὖν δείξωμεν, ὅτι οὐ δύναται ἔχειν τὸ ἄπει-
ρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει δηλονότι· δέδεικται
δὲ ὅτι οὐδὲ τὴν κατὰ μέγεθος ἔχειν δυνατόν· οὐδαμῶς ἄρα ἀρχὴν ἕξει
τὸ ἄπειρον. ἀνάγκη δὲ ἢν αὐτὸ ἢ ἀρχὴν ἢ ἐξ ἀρχῆς εἶναι· μόνως ἄρα
ἀρχὴ τὸ ἄπειρον. εἶπον δὲ τὸ κατ' οὐσίαν, διότι τὰ μὴ ὡς οὐσία γινό-
30 μενα, ἀλλὰ ἀλλοιούμενα, οὐ πάντως ἔχει τὴν πραγματικὴν ἀρχήν, εἴ γε 45
ἔστι καὶ ἀθρόα μεταβολή, τὰ μέντοι κατ' οὐσίαν γινόμενα, εἰ χρονικὴν
ἕξει τὴν ἀρχήν, πάντως καὶ τὴν πραγματειώδη ἔχει· οὐδεμία γὰρ οὐσία
ἀθρόαν ἔχει τὴν γένεσιν, ἀλλὰ ἄλλο πάντως πρὸ ἄλλου γίνεται ἐν ταῖς
κατ' οὐσίαν γενέσεσι. πρότερον γὰρ γίνεται τὸ σπέρμα, ὅπερ τοῦ ὅλου

---

2 οὖν om. L ἀρχὴν αὐτὸ L: ἀρχῇ αὐτῷ K: αὐτὸ ἀρχὴν Mt 4 ante πλοίου delevit πολέμου ἥδε ἡ ἡμέρα L πρύμνη L τροπὶς Lt 7 τὸ ποιητικὸν L: ποιητικαὶ KMt τὸ (ante τελικὸν) om. L 8 δύνασθαι scripsi: δύναται libri 9 ἀρχῆς] ἀρχῇ K 11 οὐκ ἔτι M 13 δέ που] δὲ καὶ ἐκ τούτου L 16 φύσει] φησὶν L δὲ om. superscr. L 18 πέρατος] πέρατα K 21 μὴ δὲ LK: οὐδὲ Mt πραγματιώδη constanter K οὖν] δὲ L 21. 22 προλάβωμεν L 22 ἐστὶ] ὂν L γεννητὸν Mt 27 κατὰ τὸ μέγεθος L 28 ἦν] οὖν, ut videtur, L ἢ ἀρχὴν] ἡ ἀρχὴ K μόνως compend. M: μόνον t 30. 31 ἀλλὰ—γινόμενα om. K 30 πάντα L 32 τὴν prius om. L οὐ μία L 33 πρὸ] παρ' L 34 γένεσιν K γὰρ om. L

www.libtool.com.cn

ζῴου ὕλη ἐστίν, εἶτα ἐκ τούτου σὰρξ καὶ ἐφεξῆς ἄλλο πρὸ ἄλλου· καὶ k 8r
δεῖ γε κατεργασθῆναι τὴν ὕλην πρότερον καὶ εὐεργὸν καὶ ἐπιτηδείαν γενέσθαι. ὥστε καλῶς εἴρηται τὰ κατ' οὐσίαν γινόμενα, εἰ κατὰ χρόνον γί- 50
νοιντο, πάντως ἔχειν καὶ τὴν πραγματειώδη ἀρχήν, οὔτε δὲ εἰ τὴν πραγ-
5 ματειώδη ἔχει, ἕπεται τὸ καὶ τὴν κατὰ χρόνον ἔχειν, ὡς δηλοῖ τὰ οὐράνια, εἴ γέ ἐστιν ἀίδια· οὕτως εἰ μὴ ἔχοι τὴν κατὰ χρόνον, τὸ μηδὲ τὴν πραγματειώδη ἔχειν ἀκολουθεῖ. πόθεν οὖν ὅτι οὐκ ἔχει τὴν πραγματειώδη ἀρχὴν τὸ ἄπειρον; τούτου γὰρ δεδειγμένου ἔχομεν ὅτι οὐδὲ τὴν χρονικὴν ἔχει· τεσσάρων γὰρ οὐσῶν ἀρχῶν, ἐὰν δείξω ὅτι ἀδύνατον τὴν ὑλικὴν
10 καὶ τὴν εἰδικὴν ἀρχὴν ἔχειν τὸ ἄπειρον, | ἔχομεν συναποδεδειγμένον ὅτι k 8v
οὐδὲ τὴν τελικὴν οὐδὲ τὴν ποιητικήν. ὅτι μὲν οὖν οὐκ ἔχει τὴν ὑλικὴν ἀρχὴν τὸ ἄπειρον, δείξωμεν οὕτως. εἰ ἕξει ὕλην τὸ ἄπειρον, ἢ πεπερασμένη ἐξ ἀνάγκης ἔσται ἢ ἄπειρος· εἰ μὲν οὖν πεπερασμένη, καὶ τὰ ἐξ αὐτῆς συγκείμενα πεπερασμένα ἔσται (οὐδὲν γὰρ πεπερασμένην ἔχον ὕλην
15 ἄπειρόν ἐστιν), εἰ δὲ ἄπειρος ἡ ὕλη, ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον καὶ ἐξ αὐτοῦ τὰ ἄλλα, οὐκ αὐτὸ ἐκ τῶν ἄλλων. κἂν ἔχοι δέ τι τὸ ἄπειρον, οὐ 5
δι' αὑτὸ ἕξει, ἀλλὰ τῷ τὴν ἀρχὴν αὐτοῦ ἐξ ἧς συνέστηκεν ἄπειρον εἶναι. οὐκ ἄρα δυνατὸν ὑλικὴν ἔχειν ἀρχὴν τὸ ἄπειρον· εἴτε γὰρ ἄπειρος εἴη, τὸ ζητούμενον ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον, εἴτε πεπερασμένη, καὶ τὸ ἐξ
20 αὐτῆς πεπερασμένον ἔσται. ἀλλ' οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται· πρῶτον γὰρ ἀεὶ τὸ εἶδος περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων ἀόριστον δὲ τὸ ἄπειρον, ἔπειτα τὸ εἶδος ἢ ἄπειρον ἔσται ἢ πεπερασμένον, καὶ πάλιν τὰ αὐτὰ ἕψεται. οὐκ ἄρα οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται τὸ 10
ἄπειρον. εἰ δὲ ταύτας οὐχ ἕξει, οὐδὲ τὴν ποιητικὴν καὶ τελικήν· τὸ γὰρ
25 ποιητικὸν εἴ τι ποιεῖ, εἰς ὕλην καὶ εἶδός τι ποιεῖ· εἰ τοίνυν οὐκ ἔχει εἶδος οὐδὲ ὕλην, οὐδὲ ποιητικὸν ἕξει αἴτιον (νῦν δὲ δῆλον ὅτι ἐπὶ φυσικῶν τὸν λόγον σκοποῦμεν, ἃ πάντως ἐξ ὕλης ἐστί), δι' αὐτὸ δὲ τοῦτο οὐδὲ τελικὸν ἕξει, διότι τὸ εἶδος πρὸς τὸ τέλος ἐστὶ καὶ ταὐτὸν τῷ εἴδει τὸ τέλος κατὰ τὸ ὑποκείμενον, ὡς εἴρηται ἔμπροσθεν. ὥστε εἰ ἀδύνατον
30 ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει· ὅλως 15
ἄρα ἀρχὴν οὐχ ἕξει. λείπεται οὖν αὐτὸ ἀρχὴν εἶναι.

---

2 ἔνεργον K: ἐνεργ'' M 3. 4 κατὰ χρόνος γίνοιτο K 4 ἔχειν scripsi: ἔχει libri οὔτε] οὕτως L δὲ εἰς τὴν (hoc ex τὸν) K 5 ἔχοι (recte hoc), ἕπεται καὶ τὸ τὴν κατὰ τὸν χρόνον, ὡς δῆλα L 6 τὸ] τῷ L 7. 8 οὖν ὅτι — ὅτι οὐδὲ om. L 8 δεδειγμένον, ut videtur, K 9 ἕξει L ἐὰν LK: ⁂ (charta perforata) M: ἢ t 10 ἰδικὴν K 11 τελικὴν] τε ὑλικὴν superscr. M² μὲν om. et mox ἔχειν L qui post ἀρχὴν inserit ἀνάγκη 12 δείξωμεν LK: δείξομεν Mt 13 ἔσται ἐξ ἀνάγκης L 13. 14 τὰ (τὸ L) ἐξ αὐτῆς LK: τὰ ἑξῆς Mt 14 συγκείμενον L πεπερασμένον utroque loco L 15 ἀρχὴν K ἀρχὴ τὸ om. L 16 τἄλλα L κἂν εἰ L ἔχει K 17 αὐτὸ libri τῷ] τὸ L 18 ἀρχὴν ἔχειν L ἄπειρος t: ἄπειρον LKM 21 ἀεὶ om. L 23 πάλιν] πάντα L ἰδικὴν K 24 ταύτας Mt: ταῦται K: ταῦτα ὅτι L οὐκ ἕξει K 25 εἴ τι] εἴτε M: εἰς τί L 26 ὕλην οὐδὲ εἶδος traic. L 27 σκοποῦμεν (L)t: σκοποῖμεν KM 28 εἶδος] τέλος L 29 ἔμπροσθεν B 7 p. 198a24 sqq. 31 οὐχ ἕξει — εἶναι om. K

www.libtool.com.cn

Τὰ μὲν οὖν δεικνύντα ὅτι ἀρχὴ τὸ ἄπειρον καὶ ὅτι οὐ δυνατὸν ἀρχὴν k 8v
αὐτὸ ἔχειν, ταῦτα. ἔχει δὲ ἀπορίαν ὁ λόγος· πρῶτον μὲν πῶς ἔφη τὴν
ὕλην τοῦ ἀπείρου ἐξ ἀνάγκης ἢ πεπερασμένην εἶναι ἢ ἄπειρον; εἰ γὰρ
δεῖ τὴν ὕλην παντελῶς ἀνείδεον εἶναι ἀμεγέθη τε καὶ ἄποσον, οὔτε πεπε-
5 ρασμένη δηλονότι ἔσται οὔτε ἄπειρος, ἀλλ' ἐκφεύξεται τὴν διαίρεσιν, ὥσπερ
οὐδὲ τὸ σημεῖον ἀνάγκη ἢ πεπερασμένον εἶναι ἢ ἄπειρον· οὐ γὰρ κατὰ
ἀντίφασιν ἡ διαίρεσις. πῶς δὲ εἰ ὅλως καὶ πεπερασμένη ἡ ὕλη, καὶ τὸ 20
ἐξ αὐτῆς πεπερασμένον ἔσται; οὐδὲ γὰρ ἐπειδὴ καὶ ἡ ὕλη ἀσώματος καὶ
ἀμεγέθης καὶ τὰ εἴδη καθ' αὑτὰ ἀσώματα καὶ ἀμεγέθη, ἤδη καὶ τὸ ἐξ
10 αὐτῶν συγκείμενον ἀσώματον ἔσται καὶ ἀμέγεθες. καὶ ὥσπερ εἰ γένοιτο
τοῦτο τὸ αἰσθητὸν σῶμα, ἐξ οὗ σώματος γενήσεται, ἐπειδὴ καὶ πᾶν τὸ
γινόμενον ἐκ τῆς στερήσεως ἑαυτοῦ γίνεται (ἐξ οὗ τοιοῦδε γάρ), οὕτω δὲ
δηλονότι καὶ εἰ τὸ ἄπειρον γενητόν ἐστι, εἴτε κατὰ χρόνον εἴτε κατ' αἰ-
τίαν, ἐξ οὗ τοιοῦδε γενήσεται· ὥστε ἐξ οὐκ ἀπείρου γενήσεται. γίνεται 25
15 δὲ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, ἐπειδὴ καὶ πάντα τὰ ἄλλα· οὐκ ἄρα
ἀνάγκη ταῦτα ἄπειρα εἶναι. ἀλλ' οὐδὲ πεπερασμένα διὰ τὴν εἰρημένην
αἰτίαν.

Ἐπιλύουσι δὲ τὴν ἀπορίαν τούτῳ τῷ τρόπῳ. οὐδέν, φασίν, ἐστὶν ἐν
τοῖς συνθέτοις ὃ μὴ ὑπάρχει τοῖς ἁπλοῖς· εἰ γὰρ καὶ ἡ ὕλη μέγεθος οὐκ
20 ἔστιν, ἀλλ' οὖν τὸ εἶδος τοῦ σώματος, ὃ ἀχρόνως ἐπιγίνεται τῇ ὕλῃ,
τοιοῦτόν ἐστιν ἐξ οὗ τῷ συνθέτῳ ὑπάρχει τὸ μεγέθει εἶναι, καὶ οὐ τοῦτό
φημι ὅτι μέγεθός ἐστιν αἰσθητὸν τὸ εἶδος τοῦ σώματος, ἀλλ' ὅτι τῷ οἰκείῳ 30
λόγῳ χωριστὸν ὕλης ἐστὶ μέγεθος, ὅσπερ λόγος ἐγγενόμενος τῇ ὕλῃ τὸ
αἰσθητὸν ποιεῖ μέγεθος. οὕτως καὶ εἴ ἔστι τι ἄπειρον ἐξ ὕλης καὶ εἴδους,
25 δεῖ τὸ ἄπειρον τοῦτο ἐν ταῖς ἀρχαῖς εἶναι· μὴ γὰρ ἐχουσῶν τῶν ἀρχῶν
τοῦτο, οὐδ' ἂν τὸ ἐξ αὐτῶν ἔχοι· ὥστε εἰ καὶ μὴ ἐν τῇ ὕλῃ δυνατὸν ὑπο-
θέσθαι τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, ἀλλ' οὖν ἐν τῷ εἴδει γε ἀνάγκη.

Πρὸς τοῦτο δὲ πάλιν ἐρεῖ τις ὅτι εἰ πάντα τὰ ἐν τῷ συνθέτῳ
ἀνάγκη καὶ ἐν τοῖς ἁπλοῖς εἶναι, ἔστι δὲ τὸ σῶμα ἐπ' ἄπειρον διαιρετόν,
30 ἕξει καὶ ἤτοι ἡ ὕλη ἢ τὸ εἶδος τὸ εἰς ἄπειρον διαιρετόν· ἀλλ' οὔτε τὸ 35
εἶδος διαιρετόν ἐστι (λέγομεν γοῦν ἀμερὲς εἶναι τὸ εἶδος τῷ οἰκείῳ λόγῳ,
μερίζεσθαι δὲ καὶ διίστασθαι ἐν τῇ ὕλῃ γενόμενον), ἀλλὰ καὶ αὐτὴν πάλιν
τὴν ὕλην φαμὲν ἀμεγέθη εἶναι καὶ ἀδιάστατον· οὐκ ἄρα ἐν τοῖς ἁπλοῖς
τὸ διαιρετόν, εἰ μὴ ἄρα δυνάμει. ἀλλὰ τοῦτο οὐδὲν πρὸς τὸν λόγον· περὶ
35 γὰρ τοῦ κατ' ἐνέργειαν ἀπείρου νῦν ἡμῖν ὁ λόγος. πάλιν ἐστὶ τὸ λευκόν,

---

1. 2 Τὰ μὲν—ἔχειν om. K 2 πῶς om. L 5 οὔτε] τοῦ K qui scriptum ου τ invenerit cf. ad p. 364, 19. 402, 2. 4 al. 7 πεπερασμένη] τὸ πεπερασμ/ε K καὶ alterum om. L 10 ἀσώματόν ἐστι L 12 τῆς τερήσεως K 13 εἰ om. L γεννητόν LM 15 τἄλλα L 16 ταῦτα ἀνάγκη L 18 τοιούτῳ τρόπῳ L φησιν L et compend. K ἐστὶν K: εἶναι L: om. Mt 20. 22 ὃ ἀχρόνως—σώματος om. L 23 ὥσπερ superscr. M²: ὥσπερ L 24 οὕτω t ἔστιν ἄπειρον τί L 27 ἀνάγκη ἀνάγκη L 30 ἕξει — εἰς ἄπειρον διαιρετόν om. L 31 οὖν L 35 γὰρ om. K τὸ μὲν λευκὸν L

www.libtool.com.cn

ἐν σώματι φημι, διακριτικὸν ὄψεως, καὶ ὅμως αὐτὸ καθ' αὑτὸ τὸ εἶδος k 8v
τοῦ λευκοῦ οὔτε τὸ στοιχειῶδες, μήπω δὲ συμπλακὲν τῇ ὕλῃ, οὔτε τὸ ἐν
τῷ δημιουργῷ τοιοῦτόν ἐστι. πάλιν ἐστὶν ὁ ἄνθρωπος ζῷον λογικὸν
θνητόν, ἀλλ' ὅμως οὔτε ἡ ἰδέα αὕτη τοῦ ἀνθρώπου θνητή ἐστιν, οὔτε
5 δὲ ἡ ὕλη. ὅλως δὲ τὰ ἐν τῷ δημιουργῷ εἴδη οὐ τοιαῦτά φαμεν, οἷον τὸ
τοῦ σώματος εἶδος οὐ τριχῇ διαστατόν, οὐδὲ τὸ τοῦ ποσοῦ εἶδος συνεχὲς
ἢ διωρισμένον, ἢ ζῷον λογικὸν θνητὸν τὸ τοῦ ἀνθρώπου, ἀλλὰ λόγους
τούτων καὶ αἰτίας.

Πρὸς ταῦτά φασιν ὅτι πάντων μέν ἐστί τις ὁμοιότης κατ' οὐσίαν ἔν
10 τε τοῖς εἴδεσι τοῖς ἐν τῷ δημιουργῷ καὶ ἐν τοῖς ἐξ αὐτῶν προϊοῦσι μέχρι
τῆς ὕλης (οὐδὲ γὰρ ἁπλῶς ὁμωνύμως ἄνθρωπος τοῦτο κἀκεῖνο, ἀλλ' ὡς
ἀφ' ἑνὸς καὶ πρὸς ἕν), ἐν οἷς ἔστι καὶ οὐσιώδης τις κοινωνία πρὸς τὰ
ἀφ' ὧν ἐστι καὶ διαφορά, ὥσπερ ἀπὸ τῆς ὑγιείας τὸ ὑγιεινὸν σιτίον. εἰ
γὰρ πρὸς ἐκεῖνο ἀφορῶν ὁ δημιουργὸς ποιεῖ τὰ ἐνταῦθα, δεῖ δέ που πολλὴν
15 τὴν κατ' οὐσίαν κοινωνίαν εἶναι (οὐ γὰρ δὴ ὡς ζωγράφος ἀφορῶν εἰς τὸν
ἄνθρωπον, ἄνθρωπον μὲν τῷ ὄντι οὐ ποιεῖ, ἀπομιμεῖται δὲ τὰ κατὰ συμ-
βεβηκὸς τῷ σώματι ὑπάρχοντα, οἷον χρώματα καὶ σχήματα, οὕτω καὶ ὁ
δημιουργὸς μιμήματα μόνον ἁπλῶς καὶ μηδεμίαν κοινωνίαν ἔχοντα πρὸς
τὰ ἐκεῖ εἴδη ποιεῖ τὰ ἐνταῦθα, ἀλλ' οὐσιωδῶς ἐκεῖνα ἐν τούτοις ἀπομάτ-
20 τονται, ὥσπερ καὶ ἡ σφενδόνη ἐν τῷ κηρῷ τὸν ἐν αὐτῇ χαρακτῆρα),
οὔσης οὖν ἐν αὐτοῖς τῆς κατ' οὐσίαν ὁμοιότητος, εἴ τι μὲν τοῖς συνθέτοις
ὑπάρχει συμπληρωτικὸν τῆς οὐσίας καὶ οἱονεὶ στοιχεῖον καὶ πλήρωμα τοῦ
ὅλου συγκρίματος, πάντως ἐκ τῶν ἁπλῶν ὑπάρχει, τῶν δὲ εἰδῶν προϊόντων
ἐκεῖθεν μέχρι τῆς ὕλης, ἐπειδὴ ἀνάγκη πάντως ὕφεσίν τινα τοῦ | παρά- 11r
25 γοντος καὶ τοῦ παραγομένου εἶναι, ἐπισυμβαίνει τινὰ τοῖς προϊοῦσιν ἅπερ
μὴ ὑπάρχει τῷ παράγοντι. οἷόν τι λέγω· τὸ φῶς τὸ ἐν τῷ ἀέρι πρό-
εισιν ἐκ τοῦ ἡλίου, καὶ δῆλον ὅτι ἐστί τις πολλὴ ⟨ἡ⟩ ὁμοιότης καὶ ἡ κατ'
οὐσίαν κοινωνία τούτου πρὸς τὸ ἐν τῷ ἡλίῳ (οὐ γὰρ δὴ ὁμώνυμά ἐστι
μόνα τὰ φῶτα ταῦτα), ἀλλὰ ἐν τῇ προόδῳ ἐπισυμβαίνει τινὰ πάθη τῷ
30 προϊόντι φωτί, ἅπερ οὐκ ἔστιν ἐν τῷ ἡλίῳ, οἷον τὸ συσχηματίζεσθαι τοῖς 5
τόποις οὓς φωτίζει, τὸ ἔχειν ἀντιτεταγμένον τὸν σκότον, καὶ ἄλλα μυρία.
ὥσπερ οὖν ἐνταῦθα τῷ ἀπὸ τοῦ ἡλίου φωτὶ προϊόντι ἐπισυμβαίνει μὲν ἐξ
ἀνάγκης τινά, οὐ μέντοι διὰ τοῦτο τὰ συμπληρωτικὰ τῆς οὐσίας αὐτοῦ οὐκ

1 ἐν] τὸ ἐν L 2 οὔτε τὸ (post λευκοῦ) Lt: οὔτε M: οὐ τ K οὔτε τῶ ἐν L: τοῦτο ἐν K
4 ὅμως τοῦ ἡ εἰδέα K αὕτη LM: αὐτὴ Kt 5 δὲ prius om. L 6 τὸ om. K
7 οὐδὲ ζῶον λογικὸν (om. θνητὸν) L ἀλλ' ἀλόγους K 9 ὅτι πάντως ἐστι μὲν τίς L
11 ἄνθρωπος om. superscr. M 12 τὰ] τὸ L 13 ὑγείας (om. τῆς) L ὑγιαίνον
(sic) K 14 ἐκεῖνα L 15 ὡς ὁ L 16 τῶ ὄντι οὐ K: τϊ οὐ (οὐ ex corr.) L: τῷ
ὄντι (om. οὐ) Mt 17 τοῦ σώματος L καὶ prius om. L 19. 20 ἀπομάτονται K:
ἀπομάττεται emendat t 20 χαρακτήρα t 21 τοῖς om. L 24. 25 πραγον ε τ K
26 παράγοντι L: προαγαγόντι K: προαγαγόντι Mt 27 ὅτι ἐστί om. L πολλὴ (ἡ ex
corr.) L ἡ addidi 28 ἐστι Mt: εἶναι K: om. L 29 μόνον emendat t
30 σχηματίζεσθαι L 33 αὐτοῦ t: αὐτοῦ LKM οὐκ om. t

www.libtool.com.cn

ἐκεῖθεν ἐκ τοῦ ἡλίου ἔχει, οὕτω φημὶ καὶ ἐπὶ τῶν εἰδῶν τῶν ἐν τῇ ὕλῃ· 11r
εἴ τι μὲν συμπληρωτικὸν ἔχει τῆς οὐσίας τὰ σύνθετα, ἐκ τῶν ἁπλῶν ἔχει,
ἐπισυμβαίνειν δὲ τῇ προόδῳ αὐτῶν τῇ ἐν τῇ ὕλῃ τινὰ ἃ μὴ ἐν τοῖς πρω-
τοτύποις ὑπάρχει, οἷον τὸ διαιρετὸν τὸ φθαρτὸν καὶ ὅσα τοιαῦτα, οὐδὲν 10
5 ἀδύνατον. εἰ τοίνυν τὸ ἄπειρον, ᾗ ἄπειρόν ἐστι, γίνεται ἐξ ἀρχῶν τινων,
οἷον τῆς ὑλικῆς τε καὶ εἰδικῆς, ἀνάγκη πᾶσα τὰ κατ' οὐσίαν αὐτῷ ὑπάρ-
χοντα ἕν τινι τῶν ἁπλῶν εἶναι, ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῷ εἴδει. ὥστε κἂν
ἐκ τῆς ὕλης μὴ ἔχῃ τὸ ἄπειρον αὐτὸ τοῦτο τὸ ἄπειρον εἶναι, ἀνάγκη πᾶσα
ἐκ τοῦ εἴδους αὐτὸ ἔχειν· οὐ γάρ ἐστιν αὐτοῦ ἁπλῶς πάθος τι, ἀλλ' ἐν
10 τούτῳ τὸ εἶναι ἔχει. ὅταν δὲ λέγωμεν ὅτι τὸ γινόμενον ἐξ οὐ τοιοῦδε γί-
νεται καὶ ὅτι πᾶν ἐκ τῆς στερήσεως αὐτοῦ γίνεται, ἐπειδὴ τὸ γινόμενον ἡ
ὕλη ἐστίν, ὃ δὲ γίνεται τὸ εἶδος, διὰ τοῦτο οὕτως φαμέν· ἐπεί τοί γε εἰ 15
πρὸς τὸ εἶδος τὸ χωριστὸν ἀποβλέψομεν καὶ τὴν τούτου πρόοδον καὶ
ἔλλαμψιν τὴν ἐν τῇ ὕλῃ γινομένην, ἀνάγκη πᾶσα τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου
15 γίνεσθαι. ἀλλ' ἐπεί, ὡς εἶπον, τὸ γινόμενον ἀλλοιοῦται (ἀλλοίωσις γάρ τις
καὶ μεταβολὴ ἡ γένησις), ἀλλοιοῦται δὲ οὐ τὸ εἶδος ἀλλ' ἡ ὕλη ἐπιτηδεία
γινομένη εἰς τὴν τοῦ εἴδους ὑποδοχήν, ἡ δὲ ὕλη ἀεὶ ἐν στερήσει, διὰ
τοῦτο ἀληθὲς τὸ πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε τοιόνδε γίνεσθαι. ἀλλὰ
πάλιν τῷ λόγῳ τὰ παραδείγματα μάχεται· ὅτι μὲν γὰρ ἐκ τῶν τεσσάρων 20
20 στοιχείων τὰ σύνθετα πάντα κιρναμένων ἀλλήλοις, κοινὸν ὁμολόγημα, τὰς
μέντοι φυσικὰς ἰδιότητας τὰς ἐν τοῖς συνθέτοις ἐνυπαρχούσας ἀδύνατον
λόγῳ ταῖς δυνάμεσι τῶν ἁπλῶν ἀποδοῦναι. οἷον κατὰ ποίαν δύναμιν τῶν
ἁπλῶν ἢ ὁ μαγνήτης λίθος ἕλκει τὸν σίδηρον, ἢ ὁ τούτῳ ἀντιπαθὴς λε-
γόμενος ἐκφυσᾷ καὶ ἀπωθεῖ; καὶ πολλάκις ἀμφότερα ἐν μιᾷ καὶ τῇ αὐτῇ
25 βώλῳ καθ' ἕτερον καὶ ἕτερον μόριον. καὶ τῶν βοτανῶν καὶ λίθων αἱ
ἄπειροι δυνάμεις, ἔτι τε καὶ τῶν μορίων τῶν ζῴων, καὶ ἐπὶ πάντων κα- 25
θόλου τῶν ἀντιπαθείᾳ τινὶ τῇ ἁφῇ μόνον δρώντων. ἀλλὰ πάλιν πρὸς τοῦτο
τις τῶν ἐκ φιλοσοφίας ἐρεῖ μή, ὡς τοῖς ἰατροῖς δοκεῖ, τὰς δυνάμεις πάσας
τοῖς συνθέτοις ἐκ τῶν ἁπλῶν εἶναι, ἀλλ' ὕλης λόγον ἐπέχειν τὴν τῶν
30 ἁπλῶν κρᾶσιν, ταύτῃ δὲ τῇ ὕλῃ τοίως ἢ τοίως κραθείσῃ ἐπιγίνεται ἐκ
τῆς ὅλης δημιουργίας τὰ εἴδη.

Ταῦτα μὲν οὖν πέρα τοῦ μέτρου τῶν προκειμένων ἐξέβημεν, διόπερ
ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῶν προκειμένων. δείξας ὁ Ἀριστοτέλης

---

1 ἐπὶ om. L 3 ἐπισυμβαίνει L 6 εἰδικῆς τε καὶ ὑλικῆς Mt ἰδικῆς K αὐτῷ L: αὐτῇ KMt 7 ἢ ἐν τῇ ὕλῃ om. K ἢ prius erasum L 8 ἔχῃ Mt: ἔχον K: ἔχοι L 10 λέγομεν K ἐξ ὁτουοῦδε M 11 καὶ ὃ πᾶν K αὐτοῦ scripsi: ἑαυτοῦ K: αὐτοῦ LMt 12 δὲ om. superscr. L οὕτω t 13 τὸ εἶδος iterat K ἀποβλέψωμεν (L)t 15 ἐπειδὴ L 18 τὸ prius om. L ἐξόὐτουοῦδε M 19 τὰ om. Mt 20 κινναμένων K τὰς corr. ex τ L 22 λόγον L 23 ἢ ὁ μαγνήτης scripsi: ἢ ὁ μαγνίτης KM: ἡ μάγνης L ἢ ὅτι τούτων L 24 αὐτῇ om. K 26 post ἔτι littera erasa K 26. 28 μορίων — τις τῶν iterat K 30 ἁπλουστέρων L ταύτην K τοιῶς ἢ τοιῶς libri fort. ἐπιγίνεσθαι 32 τῶν προκειμένων ἐξέβημεν LK: τῶν ἐξέβημεν (sic) M: παρεξέβη-μεν t 33 δεῖξαι K

www.libtool.com.cn

ἀλλὰ τὴν κατὰ μῆκος μόνον, ἵνα καὶ ἄλλοις δῷ χώραν; ἀλλὰ τοῦτο 16v
πλασματῶδες· διὰ τί γὰρ εἴ γέ ἐστιν ἄπειρον, μὴ πάντῃ ἐστὶν ἄπειρον; καὶ
ἄλλως οὐδεὶς τοιοῦτον ὑπέθετο εἶναι τὸ ἄπειρον, ἀλλὰ πάντες τὸ πάντῃ
ἄπειρον· εἰ γὰρ ὅλως πέφυκεν εἶναι τὸ ἄπειρον, οὐ μᾶλλον τῇδε ἢ τῇδε
5 πέφυκεν εἶναι, ἀλλὰ πάντῃ.

p. 204b22 Ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι τὸ ἄπειρον σῶμα ἐνδέχεται.

Δείξας ὅτι ἀδύνατον σύνθετον εἶναι τὸ ἄπειρον, νῦν ὅτι οὐδὲ ἁπλοῦν 30
εἶναι ἐνδέχεται δείκνυσι (τοῦτο γὰρ ἦν ὑπόλοιπον τῆς ὅλης διαιρέσεως),
10 οὔτε ἕν τι τῶν στοιχείων οὔτε τὸ μεταξὺ τούτων, ὥσπερ Ἀναξίμανδρος
ἔλεγεν.

p. 204b24 Εἰσὶ γάρ τινες οἳ τοιοῦτον ποιοῦσι τὸ ἄπειρον, ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, ὅπως μὴ τὰ ἄλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν.

15 Ὁ Ἀναξίμανδρος δεῖν μὲν οἰόμενος ἄπειρον εἶναι τὴν ἀρχὴν διὰ τὴν 35
ἀειγενεσίαν, ἵνα μὴ ἐπιλείπῃ, μήπως ἐπιστήσας τῇ ἀναχάμψει τῶν πραγμάτων, ὅτι ἐξ οὗ τι γίνεται εἰς τοῦτο καὶ διαλύεται, συνεωρακὼς δὲ ὅτι ἐν τοῖς τέτρασι στοιχείοις οὔσης τινὸς ἐναντιώσεως πρὸς τὰ λοιπά, εἰ ὑπόθοιτο ἓν αὐτῶν εἶναι τὴν ἀρχήν, ἐπειδὴ ἀνάγκη ταύτην ἄπειρον εἶναι,
20 ἄπειρος δὲ οὖσα φθείρει τὰ λοιπὰ ἀπείρου οὔσης τῆς ἐν αὐτῇ δυνάμεως, οὐδὲν μὲν τούτων ὑπέθετο εἶναι τὴν ἀρχήν, ἕτερον δὲ εἶναι παρὰ ταῦτα τὴν ἀρχὴν ἐξ οὗ καὶ τὰ στοιχεῖα καὶ τὰ λοιπὰ τὴν γένεσιν ἔχει. τοῦτο 40
δὲ τὸ μεταξύ πως εἶναι αὐτῶν ὑπέθετο, ἵνα τῇ πρὸς τὰ ἐναντία κοινωνίᾳ σῴζηται μᾶλλον τὰ λοιπὰ ἢ φθείρηται ὑπὸ τῆς ἐν αὐτῷ ἀπείρου δυνάμεως.
25 διὰ τοῦτο καὶ τῶν ἄλλων ὅσοι μὲν ἢ τὸν ἀέρα ὑπέθεντο ἢ τὸ ὕδωρ ἄπει-

---

2 εἴτε, ut videtur, primitus L πάντι ante corr. M: πάντως L 3 τὸ prius om. Mt 5 πέφηκεν M 6 ἓν καὶ] καὶ ἓν t τὸ ἄπειρον σῶμα κτλ.] cf. Aristotelis libri 8 δεῖξας M 9 εἶναι] ἐστὶν K ἀπόλοιπον ante corr. M et t 10 οὔτε utrobique M ἕν τι M: ἐν τῇ om. superscr. K 12 τοιοῦτον LK: τοῦτο cum Aristotele Mt 13 ἀέρα ἢ πῦρ ἢ ὕδωρ L ὅπως] ὡς Aristotelis libri (praeter I) τἆλλα t 15 δεῖν om. K 16 ἀεὶ γενεσίαν M ἐπιλίπῃ L 17 εἰς] εἰ K διὰλύεται superscr. M²: ἀναλύεται t at cf. p. 427,17. Themist. p. 230,27 δὲ] δὴ K 18 τέτρασι] litterae τρ uno ductu M: τέτταρσι t at cf. p. 243,26. ad p. 2,16 sq. οὔσης hic et in proximis M 18. 19 ὑπόθηται Mt 20 φθερεῖ L ἐν αὐτῇ LK: ἐναυτῷ, ut saepe, M: ἐν αὐτῷ t 21 ὑπετίθετο primitus L 22 στοιχεία M 23 τὸ (post δὲ) om. L αὐτῶν] αὐτὸ M 24 σώζοιται (αι compend.) M λοιπὰ LK: λοιπὰ τὴν γένεσιν ἔχει (superscr. M²: ἔχοντα t) Mt φθείρεται M 25 μὲν ἢ τὸν t ὑπέθετο K

www.libtool.com.cn

ρον εἶναι, τοῦτο ὑπέθεντο διὰ τὸ ὁρᾶν ἀμυδροτέραν οὖσαν τὴν ἐν αὐτῷ 16v
δύναμιν καὶ μὴ ἂν φθεῖραι νομίζειν τὰ λοιπά, κἂν ἄπειρον ᾖ τῷ μεγέθει,
Ἡράκλειτος μέντοι τὸ πῦρ ὑποθέμενος ἀρχήν, διὰ τὸ σφοδροτάτην εἶναι 45
τὴν ἐν αὐτῷ δύναμιν οὐχ ὑπέθετο τοῦτο ἄπειρον εἶναι τῷ μεγέθει (μὴ
5 γὰρ ἂν ὑποστῆναί τι τῶν ἄλλων τὸν τυχόντα χρόνον), ὁπότε καὶ πεπερασμένον ὑποθέμενός φησι πάντα ποτὲ ἐκπυρωθήσεσθαι ἀναλυθέντα εἰς πῦρ.

p. 204b27 Οἷον ὁ μὲν ἀὴρ ψυχρός.

Ὡς ἐν ὑποθέσει ψυχρὸν εἶπε τὸν ἀέρα· δείκνυσι γὰρ αὐτὸς ἐν τῇ Περὶ γενέσεως ὅτι θερμός ἐστιν.

10 p. 204b29 Ἀδύνατον δὲ εἶναι τοιοῦτον, οὐχ ὅτι ἄπειρον· περὶ τούτου μὲν γὰρ κοινόν τι λεκτέον καὶ ἐπὶ παντὸς ὁμοίως.

Διττῆς οὔσης τῆς προκειμένης θεωρίας, μιᾶς μὲν εἰ ἐνδέχεται εἶναι 53
σῶμά τι ἕτερον παρὰ τὰ τέσσαρα, ἑτέρας δὲ εἰ ὅλως ἐστί τι τῶν ἁπλῶν
ἄπειρον ὁποιονδήποτε ᾖ, ὅτι μὲν οὐκ ἐνδέχεται ἕν τι τῶν ἁπλῶν | σω- 17r
15 μάτων, εἴτε τῶν συνεγνωσμένων ἡμῖν εἴτε ὁτιδήποτε ἄλλο, ἄπειρον εἶναι, κοινῷ, φησί, λόγῳ δείξομεν, ὅτι δὲ οὐδὲ ἄλλο τι σῶμα ἔστιν αἰσθητόν, περὶ οὗ καὶ ποιούμεθα τὸν λόγον, ἕτερον ὂν τῶν στοιχείων καὶ ἀρχὴ αὐτῶν καὶ ὑποκείμενον αὐτοῖς, ἰδίᾳ καὶ πρότερον δείξομεν. καὶ δείκνυσιν ὅτι οὐδὲν τοιοῦτον οἶδεν ἡ αἴσθησις, ἢ τῶν γινομένων ὑποκείμενον ἢ τῶν φθει-
20 ρομένων ἔσχατον.

p. 204b35 Οὐδὲ δὴ πῦρ οὐδὲ ἄλλο τι τῶν στοιχείων οὐθὲν ἄπειρον 5
ἐνδέχεται εἶναι.

Δείξας ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ μεταξύ, μέτεισιν ἐπὶ τὸ δεῖξαι ὅτι

---

1 τοῦτο ὑπέθεντο LK: ὑπέθεντο τοῦτο Mt ὁρᾶν LK: μη ὁρᾶν M: μὴ ὁ̇ρᾶν t ἀμυδροτέραν (KM)t 2 μὴ ἂν LK: μιὰν M: μὴ t 3 σφοδρό M: σφοδροτάτη t 4 οὐχ ὑπέθετο K: οὐχ ὑπετίθετο L τῷ μεγέθει L: τῇ δυνάμει (K)Mt 5 ὁπότε] ὁ ποτὲ L 5. 6 πεπερασμένος L 6 ὑποθέμεθα K φησι om. L πάντα κτλ.] cf. Heraclit. fr. 26 p. 11 Byw. πάντα τὸ πῦρ ἐπελθὸν κρινέει καὶ καταλήψεται ἐκπυρωθήσεται t cf. Themist. p. 231,10 8 εἶπε] εἶναι L αὐτὸ M 8. 9 Περὶ γενέσεως B 3 p. 330b4 10 δ' εἶναι t 11 τοῦ (om. μὲν) M καὶ ἐπὶ KM: ἐπὶ (L)t Aristoteles παντ superscripto compendio mihi prorsus obscuro M 12 μιὰς M 12. 13 σῶμα εἶναί τι Mt 13 ἕτερον in rasura decem fere litterarum L 14 ἕν τι LK: ἕν τοι M: ἕν τοι t 15 ἄλλο (sed ω deletum) M 16 κοινῷ om. K αἰσθητόν ἐστι Mt 17 ἀρχὴν K 18 verba καὶ ὑποκείμενον αὐτοῖς ante ἰδίᾳ transposui: post πρότερον ponunt libri: an delenda? ὑποκείμενον Lt: ὑπομένον K: ὑπομαίνων M δείξομεν K: δείξωμεν L: δείξωμεν Mt 21 lemma om. K οὐδὲν δεῖ (corr. δὴ) M οὐδὲ ἄλλο τι L: οὐδὲ ἀλλότι M: οὐδ' ἄλλο (transposito τι post εἶναι) e vulgato Aristotele t 23 δεῖξας et mox ἐπεὶ τὸ et ὅλως ἄλλότι M

www.libtool.com.cn

οὐδὲ ὅλως ἄλλο τι σῶμα ἁπλοῦν ὂν ἀρχὴν καὶ ἄπειρον εἶναι δυνατόν, εἶτα 17r
τοῦτο προθέμενος ἐπί τι καθολικώτερον ἀνάγει τὸν λόγον· τί γὰρ λέγω, 11
φησίν, ἄπειρον εἶναι ἕν τι τῶν ἁπλῶν; ὅλως γὰρ ὅτι ἀδύνατον ἕν τι εἶναι
καὶ ἁπλοῦν τὴν ἀρχὴν τῶν ὄντων, εἴτε ἄπειρον εἴη τοῦτο εἴτε πεπερασμέ-
5 νον, δείξομεν, ἐκ πολλοῦ δεικνὺς τοῦ περιόντος ὅτι ἓν εἶναι καὶ ἁπλοῦν
τὸ ἄπειρον ἀδύνατον, εἴ γε μηδὲ ὅλως ἓν εἶναι τὸ στοιχεῖον οἷόν τε, εἴτε
ἄπειρον εἴη εἴτε πεπερασμένον· εἰ γὰρ ἕν τι εἴη τὸ στοιχεῖον, ἀναιρεθήσε-
ται καθόλου γένεσις καὶ πᾶσα μεταβολή, εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἄρα ἐν- 15
δέχεται ἓν εἶναι τὸ στοιχεῖον. εἰ μὲν γὰρ ἕν τι τῶν τεσσάρων εἴη, οἷον
10 τὸ πῦρ κατὰ Ἡράκλειτον ἢ εἴ τι ἄλλο, ἕξει μὲν ἐν ἑαυτῷ ἐναντιότητός
τι μόριον, οἷον τὸ θερμόν, καὶ οὕτω γε οὐδὲν ἴσως αὐτὸ κωλύσει μετα-
βάλλειν εἰς τοὐναντίον, ἐπειδὴ καὶ πᾶσα μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον·
ἀλλ' ἤτοι φυλάξει τὴν ἐναντίωσιν ἐν τῇ μεταβολῇ καθ' ἣν ἔστιν (οἷον εἰ
πῦρ εἴη, διατηρήσει τὴν θερμότητα ἐν τῇ εἰς ἀέρα μεταβολῇ ψυχρὸν ὄντα
15 καὶ εἴη ἂν ἅμα ἐν τοῖς ἐναντίοις, ὅπερ ἀδύνατον), ἢ τὴν θερμότητα ἀπο- 20
λιπὸν δέχεται τὴν ψυχρότητα, οὕτω δὲ οὐκέτ' ἂν σῴζοιτο πῦρ. δεῖ δὲ
σῴζεσθαι τὴν πρώτην ἀρχὴν καὶ ἀμετάβλητον εἶναι. καὶ τί δήποτε μὴ ὁ
ἀὴρ μᾶλλον στοιχεῖον ἢ τὸ πῦρ; οὐδὲν γὰρ μᾶλλον τὸ πῦρ εἰς τὸν ἀέρα
μεταβάλλει ἢ ὁ ἀὴρ εἰς τὸ πῦρ. ἀδύνατον ἄρα ἕν τι τῶν ἁπλῶν εἶναι στοι-
20 χεῖον. πολλῷ ἄρα μᾶλλον ἄπειρον ἀδύνατον εἶναι ἕν τι τῶν ἁπλῶν. ἐπειδὴ
τὸ ἄπειρον, εἰ ἔστιν, πάντως ἀρχή ἐστι καὶ πρῶτον στοιχεῖον. ὅτι μὲν οὖν
ἕν τι τῶν τεσσάρων στοιχεῖον εἶναι τῶν ἄλλων ἀδύνατον, δέδεικται, ὅτι δὲ
οὐδὲ τὸ μεταξύ, ὥσπερ Ἀναξίμανδρος ἔλεγεν, ἤδη μὲν δέδεικται, τῇ αὐτῇ

---

1 οὐδὲ οὐ ante rasur. L ὂν ἀρχὴν καὶ L: ὂν ἀρχῇ K: μὲν ἀρχὴ καὶ M: καὶ ἀρχὴν t
2 πρθέμενος L 3 γὰρ om. L 5 περιόντως M et t 6 οἷόν τε LK: οἷόν τε εἴπ M: οἷόν τε εἰπεῖν t 7 εἴη (post ἄπειρον) LK: εἶναι M: om. t γὰρ δὴ L ἕν τι εἴη τὸ στοιχεῖον M. huiusmodi errores, quibus in hac extrema libri tertii parte scatet codex M, hinc tum tantum adnotabo quum necessarium erit ad explicandam scripturam. quam exhibet t 9 οἷον om. L 10 post πῦρ addit φέρε in ras. L² 10. 11 ἐναντιότη τὸ μόριον M 11. 19 καὶ οὕτω—ὁ ἀὴρ εἰς τὸ πῦρ paucis immutatis ex Themist. p. 231,23 sqq. 11 γε] τε M ἴσως om. L 11. 12 μεταβάλειν primitus M 12. 13 ἐπειδὴ καὶ (καὶ om. K)—ἤτοι LK: ἐξεναντίας (ας compend.) ἀλλ' ἤδη M: ἐξ ἐναντίου. ἀλλ' οὐκέτι t 14 οὐ διατηρήσει t διατηρήσει (alterum η ex ϊ factum) M 14. 15 ἐν τῇ εἰς ἀέρα—ἢ τὴν θερμότητα bis habet K: om. Mt 15. 16 ἀπολιπὸν Mt: ἀπολειπὸν K: ἀπολεῖπον L 16 δέχεται LKM: δὲ δέχεται M²: δὲ δέξεται t: δέχοιτ' ἂν Themistius οὕτως M οὐκεταυσώζοι τὸ K: οὐκέτ' ἂν σώζοιτο τὸ superscr. M² 17 post εἶναι addit εἰ δὲ μὴ σώζει L² 19 μετἀβάλει M ἄρα KMt: ἄρα τὸν ἀέρα L: μόνον τὸν ἀέρα ἢ L² 19, 20 et 22 ἕν τι ex ἐν τῇ fecit M² 19. 20 στοιχεῖον L² et superscr. M²: στοιχείων KLMt 20 πολλῷ μᾶλλον ἄρα μᾶλλον (sed μᾶλλον posteriore loco deletum) L 21 πάντως ἀρχὴν εἶναι K 22 στοιχεῖον L²: στοιχείων KMt τῶν ἄλλων LKM: τὸ ἄπειρον t δείκνυσιν L 23 οὐδὲ LK: οὐ Mt super δέδεικται, τῇ αὐτῇ κτλ. scribit διὰ τ (τοῦ, ut videtur) μηδεμίαν ἀνάλυσιν εἰς τι τοιοῦτον φαίνεσθαι L²

www.libtool.com.cn

δὲ τοῖς λοιποῖς μεθόδῳ καὶ νῦν δειχθήσεται. εἰ γὰρ πρὸς οὐδὲν τῶν τεσ- 17r
σάρων ἐναντίωσιν ἔχει ἐκεῖνο τὸ μεταξύ, οὐδ' ἂν εἰς τούτων τι μεταβάλλοι, οὕτω δὲ οὐδ' ἂν ἐξ αὐτοῦ τι γίνοιτο· μάταιον οὖν ἔσται· οὐδὲν 26
δὲ μάταιον τῶν ἀιδίων. τάχα οὖν τις εἴποι, ὅτι καὶ ἡμεῖς τοῖς Ἀναξιμάν-
5 δρου περιπίπτομεν ἀτόποις, τὴν ὕλην ἄνευ τινὸς ἐναντιώσεως ποιοῦντες· ἢ πολὺ τὸ διάφορον αὐτό τι μεταβάλλειν καὶ ἐν αὐτῷ γίνεσθαι τὰς μεταβολάς; αὐτὸ μὲν οὖν τι μεταβάλλειν οὐχ οἷόν τε, εἰ μή τινα ἔχοι καὶ ἐναντίωσιν, ἐν αὐτῷ δὲ γίνεσθαι τὰς μεταβολὰς τῶν ἐναντίων εἰς τὰ ἐναντία τίς κω- 30
λύσει λόγος; οὕτω δὲ ἡμῖν καὶ μία οὖσα ἡ ὕλη ἐνυπάρχει παντὶ τῷ γινο-
10 μένῳ, ὅπερ τοῖς ἓν τὸ στοιχεῖον ὑποτιθεμένοις οὐ σῴζεται. καὶ ἡμεῖς μὲν αὐτὴν οὔ φαμεν καθ' αὑτὴν ὑφίστασθαι δίχα πάσης ποιότητος, ἀεὶ δὲ πάντως ὑπό τινος εἴδους κατειλῆφθαι (καὶ διὰ τοῦτο, ἐπειδὴ ἔχει τινὰ ποιότητα, ταύτης ὑπὸ τῆς ἐναντίας πασχούσης γίνεσθαί φαμεν τὰ πράγματα καὶ μεταβάλλειν), Ἀναξίμανδρος μέντοι ἐνεργείᾳ ὑφίστασθαι λέγων καθ' αὑτὸ
15 τὸ ἄποιον σῶμα, ἀνάγκη πᾶσα μηδὲ πάσχειν τι αὐτὸ ὑπό τινος ὑποτίθεσθαι (εἰ γὰρ τὸ πάσχον ὑπὸ τοῦ ἐναντίου πάσχει, μηδὲν δέ ἐστιν ἐκείνῳ 35
ἐναντίον διὰ τὸ μηδὲ ὅλως πεποιῶσθαι αὐτὸ κατά τινα ἐναντίωσιν, ἀνάγκη δήπου μηδὲ πάσχειν τι αὐτὸ ὑπό τινος), ὥστε οὐδὲ γενήσεταί τι ἐξ αὐτοῦ.

p. 205a6 Πᾶν γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς ἐναντίον.

20 Τοῦτο κατασκευή ἐστι τοῦ μὴ δύνασθαί τι τῶν ἁπλῶν στοιχεῖον εἶναι ἄπειρον, μήτε ἕν τι τῶν τεσσάρων μήτε τὸ μεταξύ· εἰ γὰρ εἴη ἕν τι στοι- 40
χεῖον, πῶς ἂν ἡ γένεσις εἴη ἢ φθορὰ πάσης μεταβολῆς ἐξ ἐναντίου εἰς ἐναντίον οὔσης; πῶς δὲ ἀδύνατον, ἐδείξαμεν.

---

2 ἐναντιώσεων L ἐκεῖνω primitus M τούτων LK: τοῦτό Mt 2. 3 μεταβα λ' M
3 δὲ om. L γίνητο (οι) M 4 δὲ] δὴ K 4. 10 τάχα—σῴζεται ex Themist. p. 232,2 sqq.
4 οὖν] οὖν *ν L: οὖν ἂν L² cum Themistio at cf. ad p. 16,10 εἴπει M 6 ante
ἢ πολὺ superscribit nescio quid L τι (post αὐτό) ex τὸ corr. M μετὰβα λ' et paulo
post μεταβάλειν M 7 ἔχει Mt καὶ τὴν ἐναντίωσιν L 8 τίς K: τί L: εἰς vel
ἧς primitus M: οὐδεὶς corr. M et t 9 ἡμῖν ex ὑμῖν corr. M² καὶ μία ἡμῖν traic. L
10 ἓν τὸ στοιχεῖον L: ἐν τὸ στοιχείω, si recte adnotavi, K: ἐν τῷ στοιχείῳ Mt: ἓν τῶν στοιχείων Themistius ὑμεῖς mut. in ἡμεῖς M² 10. 11 μὲν αὐτοῖ (sic) οὔ φαμεν κατ' αὐτὴν et mox δήχα πάσης πιότητος (item paulo post πιότητα) M 12 συγκατειλήφθαι (sic)
M et t 14 ἀναξίμανδρος L: ἀναξίμανδρ (ο) M: ἀναξίμανδρον t ubi nihil enotavi e K, quem
verisimile est exhibere ἀναξίμαν (δρ) λέγων LKM: λέγοντα anacoluthon oblitterans t at cf.
ad n 4r30 15 ἄποιον KM: ἄπειρον t et, si silentio fides, L μὴ δὲ πάσχειν τί LK:
τοὺς M: τὸ t 15. 16 post ὑποτίθεσθαι addunt πάσχειν M²t 16 γὰρ ὁ πάσχων Mt
ὑπὸ τὸ ἐναντίον (ἐναντίον etiam t) primitus M ἐκεῖνω M: ἐκεῖνο K 19 πάντα Arist.
Phys. at cf. Metaph. K 10 p. 1067a6 μεταβάλει M 20 τι om. L στοιχεῖον
scripsi: στοιχείων libri 22 ἂν ἡ] ἂν ἡ L

www.libtool.com.cn

p. 205a7 Δεῖ δὲ περὶ παντὸς καὶ ἐκ τῶνδε σκοπεῖν, εἰ ἐνδέχεται 17r
ἢ οὐκ ἐνδέχεται.

Ἐπειδὴ ὡς ἐπὶ πυρὸς καὶ τοῦ μεταξὺ ἐποιήσατο τὸν λόγον (ἐμνήσθη γὰρ Ἡρακλείτου τὸ πῦρ ἀρχὴν τιθεμένου καὶ λέγοντος διὰ τοῦτο καὶ πάντα
5 ποτὲ εἰς αὐτὸ ἀναλυθήσεσθαι· ἐκπυρωθήσεσθαι γάρ ποτε τὸ πᾶν), διὰ τοῦτο 45
προσέθηκεν, ὅτι τοῖς αὐτοῖς δείξεις ὅτι οὐδὲ τῶν ἄλλων οὐδὲν δυνατὸν εἶναι ἀρχήν.

p. 205a8 Ὅτι δὲ ὅλως ἀδύνατον εἶναί τι σῶμα ἄπειρον αἰσθητόν,
ἐκ τῶνδε δῆλον.

10 Δείξας ἐκ τῶν φυσικῶν δυνάμεων ὅτι ἀδύνατον εἶναί τι σῶμα ἄπειρον,
νῦν βούλεται καὶ ἐκ τῶν φυσικῶν τόπων κατασκευάσαι τὸ αὐτὸ τοῦτο. κέ- 50
χρηται δὲ πάλιν τῇ αὐτῇ διαιρέσει, ὅτι τὸ ἄπειρον ἤτοι ἁπλοῦν ἐστιν ἢ σύνθετον, καὶ πρότερον δείκνυσιν ὅτι οὐ δυνατὸν ἁπλοῦν εἶναι. πρότερον δὲ δύο τινὰ προλαμβάνει ἀξιώματα, πρῶτον μὲν ὅτι πᾶν τὸ αἰσθητὸν σῶμα,
15 ταὐτὸν δὲ εἰπεῖν τὸ φυσικόν, ἐν τόπῳ ἐστίν (ἕκαστον γὰρ τῶν τεσσάρων στοιχείων ἀφωρισμένον τινὰ κατείληφε τόπον), δεύτερον ⟨δὲ⟩ ὅτι ὃς ἂν τοῦ ὅλου τόπος ᾖ, ὁ αὐτὸς οὗτος καὶ τοῦ μορίου ἐστὶ τόπος· ἔνθα γὰρ ἡ πᾶσα γῆ πέφυκεν εἶναι, ἐκεῖ δήπου καὶ | ἡ βῶλος καὶ ἔστι καὶ πέφυκεν, ὁμοίως 17v
καὶ ἔνθα ἂν πέφυκεν ἡ ὁλότης εἶναι τοῦ πυρός, ἐκεῖ πέφυκεν καὶ ὁ σπινθὴρ
20 εἶναι. τούτων οὖν προειλημμένων δείκνυσιν ὅτι ἀδύνατον ἁπλοῦν τι φυσικὸν σῶμα εἶναι τὸ ἄπειρον· περὶ γὰρ τούτου ἡ ζήτησις ἐν τῷ παρόντι, ὡς πολλάκις εἶπον, εἰ ἔστιν ἐν τοῖς φυσικοῖς σώμασιν ἄπειρόν τι κατὰ τὴν ἔκτασιν· περὶ γὰρ τοῦ ἔξω τοῦ οὐρανοῦ ὅτι οὐδέν ἐστιν ἔξω αὐτοῦ οὔτε σῶμα οὔτε κενὸν οὔτε ἕτερόν τι, ἐν τῇ Περὶ οὐρανοῦ δείξει πραγματείᾳ. 5
25 ὅτι οὖν φυσικὸν σῶμα ἁπλοῦν οὐκ ἐνδέχεται ἄπειρον εἶναι κατὰ τὴν ἔκτασιν, δείκνυσι τοῦτον τὸν τρόπον. εἰ γὰρ εἴη ἄπειρον σῶμα, δῆλον ὅτι τὸν πάντα καθέξει τόπον, εἰ δὲ τὸν πάντα καθέξει, ὁ πᾶς ἂν εἴη αὐτοῦ οἰκεῖος τόπος. εἰ γὰρ δὴ μὴ οἰκεῖος εἴη, ἐν τῷ παρὰ φύσιν ἔσται ἀεί,

---

1 περὶ] κατὰ Aristotelis cod. E καὶ om. Arist. cod. E 4 ἡρακλείτου M ὑποτιθεμένου L λέγοντος] cf. p. 433,6 6 ὅτι—δείξεις om. L 7 ἀρχήν] ἄπειρον t 8 τι om. t Aristoteles 11 τὸ om. K 13 δείκνυσι M 16 ἀφορισμένον KM τινὰ] τιν M δὲ addidi 17 τόπος utrobique ex τόπου fecit L² ἢ LK: ἐστὶν Mt 18 καὶ (ante ἔστι) om. L post πέφυκεν distinguit K: post ὁμοίως (LM)t 19 ἂν induxerim ἡ ὁλότης ο λόγ superscr. M² 24 κενόν] κακὸν ante corr. M Περὶ οὐρανοῦ A 9 p. 278b25 sqq. 25 ἁπλοῦν σῶμα L 28 inter οἰκεῖος et τόπος (ubi extrema ex corr.) addit ἐστὶ M δὴ om. L περὶ L²

www.libtool.com.cn

οὐδὲν δέ ἐστι τῶν ὄντων ἀεὶ ἐν τῷ παρὰ φύσιν· μᾶλλον γὰρ οὐκ ἔσται 17v
τι ἢ ἀεὶ ἐν τῷ παρὰ φύσιν ἔσται. ὥστε ὁ ὅλος ἂν εἴη τόπος οἰκεῖος τοῦ
ἀπείρου. ἀλλ' εἰ ὁ πᾶς τόπος τοῦ ὅλου ἀπείρου οἰκεῖός ἐστι, δῆλον ὅτι 10
καὶ τοῦ μέρους ὁ αὐτὸς ἂν εἴη τόπος οἰκεῖος. τὸ μὲν οὖν ὅλον ὅτι ἀκίνητον
5 ἔσται, πρόδηλον (οὐ γὰρ ἕξει που κινηθῆναι ἄπειρον ὂν καὶ τὸν πάντα κα-
τειληφὸς τόπον· δεήσει γὰρ αὐτῷ ἄλλου ἀπείρου τόπου, εἰ μέλλοι κινεῖσθαι),
περὶ δὲ τοῦ μέρους ἐρήσομαι, εἰ λάβω μόριόν τι τοῦ ἀπείρου, πότερον κι-
νηθήσεται ἢ οὔ; εἰ μὲν οὖν μὴ κινήσεται, οὐδ' ἂν εἴη φυσικόν τι σῶμα
τὸ ἄπειρον (οὐδὲν γάρ ἐστι τῶν φυσικῶν, ὃ καὶ κατὰ τὸ ὅλον καὶ κατὰ
10 τὰ μέρη ἀκινητόν ἐστι), εἰ δὲ κινήσεται, ποῦ οἰσθήσεται; ἢ πανταχοῦ, 15
ἐπειδὴ καὶ ὁ πᾶς αὐτῷ οἰκεῖός ἐστι τόπος; οὐδὲν οὖν μᾶλλον κάτω ἢ
ἄνω κινήσεται, εἴ γε ὁμοίως ἔχει τὴν ῥοπὴν ἐπί τε τὸ ἄνω καὶ τὸ κάτω,
ἵνα ὅλως καὶ συγχωρήσωμεν ἐν τῷ ἀπείρῳ εἶναι τὸ ἄνω καὶ τὸ κάτω·
ἐφεξῆς γὰρ καὶ τοῦτο ἐπισκεψόμεθα. ἀνάγκη οὖν ἤτοι ἅμα πανταχοῦ ἔσται
15 τὸ μόριον καὶ κατὰ μίαν καὶ τὴν αὐτὴν κίνησιν ἐν παντὶ γενήσεται τόπῳ
(εἰ γὰρ ἔχει τὴν ἐπὶ πάντα ῥοπήν, ὥσπερ ἡ βαρύτης φέρε εἰπεῖν ἐπὶ τὸ
κάτω κινεῖ, οὕτως ἅμα καὶ ἡ κουφότης ἐπὶ τὸ ἄνω), ἢ οὖν ἅμα τὸν πάντα
καταλήψεται τόπον τὸ μόριον, ὅπερ ἀδύνατον, ἢ στήσεται ἀνθελκόμενον 20
ἐπὶ τοὺς ἐναντίους τόπους, ἢ διασπασθήσεται. καὶ πάλιν περὶ τῶν δια-
20 σπασθέντων μορίων ἡ αὐτὴ ζήτησις· ἔχομεν γὰρ ἐκ τῆς ἐναργείας ὅτι τοῦ
ὅλου καὶ τοῦ μορίου ὁ αὐτὸς τόπος. ἄλλως τε εἰ κινήσεται, μέχρι ποῦ
οἰσθήσεται; κινεῖται μὲν γὰρ τῶν φυσικῶν τε καὶ ἐν γενέσει ἕκαστον, ὅταν
ἐκστῇ τοῦ κατὰ φύσιν τόπου, καὶ μέχρι τοσούτου κινεῖται μέχρις ἂν ἐπι-
λάβηται τοῦ κατὰ φύσιν, εἰς ὃν γενόμενον ἵσταται. εἰ τοίνυν ὅλως κινεῖται
25 τὸ μόριον τοῦ ἀπείρου, κινεῖται δὲ ἐν τῷ κατὰ φύσιν τόπῳ, ὁ δὲ πᾶς
τόπος οἰκεῖος καὶ κατὰ φύσιν αὐτῷ, ἐπειδὴ καὶ τῷ ὅλῳ, μέχρι ποῦ οἰσθή- 25
σεται; οὐ γὰρ μᾶλλον ὧδε ἢ ὧδε στήσεται, παντὸς ὁμοίως κατὰ φύσιν

---

1 παρὰ] π, ut solet, M 2 ἢ L: εἰ KMt περὶ L ὁ ὅλοει (sic) K: ὅλος L: ἄλλως superscr. M²: ἄλλος t 4 τόπος οἰκεῖος L: τό οἰκεῖος (sic) K: οἰκεῖος τόπος Mt 5 που (LK)t: ποῦ M cf. ad p. 51,14 κιθῆναι L 7. 8 κινηθήσεται] κινήσεται K 8 οὐδ' LK: οὐκ Mt σῶμα φυσικὸν (om. τι) L 9 τὸ ὅλον L: τὸ (?) ὅλα K: τὰ ὅλλα M: τὰ ἄλλα t 12 τὸ ἄνω ex τῶ ἄνω corr. M 13 ἵνα—κάτω om. Mt at cf. Themist. p. 232,27 14 ἐφεξῆς p. 453,17 sqq. ad Arist. p. 205b35 ἐπισκεψώμεθα L ἀνάγκη scripsi: ἀνάγκη LKM: ἀναγκαίως t 15 καὶ (ante τὴν) om. L 16 ἔχη, ut videtur, M: ἔχοι t πάντα LM²t: πάντων KM φέρ' M 16. 17 τῶ κάτω et mox τῶ ἄνω ante corr. M 18 τόπον τὸ om. superscr. K 19 περὶ LK: ἐπι M: ἐπὶ t 20 ἐνεργείας L 21 κινήσεται] κείσεται ante corr. L που K 22 οἰσθήσεται superscr. M²: εισ////στήστ M 23 ἐκστῇ] ἐκ L τοῦσούτου K: τοιούτου L 24 φῃ pro φύσιν hic et saepe M γίνομεν M: γινόμενον M²t ἵστα M²: ἵστα M 26 τόπως K: om. L καὶ τῷ] καὶ ἐν τῶ L 27 ἢ ὧδε στήσεται superscr. sed rursus delevit M²

www.libtool.com.cn

αὐτῷ ὄντος, ὥστε ἀεὶ οἰσθήσεται. οὐ γὰρ ὅταν ἐνεχθῇ εἰς τὸν κατὰ φύσιν, 17v
τότε ἠρεμήσει· πᾶς γὰρ ὁμοίως κατὰ φύσιν αὐτῷ. ἢ τοίνυν πανταχοῦ πέφυκε μένειν, ἐπειδὴ πᾶν ἐν τῷ κατὰ φύσιν ὂν τόπῳ μένει, καὶ οὕτως οὐδαμοῦ κινηθήσεται ἀλλ' ἀκίνητον ἔσται, ἢ πανταχοῦ πέφυκε φέρεσθαι, καὶ
5 οὐδαμοῦ στήσεται. ἑκάτερον δὲ ἀδύνατον· οὔτε γὰρ κίνησις οὐδεμία ἀίδιος πλὴν τῆς κύκλῳ, ἀλλὰ πᾶσα κίνησις ἕνεκά τού ἐστιν (ἕνεκα γὰρ τοῦ τὸν 30
οἰκεῖον καταλαβεῖν τόπον τὸ κινούμενον), κύκλῳ δὲ κινεῖσθαι τὸ ἄπειρον οὐ δυνατόν. ἅμα γὰρ κύκλον εἰπεῖν πεπερασμένον εἶπον· πᾶν γὰρ τὸ ἐσχηματισμένον πεπεράτωται, καὶ διὰ τοῦτο οὐ δυνατὸν τὸ ἄπειρόν τι τῆς κυ-
10 κλοφορουμένης εἶναι οὐσίας. ἄτοπον οὖν καὶ τὸ ἀεὶ κινεῖσθαι τὸ μόριον· διὰ τί γὰρ μὴ καὶ πάντα ἀεὶ κινεῖται; εἰ δὲ πάντα, καὶ τὸ ἐκ πάντων. ἀδύνατον δὲ κινηθῆναι τὸ ἄπειρον (καλῶς γοῦν καὶ ὁ Μέλισσος ἀπέγνω τοῦ ἀπείρου τὴν κίνησιν), τό τε μηδὲν τοῦ ἀπείρου κινεῖσθαι μόριον ἀδύνατον (οὔτε γὰρ φυσικὸν ἔσται σῶμα), τό τε τὴν κίνησιν ἀναιρεῖν ἐκ τοῦ 35
15 παντὸς (πρᾶγμα οὕτως ἐναργὲς καὶ ὑπὸ τῆς αἰσθήσεως μαρτυρούμενον) ἄλογον καὶ οὐδενὸς ἐλέγχου δεόμενον. εἴτε οὖν μὴ κινεῖται φυσικὸν ὂν σῶμα, ἄτοπον, εἴτε κινεῖται, τὰ εἰρημένα ἀκολουθήσει ἄτοπα.

Ἀδύνατον ἄρα ἁπλοῦν τι σῶμα εἶναι τὸ ἄπειρον. ἀλλ' εἰ σύνθετον εἴη τὸ ἄπειρον, ἐξ ἐναντίων δηλονότι σύγκειται (τοιοῦτον γὰρ πᾶν τὸ φυσικὸν σῶμα),
20 ὥστε καὶ οἱ τόποι τῶν συντιθέντων διάφοροί τε καὶ ἐναντίοι. ἐπεὶ οὖν πᾶν σῶμα φυσικὸν σύνθετον ὂν κατὰ κρᾶσιν συντίθεται, συμβήσεται ἐν τῷ παρὰ 40
φύσιν εἶναι τόπῳ τὰ συντιθέντα, ὡς ἔχει καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων καὶ πάντων τῶν λοιπῶν· τὸ γὰρ ἐν ἡμῖν πῦρ καὶ ὁ ἀὴρ βίᾳ καὶ ἐν τῷ παρὰ φύσιν μένει τόπῳ. συμβήσεται οὖν καὶ τὰ πολλὰ τῶν συντιθέντων τὸ ἄπει-
25 ρον ἀεὶ ἐν τῷ παρὰ φύσιν εἶναι τόπῳ· ἀίδιον γὰρ τὸ ἄπειρον. ἀλλ' ἀδύνατον ἀεί τι ἐν τῷ παρὰ φύσιν εἶναι· μᾶλλον γὰρ οὐκ ἔσται τι ἢ ἀεί τι ἐν τῷ παρὰ φύσιν ἔσται. εἰ τοίνυν διακριθήσεταί ποτε καὶ οἰσθήσεται ἕκαστον ἐν τῷ κατὰ φύσιν τόπῳ, συμβήσεται ἐξ ἁπτομένων εἶναι τὸ ἄπειρον, 45

---

1 ὄντος om. M 1. 2 ὥστε—πᾶς γὰρ ὁμοίως κατὰ φύσιν αὐτῷ om. Mt 1 ἀεὶ K: om. L 3 τόπῳ] τῷ M μένει LK: τότε ἠρεμήσει· πᾶς γὰρ (ἠρεμεῖ· πᾶς δὲ t) ὁμοίως κατὰ φύ (φύσιν t) αὐτῷ τόπῳ (superscr. M²) ὑπομαίνει (τόπος. ὥστε πανταχοῦ ὑπομένει t) Mt 4 ἀλλὰ κίνητον K 5 ἀϊδίως L 7 τόπον καταλαβεῖν L 8 οὐ δύναται L τῷ κύκλον t: an εἰπὼν (pro εἰπεῖν)? εἰπεῖν κύκλον L πᾶν] πανταχοῦ L 8. 9 ἐσχατισμένον K 9 πεπέρ*ται ante corr. K cf. Themist. p. 233,12 τούτου vel τούτω ante corr. K οὐ δυνατὸν] ἀδύνατον L 12 δὲ LKM: δὲ ἄρα M²: ἄρα fort. recte t οὖν L μέλισος M ἀπέγνω LK: ἀπάγν M: ἀπάγν M²: ἀπάγων t cf. ἀπεγίνωσκεν Themist. p. 233,6 13 post τὴν deletum φύσιν L 14 δυνατὸν L immo οὐδὲ τὴν M²t: γὰρ LKM: deleverim ἐκ om. t 15 πρᾶγμα κτλ.] cf. Themist. p. 233,21 ἀνεργὲς M: ἀναργὲς t 16 μὴ κινῆται L 18 ἄρα om. superscr. M² 19 τοσοῦτον ante ras. K γὰρ om. M πανταχοῦ πᾶν L 20 συντιθέντων L: συνθέτων KMt πᾶν om. superscr. K 22 συντιθέντα scripsi: σύνθετα libri 23 ὁ om. Lt καὶ (post βίᾳ) om. L 24 συντεθέντων K 25. 26 τόπῳ—εἶναι] rasura IV litter. L ἀλλὰ δυνατὸν K 26 ἢ L et primitus M: ἢ K: εἰ corr. M et t cf. ad p. 437,2 28 ἐξαπτόμενον K

www.libtool.com.cn

οὐδὲν δὲ φυσικὸν σῶμα σύνθετον ἐξ ἁπτομένων ἐστίν. οὕτω δὲ οὐδὲ ἕν τί 17ᵛ
ἐστι καὶ συνεχὲς σῶμα τὸ ἄπειρον, πᾶν δὲ φυσικὸν σῶμα συνεχές. καὶ
ἄλλως εἰ σύνθετόν ἐστι τὸ ἄπειρον, ἤτοι ἐξ ἀπείρων εἰδῶν καὶ ἐξ ἀπείρων
ἀτόμων σύγκειται, ἢ ἐκ πεπερασμένων μὲν εἰδῶν ἀπείρων δὲ ἀτόμων. εἰ
5 μὲν οὖν ἐκ πεπερασμένων μὲν εἰδῶν ἀπείρων δὲ ἀτόμων, ἀνάγκη τὰ ὑπὸ
ἓν εἶδος ἄτομα ἄπειρα εἶναι· οὐ γὰρ ἂν ἄλλως πεπερασμένων τῶν εἰδῶν
ἄπειρον εἴη τὸ ἐξ αὐτῶν. ἀλλ' εἰ ἄπειρα, τῶν δὲ ἀπείρων ἄπειρος καὶ ἡ 50
δύναμις, ὡς ἔναγχος εἴρηται, καταναλώσει τὰ λοιπὰ δηλονότι, καὶ οὕτω
πάλιν ἁπλοῦν ἔσται τὸ ὅλον καὶ οὐ σύνθετον. εἶτα ἐπειδὴ ᾔσθετο ἐκ τῶν
10 δυνάμεων πάλιν ἐπιχειρήσας, προκείμενον δὲ ἦν ἐκ τῶν τόπων δεῖξαι ὅτι
οὐ δυνατὸν εἶναι τὸ ἄπειρον, διὰ τοῦτο ἐκ τῆς κατὰ τοὺς τόπους διαφορᾶς
βουλόμενος τὴν ὑπόθεσιν ἀνελεῖν, μάρτυρας αὐτοὺς τοὺς θεμένους τὸ ἄπει-
ρον τῶν ἑαυτοῦ λόγων ἐπικαλεῖται, δυνάμει ταῦτα λέγων· ἕκαστον τῶν
φυσι|κῶν σωμάτων ὡρισμένον τινὰ κατείληφε τόπον, τὰ μὲν βαρέα τὸν 18ʳ
15 κάτω τὰ δὲ κοῦφα τὸν ἄνω, εἰ δὲ τοῦτο οὕτως ἔχει, ἀδύνατον ἕν τι τῶν
στοιχείων τῶν συντιθέντων τὸ ἄπειρον αὐτὸ ἄπειρον εἶναι κατὰ μέγεθος,
οἷον πῦρ ἢ γῆν· εἰ γὰρ ἄπειρον εἴη, οὐχ ἕξει ὡρισμένον τινὰ τόπον, ἑκάστου
δὲ τῶν φυσικῶν σωμάτων ὡρισμένος ὁ τόπος. οὐκ ἄρα δυνατὸν ἕν τι τῶν
συντιθέντων τὸ ἄπειρον αὐτὸ κατὰ μέγεθος ἄπειρον εἶναι· οὐχ ἕξει γὰρ 5
20 ὡρισμένον τόπον τὸ ἄπειρον. διὰ τοῦτο γοῦν, φησί, καὶ οἱ φυσικοὶ ὅσοι
ἄπειρον εἶναι σῶμα ὑπέθεντο, οὔτε πῦρ οὔτε γῆν ὑπέθεντο εἶναι τὴν ἀρ-
χὴν ἣν καὶ ἄπειρον εἶναι ἔλεγον, ἀλλ' ἢ ἀέρα ἢ ὕδωρ ἢ τὸ μεταξύ· γῆς
μὲν γὰρ καὶ πυρὸς ὥρισται ὁ τόπος (ἡ μὲν γάρ ἐστι κάτω, τὸ δὲ ἄνω),
ἀέρος δὲ καὶ ὕδατος δοκεῖ ὁ τόπος ἀόριστος εἶναι. ἔν τε γοῦν τοῖς κοιλώ-
25 μασι τῆς γῆς ἀήρ τε καὶ ὕδωρ ὑπάρχει, καὶ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις
ἀμφότερα ὁμοίως ὁρῶνται· φαίνεται γοῦν καὶ ὕδωρ κατιὸν ἄνωθεν. ἐπεὶ 10
οὖν ὁ τοῦ ἀπείρου τόπος ἀόριστος, ἐδόκουν δὲ αὐτοῖς καὶ τούτων οἱ τόποι
ἀόριστοι εἶναι, εἰκότως ἐν τούτοις τὸ ἄπειρον ἀπέθεντο. εἰ τοίνυν ἀόριστον
μὲν δεῖ εἶναι τὸν τοῦ ἀπείρου τόπον, οὐδὲν δὲ τῶν φυσικῶν σωμάτων ἀό-
30 ριστον ἔχει τόπον, ἀδύνατον ἄρα ἕν τι τούτων ἄπειρον εἶναι. οὐκ ἄρα οὐδὲ
ἐκ πεπερασμένων μὲν εἰδῶν, ἀπείρων δὲ ἀτόμων, δυνατὸν εἶναι τὸ ἄπειρον.

Μήποτε οὖν ἐξ ἀπείρων καὶ εἰδῶν καὶ ἀτόμων ἐστὶν ἑνὸς ἀτόμου ὑφ' ἕκαστον εἶδος τελοῦντος, ἵν' οὕτως εὐλογωτέρα γένηται ἡ ὑπόθεσις. ὅτι

---

1 δὲ prius om. L 1. 2 οὕτω — ἐστι iterat K ἕν (ἕν t) τι εἶναι Mt 2 συνεχὲς τὸ σῶμα τὸ K 5. p. 440,5 τὰ ὑπὸ — ἀνάγκη bis habet L, cuius lectiones quas secundo loco habet Lᵃ notavi, quotiens a prioribus differunt 6 τὸ ἓν L 8 ἔναγχος p. 418,16 sqq. 10 ἦν L: ἦν M: ἦν (sic) Kt 11 τοῦτο] τοῦ K 13 λόγον Lᵃ 14. 15 τῶν κάτω et τῶν ἄνω L 16 αὐτοάπειρον M 17 τινὰ] τί L: om. Lᵃ 18 ὁ om. Mt τι om. Lᵃ 19 συντεθέντων K: συνθέτων M 20 φησί post φυσικοί traic. L 23 ὁ om. Mt 26 κατειὸν M ἐπειδὴ Lᵃ 27 οὖν ex ἦν, ut videtur, corr. M ἐδόκουν t: ἐδόκει LKM δὲ om. Lᵃ 29 τὸν om. K 30 ἔχει τὸν τόπον L ἄρα (post ἀδύνατον) om. Mt ἕν τοι M εἶναι om. M 31 μὲν om. Mt 32 ἀπείρων ἢ καὶ εἰδῶν LK ἐστὶν LK: εἰδῶν Mt 33 εὐλογότερα M: εὐλογοτέρα M²

www.libtool.com.cn

οὐν οὐδὲ τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν. πρῶτον μὲν γὰρ διπλασιασθήσεται 18r
τὸ ἄπειρον, εἴ γε ἄπειρα μὲν τὰ εἴδη, ἄπειρα δὲ τὰ ἄτομα τὰ ὑπὸ ταῦτα,
ὅπερ αὐτὸς παρῆκεν, ἔπειτα εἰ ἄπειρα, φησί, τὰ ἁπλᾶ εἴδη ἐξ ὧν τὸ 16
ἄπειρον συνέστηκεν, ἐπειδὴ τὰ διάφορα κατ' εἶδος διαφόρους καὶ τοὺς τό-
5 πους κεκλήρωται, ἀνάγκη καὶ τοὺς τόπους αὐτῶν ἀπείρους εἶναι. τοῦτο
δὲ ἀδύνατον· πεπερασμένοι γὰρ οἱ τόποι, οἱ μὲν πρώτιστοι καὶ κυριώτατοι
δύο, ὁ ἄνω καὶ ὁ κάτω, οἱ πάντες δὲ ἕξ, οὗτοί τε καὶ ὁ εἰς δεξιὰν καὶ
ἀριστεράν, καὶ ἔμπροσθεν καὶ ὄπισθεν. εἰ τοίνυν πεπερασμένοι οἱ φυσικοὶ
τόποι, ἀδύνατον ἄπειρα εἶναι τὰ στοιχεῖα, εἴ γε συνδιαιροῦνται τοῖς εἴδεσι 20
10 τῶν στοιχείων καὶ οἱ τόποι. οὐ μόνον δέ, φησί, τοῖς εἴδεσι διῃρημένοι οἱ
τόποι, ἀλλὰ καὶ τῇ διαστάσει. εἰ τοίνυν καὶ μεγέθει καὶ ἀριθμῷ πεπερα-
σμένοι οἱ τόποι, καὶ τὰ σώματα τὰ ἐν αὐτοῖς πεπερασμένα ἔσται· οὐδὲ
γὰρ σῶμα μεῖζον εἶναι τοῦ τόπου δυνατόν, ὥσπερ οὐδὲ τόπον μείζονα τοῦ
σώματος· εἰ μὲν γὰρ ὑπερβάλλοι τὸν τόπον τὸ σῶμα, συμβήσεται μὴ πᾶν
15 σῶμα ἐν τόπῳ εἶναι. ἢ τοίνυν ἐν κενῷ ἔσται ἢ οὐδαμοῦ· τὸ μὲν οὖν
μηδαμοῦ εἶναι καταγέλαστον, κενὸν δὲ ὅτι οὐκ ἔστιν ἐν τοῖς οὖσιν, δείξει 25
ἐν τῷ ἐφεξῆς βιβλίῳ. ὁμοίως καὶ εἰ ὁ τόπος μείζων ἐστὶ τοῦ σώματος,
συμβήσεται πάλιν κενὸν εἶναι.

Ἀπορήσειε δέ τις, πῶς φησιν ἀπείρων ὄντων τῶν εἰδῶν ἀπείρους
20 εἶναι καὶ τοὺς τόπους· τί γὰρ κωλύει, ὥσπερ νῦν δύο μὲν οἱ τόποι, ὁ ἄνω
καὶ ὁ κάτω, ἐν ἑκατέρῳ δὲ πλείονά ἐστι σώματα, ἐν μὲν τῷ ἄνω πῦρ καὶ
ἀήρ, ἐν δὲ τῷ κάτω γῆ καὶ ὕδωρ, οὕτω καὶ εἰ ἄπειρα ἦν τὰ στοιχεῖα, τὰ
μὲν ἐν τῷ κάτω, τὰ δὲ ἐν τῷ ἄνω εἶναι; εἰ γὰρ πέφυκεν ὅλως ὁ αὐτὸς
τόπος δύο ἑτεροειδῆ δέχεσθαι σώματα, τί κωλύει καὶ πλείονα τὸν αὐτὸν
25 δέξασθαι; ἀλλὰ πρὸς ταῦτα φημι· πῶς οἷόν τε τὰ ἄπειρα τοῖς πεπερασμέ-
νοις διανεῖμαι; τοῦτο γὰρ ἀδύνατον. ἢ γὰρ ἐν ἑκατέρῳ τῶν τόπων ἄπειρα
ἔσονται εἴδη, ἢ ἐν ἑκατέρῳ πεπερασμένα, ἢ ἐν τῷ μὲν ἄπειρα ἐν δὲ τῷ 30

---

1 ἐντεῦθεν ὅτι οὖν οὐδὲ τοῦτο ἀληθὲς M διπλασιασθήσεται M 2. 3 ἄπειρα δὲ — ἁπλᾶ εἴδη om. Mt 2 ἄπειρα δὲ L: ἄπειρα καὶ K: fort. ἄπειρα δὲ καὶ 3 αὐτὸς K: αὐτὸ L 4 ἐπεὶ δὲ t 6 πεπερασμένοι κτλ.] cf. Themist. p. 234, 16 sqq. πεπερασμένοι LM: πεπερασμ ε' K: πεπερασμένον t κυριώτατοι K: κυριω ττ' M: κυριώτατα (L)t 7 εἰς] εἷς L 8. 9 οἱ τόποι οἱ φυσικοὶ L 9. 11 ἀδύνατον — τόποι iterat K, qui verba τῶν στοιχείων — εἴδεσι (v. 10) utroque loco omittit 9 εἶτα συνδιαιροῦσι M 10 διειρημένοι primitus M 12 τὰ (ante ἐν) L: om. KMt

13 τοῦ (post μείζονα) om. L 14 ὑπερβα λ' M: ὑπερβάλλει t τὸ (ante σῶμα) ex τῷ M 15 τὸ σῶμα L 16 εἶναι μηδαμοῦ Mt 17 τῷ ἐφεξῆς βιβλίῳ c. 6 sqq. μείζων L: μεῖζων KM: μεῖζόν t 19 δ' ἄν τις fort. recte t cf. ad p. 16, 10 20 ὥσπερ καὶ νῦν L δύο μὲν LK: δυόμ/ οι (δυόμενοι) M: δύο μέν εἰσιν t 21 ἐστι LK: εἶναι Mt 21. 24 ἐν μὲν τῷ ἄνω — δέχεσθαι σώματα om. Mt 23 ἄνω] κάτω (sic) L 24 ἑτεροειδὴ (sic) K: ἕτερα εἴδη L τί κωλύει LKM: οὐδὲν κωλύει t 26 ἢ γὰρ] εἰ γὰρ. L τῶν τόπων LK: τῶ τόπον ω (sc. τῶν τόπων corr.) M: τῷ τόπῳ t 27 δὲ om. L

www.libtool.com.cn

ἑτέρῳ πεπερασμένα. εἰ μὲν οὖν ἐν ἑκατέρῳ πεπερασμένα εἴη, καὶ τὸ ἐξ 18r
ἀμφοῖν πεπερασμένον ἔσται· εἰ δὲ ἐν ἑκατέρῳ ἄπειρα, διπλασιασθήσεται
τὸ ἄπειρον καὶ αὐτὸ ἑαυτοῦ διπλάσιον ἔσται· εἰ δὲ ἐν ἑνὶ μὲν ἄπειρα ἐν
θατέρῳ δὲ πεπερασμένα, αὐξηθήσεται τὸ ἄπειρον τῇ προσθήκῃ τῶν πεπε-
5 ρασμένων καὶ αὐτὸ ἑαυτοῦ μεῖζον ἔσται, καὶ ἄλλως οὐ καθέξει πάντα
τόπον τὸ ἄπειρον, εἴπερ τὰ ἄπειρα ἔν τινι μὲν τόπῳ εἴη, ἔν τινι δὲ μή.
οὐκ ἄρα δυνατὸν πεπερασμένους εἶναι τοὺς τόπους τῶν ἀπείρων εἰδῶν· δ 35
γὰρ ἐπὶ δύο εἴπομεν, τὸ αὐτὸ καὶ ἐπὶ πλειόνων ἐρῶ. εἰ δὲ ἀπείρους τό-
πους εἶναι ἀδύνατον, καὶ εἴδη δηλονότι ἄπειρα τὰ ἐν τούτοις ἐσόμενα ἀδύ-
10 νατον εἶναι. ὥστε εἰ μήτε σύνθετον μήτε ἁπλοῦν δυνατὸν εἶναι τὸ ἄπει-
ρον, ὅλως ἄρα εἶναι οὐ δυνατόν. ἔχεις οὖν καὶ ἐκ τῆς τῶν τόπων διαφορᾶς
ἀνῃρημένον τὸ ἄπειρον.

p. 205a10 Πέφυκε γὰρ πᾶν τὸ αἰσθητόν που εἶναι.

Τὸ πρῶτον λῆμμα, ὅτι πᾶν σῶμα φυσικὸν ἐν τόπῳ ἐστί, φυσικὸν δὲ
15 τὸ ἐν γενέσει καὶ φθορᾷ· νῦν γὰρ εἴ τι τοιοῦτον ἄπειρόν ἐστι ζητοῦμεν, 40
ὅπερ στοιχεῖόν ἐστι τῶν γινομένων καὶ φθειρομένων, οἷά φαμεν νῦν τὰ
τέσσαρα τῶν ἄλλων πάντων εἶναι στοιχεῖα, καὶ ἐξ αὐτῶν τε γίνεσθαι καὶ
εἰς αὐτὰ ἀναλύεσθαι. ζητεῖ οὖν ὁ λόγος μήποτε ἔστι πρὸ τούτων ἕτερόν
τι ἢ ἕν τι τούτων ἢ ἄλλο παρὰ ταῦτα ἄπειρον ὂν τῷ μεγέθει, ἐξ οὗ τά
20 τε στοιχεῖα καὶ τὰ λοιπὰ τὴν γένεσιν ἔχει. πᾶν οὖν τὸ τοιοῦτον σῶμα ἐν
τόπῳ ἐστίν, οὐ μέντοι ἁπλῶς πᾶν· ἡ γοῦν ἀπλανὴς οὐκ ἔστιν ἐν τόπῳ,
ἐπεὶ μηδέ ἐστί τι τὸ περιέχον αὐτὴν μήτε σῶμα μήτε κενόν, ἀλλ' αὐτὴ
ἐν ἑαυτῇ ἐστιν, οἷον τόπος τις οὖσα αὐτὴ ἑαυτῆς. 45

p. 205a11 Καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός.

25 Τὸ δεύτερον ἀξίωμα, ὅτι ὁ τοῦ ὅλου τόπος ὁ αὐτὸς οὗτος καὶ τοῦ
μορίου ἐστὶ τόπος. ὁ αὐτὸς δὲ δηλονότι οὐ τῷ ποσῷ, ἀλλὰ τῷ εἴδει, οἷον

---

2 ἑκατέρῳ LK: ἑκατέρα M: ἑκάτερα t 4 αὐξιθήσεται et mox προσθύκη M
5 πάντα om. L 6 εἴη LK: ἔσται Mt 8 εἴπωμεν L 8. 9 ἀπείρους τοὺς τό-
πους L 10 ἀσύνθετον L 11 εἶναι om. L οὐ δύναται K διαφορᾶς] δια-
φορὰς (L)Kt: διάφορὰς M 12 ἀνειρημένον M 13 πέφηκε M ποῦ libri
15 νῦν γὰρ - ζητοῦμεν Themist. p. 232,15 εἴ τι Lt: εἴ τοι corr. ex ἤτοι M: εἰ K
16 γενομένων M: ἡνωμένων L 17 ἄλλων om. L γενέσθαι M 21 μέν τι M ἡ
γοῦν LM: ἡ μὲν γοῦν (?) K: ἡ μὲν οὖν superscr. M² et t ἀπλανὴς libri 22 ἐπεὶ μηδέ]
ἐπειδὴ δέ L 22. 25 ἀλλ' αὐτὴ — ἀξίωμα iterata posteriore loco delevit M 22 ἀλλ'
αὐτὴ] ἀλλὰ αὐτῇ t 23 αὐτὴ om. in iteratis M et t 24 παντός] scriptum π τ priore
loco M: hinc litteram π expunctam ratus αὐτῆς finxit t 25 ὅτι ὥσπερ superscr. M²: ὅτι
ὥσπερ t οὗτος LK: οὕτω Mt 26 ἐστὶ τόπος. ὁ αὐτὸς δὲ M et L (qui om. ὁ): ἐστὶ
τόπος ὁ αὐτός. ὁ αὐτὸς δὲ Kt cf. Themist. p. 232,19 οἷον LK: ἢ Mt

www.libtool.com.cn

ὁ ἄνω ἢ ὁ κάτω. ὥσπερ γὰρ εἰ τὴν ὅλην γῆν ἐκστήσαις τοῦ κέντρου, οἰ- 18r
σθήσεται μέχρι τοσούτου μέχρις ἂν τὸ κέντρον καταλάβῃ, οὕτω καὶ ἡ
βῶλος εἰ ἄνωθεν ἀφεθῇ, τὴν ῥοπὴν ἐπὶ τὸ αὐτὸ ἕξει.

p. 205a12 Ὥστε εἰ μὲν ὁμοειδές, ἢ ἀκίνητον ἔσται ἢ ἀεὶ οἰσθή-
5 σεται.

Ἔνθεν αἱ κατασκευαὶ τοῦ μὴ εἶναι τὸ ἄπειρον, καὶ πρῶτον ὅτι ἁπλοῦν 51
οὐκ ἐνδέχεται εἶναι· τοῦτο γάρ φησιν ὁμοειδές. τὸ δὲ ἢ ἀκίνητον ἔσται
ἢ ἀεὶ οἰσθήσεται οὐ περὶ τοῦ ὅλου φησὶν ἀπείρου, ἀλλὰ περὶ τοῦ μο-
ρίου αὐτοῦ. καὶ ἐδήλωσεν ἐφεξῆς τοῖς παραδείγμασιν εἰπὼν λέγω δέ, εἰ
10 βῶλος εἴη, ποῦ αὐτὴ κινηθήσεται; | ὁ γὰρ τόπος ἄπειρος τοῦ 18v
συγγενοῦς αὐτῆς σώματος. τουτέστιν εἰ τὸ ἄπειρον εἴη γῆ, τὸ μέρος
αὐτῆς, οἷον ἡ βῶλος, πότερον ἀεὶ κινηθήσεται ἢ ἀεὶ μενεῖ; δόξει γὰρ ἑκά-
τερον ὑπάρχειν ἐξ ἀνάγκης· εἰ γὰρ φέρεται μὲν τὸ μέρος ἔνθα καὶ τὸ ὅλον,
ὁμοίως δὲ καὶ ἵσταται ἐν τούτῳ ἐν ᾧ καὶ τὸ ὅλον, ὁ δὲ τόπος τοῦ συγ- 5
15 γενοῦς σώματος αὐτῆς, λέγω δὴ τῆς τοῦ ἀπείρου ὁλότητος, ἄπειρός ἐστιν,
ἔστι δὲ καὶ τοῦ μέρους ὁ αὐτὸς ἂν ἐξ ἀνάγκης τόπος, εἰ μὲν πέφυκεν ἐν
τῷ οἰκείῳ τόπῳ κινεῖσθαι τὸ τοῦ ἀπείρου μέρος, ἐπειδὴ ἄπειρος ὁ τόπος
αὐτοῦ, ἐν παντὶ δήπου πέφυκε κινεῖσθαι (τί γὰρ μᾶλλον ὧδε ἢ ὧδε, ὁμοίως
παντὸς οἰκείου ὄντος; εἰ δὲ ἐν τῷ ἀπείρῳ κινεῖται, συμβήσεται αὐτὸ ἀεὶ
20 φέρεσθαι, ἵστασθαι δὲ μηδέποτε), εἰ δὲ κινεῖσθαι μὲν ἐν τῷ οἰκείῳ οὐ
πέφυκε τόπῳ ἵστασθαι δέ (ὅπερ μᾶλλον ἐν τοῖς φυσικοῖς ὁρῶμεν), ἐπειδὴ
πάλιν ὁ ἄπειρος τόπος οἰκεῖός ἐστι τοῦ μέρους, ἐν παντὶ στήσεται· ὥστε
πάντῃ ἀκίνητον ἔσται. ἀνάγκη ἄρα ἢ ἀεὶ κινεῖσθαι τὸ μόριον ἢ ἀεὶ ἵστα-
σθαι, ἑκάτερον δὲ ἄτοπον. ἔχει δέ τινα ἔνστασιν ὁ λόγος· ἐλέγομεν γὰρ
25 τὸν αὐτὸν εἶναι τοῦ ὅλου καὶ τοῦ μορίου τόπον οὐ κατὰ τὸ ποσόν· οὐ γὰρ
ὁ πᾶς ἐν ᾧ ἐστιν ἡ πᾶσα γῆ, ὁ αὐτὸς οὗτος καὶ τῆς βώλου ἐστίν (ἔσται
γὰρ οὕτω τῷ ὅλῳ τὸ μέρος ἴσον), ἀλλ' ὁ αὐτὸς τῷ εἴδει, οἷον ὁ κάτω. 10

---

1 εἰ] εἰς K ἐκστήσης K 2 τοσούτου] τούτου L καταλάβει superscr. M²: καταλάβοι L 2. 3 ἡ βώλος (sic) εἰ M²: ὁ βώλος ἡ M: ὁ βῶλος εἰ K: βῶλος εἰ L: εἰ βῶλος t 3 ἀφεθείη K 4 ὁμειωδὲς hic et v. 7 M: correxit M² prius ἢ om. cum Aristotelis libris L cf. p. 444,16 αἰεὶ Lt 7 ἢ om. superscr. M 8 οὐ περὶ] ἐπὶ (?) ante corr. M 9 δὴ εἰ L: δ' οἷον εἰ Aristoteles 10 βώλοις K αὐτὴ κινηθήσεται ἢ ποῦ μενεῖ; Aristoteles 11 αὐτῆς (cf. v. 15) LK et Arist. codex E cf. Metaph. K 10 p. 1067a12: αὐτῆ ex αὐτὴ vel viceversa corr. M: αὐτοῦ t 12 ἡ superscr. M²: ὁ M 16 ἂν libri: immo αὖ 17 οἰκείῳ] ἰδίῳ L 18 ἐν παντὶ δήπου om. Mt 18. 24 τί γὰρ μᾶλλον—ὁ λόγος LK: ἵστασθαι (ἵστασθαι M) δὲ μᾶλλον ἐν τοῖς φυσικοῖς (ἢ add. M²t) κινεῖσθαι. οὐ γὰρ κατὰ τὸ ποσὸν Mt: in marg. corruptelae signum addit t 19 αὐτὸ K: αὐτῶ L 23. 24 τὸ μόριον ἢ ἀεὶ ἵστασθαι K: ἢ ἵστασθαι τὸ μόριον (superscriptum α traiectionis signum esse puto) L 25 τόπου superscr. M² οὐ κατὰ τὸ ποσόν om. hic (cf. ad v. 18 sqq.) Mt 26 ὁ αὐτὸς t 27 ἴσω superscr. M²

www.libtool.com.cn

ὥσπερ οὖν εἰ νοήσεις τὴν γῆν αὐξηθεῖσαν ὡς φθάσαι τὴν σεληνιακὴν σφαῖ- 18v
ραν, ἐρεῖς μὲν πάντα τὸν ἐντὸς τῆς σφαίρας τῆς γῆς εἶναι τόπον, οὐχ
ἁπλῶς δὲ ὅτι πᾶς ἐστιν αὐτῇ κατὰ φύσιν, ἀλλὰ κατὰ φύσιν μὲν τὸ περὶ
τὸ κέντρον νεύειν, συμβαίνει δὲ διὰ τὸ μέγεθος κατὰ συνέχειαν ἐπὶ πολὺ
5 πόρρω τοῦ κέντρου αὐτὴν διήκειν ὑφ' ἑαυτῆς ἀνεχομένην (ἐπεὶ καὶ τὰ νῦν
περὶ τὴν κυρτὴν τῆς γῆς ἐπιφάνειαν μέρη αὐτῆς, καθ' ἣν καὶ τὴν οἴκησιν
ἔχομεν, οὐχ ὡς πεφυκότα τοσοῦτον ἀπὸ τοῦ κέντρου διεστάναι, οὕτω μένει
ἐν ᾧ ἐστιν, ἀλλ' ἐπειδὴ ὑπὸ τῆς συνεχείας τῆς ἀπὸ τοῦ κέντρου τῆς γῆς
ἀνέχεται· εἰ γοῦν ὑποσκάψῃς τὰ περὶ τὴν ἐπιφάνειαν, οἰσθήσεται ἐπὶ τὸ
10 κάτω τὰ περὶ τὸ ὄρυγμα ἐωρούμενα), οὕτως οὐ πέφυκε μένειν δίχα τινὸς 15
βίας ἐν παντὶ τῷ τόπῳ ἐν ᾧ καὶ ἔστιν, ἀλλ' ἀνέχεται ὑπὸ τοῦ συγγενοῦς
σώματος. ὥστε καὶ εἰ ηὐξήθη μέχρι τοῦ οὐρανοῦ, ὡς περιλαβεῖν καὶ τὸν
τῶν κούφων σωμάτων τόπον, ἐλέχθη ἂν ὁμοίως πᾶς μὲν ὁ ἐντὸς τῆς σφαί-
ρας εἶναι τόπος αὐτῆς ὡς ὅλης, οὐ μέντοι ὡς ἐν παντὶ πεφυκυίας μένειν
15 καὶ χωρὶς τοῦ ὑπὸ τοῦ κέντρου περιείργεσθαι. ἡ οὖν βῶλος εἰ μὲν οὕτως
λέγοιτο ἐν παντὶ τούτῳ τῷ τόπῳ κινεῖσθαι, ὡς ἐκ τῆς ἐπιφανείας τοῦ οὐ-
ρανοῦ πεφυκέναι φέρεσθαι μέχρι τοῦ κέντρου, ὀρθῶς λέγεται, εἰ δὲ λέγοις 20
διὰ τὸ περιέχειν τὴν γῆν πάντα καὶ τὸν ἄνω καὶ τὸν κάτω τόπον, διὰ
τοῦτο καὶ ἡ βῶλος πάντῃ φέρεσθαι ὀφείλει ὁμοίως ἄνω τε καὶ κάτω, διὰ
20 τὸ πάντῃ εἶναι τὴν ὁλότητα αὐτῆς, οὐκέτι εὔλογον. οὐδὲ γὰρ νῦν ἐπειδὴ
ἡ ὁλότης τῆς γῆς μέχρι τῆς ἐπιφανείας τοῦ περιέχοντος αὐτὴν ἀέρος διή-
κει, καὶ ἔστι τῆς ὅλης τόπος ὁ ἐντεῦθεν μέχρι τοῦ κέντρου, διὰ τοῦτο
δήπου ὀφείλει ἡ βῶλος πάντῃ κατὰ τοῦτον τὸν τόπον φέρεσθαι· οὐδὲ γὰρ
ἡ ἐν τῷ κέντρῳ βῶλος, κἂν λάβοι χώραν, κινηθείη ἂν ἐκεῖθεν ἐπὶ τὴν ἐπι- 25
25 φάνειαν τῆς γῆς. οὕτως οὖν καὶ ἐπὶ τοῦ ἀπείρου οὐκ εὔλογον τὸ λέγειν, ὅτι τὸ
μέρος αὐτοῦ πάντῃ οἰσθήσεται διὰ τὸ ⟨τὸ⟩ ἄπειρον τὸν πάντα κατέχειν τόπον,

---

1 αὐξηθεῖσαν K: αὐξηθήσαν M: αὐξηνθεῖσαν (L)t ὡς φθάσαι LK: στᾶσαι (an στεῦσαι M?) Mt 1. 2 σφαίραν M et t 2 τῆς φαίρας KM ante τῆς γῆς addunt ἕνα M²t 3 αὐτῇ (quod librario est αὐτὴ non minus quam αὐτῇ) K: αὕτη L: αὐτὴ M: αὐτῆς fort. recte t 4 νεύειν LK: ἔβη M: ἐστὶ t ἐπὶ] ἐπεὶ L 5 αὐτὴν διήκειν superscr. M² ἀναχομένην M et t ἐπειδὴ καὶ L 7 πέφυκε L ἀπὸ τοῦ κέντρου om. Mt 7. 10 οὕτω μένει—ἐωρούμενα om. Mt 7 οὕτω L: οὔτε K 10 ἐωρούμενα K: ἐωρούμενα L 11 τῷ om. Mt ἀλλ' ἀνέχεται L: ἀλλ' ἀνάχεται K: ἀλλὰ ἀναδέχεται Mt 12 καὶ ὥστε καὶ ηὐξήνθη μέχρι τοῦ οὐνοῦ superscr. M² ηὐξήνθη t τὸν Kt: om. L: τὸ M 13 post κούφων iterat τῶν M τόπων superscr. M² 14 μέντοι] μενεῖ, ut videtur, M πεφυκῶας K 15 alterum τοῦ om. Mt περιήγεσθαι (sic) Mt οὕτω t 16 λέγοιτο om. L ἐν Kt: om. M: τῷ ἐν τῷ L qui mox τῷ om. περιφανείας superscr. M² 17 λέγεις Mt: fort. λέγοις ⟨ὅτι⟩ 19 πάντῃ φέρε πάντῃ φέρεσθαι L ὠφείλει primitus M 20 γὰρ K: om. (L)Mt 21 μέχρη τῆς M 22 τῆς ὅλης LKM: αὐτῆς τῆς ὅλης M²t 25 καὶ om. L οὐκ ἄλογον t 26 ⟨τὸ⟩ ἄπειρον scripsi: ἄπειρον KMt: om. L τὸν] τοῦ M

www.libtool.com.cn

εἰ γε ὅλως φυσικήν τινα ῥοπὴν ἔχει τὸ ἄπειρον. ἀλλ' ἢ οὐδεμίαν ῥοπὴν 18v
ἔχει φυσικήν, καὶ οὕτως πάντῃ ἀκίνητον ἔσται, ἢ εἰ ὅλως ἔχοι ῥοπήν, οὐκ
εὔλογον τὸ λέγειν ὅτι πάντῃ τὸ μέρος ἢ στήσεται ἢ οἰσθήσεται, ὥσπερ
οὐδὲ νῦν ἐπὶ τῆς γῆς, ὡς εἴρηται. ἀλλ' ἔστι καὶ πρὸς ταῦτα εἰπεῖν, ὅτι
5 νῦν μὲν καὶ τῆς γῆς οὔσης πεπερασμένης καὶ τοῦ τόπου τοῦ περιέχοντος
αὐτὴν ἔστι ταῦτα εἰπεῖν ἅπερ εἴπομεν, εἰ μέντοι ἄπειρός τις εἴη τόπος, 20
πῶς ἔστι τὸ ἄπειρον διελόντα εἰπεῖν τοῦτον μὲν εἶναι τὸν κατὰ φύσιν τό-
πον, ἐκεῖνον δὲ μή; ὡς γὰρ αὐτὸς ἐν τοῖς ἔμπροσθεν εἶπε, πῶς ἔστι τοῦ
ἀπείρου τὸ μὲν ἄνω εἰπεῖν τὸ δὲ κάτω, ἢ ἔμπροσθεν καὶ ὄπισθεν; πάντῃ
10 γὰρ πρὸς ἑαυτὸ τὸ ἄπειρον ὁμοίως ἔχει. οὐκ ἄρα ἔστι τοῦ ἀπείρου τόπου
ἀφορίσαντα μοριόν τι ἢ σημεῖον εἰπεῖν ὡς οὗτος εἴη ὁ κατὰ φύσιν τοῦ
ἀπείρου σώματος τόπος, ὥσπερ νῦν φαμεν τὸ κέντρον τῶν βαρέων εἶναι
τὸν κατὰ φύσιν τόπον. λείπεται οὖν τὸν ἄπειρον πάντα τόπον κατὰ φύσιν 25
εἶναι λέγειν τόπον τοῦ ἀπείρου σώματος· εἰ δὲ πᾶς εἴη αὐτοῦ κατὰ φύσιν,
15 ἕψεται ταῦτα τὰ ὑπὸ τοῦ Ἀριστοτέλους εἰρημένα.

Ὥστε εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται. δυνατὸν τὸ ἀκίνητον
ἔσται ὡς μόνον ἑπόμενον τῷ μονοειδὲς εἶναι λαμβάνειν· εἰ γὰρ ἁπλοῦν
καὶ μονοειδὲς τὸ ἄπειρον, ἔστι δὲ αὐτοῦ ὁ πᾶς οἰκεῖος τόπος, ὁ αὐτὸς δὲ
καὶ τοῦ μέρους, οὐδὲν δὲ ἐν τῷ οἰκείῳ τόπῳ κινεῖται τῶν εὐθυφορικῶν
20 σωμάτων, οὐκ ἄρα κινήσεται τὸ τοῦ ἀπείρου μόριον. τοῦτο μὲν οὖν εὐλό- 40
γως ἀκολουθεῖ τῇ ὑποθέσει, τὸ ἀκίνητον εἶναι τὸ τοῦ ἀπείρου μόριον ἐν
τῷ οἰκείῳ τόπῳ ὄν, οὗτος δέ ἐστιν ὁ ἄπειρος. εἰ δὲ τοῦτό τις μὴ δώσει,
ἀκίνητον αὐτὸ εἶναι, διὰ [δὲ] τὸ μὴ ἀνελεῖν τὴν κίνησιν, δώσει πάντως τὸ
ἀεὶ φέρεσθαι· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ἢ ἀεὶ οἰσθήσεται, ὡς· ἑπο-
25 μένου τῇ ἀναιρέσει τοῦ ἀεὶ ἵστασθαι τοῦ ἀεὶ κινεῖσθαι. ᾧ γὰρ λόγῳ δέ-
δεικται ἀκίνητον, εἴ τις τοῦτο μὴ παραδέχοιτο, δειχθήσεται ἐξ ἀνάγκης
ὅτι ἀεικίνητόν ἐστιν· εἰ γὰρ πέφυκεν ἐν τῷ ἰδίῳ κινεῖσθαι τόπῳ, ὡς ἡ
ὑπόθεσις, τόπος δὲ αὐτοῦ ἐστιν ὅσπερ καὶ τοῦ παντός, οὗτος δὲ ἄπειρός 45

---

1 ἔχοι L 2 οὕτω t ἐστιν Mt ἢ om. L ὅλως ἔχει Mt 4 ὡς om. Mt 5 καὶ (post μὲν) om. Mt 7 διέλόντας compend. M 8 ἐκείνω (ον) superscr. M² 9 εἰπεῖν τὸ μὲν ἄνω L πάντῃ K: πάντως L: ταῦ (τ) M: ταῦτα t 10 τὸ L: om. KMt τόπος L 11 ἀφορίσαν (τ) M: ἀφορίσαντο (sic) t 11. 12 τόπος τοῦ ἀπείρου σώματος Mt 13 τὸν (ante κατὰ) L: τῶν (K)Mt τόπων (priore loco) compend. M 14 αὐτοῦ scripsi: αὐτὸς L et ante corr. M: αὐτῷ (K)t et corr. M 15 ἀπὸ L 16. 17 δυνατὸν τὸ ἀκίνητον ἔσται om. L 17 ἑπόμενον M τῷ scripsi: τοῦ L: τὸ KMt: in marg. corruptelae signum addit t μονοειδὲς εἶναι KM: ὁμοειδὲς εἶναι (L)t 18 δὲ (ante αὐτοῦ) om. Mt 19 ante ἐν tres fere litterae erasae K εὐθυφορικῶν L: εὐθυφρορκῶν K: εὐθηφορικῶν M: εὐθυφορητῶν t 22 ὁ om. Mt 23 αὐτῷ (ο) et paulo post τὸ μὴ ex τῷ μὴ M² δὲ delent (L)t: an δὴ? 24 αὐτῷ LK: αὐτὸ Mt 24. 25 ἑπομένου M: ἑπόμενον L 25 ἀνερέσει K τοῦ ἀεὶ κινεῖσθαι] τὸ ἀεὶ κινεῖσθαι LM 26 δειχθείσεται (M)t 27 ἀεὶ κινητόν M ἢ] καὶ L 28 τόπος δεδὲ αὐτοῦ K ὅσπερ t: ὥσπερ LKM

www.libtool.com.cn

ἐστιν, ἐν τῷ ἀπείρῳ ἄρα τόπῳ κινεῖται. ὥστε οὐ στήσεται (ἐν γὰρ ἀπείρῳ l 8v
ἡ κίνησις), καὶ οὐδὲν μᾶλλον ὧδε ἢ ὧδε οἰσθήσεται, ἀλλ' ὁμοίως πανταχοῦ.

p. 205a13 Καίτοι ἀδύνατον· τί γὰρ μᾶλλον κάτω ἢ ἄνω ἢ ὁπουοῦν;

Ἀδύνατον, φησίν, τὸ ἀεὶ κινεῖσθαι, εἶτα καὶ ἐπήγαγε πῶς ἀδύνατον·
5 τί γὰρ μᾶλλον ἄνω ἢ κάτω ἅμα καὶ κατὰ ταὐτὸν κινήσεται; εἰ γὰρ πᾶς
μὲν οἰκεῖός ἐστιν αὐτῷ τόπος, ἔστι δὲ ἐν παντὶ τὸ ἄνω καὶ τὸ κάτω (τοῦτο
γὰρ ἐκ τῆς ἐναργείας λαμβάνω), οὐδὲν μᾶλλον ἅμα καὶ κατὰ ταὐτὸν ἄνω 50
ἢ κάτω κινήσεται, εἴ γε πανταχοῦ πέφυκε φέρεσθαι· τοῦτο δὲ ἀδύνατον,
ἅμα τὰς ἐναντίας κινεῖσθαι· οὐδ' ἄρα κινήσεται. εἰ γὰρ διὰ τὸ ἔχειν τὴν
10 ἐπὶ πάντα τόπον ὁρμὴν ἅμα τῷ ἐκστῆναι τῆς ὁλότητος φέρεται ἐφ' ὅπερ
ἡ ὁρμὴ ἄγει, φέρεται δὲ ἐπὶ πᾶν ὁμοίως, ἀδύνατον δὲ τοῦτο γενέσθαι,
ἀδύνατον ἄρα καὶ κινηθῆναι· ἀνάγκη γὰρ εἰ κινεῖται, οὕτω κινηθῆναι.

p. 205a16 Πότερον οὖν καθέξει τὸν ὅλον τόπον; καὶ πῶς;

Τουτέστιν ἄρα διὰ τὸ ἐπὶ πάντα τόπον πεφυκέναι φέρεσθαι ἅμα παν-
15 ταχοῦ κινηθήσεται, | καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω; ἀλλὰ τοῦτο ἀδύ- m 1r
νατον· τὰς ἐναντίας γὰρ οὕτως ἅμα κινοῖτο.

p. 205a17 Τίς οὖν ἢ ποῦ ἡ μονὴ καὶ ἡ κίνησις αὐτῆς;

Τουτέστιν ἢ ποῦ καὶ ἐπὶ τίνα τόπον κινήσεται, ἢ ἐν ποίῳ τόπῳ στή-
σεται; ἢ πανταχοῦ μενεῖ; οὐ κινήσεται ἄρα. ἢ πανταχοῦ κινή-
20 σεται; οὐκ ἄρα στήσεται. εἰ ἠρεμεῖ, φησί, πανταχοῦ ἠρεμήσει (οὐ γὰρ 5
δὴ ὅταν εἰς τὸν οἰκεῖον παραγένηται τόπον, τότε ἠρεμεῖ· ὁ γὰρ πᾶς οἰκεῖος·
πανταχοῦ ἄρα ἠρεμήσει), εἰ δὲ τοῦτο, ὅλως οὐ κινηθήσεται. πάλιν εἰ κινη-
θήσεται, πανταχοῦ ὁμοίως κινηθήσεται, διότι πάλιν ὁ πᾶς ἐστιν αὐτῷ οἰ-
κεῖος τόπος. ἀλλ' ἵνα καὶ συγχωρήσω τῷ πάντῃ κινεῖσθαι, πῶς ἐκφυγεῖν
25 δυνατὸν τὸ μηδέποτε στήσεσθαι αὐτὸ κινούμενον;

---

2 οὐδὲ L 3 ὅπου οὖν M: ὁπωσοῦν L cf. Aristotelis libri. Diels, *z. Textgesch.* p. 17 5 κινεῖσθαι K 6 αὐτῷ ἐστι traicit L ἐν LK et, ut videtur, ex corr. M: τῷ t τῷ ἄνω καὶ τὸ (ex τῷ corr.) κάτω M 7. 8 ἄνω ἢ κάτω om. L 10 τῷ] τὸ K 12 εἰ. κιεῖται L 14 ἄρα t: ἄρα LKM διὰ τοῦ corr. M et t 15 τῷ ἄνω ante corr. K et Mt 16 fort. ⟨ἂν⟩ ἅμα κινῶτο L: κινείτω K 17 ἢ ποῦ ἡ μονὴ KM: ἡ μονὴ ἢ ποῦ L: καὶ ποῦ ἡ μονὴ e vulgato Aristotele t plenius, ut solet, lemma usque ad οὐκ ἄρα στήσεται t 18 ἐπί τινα libri 19. 20 ἢ πανταχοῦ μενεῖ — οὐκ ἄρα στήσεται om. Mt 19 μενεῖ L: μένει K 19. 20 κινηθήσεται priore loco K: utrobique Aristoteles 21 ὁ γὰρ LK: ὅταν Mt 22 ἄρα scripsi: γὰρ libri 22. 23 πάλιν — ὁμοίως κινηθήσεται om. L 24 ἵνα LK: ἕνα M: ἐὰν t at cf. p. 92,5. 250,10. 322,4. 437,13

www.libtool.com.cn

p. 205a19 Εἰ δὲ ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι. m 1r

Δείξας. ὅτι ἁπλοῦν οὐκ ἔστι, νῦν δείκνυσιν. ὅτι οὐδὲ σύνθετον. εἰ τοίνυν 11
ἐξ ἀνομοειδῶν, ἀνάγκη καὶ τοὺς τόπους τούτων πλείονας εἶναι· τῶν ἑτε-
ροειδῶν γὰρ ἕτεροι καὶ οἱ τόποι. εἰ δὲ τοῦτο, πρῶτον μὲν ἄτοπον μὴ εἶναι
5 τὸ τοῦ παντὸς σῶμα συνεχές, ἀλλ' ἐξ ἁπτομένων εἶναι. πῶς δὲ τοῦτο
συμβαίνει ἔφθην εἰπών, ὅτι εἰ μὲν κεκραμένα εἴη τὰ ἑτεροειδῆ, ἀεὶ ἐν τῷ
παρὰ φύσιν ἔσονται, εἰ δὲ τοῦτο ἀδύνατον καὶ δεῖ ἕκαστον τὸν ἑαυτοῦ 15
τόπον καταλαβεῖν, ἐξ ἁπτομένων ἔσται τὸ ἄπειρον· ἀλλ' οὐδὲν φυσικὸν
σῶμα τοιοῦτόν ἐστι.

10 p. 205a22 Πεπερασμένα μὲν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δὲ οὔ, εἰ τὸ πᾶν ἄπειρον.

Ἀδύνατον, φησίν, ἐκ πεπερασμένων εἰδῶν συγκεῖσθαι τὸ ἄπειρον. 21
ἀνάγκη γὰρ ἕν τι τῶν ὑπὸ τὸ εἶδος τοῦτο ἄπειρον εἶναι ἢ πλήθει ἢ με-
γέθει· εἰ γὰρ τὰ ὑπὸ πάντα τὰ εἴδη ἄτομα πεπερασμένα εἶεν, καὶ τὸ ἐκ
15 πάντων ἔσται πεπερασμένον. εἰ δὲ πάλιν πάντα ἢ τινὰ εἶεν ἄπειρα, διπλα-
σιασθήσεται ἢ πολλαπλασιασθήσεται τὸ ἄπειρον. λείπεται οὖν τὰ ὑφ' ἓν
εἶδος ἄτομα ἄπειρα εἶναι. ἀλλὰ καὶ τοῦτο ἀδύνατον· πρῶτον μὲν γὰρ καὶ 25
ἐνταῦθα αὔξησις τοῦ ἀπείρου γίνεται, προστιθεμένων τοῖς ἀπείροις τῶν πε-
περασμένων, ἔπειτα (ὅπερ ἔναγχος ἐλέγομεν) καταδαπανηθήσεται τὰ πεπε-
20 ρασμένα ὑπὸ τοῦ ἀπείρου· ἄπειρος γὰρ ἡ ἐν ἀπείρῳ δύναμις.

p. 205a25 Καὶ διὰ τοῦτο οὐδεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησεν.

Ἐλλιπέστερον εἴρηται τὸ ἐπιχείρημα (ὡς γὰρ εἶπον, ἐκ τῶν παρ' αὐτοῖς ὡμολογημένων θέλων ἐλέγξαι τὴν ὑπόθεσιν, ταῦτα προσέθηκε), δέον γὰρ οὕτως εἰπεῖν 'καὶ ἄλλως οὐχ οἷόν τε ἓν τῶν στοιχείων ἄπειρον εἶναι 30
25 ἐν τῇ συνθέσει, διότι τῶν μὲν στοιχείων ἑκάστου ὁ κατὰ φύσιν ὥρισται τό-
πος, τὸ δὲ ἄπειρον ὡρισμένον τόπον οὐκ ἔχει. ὥστε οὐκ ἂν εἴη ἓν τῶν
στοιχείων ἄπειρον. ὅτι δὲ τοῦ ἀπείρου ὁ τόπος ἀόριστος, δηλοῦσι καὶ οἱ
φυσικοί· διὰ τοῦτο γοῦν οὐδεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησε
καὶ τὰ ἑξῆς.'

---

1 δὲ] δ' t continuant lemma usque ad τῷ εἴδει (M)t 3 ἀνομοιοειδῶν L 4 μὲν οὖν Mt 6 ἔφθην εἰπών p. 438,20 sqq. κεκραμμένα K 10 πεπερασμένα L: πεπερασμ$\frac{\varepsilon}{\nu}$ K: πεπερασμένον M: καὶ πεπερασμένα e vulgato Aristotele t μὲν οὖν οὐχ Aristoteles (praeter I) 11 δ' οὔ t 12 σύγκεισθαι K 13 τῶν] τὸ L 14 τὸ] τὰ L 15 πεπερασμένον Mt: πεπερασμ$\frac{\varepsilon}{\nu}$ K: πεπερασμένα L 19 ἔναγχος] cf. ad p. 439,8 20 γὰρ] μὲν L 21 οὐδ' εἰ τὸ L πῦρ hic et v. 28 om. L 22 ἐλλειπέστερον K εἶπον p. 439,9 sqq. 23 ὁμολογουμένων Mt 24 γὰρ deleverim 25 ἕκαστον Mt 26 δὲ om. M 27 ὁ om. Mt 28 γοῦν LK: γὰρ Mt

www.libtool.com.cn

p. 205a28 Ταῦτα δὲ ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω. m 1r

Καίτοι ἔδει συνιδεῖν αὐτοὺς ὅτι οὐ μόνον ὕδωρ καὶ ἀὴρ ἐν τοῖς ἀλλοτρίοις ὁρᾶται τόποις, ἀλλὰ καὶ γῆ καὶ πῦρ. πολλαχοῦ γοῦν κρατῆρες πυρὸς ἀναδίδονται, ὡς ἔν τε τῇ Αἴτνῃ καὶ ἐν τῇ Κιλικίᾳ, καὶ τοὺς κεραυνίτας φασὶ λίθους ἄνω συνισταμένους κάτω φέρεσθαι. ἀλλὰ δῆλον ὡς οὐχ οἷόν τε ἐν τοῖς ἀλλοτρίοις τόποις κατ' ἐνέργειαν οὕτω φέρεσθαι, ἀλλ' ὡς γινόμενα, ἐπειδὴ πᾶν εἰς πᾶν μεταβάλλει.

p. 205a29 Εἰ δὲ ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι.

Ἐπὶ τὴν ἑτέραν μετέβη ὑπόθεσιν τὴν ἄπειρα τὰ εἴδη ὑποτιθεμένην, ἀπείρων δηλονότι καὶ τῶν ἀτόμων ὄντων, εἴ γε τοὐλάχιστον ἓν ἄτομον ὑφ' ἓν εἶδος τελεῖ. εἰ οὖν ἄπειρα εἴη κατ' εἶδος τὰ συντιθέντα τὸ ἄπειρον, ἐπειδὴ τῶν διαφόρων κατ' εἶδος διάφοροι καὶ οἱ τόποι, ἀνάγκη καὶ τοὺς τόπους ἀπείρους εἶναι. τοῦτο δέ, φησίν, ἀδύνατον· οἱ γὰρ φυσικοὶ πάντες τόποι πεπερασμένοι εἰσί, εἰ δὲ πεπερασμένοι οἱ τόποι, ἐξ ἀνάγκης καὶ τὰ ἐν αὐτοῖς σώματα πεπερασμένα εἰσί, πεπερασμένων δὲ ὄντων τῶν σωμάτων καὶ τὸ ἐκ πάντων πεπερασμένον ἀνάγκη εἶναι. διὰ τί δὲ εἰ τῷ ἀριθμῷ πεπερασμένοι οἱ τόποι, καὶ τὰ ἐν αὐτοῖς σώματα πεπερασμένα ἀνάγκη εἶναι, οὐ μόνον ἀριθμῷ ἀλλὰ καὶ μεγέθει; ὅτι πᾶς τόπος πεπέρανται κατὰ μέγεθος (περιέχει γὰρ τὸ ἐν τόπῳ σῶμα), πεπερασμένου δὲ ὄντος τοῦ τόπου καὶ τὸ ἐν αὐτῷ σῶμα πεπεράνθαι ἀνάγκη· οὔτε γάρ, φησί, πλείονα τοῦ σώματος ἐγχωρεῖ εἶναι τὸν τό|πον (κενὸν γάρ ἐστιν), οὔτε πλεῖον τοῦ m 1v
τόπου σῶμα εἶναι· ἔσται γὰρ σῶμα οὐκ ἐν τόπῳ.

p. 205a30 Καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα.

Τοῦτο καθ' αὑτό ἐστι ἐπιχειρήματος δύναμιν ἔχον· εἰ γὰρ ἐξ ἀπείρων εἰδῶν σύγκειται τὸ ἄπειρον, ἀνάγκη καὶ τὰ στοιχεῖα ἄπειρα εἶναι. ἔδειξε δὲ τοῦτο ἀδύνατον καὶ ἐν τοῖς πρὸς Ἀναξαγόραν λόγοις ἐν τῷ πρώτῳ βιβλίῳ, δείξει δὲ καὶ ἐν τῇ Περὶ οὐρανοῦ, καὶ μάλιστα ἐν τῇ Περὶ γενέσεως· εἴρηται γὰρ ἐκεῖ ὅτι εἰ τὰ στοιχεῖα ἄπειρα εἴη, πρῶτον μὲν δι-

---

1 τὸ ἄνω L 2 καίτοι γε L 3 ὡρᾶται primitus M πολλαχοῦ L: πολλαχῶς (K)Mt 4 κηλικία M 5 συνισταμένου K κάτω φέρεσθαι Mt: καταφέρεσθαι LK 6 οὕτω φέρεται K 8 δὲ KM: δὲ καὶ L: δ' t ἁπλᾶ] πολλὰ M οἱεντόποι (sic) M 9 ἐπεὶ M τῆς ἄπειρα τὰ εἴδη ὑποτιθεμένης L 10 τοὐλαχίστου L 11 συντιθέντα] σύνθετα L 15 εἰσί] ὅτη ἀνάγκη εἶναι L 16. 17 δὲ ἐν τῷ ἀριθμῷ πεπερασμένον οἱ L 18 εἶναι] εἰσὶν K πεπέρασται (K)Mt 19 τὸ μέγεθος L 20 ἐν om. superscr. L 21 fort. γὰρ ἔσται 24 ante ἐπιχειρήματος addit καὶ t ἔχει Mt 26. 28 ἔδειξε — ἐν τῇ Περὶ γενέσεως] cf. ad p. 417,34 sqq. 26. 27 πρώτῳ βιβλίῳ c. 6 27 δείξει] δείδει K 28 ἔκεῖ om. Mt

www.libtool.com.cn

πλασιασθήσεται τὸ ἄπειρον μετὰ τῶν ὑποκειμένων, ἔπειτα ἀναιρεθήσεται M 1v
γένεσις καὶ καθόλου πᾶσα μεταβολή (δεῖ γὰρ ἀπείρους μεταβολὰς εἶναι, ἵνα γένηταί τινος γένεσις), τοῦτο δὲ ἀδύνατον. συναπτέον οὖν τῷ "καὶ οἱ τόποι ἄπειροι" τὸ εἰ δὲ τοῦτο ἀδύνατον καὶ τὰ ἑξῆς. τὸ δὲ εἰ δὲ
5 τοῦτο ἀδύνατον τοῦτ' ἐστίν, εἰ ἀδύνατον ἀπείρους εἶναι τοὺς τόπους.

p. 205a34 Ἅμα δὲ οὐδὲ ἄπειρον ἔσται τὸ σῶμα.

Τῷ "οὔτε γὰρ ὁ τόπος ἅπας μείζων ἢ ὅσον ἐνδέχεται τὸ σῶμα εἶναι" 10 συναπτέον τὸ ἔτι οὔτε τὸ σῶμα μεῖζον ἢ ὁ τόπος καὶ τὰ ἑξῆς, εἶτα τὸ ἅμα δὲ οὐδὲ ἄπειρον ἔσται τὸ σῶμα· ὡς συμπέρασμα γάρ ἐστι
10 τοῦτο τῶν ἄλλων. εἰ γὰρ οὔτε ὁ τόπος μείζων τοῦ σώματος, οὔτε τὸ σῶμα μεῖζον τοῦ τόπου, πεπέρανται δὲ πᾶς τόπος, καὶ τὸ σῶμα πεπεράνθαι ἀνάγκη· οὐδὲν ἄρα σῶμα ἄπειρον ἔσται.

p. 205b1 Ἀναξαγόρας δὲ ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς· στηρίζειν γὰρ αὐτὸ αὑτό φησι τὸ ἄπειρον. 15

15 Ὁ Ἀναξαγόρας, φησίν, ἄτοπον αἰτίαν ἀποδίδωσι τοῦ μένειν καὶ ἀκίνητον εἶναι τὸ ἄπειρον, ὅπερ ἦν κατ' αὐτὸν τὸ ἐκ πασῶν τῶν ὁμοιομερειῶν συγκείμενον ἀπείρων οὐσῶν, ὅπερ τὸν νοῦν ἀπό τινος χρόνου ἄρξασθαι διακρίνειν ἔλεγε. τὸ οὖν ὅλον τοῦτο μῖγμα ἀκίνητον εἶναι λέγων ὁ Ἀναξαγόρας αἰτίαν τῆς ἀκινησίας ταύτην ἀπεδίδου· οὐ γὰρ τῷ εἶναι ἐν τῷ κατὰ
20 φύσιν τόπῳ, ταύτῃ ἀκίνητον εἶναι (οὐδὲ γὰρ εἶναι ὅλως ἐν τόπῳ ἔλεγεν, ἵνα μὴ ταύτῃ εὐθὺς καὶ πεπερασμένον ποιήσῃ), ἀλλ' αἴτιον εἶναι αὐτῷ τῆς ἀκινησίας τὸ αὐτὸ ἑαυτὸ στηρίζειν, τουτέστιν ἑαυτῷ ἀντιβαίνειν καὶ εἰς ἑαυτὸ ἐπερείδεσθαι, τοῦτο δὲ ὑπάρχειν αὐτῷ διὰ τὸ μηδὲ ἔν τινι εἶναι μηδὲ περιέχεσθαι, ἀλλ' αὐτὸ ἐν ἑαυτῷ εἶναι καὶ αὐτὸ ἑαυτοῦ τόπον ὑπάρ-

---

2 καθ' ὅλην πᾶσαν μεταβο primitus M 3 τοῦτο δὲ ἀδύνατον LK: τοῦτο δὲ (εἰ δὲ τοῦτο t) ἀδύνατον, τουτέστιν εἰ ἀδύνατον ἀπείρους εἶναι τοὺς τόπους Mt 4 τὸ εἰ δὲ Mt: τὸ εἶδος L: τὸν δὲ K 4. 5 τὸ δὲ εἰ δὲ — τόπους om. hic Mt cf. ad v. 3 6 τὸ om. K at cf. v. 9 7 Τῷ] τὸ K ἅπας] ὁ πᾶς Aristotelis vulgata μεῖζον M ἢ ὅσον LK: ἢ ὁ τόπος καὶ τὰ ἑξῆς· εἶτα τὸ ἅμα δὲ οὐδὲ ἄπειρον ἔσται τὸ σῶμα. ἢ ὅσον Mt 8 τὸ ἔτι LKM: τῷ ἔτι t μεῖζον Lt: μεῖζων K: μείζων M 8. 9 ἢ ὁ τόπος — τὸ σῶμα om. hic Mt cf. ad v. 7 9 ἅμα (sic) ex ἄτομα corr. L 10 τόπος μείζων] τόπος μεῖζον M 11 μείζων L πεπέρανται scripsi: πεπέρασται KMt: πεπέρασθαι (sic) L 13 δ' ἀτόπως t 14 αὐτό] αὐτό M: αὐτῷ K τὸ ἄπειρόν φησι L 15 Ὁ om. Mt αἴτιον L at cf. Themist. p. 235, 10 15. 16 ἀνακίνητον vel ἀνευκίνητον M 16 ἀνομοιομερειῶν Mt 17 συγκειμένων L 18 τῷ οὖν t λέγων om. Mt 19 ταύτην K et corr. M: τὴν αὐτὴν, ut videtur, primitus M: ταύτης L: τοιαύτην t τῷ εἶναι] τὸ L 20 ταύτῃ — ἐν τόπῳ om. L 22 αὐτὸ ἑαυτὸς K ἑαυτῷ] ἑαυτὸ M 23 τούτῳ δὲ ὑπάρχῃ αὐτὸ ante corr. M ἔν t 24 περιέργεσθαι ἀλλ' αὐτὸ ἑαυτὸ M τόπου K

www.libtool.com.cn

χειν. τοῦτο δέ, φησί, λέγει, ὡς δὴ παντός, ὅπου δᾶν εἴη, ἐκεῖ καὶ πεφυ- m 1v
κότος εἶναι· εἰ γὰρ μὴ ἔστι τὸ αἴτιον τῆς στάσεως ὁ κατὰ φύσιν τόπος,
ἀλλὰ τὸ στηρίζειν ἑαυτὸ καὶ ἐν ἑαυτῷ εἶναι, δυνατόν γε δήπου καὶ ἀλλα-
χοῦ εἶναι καὶ ἵστασθαι, εἰ ἐν ἑαυτῷ εἴη καὶ στηρίζοι ἑαυτό. τοῦτο δὲ
5 ψεῦδος· οὐδὲ γὰρ νῦν ἡ γῆ διὰ τὸ στηρίζειν ἑαυτὴν καὶ εἰς ἑαυτὴν συννε-
νευκέναι, διὰ τοῦτο μένει. εἰ γὰρ τοῦτο ἦν τὸ αἴτιον τῆς μονῆς, ἐὰν τῷ
λόγῳ μετεωρίσω τὴν γῆν καὶ ἀγάγω αὐτὴν μέχρι τοῦ ὑπεκκαύματος, ἐπειδὴ
κἀκεῖ ἐν ἑαυτῇ ἐστι καὶ ἑαυτὴν στηρίζει, ἔδει δήπου καὶ ἀκίνητον εἶναι.
τοῦτο δὲ ἀδύνατον· οἰσθήσεται γὰρ ἕως ἂν τὸν κατὰ φύσιν καταλάβοι
10 τόπον, οὗτος δέ ἐστιν ὁ μέσος. οὐκ ἄρα οὐδὲ νῦν τὸ ἑαυτὸ στηρίζειν αἴτιον 30
τοῦ μένειν. καὶ ἄλλως οὐ τὸ ἑαυτὸ στηρίζειν καὶ ἐν ἑαυτῷ εἶναι καὶ ὑπὸ
μηδενὸς περιέχεσθαι, τοῦτο ἤδη καὶ κατὰ φύσιν ἀκίνητον ποιήσει τὸ ἄπει-
ρον· τοὐναντίον γὰρ βιαίου μονῆς τοῦτο αἴτιον. διὰ γὰρ τόπου ἀπορίαν καὶ
τὸ μὴ ἔχειν ποῦ κινηθῆναι οὐ κινεῖται, οὐ διὰ τὸ μὴ πεφυκέναι κινεῖσθαι·
15 ἄδηλον γὰρ εἰ παρούσης χώρας ἠρέμησεν ἄν. διὰ τοῦτο γοῦν καὶ τὴν γῆν
κατὰ φύσιν μένειν καὶ μὴ κινεῖσθαί φαμεν, διότι καὶ τόπου ὑπάρχον-
τος πανταχόθεν, ὅμως οὐδαμοῦ κινεῖται· ἐπεὶ οὖν ἔχουσα ποῦ κινηθῆναι, ὅμως 35
οὐ κινεῖται, διὰ τοῦτο τῆς μονῆς αὐτῆς αἴτιον τὸ πεφυκέναι ἐν τῷ μέσῳ
εἶναι. ὥσπερ οὖν εἰ καθ' ὑπόθεσιν ποιήσομεν ἄπειρον τὴν γῆν αὐξήσαντες
20 αὐτὴν * * * ὡς νῦν ἔχει, ἐξὸν μὲν ἦν λέγειν ὅτι αὐτὴ ἑαυτὴν στηρίζει
καὶ ἐν ἑαυτῇ ἐστι καὶ ὑπ' οὐδενὸς περιέχεται, ἀλλ' οὖν οὐ τοῦτο τῆς κατὰ
φύσιν ἀκινησίας αὐτῆς αἴτιον ἦν, ἀλλ' ὅτι εἰργμένη ἦν ἀπὸ τοῦ μέσου
καὶ περὶ αὐτὸ νενευκυῖα, οὕτω φημὶ καὶ ἐπὶ τοῦ ἀπείρου, ὅτι κἂν ἑαυτὸ 40
στηρίζῃ καὶ ὑπὸ μηδενὸς περιέχηται, οὐ τοῦτο κατὰ φύσιν αἴτιόν ἐστι τῆς

---

1 δὴ LK: δεῖ M: δέον t παντὸς L: πάντως K: πᾶν Mt ὅπου δ' ἂν L: ὁπουδὰν KM: ὅπου ἂν t. de crasi δᾶν (i. e. δὴ ἂν) cf. 244,10. 308,21. 316,8. 450,25. 451,5 q 3v 18. (ad p. 206,32? 309,1). Usener, *Jahrbücher für Philol.* 117 [1878],66 sq. 1. 2 πεφυκότος scripsi: πεφυκὸς libri 3 τὸ et ἑαυτῶ M²: τῶ et ἑαυτὸ M 4 εἴη ex corr. M 4. 6 καὶ στηρίζοι — μονῆς om. Mt 4. 5 στηρίζοι — διὰ τὸ L: om. K 6 μένει K: μενεῖ L ἐὰν οὖν t 7 μετεόρίσω M: μετεωρήσωμεν L 8 κακεῖ ἐκεῖ M ἔδει] δεήσει t 9 κατὰλάβει M: καταλάβῃ t 10 οὗτος L: αὐτὸς KMt ἑαυτὸ Mt: ἑναυτῶ K: ἐν ἑαυτῶ L 11 ἐνεαυτὸ εἶναι ante corr. M 13. 20 τοὐναντίον κτλ.] cf. Themist. p. 235,18 sqq. 13 τὴν τόπου L ἀπορία M: ἀπειρίαν L 13. 14 καὶ τὸ LK: καὶ τῷ Mt 14 ποῦ κτλ.] cf. ad p. 51,14 οὐ διὰ LK: διὰ M: ἀλλ' οὐ διὰ t 15 χῶ M: χώραν t γοῦν L: γὰρ KMt 16 μένει superscr. M² 17 ποῦ LK: τῶ M: τὸ M²t 18 τῶ πεφυκέναι M 19 ποιήσομεν LM: ποιήσωμεν K: ἐποιήσαμεν t τὴν om. L 20 post αὐτὴν indicavi lacunam, quam verbis καὶ ἀκίνητος καὶ τότε ἦν inepte explet t cf. Themist. p. 235,26 νῦν] νοῦν M ἐξῶν μὲν νῦν λέγει ὅτι M 21 ὑποδενὸς K 22 εἰργμένη] ἠρμ/ (γ superscr. M²) M ἀπὸ] ὑπὸ libri 23 αὐτὸ L: ἑαυτὸν KMt νενευκῦα (sic) K: ἐνευκυία M: νενευκυία (L)t ἐπὶ LK: περὶ Mt fortasse κἂν ⟨αὐτὸ⟩ ἑαυτὸ 24 στηρίζει primitus M περιέχεται LM οὐ τοῦτο scripsi: οὐ τούτου K: τοῦτο LM: τοῦτο οὐ t 24. p. 450,1 τῆς ἀκινησίας LK: τὸ κατὰ φύσιν τῆς ἀκινησίας M: τῆς κατὰ φύσιν ἀκινησίας t

www.libtool.com.cn

ἀκινησίας. τοὐναντίον γὰρ βίαιος ἡ μονή· πόθεν γὰρ ὅτι εἰ εἶχε τόπον M 1r
οὐκ ἐκινεῖτο; ἔδει οὖν τὸν Ἀναξαγόραν φυσικὴν αἰτίαν ἀποδοῦναι τῆς ἀκι-
νησίας τοῦ ἀπείρου· ἡ γὰρ ὑπ' αὐτοῦ ἀποδοθεῖσα αἰτία οὐ τῆς φύσεώς
ἐστι τοῦ ἀπείρου, ὅπερ ἐστὶ τὸ μῖγμα τὸ ἐκ πάντων, ἀλλὰ τοῦ μεγέθους.
εἰ γὰρ κατὰ φύσιν ἦν τῷ ἀπείρῳ τὸ ἀκινητίζειν, καὶ ἑκάστῳ τῶν μορίων
τὸ αὐτὸ δήπου ἂν ἦν κατὰ φύσιν· ὃ γὰρ τῇ ὅλῃ γῇ κατὰ φύσιν ἐστί, 45
τοῦτο καὶ τῶν μορίων ἑκάστῳ, καὶ ὅπερ τῷ ὅλῳ ὕδατι, ὡς τοιᾷδε φύσει,
κατὰ φύσιν ἐστὶ καὶ συμπληρωτικὸν τῆς οὐσίας αὐτοῦ, τοῦτο καὶ κυάθῳ
ἑνί. πότερον οὖν καὶ ἑκάστῳ τῶν μορίων κατὰ φύσιν ἐστὶ τὸ στηρίζειν
αὐτὸ καὶ ἐν ἑαυτῷ εἶναι, ἢ οὔ; εἰ μὲν γὰρ κατὰ φύσιν, καὶ τὰ μόρια
πάντα ἀκίνητα ἂν ἦν· ἀλλὰ τοῦτο οὐδὲ αὐτῷ δοκεῖ, οὐδὲ ἡ αἴσθησις συγ-
χωρεῖ· εἰ δὲ ὅτι πεπέρανται τὰ μόρια, διὰ τοῦτο οἷά τέ ἐστι καὶ κινεῖσθαι,
οὐ κατὰ τὴν φύσιν ἄρα τοῦ σώματος τὸ μὴ κινεῖσθαι ὑπῆρχε τῷ ὅλῳ, 50
ἐπεὶ καὶ τοῖς μορίοις ἂν τοῦτο ὑπῆρχεν, εἴπερ ὁμοειδὲς τὸ μῖγμα (ὁμοίως
γὰρ πᾶν ἐν παντὶ ὑπάρχει), ἀλλὰ διὰ τὸ μέγεθος. τοῦτο δὲ οὐκ ἔστι φυσι-
κὴν αἰτίαν | ἀποδοῦναι. ὅλως δὲ εἰ τὸ ἄπειρον πέφυκεν αὐτὸ ἐν ἑαυτῷ M 2r
εἶναι καὶ αὐτὸ ἑαυτοῦ εἶναι τόπος, ἔδει καὶ τῶν μερῶν ἕκαστον αὐτὸ ἑαυ-
τοῦ εἶναι τόπον καὶ ἐν ἑαυτῷ εἶναι· ὁμοειδεῖς γὰρ οἱ τόποι τοῦ τε ὅλου
καὶ τοῦ μέρους, ὡς ἤδη εἴρηται. εἰ τοίνυν τοῦ ἀπείρου τόπος τὸ ἐν ἑαυ-
τῷ εἶναι, καὶ τοῦ μέρους ἄρα ὁ αὐτὸς ἂν εἴη τόπος· τῆς δὲ ἀκινησίας
αἴτιον τὸ ἐν ἑαυτῷ εἶναι καὶ αὐτὸ ἑαυτοῦ εἶναι τόπον· καὶ τὰ μέρη ἄρα σὺν
τοῖς ὅλοις ἀκίνητα. τοῦτο δὲ καὶ ψεῦδος καὶ ἀδύνατον. καὶ ἄλλως εἰ τόπος 5
τοῖς μέρεσιν τὸ ἐν ἑαυτοῖς εἶναι, ἐπειδὴ καὶ τῷ ὅλῳ, οὐδὲν κωλύει τὸ
μὲν πῦρ κάτω εἶναι τὴν δὲ γῆν ἄνω (ἐν ἑαυτῷ γάρ ἐστιν ἑκάτερον τού-
των, ὅπου δ' ἂν ᾖ), τοῦτο δὲ ἀδύνατον. οὐδ' ἄρα οὗτος κατὰ φύσιν τόπος
τοῖς μέρεσιν, οὐδὲ τῷ ὅλῳ ἄρα· ὁ γὰρ αὐτὸς κατ' εἶδος τοῦ ὅλου καὶ τοῦ
μέρους.

---

1 τοὐναντίον δὲ καὶ βίαιος (βιαίως M) Mt πόθεν γὰρ δῆλον ὅτι t 2 ἔδει] ἐπειδὴ L 3. 20 ἡ γὰρ — τόπος] cf. Themist. p. 236,2 sqq. 3 ἀποδοθεῖσαι primitus K: ἀποδοθῆσα M οὐ ex corr. M 4 τὸ (ante μῖγμα) om. Mt 5 τὸ] τῷ superscr. M² ἀκινητιζεῖν KM 6 τὸ αὐτὸ] τοῦτο corr. M² et t ἦν] εἴη corr. M² et t 7 τούτω ante corr. M ἑκάστῳ verisimiliter M²t: om. LKM τοιάδε LMt 8 αὐτῷ L τοῦτο δὲ οὐ κυάθω L 9 καὶ om. L τὸ ex τῷ corr. M στερίζειν Mt 10 αὐτὸ t: αὐτὸ LKM 11 ἂν I₂K et primitus M: ἀεὶ corr. M² et t δοκεῖ om. L 12 πεπέρασται libri 13 τὴν om. Mt τῷ μὴ ante corr. M τὸ ὅλλον M 15 πᾶν ἐν K: ἂν πᾶν ἐν L: πάντων compend. M: πάντα t ὑπάρ M: ὑπάρχοι L 16 εἰ] εἰς L αὐτὸ om. Mt 17 τόπος KM: τόπον (L)M²t 18 εἶναι τόπον] τόπον εἶναι L ὁμοειδὲς ante corr. M et t 19 ἀπείρου τόπου L τὸ LKM: τῷ t 20 εἴη om. L 21 αὐτὸ scripsi: αὐτὸν LMt: αὐτὴν K et superscr. M² 22. 23 ἀκίνητα — ἐπειδὴ καὶ om. Mt 22 καὶ (post δὲ) K: om. L 23 τοῖς μέρεσιν K: om. L 25 ὅπου δ' ἂν LMt: ὁπουδὰν K οὕτως (sic) K τόπος κατὰ φύσιν traicit L

www.libtool.com.cn

p. 205b3 Τοῦτο δὲ ὅτι ἐν αὑτῷ. m 2r

Διὰ τοῦτο, φησί, στηρίζει ἑαυτὸ τὸ ἄπειρον, ὅτι οὐκ ἐν τόπῳ ἐστὶν οὐδὲ ὑπὸ ἄλλου περιέχεται, ἀλλ' ἐν ἑαυτῷ ἐστιν. ὡς ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα εἶναι. τοῦτο ἐπισκώπτων φησίν· ὡς δή, φησι, παντός, ὅπου δἂν ᾖ, ἐκεῖ καὶ πεφυκότος εἶναι, οὕτω τοῦτό φησιν. εἰ γὰρ τὸ ἐν ἑαυτῷ εἶναι αἴτιον τῆς μονῆς, κἂν μὴ ἄνω ᾖ τὸ πῦρ ἀλλὰ κάτω, μένοι ἂν ἐν τῷ κάτω τόπῳ διὰ τὸ ἐν αὑτῷ εἶναι· τοῦτο δὲ ψεῦδος. ὡσαύτως καὶ ἡ κρεμαμένη βῶλος οὐ πέφυκεν ἐν μετεώρῳ εἶναι, ἀλλὰ κάτω. εἰ οὖν μὴ κατὰ φύσιν ἦν ὁ ἑκάστου τόπος ἀφωρισμένος, οὐδὲν μᾶλλον τὴν γῆν καὶ τὸ πῦρ ἄνω ἢ κάτω μένειν ἔδει.

p. 205b6 Τὸ γὰρ ἐν ἑαυτῷ στηριζόμενον καὶ ἐν ἑαυτῷ ὂν ἀκίνητον εἶναι ἀνάγκη.

Εἰ καὶ τοῦτο, φησί, δῶμεν, τὸ ὑφ' ἑαυτοῦ στηριζόμενον καὶ ἐν ἑαυτῷ ὂν διὰ τὸ ὑπὸ μηδενὸς περιέχεσθαι ἐξ ἀνάγκης ἀκίνητον εἶναι, ἀλλ' οὐν οὐ τῆς κατὰ φύσιν ἀκινησίας τοῦτο αἴτιον· δύναται γὰρ οὕτως ἀκίνητον εἶναι καὶ διὰ τὸ μὴ ἔχειν ὅπου κινηθῇ, ἀλλὰ κἂν μὴ ἔχῃ ποῦ κινηθῇ, πεφυκέναι γε αὐτὸ κινεῖσθαι οὐδὲν κωλύει. ἔδει οὖν τῆς κατὰ φύσιν ἀκινησίας ἀποδοῦναι τὴν αἰτίαν, καὶ μὴ τῆς κατὰ βίαν καὶ παρὰ φύσιν.

p. 205b10 Ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται, οὐδ' εἰ ἄπειρος ἦν, εἰργμένη μέντοι ἀπὸ τοῦ μέσου.

Ὥσπερ, φησίν, εἰ ἄπειρος ἦν ἡ γῆ, οὐ διὰ τὸ ἄπειρος εἶναι καὶ μὴ ἔχειν ὅπου κινηθῇ, διὰ τοῦτο οὐκ ἐκινεῖτο, ἀλλ' ὅτι εἰργμένη ἐστὶν ἀπὸ τοῦ μέσου (καίτοι ἐξὸν ἦν λέγειν ὅτι διὰ τοῦτο ἀκίνητός ἐστιν, ὅτι στηρίζει ἑαυτὴν καὶ ὑπ' οὐδενὸς περιέχεται, ἀλλ' ἐλέγχει τὸ μὴ εἶναι

---

1 ἐν αὑτῷ ex Aristotele scripsi: ἐν ἑαυτῷ L et Aristotelis cod. I: ἐναυτῷ M: ἐν αὐτῷ Kt 2 διὰ L: om. (K)Mt φησιν ὅτι στηρίζει Mt 3 ἀλλ' οὐν ἐν ἑαυ (ἐν superscr. M²) M 4 δή L: δέ KMt at cf. p. 449,1 φησί om. L 5 δ' ἂν libri οὐ τούτων φησίν K φησιν scil. Anaxagoras 6 αὐτῷ L ᾖ L: ἢ K: om. Mt 6. 7 μένει ἂν Mt 7 ἐν αὐτῷ scripsi: ἐναυτῷ K: μὴ ἐν αὐτῷ L: ἐνεαὐτῷ M: ἐν ἑαυτῷ t δὲ ψεῦδος L: δεύδος (ψ superscr. M²) M: ψεῦδος (K)t 8 μετεόρῳ M et t 9 ὁ om. L ἀφορισμένος M et t 11 ἐν (post γὰρ) om. Aristotelis cod. E ante corr. καὶ ἐν αὐτῷ ὂν t 14 διὰ τὸ μὴ ὑπ' οὐδενὸς L 14. 16 ἀλλ' οὐν—οὕτως ἀκίνητον εἶναι om. Mt 15 τοῦτο (cf. p. 449,24) K: τὸ L 17 οὖν τοῖς κατὰ M 18 τῆς LK: τὴν γὰρ superscr. M²: τὴν t 19 ἡ om. add. M² οὐδὲ εἰ K 21 διὰ τὸ ἄπειρον εἶναι L 22 καὶ διὰ τοῦτο οὐ κεκίνητο L εἰργμένη L: εἰρμένη K: ἠρμένη M: εἰρμένη M²: ἠργμένη t cf. ad p. 449,22 23 εὐκίνητός, ut videtur, M 24. p. 452,1 τῆς ἀκινησίας τὸ μὴ εἶναι traicit L

www.libtool.com.cn

τῆς ἀκινησίας αὐτῇ αἴτιον τοῦτο, τὸ νῦν καὶ ἔχουσάν γε ποῦ κινηθῆναι, ὅμως m 2r
μὴ κινεῖσθαι), οὕτως οὖν κἂν μὴ κινῆται τὸ ἄπειρον, λεκτέον φυσικὴν
αἰτίαν τῆς ἀκινησίας αὐτοῦ· ἣν γὰρ ἀποδέδωκε, τοῦ μεγέθους ἐστίν.

p. 205b18 Ἅμα δὲ δῆλον ὅτι κἂν ὁτιοῦν μέρος δέοι μένειν. 30

Εἰ γὰρ αἴτιον τῷ ὅλῳ τῆς ἀκινησίας τὸ ἐν ἑαυτῷ εἶναι, τοῦτο καὶ τῷ
μέρει ἔδει εἶναι ἀκινησίας αἴτιον· ὁ γὰρ αὐτὸς τόπος τοῦ ὅλου καὶ τοῦ 35
μέρους. εἰ μὲν οὖν καὶ τῷ μέρει κατὰ φύσιν ἐστὶ τὸ στηρίζειν ἑαυτό,
πάντα ἂν ἀκίνητα εἴη, εἰ δὲ διὰ τὸ πεπεράνθαι τὸ μέρος, διὰ τοῦτο κινεῖ-
ται, οὐδὲ τῷ ὅλῳ ἄρα κατὰ φύσιν ὑπῆρχε τὸ ἀκίνητον, ἀλλὰ διὰ τὸ μὴ
ἔχειν ποῦ κινηθῆναι.

p. 205b24 Ὅλως δὲ φανερὸν ὅτι ἀδύνατον τὸ ἄπειρον ἅμα λέγειν σῶμα καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν.

Δείξας ἐκ τῶν δυνάμεων καὶ ἐκ τῶν τόπων ὅτι ἀδύνατον εἶναι ἄπειρον 41
σῶμα, νῦν καὶ ἐκ τῶν ῥοπῶν αὐτὸ τοῦτο κατασκευάζει, καθ' ἃς τὰ φυσικὰ
σώματα κινοῦνται. δύο γὰρ εἴδη κινήσεων ἐν τῷ παντί, ἥ τε κατ' εὐθεῖαν
καὶ ἡ κύκλῳ, καὶ τῆς κατ' εὐθεῖαν ἡ μὲν ἄνω, ἡ τῶν κούφων, ἡ δὲ κάτω.
ἡ τῶν βαρέων. ἐὰν οὖν δειχθῇ ὅτι οὔτε τῶν κατ' εὐθεῖαν κινουμένων
σωμάτων οὔτε τῶν κύκλῳ ἄπειρον καὶ μίαν κινεῖται κίνησιν, ἀλλὰ πᾶσα 45
μία κίνησις πεπερασμένη ἐστί, δῆλον ὅτι οὐδὲ τόπος ἄπειρος ἔσται, τόπου
δὲ ἀπείρου μὴ ὄντος, οὐδὲ φυσικὸν σῶμα ἄπειρον ἔσται· πᾶν γὰρ σῶμα
ἐν τόπῳ. ἐνταῦθα μὲν οὖν δείκνυσιν ὅτι οὐκ ἔστι κατ' εὐθεῖαν κίνησις
ἄπειρος, ἐν δὲ τῇ Περὶ οὐρανοῦ ὅτι οὐδὲ κυκλοφορικὴν κίνησιν ἄπειρον
εἶναι ἐνδέχεται. εἰ δὲ πᾶν σῶμα ἢ κύκλῳ κινεῖται ἢ κατ' εὐθεῖαν, ἀμφό-
τερα δὲ πεπερασμένα, αἱ κινήσεις, καὶ τὰ κινούμενα ἀνάγκη πεπερασμένα
εἶναι. ὅπερ οὖν εἶπον, ἐνταῦθα δείκνυσιν ὡς οὐχ οἷόν τε τῶν εὐθυφορικῶν τι 50

---

1 τὸ om. L: τ̈ (h. e. τὸν) M 2 κινῆται LK: κινεῖται Mt 3 ἣν Mt ἀποδέδοκε M 4 δῆλον ἐστὶν ὅτι M μέρος δέοι KM: δέοι (om. μέρος) L: δέοι μέρος t 5 τὸ ὅλον L: τὸ ὅλλον pr. M post ἀκινησίας erasum εἴη vel ἐστὶ L. 6. 7 ἔδει—οὖν καὶ τῷ μέρει om. L 7 τὸ om. Mt ἑαυτῷ primitus M 8 δὲ om. Mt 11 lemma om. K τὸ ἄπειρον ἅμα (ἅμα M) LM: ἅμα ἄπειρον t cf. Aristotelis libri. Simplic. p. 487,31. Philop. p. 462,1 12 σώμασι M 13 δεῖξας de more scripsit M neque correxit t 14 αὐτὸς K τοῦτο om. Mt καθ' ἃς LK: καθῶς Mt 15 ἥ τε] εἴτε M εὐθείαν libri 16 εὐθείας (item v. 17) compend. M et t ἡ δὲ] ἢ δὲ, si silentio fides, libri 17 fortasse ὅτι ⟨οὐδὲν⟩ οὔτε (cl. p. 455,28) vel κινουμένων ⟨τι⟩ (cl. v. 25) 18 σώμ/ K τῶν κύκλων M 19 μιὰ (LK)Mt ἐστί om. Mt 20 ἄπειρόν ἐστι Mt 21 οὖν] καὶ L εὐθείαν fere constanter Mt: identidem K et L 22 Περὶ οὐρανοῦ A 5 p. 271b26. 7 p. 275b12 κυκλωφορικὴν M et t 24 πεπερασμένα, αἱ κινήσεις (κινεῖσεις M) KMt: αἱ κινήσεις πεπερασμένοι L: fort. πεπερασμέναι κινήσεις 25 οὖν om. Mt εἶπον om. (?) L εὐθυφορικῶν L: εὐθυφορητικῶν K: εὐθηφορικῶν Mt τι om. Mt

www.libtool.com.cn

σωμάτων ἄπειρον εἶναι, καὶ πρῶτον μὲν δείκνυσι δι' ὑποθετικοῦ συλλογι- m 2r
σμοῦ. εἰ γὰρ ἔστι, φησίν, ἄπειρόν τι σῶμα αἰσθητόν, ἢ βάρος ἕξει ἢ κου-
φότητα (πᾶν γὰρ σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα), ἀλλὰ
μὴν ἀδύνατον βάρος ἔχειν ἢ κουφότητα τὸ ἄπειρον σῶμα, οὐδὲ εἶναι
5 ἄρα ὅλως δυνατὸν ἄπειρον σῶμα τῶν κατ' εὐθεῖαν κινουμένων. πόθεν
δὲ ὅτι ἀδύνατον βάρος ἔχειν ἢ κουφότητα τὸ ἄπειρον σῶμα; ὅτι εἰ μὲν
βαρὺ εἴη, φησίν, ὅλον | ἔσται κάτω, εἰ δὲ κοῦφον, ὅλον ἄνω, εἰ δὲ τὸ m 2v
μὲν ἕξει βαρὺ τὸ δὲ κοῦφον, τὸ μὲν ἔσται αὐτοῦ ἄνω τὸ δὲ κάτω. καὶ
τὸ μὲν ὅλον εἶναι ἢ ἄνω ἢ κάτω, ὡς σαφὲς ἔχον τὸ ἄτοπον, οὐδὲ κατα-
10 σκευάζει (πρῶτον μὲν ὅτι οὐ μόνον βαρέα ἐστὶ τὰ σώματα, ἀλλὰ καὶ
κοῦφα, ἔπειτα εἰ μόνον τὸν ἄνω καθέξει τόπον, ἐλλείψει ὁ κάτω, εἰ δὲ
τὸν κάτω, ἐλλείψει ὁ ἄνω· πῶς οὖν ἄπειρον ὃ μὴ πάντα περιλαμβάνει
τόπον;), κατασκευάζει δέ, μᾶλλον δὲ ἀπάγει εἰς ἄτοπον, τὴν ὑπόθεσιν τὴν
λέγουσαν τὸ μὲν αὐτοῦ εἶναι βαρὺ τὸ δὲ κοῦφον. εἰ γὰρ τὸ μὲν αὐτοῦ εἴη 5
15 βαρὺ τὸ δὲ κοῦφον, τὸ μὲν ἔσται ἄνω τὸ δὲ κάτω· πῶς οὖν διελεῖς, φησί,
τὸ ἄπειρον, ἵνα καὶ ἀποδῷς μόριον ἑκατέρῳ; πότερον τὸ μὲν ἥμισυ βαρὺ
ἐρεῖς τὸ δὲ ἥμισυ κοῦφον, ἢ ὁπωσοῦν ἄλλως; καὶ πῶς οἷόν τε τοῦ ἀπείρου
ἥμισυ ἢ δίμοιρον λαβεῖν, ἢ ὅλως μόριον; ἔπειτα πῶς δυνατὸν ὅλως ἐν τῷ
ἀπείρῳ εἶναι τὸ ἄνω καὶ τὸ κάτω; πόθεν ἀρξάμενος μέχρι τίνος ἀφοριεῖς
20 τὸ ἄνω, ὁμοίως δὲ καὶ τὸ κάτω; ἀδύνατον γὰρ τοῦτο ἐπὶ τοῦ ἀπείρου.
καὶ εἰ ὅλως ἔχει τὸ ἄνω καὶ κάτω, ἕξει καὶ ἔσχατα· ἔσχατα γὰρ ταῦτα. 10
εἰ δὲ ἔχει ἔσχατα, οὐκ ἂν εἴη ἄπειρον. δυνατὸν δὲ καὶ ἐνταῦθα εἰπεῖν
ἅπερ καὶ ἐπὶ τῶν δυνάμεων, ὅτι ἢ κεκραμένα ἔσονται ἢ ἁπτόμενα, καὶ
ἥξουσιν οἱ πρότερον λόγοι. πρῶτον μὲν οὖν ἐπιχείρημα τοῦτο. δεύτερον πά-
25 λιν ἀπὸ τῶν τόπων. πᾶν, φησί, φυσικὸν σῶμα ἐν τόπῳ ἐστί, τόπου δὲ διαφοραὶ ἕξ, κυριώτατοι μὲν τῶν τόπων δύο, ὁ ἄνω καὶ ὁ κάτω, ἕτεροι δὲ παρὰ τούτους τέσσαρες, ἔμπροσθεν ὄπισθεν δεξιὰ ἀριστερά. πρώτους δὲ εἶπον τὸν

---

1. 2 συλλόγου ante corr. M 2. 3 ἕξει ἢ κουφότητα LK: ἢ κουφότητα ἕξει (sed ἔχει addidit M²) Mt 3 πᾶν γὰρ σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα K: om. LMt 4 ἔχει superscr. M² 5 δυνατὸν τὸ ἄπειρον Mt 6 τὸ ἄπειρον σῶμα βάρος ἔχειν ἢ κουφότητα transponunt Mt 7 κοῦφον ὅλων ἄνω K 7. 9 εἰ δὲ τὸ μὲν—ἢ ἄνω om. Mt 8 αὐτοῦ L: τοῦ K 9 ἔχων compend. M et (K)t 10 οὐ μόνον om. Mt 11. p. 455,11 ἔπειτα εἰ μόνον—τὴν τοσαύτην om. L, ubi in ima pagina ἐνταῦθα λείπει ἀπὸ τοῦ μαμίου (σημείου?) καταβα 11. 12 ἐλλείψει utrobique ex ////ύψει fecit M² εἰ δὲ τὸν κάτω om. add. M² 12 ὃ μὴ K: ὃ ἅμα (sed deletum μὴ super ἅμα) M: ὃ ἅμα t 13 δέ (post κατασκευάζει) K: delet M: om. t qui distinguit τόπον, κατασκευάζει. μᾶλλον δὲ 15 διελεῖς ex Aristotele scripsi: διέλεις KM: διέλης t 17 οἷόν τε K: οἷονται (αι compend.) M: οἷονται t 19 εἶναι τὸ (ex τῶ corr. M) ἄνω καὶ (om. τὸ) κάτω Mt πόθεν γὰρ Mt 20 ὁμοίως δὲ καὶ τὸ κάτω K: καὶ τὸ (ex τῶ corr. M) κάτω ὁμοίως Mt 21 τὸ ex τῶ corr. M καὶ ἔσχατα K: τὰ ἔσχατα Mt 22 εἰ δὲ ἔχη K ἔσχατα K: ἔσχα M: ἔσχατον t καὶ om. Mt 23 ἅπερ κτλ.] cf. Philop. ad p. 204b 10 sqq. κεκραμένα scripsi: κεκραμμένα K: καὶ κερασμένα superscr. M²: καὶ πεπερασμένα t 24 δεύτερον δὲ Mt 25 τῶν τόπων] τοῦτο primitus M 27 τέσσαρες] δ' libri πρώτους K: πρῶτον Mt

www.libtool.com.cn

ἄνω καὶ τὸν κάτω, διότι συναναιροῦσι καὶ οὐ συναναιροῦνται· μὴ ὄντων III 2r
γὰρ τούτων οὐδὲ οἱ λοιποὶ εἶναι δύνανται, ἐκείνων δὲ μὴ ὄντων τούτους
οὐδὲν κωλύει εἶναι· ὄντος μὲν γὰρ πλάτους ἢ βάθους ἀνάγκη πᾶσα καὶ 16
μῆκος εἶναι, μήκους δὲ ὄντος οὐκ ἀνάγκη καὶ τὰ λοιπά. δείκνυσι δὲ ταῦτα
5 ἐν τῇ Περὶ οὐρανοῦ ἀκριβέστερον. ἐξ οὖν αἱ διαφοραὶ τοῦ τόπου, καὶ αὗται,
φησίν, οὐδὲ μόνον θέσει εἰσὶ καὶ πρὸς τὴν ἡμετέραν σχέσιν, ἀλλὰ καὶ ἐν
τῷ παντὶ κατὰ φύσιν εἰσί· καὶ ὁ μὲν ἄνω καὶ κάτω προφανῶς, δεξιὰ δὲ
καὶ ἀριστερὰ ἐν μὲν τοῖς μεριστοῖς προδήλως (φύσει γὰρ τὰ μὲν τῶν μορίων 20
ἐστὶ δεξιά, τὰ δὲ ἀριστερά), καὶ ἐν τῷ παντὶ δὲ δεξιὰ μὲν τὰ ἀνατολικά,
10 ὡς ἄρχοντα τῆς κινήσεως, ἀριστερὰ δὲ τὰ ἐναντία. οὕτω καὶ ὁ ποιητὴς
αὐτὰ καλεῖ· φησὶ γὰρ

εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε,
εἴτ' ἐπ' ἀριστερά τοί γε ποτὶ ζόφον ἠερόεντα.

ταῦτα μὲν οὖν δεξιὰ καὶ ἀριστερά, κατ' ἀναλογίαν δὲ ἔμπροσθεν μὲν τὰ
15 βόρεια, ὄπισθεν δὲ τὰ νότια. ἀνάγκη οὖν εἰ ἔστι σῶμα ἄπειρον, ἐν τόπῳ
εἶναι τοῦτο, ἐν τόπῳ δὲ ὂν κατὰ ταύτας τὰς διαστάσεις διεστάναι. ἀδύνα-
τον δὲ ἐν τῷ ἀπείρῳ σώματι ταύτας λαβεῖν τὰς διαφοράς· τί γὰρ τῶν 25
τοῦ ἀπείρου τίνι τῶν τόπων ἀφοριεῖς; εὐθὺς γὰρ ἀνάγκη πεπερασμένον
εἶναι συνδιαιρούμενον κατὰ μόρια ταῖς τῶν τόπων διαφοραῖς. ἢ γὰρ τινὰ
20 τῶν μορίων ἄπειρα ἔσονται τινὰ δὲ πεπερασμένα, ἢ πάντα ἄπειρα, ἢ πάντα
πεπερασμένα· καὶ εἰ μὲν πάντα πεπερασμένα, καὶ τὸ ἐκ πάντων ἄρα
πεπέρανται, εἰ δὲ τῶν λοιπῶν θάτερον εἴη, ἢ πολλαπλασιασθήσεται τὸ
ἄπειρον ἢ αὐξηθήσεται. τρίτον· πᾶς τόπος φύσει πεπέρανται (πέρας γάρ
ἐστι τοῦ περιέχοντος), εἰ οὖν πᾶν μὲν σῶμα ἐν τόπῳ πᾶς δὲ τόπος πεπέραν- 30
25 ται, ⟨πᾶν ἄρα σῶμα πεπέρανται⟩. καὶ ἀποφατικῶς· εἰ πᾶν σῶμα ἐν τόπῳ,
τόπος δὲ ἄπειρος οὐκ ἔστιν, οὐδὲν ἄρα σῶμα ἄπειρόν ἐστι. τέταρτον
τίθησιν ἐπιχείρημα τοιοῦτον· ἐφ' ὧν, φησί, τὸ γένος κατηγορεῖται, ἀνάγκη
πᾶσα καὶ τῶν εἰδῶν τι κατηγορεῖσθαι (οὐδὲν γάρ ἐστι γένος τι αὐτὸ καθ'
αὑτό, ἀλλ' ἐν τοῖς εἴδεσι θεωρεῖται, οὐδὲ ἔστι ζῷόν τι ὃ μὴ πάντως ἄν-
30 θρωπός ἐστιν ἢ ἵππος ἢ ἕτερόν τι τῶν κατ' εἶδος ζῴων), οὐκοῦν εἰ ἐν
τόπῳ τὸ ἄπειρον, πάντως καὶ ἕν τινι τῶν τοῦ τόπου εἰδῶν ἔσται, ἢ ἐν τῷ
κάτω ἢ ἐν τῷ ἄνω ἢ ἕν τινι τῶν ἄλλων (οὐ γὰρ ἔστι τόπος τις παρὰ 35
τοὺς εἰρημένους), δέδεικται δὲ πολλάκις ὅτι ἀδύνατον τὸ ἄπειρον ἕν τινι

---

1 τὸν om. t διότι M²t: διὸ KM ante καὶ οὐ συναναιροῦνται delevit καὶ οὐ συναιροῦνται M 4 οὐκ ἀνάγκη καὶ Mt: ἀνάγκη K 5 τῇ] τοῖς superscr. M² Περὶ οὐρανοῦ B 2. Δ 1 οὐρανοῦ πραγματείᾳ M²t ἐξ] καὶ K cf. ad p. 389,1 αὕτη primitus M 12 εἴτ' ἐπὶ κτλ.] Hom. M 239 sq. δεξιὰ Mt: δεξιᾶ K ἠῶ τ'] ἢ ὥτ' K: ἠώτ' M: ἠώτ' t 13 ἐριστερὰ K ποτὲ M 15 μόρεια K νότεια Mt 16 ante κατὰ addit supra versum ἀνάγκη M² 17 σώματι] cf. Arist. p. 205b35 cod. E. Diels z. *Textgesch.* p. 8 τῶν] τοῦ K 18 τινὶ M 19 fort. τινὰ ⟨μὲν⟩ 20 ἄπειρα (priore loco) iterat M 22. 25 πεπέρανται quater scripsi: πεπέρασται libri 23 αὐξηθήσεται superscr. M² τρίτος K φύσει] φησι compend. K 24 εἰ οὖν γοῦν M μὲν K: om. Mt 25 πᾶν ἄρα σῶμα πεπέρασται addidit t: om. KM

www.libtool.com.cn

τούτων εἶναι. οὕτω μὲν οὖν ἐνταῦθα, ἐν δὲ τῇ Περὶ οὐρανοῦ πραγματείᾳ m 2v
πολλοῖς ἐπιχειρήμασι κατασκευάζει, ὅτι οὐδὲ τὴν κύκλῳ κίνησιν ἐνδέχεται
ἄπειρον εἶναι, ἐπεὶ μηδὲ αὐτὸν τὸν κύκλον, ἐξ ὧν δύο ἢ τρία μεμνήσομαι,
ὅσα εἰς νόησίν ἐστι προχειρότερα καὶ τοῖς μὴ διὰ γεωμετρικῆς ἠγμένοις
5 θεωρίας. δέδεικται γοῦν ἐν γεωμετρίᾳ, ὅτι ἐὰν δύο εὐθεῖαι ἀπὸ ἑνὸς
σημείου ἐκβληθῶσιν ἐπ' ἄπειρον, τὸ μεταξὺ αὐτῶν διάστημα ἐπ' ἄπειρον 10
αὐξηθήσεται, καὶ εἰ γενομένας κατ' ἐνέργειαν ἀπείρους νοεῖς τὰς εὐθείας,
καὶ τὸ μεταξὺ αὐτῶν διάστημα κατ' ἐνέργειαν ἄπειρον ἔσται. τούτου οὕτως
ἔχοντος, ἐὰν νοήσῃς ἀπὸ τοῦ κέντρου τῆς γῆς δύο εὐθείας ἐκβαλλομένας
10 μίαν μὲν ἐπὶ τὸ μεσουράνημα, ἑτέραν δὲ ἐπὶ τὴν ἀνατολήν, εἰ μὲν τὸ με-
ταξὺ αὐτῶν διάστημα ἄπειρον εἴη, ἐπειδὴ ἐν ἓξ ὥραις τὴν τοσαύτην διά-
στασιν κινεῖται ὁ ἥλιος, λέγω τὴν ἀπὸ ἀνατολῆς ἐπὶ τὸ μεσουράνημα, ἐν
πεπερασμένῳ χρόνῳ ἄπειρον διάστημα κινηθήσεται, ὅπερ ἀδύνατον. οὐκ 15
ἄρα ἄπειρον τὸ μεταξὺ τῶν εὐθειῶν διάστημα, ἀλλὰ πεπερασμένον. τὰ
15 αὐτὰ δὲ πάλιν συμβήσεται, κἂν εἰ ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ μεσουράνημα
καὶ ἐπὶ τὴν δύσιν δύο εὐθείας ἐκβάλλωμεν· οὐκοῦν καὶ τὸ ἀπὸ τοῦ μεσου-
ρανήματος ἐπὶ τὴν δύσιν πεπερασμένον ἔσται. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ
λοιποῦ ἡμισφαιρίου συμβαίνει. οὐκ ἄρα οὐδὲ τὴν κύκλῳ κίνησιν ἐνδέχεται
ἄπειρον εἶναι. δείκνυσι δὲ τὸ αὐτὸ καὶ οὕτως· ὥσπερ, φησίν, οὐκ ἔστιν
20 εἰπεῖν τρίγωνον ἄπειρον ἢ τετράγωνον, ἀλλ' ἅμα τῷ εἰπεῖν ταῦτα σχή- 50
ματά τινα ἐννοῶ, τὸ μὲν ὑπὸ τριῶν ὅρων τὸ δὲ ὑπὸ τεσσάρων περατού-
μενον. οὕτως οὐδὲ κύκλον ἄπειρον οἷόν τε λέγειν, οὐδὲ ἁπλῶς σχῆμα· αὐτὴ
γὰρ τοῦ σχήματος ἡ ἔννοια ὅρου καὶ πέρατός ἐστι σημαντική. εἰ οὖν
μηδὲ κύκλον εἰπεῖν ἄπειρον ἐνδέχεται, πολλῷ μᾶλλον οὐδὲ ἡ κατὰ κύκλον
25 κίνησις ἄπειρος ἔσται· ὡς γὰρ ἔχει τὸ ἐφ' οὗ γίνεται ἡ κίνησις, | οὕτως m 3r
ἔχειν ἀνάγκη καὶ τὴν κίνησιν. εἰ οὖν μήτε τῶν κατ' εὐθεῖαν κινουμένων
σωμάτων, μήτε τῶν κατὰ κύκλον ἐνδέχεται τὴν κίνησιν ἄπειρον εἶναι,
δῆλον ὅτι οὐδὲ τόπον ἄπειρον εἶναι ἐνδέχεται· οὐδὲν ἄρα σῶμα οὔτε τῶν
κύκλῳ κινουμένων οὔτε τῶν κατ' εὐθεῖαν ἐνδέχεται ἄπειρον εἶναι. ταῦτα

---

1 Περὶ οὐρανοῦ] v. ad p. 452,22 2 ἐπιχειρήμασι superscr. M² 4 τοῖς] τοῦ K γεομετρικῆς M et t ἠγμένης primitus M 5 γοῦν K: οὖν Mt γεομετρία M 6. 8 ἐπ' ἄπειρον αὐξηθήσεται — διάστημα om. K 7 αὐξιθήσεται M 9 νοήσεις primitus M ἐκαλλομένας (sic) K 10 μεσουράνημα scripsi: μεσουράνισμα KMt 11 ἓξ ὥρεσιν K τοσαύτην K: τοιαύτην Mt 11. 12 διάστασιν] hinc rursus L v. supra ad p. 453,10 12 λέγων L ἀπὸ τῆς ἀνατολῆς Mt 12 et 15 μεσουράνισμα Mt 15 πάλην K ἀπὸ] ἐπὶ L 16 δύο πεπερασμένας εὐθείας L ἐκβάλλωμεν K: ἐκβάλλομεν L: ἐκβάλωμεν Mt 16. 17 μεσουρανήματος L: μεσουρανήματα K: μεσουρανήσματος M: μεσουρανίσματος t 17 πεπερασμένα M 19 φησίν De caelo A 5 p. 272b17 20 ἀλλ' ἅμα] litterae αμα foro exhaustae M: ἀλλὰ (om. ἅμα) t 21 τριῶν] τῶν L ὅρων Lt: ὁρῶν K: ὡρῶν M 22. 23 αὕτη γὰρ ἡ τοῦ σχήματος ἔννοια L 25 οὗ LK: ᾧ Mt 26 κατ' εὐθεῖαν om. Mt 27 τῶν parum perspicue ex τὴν correxit M: τὴν t τὴν om. L 28 οὐδὲ ἄπειρον τόπον εἶναι Mt 28. 29 οὔτε τῶν κύκλῳ — ἐνδέχεται ἄπειρον εἶναι LK: ἄπειρόν ἐστι ceteris omissis Mt

www.libtool.com.cn

οὖν εἰπών, καὶ διὰ πάντων τούτων δείξας ὅτι ἀδύνατον σῶμά τι ἐνεργείᾳ m 3r
ἄπειρον εἶναι, ἐφεξῆς εἰς τὸ ἐναντίον ἐπιχειρεῖ. εἰ γάρ, φησί, μηδαμῇ μηδαμῶς εἴη τὸ ἄπειρον, μυρία ἀδύνατα ἕψεται, ὥσπερ καὶ πρότερον εἶπεν. οὔτε γὰρ ὁ χρόνος, φησίν, ἀίδιος ἔσται, ἀλλ' ἔσται τις αὐτοῦ ἀρχὴ καὶ τελευτή, πρᾶγμα ἀδύνατον· τὸ γὰρ λέγειν ὡς ἤρξατό ποτε γενέσθαι ὁ χρόνος, οὐδὲν ἄλλο λέγειν ἐστίν, ἢ ὅτι χρόνος ἦν ὅτε χρόνος οὐκ ἦν· πᾶν γὰρ τὸ γινόμενον ἐν χρόνῳ γίνεται, καὶ τὸ 'ποτέ' χρόνου κατηγορεῖται, δείκνυται δὲ καὶ κίνησις οὖσα ἀίδιος, ᾗ παρακολούθημα ὁ χρόνος. ἓν μὲν οὖν τοῦτο ἄτοπον μὴ παραδεχομένοις μηδαμῶς τὸ ἄπειρον, ἕτερον δὲ ὅτι οὐκ ἔσονται τὰ συνεχῆ ἐπ' ἄπειρον διαιρετά, καὶ τρίτον ὅτι ἐπιλείψει αὐξόμενος ὁ ἀριθμός. εἰ τοίνυν, φησί, καὶ οἱ ἀνασκευάζοντες τὸ ἄπειρον λόγοι καὶ οἱ εἰσάγοντες ἀληθεῖς, διαιτητοῦ χρεία τοῦ διαιτήσοντος ἐναντίοις λόγοις καὶ δείξοντος κατὰ τί μὲν ἀληθεῖς εἰσι κατὰ τί δὲ οὔ· εἰ γὰρ μὴ κατά τι μὲν ὑπῆρχε τὸ ἄπειρον, κατά τι δὲ οὐχ ὑπῆρχεν, οὐκ ἂν ἔδοξεν ἑκάτερος τῶν λόγων ἀληθὴς εἶναι. ταῦτα εἰπών, ἐφεξῆς διαιτᾷ τῷ λόγῳ διαίρεσιν τῶν ὄντων ποιούμενος.

Ἀλλὰ πρότερον τὰ περὶ τοῦ χρόνου εἰρημένα ἐπισκεψώμεθα. εἰ τῷ λέγειν ὅτι ἦν ποτε ὅτε οὐκ ἦν χρόνος ἄτοπόν τι ἀκολουθεῖ, τὸ εἶναι χρόνον ὅτε οὐκ ἦν χρόνος, καὶ διὰ τοῦτο ψευδὴς ἡ ἀπόφασις αὕτη, διότι καὶ τὸ 'ἦν' καὶ τὸ 'ποτέ' χρονικὰ προσρήματα, ἃ λέγομεν ὑπάρχειν πρὸ τοῦ χρόνου, ἀνάγκη δήπου τὴν κατάφασιν ταύτην ἀληθῆ ὑπάρχειν, καὶ μηδὲν αὐτῇ ἕπεσθαι ἄτοπον, λέγω δὴ τὴν λέγουσαν ὅτι ἦν ποτε ὅτε [οὐκ] ἦν χρόνος· ἐπὶ παντὸς γὰρ ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθής. ἀλλ' ἐπεὶ τὸ 'ποτέ' καὶ τὸ 'ἦν' χρόνου ἐστὶ δηλωτικά, οὐδὲν ἄλλο λέγει ἡ κατάφασις ἢ ὅτι ἦν χρόνος ὅτε ἦν χρόνος. τίς οὖν τῶν χρόνων τούτων ἡ δια-

---

1 οὖν om. Mt τούτων om. L 1. 2 ἐνεργείᾳ post ἄπειρον ponit L 2 τὸ om. L 2. 5 εἰ γάρ — ἀδύνατον LK: εἰ γὰρ φησὶν ἀίδιος (λείπει ὡς ἔοικε τὸ οὐκ M²) ἔσται ἀλλέσται τί αὐτοῦ ἀρχὴ καὶ τελευτὴ πράγμα ἀδύνατον. εἰ γὰρ φησί μηδαμῇ μηδαμῶς — εἶπεν. οὔτε γὰρ χρόνος φησίν ἀίδιος ἔσται M: εἰ γάρ φησι μηδαμῇ — εἶπεν. οὔτε γὰρ χρόνος φησὶν ἀίδιος ἔσται (om. ἀλλ' ἔσται — ἀδύνατον) t. ceterum v. 3 ante ἕψεται littera erasa K 3 πρότερον c. 4 p. 203b31 sq. 4 ὁ χρόνος φησίν K: φησὶν ὁ χρονος L αὐτοῦ ἀρχὴ K: ἀρχὴ αὐτοῦ L 5. 12 πρᾶγμα — χρεία ad verbum fere ex Themist. p. 238,3 sqq. 5. 6 γενέσθαι ὁ χρόνος LK: ὁ χρόνος γενέσθαι Mt 6 ὅτι] ὁ K ὅτε οὐκ ἦν χρόνος L 7 πᾶν γὰρ τὸ γινόμενον L et Themistius: πάντα γὰρ τὰ γινόμενα KMt at cf. p. 458,17 χρόνου] χρόνον K 8 ᾗ scripsi: ἢ KM: ἧς (L)t cum Themistio 9 παραδεχομένοις (L)t: παραδεχόμενοι KM τὸ ἄπειρον εἶναι L 10 ὅτι (post δὲ) om. M 12 διαιτητοῦ] διὰ τοῦτο L χρεία LK: χρήζουσι Mt 13 δεῖξαι L 15 ἂν parum clare scriptum M: ὧν t ἔδοξε τῷ λόγῳ (om. ἑκάτερος) L ἀληθεῖς M: ἀληθῆς t διαιτᾷ L: διαιτεῖ (K)Mt ante v. 17 tit. παρέκβασις marg. M² et t 18 οὐκ ἦν ὁ χρόνος L χρόνον Lt: χρόν M: χρόνος K 19 διὰ τοῦτο om. L 20 πότε libri χρονηκὰ M ἃ LK: ἃ M: om. t πρ τοῦ M 21 ὑπάρχειν LK: ὑπαρ M: ὑπάρχει t 22 αὐτῇ KM οὐκ delent (K)t 23 ἢ prius Mt: om. LK 24 δηλωτικὰ L: δηλοτικ (o mut. in ω?) M: δηλωτικὸν (K)t

www.libtool.com.cn

φορά, τοῦ τε ὄντος καὶ τοῦ ἐν ἐκείνῳ ὄντος, οὐδὲ βουλομένῳ πλάσαι δυνα- m 3r
τόν· ὥσπερ γὰρ εἴ τις εἴποι 'ἦν ποτε ὅτε ἦν Σωκράτης', εἶπεν ἕτερόν τι τὸν χρόνον καὶ ἕτερον τὸν Σωκράτην τὸν ἐν τῷ χρόνῳ γενόμενον, οὕτω δήπου καὶ ὅταν λέγῃ 'ἦν ποτε ὅτε ἦν χρόνος', ἕτερον ἐν ἑτέρῳ φησὶν εἶναι χρόνον. δεῖ οὖν τὸ μὲν ὑποκεῖσθαι τὸ δὲ ἐν ἐκείνῳ εἶναι. εἰ δέ τις ἐρεῖ ὅτι ἐπὶ τοῦ αὐτοῦ φέρω τὸ 'ἦν' καὶ τὸ 'ποτέ' καὶ τὸ 'χρόνος', ἴστω μετὰ τοῦ γέλωτα ὀφλισκάνειν καὶ τὴν κατάφασιν ἀναιρῶν τὸν αὐτὸν ποιῶν ὑποκείμενον καὶ κατηγορούμενον. ὥσπερ γὰρ εἴ τις λέγοι ὅτι 'ἦν Σωκράτης ὅτε ἦν Σωκράτης' καταγέλαστος ἂν εἴη, οὐ κατάφασιν λέγων ἐν ᾗ πάντως δεῖ τὸν ὑποκείμενον ὅρον ἕτερον εἶναι τοῦ κατηγορουμένου, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν φωνὴν αὐτὴν εἰς ἑαυτὴν κυκλουμένην, οὕτω δήπου ὁ λέγων ὅτι 'ἦν ποτε ὅτε ἦν χρόνος', εἰ νομίζοι τὸν αὐτὸν ἐν τῷ ὑποκειμένῳ χρόνον λαμβάνειν καὶ ἐν τῷ κατηγορουμένῳ, τὸν αὐτὸν ὀφλήσει γέλωτα. καὶ ἄλλως εἰ ἡ κατάφασις καὶ ἡ ἀπόφασις τοὺς αὐτοὺς ὅρους ἔχουσιν ἀπαραλλάκτως. ἐπὶ δὲ τῆς ἀποφάσεως τὸ 'ἦν' καὶ τὸ 'ποτέ' χρόνον ἐξειλήφασι προϋπάρχοντα τοῦ χρόνου, τοὺς αὐτοὺς δήπου καὶ ἐν τῇ καταφάσει φυλακτέον. ἔσται οὖν τις χρόνος ἐν ᾧ ἕτερός τις ὑπῆρχε χρόνος· τὶς οὖν ἐν τινί· ἀλλ' ἀδύνατον. ὅσον οὖν ἐπὶ τοῖς σεμνοῖς τούτοις συλλογισμοῖς, ψευδὴς ἔσται ἡ ἀντίφασις, ἐπειδὴ καὶ τῇ ἀποφάσει καὶ τῇ καταφάσει ἄτοπόν τι ἠκολούθησεν. αἴτιον δέ σοι τῆς πλάνης γέγονε τὸ μὴ συνιδεῖν, ὅτι ἀδύνατόν ἐστι κατηγορῆσαί τί τινος ἐκτὸς χρονικῆς τινος ἐμφάσεως διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν * * * ἀλλ' οὐδὲ ἐπὶ αὐτῶν τῶν θείων. πῶς δὲ καὶ οὐ καταγέλαστον τὸ νομίζειν ὅτι τὸ 'ἦν' καὶ τὸ 'ἔστι' πάντως ἐπὶ χρόνου κατηγορεῖται, οὐχὶ δὲ καὶ ἐπὶ ὑπάρξεως, ὡς ὅταν λέγω ὅτι 'ἦν Σωκράτης', 'ἦν τὸ Λύκειον', εἰ καὶ συνεμφαίνεταί πως καὶ ὁ χρόνος; λέγομεν δήπου καὶ θεὸν εἶναι, καὶ οὐ δήπου χρόνον αὐτοῦ κατηγοροῦμεν· κἂν γὰρ λέγωσι τὸ ἐπὶ θεοῦ 'εἶναι' μὴ ἀντιδιαστέλλεσθαι πρὸς τὰ λοιπὰ μέρη τοῦ χρόνου, ἀλλ' οὖν γε ἡ φωνὴ αὕτη πρὸς ἀντιδιαστολὴν τοῦ 'ἦν' καὶ τοῦ 'ἔσται' λέγεται, ἀλλ' ὅμως ἡ διάνοια διορθοῦται τὴν τῆς φωνῆς ἀσθένειαν. οὕτως οὖν καὶ ὅταν λέγω ὅτι 'ἦν ὅτε οὐκ ἦν χρόνος'

1 βουλομένω L: βουλόμ$^{\varepsilon}$ K: βουλομένοις Mt 2 post εἴποι addit ὅτι L ἦν (ante Σωκράτης) om. L 4 λέγῃ LK: ἔλθῃ M: εἴπῃ t ὅτε om. primitus L χρόνος ἦν L: χρόνος om. M φασὶν KM 5 τὸν μὲν ὑποκεῖσθαι· τὸν δὲ t 7 ὀφλησκάνειν K ἀποφασιν L 9 ἦν Lt: τὴν K: ἦν M ἂν εἴη] ἦν L 10 τὸν κατηγορούμ$^{\varepsilon}$ K 11. 12 κυκλουμένην—εἰ om. L 11 οὕτω] οὔτε M 12 νομίζοι K: νομίζει LMt 13 χρόνω LM 14 εἰ ἡ] εἴη M 15 ἀπαραλάκτως, ἐπεὶ δὲ M τὸ (ante ποτέ) om. Mt 16 ἐξείληφας K 16. 17 καταφάση M 17 τις (post οὖν) om. Mt 21 κατηγορεῖσαί M 22 διὰ τῆς . . . . . ένειαν primitus M ante ἀλλ' οὐδὲ lacunae signa posui: ἀλλ' om. t 24 χρόνου λαμβάνεται καὶ κατηγορεῖται L ἐπὶ (ante ὑπάρξεως) om. L 25 ὅτι LKM: ὅτε t λύκειον M: λύκιον LKt εἰ δὲ καὶ L πῶς KM καὶ (ante ὁ) om. Mt 27 γὰρ K: om. LMt εἶναι om. L μὴ om. t διαντιστέλλεσθαι M 30 καὶ om. L

www.libtool.com.cn

(τὸ γὰρ 'ποτέ' ὡς μᾶλλον κακουργηθῆναι δυνάμενον σιωπῶ), τὸ 'ἦν' ἐπί m 3r
τινος ὑπάρξεως οὐ χρόνου φέρω, ὅτι ἦν φέρε εἰπεῖν αἰὼν ἢ ἄλλαι τινὲς
οὐσίαι θεῖαι. καὶ διορθοῦμαι τὴν ἀσθένειαν τῆς φωνῆς τοιῷδε τρόπῳ,
ἐπειδὴ τὸ 'ἦν' ἓν μέν ἐστι κατὰ τὴν φωνήν, τῷ δὲ λόγῳ οὐχ ἕν· ση-
5 μαίνει μὲν γὰρ καὶ τὴν ὕπαρξιν οὗ ἂν κατηγορῆται πράγματος, σημαίνει
δὲ καὶ χρόνου τι μόριον τὸ παρεληλυθός· ὅσον μὲν οὖν αὐτοῦ ὕπαρξιν
δηλοῖ, τοῦτο λαμβάνω, ὅσον δὲ χρονικὸν τμῆμα, οὐκέτι. ὥσπερ οὖν καὶ 45
ἐπὶ τοῦ 'ἔστι' τὸ μέν φασι σημαίνειν τὸ ἀδιάστατον, ὃ καὶ ἐπὶ θεοῦ κατη-
γορεῖται, τὸ δὲ χρόνου μέρος, καίτοι τῆς φωνῆς αὐτῆς καθ' αὑτὴν τὸ
10 τμῆμα τοῦ χρόνου σημαινούσης, ὅμως ἐκ τῶν ὑποκειμένων καθ' ὧν κατη-
γορεῖται τὴν διαστολὴν τῶν σημαινομένων ἐποιησάμεθα, οὕτω φημὶ καὶ
ἐπὶ τοῦ 'ἦν', ἐπεὶ σημαίνει καὶ χρόνον καὶ ὕπαρξιν, ὅταν λέγω ὅτι 'ἦν
ὅτε οὐκ ἦν χρόνος', τὸ 'ἦν' ὑπάρξεώς τινος οὐ χρόνου κατηγορῶ. δυνα-
τὸν δὲ καὶ τὰς καταγελάστους ταύτας κακοπραγμοσύνας ἐκφεύγειν λέγοντας 50
15 'οὐκ ἦν ἀεὶ χρόνος'. δυνατὸν μὲν οὖν ἦν ἐπὶ πλεῖον τὸ ἀνόητον τῶν
τοιούτων λόγων ἐλέγξαι, ἀλλ' ὡς ἐν παρεκβάσει ἱκανὰ καὶ ταῦτα.

Τὸ δὲ λέγειν ὅτι πᾶν τὸ γινόμενον ἐν χρόνῳ γίνεται, καὶ τοῦτο ψεῦ-
δος· γινόμενον δὲ λέγω πᾶν ἁπλῶς τὸ πρότερον μὲν μὴ ὄν, ὕστερον δὲ
ὄν. ὅτι δέ εἰσι τοιαῦτα μυρία, αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς τελευταίοις
20 ταύτης τῆς πραγματείας δείκνυσι· τοιαῦτα δέ ἐστι τὰ σημεῖα αἱ ἀφαί, καὶ
οὐ μόνον, ἀλλὰ καὶ τὰ εἴδη πάντα· ἀχρόνως γὰρ καὶ ἐγγίνεται τοῖς ὑπο-
κειμένοις καὶ | ἀπογίνεται. καὶ ἄλλως εἰ καὶ μὴ ἁπλῶς τὸν χρόνον γίνε- m 3v
σθαί φασιν, ἀλλ' οὖν τινὰ χρόνον γίνεσθαι οὐκ ἀρνήσονται, οἷον τόνδε τὸν
ἐνιαυτόν, ἐπεὶ οὐδὲ ἄνθρωπον μὲν ἁπλῶς γίνεσθαι, τινὰ δὲ ἄνθρωπον
25 γίνεσθαί φασι· καὶ δῆλον ἐξ ὧν καὶ φθείρονται πάντα τὰ μερικά. ἐπεὶ
οὖν γίνεται ἥδε ἡ ἡμέρα ἢ ὅδε ὁ ἐνιαυτός, δεῖ πάντως ἐν χρόνῳ γίνεσθαι,
εἴ γε πᾶν ἁπλῶς τὸ γινόμενον ἐν χρόνῳ γίνεται· δέοι οὖν ἄλλον εἶναι χρό- 5
νον ἐν ᾧ ἡ ἡμέρα γενήσεται· ἔσονται οὖν ἅμα δύο χρόνοι, οἷον ἡμέραι
δύο. καὶ τίς ἡ πρὸς ἄλληλα αὐτῶν διαφορά; ἀλλὰ ταῦτα καὶ λέγειν γέλωτος
30 ἄξια, ὅτι δὲ οὐ δέδεικται ἐξ ἀνάγκης ἀίδιος οὖσα ἡ κίνησις, ἱκανῶς ἐν
ταῖς σχολαῖς τοῦ ὀγδόου τῆσδε τῆς πραγματείας ἐδείξαμεν.

---

1 πότε libri κακουργηθεῖναι M τὸ ἦν LKM: τὸ δὲ ἦν t 2 αἰὼν M: αἰῶν K 5 κατηγορεῖται KM 6 παρεληλυθός K: παρελελυθός LM: παραλελυθός t οὖν LK: γὰρ Mt 7 τούτω Mt οὐκέτι λαμβάνω L 8 τὰ μέν φασιν σημαίνει τὸ διάστατον K 9 τὸ δὲ Lt: τοῦ δὲ KM χρόνου K: τοῦ χρόνου L: χρόνου τὸ M: χρόνου τι t κατ' αὐτὴν M 11 ἐπανηστάμεθα K 13 τὸ ἦν Mt: τὸ τῆς K: τὸ ἦν ἐπὶ (sed ἐπὶ rursum delevit) L 14 μετὰγελάστους K 15. 16 τῶν τοιούτων LK: τούτων τῶν Mt 16 ἐξελέγξαι L παραβάσει K 18 μὴ om. superscr. L 19 τοιαῦτα LK: ταῦτα Mt μύρια L 20 εἰσι L καὶ om. Mt 21. 22 ὑποκειμένος errore typogr. t 22 ἀπογινομένοις L 23 ἀλλ' οὖν — ἀρνήσονται in erasis L 24 μὲν γίνεσθαι ἁπλῶς Mt 25 φθείρονται M 26 ἡδὲ (LKM)t ὁ om. L 28 ἡμέραι] ἡμέρα M 29 καὶ (ante λέγειν) om. L γέλωτος M 30 ἄξιον L 31 πραγματίας M

www.libtool.com.cn

Ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν. διαιτῶν τοὺς περὶ τοῦ ἀπείρου λόγους m 3v
ὁ Ἀριστοτέλης, διαίρεσιν τῶν ὄντων παραδίδωσι τοιαύτην. τῶν ὄντων, φησί,
τὰ μέν ἐστι δυνάμει τὰ δὲ ἐνεργείᾳ, καὶ τῶν δυνάμει τὰ μὲν οὕτως ἐστὶν 10
ὡς δύνασθαί ποτε ὅλα δι' ὅλων ἐκβῆναι εἰς ἐνέργειαν καὶ παντελῶς ἀπο-
5 λέσαι τὸ δυνάμει, τὰ δὲ ἃ μηδέποτε τελείως ἀπόλλυσι τὸ δυνάμει, ἀλλ' ἐν
τούτῳ οὐσίωται ἐν τῷ ἀεὶ δυνάμει εἶναι. παράδειγμα τοῦ μὲν προτέρου
ὁ δυνάμει γραμματικὸς γενόμενος ἐνεργείᾳ, τοῦ δὲ δευτέρου, ὡς ὅταν λέγω-
μεν δυνάμει εἶναι τὴν ὕλην πάντα· τοῦτο γὰρ οὐδέποτε ὅλη δι' ὅλης
ἐνεργείᾳ γίνεται, ὥστε μηκέτι μηδὲν ἔχειν δυνάμει· κἂν γὰρ ἓν εἶδος δέξη-
10 ται, τὰ ἄλλα πάντα δυνάμει ἐστί. πάλιν τῶν ἐνεργείᾳ τὰ μὲν οὕτως ἐστὶν 15
ὡς ὅλα δι' ὅλων ἀπολαβεῖν τὴν ἐνέργειαν, οἷον ὁ ἐνεργείᾳ ἄνθρωπος, τὰ
δὲ οὕτως ὥστε κατὰ μέρος ἀπολαμβάνειν τὴν ἐνέργειαν, ὥσπερ λέγομεν
τὴν ἡμέραν ἐνεργείᾳ παρεῖναι καὶ τὸν ἀγῶνα, οὐ τῷ ἅμα ὅλην εἶναι τὴν
ἡμέραν, ἀλλὰ τῷ κατὰ μέρος, ὁμοίως καὶ τὸν ἀγῶνα τῷ πυγμὴν εἶναι ἢ
15 πάλην ἢ ἄλλον τινὰ ἄθλον. τούτων οὕτως ὄντων ὅτι μὲν κατὰ μέγεθος
οὐκ ἔστι τὸ ἄπειρον σῶμά τι ὂν ἀδιεξίτητον τῷ μεγέθει, ἱκανῶς δέδεικται,
ἔστι δὲ τὸ κατὰ διαίρεσιν καὶ τὴν ἀντεστραμμένην ταύτῃ πρόσθεσιν ἄπειρον.
φαμὲν γὰρ τὰ συνεχῆ δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετά, οὐχ οὕτως
δὲ δυνάμει ὥσπερ τὸν χαλκὸν λέγομεν δυνάμει ἀνδριάντα εἶναι ἐσόμενόν ποτε 20
20 ἐνεργείᾳ ἀνδριάντα· οὐ γὰρ ἂν γένοιτό ποτε ἄπειρον ἐνεργείᾳ. ἐπὶ μὲν γὰρ
τοῦ χαλκοῦ καὶ τοῦ ἀνδριάντος παύεται ἡ δύναμις ἐπελθούσης τῆς ἐνεργείας·
ὁ γὰρ γενόμενος ἀνδριὰς οὐκέτι ἔχει δύναμιν ἀνδριὰς γενέσθαι· λέγεται γὰρ
ἐπὶ τῶν τοιούτων τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ, διόπερ οἷόν τε τὸ δυνάμει
προελθεῖν εἰς τὴν ἐνέργειαν εἰς ἣν καὶ λέγεται, ἐφ' ὧν δὲ τὸ εἶναι ἐν
25 τούτῳ ἐστὶν ἐν τῷ δυνάμει εἶναι, ἀδύνατόν ποτε προελθεῖν εἰς τὴν τοιαύ- 25
την ἐνέργειαν, ὡς ἀποβαλεῖν πάντῃ τὸ δυνάμει. ὥσπερ καὶ ἐπὶ τῆς ὕλης
ἔχει· λέγεται γοῦν πάντα δυνάμει εἶναι, ἀλλ' οὐδέποτε πρόεισιν εἰς τὴν
τοιαύτην ἐνέργειαν, ὡς πάντῃ τὸ δυνάμει ἀφανίσαι. ὡσαύτως καὶ ἐπὶ τοῦ
ἀπείρου ἔχει· λέγεται γὰρ τὸ μέγεθος ἐπ' ἄπειρον εἶναι διαιρετόν, οὐχ
30 ὡς ἐκβησομένου ποτὲ τούτου, ἀλλ' ὡς ἀεὶ ἐν γενέσει θεωρουμένου. ταὐτὸν

---

1 διιστῶν L fort. τοῖς—λόγοις cl. p. 456,13. 16. 464,22. at cf. p. 130,32. 310,5. 368,29 (259,19) τοῦ om. L 2 φησί om. L 3. 4 ἐνεργείᾳ—ἐκβῆναι εἰς om. K 5 τὸ δὲ M τελίως M ἀπολλύσει (sic) Mt 6 τοῦτο M εἶναι om. Mt 7 γραμματικὸς fortasse iterandum 7. 8 λέγομεν K et ante corr. M 10 οὕτω M 11. 12 οἷον ὁ ἐνεργείᾳ—ἀπολαμβάνειν τὴν ἐνέργειαν L: om. KM: τὰ δὲ μὴ οὕτως supplent M²t 13 παρῆναι M 14 τῷ utrobique LK: τὸ Mt πιγμὴν M 15 πάλην t: πάλιν LKM 17 ἀντιτεταγμένην L ταύτῃ (cf. p. 473,10. 479,17) t: ταύτην LKM 18. 24 οὐχ οὕτως—λέγεται pleraque ad verbum ex Themist. p. 238,29 sqq. 18 οὕτω t 20 τὸ ἄπειρον ποτὲ L γὰρ (post μὲν) om. K 22 λέγεται] λήγει L 23 τοιούτων τῷ δυνάμει πρὸς τῷ ante corr. M πρὸς τὴν ἐνέργειαν Themistius τὸ δυνάμει (altero loco) libri: αὐτῷ Themistius: fort. τῷ δυνάμει 24 προσελθεῖν K 25 ἀδύνατον ἀνελθεῖν ποτὲ L 26 ἐπιβαλεῖν K 27 τὴν om. L 28 τὸ LK: τῷ Mt ἀφανίσαι L: ἀφανίση K: ἀφανεῖσαι M: ἀφανῆσαι t 29 λέγετε K 30 ποτὲ om. L

www.libtool.com.cn

οὖν τὸ δύναμει καὶ ἐνεργείᾳ ἐπὶ τοῦ ἀπείρου, ἀλλ' ἐνεργείᾳ οὕτως, ὥσπερ m 3v
φαμὲν ἐνεργείᾳ εἶναι τὸν ἀγῶνα καὶ τὴν ἡμέραν, οὐ τῷ πᾶσαν ἐκβεβηκέναι, 30
ἀλλὰ ⟨τῷ⟩ κατὰ μέρος γίνεσθαι. οὕτως οὖν καὶ τὸ ἄπειρον ἐνεργείᾳ, ὡς ἀεὶ
μέν τι μέρος αὐτοῦ παρεῖναι, ἀεὶ δὲ τοῦ ληφθέντος ἔξω δύνασθαι λαβεῖν
5 ἕτερον. εἴ τις οὖν ἐντελεχείᾳ οὕτως βούλεται εἶναι τὸ ἄπειρον, ὡς εἰδός τι
ὂν καὶ μορφὴν καὶ πᾶν εἰλῆφθαι, οὗτος οὐδὲν ἄλλο ἢ πέρας ζητεῖ τοῦ
ἀπείρου, μᾶλλον δὲ φθοράν· εἰ γὰρ τὸ ἐπ' ἄπειρον διαιρετὸν ὅλον ἅμα
παρεῖναι βούλεται τῷ μεγέθει, ὡς μηδὲν ὑπολείπεσθαι ἔτι ὃ δύναται διαι-
ρεθῆναι, ἔφθειρας τὸ ἐπ' ἄπειρον διαιρετόν· οὐ γάρ ἐστιν ὅλως ἔτι διαιρε-
10 τόν. ὥστε ἡ τοιαύτη ἐντελέχεια φθορά ἐστι τοῦ οὗ ἐστιν ἐντελέχεια, 35
τοῦτο δὲ ἀδύνατον· πᾶσα γὰρ ἐντελέχεια σῴζειν ὀφείλει τὸ ὑποκείμενον.
ὥσπερ τοίνυν τὴν τοῦ κινητοῦ ἐντελέχειαν, ᾗ κινητόν, φυλάττουσαν ἐπι-
δείκνυμεν τὴν δύναμιν τοῦ κινεῖσθαι, οὕτως ἡ ἐντελέχεια τοῦ ἀπείρου καὶ
τελειότης τὸ δύνασθαι ἀεὶ προσωτέρω ἰέναι καὶ μὴ ἐπιλιπεῖν. εἰ δὲ παύ-
15 σοιτό ποτε ἡ δύναμις αὐτῆς, παύσεται παραχρῆμα καὶ τὸ ἄπειρον εἶναι.
καθάπερ γὰρ οἷς ἐν τῷ γίνεσθαι τὸ εἶναί ἐστι, ταῦτα παυόμενα τοῦ γίνε-
σθαι οὐδ' ἔστιν ἔτι, ὡς ὁ ἀγὼν καὶ ἡ ἡμέρα καὶ ὁ χρόνος καὶ ἡ φλόξ, 40
οὕτως ὧν ἐν τῷ δύνασθαι, ταῦτα ἀπολέσαντα τὸ δύνασθαι συναπόλλυσιν
εὐθὺς καὶ τὸ εἶναι. ἐὰν οὖν, λεγόντων ἡμῶν ὅτι δύναται τὸ μέγεθος ἐπ'
20 ἄπειρον διαιρεῖσθαι, ἐνεργείᾳ τις ἐκβεβηκέναι τὸ ἄπειρον τοῦτο βούλοιτο,
εὐθὺς ἔφθειρε τὸ ἐπ' ἄπειρον διαιρετόν. τὸ γὰρ ἄπειρον οὐδέποτε ἀπο-
περατοῦται· εἰ γὰρ ἀποπερατώσεις τὰς τομάς, πεπερασμένας οὐκ ἀπείρους
ἐποίησας. οὐ γάρ φαμεν εἰς ἄπειρα διαιρετὸν εἶναι τὸ μέγεθος, ἀλλ' ἐπ'
ἄπειρον διαιρετόν, ταῦτα δὲ πλεῖστον διαφέρει· τὸ μὲν γὰρ εἰς ἄπειρα διαι-
25 ρεῖσθαι ἀδύνατον (αὐτὸ γὰρ ἑαυτοῦ ἐστιν ἀναιρετικόν· εἰ γὰρ διῄρηται, 45
οὐκ εἰς ἄπειρα πάντως· διεξελθεῖν γὰρ τὸ ἄπειρον ἀδύνατον, πᾶν δὲ τὸ
διεξιτητὸν εὐθὺς καὶ πεπερασμένον. καὶ ἄλλως εἰ εἰς ἄπειρα διαιρεῖται,

---

1 ἐνεργείᾳ εἶναι ἐπὶ Mt ὄντως (sic) K 2 οὐ τῷ] οὕτω M 3 τῷ addidi 4 παρῆναι (item v. 8) et λειφθέντος M 5. 19 εἴ τις—εὐθὺς καὶ τὸ εἶναι] cf. Themist. p. 239,11 sqq. 5 ἐντελέγχεια KM 6 εἰλήφθαι libri (certe Mt) οὗτος Lt: οὕτως compend. M: οὕτως K 8 μηδὲν t: μηδὲ LKM δύναιτο t 9 ἔφθειρε (cf. v. 21) recte t: an v. 8 βούλει cl. p. 461,16? οὐ γάρ ἐστιν ὅλως ἔτι διαιρετόν om. Mt 10 ἐντελέγχεια (post τοιαύτη) et v. 11 ἐντελέχει (post γάρ) M οὗ] οὐ M: οὖν L 12 ἐντελέγχειαν K ᾗ] ἢ M 13 ἐντελέχειαν primitus K 13. 14 τοῦ ἀπείρου καὶ τελειότης in erasis K 14 τελιότης τῶ M προσω τῷ M: προσωτέρων t ἐπιλείπειν L 14. 15 δὲ παύσητό K: δὲ παύσαιτό Themistius 15 αὐτῆς K: αὐτὴς (sic) compend. M: αὕτη (L)t καὶ τὸ] τοῦ καὶ Themistii libri (τὸ καὶ coni. Spengel) 16 ἐν τῶ γενέσθαι KM 18 ὧν K: οὖν τὸ εἶναι L: ὧν M: οὖν t: οἷς τὸ εἶναι Themistius 18. 19 ἐν τῷ δύνασθαι—λεγόντων om. Mt 18 συναπόλλυσιν L: δὺνάπόλυσιν K 19 ἡμῶν LKM: ἡμῖν t 20 τοῦτο K: om. LMt 21 τὸ γὰρ ἄπειρον bis scripsit semel expunxit L 21. 22 ἀποπερατοῦται scripsi: ἀποπεραιοῦται libri 22 ἀποπερατώσεις Mt: ἀποπεραιώσεις LK 23 ἄπειρον L 23. 24 διαιρετὸν εἶναι—γὰρ εἰς ἄπειρα om. K 25 αὐτὸ κτλ.] cf. Themist. p. 240,5 sqq. ἐστιν ἀναιρετικόν L: ἐστὶν αἱρετικόν K: ἐστι διαιρετικόν Mt διείρηται M 26 εἰ πᾶν δὲ L 27 διεξητητὸν K εἰ om. L

www.libtool.com.cn

καὶ σύγκειται ἐξ ἀπείρων, τὸ δὲ ἐξ ἀπείρων συγκείμενον ἄπειρον· τοῦτο m 3v
δὲ ὅτι ἀδύνατον εἶναι, ἀρτίως ἐπαυσάμεθα λέγοντες), τὸ δὲ διαιρεῖσθαι ἐπ'
ἄπειρον οὐδὲν κωλύει ἀεὶ δυναμένου τέμνεσθαι τοῦ λειπομένου. δυνατὸν
δὲ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ θεωρεῖσθαι ἐπὶ τοῦ ἀπείρου οὕτως, ὥσπερ
5 καὶ ἐπὶ τοῦ δυνάμει ἀνδριάντος καὶ τοῦ ἐνεργείᾳ· ὅτε γὰρ μήπω ἤρξατο 50
διαιρεῖσθαι, οὕτως ἐστὶ δυνάμει ἐπ' ἄπειρον διαιρετόν, ὡς ὁ χαλκὸς δυνάμει
ἀνδριάς, ὅταν δὲ ἀρχὴν λάβῃ ἡ διαίρεσις, τότε γίνεται ἐνεργείᾳ ἐπ' ἄπει-
ρον διαιρετόν, ὡς ὁ χαλκὸς ἐνεργείᾳ ἀνδριάς· πλὴν οὐχ ἅμα ὡς ἐπὶ τοῦ
χαλκοῦ τὸ ἐνεργείᾳ, ἀλλ' ὡς ἐπὶ τοῦ ἀγῶνος καὶ τῆς ἡμέρας καὶ τῆς ὕλης,
10 τῷ κατὰ μέρος παρεῖναι. μηδεὶς οὖν ζητείτω τὴν ἐντελέχειαν τοῦ ἀπείρου
τοιαύτην ὡς κλίνης καὶ οἰκίας, ἀλλ', ὡς εἶπον, ὡς τοῦ ἀγῶνος καὶ τῆς
ἡμέρας· οὐ γὰρ ὡς ἀθρόαν, οὐδ' ὡς ἅμα δυναμένην γενέ|σθαι τὴν διαί- m 4r
ρεσιν, ἀλλ' ὅτι γίνεται ἀπὸ μέρους, τοῦ ὑπολειπομένου ἀεὶ δυναμένου διαι-
ρεθῆναι. οὕτω δὲ καὶ ἡ ἐπ' ἄπειρον τοῦ ἀριθμοῦ αὔξησις τῷ ἀεὶ δύνα-
15 σθαι μείζονα τοῦ ληφθέντος λαβεῖν ἀριθμόν, καὶ τὸν ἀεὶ λαμβανόμενον
πεπερασμένον εἶναι. εἰ δὲ βούλει ἐπ' ἄπειρον αὔξεσθαι τὸν ἀριθμόν, ὡς
διεξελθεῖν ἐνεργείᾳ τὴν ἐπ' ἄπειρον αὔξησιν, ἔφθειρας εὐθὺς τὸ ἄπειρον·
στήσας γὰρ τὴν αὔξησιν, πέρας τῷ ἀπείρῳ ἐπέθηκας. οὐ μόνον δὲ ἐν τῷ
ἀριθμῷ ἐστι τὸ κατὰ τὴν αὔξησιν ἄπειρον, ἀλλὰ καὶ ἐν τοῖς μεγέθεσιν, 5
20 οὐχ οὕτως ὥστε παντὸς ὑπερβαλεῖν μεγέθους τὸ αὐξανόμενον (τοῦτο γὰρ
ἀδύνατον· ἀδύνατον γὰρ σῶμά τι μεῖζον τοῦ κόσμου γενέσθαι), ἀλλ' εἰ ἡ
αὔξησις γένοιτο ἀντεστραμμένως τῇ διαιρέσει. ἐὰν γὰρ πεπερασμένην
εὐθεῖαν λαβὼν διχοτομήσω, εἶτα ἐπὶ θάτερον χωρήσω τῇ διαιρέσει, ἐφ'
ὅσον τέμνω θάτερον προστίθημι τῷ λοιπῷ, καὶ ὥσπερ ἡ θατέρου μορίου
25 διαίρεσις ἐπ' ἄπειρον γίνεται, οὕτως καὶ ἡ θατέρου αὔξησις ἐπ' ἄπειρον
πρόεισιν, ἀλλ' ἀντεστραμμένως· ὃ γὰρ ἀφαιροῦμεν ἐκείνου, προστίθε- 10
μεν τῷ λοιπῷ. καὶ οὕτως οὔτε ἡ αὔξησις λήγει μείζων παντὸς γινο-
μένη, ἀλλ' οὐδὲ ἴσον αὐτοῦ ὅλου τοῦ διαιρουμένου μεγέθους· ἀεὶ γὰρ
καταλιμπάνεταί τι μέγεθος, ὃ ἦν μόριον τοῦ ὅλου, ὃ τὴν διαίρεσιν ἐπι-
30 δέχεται.

---

1 συγκείσεται L τὸ δὲξ ἀπείρων M 3 ἄπυρον M δυναμένου τέμνεσθαι LK Themistius: τεμνομένου δύνασθαι M: τέμνεσθαι δυναμένου t τοῦ λοιπ̣ M: τοῦ λοιποῦ t 4 καὶ τὸ] τῶ L ἐνεργείᾳ] γεωργεία M 5 ὅτε γὰρ κτλ.] cf. Themist. p. 239, 28 sqq. μήποτε L 6 διαιρετόν LK: δυνάμει Mt 7. 8 ὅταν — ἐνεργείᾳ ἀνδριάς om. L 7 λάβει ante corr. M 10 τῷ Kt: τὸ LM παρῆναι M μηδεὶς κτλ.] Themist. p. 240,9 sqq. ζητεῖτο M: ζητεῖ τε K 11 οἰκείας M ἀλλ', ὡς] ἄλλως K: ἀλλ' ὡ M ὡς (ante τοῦ) om. Mt 12 ἀθρῶαν M 14 αὔξῖσις ut saepe et δυνᾶσθαι M 15. 16 καὶ τὸν ἀεὶ — τὸν ἀριθμόν om. Mt 15 λαμβανόμενον L: λαμβανόμενος K 16 εἰδευούλει K ὡς LKM: ὡς τῷ t 18 προσέθηκας Mt 20 ἀλλ' οὐχ οὕτως ὥστε ἀπολαβεῖν (om. παντὸς) L αὐξανόμενος K 23 ἐπὶ θάτερον L: ἐπιθάτερα K: ἐπεὶ θάτερον M: ἐπειδὰν θάτερον t χωρίσω Mt 24 προστιθῶ t καὶ om. t 25 οὕτω t 26 ἀφεροῦμεν M 27 ἡ om. K μείζων (μεῖζων M: μεῖζον K) παντὸς γινομένη LKM: οὔτε τὸ αὐξόμενον μεῖζον παντὸς γίνεται μεγέθους coniecit t: malim οὔτε μεῖζον παντὸς γίνεται μέγεθος et mox αὐτῷ τῷ ὅλῳ διαιρουμένῳ μεγέθει 28 ὅλον t 29 μέγεθος] μεθ° (sic) M

www.libtool.com.cn

Ὅλως δὲ φανερὸν ὅτι ἀδύνατον τὸ ἄπειρον ἅμα λέγειν σῶμα M 4r
καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν. ἀδύνατον, φησί, τὸν ὑποτιθέμενον σῶμα ἄπειρον εἶναι, ἅμα καὶ φυσικὸν ἑκάστῳ τῶν σωμάτων ὑποτίθεσθαι τόπον. εἰ τοίνυν πρόδηλος ἑκάστου τῶν φυσικῶν σωμάτων ὁ τόπος, ἀδύνατον ἄρα ἄπειρον εἶναι σῶμα. ὅτι δὲ ἀδύνατον παντὸς φυσικοῦ 15
σώματος ἐν τόπῳ ὄντος ἄπειρον εἶναι σῶμα, ἐφεξῆς δείκνυσιν.

p. 205b28 Ἀδύνατον δὲ ἢ ἅπαν ὁποτερονοῦν ἢ τὸ ἥμισυ ἑκάτερον πεπονθέναι.

Ἀδύνατον, φησίν, ὅλον τὸ ἄπειρον ὁποτερονοῦν εἶναι ἢ ὅλον βαρὺ ἢ ὅλον κοῦφον, ἢ τὸ ἥμισυ αὐτοῦ ἑκάτερον πεπονθέναι, τουτέστιν ἑκάτερον τῶν ἡμίσεων ἑκάτερον τῶν παθῶν πεπονθέναι, καὶ τὸ μὲν βαρὺ εἶναι τὸ δὲ κοῦφον.

p. 205b29 Πῶς γὰρ διελεῖς; ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ ἔσχατον καὶ μέσον;

Εἰ γὰρ ὅλως ἀφορίσεις τοῖς τόποις τὰ τοῦ ἀπείρου μόρια, εὐθὺς αὐτὸ 20
καὶ πεπερασμένον ποιεῖς· πῶς γὰρ οἷόν τε τοῦ ἀπείρου τὸ μὲν ἄνω εἶναι τὸ δὲ κάτω; πόθεν γάρ που τὸ ἄνω; ὁμοίως δὲ καὶ τὸ κάτω. καὶ ἄλλως εἰ ἕξει τὸ ἄνω, εὐθὺς καὶ ἔσχατον ἕξει καὶ μέσον· τὸ γὰρ ἄνω καὶ κάτω ἔσχατα, μέσον δὲ τὸ ὑπὸ τούτων περιεχόμενον, ὃ δὲ μέσα καὶ ἔσχατα ἔχει, οὐκ ἄπειρον.

p. 205b31 Ἔτι πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ.

Ἕτερον ἐπιχείρημα. εἰ πᾶν σῶμα, φησίν, ἐν τόπῳ, τόπου δὲ διαφοραὶ 27
αἱ εἰρημέναι ἕξ, ἀνάγκη καὶ τὸ ἄπειρον κατὰ τούτους διῃρῆσθαι τοὺς τόπους, τοῦτο δὲ ἀδύνατον· εὐθὺς γὰρ πεπεράνθαι τοῦτο ἀνάγκη. ἀδύνατον ἄρα σῶμα ἄπειρον εἶναι.

---

1 τὸ om. L at cf. p. 452,11 λέγειν ἅμα traicit L 3 φυσικὸν (φησικὸν ut in proximis M) ἑκάστῳ τῶν LKM: ἑκάστου τῶν φυσικῶν t 4 πρόδηλος L: προδήλως (K)Mt 5 ἄρα εἶναι ἄπειρον σῶμα L 7 ἢ ἅπαν om. M 9. 10 ἀδύνατόν φησιν ὅλον τὸ ἄπειρον — πεπονθέναι K: om. LMt 11 καὶ om. L 13 καὶ πῶς γὰρ L διελεῖς L: διέλεις K: διέλης Mt 14 καὶ μέσον] ἢ μέσον Aristotelis vulgata 15 ἀφορίσαις L τὰ τοῦ K et corr. L: τῇ τοῦ primitus L: τούτου Mt 17 γάρ που] γὰρ ποῖ t τὸ (post καὶ) ex τῷ corr. M 18 ante ἔσχατον tres literae erasae L 22 πᾶν φησι σῶμα L τόπου] τούτου L 23 τούτους LK: τοὺς Mt διῃρεῖσθαι K: διαιρεῖσθαι L τοὺς LKM: τούτους t 24 πεπεράνθαι αὐτὸ ἀνάγκη L 24. 25 ἀδυνατον ἄρα σῶμα ἄπειρον εἶναι om. t

www.libtool.com.cn

p. 205ᵇ35 Ἁπλῶς δ' εἰ ἀδύνατον τόπον εἶναι ἄπειρον, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον εἶναί τι σῶμα. m 4ʳ

Τρίτον ἐπιχείρημα. ἀδύνατον, φησί, τὸν τόπον ἄπειρον εἶναι· πᾶς γὰρ τόπος περατοῖ τὸ ἐν τόπῳ καὶ περιέχει αὐτό, τὸ δὲ περατοῦν, μᾶλλον δὲ οἱονεὶ πέρας ὂν τοῦ ἐν αὐτῷ, οὐκ ἄπειρον. καὶ ἄλλως εἰ τόπων διαφοραὶ τὸ ἄνω καὶ κάτω, ἀδύνατον εἶναι τόπον ἄπειρον· εἰ γὰρ εἴη ὁποτεροσοῦν ἄπειρος, οὐ συγχωρήσει τῷ ἄλλῳ εἶναι. ἀδύνατον δὲ ἢ μόνον εἶναι τὸν ἄνω ἢ μόνον τὸν κάτω· πῶς γὰρ ὅλως ὁ ἄπειρος τόπος ἢ ἄνω λεχθῇ ἢ κάτω; εἰ τοίνυν πεπερασμένοι οἱ τόποι, πᾶν δὲ σῶμα ἐν τόπῳ, πᾶν ἄρα σῶμα πεπερασμένον.

p. 206ᵃ2 Ἀλλὰ μὴν τό γε ποῦ ἐν τόπῳ, καὶ τὸ ἐν τόπῳ ποῦ.

Τὸ τέταρτον ἐπιχείρημα. ἔστι δὲ συνεχὲς τοῖς πρὸ αὐτοῦ· ἐπειδὴ γὰρ ἔδειξεν ὅτι ἀδύνατον ἢ ἄνω ἢ κάτω εἶναι τὸ ἄπειρον, ἢ ἔν τινι τῶν ἄλλων τόπων, ἵνα μήτις εἴπῃ ὅτι ἐν τούτοις μὲν οὐκ ἔστιν, ἐν τόπῳ δὲ ἁπλῶς ἐστι, διὰ τοῦτό φησιν ἐν τούτοις ὅτι ἀνάγκη ἐφ' ὧν κατηγορεῖται τὸ γένος, ἐπὶ τούτων καὶ τῶν εἰδῶν τι κατηγορεῖσθαι, καὶ ἔμπαλιν. ἔστι δὲ γένος μὲν τὸ ἐν τόπῳ, εἶδος δὲ τὸ ποῦ· ὅταν γὰρ εἴπω ποῦ, ὡρισμένον τινὰ τόπον σημαίνω, ἢ τὸν ἄνω ἢ τὸν κάτω.

p. 206ᵃ3 Εἰ οὖν μηδὲ ποσὸν οἷόν τε εἶναι τὸ ἄπειρον· πόσον γάρ τι ἔσται, οἷον δίπηχυ ἢ τρίπηχυ.

Παραδείγματι τῷ τοῦ ποσοῦ κέχρηται. τὸ μὲν οὖν πρότερον ποσὸν ὀξυτόνως ἀναγνωστέον (σημαίνει γὰρ τὸ τοῦ ποσοῦ γένος), τὸ δὲ δεύτερον παροξυτόνως πόσον, ὡς 'νόθον', σημαίνει δὲ τὸ ὡρισμένον ποσόν, οἷον τὸ δίπηχυ ἢ τὸ τρίπηχυ, ὡς αὐτὸς εἶπεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ ἕκαστον, ὅπερ ἔχει γένος τι κατηγορούμενον, ἕξει καὶ τῶν εἰδῶν πάντως τι τῶν ὑπὸ τὸ γένος κατηγορούμενον (οὐδὲν γὰρ ἔστι χρῶμα, ὃ μὴ πάντως ἢ λευκόν ἐστιν ἢ μέλαν ἢ τῶν ἄλλων τι τῶν τοῦ χρώματος εἰδῶν), καὶ τὸ ἄπειρον, εἰ ἔσται ἐν τόπῳ, πάντως καὶ ἔν τινι τῶν τοῦ τόπου εἰδῶν

---

1 lemma om. KM δ' εἰ t: δὲ (om. εἰ) L 3 τρῖττον M ἄπορον M
5 ἑναυτὸ M 6 καὶ τὸ κάτω L 7. 8 τὸ ἄνω ἢ μόνον τὸ κάτω Mt
8 λεχθῇ (cf. Kühner, *Ausf. Gramm.*² § 394,2 sqq. Dindorf ad Scholl. recc. Aesch. Prom. 186) LK: λεχθὴ M: λεχθεῖ t 9 τὸ πᾶν δὲ L 11 γε] τε K prius ποῦ om. L: πάν (ita saepe scriptum pro πᾶν) M 12 συνεχὴς L 14 εἴποι L
15 ἐστι Lt: εἶναι KM 17 τὸ ποῦ] τόπου M 19 οἷόν τ' t 20 ἢ om. KM
21 τῷ] τὸ M 23 παροξυτόνως LK: ὀξυτόνως (sic) M: βαρυτόνως t πόσον, ὡς νόθον KMt: τὸ μὲν ποσὸν γένος, τὸ δὲ πόσον εἶδος, τὸ δὲ δίπηχυ καὶ τρίπηχυ καὶ τὰ τοιαῦτα ἄτομα L οἷον] ὡς ὂν L 24 δὲ om. K λέγοι t 25 εἰδῶν om. K 25. 26 πάντων τι τῶν ὑπὸ τὸ γένος κατηγορουμένων L

www.libtool.com.cn

ἔσται, οἷον ἢ ἄνω ἢ κάτω. ἀλλὰ μὴν ἀδύνατον ἔν τινι τούτων εἶναι, ὡς m 4r
δέδεικται· οὐδὲ ἐν τόπῳ ἄρα ὅλως. ἀλλὰ μὴν πᾶν σῶμα ἐν τόπῳ· ἀδύ-
νατον ἄρα ἄπειρον εἶναί τι σῶμα. ὥσπερ γὰρ οὐδὲν ποσὸν οἷόν τε εἶναι, ὃ
μὴ πάντως πόσον τί ἐστι, φημὶ δὲ δίπηχυ ἢ τρίπηχυ, οὕτως οὐδὲν ἐν
5 τόπῳ οἷόν τε εἶναι, ὃ μὴ ποῦ ἐστι, λέγω δὲ ποῦ, οἷον τὸ ἄνω ἢ τὸ
κάτω. ὃ οὖν μὴ ἐνδέχεται εἶναι ποῦ, τοῦτο οὐδὲ ἐν τόπῳ ἐνδέχεται
εἶναι. |

p. 206a9 Ὅτι δὲ εἰ μή ἐστιν ἄπειρον μηδὲ ἄλλως, πολλὰ ἀδύνατα m 4r
συμβαίνει, δῆλον.

10 Τὸ μὲν οὖν κατὰ μέγεθος ἄπειρον δέδεικται ὅτι οὐκ ἐνδέχεται εἶναι,
εἰ δὲ κατὰ ἄλλον, φησί, μηδένα τρόπον ἐνδέχεται εἶναι τὸ ἄπειρον, πολλὰ
ἀδύνατα συμβήσεται.

p. 206a12 Ὅταν δὲ διωρισμένων οὕτως μηδετέρως φαίνηται ἐνδέ- 5
χεσθαι, διαιτητοῦ δεῖ.

15 Ὅταν, φησί, καὶ τὸ μὴ εἶναι τὸ ἄπειρον εὔλογον φαίνηται, ὁμοίως δὲ
καὶ τὸ εἶναι, διαιτητοῦ τοῖς λόγοις δεῖ τὴν ἐν ἑκάστῳ ἀλήθειαν καὶ τὸ
ψεῦδος διακρίνοντος. καὶ δῆλον ὅτι πῶς μὲν ἔστι πῶς δὲ οὔ. εἰ γὰρ
μὴ κατά τι μὲν ἦν τὸ ἄπειρον κατά τι δὲ οὔ, οὐκ ἂν ἐδόκει ἑκάτερος τῶν
λόγων ἔχειν τὸ εὔλογον.

20 p. 206a14 Λέγεται δὴ τὸ εἶναι τὸ μὲν δυνάμει τὸ δὲ ἐντελεχείᾳ, 10
καὶ τὸ ἄπειρον ἔστι μὲν προσθέσει ἔστι δὲ καὶ διαιρέσει.

Ἐντεῦθεν διαιτᾷ τοῖς λόγοις, καὶ προλαμβάνει ὅτι τῶν ὄντων τὰ μέν 17
ἐστι δυνάμει, τὰ δὲ ἐντελεχείᾳ, ὡς πολλαχοῦ δέδεικται, καὶ ὅτι τὸ ⟨ἀπει-
ρον⟩ ἔστιν ἐν τοῖς μεγέθεσι κατὰ πρόσθεσιν καὶ διαίρεσιν, ἓν δὲ ἦν τῶν
25 τοῦ ἀπείρου σημαινομένων τὸ κατὰ πρόσθεσιν καὶ διαίρεσιν. ταῦτα προει-
ληφὼς δείκνυσιν ἐφεξῆς πῶς μὲν ἔστι πῶς δὲ οὐκ ἔστι τὸ ἄπειρον, καί 20

---

1 οἷον om. Mt 3 τι] τὸ M οὐδὲν scripsi: οὐδὲ libri 4 πόσον K: ποσὸν LMt ἢ δίπηχυ ἢ L οὐδὲν scripsi: οὐδὲ L: οὐδ' KMt 5 μὴ ποῦ LMt τὸ alterum om. L 6 οὖν LK: δὲ Mt οὐδὲ ἐνδέχεται (ἐν add. t) τόπῳ Mt 8 μὴ δὲ ἄλλως (cf. v. 11) LKM: ἁπλῶς ex Aristotele t: μηδαμῶς Arist. cod. Barb. I, 136; cf. Philop. p. 456,2. 9 11 κατὰ om. Mt 13 δὲ om. M διωρισμένον L οὕτω t 14 δεῖται L 20 δὴ LK: δὲ Mt ἐντελεχείᾳ t: ἐντελέχεια K: ἐντελέγχεια M: ἐνεργείᾳ L 21 διαιρέσει LKM: ἀφαιρέσει e vulgato Aristotele t. at cf. Arist. cod. F et pr. E. Themist. p. 240,29. Simplic. p. 491,28 22 διαιτὰ K τῶν LK et, ut videtur, M: τῶν μὲν t 23 ἐντελέγχεια M: ἐντελέχεια Kt 23. 24 ἄπειρον addidit t

www.libtool.com.cn

φησιν· ὅτι μὲν τὸ κατὰ μέγεθος ἄπειρον οὐκ ἔστιν, ἱκανῶς δέδεικται, τὸ m 4v
δὲ κατὰ τὴν διαίρεσιν ἄπειρον καὶ ἡμεῖς φαμεν εἶναι· ἔστι γὰρ τὸ μέγεθος
ἐπ' ἄπειρον διαιρετόν. ὅτι γὰρ οὐ σύγκειται ἡ γραμμὴ ἐξ ἀτόμων γραμ-
μῶν, ὅπερ οἱ λῦσαι θέλοντες τὴν Ζήνωνος ἀπορίαν κακῶς ὑπέθεντο, ὡς
5 ἐν τῷ πρώτῳ εἴρηται, οὐ χαλεπόν φησι δεῖξαι· ὁλόκληρον γὰρ βιβλίον
πρὸς Ἀναξαγόραν αὐτῷ γέγραπται περὶ ἀτόμων γραμμῶν, ὅτι ἀδύνατον
ἄτομα εἶναι μεγέθη. εἰ γὰρ δέδεικται τοῖς γεωμέτραις τὴν δοθεῖσαν εὐθεῖαν 25
δίχα τεμεῖν, ἀδύνατον δήπου γραμμὴν εἶναι ἄτομον ἢ ἐξ ἀτόμων συγκεῖ-
σθαι· εἰ γὰρ συγκέοιτο ἐκ περιττῶν ἀτόμων, οὐ τμηθήσεται δίχα, δέδεικται
10 δὲ καὶ ὅτι πᾶν τὸ ἐξ ἀτόμων συγκείμενον, ταὐτὸν δὲ εἰπεῖν ἀμερῶν, καὶ
αὐτὸ ἀμερὲς ἔσται. εἴπομεν δὲ καὶ ἐν τῷ πρώτῳ λόγῳ, ὅτι τινὲς τὸν
Ξενοκράτην ὑπώπτευσαν τὰς ἀτόμους εἰσηγεῖσθαι γραμμάς, καὶ ἐδείξαμεν
ὡς ψευδὴς ἡ ὑπόνοια.

p. 206a18 Λείπεται οὖν καὶ δυνάμει εἶναι τὸ ἄπειρον.

15 Εἰ γὰρ δέδεικται ὅτι ἐντελεχείᾳ εἶναι ἀδύνατον, ἔστι δὲ καὶ τὸ μέγε- 30
θος διαιρετόν, δῆλον ὅτι δυνάμει ἔσται καὶ οὐκ ἐνεργείᾳ. οὐ δεῖ δὲ τὸ
δυνάμει λαμβάνειν, τὸ ἐσόμενον. οὐκ ἐπειδὴ δυνάμει εἶπον τὸ ἄπειρον
εἶναι κατὰ τὴν διαίρεσιν, ἤδη νομιστέον ὅτι πάντως ἐκβήσεται τὸ δυνάμει
τοῦτο εἰς ἐνέργειαν. ὥσπερ φαμὲν τὸν χαλκὸν δυνάμει ἀνδριάντα εἶναι,
20 καὶ τὴν δύναμιν ταύτην ἐκβαίνειν ποτὲ εἰς ἐνέργειαν, οὐχ οὕτως καὶ ἐπὶ
τοῦ ἀπείρου· οὐ γὰρ ἔσται ποτὲ εἰς ἄπειρα διῃρημένον· τοῦτο γὰρ οὐδὲ
δυνάμει ὑπάρχει ἐν τοῖς μεγέθεσιν. ἀλλ' ἐπεὶ τὸ εἶναι, φησί, πολλα- 35
χῶς, τουτέστι τὸ ἐνεργείᾳ εἶναι τὸ μὲν ἀθρόαν ἔχει τὴν ἐνέργειαν, ὡς
ἄνθρωπος ἵππος καὶ τὰ ὅμοια, τὰ δὲ κατὰ μέρος γινομένην καὶ μηδέποτε
25 ἀεὶ ἅμα παροῦσαν, τοιαῦτα δέ ἐστι τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα,
ὡς ἡμέρα ἀγὼν καὶ τὰ ὅμοια· οὕτω φημὶ καὶ τὸ ἄπειρον ἐνεργείᾳ εἶναι,
οὐ τῷ ἅμα ὅλον εἶναι, ἀλλὰ τῷ μόριόν τι αὐτοῦ ἀεὶ παρεῖναι. οὕτω καὶ
ἄπειρον ὃ ἔσται ἐνεργείᾳ. οὐχ οὕτως λέγω, φησί, τὸ ἄπειρον δυνάμει,

---

1 ὅτι τὸ μὲν τὸ L 1. 2 μέγεθος ἄπειρον — ἔστι γὰρ τὸ om. M: καὶ φησὶν ὅτι ἐν μεγέθεσιν ἄπειρον ἐνεργείᾳ μὲν οὐκ ἔστι, δυνάμει δέ ἐστι, τῷ εἶναι πᾶν μέγεθος ἐπ' ἄπειρον κτλ. coniectura refinxit t 2 δὲ K: δὲ τὸ L μέγεθος K: κατὰ μέγεθος L 3 ἐπ' om. superscr. L 5 ἐν τῷ πρώτῳ c. 3 p. 187a1 cl. Philop. p. 83,19 sqq. 84,20 sqq. χαλαιπόν M 6 Ἀναξαγόραν libri: Ξενοκράτην Brandis Scholl. Arist. p. 366b17 7 εἰ γὰρ δέδεικται κτλ.] cf. ad p. 404,13 sqq. γεωμέτροις M δοθῆσαν M et mox δῆχα ante corr. 9 περιττῶν LK: περιτῶν M: τῶν t 10 καὶ (ante ὅτι) om. L δὲ (post ταὐτὸν) om. L 11 ἐν τῷ πρώτῳ λόγῳ] cf. loci ad v. 5 citati, ubi tamen nequaquam Philoponus suspicionem impugnat, quam hic falsam se demonstrasse dicit 12 ὑπόπτευσαν K 14 καὶ om. L Aristoteles τὸ om. superscr. L 16 δεῖ] δεὶ M 17 λαμβάνον K: ὃν λαμβάνειν Aristoteles: post λαμβάνειν interciderint nonnulla 19 τοῦτο] τουτέστιν L εἶναι ἀνδριάντα L 20 οὕτω t 23 ἐνεργείᾳ εἶναι λεγόμενον t 24 τὰ δὲ] τὸ δὲ t γινόμενα L 25 τὸ εἶναι] τῷ εἶναι M 27 τῷ utrobique L: τὸ KMt ἀλλὰ et παρῆναι M 28 ἄπειρόν τι e vulgato Aristotele t οὕτω t

www.libtool.com.cn

ὡς λέγω τὸν χαλκὸν δυνάμει ἀνδριάντα· τὸν μὲν γὰρ χαλκὸν οὕτως λέγω m 4v
δυνάμει, ὡς καὶ ἐσόμενόν ποτε ἐνεργείᾳ, τὸ δὲ ἄπειρον οὐχ οὕτω δυνάμει
ὃ ἔσται καὶ ἐνεργείᾳ, ἀλλὰ ἐν τῷ δυνάμει ἀεὶ διαμένει.

p. 206a23 Καὶ γὰρ ἐπὶ τούτων ἐστὶ καὶ δυνάμει καὶ ἐνεργείᾳ.

Ἐπὶ τοῦ ἀγῶνος δηλονότι καὶ τῆς ἡμέρας· πρὶν μὲν γὰρ ἐπιτελεσθῇ, δυνάμει ἐστίν, ἀρξάμενα δὲ γίνεσθαι, ἐνεργείᾳ, ἀλλ' οὕτως ἐνεργείᾳ, ὡς κατὰ μέρος ὑπάρχοντα. δυνατὸν δὲ τὸ δυνάμει καὶ ἐν αὐτῷ τῷ ἐνεργεῖσθαι λαβεῖν· ἔστι μὲν γὰρ ἐνεργείᾳ ἡ ἡμέρα ὡς ἤδη παροῦσα, δυνάμει δὲ ὡς μὴ ἅμα οὖσα, ἀλλ' ἔτι ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσα.

p. 206a25 Καὶ ἄλλως δὲ ἔν τε τῷ χρόνῳ δῆλον τὸ ἄπειρον καὶ ἐπὶ τῶν ἀνθρώπων καὶ ἐπὶ τῆς διαιρέσεως τῶν μεγεθῶν.

Εἰπὼν πῶς ἔστι· τὸ ἄπειρον, ὅτι τῷ γίνεσθαι ἀπὸ μέρους, ὅπερ ἐπί τε τῆς τῶν μεγεθῶν διαιρέσεως συμβαίνει καὶ ἐπὶ τοῦ χρόνου καὶ τοῦ ἀριθμοῦ (αὔξεται γὰρ καὶ ὁ χρόνος καὶ καθόλου ὁ ἀριθμὸς δυνάμει ἐπ' ἄπειρον, ἐνεργείᾳ δὲ οὐδέποτε. ὥσπερ καὶ ἡ τῶν μεγεθῶν διαίρεσις), ἀλλ' ἔχουσί τινα, φησί, ταῦτα διαφορὰν πρὸς ἄλληλα· ἐπί τε γὰρ τῶν ἀνθρώπων καὶ τοῦ χρόνου, φησίν, ἐπ' ἄπειρον αὐξομένων ἄλλως τὸ ἄπειρον ὑπάρχει καὶ ἄλλως ἐπὶ τῆς τῶν μεγεθῶν διαιρέσεως. εἶτα προθέμενος εἰπεῖν τὴν διαφορὰν αὐτῶν, πρότερον τὴν κοινωνίαν ἐκτίθεται, εἶτα τὴν διαφορὰν αὐτῶν· καί φησιν ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον m 5r
τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμβανόμενον εἶναι μὲν ἀεὶ πεπερασμένον, ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον. τουτέστι καθόλου καὶ κοινῶς ἐν οἷς ὑπάρχει τὸ ἄπειρον, εἴτε ἐν ἀριθμοῖς εἴτε ἐν μεγέθεσιν, οὕτως ὑπάρχει οὐ τῷ ἅμα παρεῖναι, ἀλλὰ τῷ ἀεὶ ἕτερον καὶ ἕτερον αὐτοῦ μόριον λαμβάνεσθαι, καὶ ἀεὶ τὸ ληφθὲν πεπερασμένον μὲν εἶναι, οὐδέποτε δὲ τὸ αὐτὸ ἀλλ' ἀεὶ ἄλλο καὶ ἄλλο. τοῦ γὰρ ἀριθμοῦ αὐξομένου ἀεὶ ἄλλο καὶ ἄλλο ἔστι λαβεῖν μόριον, οἷον τὸ ε' τὸ ι' τὸ ρ' καὶ ἐφεξῆς, καὶ οὔτε ὅλον ἅμα ἔστι λαβεῖν, οὔτε δὶς τὸ αὐτὸ μόριον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς διχοτομίας ἅμα μὲν ὅλον τεμεῖν ἀδύνατον, ἀλλ' ἀεὶ μὲν ἕτερον καὶ ἕτερόν ἐστι τὸ τεμνόμενον, καὶ τὰ τμηθέντα πάντα πεπερασμένα

---

1 μὲν] μὴ M οὕτω t 3 ἀλλὰ] ἀλλ' L: fort. ἀλλ' ὃ ἀεὶ διαμένει (sic; ἰ sit τί h. e. τι) L 5 μὲν om. Mt 8 ἐνέργεια K μὴ L: μία (K)Mt 10 καὶ ἄλλως δὲ LKM: ἄλλως δὲ t: hoc vel καὶ ἄλλως τε Aristotelis libri 11 ἀνθρώπων L et compend. M: ἀριθμῶν t et, si silentio fides, K 13 τῆς] τῖς M 16 τινα post φησί ponit L τῶν om. L 17 αὐξομένου ut vid. M 18 τῆς om. superscr. L: τοῖς M 20 ἐστὶ L: εἶναι KMt 21 τῷ] τὸ KM 21. 22 μὲν ἀεὶ εἶναι πεπερασμένον (vel πεπερασμένον εἶναι) Aristotelis libri 22 ἀλλ^α εἴ γε M 23. 24 εἴτε ἐν μεγέθεσιν om. M μεγέθεσι t 24 οὕτως ὑπάρχει—τῷ ἀεὶ ἕτερον om. Mt 25 μὲν L: om. KMt 26 ἀλλ' ἀεὶ] ἀλλὰ εἰ corr. K et primitus M 27. 28 οἷον—τὸ αὐτὸ μόριον om. Mt 27 ρ̄ K: ō L

www.libtool.com.cn

μόρια. ἡ μὲν οὖν κοινωνία αὕτη. ἀπορήσειε δ' ἄν τις πρὸς τὸν λόγον, πῶς m 5r
φησιν ἀεὶ τὸ λαμβανόμενον τοῦ ἀπείρου μόριον πεπερασμένον εἶναι. ἐπὶ
μὲν γὰρ τοῦ ἀριθμοῦ καὶ τῆς διαιρέσεως τῶν μεγεθῶν ἀρχομένων ἀπὸ
μονάδος ἀληθὴς ὁ λόγος (ἀεὶ γὰρ πεπερασμέναι καὶ αἱ τομαὶ τοῦ μεγέ-
5 θους, καὶ αἱ μονάδες τοῦ ἀριθμοῦ), ἐπὶ δὲ τοῦ χρόνου καὶ τῶν ἀνθρώπων
οὐκέτι· εἰ γὰρ ἀίδιος ὁ κόσμος, οὐ πᾶν μόριον οὔτε τῆς ἀπειρίας τοῦ 10
χρόνου οὔτε τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων λαμβανόμενον πεπερασμένον ἐστίν.
ἐὰν γοῦν λάβω πάντα τὸν γενόμενον χρόνον μέχρι σήμερον ἢ πάντας τοὺς
ἀνθρώπους, οὐκ ἂν εἴη ὁ τούτων ἀριθμὸς πεπερασμένος, μέρους ὄντων τῶν
10 καθ' ἑαυτὰ ἀπείρων. ἢ τοίνυν οὐκ ἄναρχος ὁ κόσμος, ἵνα μὴ ἄπειρος ᾖ
ἐπὶ θάτερα ὁ χρόνος καὶ ὁ τῶν ἀνθρώπων ἀριθμὸς καὶ ἐξῇ λαμβάνειν
ἡμῖν τοῦ ἀπείρου μόριόν τι καὶ αὐτὸ ἄπειρον, ἢ καὶ ἐπὶ θάτερα καίτοι
ἀδυνάτου ὄντος ἢ κατὰ ἀριθμὸν ἐπὶ θάτερα λαμβάνειν ἄπειρον ἢ κατὰ
τὴν διαίρεσιν τῶν μεγεθῶν· εἰ γὰρ ἀριθμὸν ἐξὸν λαβεῖν ἐπὶ θάτερα ἄπει- 15
15 ρον, διεξιτητὸν ἂν εἴη τὸ ἄπειρον (πᾶς γὰρ ἀριθμὸς ἀπὸ μονάδος ἄρχεται,
καὶ μόνως τὸ ἄπειρον ἐπὶ τοῦ ἀριθμοῦ κατὰ θάτερον), καὶ ἄλλως τοῦ Ἀρι-
στοτέλους συμφώνως τῷ ἐπὶ τῶν ἀριθμῶν συμβαίνοντι λέγοντος, ὅτι ἀεὶ
τὸ ληφθὲν τοῦ ἀπείρου πεπερασμένον ἐστί. εἰ οὖν λέγοι τις ὅτι ἐξὸν
λαβεῖν τὸ κατὰ θάτερον ἄπειρον, οὐδὲν ἄλλο λέγει ἢ ὅτι ἐξὸν ἄπειρον
20 ἀριθμὸν ἐνεργείᾳ γενέσθαι· ἀναποδίζοντος γὰρ ἀπὸ τοῦ ἐνεστῶτος ἐνιαυτοῦ
ἐπὶ τὸ παρεληλυθὸς εὑρίσκω ὅτι ἄπειρός τις ἀριθμὸς ἐνιαυτῶν κατ' ἐνέρ- 20
γειαν ἐκβέβηκε. καίτοι ἀδύνατον οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τῇ φύσει, ἄπει-
ρόν τινα διεξελθεῖν ἀριθμόν· ἀδιεξίτητον γὰρ κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ
ἄπειρον. καὶ εἰ τὸ ἐπὶ θάτερον ἄπειρον ἐνδέχεται ἐκβῆναι ἐνεργείᾳ, διὰ
25 τί μὴ καὶ τὸ ἐπὶ θάτερον; καὶ συμβήσεται δὲ οὐ μόνον πολλαπλασιά-
ζεσθαι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀεὶ αὔξεσθαι καὶ ἄπειρον ἀπείρου μεῖζον
εἶναι. τοῦ γὰρ ἀριθμοῦ τῶν ἐνιαυτῶν ἀπείρου ὄντος, ὁ τῶν μηνῶν ἀριθ-
μὸς πολλαπλασιάζει τὸ ἄπειρον· δωδεκάκις γὰρ ἕξει τὸ ἄπειρον. ἀλλὰ 25
μὴν ὁ τῶν ἡμερῶν πολλῷ πλέον, ὁ δὲ τῶν ὡρῶν ἔτι πολὺ μᾶλλον. καίτοι

---

1 ἀπορήσειε κτλ.] ἀπορία ὅτι οὐκ ἂν ἄναρχος εἴη ὁ χρόνος εἰ τὸ λαμβανόμενον τοῦ ἀπείρου ἀεὶ πεπερασμένον schol. marg. M² 2 εἶναι L: ἐστίν KMt 4 καὶ ἐν τομαὶ (sic) K 7 λαμβανόμ$^{\omega\nu}$ (sic) K πεπερασμένον om. M 8 post ἐὰν tres fere literae erasae K γοῦν LK: γὰρ Mt τῆς σήμερον L 9 μέρους LKM: μερῶν t 10 καθεαυτῶν M 11 θάτερα K: θα$^{\tau\varrho}$ LM: θάτερον t. eadem varietas constanter (v. 14 θάτερα KMt) in eis quae sequuntur usque ad v. 25 καὶ ἐξῇ scripsi: καὶ ἕξει (ἕξει M) LKM: ἢ ἔξεστι t λαμβά (sic) L 12. 13 ἢ (scripsi: εἰ LK) καὶ ἐπὶ θάτερα, καίτοι—λαμβάνειν ἄπειρον om. Mt, sed verba ἢ κατ' ἀριθμὸν coniectura supplevit t 14 ἐξὸν LM: ἐξὸν (item v. 18) K: ἔξεστι t 15 διεξίτητον K 16. 17 ἀριστοτέλου K 17 τῷ] τὸ LK 19 ἐξὸν LM: ἐξοῦ K: ἔξεστι t 20 γενέθεν K ἀναποδίζοντι L: expectabam ἀναποδίζων τοῦ L: om. KMt 21 παρεληλυθός] πλ$^{\epsilon}$ελυθὸς M: παραλελυθὸς (LK)t 25 καὶ τὸ] τ^ L ὡς συμβήσεται L 25. 26 πολυπλασιάζεσθαι (item v. 28 πολιπλασιάζει et p. 468,1 πολιπλασιάζεσθαι, at p. 468,3 πολλαπλασιάζεσθαι) M 26. 28 ἀλλὰ—ἄπειρον iterat L 29 ὁ τῶν] ὄντων M ὁρῶν L: ὥρων M πολὺ om. L

www.libtool.com.cn

ἀδύνατον πολλαπλασιάζεσθαι τὸ ἄπειρον. ἀλλὰ μὴν καὶ αὔξεσθαι καθ' ἑκάστην συμβαίνει τὸν τοῦ ἀπείρου ἀριθμὸν τῇ γενέσει τοῦ χρόνου. εἰ τοίνυν ἀδύνατον ἢ αὔξεσθαι ἢ πολλαπλασιάζεσθαι τὸ ἄπειρον, ἢ ἐνεργείᾳ ἄπειρον ἀριθμὸν γενέσθαι, ἀδύνατον ἄναρχον εἶναι τὸν χρόνον. ταῦτα μὲν διὰ τὸ εἰπεῖν Ἀριστοτέλην, ὅτι ἀεὶ τὸ λαμβανόμενον τοῦ ἀπείρου πεπερασμένον ἐστί, καὶ ἀληθῶς γε λέγειν· τῇ γὰρ ἑαυτοῦ φύσει τὸ ἄπειρον ἀδιεξίτητον.

p. 206ᵃ29 Ἔτι τὸ εἶναι πλεοναχῶς λέγεται.

Ἐντεῦθεν μέχρι τοῦ "ἀλλ' ἀεί γε ἕτερον καὶ ἕτερον" οὐκ ἔστιν ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων· τὰ αὐτὰ γάρ εἰσι τοῖς εἰρημένοις ἀπαραλλάκτως· περιγραπτέον οὖν αὐτά.

p. 206ᵃ33 Ἀλλ' ἐν τοῖς μεγέθεσιν ὑπομένοντος τοῦ ληφθέντος τοῦτο συμβαίνει, ἐπὶ τοῦ χρόνου δὲ καὶ τῶν ἀνθρώπων φθειρομένων.

Εἰπὼν τὴν κοινωνίαν τοῦ ἀπείρου τοῦ ἐν τῷ μεγέθει καὶ τῷ ἀριθμῷ, λέγω δὴ τοῦ κατὰ τὴν διαίρεσιν καὶ τὴν αὔξησιν, βούλεται νῦν τὴν διαφορὰν αὐτῶν εἰπεῖν. καί φησιν ὅτι ἐπὶ μὲν τοῦ χρόνου καὶ τῶν ἀνθρώπων τὸ ληφθὲν τοῦ ἀπείρου μέρος φθείρεται καὶ οὐχ ὑπομένει (ἐφθάρη γὰρ πᾶς ὁ παρεληλυθὼς χρόνος καὶ οἱ ἄνθρωποι), ἐπὶ δὲ τῆς διαιρέσεως τῶν μεγεθῶν οὐ φθείρεται τὰ λαμβανόμενα τμήματα, ἀλλ' ὑπομένει, ὅθεν καὶ προστίθεται ἀντεστραμμένως θατέρῳ μορίῳ τοῦ διαιρουμένου.

p. 206ᵇ3 Τὸ δὲ κατὰ πρόσθεσιν τὸ αὐτό ἐστί πως καὶ τὸ κατὰ διαίρεσιν.

Εἰπὼν τήν τε κοινωνίαν καὶ τὴν διαφορὰν τοῦ χρόνου καὶ τῶν ἀνθρώπων (ἀνθρώπους δὲ ὅταν εἴπω, ἁπλῶς πάντα τὰ ἄτομά φημι, τά τε ἐπὶ τῶν ἐμψύχων καὶ τῶν ἀψύχων, ἐκ τοῦ κρείττονος πάντα περιλαμβάνων), εἰπὼν οὖν τοῦ ἀπείρου τοῦ ἐν τούτοις τήν τε κοινωνίαν καὶ τὴν δια-

---

1 post αὔξεσθαι iterat καὶ L 2 συμβαίνει post ἀριθμὸν traic. L 4 ἄπειρον om. L 6 καὶ om. L ἑαυτῷ (hoc enim sibi in M legere visus erat) t 7 ἀδιεξήτητον K 9 ἀλλ' ἀεί κτλ. p. 206ᵃ33 cf. Simplic. p. 495,6 sqq. ἀλλ' ἀεί γε K: ἀλλὰ εἴ γε LMt 10 τὰ γὰρ αὐτά εἰσι L 10. 11 ἀπαραλάκτως K: ἀπαράλακτως (sic) M 12 ἐν μὲν τοῖς e vulgato Aristotele t 13 συμβαίνειν compend. M ἐπὶ τοῦ (τοῦ om. M) χρόνου δὲ καὶ τῶν ἀνθρώπων LKM: ἐπὶ δὲ τῶν ἀριθμῶν καὶ τοῦ χρόνου t cf. Arist. 16 αὔξῖσιν M νῦν] οὖν L 18 τὸ ληφθὲν om. Mt 20 ἀπομένει KM 21 προτίθεται K ἀντεστραμμένα (sic) post διαιρουμένου traic. L διαιρομένου K 22 τῷ αὐτῷ L ἐστί] εἶναι K πῶς libri τὸ (post καὶ) oblitteratum M: οὐ t 24 καὶ (ante τὴν) in ras. L 24. p. 471,5 ἀνθρώπων—αὐτῆς om. L. 26 καὶ τῶν] καὶ τὰ ἐπὶ τῶν t 27 κινωνίαν primitus M

www.libtool.com.cn

φορὰν πρὸς τὸ ἐν τοῖς μεγέθεσι κατὰ διαίρεσιν ἄπειρον, ἐπειδὴ ἔστι καὶ m 5r
τὸ κατὰ αὔξησιν ἄπειρον, διὰ τοῦτό φησιν ὅτι τοῦτο σχεδὸν ταὐτόν ἐστι τῷ κατὰ τὴν διαίρεσιν. ἐὰν γὰρ λάβω πεπερασμένον τι μέγεθος, εἶτα τοῦτο διέλω δίχα, προχόψω δὲ τῇ διχοτομίᾳ ἐπὶ θάτερον, ἐφ' ὅσον κατὰ θάτερον ἡ διαίρεσις γίνεται, ἐπὶ τοσοῦτον ἡ πρόσθεσις κατὰ θάτερον. εἰ οὖν ἡ διαίρεσις ἐπ' ἄπειρον, καὶ ἡ πρόσθεσις ἂν εἴη ἐπ' ἄπειρον, ἀλλ' ἀντεστραμμένως· ὃ γὰρ ἀφαιροῦμεν ἐκείνου, τούτῳ προστίθεμεν. ὥστε ταὐτόν πως τὸ κατὰ διαίρεσιν ἄπειρον τῷ κατὰ πρόσθεσιν· ἐν μιᾷ γὰρ καὶ τῇ αὐτῇ διαιρέσει ἄμφω γίνεται. |

p. 206ᵇ6 Ταύτῃ προστιθέμενον φαίνεται πρὸς τὸ ὡρισμένον. m 5v

Ὡρισμένον ἐκάλεσε τὸ ἥμισυ τοῦ μεγέθους τὸ ἄτμητον μεῖναν, ἤτοι διὰ τὸ ἀδιαίρετον μένειν, ἢ ὅτι εἰ καὶ ἐπ' ἄπειρον ἔχει τὴν αὔξησιν, ἀλλ' οὖν ἀδύνατον παντὸς ὑπερβαλεῖν μεγέθους τὸ αὐξόμενον, ἀλλ' ἔστι τι μεῖζον μέγεθος· οὐ γὰρ ὥσπερ τὸ ἐλάχιστον οὐκ ἔστι λαβεῖν, ἀλλ' ἐπ' ἄπειρον πρόεισι τὸ μειούμενον, οὕτω καὶ τὸ μεῖζον ἐπ' ἄπειρον πρόεισιν, ἀλλ' ὥρισται τὸ μεῖζον ἐν τῷ παντὶ σῶμα, ὁ κόσμος. καὶ διὰ τοῦτο οὖν ὡρισμένον ἐκάλεσε τὸ αὐξόμενον.

p. 206ᵇ7 Ἐν τῷ γὰρ πεπερασμένῳ μεγέθει ἂν λαβών τις ὡρισμένον προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ μὴ τὸ αὐτό τι μέγεθος τῷ λόγῳ περιλαμβάνων, οὐ διέξεισι τὸ πεπερασμένον.

Ἐπειδὴ εἶπεν ὅτι ἡ διαίρεσις ἐπ' ἄπειρον· προϊοῦσα μία οὖσα καὶ ἡ 11
αὐτὴ τὸ μὲν ἐπ' ἄπειρον μειοῖ τὸ δὲ ἐπ' ἄπειρον αὔξει, οὐκ ἐπὶ πάσης δὲ διαιρέσεως τοῦτο συμβαίνει, ὥστε τὸ μὲν ἐπ' ἄπειρον μειοῦσθαι τὸ δὲ ἐπ' ἄπειρον αὔξεσθαι, νῦν λέγει ποία μὲν διαίρεσις ἐπ' ἄπειρον πρόεισι ποία δὲ οὔ. ἐὰν μὲν γάρ, φησί, λαβών τι μέγεθος, οἷον πηχυαῖον, ὡρι-

---

1 ἡ πρὸς (sic) t 1. 3 ἄπειρον, ἐπειδὴ — διαίρεσιν K: om. M: λείπει τί in lac. t 3 ἐὰν in ras. K γὰρ K: om. Mt τι K: τὸ Mt 4 τούτω, ut videtur, M δήχα M ἐπὶ θάτερον (cf. p. 461,23) K: θα^τρ^ (sed antea aliquid oblitteratum) M: θατέρου τμήματος t ἐφ' ὅσον κτλ.] cf. Themist. p. 241,1 sqq. 5 ἡ διαίρεσις γίνεται, ἐπεὶ (sic) — θάτερον iterat M 7 ἀναστρεμμένως K ἀφεροῦμεν M τούτῳ t: τοῦτο KM 8 ταυτό πως εἶναι t πῶς KM μιὰ M 10 plenius lemma H (sic) γὰρ διαιρούμενον ὁρᾶται (sic), ταύτῃ κτλ. t φαίνεται KM: φανεῖται ex Aristotele t 11 μεῖναν K: om. Mt 11. 12 ἤτοι διὰ τὸ K: ἤτοιάδε τὸ M: ἢ τῷ ἀεὶ t 13 πάντος (sic) et αὐξάμενον K 14 ἀλλ' ἐπ'] ἐλλ' ἀπ' err. typogr. t 15 τὸ μερούμενον M 16. 17 ὡρισμένος K 18 τῶ γὰρ K: γὰρ τῷ cum Aristotele Mt ἂν λαβών Mt: ἀναλαβὼν K 19 προσλαμβάνῃ in litura M μὴ τὸ αὐτό t: μὴ τῶ (τὸ M) αὐτῶ KM 19. 20 τῶ λόγω KM: τοῦ ὅλου e vulgato Aristotele t at cf. Arist. libri et Diels z. *Textgesch.* p. 20 20 περιλαμβάνων t: περιλαμβάνω KM 22. 23 πάσης τε M

www.libtool.com.cn

σμένον τι μόριον ἐξ αὐτοῦ τέμῃς, οἷον τὸ δέκατον ἢ τὸ ἥμισυ (ἔστω δὲ m 5v
τὸ ἥμισυ), καὶ πάλιν τὸ καταλειφθέν, λέγω δὴ τὸ ἡμιπηχυαῖον, τῷ αὐτῷ
λόγῳ τέμῃς, τουτέστι τῷ ἡμίσει, καὶ πάλιν τὸ καταλιμπανόμενον διχοτο- 16
μῇς, καὶ τοῦτο ἐπ' ἄπειρον ποιῇς, οὐδέποτε ἐπιλείψει ἡ διαίρεσις, ἀλλὰ
5 τὸ μὲν ἐπ' ἄπειρον μειωθήσεται τὸ δὲ ἐπ' ἄπειρον αὐξήσει· ἐὰν δὲ μὴ τῷ
αὐτῷ λόγῳ τέμνῃς, οἷον ἀεὶ τὸ ἥμισυ ἀφαιρῶν ἤγουν τὸ δέκατον ἢ ἄλλον
τινὰ τὸν αὐτὸν λόγον, ἀλλ' ἀεὶ ὡρισμένον τι μέγεθος ἀφαιρῇς τοῦ τεμνο-
μένου τὸ αὐτὸ μέγεθος μὴ κατὰ τὸν αὐτὸν λόγον λαμβάνων [ἀδύνατον],
καταδαπανήσεις τέμνων τὸ ὅλον, καὶ ἐπιλείψει ἡ τομή. οἷον εἰ μυρίων
10 πηχῶν λάβῃς μέγεθος καὶ τούτου ἀφαιρῇς ἀεὶ ὡρισμένον τι μέγεθος, οἷον 20
δακτυλιαῖον, ἐπιλείψει τὸ ὅλον τεμνόμενον, καὶ οὕτως οὔτε ἡ διαίρεσις οὔτε
ἡ πρόσθεσις ἐπ' ἄπειρον ἔσται. ἀντεστραμμένως δὲ ἔχει τῷ λόγῳ τὸ
μέγεθος· ἐὰν μὲν γὰρ τὸ αὐτὸ μέγεθος ἀεὶ ἀφαιρῇς, οὐ κατὰ τὸν αὐτὸν
λόγον διαιρήσεις, ἀλλὰ ἀεὶ κατὰ μείζονα λόγον, ἐὰν δὲ τὸν αὐτὸν λόγον
15 ἐν τῇ διαιρέσει φυλάττῃς, οὐ τὸ αὐτὸ μέγεθος ἀφαιρήσεις, ἀλλὰ ἀεὶ ἔλαττ-
τον. οἷον εἰ δεκάπηχυ ξύλον εἴη καὶ ἀφέλῃς τούτου τὸ δέκατον, οἷον τὸν
ἕνα πῆχυν, εἰ μὲν ἐκ τοῦ καταλειφθέντος ἀεὶ τὸ ἴσον ἀφαιρῇς μέγεθος, 25
αὔξεις τὸν λόγον (ἐκ γὰρ τῶν ἐννέα πήχεων πῆχυν ἀφελὼν οὐκέτι τὸ δέ-
κατον ἀφελεῖς, ἀλλὰ τὸ ἔνατον, μείζων δὲ ὁ τοῦ ἐνάτου λόγος πρὸς τὸ
20 ὅλον ἢ ὁ τοῦ δεκάτου· ὁμοίως ἐὰν ἐκ τῶν καταλειφθέντων ὀκτὼ πήχεων
τὸν πῆχυν ἀφέλῃς, πάλιν αὔξεις τὸν λόγον· ὄγδοον γὰρ ἀφεῖλου. καὶ
οὕτως ἀεὶ ποιοῦντος ἐπιλείψει ἡ διαίρεσις), ἐὰν δὲ ἐκ τοῦ δεκαπήχεος
ξύλου ἀφελὼν τὸν πῆχυν, τουτέστι τὸ δέκατον, ἐκ τῶν καταλειφθέντων
ἐννέα πηχῶν τὸν αὐτὸν λόγον ἀφελεῖν βουλήσῃ, οὐκέτι πηχυαῖον ἀφαι- 30
25 ρήσεις μέγεθος, ἀλλ' ἧττον· καὶ οὕτως ἀεὶ ποιῶν τὸν αὐτὸν μὲν φυλάτ-
των λόγον ἐν τῇ τομῇ, οὐ τὸ αὐτὸ δὲ μέγεθος ἀφαιρῶν, οὐδέποτε κατα-
δαπανήσεις τὸ ὅλον.

p. 206b12 Ἄλλως μὲν οὖν οὐκ ἔστιν, οὕτως δὲ ἔστι τὸ ἄπειρον, δυνάμει τε καὶ ἐπὶ καθαιρέσει.

30 Ὅτι γὰρ ἐνεργείᾳ οὐκ ἔστιν ἄπειρόν τι σῶμα, δέδεικται, δυνάμει δὲ 35

---

1 μόριον t: μόνον KM cf. ad p. 489,21 2 ἡμιπηχυαῖον scripsi: ἡμιπύχαιον K: ἡμισυπηχυαῖον M: ἥμισυ πηχυαῖον t 3 τὸ ἡμίσει M 4 καὶ om. t 4. 5 ποιῇς—τὸ δὲ ἐπ' ἄπειρον K: om. Mt 5 αὐξήσει KM: αὐξήσεις t δὲ μὴ scripsi: δὲ K: μηδὲ Mt 6 τέμῃς t ἤγουν KM: ἢ t 7 τίνα libri ἀφαίρῃς K 8 τὸ αὐτὸ μέγεθος οἷον δακτυλιαῖον (ex v. 10) μὴ Mt ἀδύνατον delevit t 12 πρόθεσις libri 13 ἐὰν μὲν—μέγεθος om. K ἀφαιρῇς scripsi: διαίρῃς K: διαιρῇς Mt 16 ἀφέλῃς t: διέλῃς KM: fortasse ἀφέλοις, at cf. p. 324,18. p 3r30 sqq.? τοῦτου M 17 ἀφαιρῆς K: ἀφέλῃς Mt 18 αὔξει M 19 ἀφελεῖς Mt: ἀφελῇς K ἔνατον KM: ἔνατον t μεῖζον Mt ἐνάτου M: ἐννάτου K: ἐννάτου t λόγος K: λόγος μέρος Mt πρὸς τὸ K: πρὸς τὸν Mt 20 πηχέων K 21 λόγον K: ὅλον Mt ἀφεῖλου Mt: ἀφεῖλον (sic) K 22 ἐὰν] fort. εἰ 24 τῶν ἐνέα (ἐννέα t) Mt βουλήσει K 25. 26 φυλλάττων M 28 δ' ἔστι t 29 ἐπικαθαιρέσει KM 30 δέδικται K

www.libtool.com.cn

ἔστι, φησί, τὸ ἄπειρον. πῶς δὲ δυνάμει, προσέθηκεν, ὅτι τὸ ἐπὶ τὴν διαί- m 5ᵛ
ρεσιν ἄπειρον, ὅπερ ταὐτόν ἐστι τῷ ἐπὶ τὴν πρόσθεσιν ἀπείρῳ ἀντεστραμμένως, ὡς ἤδη εἴρηκεν. οὐ μόνον δέ, φησί, δυνάμει ἔστι τὸ ἄπειρον, ἀλλὰ καὶ ἐνεργείᾳ. ὥσπερ τὴν ἡμέραν λέγομεν ἐνεργείᾳ παρεῖναι, οὐ τῷ πᾶσαν
5 ἅμα εἶναι, ἀλλὰ τῷ μόριόν τι αὐτῆς, ὁμοίως δὲ καὶ τὰ Ὀλύμπια παρεῖναι ἐνεργείᾳ τῷ μόριόν τι αὐτῶν ἐνεργείᾳ εἶναι, ἢ πυγμὴν ἢ πάλην ἢ ἕτερόν τι· οὕτως δὲ καὶ τὴν ἐπ' ἄπειρον διαίρεσιν ἐνεργείᾳ παρεῖναι, οὐ τῷ ἅμα πᾶσαν εἶναι, ἀλλὰ τῷ μόριόν τι διαιρεῖσθαι. εἶτα ἐπειδὴ τὸ αὐτὸ καὶ δυνάμει εἶπεν εἶναι καὶ ἐνεργείᾳ, καὶ ὅπως μὲν ἔστιν ἐνεργείᾳ, ἐπιστώ-
10 σατο ἐκ τοῦ κατὰ τὴν ἡμέραν καὶ τὸν ἀγῶνα παραδείγματος, πῶς δὲ τὸ αὐτὸ τοῦτο δυνάμει ἔστιν, οὐκέτι κατεσκεύασε, διὰ τοῦτο ἀναλαμβάνει τὸν περὶ τοῦ δυνάμει λόγον, καί φησιν ὅτι οὕτως δυνάμει λέγω τὸ ἐπ' ἄπειρον διαιρετόν, ὥσπερ καὶ τὴν ὕλην λέγομεν δυνάμει εἶναι πάντα τὰ εἴδη. ὥσπερ οὖν ὅταν λέγωμεν τὴν ὕλην πάντα εἶναι δυνάμει, οὐ τοῦτό φαμεν ἢ ὅτι
15 πάντα ἅμα ποτὲ ἐνεργείᾳ γενήσεται, ἢ ὅτι οὐδὲν εἶδος ἔχει ἐνεργείᾳ, ἀλλ' ὅτι ἔχει μέν τι εἶδος ἐνεργείᾳ, πέφυκε δὲ καὶ πάντα δέχεσθαι κατὰ μέρος, ἅμα δὲ οὐδέποτε, οὕτω καὶ τὸ δυνάμει ἐπ' ἄπειρον διαιρετόν, ὅτι δύναται μὲν ἐπ' ἄπειρον διαιρεῖσθαι, κατὰ μέρος μέντοι ἀεὶ ὑπάρχουσιν αἱ διαιρέσεις, ἅμα δὲ οὐδέποτε.

20 p. 206ᵇ15 Καὶ οὐ καθ' αὑτὸ πεπερασμένον.

Ὥσπερ γὰρ ἡ ὕλη εἰ καὶ δέχεται τὸ εἶδος, ἀλλ' οὐ καθ' αὑτὸ καὶ ἐν τῷ λόγῳ τῆς οὐσίας αὐτῆς ὑπάρχει τὸ εἶδος, ἀλλ' οἷον ἐπισυμβέβηκε τῇ οὐσίᾳ αὐτῆς, οὕτω δὲ καὶ τῷ ἀπείρῳ ὑπάρχει τὸ πεπερασμένον οὐ καθ' αὑτό· εἰ γὰρ καὶ συνέβη τὸ ἐπ' ἄπειρον διαιρετὸν πεπερασμένον εἶναι,
25 οὐχ ᾗ τὸ ἄπειρον ἔχει ταύτῃ πεπέρανται, ἀλλ' ᾗ ἐπισυμβέβηκε τῷ ἀπείρῳ τὸ πεπερασμένον. ὡς γὰρ αὐτὸς ἐφεξῆς ἐρεῖ, ἡ ὕλη ἐστὶ τοῦ μεγέθους τὸ ἄπειρον, εἰσόμεθα δὲ ἐν ἐκείνοις.

p. 206ᵇ16 Καὶ κατὰ πρόσθεσιν δὴ οὕτως ἄπειρον δυνάμει ἐστίν. | m 6ʳ

Ἐπειδὴ ὡς ἐπὶ τοῦ κατὰ διαίρεσιν ἀπείρου τὸν λόγον ἐποιήσατο, διὰ

---

2 πρόσθεσιν t: πρόθεσιν KM 3 ὡς om. M 4 οὐ τῷ t: οὕτω M: οὕτως K
5 ὁμοίως κτλ.] hinc rursus L cf. ad p. 468,24 6 ἢ πάλην t: ἢ πάλιν K et compend. M: om. L 7 οὕτω t τὴν ἐπ' Lt: ἐπὶ τὴν ἐπ' (si recte hoc adnotavi) KM
οὐ τῷ] οὕτω M 8 πᾶσαν K: πᾶσιν L: π̄σ̄σ (charta perforata) M: πῶς t τὸ et
mox εἶπεν om. L 12 οὕτω t 14 τοῦτ M φάμενον compend. M
15 γεννήσεται M οὐδὲ L 15. 16 ἀλλ' ὅτι — ἐνεργείᾳ om. L 16 τι] τὸ M
καὶ om. superscr. L 17 δύναται LKM: ἀδύνατον t 20 ὡς τὸ πεπερασμένον L
Aristoteles (praeter E). at cf. Simplic. p. 497,27 23 τὸ LK: τῷ Mt 25 πεπέρανται L: πεπέρασται KMt ᾗ alterum om. L 26 ἐφεξῆς p. 207ᵃ21 ἡ om. L
27 εἰσόμεθα t: ἐσόμεθα LKM 28 πρόθεσιν M ἐστί M

www.libtool.com.cn

τοῦτο προσέθηκεν ὅτι ὡσαύτως ἐροῦμεν καὶ ἐπὶ τοῦ κατὰ τὴν πρόσθεσιν m 6r
ἀπείρου· ὁμοίως γὰρ ἔσται καὶ δυνάμει καὶ ἐνεργείᾳ, ὥσπερ ἐκεῖνο. διὰ
τί δὲ οἱ αὐτοὶ καὶ ἐπὶ τούτου ἁρμόζουσι λόγοι, τὴν αἰτίαν ἐποίησατο, ἣν
ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηκεν, αὕτη δέ ἐστιν ὅτι τὸ αὐτὸ τρόπον 5
τινά ἐστι τῷ κατὰ τὴν διαίρεσιν. πῶς δὲ τὸ αὐτό, εἴπομεν, ὅτι μιᾷ
καὶ τῇ αὐτῇ διαιρέσει τῷ μὲν προστίθεται τοῦ δὲ ἀφαιρεῖται. εἰ τοίνυν τὸ
αὐτό ἐστι, τὰ αὐτὰ ἂν ἁρμόσοι καὶ ἐπ' αὐτοῦ λέγειν. ἀλλ' οὐ καθάπαξ
τὸ αὐτό· διὰ τοῦτο γὰρ καὶ προσέθηκε τρόπον τινά. τίς οὖν ἡ διαφορά,
προστίθησιν.

p. 206ᵇ17 Ἀεὶ μὲν γάρ τι ἔξω ἔσται λαμβάνειν, οὐ μέντοι ὑπερβάλλει παντὸς μεγέθους, ὥσπερ ἐπὶ τὴν διαίρεσιν ὑπερβάλλει παντὸς ὡρισμένου. 10

Εἰ καὶ κοινόν, φησί, τῷ διαιρουμένῳ καὶ ᾧ τὸ διαιρεθὲν προστίθεται 16
τὸ ἀεί τι τοῦ γενομένου ἔξω εἶναι λαβεῖν ἕτερον (ἀεί τε γὰρ ἔξω τῆς διαι-
ρέσεως ἔστιν ἑτέραν διαίρεσιν λαβεῖν, καὶ τῆς προσθέσεως ὁμοίως ἀεὶ ἔστιν
ἔξω ἑτέραν προσθήκην ποιήσασθαι, ὅταν τῷ αὐτῷ λόγῳ ἡ διαίρεσις γίνη-
ται, ὡς ἤδη εἴπομεν), ἀλλ' οὖν ἔστι τις διαφορὰ ἔν τε τῷ αὐξομένῳ καὶ
ἐν τῷ μειουμένῳ, διότι τὸ μὲν μειούμενον ἐπ' ἄπειρον ἐνδέχεται μειοῦ- 20
σθαι (οὐκ ἔστι γὰρ ἐλάχιστον μέγεθος, διότι πᾶν μέγεθος διαιρετόν, καὶ
διὰ τοῦτο ἔστι παντὸς ὡρισμένου μεγέθους τὸ ἔλαττον λαβεῖν, καὶ οὐδέ-
ποτε ἐπιλείπει ἡ μείωσις), ἐπὶ μέντοι τοῦ αὐξομένου οὐκ ἐνδέχεται παντὸς
ὡρισμένου μεγέθους τὸ αὐξόμενον ὑπερβαλεῖν· ἔστι γὰρ τὸ μέγιστον ἐν
τῷ παντὶ σῶμα ὁ κόσμος, οὗ μεῖζον μέγεθος ἀδύνατον εἶναι. ὥστε παντὸς
μὲν ὡρισμένου μεγέθους δυνατὸν λαβεῖν τὸ ἔλαττον, εἰ καὶ μὴ ἐνεργείᾳ,
ἀλλ' οὖν δυνάμει, παντὸς δὲ ὡρισμένου μεγέθους τὸ μεῖζον λαβεῖν οὐδὲ
δυνάμει ἐνδέχεται· τοῦ γὰρ οὐρανοῦ οὐδὲ δυνάμει ἐνδέχεται μεῖζον εἶναί 25
τι σῶμα. δέδεικται γὰρ ὅτι ἀδύνατον εἶναί τι σῶμα ἄπειρον, οἷον οἱ φυσι-
κοὶ ἔλεγον εἶναι, ἔξω τοῦ οὐρανοῦ, ὅπερ ἢ ἀέρα ἢ ὕδωρ ἢ ἄλλο εἶναι
ἔλεγον. εἰ τοίνυν δέδεικται ὅτι τὸ οὕτως ἄπειρον ἀδύνατον εἶναι, δῆλον ὅτι
οὐδὲ δυνάμει ἐνδέχεται παντὸς ὡρισμένου μεῖζον λαβεῖν. τοῦτο γὰρ συνέ-
βαινε μὲν εἰ οἷόν τε ἦν ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα· τὸ μὲν γὰρ παντὸς

---

1 πρόθεσιν Mt 2 ὥσπερ ἐκεῖνο LKM: ὡς παρ' ἐκείνῳ t 4 ἔμπροσθεν p. 206ᵇ3 τὸ αὐτὸ Lt: τὸν αὐτὸν KM 5 τῷ Kt: τὸ L: τῶν M τὴν om. L 6 τῷ μὲν] τοῦ μὲν KM ἀφαιρεῖται L: ἀφαιρεῖ KMt 7 ἁρμόσοι L: ἁρμόσει K: ἁρμόση M: ἁρμόσειε t cf. ad p. 406,6 8 post γὰρ rasura K 10 τι αὐτοῦ ex Aristotelis vulgata t 11 ὡρισμένου μεγέθους t καὶ ὑπερβάλλει t 12 παντὸς (sic) K 13 διαιρεθὲν L: διαιρετὸν KMt 14 τι post εἶναι traicit L ἕτερον ἀεὶ. τὴν γὰρ ἔζω L 15 διαίρεσιν] ἔξω L προθέσεως Mt ἔστιν (post ἀεὶ) LK: τι Mt 16. 17 γίνεται Mt 17 αὐξουμένω M 18 μὲν μειουμένον (sic) t 19 διαιρετῶ M 22 ἀπολαβεῖν L 24 τὸ ἐπ' ἔλαττον L 26 τοῦ γὰρ—ἐνδέχεται bis scripsit, priore loco delevit K 27 ὅτι om. Mt 28 ὅπερ ἢ ὕδωρ ἢ ἀέρα ἢ ἄλλο τι εἶναι L 29 prius ὅτι om. L 30 οὐδὲ om. superscr. M 30. 31 συνέβαινεν (L)t 31 μὲν] fort. μόνον εἶναι om. L

www.libtool.com.cn

ὡρισμένου ἔλαττον λαμβάνειν, εἰ καὶ μὴ δυνατὸν ἐνεργείᾳ εἶναι, ἀλλ' οὖν m 6r
γε ὅσον ἐπὶ τῇ φύσει τῶν μεγεθῶν οὐκ ἀδύνατον, εἴ γε πᾶν μέγεθος
εὐθὺς καὶ διαιρετόν, τὸ μέντοι παντὸς ὡρισμένου μεῖζον λαμβάνειν διὰ τὸ
μὴ δύνασθαι εἶναι ἄπειρον σῶμα οὐδὲ δυνάμει ἐνδέχεται εἶναι.

p. 206ᵇ27 Ἐπεὶ καὶ Πλάτων διὰ τοῦτο δύο τὰ ἄπειρα ἐποίησεν, ὅτι καὶ ἐπὶ τὴν αὔξησιν δοκεῖ ὑπερβάλλειν καὶ εἰς ἄπειρον.

Διὰ τοῦτο, φησί, διότι τὸ ἄπειρον ἐπὶ τὴν διαίρεσίν ἐστι καὶ ἐπὶ τὴν αὔξησιν, διὰ τοῦτο καὶ ὁ Πλάτων δύο τὰ ἄπειρα ἐποίει, τὸ μέγα καὶ τὸ μικρόν, ὧν τὸ μέγα μὲν τὸ ἐπὶ τὴν αὔξησιν ἔλεγε, τὸ μικρὸν δὲ τὸ ἐπὶ τὴν ἀντεστραμμένην ταύτῃ διαίρεσιν.

p. 206ᵇ30 Ποιήσας μέντοι δύο οὐ χρῆται.

Ἐγκαλεῖ τῷ Πλάτωνι, ὅτι δύο λέγων εἶναι τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν, οὐδετέρῳ χρῆται ἐν ταῖς ἀρχαῖς. ἀρχαὶ δὲ κατ' αὐτὸν οἱ ἀριθμοί, οὐκ ἔστι δὲ ἐν τοῖς ἀριθμοῖς τούτοις οὔτε τὸ κατὰ διαίρεσιν ἄπειρον, οὔτε τὸ κατὰ πρόσθεσιν. τὸ μὲν γὰρ κατὰ διαίρεσιν ἄπειρον οὐκ ἔχουσιν οἱ ἀριθμοί (ἵσταται γὰρ ἡ τομὴ εἰς τὴν μονάδα), τὸ δὲ κατὰ πρόσθεσιν ἐπ' ἄπειρον αὔξεσθαι αὐτὸς οὐ δίδωσι· μέχρι γὰρ δεκάδος αὔξεσθαί φησι τὸν ἀριθμόν, τὴν δὲ δεκάδα αὐτὴν εἰς ἑαυτὴν ἀνακυκλεῖσθαι. σημειωτέον δὲ ὅτι αὐτὸς ἐν τοῖς ἔμπροσθεν ἔλεγε τὸ μέγα καὶ τὸ μικρὸν τὸ ἀόριστον καὶ τὴν ὕλην σημαίνειν τῷ Πλάτωνι, νῦν δὲ ὡς ἐπὶ τῶν ἀριθμῶν αὐτοῦ λέγοντος, οὕτως ἐπιλαμβάνεται τοῦ λόγου, ὡς δηλονότι πανταχοῦ τὸ φαινόμενον ἐλέγχει καὶ οὐ τὴν διάνοιαν τῶν ἀρχαίων.

p. 206ᵇ33 Συμβαίνει δὲ τοὐναντίον εἶναι ἄπειρον ἢ ὡς λέγουσιν.

Δείξας πῶς μὲν ἔστι τὸ ἄπειρον πῶς δὲ οὐκ ἔστιν, ὅτι, ὡς μὲν οἱ φυσικοὶ ἔλεγον, οὐκ ἔστιν ἄπειρόν τι σῶμα ἐπὶ τὴν ἔκτασιν, κατὰ διαίρεσιν δὲ καὶ τὴν ἀντεστραμμένην πρόσθεσιν ἔστι, νῦν βούλεται καὶ τὸν τοῦ ἀπείρου ὅρον ὃν ἀπεδίδοσαν οἱ φυσικοὶ ἐλέγξαι. ἐκεῖνοι μὲν γὰρ ὁριζόμενοι τὸ

---

1 εἶναι ἐνεργείᾳ Mt 2 πᾶν (sic) M 3 ὡρισμένον K λαμβάνει (LKM)t
5 ἐποίησε Mt 6 ὅτι καὶ L: καὶ (om. ὅτι) KMt αὔξην Aristoteles ὑπὲρβάλλει M 7 alterum ἐπὶ om. L 8 ἐποίει τὰ ἄπειρα L τὸ prius om. Mt
9 τὸ (post μὲν) om. L 10 ταύτ^ (^ saepe librario est non ην sed η; cf. p. 478,17. 475,24 ταύτ^. 479,13 δεκτ^. 476,5 ἡ ὕλ^) M 12 λέγοντι L 13 ἀρχαὶ L cum Themist. p. 242,1: ἀρχὴ (ἀρχῇ K) KMt 14 οὐκ εἶναι L 15. 17 οὐκ—ἐπ' ἄπειρον om. L 17 αὔξασθαι utrobique K αὐτὸς κτλ.] cf. Themistius 17. 18 τὸν ἀριθμόν φησι L 18 ἀνακεκλεῖσθαι M: ἀνακλεῖσθαι K σημειοτέων (sic) t 19 ἔμπροσθεν ex gr. A 4 p. 187ᵃ17. Γ 4 p. 203ᵃ15 20 ἐπὶ] ἀπὸ M 21 οὕτως] αὐτοῦ L ὦ δηλονότι ὡς L 21. 22 φαινόμενος K 22 ἐλέγχο M ἀρχῶν K 23 lemma om. K 24 ὅτι K: om. LMt 26 ἀνεστραμμένην (LK)Mt 27 ὅρον] λόγον L

www.libtool.com.cn

ἄπειρον ἔλεγον ὅτι ἄπειρόν ἐστι οὗ μηδὲν ἔστι λαβεῖν ἔξω, ἐγὼ δέ, φησί, m 6r
τοὐναντίον φημὶ ὅτι ἄπειρόν ἐστιν οὗ τοῦ ληφθέντος ἀεί τι ἔστι λαβεῖν
ἔξω. τεκμήριον δὲ τούτου ποιεῖται καὶ τὴν κοινὴν συνήθειαν, λέγω δὴ τοῦ
τὸ ἄπειρον τοῦτ' εἶναι οὗ ἀεί τι ἔστι λαβεῖν ἔξω. τοὺς γὰρ δακτυλίους,
5 φησί, τοὺς μὴ ἔχοντας σφενδόνην ἀπείρους καλοῦσι, διότι μὴ ἔχουσιν
ὡρισμένον τι πέρας· ἡ γὰρ σφενδόνη ἡ ἀνομοειδὴς οὖσα τῷ ὅλῳ οἷον
πέρας ἐστὶν ἡ ἀρχή, ὅσοι δὲ μὴ ἔχουσι | σφενδόνην, οὓς καλοῦσι κρίκους, m 6v
ὁμοιομερεῖς ὄντες ἑαυτοῖς οὐκ ἔχουσι πέρας τι ὡρισμένον, ἀλλ' ἀεὶ τοῦ
ληφθέντος μόριον ἔστι τι ἔξω ὁμοειδὲς λαβεῖν. καὶ διὰ τοῦτο, ἐπειδὴ
10 ἔχουσί τινα πρὸς τὸ ἄπειρον ὁμοιότητα, ἀπείρους τοὺς τοιούτους καλοῦσιν.
ἀλλὰ γὰρ οὐ πάντῃ τῷ ἀπείρῳ ἐοίκασιν· οὐ γὰρ δὴ τοῦτο μόνον ὑπάρχειν
δεῖ τῷ ἀπείρῳ, τὸ ἀεί τι αὐτοῦ ἔξω εἶναι τοῦ λαμβανομένου, ἀλλὰ καὶ τὸ
μηδέποτε δὶς τὸ αὐτὸ λαμβάνειν, ὅπερ οὐχ ὑπάρχει τῷ δακτυλίῳ· πολ- 5
λάκις γὰρ τὸ αὐτὸ λαμβάνομεν, ὅσας ἂν καὶ τὰς περιστροφὰς ποιησώμεθα.
15 ἔτι, φησί, καλοῦσι τὸ ἄπειρον τέλειον καὶ ὅλον καὶ πάντα περιέχον,
σεμνύνοντες αὐτὸ ταύτῃ, ἐγὼ δὲ τοὐναντίον φημὶ ⟨ὅτι⟩, εἰ καὶ ὅλον καὶ τέλειον,
οὐκ ἄπειρον· ὅλον μὲν γάρ ἐστιν οὗ μηδέν ἐστιν ἔξω τῶν συμπληρούντων
αὐτό, οἷον ἄνθρωπον ὅλον φαμὲν οὗ μηδὲν ἄπεστι τῶν μορίων, τὸ δὲ ἄπει-
ρον ἐλέγομεν οὗ ἀεί τί ἐστιν ἔξω. ἀλλὰ καὶ τὸ τέλειον, φησίν, ἤτοι ταὐ-
20 τόν ἐστι τῷ ὅλῳ ἢ ἐγγύς· ἀγῶνα γὰρ τέλειόν φαμεν τὸν εἰς τέλος ἀνυ- 10
σθέντα, καὶ ᾧ μηδὲν ἐλλείπει τῶν συμπληρούντων αὐτόν, καὶ τέλειον ἄν-
θρωπον τὸν εἰς τὸ τέλος τῆς φύσεως ἀφιγμένον, καὶ λέγω δὴ τὰς τελείας
τε καὶ ἐσχάτας τῆς φύσεως ἐνεργείας, εἰς ἃς τὸ ἔργον τῆς φύσεως ἀπο-
τελευτᾷ, τὸ δὲ ἄπειρον ἐναντίως ἔχει· ἄπειρον γάρ ἐστιν οὗ μηδέν ἐστι
25 πέρας, ἀλλ' ἀεί τι ἐλλείπει ἔξω. συμπλέκει οὖν ἐκ τούτων συλλογισμὸν
τοιοῦτον· τὸ ὅλον τέλειον, τὸ τέλος ἔχον πέρας ἔχει, τὸ πέρας ἔχον οὐκ
ἄπειρον, τὸ ὅλον ἄρα οὐκ ἄπειρον. ὥστε πάλιν εἰς τοὐναντίον περιῆλθεν 15
αὐτοῖς ὁ λόγος· ἐκεῖνοι μὲν γὰρ τέλειον καὶ ὅλον ἔλεγον εἶναι τὸ ἄπειρον,
αὐτὸς δὲ τοὐναντίον ἔδειξεν ὅτι, εἰ τέλειον καὶ ὅλον, οὐκ ἄπειρον. δείξει
30 δὲ ἐφεξῆς καὶ ὅτι οὐ περιέχει πάντα, ὡς αὐτοὶ ἔλεγον, ἀλλὰ τοὐναντίον
περιέχεται, καὶ ὅτι ἐν μορίου μᾶλλον λόγῳ τὸ ἄπειρον ἢ ἐν ὅλου.

---

1 λαβεῖν τι ἔξω fortasse recte (cf. ad p. 151,26) L 2 ληφθέτος (sic) t λαβεῖν om. L 3. 4 τεκμήριον—λαβεῖν ἔξω om. Mt 3 τούτου L: τούτον K 4 εἶναι L: ἐστιν K 5 φασὶ L 6 τι ὡρισμένον L alterum ἡ om. fortasse recte L 7 ἐστὶ καὶ ἀρχή L 8 ὄντας t 9 μέν ἐστί τι ἔξω μόριον L 11 ἀλλὰ] ἄλλως t ἀπείρωσοἴκασιν K οὐ γὰρ γὰρ δὴ L 12 καὶ om. K 14 ὅσα KM 15 πάντα om. L 16 ταύτῃ] ἤγουν οὕτως superscr. M² ὅτι addidi καὶ ὅλον iterant Mt καὶ (ante ὅλον) om. fortasse recte L 19 τὸ τέλος φασὶν L 21 αὐτῶν K 22 ἀφιγμένον τῆς φύσεως L καὶ deleverim 23 αἰσχάτας primitus M 23. 24 ἀποτελευτᾶ t: ἀπὸ τελευτᾶ M: ἀποτελεῦ K: τελευτᾶ L 25 ἐλλείπειν L: ἐλλειπεῖν K γοῦν L 26 ἔχει] ἔχει (h. e. corr. ἔχειν) M 27 ἄρα om. Mt τὸ ἐναντίον Mt 28 καὶ ὅλον om. L 29 αὐτὸς LK: αὐτὸ Mt τέλιον M καὶ om. K δείξαι primitus K 30 ἐφεξῆς p. 207a25 31 μᾶλλον ἐν μορίου Aristoteles ὅλου (L)t: ὅλω KM

www.libtool.com.cn

διὰ τοῦτο οὖν, φησί, βέλτιον οἰητέον τὸν Παρμενίδην τοῦ Μελίσσου m 6v λέγειν. Μέλισσος μὲν γάρ, φησί, τὸ ὅλον ἄπειρον εἶπε τὰ ἀσύγκλωστα συγκλώθων, Παρμενίδης δὲ πεπεράνθαι τὸ ὅλον φησί· μεσσόθεν γὰρ εἶναί φησιν ἰσοπαλές, τουτέστιν ἴσον ἐκ τοῦ μέσου πανταχόθεν ἀπέχον, ἵνα σφαιρικὸν αὐτὸ δείξῃ, τὸ δὲ σφαιρικόν, καὶ πᾶν ἁπλῶς ὃ ἐσχημάτισται, πεπερασμένον ἐστί.

Ταῦτα εἰπών, ἐφεξῆς τὴν αἰτίαν τῆς πλάνης αὐτῶν ἐκτίθεται, δι' ἣν εἰς ταὐτὸν ἤγαγον τῷ τελείῳ καὶ ὅλῳ τὸ ἄπειρον. φησὶ γὰρ ὅτι ἡ ὕλη καθ' αὑτὴν ἀόριστος οὖσα, καὶ ἄπειρός ἐστιν, ἄπειρος δὲ λέγω, διότι μηδένα ὅρον ἔχει οἰκεῖον μηδὲ εἶδος, τοὐναντίον δὲ καὶ τοῖς εἴδεσι σκεδασμοῦ καὶ ἀοριστίας καὶ τῆς ἐπ' ἄπειρον διαιρέσεώς ἐστιν αἰτία. ἀμερεῖς γὰρ ὄντας τοὺς λόγους τῶν εἰδῶν καθ' αὑτοὺς δεξαμένη διίστησι· τὸν γὰρ τοῦ μεγέθους λόγον ἀμερῆ ὄντα τῷ οἰκείῳ λόγῳ δεξαμένη καὶ διαστήσασα εἰς ἀοριστίαν ἐξήγαγε, καὶ τῆς ἐπ' ἄπειρον τομῆς αἰτία αὐτῷ γέγονεν· ὁμοίως δὲ καὶ τοῖς ἄλλοις εἴδεσιν ἢ ἧττον ἢ μᾶλλον σκεδασμοῦ αἰτία γέγονεν. ἡ μὲν οὖν ὕλη τοιαύτη, τὸ δὲ εἶδος πέρας τί ἐστι καὶ ὅλον· περατοῖ τε γὰρ καὶ περιγράφει τὴν ὕλην, καὶ ὅλον τι καὶ τέλειον ποιεῖ ᾧ ἂν παραγένηται. τὸν γὰρ χαλκὸν ὡς ὕλην ὄντα χαλκῶν σκευῶν, καὶ κατὰ τοῦτο ἀόριστόν τινα ὄντα καὶ οὐκ ἂν ὅλον ἢ τέλειον κληθέντα, παραγενόμενον τὸ τοῦ τρίποδος ἢ τὸ τοῦ ἀνδριάντος εἶδος ἐν πλείονι ἢ ἐλάττονι περιορίζει καὶ τέλειόν τι πρᾶγμα καὶ ὅλον ποιεῖ, ἀνδριάντα ὅλον ἢ λέβητα ὅλον. οὕτως οὖν καὶ ἐπὶ τῆς ὕλης κυριώτερον ἢ καὶ τῶν εἰδῶν λεχθείη ἄν. ἐπεὶ οὖν ὅλον μέν τι καὶ τέλειον τὸ εἶδος, ἡ δὲ ὕλη ἀόριστός τε καὶ ταύτῃ ἄπειρος, ἔστι δὲ ἡ ὕλη δυνάμει τὰ εἴδη, πολλάκις δὲ τὰ δυνάμει τοῖς τῶν ἐνεργείᾳ ὄντων ὀνόμασι καλοῦμεν (τὸν γοῦν χαλκόν φαμεν ἀνδριάντα εἶναι, μήπω πολλάκις τὸ εἶδος ἀπειληφότα, καὶ τὸ ξύλον κλίνην, τοὺς πυροὺς ἄρτον, καὶ τὸ σπέρμα ἄνθρωπον), διὰ τοῦτο ἐκεῖνοι, ἅπερ τῷ εἴδει προσήκει, ταῦτα τῆς ὕλης κατηγόρησαν, διὰ τὸ εἶναι αὐτὴν δυνάμει πάντα. ὅτι δὲ ἐν τῇ ὕλῃ τὸ ἄπειρον, δῆλον ἐκ τῆς τῶν μεγεθῶν διαιρέσεως· οὐ γὰρ κατὰ τὸ εἶδος γίνεται ἡ διαίρεσις. φυλάττονται γοῦν καὶ μετὰ τὴν διαίρεσιν τὸ τοῦ χαλκοῦ ἢ τὸ τοῦ ξύλου ἢ τὸ τῆς σαρκὸς εἶδος, ἀλλὰ κατὰ τὸ ὑποκείμενον, ἐν ᾧ καὶ τὸ εἶδος τὴν διάστασιν ἔσχεν. ἄπειρος μὲν οὖν

---

1 τὸν om. Mt cf. Arist. 3 συγκλωθῶν K qui mox μεσόθεν τὸ ὅλον πεπεράνθαι L 3. 4 μεσσόθεν—φησιν om. L 4 φησιν Parmen. v. 103 K., 107 St. 5 ἵνα σφαιρικῶ M 9 ἄπειρος δὲ (diserte) K et t: ἄπειρ δὲ M: ἄπειρον δὲ L 10 ὅρον hic et saepe M 10. 11 σκεδασμοῦ non satis clare M: γρ. σκεδασμοῦ superscr. M² 11 αἴτια K 12 διείστησιν K 14 ἀοριστίαν K: ἀοριστίας (L)Mt 16. 17 περατοῖ τε t: περατοῖ (om. τε) L: περατοῦται KM 17 τι om. L ᾧ] ὡς L 19 τοῦτον M ὅλον (ex ὅλως ut videtur corr.) ἢ τέλος L 20 τὸ (post ἢ) om. K 21 ποιεῖ M λεβῆτα LMt 22 ἢ om. L 23 ὅλον μέν om. Mt τι om. superscr. M ἀόριστότε M 24 ἄπειρος LK: ἐπ' ἄπειρον Mt 25. 26 φαμὲν post ἀνδριάντα traic. L 26 κλίνη K 30 φυλάττοντη (sic) K: φυλάττεται L 31 τὸ (ante τοῦ ξύλου) om. KM 32 διάσπασιν K ἄπειρος LK: ἄπειρον Mt

www.libtool.com.cn

καθ' αὑτὴν ἡ ὕλη, περατοῦται δὲ καὶ ὅρον δέχεται ὑπὸ τοῦ εἴδους περι- m 6r
γραφομένη. εἰ τοίνυν τὸ μὲν περατοῖ ἡ δὲ περατοῦται, περιέχει δὲ τὸ 41
περατοῦν τὸ δὲ περατούμενον περιέχεται, αὐτὸ πάλιν τοὐναντίον αὐτοῖς
συμβαίνει, περιέχεσθαί φημι καὶ οὐ περιέχειν τὸ ἄπειρον, ὡς ᾤοντο. καὶ
5 εἰ μόριόν τι τοῦ συνθέτου ἡ ὕλη ἐστίν, ἥτις ἐστὶ τὸ ἄπειρον, οὐκ ἂν εἴη
ὅλον· τὸ γὰρ μόριον οὐχ ὅλον. εὐλόγως δὲ καὶ ἄγνωστος ἡ ὕλη, διότι
καὶ ἄπειρος· τὸ γὰρ ἄπειρον κατὰ τὴν ἑαυτοῦ φύσιν ἄγνωστον. δείξας δὲ
ἐξ αὐτῶν τῶν πραγμάτων ὅτι τοὐναντίον ἢ ἔλεγον ὑπάρχει, λέγω δὴ ὅτι 45
οὐ περιέχει τὸ ἄπειρον ἀλλὰ περιέχεται, καὶ ὅτι μόριον μᾶλλόν ἐστιν καὶ
10 οὐχ ὅλον, δείκνυσι τὸ αὐτὸ τοῦτο καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ· εἰ γὰρ
περιέχει, φησί, τὸ ἄπειρον, ἔστι δὲ οὐ μόνον ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ καὶ
ἐν τοῖς νοητοῖς (εἶναι γὰρ αὐτὸ καὶ ἐν ταῖς ἰδέαις ὁ Πλάτων ἐτίθετο),
εὔλογον ὥσπερ ἐν τοῖς αἰσθητοῖς περιέχει, οὕτω δήπου καὶ ἐν τοῖς νοητοῖς
περιέχειν. ἄτοπον δέ φησι καὶ ἀδύνατον τὰ γνώσεως αἴτια καὶ αὐτο-
15 γνώσεις ὄντα καὶ πᾶσιν ὅρου αἴτια ὑπὸ τοῦ ἀγνώστου κατὰ φύσιν, λέγω δὴ 50
τοῦ ἀπείρου, περιέχεσθαι. ἢ καὶ οὕτως· εἰ πάντα φασὶ περιέχειν τὸ ἄπει-
ρον, ἐν τοῖς πᾶσι δὲ καὶ τὰ νοητά, οὐ μόνον τὰ ἐγκόσμια τῶν νοητῶν ἀλλὰ
καὶ τὰ ὑπερκόσμια, δῆλον ὡς καὶ τὰ νοητὰ περιέχοι ἂν τὸ ἄπειρον, ἢ
καὶ πάντα ἁπλῶς ἢ γοῦν τὰ ἐγκόσμια.

20 p. 207a4 Καθ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μέντοι κυρίως. |

Λέγοντες· ἐν τῇ συνηθείᾳ οἱ πολλοὶ δηλονότι. πῶς δὲ καθ' ὁμοιό- m 7r
τητα ἀπείρους λέγουσι καὶ οὐ κυρίως, ἐπήγαγεν· ὅτι οὐ μόνον δεῖ, φησί,
τοῦτο ὑπάρχειν τῷ ἀπείρῳ τὸ ἀεὶ τοῦ ληφθέντος τι ἔξω εἶναι λαβεῖν, ἀλλὰ
καὶ τὸ μὴ δὶς τὸ αὐτὸ λαμβάνειν, ὅπερ οὐχ ὑπάρχει τῷ δακτυλίῳ.

25 p. 207a7 Ἄπειρον μὲν οὖν τοῦτό ἐστιν οὗ κατὰ τὸ ποσὸν λαμβά-
νουσιν αἰεί τι λαμβάνειν ἔστιν ἔξω.

Δεῖ προσυπακοῦσαι τῷ κατὰ ποσὸν λαμβάνουσι τὸ 'τὶ μέρος', 7

---

1 αὑτὴν LK: αὑτ' (h. e. αὐτὸν) M: αὐτὸ t ἡ ὕλη LK: ὕλη* M: ὕλη t 4 τὸ ἄπειρον LK: ἐπ' ἄπειρον Mt 5 ἡ ὕλη ἐστίν] ἐστὶν ἡ ὕλη K 6 οὐκόλον K 10 τῇ LKM: hoc cum in M ita scriptum esset ut videretur esse τῆς, praeposuit διὰ M²: διὰ τῆς t ἀπαγῶ M: ἀπαγωγῆς t 12 καὶ om. L ἐτέθετο M 13 εὔλογον scripsi cl. p. 480,9: εὐλόγως LK: ἀλόγως Mt αἰσθητοῖς om. L δήπου KM: om. L: δὴ t 14 περιέχειν LK: περιέχει Mt 14. 15 αὐτογνωσίσονται K 15 ἀναγνώστου M 16 φασὶ περιέχει L 18 τὰ prius om. L περιέχει ἂν M 19 ἢ γοῦν scripsi: ἤγουν libri ἐγκώσμια K 21 λέγοντες huc retraxi: lemmati adhaeret in codicibus ideoque omisit t 22 φασὶ L 23 ἀεί τι τοῦ t τι (ante ἔξω) scripsi: τὸ L: om. KMt 24 μὴ δὶς L: μὴ δεὶς K: μὴδὶ M: μηδὲ t at cf. p. 474,13 αὐτῷ primitus M ὅτιπερ K 25 τοῦτό ἐστιν MK: τοῦτ' ἔστιν Lt τὸ ποσὸν KMt: ποσὸν L cf. Diels *z. Textgesch.* p. 19 26 ἀεί M λαβεῖν Mt cf. Aristot. ἐστὶν ἔξω LM: ἔσται ἔξω K: ἔξω ἐστίν t 27. p. 477,2 Δεῖ— λαμβάνειν ἔστιν ἔξω om. L 27 κατὰ ποσὸν] ita libri hic et p. 477,7

www.libtool.com.cn

ἵνα ᾗ 'ἄπειρον μὲν οὖν οὗ κατὰ τὸ ποσὸν λαμβάνουσί τι μέρος ἀεί τι λαμ- 7r
βάνειν ἔστιν ἔξω'. καὶ ἔστιν οὗτος τοῦ ἀπείρου ὁρισμός. ὥστε εἰ τοῦτο
μέν ἐστι τὸ ἄπειρον, ὅλον δέ ἐστι καὶ πᾶν καὶ τέλειον οὐ μηδέν ἐστιν ἔξω,
οὐκ ἄρα ὅλον καὶ τέλειον τὸ ἄπειρον· ἐπί τε γὰρ τῶν ἀριθμῶν ἐπ' ἄπει- 10
5 ρον αὐξομένων ἀεὶ τοῦ ληφθέντος ἔστιν ἔξω λαβεῖν ἕτερον ἀριθμόν, καὶ
ἐπὶ τῆς τομῆς τῶν μεγεθῶν ἀεὶ τῆς ληφθείσης τομῆς ἔστι λαβεῖν ἔξω
τομὴν ἑτέραν. καὶ καλῶς εἶπε κατὰ ποσόν· οὐ γὰρ κατ' εἶδος γίνεται
ἡ διαίρεσις. τὸ αὐτὸ γοῦν εἶδος ἐν ἑκάστῳ τῶν διαιρεθέντων ὁρᾶται· ἢ
γραμμαὶ γὰρ πάντα τὰ τμήματά εἰσιν ἢ ἐπιφάνειαι ἢ σώματα. καὶ ἄλλως
10 οὐκ ἐπὶ πάντων ἐν τῇ διαιρέσει σῴζεται τὸ εἶδος· αὐτὸς γὰρ ἔδειξεν ἐν
τοῖς ἔμπροσθεν, ὅτι οὐκ ἐν τῷ τυχόντι μεγέθει τὸ τυχὸν εἶδος δύναται 15
εἶναι, διόπερ ἐν τῇ διαιρέσει οὐ μέχρι παντὸς σῴζεται τὸ εἶδος, ἀλλὰ
προϊοῦσα ἡ διαίρεσις φθείρει αὐτό. τὴν γοῦν σάρκα διελεῖν μὲν ἔστιν ἐπ'
ἄπειρον ὡς μέγεθος, ὡς μέντοι σάρκα οὐκέτι. ἀπορήσειε δ' ἄν τις, μήποτε
15 ὁ τοῦ ἀπείρου ὁρισμὸς ἁρμόσει καὶ ἐπὶ τοῦ ὅλου καὶ τοῦ τελείου, καὶ κα-
θόλου ἐπὶ παντὸς πεπερασμένου. καὶ ἐπὶ τοῦ τελείου γὰρ ἐξὸν εἰπεῖν, ὅτι
τέλειόν ἐστιν οὗ κατὰ ποσὸν λαμβάνουσί τι μόριον ἀεί τι ἔστι λαβεῖν ἔξω·
εἰ γὰρ κατὰ διχοτομίαν λάβω τὰ μόρια, ἐπ' ἄπειρον ἐξέσται λαβεῖν τῶν 20
ληφθέντων ἔξω. ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀληθὲς ἐπὶ τῶν πεπερασμένων·
20 ἐπὶ μὲν γὰρ τοῦ ἀπείρου οὐχ ἁπλῶς τόδε ἢ τόδε μόριον ἐὰν λάβω, οὐ
διέξειμι, ἀλλ' ὁποιονοῦν μόριον λάβω, ἐπὶ δὲ τοῦ πεπερασμένου οὐχ οὕτως·
ἐὰν γὰρ ὡρισμένον τι μόριον ἀεὶ λαμβάνω, καταναλίσκω τὸ ὅλον. καὶ ἄλλως
οὐκ ἀληθὲς ἐπὶ τοῦ πεπερασμένου τὸ ἀεὶ τοῦ ληφθέντος μόριον εἶναί τι
λαβεῖν ἔξω· εἰ γὰρ τὰ πρὸς τοῖς πέρασι λάβω μόρια, οὐκέτι ἐνδέχεται ἔξω
25 τούτων ἕτερόν τι λαβεῖν, ἐπὶ δὲ τοῦ ἀπείρου τὸ ἔσχατον λαβεῖν οὐκ ἔστιν. 25
ὥστε εἰ καὶ ἐπί τινος λήψεως μορίου τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πεπερασμένου
συμβαίνει, ἀλλ' οὐκ ἐπὶ πάσης ὥσπερ ἐπὶ τοῦ ἀπείρου ἔχει. συμβαίνει δὲ
ὅλως τοῦτο κατά τι καὶ ἐπὶ τῶν πεπερασμένων, διότι μετέχουσι τοῦ ἀπείρου.
ὥστε κἂν ἐξῇ ἐπὶ τοῦ τελείου κατά τινα λῆψιν ἀεὶ τοῦ ληφθέντος ἔξω
30 λαμβάνειν, οὐχ ᾗ τέλειόν ἐστι τοῦτο αὐτῷ συμβέβηκεν, ἀλλ' ᾗ τοῦ ἀπεί-
ρου μετέχει.

---

2 οὗτος ὁ τοῦ Mt ὁ ὁρισμός K et revera articulum vel hic vel post οὗτος adesse malim 3 δέ in nova pagina iterat M καὶ alterum om. add. marg. L 6 τομῆς (ante τῶν) om. L 7 τομὴν] τομὴσ K 10. 11 ἐν τοῖς ἔμπροσθεν (haec duo verba in erasis) ἔδειξεν L 11 ἔμπροσθεν A 4 p. 187b20 12 διὸτιπερ M 13 προσιοῦσα L σάρκαν compend. M 13. 14 μὲν ἐπ' ἄπειρόν ἐστιν L 15 καὶ ἐπὶ τοῦ τελείου L 16 πεπερασμένον K inter τελείου et γὰρ iterat καὶ ἐπὶ (sic) τοῦ τελείου καὶ καθόλου — πεπερασμένου (sic) καὶ ἐπὶ τοῦ τελείου K 17 κατὰ τὸ ποσὸν L 18 ἥξεσται (sic) K 19 τοῦτον M 20. 21 οὐ διέξειμι — λάβω om. L 20 οὐ Mt: οὗ K 22 ἂν γὰρ L ἀεὶ om. L καταναλίκω (sic) M 24 πέρασι LK: μέρεσι Mt μόρια λάβω L 24. 25 τούτων ἕτερόν τι ἔξω L 26 μορίου] μ ου L 27 ὥσπερ καὶ ἐπὶ L 28 διότι L: διὸ KMt 29 κἂν] καὶ L ἐξῇ Mt: ἕξῃ K: ἕξει L ἀεὶ LK et corr. M: αὐτ^ (cf. ad p. 473,10) primitus M: ἀεί τι (id ipsum in M sibi legere visus) t 30 αὐτὸ L et primitus M ἀλλ' ᾗ LK

www.libtool.com.cn

p. 207a10 Ὥσπερ τὸ καθ' ἕκαστον, οὕτω καὶ τὸ κυρίως ὄν, οἷον τὸ ὃν ὅλον οὗ μηθέν ἐστιν ἔξω. 7r

Ὥσπερ, φησίν, ἐπὶ τῶν κατὰ μέρος ὅλων, οἷον ἀνθρώπου ἢ πλοίου, ὅλον λέγομεν οὗ μηδὲν ἄπεστι τῶν συμπληρούντων τὸ ὑποκείμενον, οὕτω δὲ καὶ ἐπὶ τοῦ κυρίως ὅλου, λέγω τοῦ παντός, ὅλον φαμὲν εἶναι καὶ πᾶν οὗ μηδέν ἐστιν ἔξω, οἷον κόσμον ὅλον, οὗ μηδὲν τῶν συντελούντων εἰς συμπλήρωσιν τοῦ κόσμου ἔξω ἐστίν. οὗτος γάρ ἐστιν ὁ κυρίως ὅλος καὶ τὸ κυρίως πᾶν, ὡς ἐὰν ἀπῇ γέ τι αὐτοῦ, κἂν τὸ τυχὸν ᾖ, οὐχ ὅλον οὐδὲ πᾶν. 31 35

p. 207a13 Ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πᾶν ἢ σύνεγγυς.

Τὸ μὲν γὰρ ὅλον ἐπὶ τοῦ συνεχοῦς λέγεται, ὡς λέγομεν ὅλον ξύλον καὶ ὅλον ἄρτον, τὸ δὲ πᾶν ἐπὶ τοῦ διωρισμένου, ὡς λέγομεν πάντας ἀνθρώπους, τὸ δὲ τέλειον κοινῶς ἐφ' ἑκατέρου, ᾧ μηδὲν ἐλλείπει τῶν μερῶν. εἰ τοίνυν τὸ μὲν ὅλον καὶ τὸ πᾶν οὐ ταὐτόν, τὸ δὲ τέλειον ἀμφοτέροις ταὐτόν, οὐ πάντῃ ταὐτὸν τὸ ὅλον τῷ τελείῳ, καὶ ὅτι τὸ μὲν ὅλον πρὸς τὴν τῶν μερῶν πάντων σύνοδον λέγεται, τὸ δὲ τέλειον πρὸς τὴν ἀπόληψιν τοῦ τέλους. ἀμφότερα μέντοι κατὰ τοῦ αὐτοῦ κατηγορεῖται, καὶ ταύτῃ ἕν τι καὶ ταὐτὸν δόξειεν εἶναι ἄμφω κατὰ πάντα. 40 45

p. 207a17 Οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἔστιν τῷ παντὶ καὶ ὅλῳ τὸ ἄπειρον.

Τὰ ἀσύγκλωστα, φησί, συγκλώθει ὁ Μέλισσος, καὶ οὐ λίνον λίνῳ κατὰ τὴν παροιμίαν, ἅπερ πέφυκε συνδυάζεσθαι· οὐ γὰρ οἷόν τέ ἐστι τὸ ὅλον καὶ πᾶν ἅμα καὶ ἄπειρον εἶναι, ὡς δέδεικται.

---

1 ὥσπερ KM Arist. cod. F: ὥσπερ δὲ L: ὥσπερ δὲ ὁριζόμεθα t 1. 2 κυρίως ὄν, οἷον τὸ ὄν LKM: κυρίως, οἷον τὸ ex Aristotele t 3 ὥσπερ φασὶ καὶ ἐπὶ L 4 οὗ om. L μηθὲν Mt ἀπέστι (sed ″ delevit et ′ super π addidit corrector) M: ἀπέστι (L)t τὸ om. L 5 καὶ ἐ- (post δὲ) in nova pagina iterat L λέγω δὲ L 6 κόσμον ὅλον LK: ὁ (sed deletum) κόσμον ὅλον M: ὁ κόσμος ὅλος t εἰς] εἰ K 7 οὗτος LK: οὕτως M: οὕτω t 8 ἀπῇ γέ τι scripsi: ἀπῇγε τί K: ἀπῇγέν τι L: ἀπηγέων τι M: ἀπῇγε ὄντι t 10 ὅλον LM: τὸ ὅλον (K)t cf. Aristotelis libri πᾶν LK: πάμπαν cum Aristote Mt ἢ τὸ σύνεγγυς L et Arist. cod. E 11 τοῦς συνεχοῦς M 12 δωρισμένου M 13 κοινὸν ὡς L 15 ὅτι LM: ἔτι fortasse recte (K)t 16 τὴν (ante τῶν) iterat L 19 et 21 λῖνον λίνω LMt: λινὸν λινῶ K 19 ἐστὶ συνάπτειν ex Aristotelis vulgata t παντὶ LKM: παντί τε t: ἅπαντι Aristoteles 21 οὐ om. superscr. L 22 συνδιάζεσθαι KM 23 εἶναι] καὶ εἶναι L

www.libtool.com.cn

p. 207ᵃ18 Ἐπεὶ ἐντεῦθέν γε λαμβάνουσι τὴν σεμνότητα κατὰ τοῦ ἀπείρου. m 7ʳ

Διὰ τοῦτο, φησί, τὸ ἄπειρον ὅλον καὶ τέλειον εἶπον, ἵνα σεμνὸν αὐτὸ 52
ἀποδείξωσιν, ὡς πλῆρες καὶ πάντα περιέχον. εἶτα ἐφεξῆς καὶ τὴν αἰτίαν
5 τῆς ἀποπτώσεως αὐτῶν λέγει, πόθεν ἠπατήθησαν ὥστε τὸ ἄπειρον ὅλον
καὶ τέλειον εἶναι λέγειν· ἔχει γάρ, φησίν, ὁμοιότητά τινα τὸ ἄπειρον πρὸς
τὸ τέλειον καὶ τὸ ὅλον. τίς δὲ ἡ | ὁμοιότης, ἐπάγει· ἔστι γὰρ τὸ ἄπει- m 7ᵛ
ρον τῆς τοῦ μεγέθους τελειότητος ὕλη καὶ δυνάμει ὅλον, ἐντε-
λεχείᾳ δὲ οὔ. μέγεθός φησι τὸ σύνθετον. τῆς οὖν μεγέθους τελει-
10 ότητος, φησί, τουτέστι τοῦ εἴδους, καθ' ὃ ἕκαστον τὸ εἶναι καὶ τὴν ἑαυτοῦ
ἔχει τελειότητα, ὕλη ἐστὶ τὸ ἄπειρον, ἔστι δὲ ἡ ὕλη δυνάμει ὅλον καὶ
τέλειον, τουτέστιν εἶδος, ἐντελεχείᾳ δὲ οὔ· καθ' αὑτὴν μὲν γὰρ ἄπειρός
ἐστι καὶ ἀόριστος. δυνάμει δὲ ὅλον τε καὶ τέλειον· δεκτικὴ γὰρ τοῦ εἴδους, 5
ἐξ ὧν τὸ σύνθετον. ὃ οὖν αὐτῇ ὑπάρχει δυνάμει, φησί, τοῦτο ὡς ἐνερ-
15 γείᾳ ὑπάρχον κατηγοροῦσιν. ὅτι δὲ ἐν τῇ ὕλῃ τὸ ἄπειρον, δείκνυσι διὰ
τῶν ἑξῆς. ἡ γὰρ ἐπ' ἄπειρον, φησί, τομὴ τοῖς μεγέθεσι καὶ ἡ ἀντεστραμ-
μένη ταύτῃ πρόσθεσις ἐκ τῆς ὕλης ὑπάρχει· καθ' ἑαυτὰ γὰρ ἀδιαίρετά
εἰσι τὰ εἴδη. τοῦτο μὲν οὖν καθ' αὑτὸ τῇ ὕλῃ ὑπάρχει, τὸ δὲ εἶναι ὅλον
τε καὶ τέλειον, ὅταν εἰς ὅρον ἔλθῃ, οὐ καθ' αὑτὴν ἀλλὰ κατὰ ἄλλο αὐτῇ
20 ὑπάρχει, τουτέστι κατὰ τὸ εἶδος.

p. 207ᵃ24 Καὶ οὐ περιέχει ἀλλὰ περιέχεται, ᾗ ἄπειρον. 10

Ὁρίζεται γὰρ ὑπὸ τοῦ εἴδους ᾗ ὕλη καὶ περατοῦται τὸ ἄπειρον, τὸ
δὲ ὁριζόμενον καὶ περατούμενον οὐ περιέχει ἀλλὰ περιέχεται· εἰ δὲ περιέ-
χεται, φανερὸν ὅτι οὐχ ὅλον τι τὸ ἄπειρον, ὡς ἐκεῖνοι ἔλεγον, τοὐναντίον
25 δὲ μόριον τοῦ ὅλου, ὅπερ σύγκειται ἐκ τοῦ περιέχοντος καὶ τοῦ περιεχο-
μένου.

p. 207ᵃ25 Διὸ καὶ ἄγνωστον, ᾗ ἄπειρον· εἶδος γὰρ οὐκ ἔχει ἡ ὕλη.

Εἰ γὰρ ἡ ἑκάστου γνῶσις κατὰ τὸ εἶδος, ἀνείδεος δὲ ἡ ὕλη, εὔδηλον 16

---

1 γε] γὰρ L 6 τὸ ἄπειρον om. Mt 8 τοῦ iterat L: τοὺς M ὕλη LK: ἡ (in ras. M) ὕλη Mt δύναμις L: τὸ δυνάμει Aristoteles 8. 11 ὅλον—δυνάμει om. L 8. 9 ἐντελέχεια t 12 τὸ εἶδος L ἐντελεχείᾳ M: ἐντελέχεια LKt 12. 13 γάρ ἐστιν ἄπειρος Mt 13 δυνάμει δὲ κτλ.] cf. Themist. p. 244,4 ὅλον τὲ Mt: ὅλον * (ras. IV litterarum) K: ὅλον (om. τε) L δεκτὴ KM 14 ὧν] οὗ t αὐτὴ LM 14. 15 ἐνέργεια K 16 τομή φησι L 20 ὑπάρχει—εἶδος in erasis L 21 καὶ οὐχ ὑπερέχει ἀλλ' ὑπερέχεται e vulgato Aristotele t καὶ οὐ περιέχει in eras. L 21. 23 ᾗ ἄπειρον—ἀλλὰ περιέχεται om. L 22 ᾗ scripsi: ἡ libri 23 εἰ] ἡ K 24 ὅλος K 25 μέρος L post καὶ τοῦ addit ὑπὸ τὸ εἶδος ἐστὶν ἡ γνῶσις L cf. v. 29 27 γὰρ om. K

www.libtool.com.cn

ὅτι καὶ ἄγνωστος. διὸ καὶ ὁ Πλάτων "νόθῳ λογισμῷ" ληπτὴν αὐτὴν εἶπε, m 7v
διότι ἐπιβλητικῶς μὲν αὐτὴν γνῶναι ἀδύνατον, ἐξ ἀφαιρέσεως δὲ τῶν εἰδῶν
εἰς ἔννοιαν αὐτῆς ἐρχόμεθα. ὥστε καὶ ὁ συνετὸς τῆς γνώσεως αὐτῆς τρόπος
ἐκ τῶν εἰδῶν ὑπάρχει.

5 p. 207a29 Ἐπεὶ εἰ περιέχοι ἐν τοῖς αἰσθητοῖς κἀν τοῖς νοητοῖς
τὸ μέγα καὶ τὸ μικρὸν ἔδει περιέχειν.

Διὰ τούτων πιστοῦται ὅτι καλῶς εἶπε τὴν ὕλην περιέχεσθαι καὶ οὐ 27
περιέχειν. εἰ γὰρ ὁμοίως ἐν τοῖς νοητοῖς ὥσπερ καὶ ἐν τοῖς αἰσθητοῖς ἐστι
τὸ ἄπειρον, εὔλογον ὥσπερ ἐν τοῖς αἰσθητοῖς περιέχει, οὕτω καὶ ἐν τοῖς
10 νοητοῖς περιέχειν· τοῦτο δὲ ἀδύνατον, τὰ ὅρου καὶ γνώσεως αἴτια ὑπὸ
τοῦ ἀγνώστου καὶ ἀορίστου περιέχεσθαι· οὐκ ἄρα περιέχει τὸ ἄπειρον, ὡς 30
ἐκεῖνοι ἔλεγον. τὸ δὲ μέγα καὶ τὸ μικρὸν ἐν τῇ ὕλῃ, ἐν ᾗ τὸ ἄπειρον
ἀπετίθεντο· μέγα δὲ καὶ μικρὸν ὁ Πλάτων τὴν ὕλην ἐκάλει.

p. 207a33 Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν μὲν
15 μὴ εἶναι δοκεῖν ἄπειρον οὕτως ὥστε παντὸς ὑπερβάλλειν μεγέ-
θους, ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι.

Ἐντεῦθεν θεωρήματα πλείονα βούλεται παραδοῦναι ἀκόλουθα τοῖς περὶ
τοῦ ἀπείρου ἀποδεδομένοις λόγοις, καὶ πρῶτον μὲν ὅτι συμφώνως τοῖς
παρ' ἡμῶν ἀποδεδομένοις περὶ τοῦ ἀπείρου λόγοις τὸ συμβαῖνον εἶναι
20 ἐπὶ τῆς διαιρέσεως καὶ τῆς προσθέσεως, λέγω δὲ τὸ ἐπὶ μὲν τὴν διαίρεσιν μὴ 35
εἶναι λαβεῖν τὸ ἐλάχιστον μέγεθος, ἀλλ' ἐνδέχεσθαι παντὸς ὡρισμένου ἔλατ-
τον λαβεῖν, ἐπὶ δὲ τὴν πρόσθεσιν μηκέτι ἐγχωρεῖν παντὸς μεῖζον λαβεῖν,
διὰ τὸ ὡρίσθαι ἐν τῷ παντὶ τὸ μέγιστον μέγεθος, τοῦτο δέ ἐστι τὸ τοῦ
κόσμου σῶμα· δέδεικται γὰρ ὅτι οὐκ ἔστιν ἐπὶ τὴν ἔκτασιν ἄπειρον μέγε-
25 θος. αἴτιον δὲ τούτου τὸ μὴ περιέχειν ἀλλὰ περιέχεσθαι τὸ ἄπειρον, περι-
έχειν δὲ τὸ ὅλον καὶ τέλειον, τοῦτο δὲ ἐστι τὸ εἶδος· ἐπεὶ γὰρ ἡ μὲν
πρόσθεσις ἔξωθεν γίνεται, ἡ δὲ διαίρεσις ἐντὸς τῶν περάτων, εἰκότως ἔξω- 40
θεν μὲν ἐπ' ἄπειρον προσθεῖναι ἀδύνατον, διότι ὅρος ἐστὶ τὸ εἶδος καὶ
πέρας (δεῖ οὖν τὴν αὔξησιν ἐλθοῦσαν εἰς τὸ εἶδος στῆναι· οὐδ' εἰ ἔστιν,

---

1 ὁ om. L Πλάτων Tim. p. 52 B ἀπτὸν λογισμῷ τινι νόθῳ. ceterum cf. ad p. 162,4 sqq. 219,6 αὐτὴν iterat L 2 μὲν om. Mt 3 ἔνοιαν M ἀρχόμεθα K συνετὸς] ἀδύνατος L: δυνατὸς? 5 εἰ] εἴ γε ex Arist. t περιέχοι LK: πέχει M: περιέχει t κἀν scripsi: κἂν ἐν K: κἀν ἐν M: καὶ ἐν (L)t 8 καὶ et αἰσθητοῖς om. L 12 τὸ (ante μικρὸν) om. (K)t 13 ἐκάλεσε L 14 lemma om. K 15 οὕτως om. L ὑπερβάλλειν L: ὑπερβαλεῖν M: ὑπερβάλλει t 16 ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι L: om. Mt 17 πλείω L ἀκόλοθα K 18 et 19 ἀποδιδομένοις LK 19 τὸ συμβαῖνον εἶναι (ἐστὶν L) LKM: συμβαίνει εἶναι t 21 ἐλάχιστο err. typ. t 22 δὲ] δή (sic) K πρόθεσιν M 25. 26 περιέχει δὲ M 26 καὶ τὸ τέλειον L 27 et p. 481,1 ἐντὸ (sic) M 28 προσθῆναι K 29 οὐδ' εἰ ἔστιν] οὐδὲ γὰρ L

www.libtool.com.cn

ἔξωθεν τοῦ εἴδους ἐστίν, ὃ περιέχει αὐτό), ἡ δὲ ὕλη ἐντὸς περιεχομένη m 7v
τοῦ τεμνομένου ἐνδίδωσιν ἀφ' ἑαυτῆς τῇ τομῇ τὴν ἀπειρίαν. ὅθεν ἐν τῇ
διαιρέσει τὸ μὲν εἶδος πολλάκις ἐπιλείπει διὰ τὸ ὅρον τινὰ ἔχειν, ὥσπερ
ἐπὶ τὸ μεῖζον, οὕτως καὶ ἐπὶ τὸ ἔλαττον (εἴρηται γὰρ ὡς οὐκ ἐν παντὶ
5 μεγέθει τὰ εἴδη πέφυκε συνίστασθαι), ἡ δὲ τομὴ οὐκ ἐπιλείπει διὰ τὴν 45
ὕλην. εὐλόγως δέ, φησί, συμβέβηκε καὶ τὸν ἀριθμὸν ἐπὶ μὲν τὸ ἐλάχιστον
ὡρίσθαι (εἰς τὴν μονάδα γὰρ ἔσχατον καταντᾷ ἐπὶ τὸ ἔλαττον, ὅπερ ἐστὶν
ἀδιαίρετον), ἐπὶ δὲ τὸ μεῖζον οὐδὲ ἔχειν πέρας· ἐπ' ἄπειρον γὰρ ἔστιν
αὔξειν τὸν ἀριθμόν. ἐπὶ δὲ τῶν μεγεθῶν ἐναντίως συμβέβηκεν, ἐπὶ μὲν
10 τὸ μεῖζον πέρας εἶναι, ἐπὶ δὲ τὸ ἔλαττον οὐδὲν πέρας. αἴτιον δέ, ὅτι ὁ
μὲν ἀριθμὸς ἐξ ἑνάδων σύγκειται, ἐξ ὧν δὲ σύγκειταί τι εἰς αὐτὰ καὶ δια-
λύεται, διαιρεῖται δὲ ὁ ἀριθμὸς εἰς τὰς μονάδας, αὗται δὲ καθὸ μονάδες 50
ἀδιαίρετοι· πᾶν γὰρ ἓν καθὸ ἓν ἀδιαίρετον. ὁ γὰρ ἄνθρωπος καθὸ εἷς
ἄνθρωπος ἀδιαίρετος· εἰ γὰρ καὶ διαιρεῖται ὡς μέγεθος, ἀλλ' οὐχ ὡς
15 ἄνθρωπος διαιρεῖται· οὐ γὰρ εἰς ἀνθρώπους διαιρεῖται, ἀλλ' εἰς τὰ μόρια.
ἀλλ' οὐ κατὰ τοῦτο εἷς ἦν, ἀλλὰ καθὸ ἐκ πάντων συνέκειτο ἕν τι εἶδος,
ὅπερ εἰς ὁμοειδῆ οὐκέτι διαιρεῖται. εἰ τοίνυν ἡ μὲν μονὰς ἀδιαίρετος, διαι-
ρεῖται δὲ ὁ ἀριθμὸς εἰς μονάδας, στήσεται δηλονότι ἡ διαίρεσις, καὶ ἔστι
τὸ ἔσχατον αὐτῆς καὶ τὸ πέρας ἡ μονάς. | διὰ ταῦτα μὲν οὐκ ἐπ' ἄπειρον m 8r
20 ἡ τοῦ ἀριθμοῦ διαίρεσις, ἡ δὲ πρόσθεσις ἐπ' ἄπειρον εἰκότως, διότι ἐπι-
σύνθεσίς ἐστι μονάδων· ἐπεὶ οὖν δυνατὸν ἐπ' ἄπειρον ἑαυτῇ ἐπισυντιθέ-
ναι τὴν μονάδα, εἰκότως ἡ ἐπ' ἄπειρον αὔξησις τοῦ ἀριθμοῦ ἠκολούθησε.
τὸ δὲ μέγεθος οὐκέτι σύγκειται ἐξ ἑνάδων, ἀλλ' ἐκ μεγεθῶν· καὶ ἡ διαί-
ρεσις οὖν οὐδέποτε καταντᾷ εἰς ἀδιαίρετα, ἀλλ' ἀεὶ εἰς μεγέθη πεφυκότα
25 διαιρεῖσθαι, καὶ οὕτως ἐπ' ἄπειρον ἡ τομή. ἡ δὲ αὔξησις οὐκ ἐπ' ἄπειρον· 5
καταντᾷ γὰρ εἰς τὸ ὅλον καὶ τέλειον· οὐ γὰρ ἐνδέχεται τοῦ οὐρανοῦ τι
εἶναι μεῖζον, ὅπερ τὸ κυρίως ἐστὶν ὅλον καὶ πᾶν. διὰ ταύτην μὲν οὖν
τὴν αἰτίαν ἐναντίως ἔχει ὁ ἀριθμὸς τοῖς μεγέθεσιν. ἀκόλουθον δὲ καὶ τοῦτο
τοῖς προαποδεδειγμένοις περὶ τοῦ ἀπείρου. οὐ γὰρ δὴ καθ' αὑτὸν ὁ ἀριθ-
30 μὸς τὸ ἄπειρον ἔχει, ἀλλὰ διὰ τὴν ὕλην· ἡ γὰρ ἐπ' ἄπειρον τῶν με-
γεθῶν τομή, κατὰ τὴν ὕλην γινομένη, αἰτία τῆς ἐπ' ἄπειρον αὐξήσεως
τοῦ ἀριθμοῦ, διὰ τοῦτο δὲ καὶ εἰς ἔσχατον τὴν μονάδα καταντᾷ, ὅτι ἓν 10

---

4 οὕτω t 5 πέφυκε συνίστασθαι LK: πεφύκασιν ἵστασθαι Mt 6 τὸ τὸν ἀριθμὸν t τὸν ἐλάχιστον Mt 7 ἐσχάτην t 7. 8 ἥπερ ἐστὶν ἀδιαίρετος L 8 οὐδὲν t ἔχει M 9 αὔξει K 10 αἴτιον δέ κτλ.] cf. Themist. p. 245, 13 sqq. 11 ἐξ ὧν δὲ σύγκειταί om. K καὶ om. L 12 εἰς τὴν μονάδα L 15 τὰ om. L cf. Themistius 16 οὐ κατ' αὐτὰ L πάντων LK: πότων (errore ex compendio πυτων orto) M: τούτων t 17 ὁμοειδεῖ M οὐκέτι διῃρεῖτο L ἡ om. K ἀδιαίρετον Mt 18 εἰς μονάδα L ἔστι] εἶναι M: ἔσται t 20 πρόσθεσις] διαίρεσις L 21 ἐπὶ οὖν M 21. 22 ἐπισυντεθῆναι K 23 ἑξανάδων M 24 καταν τ M 26 καταντὰ M τι om. L 28 καὶ τοῦτο καὶ K: τοῦτο L: τοῦτο Mt 29. 30 οὐ γὰρ — ὅλην Themist. p. 246, 1 31 τῆς ἐπ' ἄπειρον iterat L 32 καὶ om. L καταντᾶν M

www.libtool.com.cn

τὸ συνεχὲς πρὶν διαιρεθῇ, ὅπερ ἦν δυνάμει ἄπειρον, καὶ τῆς αὐξήσεως m 8r
τοῦ ἀριθμοῦ τῇ ἐπ' ἄπειρον αὐτοῦ διαιρέσει αἴτιον γέγονεν. ἐν πᾶσιν οὖν τὸ ἄπειρον διὰ τὴν ὕλην.

Ἐφεξῆς ζητεῖ, [ὅτι] ἐπειδὴ ἐν πλείοσι τὸ ἄπειρον (λέγομεν γὰρ καὶ τὸ μέγεθος ἄπειρον τῷ ἐπ' ἄπειρον διαιρεῖσθαι, καὶ κίνησιν ἄπειρον, καὶ χρόνον ἄπειρον), πῶς ἔχει ἐν τούτοις τὸ ἄπειρον, πότερον ὡς γένος καὶ μία τις φύσις κοινῶς κατὰ πάντων κατηγορεῖται τούτων ἢ οὔ. καί φησιν ὅτι οὐχ ὡς γένος αὐτῶν κατηγορεῖται τὸ ἄπειρον, ἀλλὰ κατὰ τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ὡς γὰρ ἂν ἔχωσι τάξεως τὰ ὑποκείμενα, λέγω δὴ τὸ μέγεθος ἡ κίνησις ὁ χρόνος, οὕτως ἔχει καὶ τὸ ἄπειρον ἐν τούτοις. ἔστιν οὖν πρώτως τὸ μέγεθος συνεχές, διὰ δὲ τοῦτο καὶ ἡ κίνησις ἡ ἐπ' αὐτοῦ γινομένη συνεχής, εἴτε φορὰ εἴη εἴτε ἀλλοίωσις εἴτε αὔξησις, διὰ δὲ τὴν κίνησιν καὶ ὁ χρόνος συνεχής. ἔστιν οὖν καὶ τὸ ἄπειρον πρώτως μὲν ἐν τῷ μεγέθει, διὰ δὲ τὸ μέγεθος ἐν τῇ κινήσει, διὰ δὲ τὴν κίνησιν ἐν τῷ χρόνῳ. καὶ νῦν μὲν ταῦτα ὡς ὡμολογημένα λαμβάνει, ὅτι τὸ μέγεθος συνεχὲς καὶ εἰς μέγεθος καὶ οὐκ εἰς ἀδιαίρετα μεριστόν, καὶ ὅτι διὰ τὸ μέγεθος ἡ κίνησις καὶ διὰ ταύτην ὁ χρόνος, ὕστερον δὲ καὶ ἀποδείξει ταῦτα ἐν τῷ ἕκτῳ λόγῳ ταύτης τῆς πραγματείας.

Μετὰ ταῦτά φησιν ὅτι οὐκ ἀφαιρούμεθα τὰς γεωμετρικὰς ἀρχὰς καὶ ἀποδείξεις ἀναιροῦντες τὸ κατ' ἐνέργειαν ἄπειρον ἐκ τῶν ὄντων. ἠπόρησε γὰρ ἄν τις ὅτι εἰ τὰ μαθήματα ἐξ ἀφαιρέσεώς εἰσι τῶν φυσικῶν, κέχρηνται δὲ οἱ γεωμέτραι ὡς ἀρχῇ τινι τῷ λαμβάνειν ἄπειρον εὐθεῖαν (συνεχῶς γὰρ φασιν 'ἐκβεβλήσθω ἥδε ἐπ' ἄπειρον', οὗ δοθέντος προῖασιν αἱ γεωμετρικαὶ ἀποδείξεις), μὴ ὄντος δὲ φυσικοῦ μεγέθους ἀπείρου κατ' ἐνέργειαν οὐδ' ἂν ἄπειρον εὐθεῖαν ἐκ τῶν φυσικῶν ἀφαιρεῖν δυνατόν, ἀνῃρημένης οὖν τῆς ἀπείρου εὐθείας, ᾗτινι ὡς ἀρχῇ κέχρηνται οἱ γεωμέτραι ἐν ταῖς ἀποδείξεσιν, ἀνῃρημέναι ἔσονται καὶ αἱ γεωμετρικαὶ ἀποδείξεις· ἄτοπον δὲ τὰς καλλίστας καὶ ἀκριβεστάτας τῶν ἐπιστημῶν ἀνελεῖν. ταύτην οὖν

---

2 γέγονεν] λέγομεν L πᾶσι γοῦν Mt 4 ὅτι delevit t ἐπειδὴ om. superscr. L 5 τῷ] τὸ KM 6. 8 πότερον — ἄπειρον LK: om. Mt 6 πότερον L: ποτὲ K 7 κοινῶς K: κοινῇ L τούτων L: om. K 8 ἄπειρον K: ἄπειρον ἡ κίνησις L τὸ ἀφ' ἑνὸς] οἱ φενὸσ K 10 οὔτ M 10. 11 ἐν τούτοις οὖν ἐστὶν L at cf. Themist. p. 246,20 11 πρώτως κτλ.] cf. Simplic. p. 509,30 sqq. διατοῦτο (om. δὲ) Mt αὐτοῦ Lt: αὐτὰ KM 12 ἤ τε αὔξησις K 13 καὶ (ante ὁ) om. L ἐν om. M 14 δὲ prius om. M καὶ διὰ τὴν L 14. 15 ἐν τῷ χρόνῳ] ὁ χρόνος L 15 ὁμολογημένα M: ὁμολογουμένα L ὅτι τὸ τὸ L 16 scribendum εἰς μεγέθη ἀδιαίρετα Lt: διαιρετὰ KM 18 τῷ ἕκτῳ] τῶδε K ἕκτῳ λόγῳ c. 4 22 δὲ LK: γὰρ Mt γεωμέτροι M ἀρχή M 22. 23 εὐθείαν (ita enim accinit) — ἥδε ἐπ' ἄπειρον iterat K 23 ἐκβεβλήσθωκ δὲ ἐπ' M: ἐκβεβλήσθω κας δὲ ἐπ' t. turbas dedit η cum κ confusum, quo factum est ut ʊ (h. e. ") pro compendio ας acciperetur προῖασιν Lt: προσίασιν KM αἱ] οἱ K 24 ἀποδείξεις L: ἀποδείξης K: om. M: ἀποδείξας t 24. 25 μὴ ὄντος — δυνατόν LK: om. Mt 25. 26 ἀπορημένης M 26 ἀρχὴ M: ἀρχῇ τινι L

www.libtool.com.cn

τὴν ἀπορίαν ὁ Ἀριστοτέλης ἀγχινούστατα πάνυ ἐπιλυόμενος, φησὶν ὅτι οὐκ m 8r
ἀφαιρούμεθα αὐτοὺς τὰς ἀποδείξεις δείξαντες μὴ εἶναι ἄπειρον μέγεθος
κατ' ἐνέργειαν· οὐδὲ γὰρ χρῶνται τῷ ἀπείρῳ ἐν ταῖς ἀποδείξεσιν οἱ γεω-
μέτραι, ἀλλὰ διὰ τοῦτο λαμβάνουσι τὴν ἄπειρον, ἵνα ἐξῇ αὐτοῖς ὅσην ἂν
5 βούλωνται ἀφαιρεῖν ἐξ αὐτῆς πεπερασμένην· ὡς εἴ γε δοθείη αὐτοῖς
ὅσην βούλονται λαβεῖν, οὐδὲ ἂν τῆς ἀπείρου ἐδεήθησαν. τεκμήριον δὲ 30
μέγιστον τοῦ μηδὲ πρὸς τὰς γεωμετρικὰς ἀποδείξεις συμβάλλεσθαι τὴν
ἄπειρον εὐθεῖαν, ὅτι λαβόντες ἐξ αὐτῆς ἣν ἐβουλήθησαν πεπερασμένην,
ταύτῃ συγκέχρηνται ἐν τῇ ἀποδείξει τοῦ προκειμένου θεωρήματος, τῇ δὲ
10 ἀπείρῳ οὔ. ἐὰν οὖν ἡ μεγίστη εὐθεῖα δοθῇ αὐτοῖς, οἷον ἡ τοῦ παντὸς
διάμετρος, οὐκέτι τῆς ἀπείρου δεηθήσονται· ἐκ ταύτης γὰρ ἐξέσται ἀφαι-
ρεῖν ὅσην ἂν βούλωνται. ὥστε εἰ μὲν προσεχρῶντο τῇ ἀπείρῳ ἐν ταῖς
ἀποδείξεσι, τῷ ὄντι ἀφῃρεῖτο αὐτοὺς τῆς ἐπιστήμης ὁ ἀναιρῶν λόγος τὸ 35
ἄπειρον, εἰ δὲ μὴ κέχρηνται, οὐκέτι.

15 Ἐφεξῆς ζητεῖ, ὑπὸ ποίων τῶν αἰτίων ἀνακτέον τὸ ἄπειρον. ἐπειδὴ
γὰρ ἔδειξεν ὅτι εἰ ἔστι τὸ ἄπειρον, ἀνάγκη πᾶσα ἀρχὴν αὐτὸ εἶναι, οὐκ ἐξ
ἀρχῆς, ἐδείχθη δὲ ὅτι εἰ καὶ τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον οὐκ ἔστιν, ἀλλ'
οὖν ἔστι τὸ κατὰ τὴν διαίρεσιν καὶ τὴν ἀντεστραμμένην πρόσθεσιν, ζητεῖ
εἰκότως ὑπὸ ποίαν τῶν ἀρχῶν δεῖ ἀναγαγεῖν τὸ ἄπειρον. αἱ δὲ ἀρχαὶ
20 τέσσαρες, ἡ ὕλη τὸ εἶδος τὸ ποιητικὸν τὸ τελικόν. φησὶν οὖν ὅτι ὡς ὕλη
ἐστὶν ἀρχὴ τὸ ἄπειρον, δείκνυσι δὲ καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς τῶν 40
παλαιῶν μαρτυρίας. ὅτι μὲν γὰρ ὡς εἶδος οὐ δύναται εἶναι, πρόδηλον·
ὅρος γὰρ καὶ πέρας ἐστὶ τὸ εἶδος, τὸ δὲ ἄπειρον ἀόριστον καὶ ἀδιεξίτητον.
ἀλλ' οὐδὲ ὡς ποιητικὸν αἴτιον· τὸ μὲν γὰρ ποιητικὸν αἴτιον ἐνεργείᾳ δεῖ
25 εἶναι, τὸ δὲ ἄπειρον δυνάμει ἐστί. δῆλον δὲ ὅτι οὐδὲ ὡς τελικόν, πρῶτον
μὲν ὅτι εἰς ταὐτὸν ἔρχεται πολλάκις τὸ εἶδος τῷ τέλει, ἔπειτα ὅτι τὸ μὲν
τελικὸν τέλος ἐστὶ καὶ πέρας οὗ ἂν ᾖ, τὸ δὲ ἄπειρον τέλος οὐκ ἔχει. λείπεται
οὖν ὑλικὸν αἴτιον εἶναι τὸ ἄπειρον. καὶ τοῦτο εἰκότως· ἡ μὲν γὰρ ὕλη ἐν 45
στερήσει, καὶ τὸ ἄπειρον δὲ ἐν στερήσει (οὐδὲ γὰρ εἶδος ἔχει τὸ ἄπειρον·
30 ὅρος γὰρ καὶ πέρας τὸ εἶδος), ὥστε εἰ τὸ ἄπειρον ἐν στερήσει καθ' αὑτό,

---

1 φησι M 2 αὐτῆς L 3 γὰρ om. L 3. 4 οἱ γεωμέτραι ἐν ταῖς ἀποδείξεσιν L 4 τὴν] τὸ L ἐξῇ αὐτοῖς L: ἔξη αὐτοῖς K: ἐξαὐτῆσ M: ἐξ αὐτῆς t qui post πεπερασμένην addit δυνηθῶσιν ἂν om. superscr. L 5 ἐξ αὐτῆς KM: om. t et, si silentio fides, L 6 βούλονται Mt: βούλεται K: βούλωνται L οὐδὲν Mt ἂν τῆς Mt: αὐτῆς τῆς (τῆς om. L) LK 7 συμβάλλεσθαι t: συμβάλεσθαι (sic) LKM 8 εὐθεῖας compend. M 9 ταύτης K 10 ἀπείρου οὔ ἂν οὖν primitus L 11 ἕξεσθαι K 12 ὡς εἰ L προσεχρῶνται (sic) M 13 ἀφῃρεῖτο L: ἀφήρηται M: ἀφήρητο (K)t fort. τὴν ἐπιστήμην 15. 16 Ἐφεξῆς — εἰ ἔστι τὸ ἄπειρον om. L 16 ἀνάγκ πᾶσαν M αὐτὸ Mt: αὐτὴν L: αὐτοῦ K 17 καὶ om. t 18 πρόθεσιν M 20 τέσσαρες L²t: δ' K: δῆ M: διατί L. nimirum producta litterae δ lineola formam efficit compendio vocis διατί simillimam 22 ὡς scripsi: τὸ KMt: om. L 25 ὡς scripsi: τὸ Mt: om. LK 26 εἰς ταὐτὸν κτλ.] cf. Arist. Phys. B 7 p. 198a24 sqq. τῷ εἶδος τῷ K 27 post τελικὸν deletum εἰκότως L ἐστὶ] τί ἐστιν fortasse recte K 29. 30 καὶ τὸ ἄπειρον δὲ (δὲ om. K) ἐν στερήσει — εἰ τὸ ἄπειρον ἐν στερήσει LK: om. Mt 29 οὐδὲ γὰρ εἶδος ἔχει K: οὐδὲν γὰρ ἔχει εἶδος L

www.libtool.com.cn

καὶ ἡ ὕλη δὲ ἐν στερήσει, τὸ ἄπειρον ἄρα ὕλη. καὶ πάντες δέ, φησίν, m 8r
ὅσοι τὸ ἄπειρον εἶναι ὑπέθεντο, ὡς ὕλην αὐτὸ ὑπέθεντο· τὸν γὰρ ἀέρα
ἢ τὸ ὕδωρ ἢ τὸ μεταξὺ ἢ ὁτιοῦν ἄλλο ἄπειρον ἔλεγον, ἐξ οὗ ὡς ἐξ ὕλης
γενέσθαι τὰ γινόμενα.

Ταῦτα εἰπών, πρὸς τῷ πέρατι λοιπὸν τοῦ βιβλίου τὰς ἀπορίας ἐπι-
λύεται, ἐξ ὧν ἐδόκει ἀναγκαίως εἶναι ἐν τοῖς οὖσι τὸ ἄπειρον, ἵνα μὴ μέ-
νουσαι αἱ ἀπορίαι ἐνοχλῶσι τοὺς πολλούς. ἦσαν δὲ πέντε τὸν ἀριθμόν·
πρώτη μὲν ἡ ἐκ τῆς τοῦ χρόνου ἀπειρίας, δευτέρα ἡ ἐκ τῆς ἐπ' ἄπειρον τῶν
μεγεθῶν διαιρέσεως, τρίτη ἡ ἐκ τῆς ἀειγενεσίας, τετάρτη ἡ ἐκ τοῦ τὸ πε-
περασμένον πᾶν πρός τι περαίνειν, πέμπτη, ἣν καὶ μάλιστα ἔλεγε τοὺς
πολλοὺς πείθειν ὅτι ἔστι τὸ ἄπειρον, ἡ ἐκ τῆς νοήσεως, τῷ μηδέποτε
ἴσχειν πέρας τὴν νόησιν, ἀλλὰ δύνασθαι ἀεὶ τοῦ νοηθέντος ἕτερόν τι
ἐπινοεῖν ἔξω. τούτων οὖν, φησί, τῶν ἀπορίων αἱ μὲν οὐδὲν ἔχουσιν
ἀναγκαῖον, οὔτε πρὸς τὸ ἐνεργείᾳ εἶναι τὸ ἄπειρον, οὔτε πρὸς τὸ κατὰ
μέρος, οὔτε πρὸς τὸ δυνάμει. καὶ πρῶτόν γε ἡ ἐκ τῆς ἀειγενεσίας· |
οὐδὲ γὰρ ἐπειδὴ γένεσίς ἐστιν ἀεί, διὰ τοῦτο δεῖ ἄπειρον εἶναί τι m 8v
σῶμα ἐξ οὗ γίνεται τὰ γινόμενα· εἰ γὰρ εἴη ἡ ἄλλου γένεσις ἄλλου φθορὰ
καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις, δυνατὸν πεπερασμένον μὲν εἶναι τὸ
πᾶν, γένεσιν δὲ καὶ φθορὰν ταύτῃ μηδέποτε ἐπιλείπειν. ὥστε οὐδὲν
ἀναγκαῖον ἡ τοιαύτη ἔχει ἀπορία· οὔτε γὰρ τὸ ἐνεργείᾳ ἄπειρον διὰ ταύ-
την ἀνάγκη εἶναι, οὔτε τὸ δυνάμει, οὔτε τὸ ἀπὸ μέρους. ἀλλ' οὐδὲ ἡ
λέγουσα πᾶν τὸ πεπερασμένον πρός τι περαίνειν· ψεύδεται γὰρ τοῦτο. εἰ
γὰρ ταὐτὸν ἦν τὸ πεπεράνθαι καὶ τὸ ἅπτεσθαι, τῷ ὄντι ἀνάγκη ἦν πᾶν
τὸ πεπερασμένον εὐθὺς καί τινος ἅπτεσθαι ἔξωθεν καὶ ὑπ' αὐτοῦ περι-
γράφεσθαι, νῦν δὲ οὐ ταὐτὸν τὸ πεπεράνθαι τῷ ἅπτεσθαι· τὸ μὲν γὰρ
ἅπτεσθαι τῶν πρός τί ἐστι (τὸ γὰρ ἁπτόμενον τινὸς ἅπτεται· ἁπτομένου
γὰρ ἅπτεται), ὥστε τὸ ἁπτόμενον πρὸς ἄλλο τι ἔξωθεν αὐτοῦ καὶ ἔστι καὶ
λέγεται, τὸ δὲ πεπερασμένον οὐ πρὸς ἄλλο λέγεται, ἀλλὰ πρὸς ἑαυτό.
ὥσπερ οὖν οὐδὲ τὸ ἄπειρον εἶναι πρὸς ἄλλο λέγεται, ἀλλὰ πρὸς ἑαυτό,
οὕτως οὐδὲ τὸ πεπερασμένον πρὸς ἄλλο ἔχει τὴν ἀναφορὰν καὶ τὴν σχέσιν·
ἀφὴ μὲν γὰρ τὸ ἄλλο τι θιγγάνειν ἄλλου λέγεται, πέρας δὲ ἐν τῷ αὐτό

---

1 ἄρα ἡ ὕλη Mt 2 ὑπέθεντο (post αὐτὸ) scripsi: ὑπέθετο libri 7 ἐνοχλα σ' M 8 τῆς (priore loco) L: om. KMt ἀπειρίας τοῦ χρόνου L 9 ἀεὶ γενεσίας M τοῦ τὸ L: τοῦτο K: τοῦ Mt 9. 10 πεπερασμένος K 10 πέμπτη δὲ L 11 τῷ] τὸ L 12 ἴσχειν Mt: ἰσχεῖν K: ἔχειν L ἀεὶ om. L 13 οὐδὲν (cf. p. 485,28) t: οὐδὲ LKM 14. 15 οὔτε πρὸς τὸ ἐνεργείᾳ — μέρος om. K 14 ἐναργεία εἰ καὶ τὸ ἄπειρον (sic) M 15 γε LK: τε M: καὶ t ἡ t: ὁ KM: ὃ L ἀεὶ γεννεσίας M 16 οὐ γὰρ L 17 γενόμενα M εἴη ἡ ἄλλου K: εἴη ἄλλου ἡ L: εἴη ἄλλου Mt 18 ἄλλου γένεσις Mt: γένεσις ἄλλου L: om. K μὲν om. Mt 19 ταὐτ̂ M: ταύτην t μὴ ἐπιλείπειν ποτὲ L ἐπιλειπεῖν K 20 ἔχει ἡ τοιαύτη L 22 τὸ om. t ψεῦδος L τοῦτου M 23 πεπεράνθαι L: πεπερᾶσθαι KMt 25 περγεράνθαι πε K τῷ] τὸ primitus M τῶ μὲν γὰρ K 26 τὸ γὰρ om. L ἁπτομένου L: ἁπτόμενον KMt 29 ὥσπερ οὖν — πρὸς ἑαυτῶ (correxi ἑαυτὸ) servavit K: om. LMt 31 τὸ (post γὰρ) L: τῷ KMt: ἐν τῷ scripserim et λέγεται induxerim cl. Themist. p. 250,3

www.libtool.com.cn

τι ἔσχατον ἔχειν. ὥστε εἰ μὴ ταὐτὸν τὸ ἅπτεσθαι τῷ πεπεράνθαι, οὐκ m 8v
ἀνάγκη τὸ πεπερασμένον πρός τι περαίνειν, ἀλλά τινα μὲν τῶν πεπερασμένων δύναται πρός τι περαίνειν καὶ ἅπτεσθαί τινος ἔξωθεν, οὐ μὴν οὐδὲ τούτοις ταὐτὸν τὸ ἅπτεσθαι τῷ πεπεράνθαι ἐστίν, ἀλλ' οἷς συμβέβηκε τῶν πεπερασμένων τὸ ἅπτεσθαι, διότι κενὸν οὐκ ἔστιν. ὅσα μὲν οὖν κατὰ τὸ ἐντὸς ἑαυτῶν πεπέρανται, πάντως καὶ ἅπτεταί τινος, διότι, ὡς εἶπον, κενὸν οὐδέν ἐστιν, ὅσα δὲ ἔξωθεν πεπέρανται (πάντα δὲ τὰ ὄντα τοιαῦτά ἐστιν) οὐκ ἀνάγκη καὶ ἅπτεσθαί τινος. ὅσα μὲν γὰρ ἔξωθεν πεπερασμένα καὶ ἅπτεταί τινος, οὐχ ὅλα ἐστὶν ἀλλὰ μέρη τοῦ παντός. ἅπτεται οὖν ταῦτα, οὐ καθότι πέρας ἔχει, ἀλλὰ καθὸ μέρη ἐστὶ τοῦ ὅλου, οὐδὲν δὲ κενὸν ἐν τῷ παντί. εἴ τι δὲ κυρίως ὅλον ἐστὶ καὶ πᾶν, τοῦτο οὐκ ἀνάγκη πρός τι ἕτερον περαίνειν, μᾶλλον δὲ ἀδύνατον, ἐπεὶ οὐκ ἂν εἴη κυρίως ὅλον. τοιαύτη δέ ἐστιν ἡ ἀπλανής, πεπερασμένη μὲν οὖσα, ἐπειδὴ καὶ σφαῖρα (πᾶν δὲ σχῆμα πεπερασμένον δηλονότι), ἅπτεται δὲ ἔξωθεν οὐδενός, διότι μηδὲ ἔστι τι αὐτῆς ἔξω. οὐδὲ οὗτος ἄρα ὁ λόγος ἔχει ἀναγκαῖον πρὸς τὸ εἶναι τὸ ἄπειρον. ἀλλ' οὐδὲ ὁ ἐκ τῆς νοήσεως. ἡ μὲν γὰρ νόησις δύναται τῷ ὄντι τῷ ληφθέντι μεγέθει ἀεὶ προστιθέναι ἔξωθεν ἄλλο, καὶ οὐδέποτε ἐπιλείπει τοῦτο ποιοῦσα· οὐ μὴν ἀνάγκη τῇ νοήσει τῇ ἡμετέρᾳ τὴν τῶν πραγμάτων ἀκολουθεῖν φύσιν, τοὐναντίον δὲ μᾶλλον ἀνάγκη τῇ φύσει τῶν πραγμάτων ἀληθῆ εἴδησιν ἕπεσθαι. οὐδὲ γὰρ ἐπειδὴ δυνατὸν νοῆσαι Σωκράτην ἔξω Ἀθηνῶν ὄντα, ἤδη ἀνάγκη καὶ ἔξω Ἀθηνῶν αὐτὸν εἶναι, οὐδὲ ἐπειδὴ δύναμαι νοῆσαι αὐτὸν ἑκατοντάπηχυν, ἤδη ἀνάγκη καὶ τοιοῦτον αὐτὸν εἶναι· οὐ γὰρ πᾶν ὅ τι ἂν βουληθῶμεν νοῆσαι, ἤδη τοῦτο καὶ ἔστι. φαντάζονται γοῦν τινες ἑαυτοὺς βασιλέας εἶναι καὶ κυρίους πάσης τῆς γῆς, ἀλλ' οὐκ ἀνάγκη τῇ νόησει αὐτῶν ἀκολουθεῖν τὰ πράγματα· οὕτω γοῦν κἂν δύναμαι νοεῖν σῶμά τι ἐπ' ἄπειρον ηὐξημένον, οὐκ ἀνάγκη τοιοῦτόν τι σῶμα εἶναι. οὗτοι μὲν οὖν οἱ λόγοι ἀναγκαῖον οὐδὲν ἔχουσιν πρὸς τὸ δεῖν εἶναι τὸ ἄπειρον, οἱ δὲ ἕτεροι δύο, ὅ τε ἐκ τῆς ἀπειρίας τοῦ χρόνου καὶ ὁ ἐκ τῆς ἐπ' ἄπειρον τῶν μεγεθῶν τομῆς, ἔχουσι μὲν τὸ εὔλογον, οὐ μὴν ἀνάγκη, εἰ μὴ εἴη κατ' ἐνέργειαν ἄπειρόν τι σῶμα, ἀναιρεῖσθαι ἢ τὴν ἐπ' ἄπειρον τοῦ χρόνου αὔξησιν ἢ τὴν ἐπ'

---

1 ἅπεσθαι K 4 ταυτὸν τῶ ἅπτεσθαι (om. τῷ πεπεράνθαι ἐστίν) L at cf. Themistius 4 ἀλλ' οἷς et 5 τῶν πεπερασμένων L: ἀλλὰ et τῷ πεπερασμένῳ KMt 5 οὖν om. Mt 6 πεπέρανται scripsi: πεπεράνθαι L: πεπέρασται KMt ἅπτεσθαι (sic) M: ἅπτεσθαι L 7 πεπέρανται L: πεπέρασται KMt 10 καθότι] καθὸ L et Themistius 11 δὲ καὶ κυρίως t 16 ἔχει (addiderim τι cl. p. 494,26) ἀναγκαῖον K: ἔχει τινὰ ἀναγκαῖον (?) L: ἀναγκαῖον ἔχει M: ἀναγκαῖόν τι ἔχει t 17 τῷ ὄντι om. L 19 ἡμετέρα K: ὑμετέρᾳ LMt 20 τὴν ἀληθῆ L εἴδησιν LKM: νόησιν t cf. p. 495,5 21 νοῆσαι δυνατὸν Mt ὄντα] εἶναι t καὶ ἔξω LM: ἔξω καὶ K: ἔξω t 22 αὐτῶν (ante εἶναι) K· δύναμαι L: δύναται M: δυνατὸν (K)t 23 πᾶν om. Mt βληθῶμεν M: ηβληθῶμεν (sic!) t 25 ἀκολουθεῖν] ἕπεσθαι L 26 οὕτω Mt: οὔτε L: τοῦ (cf. ad p. 401,5) K κἂν LK: καὶ M: εἰ καὶ t δύναμιν K 27 τὸ τοιοῦτόν τι L οὗτοι LK: οὕτω Mt 28 τε om. L 30 μὲν om. L ἀνάγκη post εἰ ponit L 31 τι om. Mt

www.libtool.com.cn

ἄπειρον τῶν μεγεθῶν τομήν· οὐδὲ γὰρ οὕτως ἐστὶν ὁ χρόνος ἄπειρος ἢ m 8v
ἡ τῶν μεγεθῶν διαίρεσις, ὡς ὅλον ἅμα εἶναι ἢ τὸν χρόνον ἢ τὰς διαιρέ-
σεις τοῦ συνεχοῦς, ἀλλὰ τῷ ἀπὸ μέρους λαμβάνεσθαι καὶ μὴ ἐπιλείπειν,
καὶ δυνάμει εἶναι ἐν αὐτοῖς τὸ ἄπειρον καὶ οὐκ ἐνεργείᾳ. ὥστε τὸ μὲν 35
5 ἀπὸ μέρους ὑφεστηκέναι τὸ ἄπειρον καὶ δυνάμει εἶναι καὶ μὴ ἐνεργείᾳ καὶ
ἡμεῖς ἐθέμεθα καὶ οἱ εἰρημένοι ἀναγκάζουσι λόγοι, τὸ δὲ ὡς ἔλεγον οἱ
φυσικοὶ ἄπειρον, τὸ ὅλον ἅμα ὑφεστηκὸς καὶ ἐνεργείᾳ καὶ οὐ δυνάμει, οὐκ
ἀνάγκη ἐκ τῶν λόγων τούτων εἶναι. ὥστε ἐπειδὴ οὕτως ἐστὶ τὸ ἄπειρον,
δυνάμει λέγω καὶ οὐκ ἐνεργείᾳ, καὶ ἀπὸ μέρους καὶ οὐκ ἀθρόον, διὰ τοῦτο
10 οὐδὲν ἄτοπον μηδὲ τὴν νόησιν ἐπιλιπεῖν· οὐδὲ γὰρ αὐτὴ δύναται ἀθρόον
αὐτὸ νοῆσαι, ἐπεὶ πεπερασμένον αὐτὸ ἐνόει, ἀλλ' ἀεὶ τῷ ληφθέντι πεπε-
ρασμένῳ ὄντι πεπερασμένον ἐπιπρόστιθησι, μέχρις ἂν ἀποκαμοῦσα παύσητ-
αι· ὥστε συγχωρήσομεν αὐτῇ δυνάμει μὲν ἐπ' ἄπειρον αὔξειν, ἐνεργείᾳ
δὲ οὔ, καὶ πεπερασμένον μὲν ἀεὶ εἶναι τὸ λαμβανόμενον, ἄπειρον δὲ οὐδέ- 40
15 ποτε.

Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν μὲν μὴ
εἶναι δοκεῖν ἄπειρον, τουτέστιν εὐλόγως καὶ ἀκολούθως τοῖς παρ' ἡμῶν
περὶ τοῦ ἀπείρου εἶναι λεγομένοις, ὅτι περιέχεται μὲν τὸ ἄπειρον, περιέχει
δὲ τὸ ὅλον καὶ τὸ πᾶν. τέμνουσι μὲν οὖν τὸ μέγεθος, ἐπειδὴ πᾶσα
20 τομὴ ἐντὸς τῶν περάτων γίνεται, εἰκότως οὐδέποτε ἐπιλείπει· περιεχόμενον
γὰρ ἐντὸς τῶν περάτων τὸ ἄπειρον ἐνδίδωσι τῇ τομῇ τὴν ἐπ' ἄπειρον
πρόοδον. ἐπ' ἄπειρον δὲ προστιθέναι οὐκ ἐνδέχεται· ἡ γὰρ πρόσθεσις 45
ἔξωθεν γίνεται, τῷ δὲ ὅλῳ καὶ παντὶ προσθεῖναι ἀδύνατον· ὥστε ὅταν ἡ
προσθήκη εἰς τοῦτο καταντήσῃ, εἰκότως παύεται.

25 p. 207b1 Εὐλόγως δὲ καὶ τὸ ἐν μὲν τῷ ἀριθμῷ εἶναι ἐπὶ τὸ
ἐλάχιστον πέρας.

Ἕτερον ἀκόλουθον περὶ τοῦ ἀπείρου θεώρημα, τὸ τὸν μὲν ἀριθμὸν
κατὰ μὲν τὸ ἐλάχιστον πεπεράνθαι (πέρας γὰρ τοῦ ἀριθμοῦ ἐπὶ τὸ ἐλάχιστον

---

1 οὕτος primitus M 2 ὡς ὅλον LK: λόγων compend. M: τῷ t 3 τοῦ (τοὺς M) συνεχοῦς KM: τῶν συνεχῶν L: τὰς συνεχοῦς t ἀλλὰ τὸ ἀπὸ μέρος (sic) M ἐπιλίπειν K 4 οὐ κατ' ἐνέργειαν L 5 ἀφεστηκέναι L 5. 8 καὶ μὴ — τούτων εἶναι om. Mt 5 μὴ K: om. L 6 εἰρημένοι K 7 οὐ K: om. L οὐκ K: καὶ οὐκ L 8 ἐστὶ] εἶναι Mt τὸ] τὶ K 10 ἐπιλειπεῖν K 11 αὐτὸ (ante νοῆσαι) L: αὐτὸν K: om. Mt ἐνόει KM: ἐννοεῖ fort. recte (L)t ἀλλὰ εἰ K 11. 12 πεπερασμένῳ] πεπερασμένων K 12. 13 παύσητε M 13 συγχωρήσωμεν L cf. Themist. p. 252,21 14 ἀεὶ τὸ εἶναι τὸ Mt 16 καὶ κατὰ λόγον δὲ K 19 πᾶν (ita scriptum ut compendium $\overline{\alpha\nu}$ cum accentu coniunctum formam praebeat compendio $\overline{\omega\varsigma}$ similem) M: πῶς t 20 τομὴ et εἰκότ^{o} M 21 τῇ τομῇ τὴν] $\overset{\hat{\alpha}}{\tau}$ τομ$^{\hat{\eta}}$ $\overset{\hat{\alpha}}{\tau}$ M 23 προθεῖναι K 24 κατατήσει$^{\nu}$ M 25 ἐν (L)t: ἓν KM cf. Aristoteles 27 Ἕτερον—θεώρημα om. t τὸ τὸν LKM: τῷ τὸν t 28 ἐλάχιστον (altero loco) scripsi: ἔσχατον libri, sed τὸ ἔσχατον ἐπὶ τοῦ ἀριθμοῦ traicit L

www.libtool.com.cn

ἡ μονάς), κατὰ δὲ τὸ μεῖζον μηδὲν ἔχειν πέρας (παντὸς γὰρ τοῦ ληφθέν- m 8v
τος ἀριθμοῦ μείζονα ἔστι λαβεῖν), ἐπὶ δὲ τῶν μεγεθῶν ἀντιπεπονθότως
ἔχει· ἐπὶ μὲν γὰρ τὸ μεῖζον πεπέρανται τὰ μεγέθη, ἐπὶ δὲ τὸ ἐλάχιστον
οὐκ ἔστι λαβεῖν τὸ ἔσχατον. καὶ τὰς αἰτίας ἐπάγει.

5 p. 207b5 Αἴτιον δὲ ὅτι τὸ ἕν ἐστιν ἀδιαίρετον, ὅ τι περ ἂν ἓν ᾖ.

Ὅτι τοῦ τὸν ἀριθμὸν ἐπὶ τὸ ἐλάχιστον πέρας ἔχειν αἴτιον τὸ μηδὲν ἄλλο εἶναι τὸν ἀριθμὸν ἢ πλῆθος μονάδων. ἐπεὶ οὖν διαιρούμενος ὁ ἀριθμὸς καταντᾷ εἰς ἔσχατόν τι τὴν μονάδα (ἐξ οὗ γὰρ σύγκειταί τι, εἰς αὐτὸ καὶ διαλύεται), ἡ δὲ μονὰς καθὸ μονὰς ἀδιαίρετόν ἐστιν, εἰκότως
10 οὐκ ἐπ' ἄπειρον πρόεισιν ἐπὶ τὸ ἐλάχιστον· ἵσταται γὰρ ἡ διαίρεσις εἰς μονάδα καταντήσασα. διὰ τὴν | αὐτὴν δὲ αἰτίαν καὶ ἐπὶ τὸ μεῖζον πέρας m 9r
οὐκ ἔχει· εἰ γὰρ σύνθεσίς ἐστι μονάδων, οὐδὲν δὲ κωλύει ἐπ' ἄπειρον τὰς μονάδας ἐπισυντιθέναι ἀλλήλαις ἀεὶ τὰς ληφθείσας διπλασιάζοντα, εἰκότως οὐκ ἔχει πέρας ἐπὶ τὴν αὔξησιν. τοῦτο δὲ αὐτῷ συμβέβηκε
15 διὰ τὴν τοῦ ἀπείρου φύσιν, ἥτις ὑπῆρχεν ἐν τῇ ἐπ' ἄπειρον τῶν μεγεθῶν τομῇ· διὰ γὰρ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομὴν ἡ ἐπ' ἄπειρον αὔξησις τοῦ ἀριθμοῦ γίνεται, διότι δὲ ἡ τομὴ τοῦ συνεχοῦς ἀπὸ μονάδος 5
ἄρχεται, διὰ τοῦτο καὶ τὸ ἔσχατον τοῦ ἀριθμοῦ ἡ μονάς ἐστιν· ἓν γὰρ ὂν τὸ συνεχὲς οὕτω διαιρεῖται. πῶς δέ φησι τὸ ἓν ἀδιαίρετον εἶναι,
20 ὅ τι περ ἂν ἓν ᾖ; ἆρα οὖν οὔ φαμεν τὸ ζῷον ἓν γένος ὂν διαιρεῖσθαι εἰς πλείονα εἴδη; εἰ γὰρ καθὸ γένος ἐστὶν ἕν, καθὸ δὲ γένος διαιρεῖται εἰς εἴδη, καθὸ ἄρα ἓν διαιρεῖται. καὶ ἐπὶ τοῦ συνεχοῦς δὲ ὁ αὐτὸς λόγος· τὸ γὰρ συνεχὲς ἕν τί ἐστι καθὸ συνεχές (ἓν γὰρ ξύλον φαμὲν καὶ εἰς λίθος), πάλιν δὲ τὸ συνεχὲς ᾗ συνεχὲς ἐπ' ἄπειρόν ἐστι διαιρετόν, τὸ ἓν
25 ἄρα καθὸ ἓν ἐπ' ἄπειρόν ἐστι διαιρετόν. ὅλως γὰρ ἡ διαίρεσις τίνος ἐστὶν 10
ἄλλου ἢ τοῦ ἑνός; τὰ γὰρ πολλὰ διῄρηται ἤδη, καὶ οὐ διαιρεῖται. φημὶ οὖν ὅτι καὶ τὸ γένος καὶ τὸ συνεχὲς οὐ μόνον ἕν ἐστιν, ἀλλὰ καὶ δυνάμει πολλά· ὡς μὲν οὖν ἓν ἑκάτερον τούτων ἀδιαίρετόν ἐστιν (εἰ γὰρ ᾗ ἓν

---

1 ἔχειν LK: ἔχει Mt 2 ἔστι L: εἶναι K: εἶχεν M: ἔχω t 3 fort. ἔχειν πεπέρανται L: πεπέρασται KMt τὰ μεγέθη LK: τῶ μεγε M: τῷ μεγέθει t 4 οὐκ] οὐκι addito compendio ᾱς (?) M τὸ ἔσχατον λαβεῖν L 5 ὅτιπερ LK: ὅπερ Mt ἓν ᾖ Mt: ἕνη K: ᾖ L 6 Ὅτι] ἔτι t 7 ὁ διαιρούμενος ὁ L 8 τι τὴν] τινα L 9 αὐτὸν compend. M et t 10 ἥσταται M 11 κατάντησαν (sic) compend. M: καταντῆσαν t 12 εἰ K: ἡ LMt 14 ante οὐκ interpolat οὖν t αὐτῷ L: αὐτὸ KMt 15 εἴ τις M 16 τὸ μὴ ut paulo post τὸ μὴν sim. K 17 τοὺς συνεχοῦς M 18 ἔρχεται (KM)t 19 τὸ ἓν LK: τὸ ὂν (ita saepe scriptum pro ὂν) M: τὸ ὂν t 20 ὅτιπερ LK: ὅπερ Mt 21 ἐστὶν ἕν, καθὸ δὲ γένος L: ἓν ἐστιν· καθὸ γένος (om. δὲ) K: om. Mt 22 τοῦ] τοὺς Mt δὲ om. L ὁ om. superscr. M 23 φαμὲν LK et corr. M²: φερόμενον compend. M et t. idem error p. 500,5 25 τίνος Lt: τινὸς KM 26 ἤδη] εἴδη L 28 τούτων LK: τοῦτ M: τούτω t ᾗ Lt: ἡ K: ἢ M

www.libtool.com.cn

διῃρεῖτο, εἰς πολλὰ ἂν ὅμοια διῃρέθη, οἷον τὸ γένος εἰς γένη, καὶ τὸ πηχυαῖον εἰς πλείω πηχυαῖα), ὡς μέντοι δυνάμει πολλά (ἐμπεριέχει γὰρ ἐν ἑαυτῷ καὶ τὸ γένος πολλὰ εἴδη, καὶ τὸ συνεχὲς πολλὰ συνεχῆ), ταύτῃ διαιρεῖται. ἡ δὲ μονὰς ἐν τοῖς ἀριθμοῖς μόνως ἕν ἐστι καὶ οὐδαμῶς πολλά· ὥστε καὶ πάντῃ ἀδιαίρετος. ἀσφαλέστερον δὲ ἴσως καὶ αὖθις ζητεῖν, εἰ τῷ ὄντι πᾶν ἓν καθὸ ἓν ἀδιαίρετόν ἐστιν. m 9r

p. 207b7 Ὁ δὲ ἀριθμός ἐστιν ἑνὸς πλείω καὶ ποσὰ ἄττα· ὥστε ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον.

Τουτέστιν οὐδὲν ἄλλο ἐστὶν ἀριθμὸς ἢ μονὰς πολλάκις ληφθεῖσα. τὸ δὲ καὶ ποσὰ ἄττα τὸ αὐτὸ ἐκ παραλλήλου, τουτέστι ποσαί τινες μονάδες. εἰ τοίνυν οὐδὲν ἄλλο ἐστὶν ἀριθμὸς ἢ μονάδες πλείους, ἀνάγκη τὴν διαίρεσιν αὐτοῦ εἰς τὴν μονάδα καταντῆσαι· ἐξ ὧν γὰρ σύγκειταί τι, εἰς τοῦτο καὶ διαλύεται. ἀδιαίρετος γὰρ ἡ μονάς· ὁ γὰρ εἷς ἄνθρωπος κατ' αὐτὸ τοῦτο ἀδιαίρετος· εἰ γὰρ καὶ εἰς μόρια διαιρεῖται, ἀλλ' οὐ κατὰ ταῦτα εἶχε τὸ εἷς εἶναι. εἰ δὲ ἡ τομὴ τοῦ ἀριθμοῦ ἐπὶ τὸ ἀδιαίρετον ἵσταται, ἔστιν ἄρα πέρας τι αὐτοῦ ἐπὶ τὸ ἐλάχιστον.

p. 207b8 Τὰ γὰρ τρία καὶ δύο παρώνυμα ὀνόματά ἐστιν.

Ὅτι ὁ ἀριθμὸς οὐδὲν ἕτερόν ἐστιν ἢ σύνθεσις μονάδων, κατασκευάζει ἐκ τῶν ὀνομάτων τῶν ἀριθμῶν. ἐκ γὰρ τῶν τριῶν, φησί, μονάδων παρωνύμως ὁ γ' ἀριθμὸς εἴρηται, καὶ ἐκ τῶν δύο ὁ β', καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· ὥστε οὐδὲν ἕτερόν ἐστι παρὰ τὰς μονάδας.

p. 207b10 Ἐπὶ δὲ τὸ πλεῖον ἀεί ἐστι νοῆσαι· ἄπειροι γὰρ αἱ διχοτομίαι τοῦ μεγέθους.

Δείξας ὅτι ἔστι τι πέρας ἐπὶ τὸ ἔλαττον τοῦ ἀριθμοῦ, δείκνυσι νῦν ὅτι ἐπὶ τὸ μεῖζον οὐκ ἔστι· ἀεὶ γὰρ τοῦ ληφθέντος μείζονα ἔστι νοῆσαι ἀριθ-

---

1 διῃρεῖτο L: διαιρεῖτο KM: διαιροῖτο t πολλὰ ἀνόμοια K διῃρέθη LM: διαιρεθείη Kt 2 μέντοι (L)t: μὲν τῇ KM ἐνπεριέχει K: ἐνπερισχεῖν M 4 ἔνεστι M 5 καὶ (post ὥστε) om. L 6 πᾶν (scriptum ut p. 486,19) M: τὸ t 7 δὲ] δ' t ἑνὸς LKM: ἑνὰ (sic) t: ἑνὸς vel ἕνα Aristotelis libri ἄττα libri 8 ἀνάγκησ τὴν ἐπὶ K 9 οὐδὲν ἄλλο LK: μᾶλλον M: οὐκ ἄλλο t ὁ ἀριθμὸς L 10 δὲ] δὴ K ἄττα Lt ἐκ] primitus και... K 13 τοῦτο] ταῦτα emendat t cf. p. 481,11. 487,9. Themist. p. 245,17 ἀλλ' διαίρετος γὰρ M 14. 15 κατὰ ταῦτα K: τὰ κατάὐτὰ M: κατ' αὐτὰ Lt: fort. κατὰ τοῦτο (cf. p. 481,16) 15 εἶχε LK: ἔχει Mt 16 ἐλάχιστον scripsi: ἔσχατον libri 17 δύο καὶ τρία ex Aristotelis vulgata t cf. Diels *z. Textgesch.* p. 9 ἐστι M 19 φησί LK: εἰσι M: om. t 20 γ'] τρία libri δύο ὁ δύο (β' L) LK: δύω δύο Mt 21 ἕτερόν] ἄλλο L παρὰ] πᾶσ M 22 αἰεί Lt ἐστιν K 24 τι K: om. LMt δείξει νῦν L 25 γὰρ φησὶ τοῦ L ἔστι] εἶναι K

www.libtool.com.cn

μόν. εἶτα καὶ τὴν αἰτίαν συντόμως ἐπήγαγε, πόθεν ὑπάρχει τοῦτο τῷ m 9r
ἀριθμῷ, ὅτι διὰ τὴν ἐπ' ἄπειρον τομὴν τῶν μεγεθῶν.

p. 207b11 Ὥστε δυνάμει μὲν ἔστιν, ἐνεργείᾳ δ' οὔ.

Εἰ γὰρ μηδέποτε πέρας ἴσχει ὁ ἀριθμὸς ἐπὶ τὸ πλέον, ἀλλὰ δυνατὸν
5 τοῦ ληφθέντος μείζονα λαβεῖν, καλῶς εἴρηται πρὸς ἡμῶν ὅτι ἐνεργείᾳ μὲν
οὐκ ἔστι τὸ ἄπειρον, δυνάμει δὲ ἔστιν· ἀεὶ γὰρ ὁ ἐνεργείᾳ ληφθεὶς ἀριθ- 35
μὸς πεπέρανται, ἀλλ' ἡ αὔξησις πέρας οὐκ ἔχει.

p. 207b12 Ἀλλ' ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον παντὸς ὡρι-
σμένου πλήθους.

10 Τὸ ὡρισμένου ἀντὶ τοῦ εἰλημμένου. παντὸς οὖν τοῦ εἰλημμένου,
φησίν, ὑπερβάλλει ὁ ληφθησόμενος, καὶ οὐκ ἐκλείπει ἡ λῆψις.

p. 207b13 Ἀλλ' οὐ χωριστὸς οὗτος ὁ ἀριθμός, οὐδὲ μένει ἡ
ἀπειρία, ἀλλ' ἀεὶ γίνεται, ὥσπερ καὶ ὁ χρόνος καὶ ὁ ἀριθμὸς 40
τοῦ χρόνου.

15 Ἐπειδὴ ἀντιδιέστειλε τῷ συμβαίνοντι ἐπὶ τῶν μεγεθῶν τὰ συμβαί-
νοντα ἐπὶ τοῦ ἀριθμοῦ, διὰ τοῦτό φησιν ὅτι ταῦτα οὐχ ὡς δυναμένου
χωρίζεσθαι τοῦ ἀριθμοῦ, οὐδὲ ὡς ἕτερον ὄντα παρὰ τὰ ἀριθμητά, ἀλλὰ
τῷ λόγῳ χωρίζομεν τὰ τῇ φύσει ἀχώριστα. καὶ οὐχ ὥσπερ τὰ τμήματα
τοῦ συνεχοῦς μένει, οὕτω δὲ καὶ αὐξομένου τοῦ ἀριθμοῦ οἱ πρότερον
20 ἀριθμοὶ μένουσιν, ἀλλ' ὥσπερ ὁ χρόνος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, 45
οὕτω καὶ ὁ τοῦ χρόνου ἀριθμός· τὸ γὰρ ληφθὲν μόριόν ἐστι τοῦ προτέρου
μὴ ἱσταμένου. οὕτω δὴ καὶ ἐπὶ τοῦ ἀριθμοῦ ἐν τῷ γίνεσθαι ἡ αὔξησις
αὐτοῦ τὸ εἶναι ἔχει· τῶν γὰρ εἴκοσι ληφθέντων οὐ μένει τὰ δέκα. ὥστε
ἡ τοῦ ἀριθμοῦ ἀπειρία οὐκ ἐν τῷ μένειν, ἀλλ' ἐν τῷ γίνεσθαι τὸ
25 εἶναι ἔχει.

---

1 ὑπόχει (sic) M 2 διὰ] δὸς (sic) M 3 ἐστι M δ' οὔ] δὲ ὸν K: μὲν οὔ M
4 πέρασις ἔχει K: πέρας ἔχει L ἀλλὰ] καὶ L 5 ἀεὶ τοῦ t 7 πεπέρασται L: πε-
πέρασται KMt 8 αἰεὶ Lt 10 τὸ ὡρισμένον K εἰλημμένου utrobique M: εἰλημμένον
altero loco K 11 λήψις (sic) LMt: λύψις K 12 οὗτος ὁ ἀριθμός LKM: ὁ ἀριθμὸς
οὗτος τῆς διχοτομίας e vulgato Aristotele t, at cf. Simplic. p. 506,20. collocationem οὗτος
ὁ ἀριθμός tuentur etiam excerpta cod. Paris. 1853, ubi lemma in his verbis subsistit.
13 ἀλλ' ἀεὶ LKM Simplicius (l. c. et v. 27): ἀλλὰ ex Arist. t 15 ἀντιδιέστηλε M
17 ἑτέρου ὄντος fort. recte L et Paris. 1853 18 fort. ⟨ὅτι⟩ τῷ 19 τοὺς συνεχοῦς M
post ἀριθμοῦ interpolat δηλονότι t 20 ἔχειν compend. M 21. 23 οὕτω καὶ—ἔχει iterat K
21 ὁ τοῦ] οὐ τοῦ M μόριον Mt: μόνον LK et Paris. 1853. at cf. ad p. 470,1 προτέρου K et
Paris. 1853: πρῷ L: πρότερον Mt 23 οὐ μένει L: οὐ με (ita scriptum ut oscitanti lectori
μ videatur esse δ) M: οὐδὲν t: οὐ (om. μένει? certe non omittit Vatic. 250) K 24 μένει M

www.libtool.com.cn

p. 207b15 Ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον. m 9r

Εἰπὼν ὅτι ἀντιπεπονθότως ἔχει ὁ ἀριθμὸς τοῖς μεγέθεσι, καὶ δείξας ὅπως ἔχει ὁ ἀριθμός, καὶ τὰς αἰτίας προσθείς, μέτεισιν ἐπὶ τὸ δεῖξαι καὶ τὰ τῷ μεγέθει συμβαίνοντα, διὰ τί ἐπὶ μὲν τὸ ἔλαττον πέρας οὐκ ἔχει, ἐπὶ δὲ τὸ μεῖζον ἔχει.

p. 207b17 Ὅσον γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοσοῦτον εἶναι. |

Διὰ τί ἀδύνατον ἐπ' ἄπειρον αὔξεσθαι τὰ μεγέθη, δείκνυσιν. εἰ γὰρ m 9v δυνατόν, φησίν, ἦν ἐπ' ἄπειρον αὔξεσθαι, κἂν ηὔξητο ἂν ἐνεργείᾳ ἐπ' 6 ἄπειρον, ἀλλὰ μὴν οὐδέν ἐστιν οὔτε ηὐξημένον οὔτε αὐξόμενον ἐπ' ἄπειρον (οὐδὲν γάρ ἐστι τοῦ οὐρανοῦ μεῖζον), οὐδ' ἄρα δύναταί τι ἐπ' ἄπειρον αὔξεσθαι. ὡς γὰρ ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐπὶ μὲν τῶν γινομένων καὶ φθειρομένων οὐδὲν θαυμαστὸν τὸ δυνάμει μὴ ἐκβῆναι εἰς ἐνέργειαν, ἐπὶ δὲ τῆς ὅλης φύσεως ἀιδίου οὔσης, εἴ γε ἦν τὸ δυνάμει ἐπ' ἄπειρον, ἀνάγκη πᾶσα καὶ τὸ ἐνεργείᾳ εἶναι· ἀλλὰ μὴν τὸ ἑπόμενον οὐκ ἔστιν· οὐδὲ τὸ 10 ἡγούμενον ἄρα.

Ἀπορήσειε δ' ἄν τις, τί οὖν οὐκ ἐν τῇ ὅλῃ φύσει ἐστὶ τὸ δύνασθαι ἐπ' ἄπειρον διαιρεῖσθαι. πῶς οὖν οὐδέν ἐστιν ἐνεργείᾳ ἐπ' ἄπειρον διαιρετόν; εἰ γὰρ ἡ φύσις τὴν τοιαύτην ἐποίησε δύναμιν, διὰ τί μὴ καὶ τὴν ἐνέργειαν ἐποίησε; φημὶ οὖν ὅτι οὐκ εἰς ἄπειρά φαμεν δυνάμει διαιρετὸν εἶναι (τοῦτο γὰρ οὐδὲ δυνάμει ἐστὶν ἐν τοῖς μεγέθεσιν), ἀλλὰ ἐπ' ἄπειρον. τοῦτο οὖν αὐτοῦ ἐστιν ἐνέργεια, τὸ μὴ λῆξαί ποτε τεμνόμενον· οὐκοῦν οὐδὲ λήγει. ἔστιν οὖν δυνάμει μὲν πρὶν ἄρξηται διαιρεῖσθαι, ἐνεργείᾳ δέ, 15 ὅταν ἤδη διαιρῆται. εἰ δὲ λέγοις ὅτι οὐδὲν τῶν ἐπ' ἄπειρον διαιρεῖσθαι ἐνεργείᾳ ἔχει (οὐ γὰρ δυνάμεθα ἐπ' ἄπειρον διαιρεῖν, ἀλλ' ἱστάμεθά ποτε), ἀλλὰ τοῦτο τῆς ἡμετέρας ἐστὶν ἀσθενείας, οὐ τῆς τοῦ πράγματος φύσεως· ἡ γὰρ φύσις ἐποίησεν ἡμῖν τὰ μεγέθη τοιαῦτα, ὡς μηδέποτε ἱστᾶν τῷ ἑαυτῶν λόγῳ τὴν τομήν, καὶ αὐτὴ δὲ ἡ φύσις διαιρεῖ τοσοῦτον, ὅσον

---

1 τὸ ἐναντίον M 2 ἀντιπεπονθότος K 3 ὅπερ ἔχει K καὶ (post δεῖξαι) om. L 4 διατὶ LK et compend. M: ὅτι t 8 ἀδύνατον om. Mt αὔξεται t 9 ἦν φησιν Mt 10 ἀλλὰ μὴν in eras. K 11 οὐδὲν (ante γάρ) LK: οὐδὲ Mt 12 ἐν] καὶ ἐν L εἴρηται om. Mt 14 τῆς ὅλης LK: τοῖς ὅλοις compend. M et t 14. 15 ἀνάγκη — μὴν τὸ ἑ- in erasis L 17 οὐκ ἐν LK: καὶ Mt 18 οὐδέν LK: οὐδὲ Mt 19. 20 τὴν ἐνέργειαν LK: τῇ ἐνεργείᾳ Mt 20 ἄπειρά K: ἄπειρον (L)Mt διαιρετικὸν Mt 22 ἐνεργείᾳ K λέξαι, ut videtur, K 23 ἄρξεται L 24 διαιρῆται LM: διαιρεῖται Kt οὐδὲ τὸ ἄπειρον L: immo οὐδὲν τῶν ἐπ' ἄπειρον ⟨διαιρουμένων τὸ ἐπ' ἄπειρον⟩ 27 ἡμῖν (vel ἡμῶν) ἐποίησε L μεγε M: μεγέθει t. item p. 491,2. 4 ἱστᾶν libri 28 ἑαυτοῦ t διέρει M

www.libtool.com.cn

αὐτῇ χρειῶδες εἰς δημιουργίαν. καὶ ἄλλως ἐποίησεν ἡ φύσις καὶ ἐπ' m 9v
ἄπειρον τὰ μεγέθη διαιρετά; ἵν' ἐξῇ καθ' οἱονδήποτε σημεῖον τὴν διαί- 20
ρεσιν ποιεῖσθαι, τοῦτο δὲ δυνατὸν ἐνεργείᾳ εἶναι· ἔξεστι γὰρ καθ' οἱον-
δήποτε σημεῖον διαιρεῖν τὴν εὐθεῖαν. ὃ ἄρα δυνάμει ἔχει τὰ μεγέθη, τοῦτο
5 καὶ ἐνεργείᾳ ἔχειν δύναται. οὐ μόνον δὲ ἐπὶ τῆς αὐξήσεως, ἀλλὰ καὶ ἐπὶ
τῆς διαιρέσεως.

p. 207b21 Τὸ δὲ ἄπειρον οὐ ταὐτὸν ἐν μεγέθει καὶ κινήσει καὶ χρόνῳ.

Ἕτερον θεώρημα, ὅτι, τοῦ ἀπείρου ὄντος καὶ ἐπὶ τοῦ μεγέθους καὶ
10 ἐπὶ τῆς κινήσεως καὶ ἐπὶ τοῦ χρόνου, οὐχ ὡς ἕν τι γένος κατὰ πάντων
τούτων ἐστὶ τὸ ἄπειρον (οὐ γὰρ ὁμοτίμως ἐν πᾶσιν), ἀλλ' ὡς ἂν ἔχωσι
ταῦτα φύσεως, οὕτω καὶ τὸ ἐν αὐτοῖς ἄπειρον ἕξει. ἐν μὲν οὖν τῷ χρόνῳ
τὸ ἄπειρον ὑπάρχει διὰ τὴν κίνησιν, ἐπειδὴ καὶ τὸ εἶναι αὐτῷ διὰ ταύτην
ἐστίν, ἐν δὲ τῇ κινήσει διὰ τὸ μέγεθος. πρώτως οὖν ἐν τῷ μεγέθει τὸ
15 ἄπειρον, ἐπειδὴ καὶ πρώτως καὶ καθ' αὑτὸ συνεχὲς τὸ μέγεθος· δευτέρως
δὲ ἐν τῇ κινήσει, ἐπειδὴ καὶ τὸ συνεχὲς διὰ τὸ μέγεθος ἡ κίνησις ἔχει·
τρίτως δὲ ἐν τῷ χρόνῳ, διὰ γὰρ τὴν κίνησιν καὶ ὁ χρόνος συνεχής. ὅτι
δὲ ταῦτα οὕτως ἔχει, νῦν μέν, φησίν, εἰλήφθω ὁμολογούμενον, μικρὸν δὲ
ὕστερον καὶ ταῦτα ἀποδείξομεν. δείξει δὲ ταῦτα ἐν τῷ ἕκτῳ λόγῳ ταύτης
20 τῆς πραγματείας.

p. 207b27 Οὐκ ἀφαιρεῖται δὲ ὁ λόγος οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν, ἀναιρῶν οὕτως εἶναί τι ἄπειρον ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξησιν ὡς ἀδιεξίτητον.

Ὅτι οὐδὲ τὰς γεωμετρικὰς ἀρχὰς ἀναιροῦμεν λέγοντες μηδὲν εἶναι 25
25 κατ' ἐνέργειαν ἄπειρον· οὐδὲ γὰρ χρῶνται ἐν ταῖς ἀποδείξεσι τῷ ἀπείρῳ,
ἀλλὰ τῷ πεπερασμένῳ. ὑποτίθενται δὲ τὴν ἄπειρον, ἵνα ἐξῇ λαβεῖν αὐτοῖς
ὅσην ἂν βούλωνται πεπερασμένην. ἐὰν οὖν δοθῇ αὐτοῖς ὃ ζητοῦσιν,
οὐδὲ τοῦ ἀπείρου δεήσονται.

---

1 χρειῶδες αὐτῇ L καὶ (ante ἐπ') om. t 2 ἵνα Mt ἐξῇ scripsi: ἕξει L: ἕξη M: ἕξῃ Kt 2. 4 τὴν διαίρεσιν — σημεῖον om. Mt 4 τοῦτου (sic) M 5 δὲ om. K 7. 20 Τὸ δὲ ἄπειρον — πραγματείας om. Mt 11 τούτων K: τοιούτων L ἄλλως ἂν K 16 διὰ τὸ μέγεθος ἡ κίνησις K: ἡ κίνησις διὰ τὸ μέγεθος L 17 καὶ om. L χρόνος L: μόνος K 19 δὲ ταῦτα K: δὲ (transposito ταῦτα post λόγῳ) L ἕκτῳ scripsi: ς' L: om. K. ceterum cf. p. 482, 18 22 ἀναιρῶν om. M εἶναί τι LKM: εἶναι τὸ ex Aristotele t 23 ὡς ἀδιεξίτητον om. M 24 τὰς ἀρχὰς γεωμετρικὰς t 25. 26 οὐδὲ γὰρ — τὴν ἄπειρον om. Mt 26 ἐξῇ L: ἡεξη (sic) K: ἕξῃ M: ἕξῃ t 27 τὴν πεπερασμένην Aristotelis cod. E at cf. p. 483, 5 δο M: δοθεῖ (sic) t ὃ LK: ὅσην Mt

www.libtool.com.cn

p. 207b31 Τῷ δὲ μεγίστῳ μεγέθει τὸν αὐτὸν ἔστι τετμῆσθαι m 9r
λόγον ὁπηλικονοῦν μέγεθος ἕτερον.

Καλῶς ὁ Ἀλέξανδρος ἐνταῦθά φησιν, ὅτι δείξας ὁ Ἀριστοτέλης ὁποίου ἀπείρου οὐ προσδέονται εἰς τὰς δείξεις οἱ γεωμέτραι, ὅτι τοῦ κατὰ τὴν
5 ἔκτασιν ἀπείρου οὐ δέονται, νῦν λέγει ποίῳ χρῶνται, ὅτι τῷ κατὰ τὴν 30
διαίρεσιν ἀπείρῳ χρῶνται. ἔστι γάρ, φησί, τῷ μεγέθει μεγίστῳ κατὰ τὸν αὐτὸν λόγον ὁπηλικονοῦν ἄλλο μέγεθος τμηθῆναι. οἷον ὥσπερ τὸ μέγιστον μέγεθος ἔστι διχοτομῆσαι, οὕτως καὶ ὁπηλικονοῦν ἄλλο μέγεθος δυνατὸν διχοτομῆσαι· δείκνυται γὰρ ὅτι κατὰ τὸν αὐτὸν τῷ ὅλῳ λόγον
10 ἐνδέχεται καὶ ὁπηλικονοῦν μόριον διελεῖν. εἰ δὲ πᾶν μέγεθος ἔστι διχοτομῆσαι, ἐπ' ἄπειρον ἄρα τὰ μεγέθη διαιρετά· οὐ γὰρ οἷόν τε ἄλλως πᾶν μέγεθος διχοτομηθῆναι.

p. 207b33 Ὥστε πρὸς μὲν τὸ δεῖξαι ἐκείνως οὐδὲν διοίσει, τὸ δὲ εἶναι ἐν τοῖς οὖσίν ἐστιν μεγέθεσιν.

15 Δῆλον, φησίν, ἐκ τῶν εἰρημένων, ὅτι πρὸς μὲν τὰς ἀποδείξεις οὐδὲν διοίσει τοῖς γεωμέτραις, εἴτε ἔστιν εἴτε μὴ ἔστιν ἐκείνως τὸ ἄπειρον, 35
λέγω δὴ τὸ κατὰ τὴν ἔκτασιν, τὸ δὲ ὅλως εἶναι τῷ ἀπείρῳ ἐν οὐδενὶ ἄλλῳ ἐστὶν ἢ ἐν τοῖς ἐνεργείᾳ ὑπάρχουσι μεγέθεσι, ταῦτα δέ ἐστι τὰ πεπερασμένα. ἔστι δὲ ἐν αὐτοῖς κατὰ τὴν διαίρεσιν δηλονότι.

20 p. 207b34 Ἐπειδὴ τὰ αἴτια προσδιαιρεῖται τετραχῶς.

Ζητεῖ διὰ τούτων ἐν ποίῳ τῶν αἰτίων τὸ ἄπειρον, καί φησιν ἐν τοῖς 41
ὑλικοῖς αἰτίοις· εἴρητο γὰρ καὶ ἐν ἀρχῇ ὅτι εἰ ἔστι τὸ ἄπειρον, ἀρχὴ ἔσται καὶ οὐκ ἐξ ἀρχῆς.

p. 207b35 Καὶ ὅτι τὸ μὲν εἶναι αὐτῷ στέρησίς ἐστι, τὸ δὲ καθ'
25 αὐτὸ ὑποκείμενον τὸ συνεχὲς καὶ αἰσθητόν.

Ἐντεῦθεν δείκνυσιν ὅτι ὕλη τὸ ἄπειρον, δείκνυσι δὲ τοῦτο διχῶς,

---

2 ἕτερον μέγεθος M 3 καλῶς δὲ ὁ Mt 4 δεῖξας K 5 λέ L: λέγοι t ποῖον M τὴν om. Mt 6 φασὶ L μεγέθει μεγίστω LK: μεγίστῳ μεγέθει Mt 7. 12 οἷον ὥσπερ — διχοτομηθῆναι om. Mt 7 οἷον K: om. L 9 ὅλλω K 10 ἐνδέχονται K πᾶν L: πάλιν K 11 τῷ μεγέθει L οἷόν τε K: οἷονται L 12 διχοτομηθῆναι L: διχοτομῆναι (sic) K 13 ἐκείνοις Aristotelis cod. E οὐθὲν t post διοίσει addit τὸ ἄπειρον t 13. 16 τὸ δὲ εἶναι — διοίσει om. L 14 ἐστὶν KM: ἔσται ex Aristotele t 16 εἴτε ἔστιν om. K εἰκόνως compend. M 17. 18 οὐδενί ἐστιν ἄλλω L 20 ἐπειδὴ KMt: ἐπεὶ δὲ L et Aristoteles (praeter pr. E?) προσδιαιρεῖται LK: διαίρεῖται M: διῄρηται ex Aristotele t: num προδιῄρηται? 21 καὶ ζητεῖ L διὰ LK: δὲ Mt αἰτιῶν K fort. φησιν ⟨ὅτι⟩ 22 εἴρηται primitus K ἐν ἀρχῇ] c. 4 p. 203b4 24 τὸ μὲν LK: τῷ μὲν Mt αὐτὸ L ἐστιν K 26 ἡ ὕλη Mt

www.libtool.com.cn

ἔκ τε τῆς φύσεως αὐτῆς τοῦ ἀπείρου καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. m 9ᵛ ἡ γὰρ ὕλη, φησί, στέρησίς ἐστι τῷ ἰδίῳ λόγῳ (οὐδὲ γὰρ οἴκοθεν ἔχει εἶδος), καὶ τὸ ἄπειρον δὲ ἐν στερήσει (ὅρου γὰρ καὶ πέρατος αἴτιον τὸ εἶδος), ὥστε ὕλη ἂν εἴη τὸ ἄπειρον. ἀλλ' εἰ καὶ ἐν στερήσει τὸ ἄπειρον καὶ περὶ τὴν ὕλην, ἀλλ' οὖν καθ' αὑτὸ οὔτε ὑφέστηκεν οὔτε τῇ ἐπ' ἄπειρον διαιρέσει ὑπόκειται, ἀλλὰ τὸ αἰσθητὸν σῶμά ἐστι τὸ καθ' αὑτὸ ὑφεστηκὸς καὶ τῇ ἐπ' ἄπειρον διαιρέσει ὑποκείμενον· δεῖ γὰρ ἐνεργείᾳ εἶναι τὸ διαιρεθησόμενον. πῶς οὖν φαμεν κατὰ τὴν ὕλην γίνεσθαι τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν; ὅτι τοῦ συνθέτου σώματος ἐπ' ἄπειρον τεμνομένου, ἐπειδὴ μὴ κατὰ τὸ εἶδος ἡ τομὴ γίνεται (μένει γὰρ ἐκεῖνο ταὐτόν), ἀνάγκη κατὰ τὴν ὕλην γίνεσθαι τὴν διαίρεσιν, ἀλλὰ κατὰ τὴν ὕλην εἰδοποιημένην καὶ ἐνεργείᾳ τι οὖσαν. καὶ οἱ ἀρχαῖοι δὲ πάντες, φησίν, ὅσοι τὸ ἄπειρον εἶναι ὑπέθεντο, ὡς ὕλην αὐτὸ ὑπέθεντο· ἐξ αὐτοῦ γὰρ γίνεσθαι καὶ εἰς αὐτὸ ἀναλύεσθαι πάντα. τοῦτο δὲ οἱ μὲν τὸν ἀέρα εἶναι, οἱ δὲ τὸ ὕδωρ, οἱ δὲ ἄλλο τι ἔφασαν.

p. 208ᵃ5 Λοιπὸν δεῖ ἐπελθεῖν καθ' οὓς λόγους τὸ ἄπειρον εἶναι δοκεῖ οὐ μόνον δυνάμει, ἀλλ' ὡς ἀφωρι|σμένον. m 10ʳ

Δεῖ λοιπόν, φησίν, ἐντεῦθεν τὰς ἀπορίας ἐπισκέψασθαι, καθ' ἃς τὸ ἄπειρον ἐδόκει μὴ δυνάμει εἶναι μόνον, μηδὲ ἐν τοῖς πεπερασμένοις τὸ εἶναι ἔχειν, ἀλλὰ καὶ ἐνεργείᾳ εἶναι καὶ ἀφωρισμένον καθ' αὑτό.

p. 208ᵃ6 Τὰ μὲν γὰρ αὐτῶν οὐκ ἀναγκαῖα, τὰ δὲ ἔχει τινὰς ἑτέρας ἀληθεῖς ἀπαντήσεις.

Τῶν ἀπόρων, φησίν, ἐξ ὧν τὸ ἄπειρον εἶναι ἐδόκει, τὰ μὲν οὐδὲν ἔχει ἀναγκαστικὸν εἰς τὸ εἶναι τὸ ἄπειρον, τὰ δὲ καὶ ἀληθείας τινὸς ἔχεται καὶ οὐκ ἐναντιοῦται οἷς ἡμεῖς περὶ τοῦ ἀπείρου διεξεταζόμεθα. οὔτε γὰρ ὅπως ἡ γένεσις μὴ ἐπιλίπῃ. ὅτι οὐκ ἀνάγκη διὰ τὸ ἀεὶ εἶναι τὴν γένεσιν τὸ ἄπειρον εἰσάγεσθαι· δυνατὸν γὰρ καὶ πεπερασμένου ὄντος τοῦ παντὸς ἀεὶ γένεσιν εἶναι, εἰ ἡ ἄλλου γένεσις ἄλλου εἴη φθορά.

---

2 εἴκοθεν (sic) Mt 3 ὅρον K 6 διαιρ ε′ M: διαιρέσῃ t 6. 7 ὑφεστηκῶς (sic) Mt 7 ὑποκείμενενον err. typ. t 7. 11 δεῖ γὰρ—διαίρεσιν ad verbum fere ex Themist. p. 249,8 sqq. 10 ἐπειδὴ μὴ] οὐ L μένει ita scriptum in M ut legas γένει, quod dedit t 10. 11 ἀνάγκη καὶ κατὰ L 12 φασὶν t 13 ὡς ὕλην αὐτὸ ὑπέθεντο om. Mt γίνεται Mt 14 εἰς αὐτὸν Mt τὸν om. L 16 δεῖ LK: δ' Mt Aristoteles 17 ἀφωρισμένον M: ἀφορισμένον (L)Kt 18 ἀποσκέψασθαι M 19 ἐδόκει om. L 20 ἀφορισμένον K 21 γάρ ἐστιν αὐτῶν Aristoteles 22 ἀληθὲς compend. M 23 ἐδόκει L: δοκεῖ (K)Mt 24 τὰ δὲ (om. καὶ) ἀλη γ′ τινα ἔχονται L 25 ἐναντιοῦνται L διεξεταζόμεθα KMt: ἐξεταζόμεθα L 26 ὅπως] ἵνα Aristoteles ἡ γένεσις om. L γένησις M ἐπιλείπει L 28 ἄλλου γένεσις om. K

www.libtool.com.cn

p. 208a11 Ἔτι τὸ ἅπτεσθαι καὶ τὸ πεπεράνθαι ἕτερον. m 10r

Ὅτι καὶ ὁ λόγος ὁ λέγων ὅτι τὸ πεπερασμένον πρός τι περαίνει. ψευδὴς ὢν οὐδὲν ἔχει ἀναγκαῖον. εἰ γὰρ τὸ πεπερασμένον πρός τι ἐπέ- 15
ραινε, ταὐτὸν ἦν τὸ πεπεράνθαι καὶ τὸ ἅπτεσθαι, νῦν δὲ ἔστι μέν τι πε-
5 περασμένον, ἁπτόμενον δὲ οὐδενός (τοιοῦτον γὰρ καὶ ἡ ἀπλανής), οὐκ ἄρα ταὐτὸν τὸ πεπεράνθαι τῷ ἅπτεσθαι· οὐδὲ ἄρα τὸ πεπερασμένον πρός τι περαίνει. τὸ μὲν γὰρ πρός τι καὶ τινός. τὸ ἅπτεσθαι, φησί, τῶν πρός τί ἐστι (τὸ γὰρ ἁπτόμενον τινὸς ἅπτεται), τὸ δὲ πεπερασμένον οὐ πρός τι, ἀλλ' εἰ καὶ συμβέβηκέ τινι τῶν πεπερασμένων τὸ ἅπτεσθαι διὰ
10 τὸ μὴ εἶναι κενόν, ἀλλ' οὖν οὐ ταὐτόν ἐστιν αὐτῷ τὸ ἅπτεσθαι καὶ τὸ πεπεράνθαι, ἐπεὶ πᾶν πεπερασμένον εὐθὺς καὶ ἁπτόμενον ἦν· νῦν δὲ 20
οὐκ ἔστιν, ὡς εἴρηται.

p. 208a14 Οὐδὲ ἅψασθαι τῷ τυχόντι τοῦ τυχόντος ἔστιν.

Ὅτι τὸ ἁπτόμενον τῶν πρός τί ἐστι, δείκνυσι τῷ μηδὲν πρὸς τὸ τυχὸν
15 ἅπτεσθαι. οὐδὲ γὰρ τὸ τυχὸν τοῦ τυχόντος ἅπτεται· οὐδὲ γὰρ ἅπτεται γραμμὴ ἐπιφανείας οὐδὲ ἐπιφάνεια σώματος, οὐδὲ ἅπτεται γραμμὴ φωνῆς, ἀλλὰ γραμμὴ γραμμῆς ἅπτεται ἐπιφάνεια δὲ ἐπιφανείας· κἂν γὰρ ἐπιφανείας ἅπτηται γραμμή, κατὰ γραμμὴν ἅπτεται, οὐ κατὰ ἐπιφάνειαν. οὐ μόνον δὲ κατὰ τὸν ἡμέτερον λόγον οὐ ταὐτόν ἐστι τὸ πεπεράνθαι τῷ
20 ἅπτεσθαι, ἀλλὰ καὶ κατὰ τὰς Δημοκρίτου ὑποθέσεις τοῦτο συμβαίνει· αἱ 25
γὰρ ἄτομοι ἐν τῷ κενῷ φερόμεναι πεπερασμέναι μέν εἰσιν, οὐδενὸς δὲ ἅπτονται. καὶ τοῖς ἔξω τοῦ οὐρανοῦ τὸ κενὸν ὑποτιθεμένοις πεπέρανται μὲν ὁ οὐρανός, ἅπτεται δὲ οὐδενός. οὐκ ἄρα τὸ πεπεράνθαι τῷ ἅπτεσθαι ταὐτόν· ὥστε οὐδὲ τὸ πεπερασμένον πρός τι περαίνει.

25 p. 208a14 Τὸ δὲ τῇ νοήσει πιστεύειν ἄτοπον.

Ὅτι οὐδὲ ἡ ἐκ τῆς νοήσεως ἀπορία ἔχει τι ἀναγκαῖον. οὐ γὰρ ἐπὶ 34
τοῦ πράγματος ἡ ὑπεροχὴ καὶ ἔλλειψις, ἀλλ' ἐπὶ τῆς νοήσεως. οὐ διὰ τὸ τὴν νόησιν, φησίν, ἄπειρόν τι μέγεθος ἐννοῆσαι, ἤδη καὶ ἀνάγκη

---

2 καὶ om. L 3. 4 ἐπέρενε M (αι) 4 ἦν] ἡ M καὶ τὸ] τῷ L 5 ἁπτόμενοι K δὲ LK: μὲν δὲ (μὲν ortum ex ἁπτόμεν) M: μέν τοι t γὰρ LK: δὲ Mt 7 περαίνει. τὸ t: περαίνοιτο LKM γὰρ om. K 8 ἅπτεται LKt: ἅπτεσθαι M 9 καὶ om. L 13 ἅψεσθαι L 14 μηδὲν Mt: μηδὲ K: μὴ L 15 τυχόντος] χόντος L 16 σώματι K 17 ἐπιφάνεια δὲ ἐπιφανείας om. M: καὶ ἐπιφάνεια ἐπιφανείας de coniectura t 17. 18 κἂν γὰρ — κατὰ ἐπιφάνειαν om. Mt 18 ἅπτηται L: ἅπτηται K κατὰ γραμμὴν L: κατὰ γραμμῆς K 19 ὑμέτερον Mt τὸ πεπεράνθαι τῷ Mt: τῷ πεπεράνθαι τὸ L: τῷ πεπεράνθαι τῷ K 20 σημαίνει M: σημβαίνει t 21 καινῷ M δὲ om. M 22 πεπέρασται libri 27 ἡ ἡπεροχὴ M 28 οὐδὲ διὰ L

www.libtool.com.cn

τοιοῦτον εἶναι· οὐδὲ γάρ, φησίν, εἰ νοήσαις Σωκράτην ἄπειρον ηὐξημένον, m 10r
ἤδη ἀνάγκη τὸν Σωκράτην τηλικοῦτον εἶναι καὶ ὑπερβάλλειν τὸ τρίπηχυ
μέγεθος ὃ ἔχει, διὰ τὴν νόησιν· οὐδὲ ἂν νοήσωμεν αὐτὸν ἔξω τοῦ ἄστεος
ὄντα, ἤδη ἀνάγκη αὐτὸν ἔξω εἶναι· οὐδὲ γὰρ τῇ νοήσει τὰ πράγματα
5 ἕπεται, ἀλλὰ τοῖς πράγμασιν ἐπισυμβαίνει ἥ γε ὀρθῶς ἔχουσα νόησις.
τὰ ἀκριβέστερα δὲ τῶν ἀντιγράφων οὐκ ἔχει τὸ τοῦ ἄστεος, ἀλλὰ μόνον 40
ἔξω τοῦ τηλικούτου μεγέθους, τουτέστιν οὗ ἔχομεν οἱ ἄνθρωποι.

p. 208a20 Ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἄπειρά ἐστι, καὶ ἡ νόησις οὐχ ὑπομένοντος τοῦ λαμβανομένου.

10 Ὅτι ἡ ἐκ τοῦ χρόνου καὶ τῆς κινήσεως ἀπορία εἰσάγει μὲν τὸ ἄπειρον,
ἀλλὰ οὐ τοιοῦτον οἷον ἡμεῖς ἀπεδείξαμεν μὴ εἶναι, τὸ ἐνεργείᾳ καὶ ἀθρόον
ὑφεστηκὸς ἄπειρον· οὐ γὰρ ἅμα ὁ χρόνος ἄπειρός ἐστιν ἢ ὑπομένει αὐτοῦ
τὸ ληφθέν, ἀλλ' ἀπὸ μέρους ἐν τῷ γίνεσθαι ὑπάρχει αὐτῷ ἡ ἀπειρία.
ἀλλὰ κἂν τῇ νοήσει αὐξῆσαι θελήσεις τὸν χρόνον, οὐδ' οὕτως ἀθρόαν 45
15 αὐτοῦ τὴν φύσιν λήψῃ, ἀλλ' ἀπὸ μέρους.

p. 208a21 Μέγεθος δὲ οὔτε τῇ καθαιρέσει οὔτε τῇ νοητικῇ αὐξήσει ἐστὶν ἄπειρον.

Ἐπ' ἄπειρον μὲν γὰρ διαιρετὸν τὸ μέγεθος, διαιρεθῆναι δὲ εἰς ἄπειρα
ἀδύνατον· ἀλλ' οὐδὲ αὐξηθῆναι ἐπ' ἄπειρον, ὡς δέδεικται. ἔστιν οὖν
20 καὶ ἐνταῦθα τὸ ἄπειρον ἐν τῇ γενέσει καὶ ἀπὸ μέρους, ὅλον δὲ ἅμα 50
οὐκ ἔστιν.

1. 21 οὐδὲ γάρ — οὐκ ἔστιν om. in fine paginae (imo marg. ἐνταῦθα λείπει ἀπὸ σημείου τούτου) L 1 νοήσαις Mt: νοήσαι K 2 ὑπερβάλειν M 4 μὴ ὄντα K ἀνάγκη αὐτὸν K: αὐτὸν ἀνάγκη Mt τῇ] τὴν K 5 ἔχουσαν K 7 τηλικοῦδε (at cf. cod. E et Simplic. p. 517,21) μεγέθους ὃ ἔχομεν Aristoteles. ad verba ἔξω τοῦ ἄστεος in Arist. cod. E adnotat novicius librarius γρ. ὁ εὔδημος ἔξω τοῦ ἀστέρος ἤγουν τῆς ἐν τοῖς ἄστροις φορᾶς. cf. Diels *z. Textgesch.* p. 39 8 ἡ κινήσεις (compendiose) K 11 ἀθρόον K: ἀθρόως Mt 14 θελήσεις K et incerto compendio M: θελήσης t 16 οὔτε τὸ καθαιρέσει οὔτε τὴν νοητικῇ K 18 διαιρετὸν K et parum clare M: διαιρέσει t 19 ἐπ' ἄπειρον ⟨δυνατόν⟩?

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

www.libtool.com.cn

Stanford University Libraries
3 6105 004 963 356
www.libtool.com.cn

STANFORD UNIVERSITY LIBRARIES
STANFORD AUXILIARY LIBRARY
STANFORD, CALIFORNIA 94305-6004
(415) 723-9201
All books may be recalled after 7 days

DATE DUE

F/S JUN 30 1995
JUL 27 1994
JUN 30 2003
JUN 30 2002
JUN 18 2004
JUN 30 2004

www.libtool.com.cn